Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tni-aa

Ἰωάννης ὁ Στοβαῖος · John Stobaeus of Stobi

Anthologium

Ἀνθολόγιον

Period: *Ὀψιμαρχαία* Late Antique
Dialect: *Κοινὴ λογοτεχνική* Literary Koine
Domain: *Φιλοσοφία* Philosophy
Format: *Πεζός* Prose
Affiliation: Eclectic

1.1 Θεοδέκτου (fr. 7 N. p. 625). Ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον. Εὐριπίδου (fr. inc. 935 N.) Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα, καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις; τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν. Ἀράτου (Phaen. 1—9). Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν ἄρρητον, μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί, πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα καὶ λιμένες, πάντῃ δὲ Διὸς κεχρήμεθα πάντες. τοῦ γὰρ καὶ γένος ἐσμέν, ὁ δ' ἤπιος ἀνθρώποισι δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει μιμνήσκων βιότοιο, λέγει δ' ὅτε βῶλος ἀρίστη βουσί τε καὶ μακέλῃσι, λέγει δ' ὅτε δεξιαὶ ὧραι καὶ φυτὰ γυρῶσαι καὶ σπέρματα πάντα βαλέσθαι. 〈 Ὁμήρου (Υ 242. 243)〉 Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε 〈 Tragici ignoti (fr. adesp. 394 N.).〉 Ὁ γὰρ θεὸς μέγιστος ἀνθρώποις νόμος. 〈 Elegiaci ignot i . 〉 Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει. 〈 Ὁμήρου (ζ' 188).〉 Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν, ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν ἑκάστῳ. 〈 Ὁμήρου (π' 212).〉 Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν, ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι. 〈 Poetae ignot i . 〉 Ζεὺς ὁ καὶ ζωῆς καὶ θανάτου πείρατα νωμῶν. Σιμωνίδου (fr. 61 B.). Οὔτις ἄνευ θεῶν Μενάνδρου (Com. IV p. 293, fr. 280). Ἅπαντα σιγῶν ὁ θεὸς ἐξεργάζεται. Κλεάνθου ς . Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεί, Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν, χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν. ἐκ σοῦ γὰρ γένος ἐσμέν, ἧχου μίμημα λαχόντες μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν· τῷ σε καθυμνήσω καὶ σὸν κράτος αἰὲν ἀείδω. σοὶ δὴ πᾶς ὅδε κόσμος, ἑλισσόμενος περὶ γαῖαν, πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται· τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν ἀμφήκη, πυρόεντ', αἰειζώοντα κεραυνόν· τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἐρρίγα〈σιν〉· ..... ὡς τόσσος γεγαὼς ὕπατος βασιλεὺς διὰ παντός, οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον, οὔτε κατ' αἰθέριον θεῖον πόλον οὔτ' ἐνὶ πόντῳ, πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις· ἀλλὰ σὺ καὶ τὰ περισσά 〈τ'〉 ἐπίστασαι ἄρτια θεῖναι, καὶ κοσμεῖν τἄκοσμα καὶ οὐ φίλα σοὶ φίλα ἐστίν. ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν, ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα, ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσι, δύσμοροι, οἵ τ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον οὔτε κλύουσιν, ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν. αὐτοὶ δ' αὖθ' ὁρμῶσιν ἄνοι κακὸν ἄλλος ἐπ' ἄλλο, οἳ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες, οἳ δ' ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ, ἄλλοι δ' εἰς ἄνεσιν καὶ σώματος ἡδέα

ἔργα ..... ἐπ’ ἄλλοτεν ἄλλα φέρονται, σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι. ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀργικέραυνε, ἀνθρώπους 〈μὲν〉 ῥύου ἀπειροσύνης ἀπὸ λυγρῆς, ἣν σύ, πατήρ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι θνητὸν ἐόντ’, ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον, οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν. 〈 Tragici ignoti (fr. adesp. 396 N.).〉 Θεοῦ θέλοντος εὖ τὰ πάντα γίγνεται. 〈 Tragici ignoti (fr. adesp. 397 N.).〉 Τί δ’ οὐ γένοιτ’ ἂν θεοῦ 〈γ’〉 ἐφιέντος τύχῃ; 〈 Σοφοκλέους (Ai. 383).〉 Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται. 〈 Poetae ignot i . 〉 Γεννᾷ τὸ θεῖον εὐτυχῆ δωρήματα. 〈 Tragici ignoti (fr. adesp. 398 N.).〉 Ζεὺς ἔσθ’ ὁ πέμπων τὴν ἐφήμερον τροφήν. 〈 Tragici ignoti (fr. adesp. 399 N.).〉 Ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ σθένει. 〈 Tragici ignoti (fr. adesp. 400 N.).〉 Θείᾳ προνοίᾳ πάντ’ ἐγέννησεν φύσις. 〈 Poetae ignot i . 〉 Θεὸς μόνος πέφυκεν ἐν βροτοῖς μέγας. 〈 Ὁμήρου (ρ′ 485—487).〉 Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι παντοῖοί τ’ ἐλθόντες ἐπιστρωφῶσι πόληας, 〈 Ὁμήρου (σ′ 135. 136).〉 Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ’ ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε. 〈 Poetae ignot i . 〉 Πάντῃ πάρεστι καὶ βλέπει πάντῃ θεός. 〈 Εὐριπίδου (fr. inc. 1014 N.).〉 Θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν, οὐδ’ εἰς τὸ μεῖζον ἦλθε, τὰς θνητῶν δ’ ἐγὼ χαίρειν κελεύω θεῶν ἄτερ προμηθίας. 〈 Ἀρχιλόχου (fr. 70 B. 3).〉 Τοῖος ἀνθρώποισι θυμός, Γλαῦκε, Λεπτίνεω πάι, γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐφ’ ἡμέρην ἄγῃ. 〈 Εὐριπίδου Θυέστῃ (fr. 401 N.).〉 Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις. 〈 Tragici ignoti (fr. adesp. 401, 1 N.).〉 Θνητοῖσιν ἀνθρώποισι καταφυγὴ θεοί. 〈 Tragici ignoti (fr. adesp. 401, 2—4 N.).〉 〈 Tragici ignoti (fr. adesp. 402 N.).〉 Νῦν οὐκέτι μοι δίχα θυμός, ἀλλὰ σαφὴς 〈φάτις ἔσθ’〉, ὅτι πάντα βροτοῖς Ζεὺς ἐπικάρσια τέμνει, καθελὼν μὲν δοκέοντ’, ἀδόκητον δ’ ἐξαείρων. 〈 Ὀρφέως (fr. VI, 9—42 Hermann. Orph. p. 457).〉 Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος, Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ’ ἐκ πάντα τέτυκται· Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄμβροτος ἔπλετο νύμφη, Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος· Ζεὺς βασιλεύς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος· ἓν κράτος, εἷς δαίμων γένετο, μέγας ἀρχὸς ἁπάντων· ἓν 〈δὲ〉 δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται, πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ· καὶ Μῆτις, πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής· πάντα γὰρ ἐν Ζηνὸς μεγάλῳ τάδε σώματι κεῖται· τοῦ δή τοι κεφαλὴ μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται· ταύρεα δ’ ἀμφοτέρωθε δύο χρύσεια κέρατα ἀντολίη τε δύσις τε, θεῶν ὁδοὶ οὐρανιώνων ὄμματα δ’ ἠέλιός τε καὶ ἀντιόωσα σελήνη· οὖς δέ οἱ ἀψευδὲς βασιληΐον ἄφθιτος αἰθήρ, ᾧ δὴ πάντα κλύει καὶ φράζεται· οὐδέ τίς ἐστιν αὐδὴ οὐδ’ ἐνοπὴ οὐδὲ κτύπος οὐδὲ μὲν ὅσσα, ἣ λήθει Διὸς οὖας ὑπερμενέος Κρονίωνος. ὧδε μὲν ἀθανάτην κεφαλὴν ἔχει ἠδὲ νόημα· σῶμα δέ οἱ περιφεγγές, ἀπείριτον, ἀστυφέλικτον, ἄτρομον, ὀβριμόγυιον, ὑπερμενὲς ὧδε τέτυκται· ὦμοι μὲν καὶ στέρνα καὶ εὐρέα νῶτα θεοῖο ἀὴρ εὐρυβίης, πτέρυγες δέ οἱ ἐξεφύοντο, τῇς ἐπὶ πάντα ποτᾶθ’, ἱερὴ δέ οἱ ἔπλετο νηδὺς γαῖά τε παμμήτωρ ὀρέων τ’ αἰπεινὰ κάρηνα, μέσση δὲ ζώνη βαρυηχέος οἶδμα θαλάσσης καὶ πόντου· πυμάτη δὲ βάσις χθονὸς ἔνδοθι ῥίζαι, 〈 Philosophi incert i . 〉 Τί πότ’ ἐστὶ θεός; νοῦς. τί δὲ νοῦς ἐστι; φρόνησις. Ζῆνα δὲ σὺ νόμιζε τοῦτον, ὅθεν ἔχομεν ἀεὶ 〈τὸ〉 ζῆν. Πορφυρίου ἐκ τοῦ Περὶ ἀγαλμάτω ν . Ζεὺς οὖν ὁ πᾶς κόσμος, ζῷον ἐκ ζῴων καὶ θεὸς ἐκ θεῶν. Ζεὺς δὲ καὶ 〈ὁ θεός〉, καθὸ νοῦς ἀφ’ οὗ προφέρεται πάντα, ὅτι δημιουργεῖ τοῖς νοήμασιν. Χρυσίππο υ . Ζεὺς μὲν οὖν φαίνεται ὠνομάσθαι ἀπὸ τοῦ πᾶσι δεδωκέναι τὸ ζῆν. Δία δὲ αὐτὸν λέγουσιν, ὅτι πάντων ἐστὶν αἴτιος καὶ δι’ αὐτὸν πάντα. Πλάτωνος ἐκ τοῦ Κρατύλου (p. 396 A). Οἱ μὲν γὰρ Ζῆνα, οἱ δὲ Δία καλοῦσι· συντιθέμενα δὲ εἰς ἓν δηλοῖ τὴν φύσιν τοῦ θεοῦ, ὃ δὴ προσήκειν φαμὲν ὀνόματι οἵῳ τε εἶναι ἀπεργάζεσθαι. οὐ γὰρ ἔστιν ἡμῖν καὶ τοῖς ἄλλοις πᾶσιν, ὅστις ἐστὶν αἴτιος μᾶλλον τοῦ 〈 Platonici incert i . 〉 Φημὶ κατ’ ἀμφοτέρων λέγεσθαι τοῦ θεοῦ τὸ ὄνομα τοῦ τε δημιουργοῦ καὶ τοῦ κόσμου. Καί μοι δοκῶ

πρῶτα κατὰ νόμους τοὺς ἐμαυτοῦ Πλάτωνι χρήσεσθαι μάρτυρι τῆς τοιαύτης δόξης. Πλάτων γάρ τοι καὶ αὐτὸς Δία μὲν καλεῖ τὸν δημιουργὸν τῶν ἁπάντων, θεὸν δὲ καὶ τόνδε τὸν κόσμον. Τὸν μὲν δημιουργὸν τρόπῳ τοιῷδε· ἐπειδὰν ἐν Φαίδρῳ (c. 26 p. 246 E) περὶ τῆς τοῦ παντὸς φορᾶς διαλέγηται, τάδε φησὶ περὶ τοῦ μεγάλου Διός· „Ὁ δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς, ἐλαύνων πτηνὸν ἅρμα, πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ ἐπιμελούμενος· 〈τῷ δ' ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμόνων〉 .“ Οἶμαι σαφὴς ἐν τούτοις ὑπάρχει μνημονεύσας τοῦ ποιητοῦ τῶν ἁπάντων· καὶ γὰρ ἀνέθηκεν αὐτῷ τὴν ἀκολουθίαν τῶν περὶ τὸν κόσμον θεῶν· ἔφη γοῦν ἕπεσθαι τῇ ἐκείνου προνοίᾳ τοὺς στρατιώτας θεούς· στρατιώτας δὲ ἐκάλεσε τοὺς τῇδε θεούς, οἳ τοῦδε τοῦ πολέμου τῆς γενέσεως στρατηγοῦσιν. Ὁμοίως Ὀνάτας ὁ Πυθαγόρειος ἐπεμνήσθη τοῦ τε δημιουργοῦ καὶ τῶν ἑπομένων τούτῳ θεῶν, λέγων οὕτως· „τοὶ δ' ἄλλοι θεοὶ ποτὶ τὸν πρᾶτον θεὸν καὶ νοατὸν οὕτως ἔχοντι, ὥσπερ χορευταὶ ποτὶ κορυφαῖον καὶ στρατιῶται ποτὶ στραταγόν.“ Κατὰ ταὐτὰ δὲ Πλάτων ἀμφοτέρων ἐπεμνήσθη ἐν τῇ πρὸς καὶ τῶν μελλόντων. Μέλλοντας δὲ ἴσμεν θεοὺς τοὺς ἀεὶ γενητούς, τουτέστι συναπτομένους ποτὲ σώμασι. Ἐν δὲ τῷ Τιμαίῳ (c. 8 p. 34 A) χωρίσας τοῦ πλήθους τοὺς θεοὺς ἑνικῶς διὰ τοῦ οἰκητηρίου τοῦ κόσμου τοὺς πάντας ὠνόμασεν· „οὗτος“ γὰρ ἔφη, „ὄντος ἀεὶ λογισμὸς θεοῦ περὶ τὸν ποτὲ ἐσόμενον θεόν“· δῆλος γὰρ ὁ μὲν λογιζόμενος θεὸς ὁ δημιουργὸς ὤν, ὁ δὲ ἐσόμενος καὶ γιγνόμενος αἰεὶ ὁ κόσμος λεγόμενος. Ὡσαύτως δὲ καὶ Ὅμηρος (A 423 sqq.)· Ζεὺς γὰρ ἐπ' ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο. δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται οὐλυμπόνδε. Περὶ τοῦ κατὰ τὸν κόσμον Διὸς ταυτὶ λέλεκται· οἵ τε γὰρ θεοὶ ἅμα πάντες εἵποντο, τὸ δὲ πλῆθος τῶν θεῶν ἔργον ἐστὶ τοῦ δημιουργοῦ ἅμα τῷ κόσμῳ γενόμενον. Ὁπόταν δὲ εἰς τὸν Ὄλυμπον ἀφίκωνται, δηλοῦσι καὶ τὴν διαφοράν, ἑτέρου λεγομένου Διὸς τοῦ κεχωρισμένου τῶν θεῶν. Ἡ γοῦν Θέτις εἰς μὲν τὸν Ὄλυμπον ἦκε (χρῆν γὰρ τὴν ποίησιν ἐκτελεῖν τὸ μύθευμα)· εὗρε δὲ εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο (A 498 sq.). Τὴν μέντοι δωδεκάτην ἀκουστέον τῆς ἐπανόδου τῶν θεῶν, ὁπόταν ὑπερβάντες τὰ δώδεκα ζῴδια ἐπὶ τῷ νώτῳ γένωνται τοῦ οὐρανοῦ, στάντας δὲ αὐτοὺς ἐκεῖσε περιάγῃ ἡ Θαλῆς ἐρωτηθείς. Τί πρεσβυτάτων τῶν ὄντων; ἀπεκρίνατο· Θεός, ἀγέννητον γάρ. Σωκράτης ἐρωτηθείς, Τί θεός; εἶπε· Τὸ ἀθάνατον καὶ ἀίδιον. Ἑρμῆς ἐρωτηθείς, Τί θεός; εἶπεν· Ὁ τῶν ὅλων δημιουργός, σοφώτατος νοῦς καὶ ἀίδιος. 〈 Aetii plac. (I 7, 11—34 p. 301 sq. Diels.).〉 Θαλῆς νοῦν τοῦ κόσμου τὸν θεόν, τὸ δὲ πᾶν ἔμψυχον ἅμα καὶ δαιμόνων πλῆρες· διήκειν δὲ καὶ διὰ τοῦ στοιχειώδους ὑγροῦ δύναμιν θείαν κινητικὴν αὐτοῦ. Ἀναξίμανδρος ἀπεφήνατο τοὺς ἀπείρους οὐρανοὺς θεούς. Ἀναξιμένης τὸν ἀέρα. δεῖ δ' ὑπακούειν ἐπὶ τῶν οὕτως λεγομένων τὰς ἐνδιηκούσας τοῖς στοιχείοις ἢ τοῖς σώμασι δυνάμεις. Ἀρχέλαος ἀέρα καὶ νοῦν τὸν θεόν, οὐ μέντοι κοσμοποιὸν τὸν νοῦν. Ἀναξαγόρας νοῦν κοσμοποιὸν τὸν θεόν. Δημόκριτος νοῦν τὸν θεὸν ἐν πυρὶ σφαιροειδεῖ. Διογένης καὶ Κλεάνθης καὶ Οἰνοπίδης τὴν τοῦ κόσμου ψυχήν. Πυθαγόρας τῶν ἀρχῶν τὴν μὲν μονάδα θεὸν καὶ τἀγαθόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις καὶ αὐτὸς ὁ νοῦς, τὴν 〈δ'〉 ἀόριστον δυάδα 〈δαίμονα〉 καὶ τὸ κακόν, περὶ ἣν ἐστι τὸ ὑλικὸν πλῆθος. Ποσειδώνιος πνεῦμα νοερὸν καὶ πυρῶδες, οὐκ ἔχον μὲν μορφήν, μεταβάλλον δὲ εἰς ὃ βούλεται καὶ συνεξομοιούμενον πᾶσιν. Σπεύσιππος τὸν νοῦν οὔτε τῷ ἑνὶ οὔτε τῷ ἀγαθῷ τὸν αὐτόν, ἰδιοφυῆ δέ. Κριτόλαος καὶ Διόδωρος ὁ Τύριος νοῦν ἀπ' αἰθέρος ἀπαθοῦς. Ἡράκλειτος τὸ περιοδικὸν πῦρ ἀίδιον, εἱμαρμένην δὲ λόγον ἐκ τῆς ἐναντιοδρομίας δημιουργὸν τῶν ὄντων. Ζήνων ὁ Στωικὸς νοῦν κόσμου πύρινον. Μνήσαρχος τὸν κόσμον, τὴν πρώτην οὐσίαν ἔχοντα ἀπὸ πνεύματος. Βόηθος τὸν αἰθέρα θεὸν ἀπεφήνατο. Παρμενίδης τὸ ἀκίνητον καὶ πεπερασμένον σφαιροειδές. Μέλισσος καὶ Ζήνων τὸ ἓν καὶ πᾶν καὶ μόνον ἀίδιον καὶ ἄπειρον. 〈 Ἐμπεδοκλῆς τὸν σφαῖρον καὶ〉 τὸ ἕν, καὶ τὸ μὲν θεοὺς καὶ τὸ μῖγμα τούτων τὸν κόσμον καὶ προσταναλυθήσεται τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μονοειδές· καὶ θείας μὲν οἴεται τὰς ψυχάς, θείους δὲ καὶ τοὺς μετέχοντας αὐτῶν καθαροὺς καθαρῶς. Πολέμων τὸν κόσμον θεὸν ἀπεφήνατο. Ξενοκράτης Ἀγαθήνορος Καλχηδόνιος τὴν μονάδα καὶ τὴν δυάδα θεούς, τὴν μὲν ὡς ἄρρενα πατρὸς ἔχουσαν τάξιν, ἐν οὐρανῷ βασιλεύουσαν, ἥντινα προσαγορεύει καὶ Ζῆνα καὶ περιττὸν καὶ νοῦν, ὅστις ἐστὶν αὐτῷ πρῶτος θεός· τὴν δὲ ὡς θήλειαν μητρὸς θεῶν δίκην, τῆς ὑπὸ τὸν οὐρανὸν λήξεως ἡγουμένην, ἥτις ἐστὶν αὐτῷ ψυχὴ τοῦ παντός. Θεὸν δ' εἶναι καὶ τὸν οὐρανὸν καὶ τοὺς ἀστέρας πυρώδεις Ὀλυμπίους θεούς, καὶ ἑτέρους ὑποσελήνους δαίμονας ἀοράτους. Ἀρέσκει δὲ καὶ αὐτῷ ... καὶ ἐνδιήκειν τοῖς ὑλικοῖς στοιχείοις. Τούτων δὲ τὴν μὲν 〈διὰ τοῦ ἀέρος Ποσειδῶνα, τὴν δὲ διὰ τῆς γῆς φυτοσπόρον Δήμητραν. Ταῦτα δὲ χορηγήσας τοῖς Στωικοῖς τὰ πρότερα παρὰ τοῦ Πλάτωνος μεταπέφρακεν. Πλάτων δὲ τὸ ἕν, τὸ μονοφυές, τὸ μοναδικόν, τὸ ὄντως ὄν, τἀγαθόν. Πάντα δὲ τὰ τοιαῦτα τῶν ὀνομάτων εἰς τὸν νοῦν σπεύδει. Νοῦς οὖν ὁ θεός, χωριστὸν εἶδος, τὸ δὲ χωριστὸν ἀκουέσθω τὸ ἀμιγὲς πάσης ὕλης καὶ μηδενὶ τῶν σωματικῶν συμπεπλεγμένον, μηδὲ τῷ παθητῷ τῆς φύσεως συμπαθές. Τούτου δὲ πατρὸς καὶ ποιητοῦ τὰ ἄλλα θεῖα ἔκγονα νοητὰ μέν, ὅ τε νοητὸς λεγόμενος κόσμος 〈καὶ αἱ ἰδέαι〉, παραδείγματα δ' ἐστὶ τοῦ ὁρατοῦ κόσμου, πρὸς δὲ τούτοις ἐναιθέριοί τινες δυνάμεις, (λόγοι δ' εἰσὶν ἀσώματοι,) καὶ 〈ἔμπυροι καὶ〉 ἐναέριοι καὶ ἔνυδροι, αἰσθητὸς δὲ [τοῦ πρώτου θεοῦ ἔκγονα] ἥλιος, σελήνη, ἀστέρες, γῆ καὶ ὁ περιέχων πάντα κόσμος. Ἀριστοτέλης τὸν μὲν ἀνωτάτω θεὸν εἶδος 〈χωριστόν〉, ὁμοίως Πλάτωνι, ἐπιβεβηκότα τῇ σφαίρᾳ τοῦ παντός, ἥτις ἐστὶν αἰθέριον σῶμα, τὸ πέμπτον ὑπ' αὐτοῦ καλούμενον. Οἱ Στωικοὶ νοερὸν θεὸν ἀποφαίνονται, πῦρ τεχνικόν, ὁδῷ βαδίζον ἐπὶ γενέσει κόσμου, ἐμπεριειληφὸς πάντας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἅπαντα καθ' εἱμαρμένην γίνεται. Καὶ πνεῦμα μὲν ἐνδιῆκον δι' ὅλου κόσμον καὶ τοὺς ἀστέρας καὶ τὴν γῆν· ἀνωτάτω δὲ πάντων νοῦν ἐναιθέριον εἶναι θεόν. Ἐπίκουρος ἀνθρωποειδεῖς μὲν τοὺς θεούς, λόγῳ δὲ πάντας θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως. Ὁ δ' αὐτὸς ἄλλας τέσσαρας φύσεις κατὰ γένος ἀφθάρτους τάσδε· τὰ ἄτομα, τὸ κενόν, τὸ ἄπειρον, τὰς ὁμοιότητας· αὗται δὲ λέγονται ὁμοιομέρειαι καὶ στοιχεῖα. 〈 Ἑρμοῦ ἐκ τοῦ Κρατῆρος (p. 26 Patric., p. 34, 7—13 Parthey.).〉 Τοιοῦτο γάρ ἐστι τὸ σῶμα ἐκείνου, οὐχ ἁπτὸν οὐδὲ ὁρατὸν οὐδὲ μετρητὸν οὐδὲ διαστατὸν οὐδ' ἄλλῳ τινὶ σώματι ὅμοιον. Οὔτε γὰρ πῦρ ἐστιν οὔτε ὕδωρ οὔτε ἀὴρ οὔτε πνεῦμα, ἀλλὰ πάντα ἀπ' αὐτοῦ. Ἀγαθὸς γὰρ ὤν, μόνῳ ἑαυτῷ τοῦτο ἀναθεῖναι ἠθέλησε, καὶ τὴν γῆν κοσμῆσαι. 〈 Poetae ignot i . 〉 Ἡρακλέους κρατεροῦ ὃς γᾶν ἐκάθαρεν ἅπασαν, πετροβάτα τε θεοῦ, Πανὸς νομίοιο βρυάκτα, πρεσβίστας τε θεᾶς Ὑγιείας μειλιχοδώρου, ναυσί τ' ἐπ' ὠκυπόροισι Διοσκούρων ἐπιφαντᾶν, Κουρήτων θ', οἳ ματρὶ Διὸς Ῥέᾳ ἐντὶ πάρεδροι, καὶ Χαρίτων μεμνᾶσθαι ἐν ἔργῳ παντὶ μέγιστον, ἠδὲ Χρόνου παίδων Ὡρᾶν, αἳ πάντα φύοντι, Νυμφᾶν τ' οὐρειᾶν, αἳ νάματα κάλ' ἐφέποντι. 〈 Poetae lyrici incert i . 〉 Ὑμνέωμες μάκαρας, Μοῦσαι Διὸς ἔκγονοι ἀφθίτοις ἀοιδαῖς. 〈 Φιλήμονος (Com. IV p. 31, fr. inc. 2 M.).〉 Ὃν οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν, οὐδ' αὖ ποιήσων οὐδὲ πεφοιηκὼς πάλαι, οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὗτός εἰμ' ἐγὼ Ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία. ἐγὼ δ' ὃ 〈θεοῦ 'στιν〉 ἔργον, εἰμὶ πανταχοῦ, 〈ἐνταῦθ' ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ,〉 ἐν ταῖς πόλεσι πάσαισιν, ἐν ταῖς οἰκίαις πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστιν τόπος οὗ μή 'στιν ἀήρ· ὁ δὲ παρὼν ἁπανταχοῦ 〈 Ἀρριανοῦ Ἐπικτητείου ἐκ τῶν περὶ προνοίας (I 6, 1—11).〉 Ἀφ' ἑκάστου τῶν ἐν τῷ κόσμῳ γιγνομένων ῥᾴδιόν ἐστιν ἐγκωμιάσαι τὴν πρόνοιαν, ἐὰν δύο ἔχῃ τις ταῦτα ἐν ἑαυτῷ, δύναμίν τε συνορατικὴν τῶν γεγονότων ἑκάστῳ καὶ τὸ εὐχάριστον. Εἰ δὲ μή, ὃ μὲν οὐκ ὄψεται τὴν εὐχρηστίαν τῶν γεγονότων, ὃ δ' οὐκ εὐχαριστήσει ἐπ' αὐτοῖς, οὐδ' ἂν ἴδῃ. Χρώματα ὁ θεὸς εἰ πεποιήκει καὶ καθόλου πάντα 〈τὰ〉 ὁρατά, δύναμιν δὲ θεατικὴν αὐτῶν μὴ πεποιήκει, τί ἂν ἦν ὄφελος; — Οὐδ' ὁτιοῦν. — Ἀλλ' ἀνάπαλιν, εἰ τὴν μὲν δύναμιν πεποιήκει, τὰ ὄντα δὲ μὴ τοιαῦτα, οἷα ὑποπίπτειν τῇ δυνάμει τῇ ὁρατικῇ, καὶ οὕτως τί ὄφελος; — Οὐδέν. — Τί δ', εἰ καὶ

ἀμφότερα ταῦτα πεποιήκει, 〈φῶς δὲ μὴ πεποιήκει〉; — Οὐδ' οὕτως τι ὄφελος. — Τίς οὖν ὁ ἁρμόσας τοῦτο πρὸς ἐκεῖνο κἀκεῖνο πρὸς τοῦτο; τίς δ' ὁ ἁρμόσας τὴν μάχαιραν πρὸς τὸν κολεὸν καὶ τὸν κολεὸν πρὸς τὴν μάχαιραν; Οὐδείς; Καὶ μὴν ἐξ αὐτῆς τῆς κατασκευῆς τῶν ἐπιτετελεσμένων ἀποφαίνεσθαι εἰώθαμεν, ὅτι τεχνίτου τινὸς πάντως τὸ ἔργον, οὐχὶ δὲ εἰκῇ κατεσκευασμένον. Ἆρ' οὖν τούτων μὲν ἕκαστον ἐμφαίνει τὸν τεχνίτην, τὰ δὲ ὁρατὰ καὶ ὅρασις καὶ φῶς οὐκ ἐμφαίνει; Τὸ δ' ἄρρεν καὶ τὸ θῆλυ καὶ ἡ προθυμία ἡ πρὸς τὴν συνουσίαν ἑκατέρου καὶ 〈ἡ〉 δύναμις ἡ χρηστικὴ τοῖς μορίοις τοῖς ταῦτα μὲν οὔπω· ἡ δὲ τοιαύτη τῆς διανοίας κατασκευή, καθ' ἣν οὐχ ἁπλῶς ὑποπίπτοντες τοῖς αἰσθητοῖς τυποῦμεθα ὑπ' αὐτῶν, ἀλλὰ καὶ ἐκλαμβάνομέν τι καὶ ἀφαιροῦμεν καὶ προστίθεμεν 〈καὶ συντίθεμεν〉 τάδε τινὰ δι' αὐτῶν καὶ νὴ Δία μεταβαίνομεν ἀπ' ἄλλων ἐπ' ἄλλα τούτοις πως παρακείμενα, οὐδὲ ταῦτα ἱκανὰ κινῆσαί τινας καὶ διατρέψαι πρὸς τὸ μὴ ἀπολιπεῖν τὸν τεχνίτην; ἢ ἐξηγησάσθωσαν ἡμῖν, τί τὸ ποιοῦν ἐστι τούτων ἕκαστον, ἢ πῶς οἷόν τε τὰ οὕτως θαυμαστὰ καὶ τεχνικὰ εἰκῇ καὶ ἀπὸ ταὐτομάτου γίγνεσθαι. 〈 Τοῦ αὐτοῦ 〉 , Ὅτι πάντα ἐφορᾷ τὸ θεῖο ν . (Epict. Arrh. I, 14, 1—10.) Πυθομένου δέ τινος, πῶς ἄν τις πεισθείη, ὅτι ἕκαστον τῶν ὑπ' αὐτοῦ πραττομένων ἐφορᾶται ὑπὸ τοῦ θεοῦ; Οὐ δοκεῖ σοι, ἔφη, ἡνῶσθαι τὰ πάντα; — Δοκεῖ, ἔφη. — Τί δέ; συμπαθεῖν τὰ ἐπίγεια τοῖς οὐρανίοις οὐ δοκεῖ σοι; — Δοκεῖ μοι, ἔφη. — Πόθεν γὰρ οὕτως τεταγμένως, καθάπερ ἐκ προστάγματος τοῦ θεοῦ, ὅταν ἐκεῖνος εἴπῃ τοῖς φυτοῖς ἀνθεῖν, ἀνθεῖ, ὅταν εἴπῃ βλαστάνειν, βλαστάνει, ὅταν ἐκφέρειν τὸν καρπόν, ἐκφέρει, ὅταν πεπαίνειν, πεπαίνει, ὅταν ἀποβάλλειν, 〈ἀποβάλλει〉, καὶ φυλλορροεῖν, 〈φυλορροεῖ〉, οδον καὶ ἄφοδον τοσαύτη παραλλαγὴ καὶ ἐπὶ τὰ ἐναντία μεταβολὴ τῶν ἐπιγείων θεωρεῖται; Ἀλλὰ τὰ φυτὰ μὲν καὶ τὰ ἡμέτερα σώματα οὕτως ἐνδέδεται τοῖς ὅλοις καὶ συμπέπονθεν, αἱ ψυχαὶ δὲ αἱ ἡμετέραι οὐ πολὺ πλέον; Ἀλλ' αἱ ψυχαὶ μὲν οὕτως εἰσὶν ἐνδεδεμέναι καὶ συναφεῖς τῷ θεῷ, ἅτε αὐτοῦ μόρια οὖσαι καὶ ἀποσπάσματα, οὐ παντὸς δὲ αὐτῶν κινήματος, ἅτε οἰκείου καὶ συμφυοῦς, ὁ θεὸς αἰσθάνεται; Ἀλλὰ σὺ μὲν περὶ τῆς θείας διοικήσεως καὶ περὶ ἑκάστου τῶν θείων, ὁμοῦ καὶ περὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐνθυμεῖσθαι δύνασαι καὶ ἅμα μὲν αἰσθητικῶς ἀπὸ μυρίων πραγμάτων κινεῖσθαι, ἅμα δὲ διανοητικῶς, ἅμα δὲ τοῖς μὲν συγκαταθετικῶς, τοῖς δὲ ἀνανευστικῶς ἢ ἐφεκτικῶς· τύπους τε τοσούτους ἀφ' οὗτω πολλῶν καὶ ποικίλων πραγμάτων ἐν τῇ σαυτοῦ ψυχῇ φυλάττεις καὶ ἀπ' αὐτῶν κινούμενος εἰς ἐπινοίας ὁμοειδεῖς ἐμπίπτεις τοῖς πρώτως τετυπωκόσι, τέχνας τε ἄλλας ἐπ' ἄλλαις καὶ μνήμας ἀπὸ μυρίων πραγμάτων διασῴζεις· ὁ δὲ θεὸς οὐχ οἷός τέ ἐστι πάντα ἐφορᾶν καὶ πᾶσι συμπαρεῖναι καὶ ἀπὸ πάντων τινὰ ἴσχειν διάδοσιν; Ἀλλὰ φωτίζειν μὲν οἷός τέ ἐστιν ὁ ἥλιος τηλικοῦτον μέρος τοῦ παντός, ὀλίγον δὲ τὸ ἀφώτιστον ἀπολείπειν, ὅσον οἷόν τε ἐπέχεσθαι ὑπὸ τῆς σκιᾶς, ἣν ἡ γῆ ποιεῖ· ὁ δὲ καὶ τὸν ἥλιον αὐτὸν πεποιηκὼς καὶ περιάγων, μέρος ὄντ' αὐτοῦ μικρὸν ὡς πρὸς τὸ ὅλον, οὗτος δὲ οὐ δύναται πάντων Ἰαμβλίχου ἐκ τῆς πρὸς Ποιμένιον ἐπιστολῆ ς . Οἱ θεοὶ τὴν εἱμαρμένην συνέχοντες διὰ παντὸς ἐπανορθοῦνται· ἡ δ' ἐπανόρθωσις αὐτῶν ποτὲ μὲν ἐλάττωσιν κακῶν, ποτὲ δὲ παραμυθίαν, ἐνίοτε δὲ καὶ ἀναίρεσιν ἀπεργάζεται· ἀφ' οὗ δὴ διακοσμεῖται ἡ εἱμαρμένη τοῖς ἀγαθοῖς, διακοσμουμένη δὲ οὐχ ὑποφαίνεται πᾶσα πρὸς τὴν ἄτακτον φύσιν τῆς γενέσεως. Οὐκοῦν ἔτι μᾶλλον σῴζεται ἡ πεπρωμένη διὰ τῆς τοιαύτης ἐπανορθώσεως καὶ τὸ παρατρέπον αὐτῆς μένει κατὰ τὴν ἄτρεπτον τῶν θεῶν ἀγαθότητα συνεχόμενον, διότι οὐκ ἐᾶται ὑπορρεῖν εἰς τὴν ἄτακτον πλημμέλειαν. Τούτων δὴ οὕτως ἐχόντων τό τε ἀγαθοειδὲς τῆς προνοίας τό τε αὐτεξούσιον τῆς ψυχῆς καὶ πάντα τὰ κάλλιστα διασῴζεται, τῇ βουλήσει τῶν θεῶν συνυπάρχοντα. Ἀριστοτέλους ἐκ τῆς πρὸς Ἀλέξανδρον ἐπιστολῆς (de mundo c. 6 p. 400 b 5). Καθόλου δὲ ὅπερ ἐν νηΐ μὲν κυβερνήτης, ἐν ἅρματι δὲ ἡνίοχος, ἐν χορῷ δὲ κορυφαῖος, [ἐν πόλει δὲ νόμος,] ἐν στρατοπέδῳ δὲ ἡγεμών, τοῦτο θεὸς ἐν κόσμῳ, πλὴν καθόσον τοῖς μὲν καματηρὸν τὸ ἄρχειν πολυκίνητόν τε καὶ πολυμέριμνον, τῷ δὲ ἄλυπον ἄπονόν τε πάσης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεχωρισμένῳ σωματικῆς ἀσθενείας· ἐν ἀκινήτῳ 〈γὰρ〉 ἱδρυμένος δυνάμει πάντα κινεῖ καὶ περιάγει, ὅπου βούλεται καὶ ὅπως, ἐν διαφόροις ἰδέαις καὶ φύσεσιν· ὥσπερ ἀμέλει καὶ ὁ τῆς πόλεως νόμος ἀκίνητος ὢν ἐν ταῖς τῶν χρωμένων ψυχαῖς πάντα οἰκονομεῖ τὰ κατὰ τὴν πολιτείαν. Ἐφεπόμενοι γὰρ κλησιασταὶ εἰς συνέδρια τὰ προσήκοντα· καὶ ὃ μὲν εἰς τὸ πρυτανεῖον βαδίζει διαιτησόμενος, 〈ὃ δὲ πρὸς τοὺς δικαστὰς ἀπολογησόμενος, ὃ δὲ εἰς τὸ δεσμωτήριον ἀποθανούμενοσ〉 . Γίνονται δὲ καὶ δημοθοινίαι νόμιμοι καὶ πανηγύρεις ἐνιαύσιαι, θεῶν τε θυσίαι καὶ ἡρώων θεραπεῖαι καὶ χοαὶ κεκμηκότων. Ἄλλα δ’ ἄλλως ἐνεργούμενα κατὰ μίαν πρόσταξιν ἢ νόμιμον ἐξουσίαν σῴζει τὸ τοῦ ποιήσαντος (Soph. Oed. Tyr. 4. 5), ὅτι πόλις 〈δ’〉 ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. Οὕτως ὑποληπτέον καὶ ἐπὶ τῆς μείζονος πόλεως, λέγω δὲ τοῦ κόσμου. Νόμος μὲν γὰρ ἡμῖν ἰσοκλινὴς ὁ θεός, οὐδεμίαν ἐπιδεχόμενος διόρθωσιν ἢ μετάθεσιν, κρειττων δ’, οἶμαι, καὶ βεβαιότερος τῶν ἐν ταῖς κύρβεσιν ἀναγεγραμμένων. Ἡγουμένου δὲ ἀκινήτως αὐτοῦ καὶ ἐμμελῶς ὁ σύμπας οἰκονομεῖται δι’ αὐτοῦ διάκοσμος οὐρανοῦ τε καὶ γῆς, μεμερισμένος κατὰ τὰς φύσεις πάσας ὁμοίως διὰ τῶν οἰκείων σπερμάτων εἰς τὰ φυτὰ καὶ ζῷα κατὰ γένη τε καὶ εἴδη. Καὶ γὰρ ἄμπελοι καὶ φοίνικες καὶ περσέαι συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι (Hom. η 116), ὥς φησιν ὁ ποιητής, τά τε ἄκαρπα μέν, ἄλλας δὲ παρεχόμενα χρείας, πλάτανοι καὶ πεῦκαι καὶ πύξοι, [κλῶνές τε] ὄχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι (Hom. η 115), τῶν τε ζῴων τά τε ἄγρια καὶ ἥμερα, τά τ’ ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ 〈ἐν〉 ὕδατι βοσκόμενα γίνεταί τε καὶ ἀκμάζει καὶ φθείρεται τῷ τοῦ θεοῦ πειθόμενα θεσμῷ. Πᾶν γὰρ ἑρπετὸν πληγῇ νέμεται, ὥς φησιν Ἡράκλειτος (fr. 37 Schleierm., 55 Bywat.) Εἷς δὲ ὢν πολυώνυμός ἐστι, κατονομαζόμενος τοῖς πάθεσι πᾶσιν, ἅπερ αὐτὸς νεοχμοῖ. Καλοῦμεν γὰρ αὐτὸν καὶ Ζῆνα καὶ Δία, παραλλήλως χρώμενοι τοῖς ὀνόμασιν. ὡς ἂν εἰ λέγοιμεν, δι’ ὃν ζῶμεν. Κρόνου δὲ παῖς καὶ Χρόνου λέγεται, διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα, ἀστραπαῖός τε καὶ βρονταῖος 〈καὶ αἴθριοσ〉 καὶ αἰθέριος, κεραύνιός τε καὶ ὑέτιος ἀπὸ τῶν ὑετῶν τε καὶ κεραυνῶν καὶ τῶν ἄλλων καλεῖται. Καὶ μὴν ἐπικάρπιος μὲν ἀπὸ τῶν καρπῶν, πολιεὺς δὲ ἀπὸ τῆς πόλεως ὀνομάζεται, γενέθλιός τε καὶ ὁμόγνιος καὶ ἕρκειός τε καὶ πατρῷος ἀπὸ τῆς πρὸς ταῦτα κοινωνίας, ἑταιρεῖός τε καὶ φίλιος καὶ ξένιος, ἔτι δὲ στράτιός τε καὶ τροπαιοῦχος, καθάρσιός τε καὶ παλαμναῖος καὶ ἱκέσιος καὶ μειλίχιος, ὥσπερ οἱ ποιηταὶ λέγουσι· σωτήρ τε καὶ ἐλευθέριος ἐτύμως [οὕτως εἰπεῖν]· ὡς δὲ τὸ πᾶν εἰπεῖν, οὐράνιός τε καὶ χθόνιος, πάσης ἐπώνυμος φύσεως ὢν καὶ τύχης, ἅτε πάντων αὐτὸς αἴτιος ὤν. Ξενοφῶντος ἐκ τοῦ δ ’ Ἀπομνημονευμάτων (c. 3, 3—6). Εἶπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοί, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; — Καὶ ὅς· Μὰ τὸν Δί’, ἔφη, οὐκ ἔμοιγε. — Ἀλλ’ οἶσθά γ’, ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; — Νὴ Δί’, ἔφη, ὅ γ’ εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. — Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι, κάλλιστον ἀναπαυτήριον. — Πάνυ γε, ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. — Οὐκοῦν καὶ ἐπειδὴ ὁ μὲν ἥλιος, φωτεινὸς ὤν, τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν καὶ τἆλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ διὰ τὸ σκοτεινὴ εἶναι ἀσαφεστέρα ἐστίν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τῆς νυκτὸς τὰς ὥρας ἐμφανίζει καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν; — Ἔστι ταῦτα, ἔφη. — Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς νυκτός, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. — Πάνυ μὲν οὖν, ἔφη. — Τὸ δ’ ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, 〈αἳ〉 ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; — Πάνυ, ἔφη, καὶ ταῦτα φιλάνθρωπα. — Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε συμφύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς καὶ μιγνύμενον τοῖς τρέφουσιν ἡμᾶς εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐπειδὴ πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρ- Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 265 B—E). Ποιητικῆς δὴ πρῶτον ἔστω δύο μέρη. — Ποίω; — Τὸ μὲν θεῖον, τὸ δ’ ἀνθρώπινον. — Οὔπω μεμάθηκα. — Ποιητικήν, εἴπερ μεμνήμεθα τὰ κατ’ ἀρχὰς λεχθέντα, πᾶσαν ἔφαμεν εἶναι δύναμιν, ἥτις ἂν αἰτία γίγνηται τοῖς μὴ πρότερον οὖσιν ὕστερον γίγνεσθαι. — Μεμάθηκα. — Ζῷα δὴ πάντα θνητὰ καὶ δὴ καὶ φυτά, ὅσα τ’ ἐπὶ γῆς ἐκ σπερμάτων καὶ ῥιζῶν φύεται καὶ ὅσα ἄψυχα ἐκ γῆς ἐν γῇ ξυνίσταται σώματα τηκτὰ καὶ ἄτηκτα, μῶν ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν ὕστερον γίγνεσθαι πρότερον οὐκ ὄντα; ἢ 〈τῷ〉 τῶν πολλῶν δόγματι χρώμενοι. — Ποίῳ τῳ; — Τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος αἰτίας αὐτομάτης καὶ ἄνευ διανοίας φυούσης, ἢ μετὰ λόγου τε καὶ ἐπιστήμης θείας ἀπὸ θεοῦ γιγνομένης; — 〈Ἐγὼ μὲν ἴσως〉 διὰ τὴν ἡλικίαν πολλάκις ἀμφότερα μεταδοξάζω· νῦν μὲν βλέπων εἰς σὲ καὶ ὑπολαμβάνων 〈οἴεσθαί σε〉 κατὰ θεὸν αὐτὰ γίγνεσθαι, ταύτῃ καὶ αὐτὸς νενόμικα. — Καλῶς γε, ὦ Θεαίτητε, καὶ εἰ μέν σε ἡγούμεθα τῶν εἰς τὸν ἔπειτα χρόνον ἄλλως πως δοξαζόντων εἶναι, νῦν ἂν τῷ λόγῳ μετὰ πειθοῦς ἀναγκαίας ἐπεχειροῦμεν ποιεῖν ὁμολογεῖν· ἐπειδὴ δέ σου καταμανθάνω τὴν φύσιν, ὅτι καὶ ἄνευ τῶν παρ’ ἡμῶν λόγων αὐτῇ πρόσεισιν ἐφ’ ἃ νῦν ἔλκεσθαι φῄς, ἐάσω· χρόνος γὰρ ἐκ περιττοῦ γίγνοιτ’ ἄν· τὰ δ’ ἐκ τούτων ὑπ’ ἀνθρώπων ξυνιστάμενα ἀνθρωπίνη. καὶ κατὰ τοῦτον δὴ τὸν λόγον δύο ποιητικῆς γένη, τὸ μὲν ἀνθρώπινον εἶναι, τὸ δὲ θεῖον. — Ὀρθῶς. Ὀνάτου ἐκ τοῦ περὶ θεοῦ καὶ θείο υ . Ὁ μὲν θεὸς τὰ τῶν ἄλλων ζῴων ἐπαΐει, οὔτε νοητῶς οὔτε ἐπαϊστῶς, εἰ μή τισι πάγχυ ὀλίγοις τῶν ἀνθρώπων. καὶ δυνάμιες δ’ αὐτῶ ἀλήθεια· ὧν οἶμαι νομεὺς εἰ ἐναργέα τε καὶ ἐπαϊστά. αὐτὸς μὲν γὰρ ὁ θεός ἐστιν νόος καὶ ψυχὰ καὶ τὸ ἀγεμονικὸν τῶ σύμπαντος κόσμω· τᾶ δὲ δυνάμιες αὐτῶ τἀλήθεια, ὧν οἶμαι νομεῖς, τά τ’ ἔργα καὶ τᾶ πράξεες καὶ τᾶ κατὰ τὸν σύμπαντα κόσμον ἐπιστρωφώσιες. Ὁ μὲν ὢν θεὸς αὐτὸς οὔτε ὁρατὸς οὔτε αἰσθητός, ἀλλὰ λόγῳ μόνον καὶ νόῳ θεωρατός· τὰ δ’ ἔργα αὐτῶ καὶ τᾶ πράξιες ἐναργέες τε καὶ αἰσθητὰ ἔντι πάντεσσιν ἀνθρώποις. Δοκίει δέ μοι καὶ μὴ εἷς εἶμεν ὁ θεός, ἀλλ’ εἷς μὲν ὁ μέγιστος καὶ καθυπέρτερος καὶ ὁ κατὰ δύναμιν· βασιλεύεν δὲ πάντων αὐτῶν ὁ καὶ κράτει καὶ μεγέθει καὶ ἀρετᾷ μέζων. Οὗτος δέ κ’ εἴη θεὸς ὁ περιέχων τὸν σύμπαντα κόσμον, τοὶ δ’ ἄλλοι θεοὶ οἱ θέοντές ἐντι κατ’ οὐρανὸν σὺν τᾷ τῶ παντὸς περιαγήσι, κατὰ λόγον ὀπαδέοντες τῷ πράτῳ καὶ νοατῷ. Τοὶ δὲ λέγοντες ἕνα θεὸν εἶμεν, ἀλλὰ μὴ πολλὼς ἁμαρτάνοντι· τὸ γὰρ μέγιστον ἀξίωμα τᾶς θείας ὑπεροχᾶς οὐ συνθεωρεῦντι. Λέγω δὴ τὸ ἄρχεν καὶ καθαγέεσθαι τῶν ὁμοίων καὶ κράτιστον καὶ καθυπέρτερον εἶμεν τῶν ἄλλων. Τοὶ δ’ ἄλλοι θεοὶ ποτὶ τὸν πρᾶτον θεὸν καὶ νοατὸν οὕτως ἔχοντι, ὥσπερ χορευταὶ ποτὶ κορυφαῖον καὶ στρατιῶται ποτὶ στραταγὸν καὶ λοχῖται καὶ ἐντεταγμένοι ποτὶ ταξιάρχαν καὶ λοχαγέταν, ἔχοντες φύσιν ἔπεσθαι καὶ ἐπακολουθὲν τῷ καλῶς καθαγεομένῳ. ξυνὸν μὲν ὧν αὐτῶν τὸ ἔργον ἐστὶ καὶ τῶ ἄρχοντος καὶ τῶν ἀρχομένων, ἀλλ’ οὔ κ’ ἔτι δύναιντο συντετάχθαι τοὶ ἀρχόμενοι ποτὶ τὸ ἔργον ἀπολειφθέντες ἀγεμόνος, ὥσπερ οὔτε χορευταὶ ποτὶ συναοιδίαν, οὔτε στρατιῶται ποτὶ στρατήαν, ἀπολειφθέντες τοὶ μὲν στραταγῶ, τοὶ δὲ κορυφαίω. οὔτε ἔξωθεν· διόπερ οὔτε ἐκ δύο συνάρμοκται, ψυχᾶς καὶ σώματος (καὶ γὰρ διόλω ἐστὶ ψυχά), οὔτε ἐναντίων τινῶν (τὰ γὰρ ἐναντία καὶ κρατὲν καὶ κρατεῖσθαι πέφυκεν) Ἁ δέ γα τῶ σώματος κρᾶσις μιαίνει τὸ καθαρὸν τᾶς ψυχᾶς, ἁ μὲν γὰρ ἀκήρατος καὶ θεῖόν ἐστι, τὸ δὲ θνατὸν καὶ θολομιγές· οὕτω δὲ μιαίνει καὶ μόλιβδος χρυσὸν καὶ πᾶν τὸ τᾷ φύσι γνήσιον τὸ νόθον. Ὅλως δὲ τὸ σῶμα τοῖς θνατοῖς δέδωκεν ὁ θεὸς ζῴοις δι’ ἀιδίαν ἀνάγκαν καὶ ἄφυκτον. Φύσι γὰρ ἄπορον καὶ πτωχὸν πᾶν τὸ γενέσιος κεκοινωνηκός. Θεὸς μὲν ὢν ἔστι, καθάπερ ἐν ἀρχᾷ τῶ λόγω εἶπον, αὐτὸς γὰρ ἀρχὰ καὶ πρᾶτον· θεῖος δὲ ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ δινεύμενα πανταχῶς. ὁμοίως δὲ καὶ δαίμων ἐστὶν ἁ ψυχὰ (αὐτὰ γὰρ ἄρχει καὶ κινεῖ τὸ διόλω ζῷον)· δαιμόνιον δὲ τὸ σῶμα καὶ τὰ τούτω γε πάντα. δεῖ ὧν οὕτω διαιρέν, θεὸν καὶ θεῖον καὶ δαίμονα καὶ δαιμόνιον. Ἀρριανοῦ Ἐπικτητείου ἐκ τοῦ Περὶ εὐαρεστήσεως (I 12, 1—7). Περὶ θεῶν οἳ μέν τινές εἰσιν οἱ λέγοντες, μηδὲ εἶναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προνοεῖν μηδενός· τρίτοι δέ, οἱ καὶ εἶναι καὶ προνοεῖν, ἀλλὰ τῶν μεγάλων καὶ οὐρανίων, τῶν δὲ ἐπὶ γῆς μηδενός· τέταρτοι 〈δὲ〉 οἱ καὶ τῶν ἐπὶ γῆς καὶ τῶν ἀνθρωπίνων, εἰς κοινὸν δὲ μόνον καὶ οὐχὶ καὶ κατ' ἰδίαν ἑκάστου· πέμπτοι δὲ, ὧν ἦν καὶ Ὀδυσσεὺς καὶ Σωκράτης, οἱ λέγοντες ὅτι οὐδέ σε λήθω κινύμενος (Hom. K 279. 280). Εἴπερ οὖν ὑγιῶς λέγεται τέλος εἶναι τὸ ἕπεσθαι θεῷ, ἀναγκαῖον περὶ ἑκάστου τούτων ἐπεσκέφθαι. Εἰ γὰρ μὴ εἰσὶ θεοί, πῶς ἐστι τέλος ἕπεσθαι θεοῖς; Εἰ δὲ εἰσὶ μέν, μηδενὸς δὲ ἐπιμελούμενοι, καὶ οὕτω πῶς ὑγιὲς ἔσται; Ἀλλὰ δὴ καὶ ὄντων καὶ ἐπιμελουμένων, εἰ μηδεμία διάδοσις εἰς ἀνθρώπους ἐστὶν ἐξ αὐτῶν καὶ νὴ Δία γε καὶ εἰς ἐμέ, πῶς ἔτι καὶ οὕτως ὑγιές ἐστιν; Πάντα οὖν ταῦτα ὁ καλὸς κἀγαθὸς ἐπεσκεμμένος τὴν αὐτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι τὰ πάντα, καθάπερ οἱ ἀγαθοὶ πολῖται τῷ νόμῳ τῆς πόλεως.

1.2 Ex poetis hic probabiliter (v. infra) collocavit Stobaeus alterius poetae nomine quod est Μύρων (cf. Elter de Stob. cod. Phot. p. 55). Inter scriptores laudatae fuerunt sententiae philosopho- rum Ἀρχαινέτου, Ἀρκεσιλάου, Εὐσεβίου (cf. Elter p. 12. 41); recteque Dilesius Doxogr. p. 59sq. huc traxit Epicuream quan- dam disputationem apud Plutarchum de plac. phil. I 7, 1—10, ex Aetio eam petitam, quod ipsum Καλλιμάχου nomen demon- strat in philosophorum indice apud pinacographum Pho- tianum lectum: cf. Dilesium mus. Rhen. XXXVI p. 348 sq. contra Elterum p. 22 recte se defendentem. legebatur igitur inter philosophorum placita Callimachi sententia qualis est apud Plutarchum l. s. § 1 (cf. etiam § 3). Dubia quaedam vide in prooemio commemorata.

1.3 Ἡσιόδου Ἔργων (276—279). Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων, ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεινοῖς ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἔστιν ἐν αὐτοῖς· ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη. Σοφοκλῆς (Oed. Tyr. 551. 552). Εἴ τοι νομίζεις 〈ἄνδρα〉 συγγενῆ κακῶς δρῶν οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς. 〈 Tragici incerti (Eurip. Oedip. fr. 559 N.).〉 Ὁρῶ γὰρ χρόνῳ δίκαν πάντ' ἄγουσαν εἰς φῶς βροτοῖς. 〈 Tragici incerti (fr. adesp. 403 N.).〉 Φθείρει γὰρ ἡ πρόνοια τὴν ἀβουλίαν. 〈 Εὐριπίδου (Ion. 440. 441).〉 Ἀρετὰς δίωκε· καὶ γὰρ ὅστις ἂν βροτῶν κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί. Εὐριπίδης Οἰδίποδος (=trag. fr. adesp. 404 N.). Οὐ δῆκταί πως κύνες οἱ θεοί, ἀλλ' ἡ Δίκη γὰρ καὶ κατὰ σκότου βλέπει. 〈 Σοφοκλέους (fr. inc. 873 N.).〉 Θεοῦ δὲ πληγὴν οὐχ ὑπεκπηδᾷ βροτός. 〈 Tragici incerti (fr. adesp. 283 N.).〉 Εἱμαρμένον δὲ τῶν κακῶν βουλευμάτων κακὰς ἀμοιβὰς ἐστι καρποῦσθαι βροτούς. 〈 Tragici incerti (fr. adesp. 405 N.).〉 Οὐχ εὕδει Διὸς 〈 Tragici incerti (fr. adesp. 406 N.).〉 Οὐ γάρ τις, οὐδὲ χρημάτων ὑπεργέμων, νόμον μιαίνων ἀσφαλῶς γηράσεται· ἀλλ' ἡμέρας ἢ νυκτὸς ἡ Δίκη ποτὲ τῷ δυσσεβοῦντι σῖγ' ἔχους' ἐνήλατο. 〈 Tragici incerti (fr. adesp. 407 N.).〉 Τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς. 〈 Tragici incerti (fr. adesp. 408 N.).〉 Δαίμων βροτοῖσι πόλλ' ἀνευρίσκει κακά. 〈 Ἡσιόδου Ἔργων (706).〉 Εὖ δ' ὅπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι. Εὐριπίδης Μελανίππῃ (fr. 508 N.). Δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς γράφειν τιν' αὐτά, Ζῆνα δ' εἰσορῶντά νιν θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας ἐξαρκέσειεν, οὐδ' ἐκεῖνος ἂν σκοπῶν πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ Δίκη ἐνταῦθά ποὔστιν ἐγγύς, εἰ βούλεσθ' ὁρᾶν. 〈 Tragici incerti (fr. adesp. 409 N.).〉 Λύπας μὲν ἀνθρώποισιν, ὦ γύναι, θεοὶ τοῖσιν διδοῦσιν, οὓς ἂν ἐχθαίρως', ἐπεὶ οὔ σφιν πονηρόν ἐστιν. Εὐριπίδης Φρίξῳ (fr. 832, 1—4 N.). Ὅστις δὲ θνητῶν οἴεται τοὐφ' ἡμέραν ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη. 〈 Tragici incerti (=Eur. fr. 832, 5 N.).〉 Τιμωρίαν ἔτισεν ὧν ἔρξεν κακῶν. 〈 Tragici incerti (fr. adesp. 410 N.).〉 Ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν. 〈 Tragici incerti (frg. adesp. 411 N.).〉 Ἔσθ', ὡς ἔοικεν, ἔστιν οὐχ ὁρώμενον τοῖς ζῶσιν ἡμῖν οὐδὲ προσδοκώμενον δαιμόνιον, ᾧ μέλει τι τοῦ θνητοῦ βίου. 〈 Εὐριπίδου (Elect. 953—956.).〉 Δίκην δέδωκας· ὥστε τις κακουργίας μή μοι τὸ

πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς, νικᾶν δοκείτω τὴν Δίκην, πρὶν ἂν τέλος γραμμῆς ἵκηται καὶ πέρας κάμψῃ βίου. Διονυσίου (fr. 5 p. 617 N.). Ὁ τῆς Δίκης ὀφθαλμός, ὡς δι' ἡσύχου λεύσσων προσώπου, πάνθ' ὁμῶς ἀεὶ βλέπει. Σοφοκλῆς Αἴαντι (758—761). βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονῇ. Εὐριπίδου (fr. inc. 969 N.). Οὗτοι προσελθοῦς' ἡ Δίκη σε πώποτε παίσει πρὸς ἦπαρ, οὐδὲ τῶν ἄλλων βροτῶν τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα μάρπτει τοὺς κακοὺς ἀεὶ βροτῶν. Θεοδέκτου (fr. inc. 8 p. 625 N.). Ὅστις δὲ θνητῶν μέμφεται τὰ θεῖ', ὅτι οὐκ εὐθύς, ἀλλὰ τῷ χρόνῳ μετέρχεται τοὺς μὴ δικαίους, πρόφασιν εἰσακουσάτω· εἰ μὲν παραυτίκ' ἦσαν αἱ τιμωρίαι, πολλοὶ διὰ φόβον κοὐ δι' εὐσεβῆ τρόπον θεοὺς ἂν ηὔξον· νῦν δὲ τῆς τιμωρίας ἄπωθεν οὔσης, τῇ φύσει χρῶνται βροτοί. ὅταν δὲ φωραθῶσιν ὀφθέντες κακοί, τίνουσι ποινὰς ὑστέροισιν ἐν χρόνοις. Εὐριπίδου Ἀνδρομέδας (fr. 149 N.). Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διὸς ἐγγύς τε ναίειν τῆς βροτῶν τιμωρίας. Αἰσχύλου (dub. fr. 444 N.). Εὐριπίδης Ἀντιόπῃ (fr. 224 N.). Δίκα τοι δίκα χρόνιος, ἀλλ' ὅμως ὑποπεσοῦς' ἔλαθεν, ὅταν ἔχῃ τιν' ἀσεβῆ βροτῶν. Αἰσχύλου Βακχῶν (=inc. fr. 379 N.). Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς κατ' ἀμπλάκημα τῷ περῶντι τὴν θέμιν. 〈 Tragici incerti (adesp. fr. 412 N.)〉 . Ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην εὔδοντι καὶ στείχοντι καὶ καθημένῳ· ἐξῆς δ' ὀπαδεῖ δόχμιον, ἄλλοθ' ὕστερον. 〈 Comici incert i . 〉 Οὐδὲν καλύπτει νὺξ κακῶς εἰργασμένον, Ἰξίονος (=trag. adesp. fr. 413 N.). Ἐχθρὸς μὲν ἀνήρ, ἀλλὰ τὴν Δίκην σέβω. Ὁμήρου (ξ 83. 84). Οὐ γὰρ σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν, ἀλλὰ δίκην τίνουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων. 〈 Σοφοκλῆς (fr. inc. 809 N.).〉 Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. Εὐριπίδης Ἀντιόπῃ (fr. 233 N.). Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Χρόνου, δείκνυσι δ' ἡμῶν ὅστις ἔστ' ἢ μὴ κακός. Ἀρχιλόχου (fr. 88 3 B.). Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος, σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς λεωργὰ κἀθέμιστα, σοὶ δὲ θηρίων ὕβρις τε καὶ δίκη μέλει. Εὐριπίδης Ἀρχελάῳ (fr. 266 N.). Τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς τοῖς πράσσουσιν κακὸν ἦλθε. 〈 Σοφοκλῆς (Electr. 696. 697).〉 Καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν Σοφοκλῆς Αἴαντι (fr. 11 N.). Τὸ χρύσεον δὲ τᾶς Δίκας δέδορκεν ὄμμα, τὸν δ' ἄδικον ἀμείβεται. Ἡσιόδου Θεογονίας (217. 220—222). Καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους, αἵ τ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσιν· οὐδέ ποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο, πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν ὅστις ἁμάρτῃ. Εὐριπίδης Πολυείδῳ (fr. 646 N.). Οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος. 〈 Εὐριπίδου (inc. fr. 1030 N.).〉 Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖς, ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά, ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων; ἦτἄρα θνητῶν εἰσιν ἀσυνετώτεροι, 〈 Tragici incerti (fr. adesp. 414 N.)〉 . Μόνη 'στιν ἀπαραίτητος ἀνθρώποις Δίκη. 〈 Tragici incerti (fr. adesp. 415 N.).〉 Μὴ μουσοποίει πρὸς τὸ νηπιώτερον· πόρρω γὰρ ἑστὼς ὁ θεὸς ἐγγύθεν κλύει. 〈 Tragici incerti (fr. adesp. 416 N.).〉 Ὅστις λέγει κάκ' εὖ φρονῶν, σιγῇ στένει. 〈 Tragici incerti (fr. adesp. 417 N.).〉 Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην. 〈 Tragici incerti (fr. adesp. 418 N.).〉 Τὸ δὲ θεῶν κράτος μέγα κατ' ἀνθρώπους, ἄφρονες δ' ὁπόσοι τὸ δίκαιον ἄγους' ὑπὸ τᾶς ἀδίκου βιοτᾶς ἀφανές, μέγα γὰρ ὄμμα δαιμόνων, οἷς τίνους' ἀμοιβὰς κακῶν. 〈 Ὁμήρου (Π 386. 387).〉 Καὶ Ζεὺς τοῖς ἄνδρεσσι κοτεσσάμενος χαλεπαίνει, οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας. 〈 Εὐριπίδου Ἀρχελάου (fr. 257 N.).〉 Δοκεῖς τὰ θεῶν σὺ ξυνετὰ νικήσειν ποτὲ καὶ τὴν Δίκην που μάκρ' ἀπῳκίσθαι βροτῶν; ὃν χρὴ κολάζειν τ' οἶδεν· ἀλλ' οὐκ οἶσθα σύ, ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς. 〈 Σοφοκλῆς (=Ai. Locr. fr. 18 N.).〉 Εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ. 〈 Tragici incerti (fr. adesp. 419 N.)〉 . Δίκας δ' ἐξέλαμψε θεῖον φάος. Δημοσθένους (II 10 p. 20, 27). Οὐ γὰρ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι. ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει· καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ· τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὐτὰ καταρρεῖ. Ἐκ τῶν Ἐπικτήτου Ἀπομνημονευμάτω ν . „Ἀλλ' ὁρῶ", φησί τις, „τοὺς καλοὺς κἀγαθοὺς καὶ λιμῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ῥίγει ἀπολλυμένους“. Τοὺς δὲ μὴ καλοὺς καὶ μὴ ἀγαθοὺς οὐχ ὁρᾷς τρυφῇ καὶ ἀλαζονείᾳ καὶ ἀπειροκαλίᾳ ἀπολλυμένους; „Ἀλλ’ αἰσχρὸν τὸ παρ’ ἄλλου τρέφεσθαι“. Καὶ τίς, ὦ κακόδαιμον, αὐτὸς ἐξ ἑαυτοῦ τρέφεται ἄλλος αὐτῶν ἔλεγε μὴ δεδωκέναι δίκην αὐτούς, ὅτι οἱ ὄνυχες ὑγιεῖς εἶεν. Ἐγὼ μὲν γάρ φημι πολὺ διαφέρειν μᾶλλον ἀρετὴν κακίας, ἢ ὀφθαλμοὶ ὀνύχων διαφέρουσιν. 〈 Ἡροδότου V 56.〉 Ἐν τῇ προτέρῃ νυκτὶ τῶν Παναθηναίων ἐδόκεε ὁ Ἵππαρχος ἄνδρα οἱ ἐπιστάντα μέγαν καὶ εὐειδέα αἰνίσσεσθαι τάδε τὰ ἔπεα· Τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῷ· οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει. Ἑρμῆς (deest apud Patric.). Δαίμων γάρ τις μεγίστη τέτακται, ὦ τέκνον, ἐν μέσῳ τοῦ παντὸς εἱλουμένη, πάντα περιορῶσα τὰ ἐπὶ γῆς γινόμενα ὑπὸ τῶν ἀνθρώπων. καθάπερ 〈γὰρ〉 ἐπὶ τῆς θείας τάξεως πρόνοια καὶ ἀνάγκη τέτακται, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἀνθρώπων τέτακται ἡ δίκη, ταὐτὰ ἐκείνοις ἐνεργοῦσα. ἐκείνη μὲν γὰρ κρατεῖ τὴν τάξιν τῶν ὄντων ὡς θείων καὶ ἁμαρτεῖν μὴ θελόντων μηδὲ δυναμένων· ἀδύνατον γὰρ τὸ θεῖον πλανηθῆναι, ἐξ οὗ καὶ τὸ ἀναμαρτεῖν συμβαίνει. ἡ δὲ δίκη τέτακται τιμωρὸς τῶν ἐπὶ τῇ εἱμαρμένῃ ὑπόκεινται διὰ τὰς τῆς γενέσεως ἐνεργείας, τῇ δὲ δίκῃ διὰ τὰς ἐν τῷ βίῳ ἁμαρτίας. Ἱεροκλέους ἐκ τοῦ Τίνα τρόπον θεοῖς χρηστέο ν . Ἔτι προσδιαληπτέον καὶ ταῦθ’ ὑπὲρ τῶν θεῶν, ὡς εἰσὶν ἄτρεπτοι καὶ ἀραρότες τοῖς κρίμασιν, ὥστε τοῦ ἀπ’ ἀρχῆς δόξαντος μηδέποτε ἐξίστασθαι. Μία γάρ τις ἦν τῶν ἀρετῶν καὶ ἡ ἀμεταπτωσία καὶ βεβαιότης, ἣν εἰκὸς οὐχ ἥκιστα κἀν θεοῖς εἶναι παρέχουσαν τὸ ἱδρυμένον καὶ ἔμπεδον τῶν ἅπαξ αὐτοῖς δοξάντων. Ἐξ οὗ δῆλον, ὡς οὐδὲ τὰς κολάσεις, ἃς ἔκρινέ τισιν ἐπιθεῖναι τὸ δαιμόνιον, πιθανὸν παρίεσθαι. Καὶ γὰρ αὖ λογίσασθαι ῥᾴδιον, ὡς εἰ μεταβάλλουσιν οἱ θεοὶ τὰς αὐτῶν κρίσεις καὶ ὃν ἔγνωσαν κολάσαι παριᾶσιν ἀκόλαστον, οὔτε καλῶς καὶ δικαίως 〈ἂν〉 διοικοῖεν τὰ κατὰ τὸν κόσμον, οὔτε ἀπολογισμὸν εἰκότα φέρειν ἂν δύναιντο μετανοίας. Καὶ τὰ τοιαῦτα ἔοικεν αὐτοσχεδίως καὶ κατ’ οὐδενὸς λέγειν ἡ ποιητική (Hom. I 499—501)· Καὶ 〈μὲν τοὺσ〉 θυσίαισι καὶ εὐχωλῇς ἀγανῇσι, λοιβῇ τε κνίσῃ τε παρατρωπῶς’ ἄνθρωποι λισσόμενοι, ὅτε κέν τις ὑπερβαίῃ καὶ ἁμάρτῃ, καὶ τὸ (id. I 497)· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί, Ἐν ταὐτ ῷ . Ἀλλ’ οὐ μὴν οὐδὲ ἐκεῖνο παρετέον, ὡς, εἰ καὶ μὴ κακῶν αἴτιοι τυγχάνουσιν οἱ θεοί, τῶν γε τοιούτων ἔνια προσάπτουσί τισι καὶ περιβάλλουσιν ἀξίους σωματικαῖς τε ἐλαττώσεσι καὶ ταῖς τῶν ἐκτός, οὐ κακοηθείᾳ χρώμενοι, κἀξεπίτηδες δυσχρηστῆσαι ἄνθρωπον οἰόμενοι δεῖν, ἀλλ’ ἐν τρόπῳ κολάσεως. Καθάπερ γὰρ λοιμοὶ καὶ αὐχμοί, ἔτι δὲ ἐπομβρίαι καὶ σεισμοὶ καὶ πᾶν τὸ τοιόνδε τὰ μὲν πολλὰ γίγνεται δι’ αἰτίας ἑτέρας τινὰς φυσικωτέρας, ἔστι δ’ ὅτε καὶ ὑπὸ θεῶν, ἐπειδὰν καιρὸς ᾖ δημοσίᾳ καὶ κοινῇ τὰ πολλῶν ἁμπλακήματα κολασθῆναι, τὸν αὐτὸν τρόπον καὶ πρὸς ἕνα χρῶνταί ποτε θεοὶ σωματικοῖς 〈τε〉 ἐλαττώμασι καὶ τοῖς 〈τῶν〉 ἐκτός, 〈ἐσ〉 αὐτοῦ μέντοι κόλασιν, ἐπιστροφὴν δὲ καὶ προαίρεσιν ἀμείνω τῶν ἄλλων. Πλάτωνος Νόμων (IV p. 715 E —716 B). Ὁ μὲν δὴ θεὸς (ὥσπερ καὶ ὁ παλαιὸς λόγος) ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος. τῷ δ’ ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος, ξυνέπεται ταπεινὸς [καὶ κεκοσμημένος]· ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σώματος εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ, φλέγεται τὴν ψυχὴν μεθ’ ὕβρεως, ὡς οὔτε ἄρχοντος οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ· καταλειφθεὶς δὲ καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν σκιρτᾷ ταράττων πάντα ἅμα· καὶ πολλοῖς τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησεν. Τοῦ αὐτοῦ Νόμων ι′ (p. 905 D —906 B). Ὅτι μὲν γὰρ θεοί τ’ εἰσὶ καὶ ἀνθρώπων ἐπιμελοῦνται. ἔγωγ’ οὐ παντάπασι φαύλως ἂν ἡμῖν φαίην ἀποδεδεῖχθαι· τὸ δὲ παραιτητοὺς αὐτοὺς εἶναι τοῖς ἀδικοῦσι, δεχομένους δῶρα, οὔτε τινὶ συγχωρητέον παντί τ’ αὖ κατὰ δύναμιν τρόπῳ ἐλεγκτέον. — Κάλλιστ’ εἶπες· ποιῶμέν τε ὡς λέγεις. — Φέρε καὶ πρὸς θεῶν αὐτῶν, τίνα

τρόπον παραιτητοὶ γίγνοιντ’ ἂν ἡμῖν, εἰ γίγνοιντο αὖ; καὶ τίνες ἢ ποῖοί τινες ὄντες; ἄρχοντας μὲν ἀναγκαῖόν που γίγνεσθαι τούς γε διοικήσαντας τὸν ἅπαντα ἐνδελεχῶς οὐρανόν. — Οὕτως. — Ἀλλ’ ἆρα τίσι προσφερεῖς τῶν ἀρχόντων; ἢ τίνες 〈τούτοισ〉, ὧν δυνατὸν ἡμῖν ἀπεικάζουσι τυγχάνειν μείζοσιν ἐλάττονας; πότερον ἡνίοχοί τινες ἂν εἶεν τοιοῦτοι ζευγῶν ἀμιλλωμένων, ἢ πλοίων κυβερνῆται; τάχα δὲ κἂν ἀπεικασθεῖεν στρατοπέδων ἄρχουσί τισιν. Εἴη δ’ ἂν καὶ νόσων πόλεμον εὐλαβουμένοις ἰατροῖς ἐοικέναι περὶ σώματα, ἢ γεωργοῖς περὶ φυτῶν γένεσιν, εἰωθυίας ὥρας χαλεπὰς διὰ φόβων προσδεχομένοις, ἢ καὶ ποιμνίων ἐπιστάταις. Ἐπειδὴ γὰρ ξυγκεχωρήκαμεν ἡμῖν αὐτοῖς εἶναι τὸν οὐρανὸν μεστὸν μὲν πολλῶν ἀγαθῶν, πολλῶν δὲ καὶ τῶν ἐναντίων, πλειόνων δὲ τῶν μή, μαχὴ δή, φαμέν, ἀθάνατός ἐστιν ἡ τοιαύτη καὶ φυλακῆς θαυμαστῆς δεομένη. Ξύμμαχοι δ’ ἡμῖν θεοί τε ἅμα καὶ δαίμονες· ἡμεῖς δὲ αὖ κτήματα θεῶν καὶ δαιμόνων· φθείρει δ’ ἡμᾶς ἀδικία καὶ ὕβρις μετὰ ἀφροσύνης, σῴζει δὲ δικαιοσύνη καὶ σωφροσύνη μετὰ φρονήσεως, ἐν ταῖς τῶν θεῶν ἐμψύχοις οἰκοῦσαι δυνάμεσιν. Ἐν ταὐτῷ (X p. 906 D —907 B). Τίσιν οὖν δὴ τῶν προρρηθέντων ἀπεικάζων ὁμοίους εἶναι φύλακας θεοὺς οὐκ ἂν καταγέλαστος γίγνοιτο ἀνθρώπων ὁστισοῦν; πότερον κυβερνήταις, λοιβῇ τε οἴνου κνίσῃ τε παρατρεπομένοις αὐτοῖς, ἀνατρέπουσι δὲ ναῦς τε καὶ ναύτας; — Μηδαμῶς. — Ἀλλ’ οὔτι μὴν ἡνιόχοις ἐν ἁμίλλῃ ξυντεταγμένοις, πεισθεῖσιν ὑπὸ δωρεᾶς τὴν νίκην ἑτέροις ζεύγεσι προδοῦναι. — Δεινὴν γὰρ εἰκόνα λέγοις ἄν, λέγων τοῦτον τὸν λόγον. — Οὐ μὴν οὐδὲ στρατηγοῖς γε οὐδὲ ἰατροῖς οὐδὲ γεωργοῖς· οὐδὲ νομεῦσι μὴν οὐδέ τισι κυσὶ κεκηλημένοις ὑπὸ λύκων. — Εὐφήμει. Πῶς γὰρ ἄν; — Ἀλλ’ οὐ πάντων φυλάκων εἰσὶ μέγιστοι καὶ περὶ τὰ μέγισθ’ ἡμῖν οἱ πάντες θεοί; — Πολύ γε. — Τοὺς δὴ κάλλιστά τε πράγματα φυλάττοντας διαφέροντάς τε αὐτοὺς φυλακῇ πρὸς ἀρετὴν κυνῶν χείρους καὶ ἀνθρώπων μέσον εἶναι φήσομεν, οἳ τὸ δίκαιον οὐκ ἄν ποτε προδοῖεν ἕνεκα δώρων παρ’ ἀδίκων ἀνδρῶν ἀνοσίως διδομένων; — Οὐδαμῶς· οὔτε ἀνεκτὸς ὁ λόγος τῶν τε περὶ πᾶσαν ἀσέβειαν ὄντων κινδυνεύει πᾶς ὁ ταύτης τῆς δόξης ἀντεχόμενος πάντων ἂν τῶν ἀσεβῶν κεκρίσθαι δικαιότατα κάκιστός τε καὶ ἀσεβέστατος εἶναι. Πορφυρίου ἐκ τοῦ Περὶ Στυγός (ap. Holsten., opusc. Porph. p. 148). Μεσοποταμίας εἰς λόγους ἀφικόμενοι, ἐξηγήσαντο, ὡς ὁ Βαρδισάνης ἀνέγραψεν, εἶναί τινα λίμνην ἔτι καὶ νῦν παρ’ Ἰνδοῖς δοκιμαστήριον λεγομένην, εἰς ἥν, ἄν τις τῶν Ἰνδῶν αἰτίαν ἔχων τινὸς ἁμαρτίας ἁρνῆται, 〈εἰσάγεται〉. Τῶν δὲ Βραχμάνων τινὲς δοκιμάζουσιν αὐτὸν τοῦτον τὸν τρόπον. Πυνθάνονται τοῦ ἀνθρώπου, εἰ θέλει διὰ τοῦ ὕδατος γενέσθαι τὴν ἐξέτασιν, καὶ μὴ θέλοντα μὲν ὡς ὑπεύθυνον ἀποπέμπουσι τὴν δίκην ἀποτίσοντα· παραδεχόμενον δὲ τὴν βάσανον εἰσάγουσι μετὰ τῶν κατηγόρων· καταβαίνουσι γὰρ καὶ οὗτοι εἰς τὸ ὕδωρ, δοκιμασθησόμενοι μὴ συκοφαντῶσι. Διέρχονται τοίνυν οἱ ἐπιβαίνοντες τοῦ ὕδατος εἰς ἕτερον μέρος τῆς λίμνης· τὸ βάθος δ’ ἐστὶν ἄχρι τῶν γονάτων παντὸς ὁτουοῦν εἰς αὐτὴν ἐπιβάντος. Ὅταν δ’ 〈ὁ〉 κατηγορούμενος ἐπιβῇ, ἀναμάρτητος μὲν ὤν, ἀδεῶς διέρχεται ἄχρι τῶν γονάτων ἔχων τὸ ὕδωρ· ἁμαρτὼν δὲ ὀλίγον προβὰς βαπτίζεται μέχρι κεφαλῆς. Οἱ δὲ Βραχμᾶνες ἀνασπῶντες αὐτὸν ἐκ τοῦ ὕδατος παραδιδόασι τοῖς ἐνάγουσι ζῶντα καὶ ἀξιοῦσι παιδευθῆναι χωρὶς θανατικῆς καταδίκης. Γίγνεσθαι δὲ τοῦτο σπανίως τῷ μηδένα τολμᾶν ἀρνεῖσθαι τὸ ἁμάρτημα διὰ τὸν ἐκ τοῦ ὕδατος γιγνόμενον ἔλεγχον. Ἑκουσίων τοίνυν ἁμαρτημάτων δοκιμαστήριον Ἰνδοὺς τοῦτ’ ἔχειν τὸ ὕδωρ· ἀκουσίων δὲ ὁμοῦ καὶ ἑκουσίων καὶ ὅλως ὀρθοῦ βίου ἕτερον εἶναι, περὶ οὗ ὁ Βαρδισάνης τάδε γράφει· θήσω γὰρ τἀκείνου κατὰ λέξιν· „Ἔλεγον δὲ καὶ σπήλαιον εἶναι αὐτόματον, μέγα, ἐν ὄρει ὑψηλοτάτῳ σχεδὸν κατὰ μέσον τῆς γῆς, ἐν ᾧ σπηλαίῳ ἐστὶν ἀνδριάς, ὃν εἰκάζουσι πηχῶν ὁ βραχίων ὁ δεξιὸς καὶ ὁ δεξιὸς ποῦς καὶ ὅλον τὸ μέρος ἀρσενικὸν καὶ τὸ εὐώνυμον θηλυκόν, ὡς ἰδόντα τινὰ ἐκπλαγῆναι τὴν σύγκρασιν, πῶς ἀδιαιρέτως ἔστιν ἰδεῖν τὴν ἀνομοιότητα 〈τήνδε〉 τῶν δύο πλευρῶν ἐν ἑνὶ σώματι. Ἐν τούτῳ τῷ ἀνδριάντι λέγουσι γεγλύφθαι περὶ τὸν μαζὸν τὸν δεξιὸν ἥλιον καὶ περὶ τὸν ἀριστερὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σελήνην καὶ κατὰ τῶν δύο βραχιόνων .... τέχνῃ γεγλύφθαι ἀγγέλων ἀριθμὸν καὶ ὅσα ἐστὶν ἐν τῷ κόσμῳ, τουτέστιν οὐρανὸν καὶ ὄρη καὶ θάλασσαν καὶ ποταμοὺς καὶ ὠκεανὸν καὶ φυτὰ καὶ ζῷα καὶ ἁπλῶς ὅσα ἔστι. Τοῦτον τὸν ἀνδριάντα φασὶ δεδωκέναι τὸν θεὸν τῷ υἱῷ, ὁπηνίκα τὸν κόσμον ἔκτιζεν, ἵνα θεατὸν ἔχῃ παράδειγμα. Ἐξήτασα δὲ (φησί) ποίας ἐστὶν ὕλης, καὶ διεβεβαιοῦτο ὁ Σανδάλης, ἐμαρτύρουν δὲ αὐτῷ καὶ οἱ ἄλλοι, μηδένα εἰδέναι ποίας ὕλης ἐστὶν ὁ ἀνδριὰς ἐκεῖνος· οὔτε γὰρ χρύσεός ἐστιν οὔτε ἀργύρεος οὔτε χάλκεος οὔτε λίθινος οὔτε ἄλλης ὕλης, ἀλλὰ μᾶλλον παραπλήσιός ἐστι ξύλῳ στερροτάτῳ καὶ ἀσηπτοτάτῳ· μὴ λέα ἐκεῖνον, ὡς μόλις εὐξαμένων τῶν Βραχμάνων ἀνακτήσασθαι ἑαυτόν. Ἐπὶ δὲ τῇ κεφαλῇ τούτου λέγουσι θεοῦ ἄγαλμα εἶναι ὡς ἐπὶ θρόνου τινὸς καθήμενον. Λέγουσιν δὲ καὶ ἐν τοῖς καύμασιν ἱδροῦν ὅλον τὸν ἀνδριάντα τοῦτον καὶ ῥιπίζεσθαι ὑπὸ τῶν Βραχμάνων καὶ παύεσθαι τοὺς ἱδρῶτας· καὶ εἰ μὴ ῥιπίζοιεν, πολὺν φέρειν ἱδρῶτα, ὡς βρέχεσθαι τὴν περὶ αὐτὸν γῆν. Ἐνδοτέρω δὲ αὐτοῦ ἐν τῷ σπηλαίῳ μετὰ πολὺ διάστημα εἶναι σκότος, ἔνθα μετὰ λαμπάδων εἰσέρχονται οἱ βουλόμενοι καὶ εὑρίσκουσι θύραν τινά· ἐξ ἧς θύρας προέρχεται ὕδωρ καὶ λιμνάζει περὶ τὰ τελευταῖα τοῦ σπηλαίου· καὶ ὡς δοκιμάζοντες ἑαυτοὺς εἰσέρχονται διὰ τῆς θύρας ἐκείνης. Καὶ ὅσοι εἰσὶ καθαροὶ ἀπὸ τῆς φαυλότητος τοῦ βίου εἰσέρχονται ἀνεμποδίστως εὐρυνομένης τῆς θύρας, καὶ εὑρίσκουσι πηγὴν μεγίστην ὕδατος πάνυ διαυγεστάτου καὶ ποτιμωτάτου, ἐξ ἧς τὸ ὕδωρ ἐκεῖνο προέρχεται· οἱ δὲ ἐν καταγνώσει ὄντες πολὺ θλίβουσιν εἰσελθεῖν διὰ τῆς θύρας ἐκείνης καὶ οὐ δύνανται στενουμένης αὐτοῖς· οἵτινες βιαζόμενοι ἐξομολογοῦνται ἐπὶ τῶν ἑτέρων εἴ τι ἥμαρτον, 〈καὶ〉 δέησιν ποιοῦνται ἵνα οἱ λοιποὶ εὔξωνται περὶ αὐτῶν, καὶ νηστεύουσι χρόνον τινὰ ἱκανόν.“ Ἐκεῖ φησιν εἰρηκέναι 〈τοὺσ〉 περὶ τὸν Σανδάλην συνάγεσθαι τοὺς Βραχμᾶνας ἡμέρᾳ μέν τινι τεταγμένῃ· ἀλλὰ εἶναι μέν τινας ἐκεῖ ἔχοντας τὴν διατριβήν, τοὺς δὲ ἀλλαχόθεν συνιέναι θέρους ὥρᾳ καὶ περὶ τὸ φθινόπωρον πλεοναζούσης τῆς ὀπώρας ἐπί τε τὴν θέαν τοῦ ἀνδριάντος καὶ ἐπὶ τὸ ἀλλήλοις συμμῖξαι καὶ εἰς τὸ πεῖραν ἑαυτῶν λαβεῖν, εἰ δύνανται εἰσελθεῖν διὰ τῆς εἰρημένης θύρας. Γίγνεσθαι δὲ ἐκεῖ ζητήσεις λέγουσι περὶ τῆς ἐν τῷ σώματι ἐκείνῳ γλυφῆς. Οὐδὲ γὰρ ἔστι ῥᾳδίως πάσῃ τῇ ἀνατυπώσει ἐπιστῆσαι, διά τε τὸ πολλὰ εἶναι καὶ διὰ τὸ μὴ πάντα τὰ ζῷα καὶ φυτὰ ἐν πάσῃ χώρᾳ ὑπάρχειν. Ἃ μὲν οὖν Ἰνδοὶ ἱστοροῦσι περὶ τοῦ παρ’ αὐτοῖς δοκιμαστηρίου ὕδατος, ἔστι ταῦτα. Οἶμαι δὲ τούτου καὶ Ἀπολλώνιον τὸν Τυανέα μεμνῆσθαι τοῦ ὕδατος, τοῦ ἐν τῷ σπηλαίῳ λέγω. Γράφων γὰρ τοῖς Βραχμᾶσιν ὅρκον τινὰ ὀμνύει· „οὐ μὰ τὸ Ταντάλειον ὕδωρ, οὗ με ἐμυήσατε.“ Οἶμαι γὰρ Ταντάλου λέγειν τοῦτο, διὰ τὸ ἀεὶ τῇ προσδοκίᾳ κολάζειν τοὺς ἐπὶ τοῦτο ἐλθεῖν ἐσπουδακότας κἀκ τούτου ποτὸν ἀρύσασθαι.

1.4 Μοσχίωνος Τηλέφου (fr. 2 p. 631 N.). Ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη Μοῖρ’, ὦ λιταῖς ἄτρωτε δυστήνων βροτῶν, πάντολμ’ Ἀνάγκη, στυγνὸν ἣ κατ’ αὐχένων ἡμῶν ἐρείδεις τῆσδε λατρείας ζυγόν. Χαιρήμονος (fr. 18 p. 611 N.). Εὐριπίδου Βελλεροφόντῃ (fr. 301 N.). Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ’ ἔστ’ ἀσθενῆ. 〈 Σιμωνίδου (Epinic. fr. 5 3 B., v. 21).〉 Ἀνάγκᾳ δ’ οὐδὲ θεοὶ μάχονται. 〈 Tragici ignoti (fr. adesp. 420 N.).〉 Ὁσία δ’ ἀνάγκη πολεμιωτάτη θεός. 〈 Tragici ignoti (fr. adesp. 421 N.).〉 Οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος. 〈 Εὐριπίδου (Alcest. 962—966).〉 Ἐγὼ καὶ διὰ Μούσας καὶ μετάρσιος ᾔξα καὶ πλείστων ἁψάμενος λόγων κρεῖσσον οὐδὲν Ἀνάγκας εὗρον, οὐδέ τι φάρμακον. Φιλήτα Ἑρμο ῦ . Ἰσχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς Ἀνάγκη, ἥ ῥ’ οὐδ’ ἀθανάτους ὑποδείδιεν, οἵ τ’ ἐν Ὀλύμπῳ ἔκτοσθεν χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο. Σοφοκλῆς Θυέστῃ (fr. 236 N.). Πρὸς τὴν ἀνάγκην οὐδ’ Ἄρης ἀνθίσταται. Εὐριπίδης Λικυμνίῳ (fr. 478 N.). Τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν. Θαλῆς ἐρωτηθείς, Τί ἰσχυρότατον; εἶπεν· Ἀνάγκη, κρατεῖ γὰρ πάντων. Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμων α . Ἀνάγκη ἐστὶ κρίσις βεβαία καὶ ἀμετάτρεπτος δύναμις προνοίας. 〈 Aetii plac. (I 25. 26 p. 321 Diels.).〉 Πυθαγόρας ἀνάγκην ἔφη περικεῖσθαι τῷ κόσμῳ. Παρμενίδου καὶ Δημοκρίτου . οὗτοι πάντα κατ’ ἀνάγκην· τὴν δ’

αὐτὴν εἶναι εἱμαρμένην καὶ δίκην καὶ πρόνοιαν καὶ κοσμοποιόν. Λεύκιππος πάντα κατ' ἀνάγκην, τὴν δ' αὐτὴν ὑπάρχειν εἱμαρμένην· λέγει γὰρ ἐν τῷ Περὶ νοῦ· „Οὐδὲν χρῆμα μάτην γίγνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης." Πλάτων ὁτὲ μὲν τὴν ὕλην, ὁτὲ δὲ τὴν τοῦ ποιοῦντος πρὸς τὴν ὕλην σχέσιν. Καὶ τὰ μὲν εἰς πρόνοιαν ἀνάγει, τὰ δὲ εἰς ἀνάγκην. Λέγει γοῦν ἐν τῷ Τιμαίῳ (p. 48 A)· „Μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις, ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγεννήθη, νοῦ δὲ ἀνάγκης ἄρχοντος." Ἐμπεδοκλῆς αἰτίαν χρηστικὴν τῶν ἀρχῶν καὶ τῶν στοιχείων. Ἑρμοῦ πρὸς τὸν υἱόν (p. 38 Patrit.). Ὀρθῶς μοι πάντα εἶπας, ὦ πάτερ, ἀλλ' ἔτι με ἀνάμνησον, τίνα ἐστὶ τὰ κατὰ πρόνοιαν καὶ τίνα 〈τὰ〉 κατ' ἀνάγκην, ὁμοίως καὶ καθ' εἱμαρμένην; Ἔφην εἶναι ἐν ἡμῖν, ὦ Τάτ, τρία εἴδη ἀσωμάτων· καὶ τὸ μέν τι ἐστὶ νοητόν, τοῦτο μὲν οὖν ἀχρώματον, ἀσχημάτιστον, ἀσώματον, ἐξ αὐτῆς τῆς πρώτης καὶ νοητῆς οὐσίας. Εἰσὶ δὲ καὶ ἐν ἡμῖν τούτῳ ἐναντίαι σχηματότητες 〈αἶσ〉 τοῦτο ὑποδέχεται. Τὸ γοῦν κινούμενον ὑπὸ τῆς νοητῆς οὐσίας πρός τινα λόγον καὶ ὑποδεχθέν, εὐθέως μεταβάλλεται εἰς ἕτερον εἶδος κινήσεως, τοῦτο δὲ εἴδωλόν ἐστι τοῦ νοήματος τοῦ δημιουργοῦ. Τρίτον δέ ἐστιν εἶδος ἀσωμάτων, ὃ περὶ τὰ σώματά ἐστι συμβεβηκός, τόπος, χρόνος, κίνησις, σχῆμα, ἐπιφάνεια, μέγεθος, εἶδος· καὶ τούτων εἰσὶ διαφοραὶ δύο. Ἃ μὲν γάρ ἐστιν αὐτῶν ἰδίως ποιά, ἃ δὲ τοῦ σώματος. Τὰ μὲν ἰδίως ποιὰ τὸ σχῆμα, ἡ χρόα, τὸ εἶδος, ὁ τόπος, ὁ χρόνος, ἡ κίνησις· τὰ δὲ τοῦ σώματος ἴδιά ἐστι τὸ ἐσχηματισμένον σχῆμα καὶ τὸ κεχρωσμένον χρῶμα, ἔτι δὲ καὶ ἡ μεμορφωμένη μορφὴ καὶ ἡ ἐπιφάνεια καὶ τὸ μέγεθος· ταῦτά ἐστι τούτων μέτοχα. Ἡ μὲν οὖν νοητὴ οὐσία, πρὸς τῷ θεῷ γενομένη, ἑαυτῆς σις αὐτῆς κατὰ πρόνοιαν [τοῦτο δὲ τοῦ κόσμου] γίνεται· τὸ δὲ ἄλογον πᾶν κινεῖται πρός τινα λόγον· καὶ ὁ μὲν λόγος κατὰ πρόνοιαν, τὸ δὲ ἄλογον κατ' ἀνάγκην, τὰ δὲ περὶ τὸ σῶμα συμβεβηκότα καθ' εἱμαρμένην. Καὶ οὗτός ἐστιν ὁ λόγος τῶν κατὰ πρόνοιαν καὶ 〈κατ'〉 ἀνάγκην καὶ καθ' εἱμαρμένην.

1.5 Ὁμήρου Ἰλιάδος (Z 488. 489). Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν, οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται. Εὐριπίδου Ἀνδρομέδας (fr. 151 N.). ... τὸ δαιμόνιον οὐχ ὁρᾷς ὅπῃ μοίρας διεξέρχεται; στρέφει δ' ἄλλοτ' ἄλλως εἰς ἀμέραν. Βακχυλίδου (fr. 36 3 B.). Θνατοῖσι δ' οὐκ αὐθαίρετοι γαῖαν ἀ πάνδωρος αἶσα. Μενάνδρου (inc. 18 a , Com. IV p. 238). Ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου. Ἡσιόδου Θεογονίας (217—219). Καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους, Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε βροτοῖσι γινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε. Εὐριπίδου Ἡρακλειδῶν (608. 609; 615—617). Οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον ἄνδρα γενέσθαι. ..... μόρσιμα δ' οὔτι φυγεῖν θέμις· οὐ σοφίᾳ τις ἀπώσεται· ἀλλὰ μάταν ὁ πρόθυμος ἀεὶ πόνον ἕξει. Ἐκ τῶν Βίωνος Βουκολικῶν · εἰς Ὑάκινθον (XI). Ἀμφασία τόκα Φοῖβον ἔλεν τὸ σὸν ἄλγος ὁρῶντα, ὠτειλάν· μοιραῖα δ' ἀναλθέα τρώματα πάντα. 〈 Tragici ignoti (fr. adesp. 422 N.).〉 Μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται Μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν, ἀλλ' αὐτὴ κρατεῖ. 〈 Tragici ignoti (fr. adesp. 423 N.).〉 Ὦ Μοῖρα κεδνῶν καὶ κακῶν κυνηγέτι. Εὐριπίδου Πηλεῖ (fr. 623 N.). Κλύετ' ὦ Μοῖραι, Διὸς αἵτε παρὰ θρόνον ἀγχοτάτω θεῶν ἑζόμεναι. Σοφοκλέους ἐκ Φαίδρας (fr. 611 N.). Περιώσι' ἄφυκτά τε μήδεα παντοδαπᾶν βουλᾶν ἀδαμαντίναις ὑφαίνεται κερκίσιν αἶσα. 〈 Lyrici ignoti (fr. adesp. 140 3 B.).〉 Κλωθὼ Λάχεσίς τ', εὐώλενοι κοῦραι Νυκτός, εὐχομένων ἐπακούσατ' οὐράνιαι χθόνιαί τε δαίμονες· ὦ πανδείμαντοι, πέμπετ' ἄμμιν ῥοδόκολπον Εὐνομίαν, λιπαροθρόνους τ' ἀδελφάς, Δίκαν Σοφοκλῆς Φαίδρᾳ (=trag. fr. adesp. 424 N.). Ἔζης ἄρ', οὐδὲ γῆς ἔνερθ' ᾠχου θανών; Οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται. Ἑρμοῦ (=App. ad Anthol. Palat. n. 40). Ἑπτὰ πολυπλανέες κατ' Ὀλύμπιον ἀστέρες οὐδὸν εἱλεῦνται, μετὰ τοῖσι δ' ἀεὶ περινίσσεται αἰών· νυκτιφανὴς Μήνη, στυγνὸς Κρόνος, Ἥλιος ἡδύς, παστοφόρος Παφίη, θρασὺς Ἄρης, εὔπτερος Ἑρμῆς, καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάστησεν. Οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος, ἔστι δ' ἐν ἡμῖν Μήνη, Ζεύς, Ἄρης, Παφίη,

Κρόνος, Ἥλιος, Ἑρμῆς· τοὔνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν δάκρυ, γέλωτα, χόλον, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν. Δάκρυ μέν ἐστι Κρόνος, Ζεὺς 〈δ'〉 ἡ γένεσις, λόγος Ἑρμῆς, 〈 Aetii placit. (I 27. 28 p. 322. 323 Diels.).〉 〈 Χρύσιππος 〉 μὴ διαφέρειν τοῦ εἱμαρμένου τὸ κατηναγκασμένον, 〈τὴν δὲ εἱμαρμένην εἶναι κίνησιν ἀΐδιον τῶν ὅλων〉 κατ' ἐπιπλοκὴν τῶν μερῶν συνηρτημένην. Ἡράκλειτος οὐσίαν εἱμαρμένης ἀπεφαίνετο λόγον τὸν διὰ οὐσίας τοῦ παντὸς διήκοντα. Αὕτη δ' ἐστὶ τὸ αἰθέριον σῶμα, σπέρμα τῆς τοῦ παντὸς γενέσεως καὶ περιόδου μέτρον τεταγμένης. Πάντα δὲ καθ' εἱμαρμένην, τὴν δ' αὐτὴν ὑπάρχειν ἀνάγκην· γράφει γοῦν (p. 423 Schleierm., fr. 63 Bywat.)· 'ἔστι γὰρ εἱμαρμένα πάντως ...' Πλάτων λόγον ἀΐδιον τὴν οὐσίαν τῆς εἱμαρμένης, καὶ νόμον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως. Ποσειδώνιος τρίτην ἀπὸ Διός. πρῶτον μὲν γὰρ εἶναι τὸν Δία, δεύτερον δὲ τὴν φύσιν, τρίτην δὲ τὴν εἱμαρμένην. Ζήνων ὁ Στωικὸς ἐν τῷ Περὶ φύσεως δύναμιν κινητικὴν τῆς ὕλης κατὰ ταὐτὰ καὶ ὡσαύτως, ἥντινα μὴ διαφέρειν πρόνοιαν καὶ φύσιν καλεῖν. Ἀντίπατρος ὁ Στωικὸς θεὸν ἀπεφαίνετο τὴν εἱμαρμένην. Χρύσιππος δύναμιν πνευματικὴν τὴν οὐσίαν τῆς εἱμαρμένης, τάξει τοῦ παντὸς διοικητικήν. Τοῦτο μὲν οὖν ἐν τῷ δευτέρῳ Περὶ κόσμου, ἐν δὲ τῷ δευτέρῳ Περὶ ὅρων καὶ ἐν τοῖς Περὶ τῆς εἱμαρμένης καὶ ἐν ἄλλοις σποράδην πολυτρόπως ἀποφαίνεται λέγων· Εἱμαρμένη ἐστὶν ὁ τοῦ κόσμου λόγος, ἢ λόγος τῶν ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων· ἢ λόγος, καθ' ὃν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα γίνεται, τὰ δὲ γενησόμενα γενήσεται. Μεταλαμβάνει δ' ἀντὶ τοῦ λόγου τὴν ἀλήθειαν, τὴν αἰτίαν, τὴν φύσιν, τὴν ἀνάγκην, προστιθεὶς καὶ ἑτέρας ὀνομασίας, ὡς ἐπὶ τῆς αὐτῆς οὐσίας τασσομένας καθ' ἑτέρας καὶ ἑτέρας ἐπιβολάς. Μοίρας δὲ καλεῖσθαι ἀπὸ τοῦ κατ' αὐτὰς διαμερισμοῦ, Κλωθὼ καὶ Λάχεσιν καὶ Ἄτροπον. Λάχεσιν μέν, ὅτι ὃν κλῆρον λελόγχασιν ἕκαστοι κατὰ τὸ δίκαιον ἀπονέμεται· Ἄτροπον δέ, ὅτι ἀμετάτρεπτος καὶ ἀμετάβλητός ἐστιν ὁ καθ' ἕκαστα διορισμὸς ἐξ ἀϊδίων χρόνων· Κλωθὼ δέ, ὅτι ἡ κατὰ τὴν εἱμαρμένην διανέμησις καὶ τὰ γεννώμενα τοῖς κλωθομένοις παραπλησίως διεξάγεται, κατὰ τὴν ἐτυμολογικὴν ἐξήγησιν τῶν ὀνομάτων ἅμα καὶ τῶν πραγμάτων συμπαρισταμένων εὐχρήστως. Περὶ τῆς ὅλης οἰκονομία ς , Ἑρμοῦ ἐκ τῶν πρὸς Ἀμοῦν (p. 38 Patrit.). Καὶ ἡ μὲν διακρατοῦσα τὸν ὅλον κόσμον πρόνοιά μένη δὲ ἄγει καὶ περιάγει πάντα καταναγκάζουσα (φύσις γάρ ἐστιν αὐτῆς τὸ ἀναγκάζειν), αἰτία γενέσεως καὶ φθορᾶς βίου. Ὁ μὲν οὖν κόσμος πρῶτος ἔχει τὴν πρόνοιαν (πρῶτος γὰρ αὐτῆς τυγχάνει) ** —Ἡ δὲ πρόνοια ἐξήπλωται ἐν τῷ οὐρανῷ, διότι καὶ θεοὶ περὶ αὐτὸν στρέφονται καὶ κινοῦνται, ἀκάματον καὶ ἄπαυστον κίνησιν ἔχοντες· εἱμαρμένη δὲ διότι καὶ ἀνάγκη. Καὶ ἡ μὲν πρόνοια προνοεῖ, εἱμαρμένη δὲ αἰτία ἐστὶ τῆς τῶν ἄστρων διαθέσεως. Οὗτος νόμος ἄφυκτος, καθ' ὃν πάντα τέτακται. Ἐκ τῆς Ἰαμβλίχου πρὸς Μακεδόνιον ἐπιστολῆ ς . Πάντα μὲν τὰ ὄντα τῷ ἑνί ἐστιν ὄντα, καὶ γὰρ αὐτὸ τὸ πρῶτον ὂν ἀπὸ τοῦ ἑνὸς ἐξ ἀρχῆς παράγεται, πολὺ δὲ διαφερόντως τὰ ὅλα αἴτια τῷ ἑνὶ τὸ δύνασθαι ποιεῖν παραδέχεται καὶ κατὰ μίαν συμπλοκὴν συνέχεται καὶ συναναφέρεται τῇ τῶν πολλῶν ἀρχῇ προϋπάρχοντα. Κατὰ δὴ τοῦτον τὸν λόγον καὶ τῶν περὶ τὴν φύσιν αἰτίων, πολυειδῶν ὄντων καὶ πολυμερίστων, ἠρτημένων τε ἀπὸ πλειόνων ἀρχῶν, ἀπὸ μιᾶς ὅλης αἰτίας τὸ πλῆθος ἐκκρέμαται, κατὰ μίαν δὲ σύνδεσιν πάντα πρὸς ἄλληλα συμπλέκεται καὶ εἰς ἓν ἀνήκει τὸ περιεκτικώτατον τῆς αἰτίας κράτος ὁ σύνδεσμος τῶν πλειόνων αἰτίων. Οὗτος τοίνυν εἷς εἱρμὸς συνισταμένην ἀπὸ τῆς συμπλοκῆς ποιεῖται τὴν ἕνωσιν, οὐδὲ διαπεφόρηται ἐν τοῖς καθ' ἕκαστα· κατὰ δὲ τὴν προηγουμένην καὶ προτεταγμένην αὐτῶν τῶν αἰτίων μίαν συμπλοκὴν ἐπιτελεῖ πάντα καὶ συνδεῖ ἐν ἑαυτῷ καὶ πρὸς αὐτὸν μονοειδῶς ἀνάγει. Μίαν οὖν τάξιν, πάσας τάξεις ὁμοῦ περιλαβοῦσαν ἐν αὐτῇ, τὴν εἱμαρμένην ἀφοριστέον. Ἐκ τῆς Ἰαμβλίχου πρὸς Σώπατρον ἐπιστολῆ ς . Τῆς δ' εἱμαρμένης ἡ οὐσία σύμπασά ἐστιν ἐν τῇ φύσει· φύσιν δὲ λέγω τὴν ἀχώριστον αἰτίαν τοῦ κόσμου καὶ ἀχωρίστως περιέχουσαν τὰς ὅλας αἰτίας τῆς γενέσεως, ὅσα χωριστῶς αἱ κρείττονες οὐσίαι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διακοσμήσεις συνειλήφασιν ἐν ἑαυταῖς. Ζωή τε οὖν σωματοειδὴς καὶ λόγος γενεσιουργός, τά τε ἔνυλα εἴδη καὶ αὐτὴ ἡ ὕλη, ἥ τε συντεθειμένη γένεσις ἀπὸ τούτων, κίνησίς τε ἡ τὰ πάντα μεταβάλλουσα καὶ φύσις ἡ τεταγμένως διοικοῦσα τὰ γιγνόμενα, ἀρχαί τε αἱ τῆς φύσεως καὶ τέλη καὶ ποιήσεις, καὶ αἱ τούτων συνδέσεις πρὸς ἄλληλα ἀπ' ἀρχῆς τε ἄχρι τοῦ τέλους διέξοδοι συμπληροῦσι τὴν εἱμαρμένην. Πλουτάρχου ἐκ τοῦ Εἰ ἡ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος (fr. XV, 2). Τὸ γὰρ εἱμαρμένον ἄτρεπτον καὶ ἀπαράβατον, „ χῶπερ μόνον ὀφρύσι νεύσ ῃ , | καρτερὰ τούτῳ κέκλωσ τ ' ἀνάγκα " (lyr. Gr. fr. adesp. n. 143 3 B.) καὶ πεπρωμένη. Διὰ τοῦτο τὴν εἱμαρμένην καὶ Ἀδράστειαν καλοῦσιν, ὅτι πέρας ταῖς αἰτίαις ἠναγκασμένον ἐπιτίθησιν, ἀνέκ- Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα (p. 38 Patrit.). Πάντα δὲ γίνεται φύσει καὶ εἱμαρμένῃ καὶ οὐκ ἔστι τόπος ἔρημος προνοίας. Πρόνοια δέ ἐστιν αὐτοτελὴς λόγος τοῦ ἐπουρανίου θεοῦ. Δύο δὲ τούτου αὐτοφυεῖς δυνάμεις, ἀνάγκη καὶ εἱμαρμένη. Ἡ δὲ εἱμαρμένη ὑπηρετεῖ προνοίᾳ καὶ ἀνάγκῃ, τῇ δὲ εἱμαρμένῃ ὑπηρετοῦσιν οἱ ἀστέρες. Οὔτε γὰρ εἱμαρμένην φυγεῖν τις δύναται, οὔτε φυλάξαι ἑαυτὸν ἀπὸ τῆς τούτων δεινότητος. Ὅπλον γὰρ εἱμαρμένης οἱ ἀστέρες, κατὰ γὰρ ταύτην πάντα ἀποτελοῦσι τῇ φύσει καὶ τοῖς ἀνθρώποις. Πλάτωνος Πολιτείας (X p. 620 D —621 A). Ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθαι, ὥσπερ ἔλαχον, ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν· ἐκείνην δ' ἑκάστῳ, ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων. ὃν πρῶτον μὲν ἄγειν αὐτὴν πρὸς τὴν Κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρά τε καὶ ἐπιστροφὴν τῆς τοῦ ἀτράκτου δίνης, κυροῦντα ἣν λαχὼν εἵλετο μοῖραν. ταύτης δ' ἐφαψάμενον αὖθις ἐπὶ 〈τὴν〉 τῆς Ἀτρόπου ἄγειν νῆσιν, ἀμετάστροφα τὰ ἐπικλωσθέντα ποιοῦντα. ἐντεῦθεν δὲ δὴ ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς Ἀνάγκης ἰέναι θρόνον· καὶ δι' ἐκείνου διεξελθόντα, ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθον, πορεύεσθαι ἅπαντας εἰς τὸ τῆς Λήθης πεδίον. Ἐκ τῆς Ἀριστοτέλους πρὸς Ἀλέξανδρον ἐπιστολῆς (de mundo c. 7, 5 p. 401 b 8). Οἶμαι δὲ καὶ τὴν ἀνάγκην οὐκ ἄλλο τι λέγεσθαι πλὴν τοῦτο· οἱονεὶ ἀνίκητον οὐσίαν, εἱμαρμένην δὲ διὰ τὸ εἴρεσθαί τε καὶ χωρεῖν ἀκωλύτως· πεπρωμένην δὲ διὰ τὸ πεπερατῶσθαι πάντα καὶ μηθὲν ἐν τοῖς οὖσιν ἄπειρον τὰς μοίρας καὶ τὸν ἄτρακτον εἰς ταῦτά πως νεύει· τρεῖς μὲν αἱ μοῖραι κατὰ τοὺς χρόνους μεμερισμέναι· νῆμα δὲ ἀτράκτου τὸ μὲν ἐξειργασμένον ἤδη, τὸ δὲ μέλλον, τὸ δὲ περιστρεφόμενον. τέτακται δὲ κατὰ μὲν τὸ γεγονὸς μία τῶν μοιρῶν, Ἄτροπος, ἐπεὶ τὰ παρελθόντα πάντα ἄτρεπτά ἐστι· κατὰ δὲ τὸ μέλλον Λάχεσις, εἰς πάντα γὰρ ἡ κατὰ φύσιν μένει λῆξις· κατὰ δὲ τὸ ἐνεστὼς Κλωθώ, συμπεραίνουσα καὶ κλώθουσα ἑκάστῳ τὰ οἰκεῖα, ὅπερ αἰνίττεται καὶ ὁ μῦθος. Πάντα δὲ ταῦτά ἐστιν οὐκ ἄλλο τι πλὴν ὁ θεός, καθάπερ καὶ ὁ γενναῖος Πλάτων (de leg. IV p. 715 E)· „Ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἔχων, εὐθείᾳ περαίνει, κατὰ φύσιν περιπορευόμενος."

1.6 Μενάνδρου Ὑποβολιμαίῳ (fr. 3 a , Com. IV p. 212 sq.). Παύσασθε νοῦν λέγοντες, οὐδὲν γὰρ πλέον εἴτ' ἔστι τοῦτο πνεῦμα θεῖον, εἴτε νοῦς— τοῦτ' ἔστι τὸ κυβερνῶν 〈ἅπαντα〉 καὶ στρέφον καὶ σῷζον· ἡ πρόνοια δ' ἡ θνητὴ καπνὸς καὶ φλήναφος. πείσθητε, κοὐ μέμψεσθέ με· πάνθ' ὅσα ποιοῦμεν ἢ λέγομεν ἢ πράττομεν, τύχη 'στίν, ἡμεῖς δ' ἐσμὲν ἐπιγεγραμμένοι. 〈 Comici incerti (=Menand. Hypobol. fr. 3 b , Com. IV p. 213).〉 Τύχη κυβερνᾷ πάντα, ταύτην καὶ φρένας δεῖ καὶ πρόνοιαν καὶ θεὸν καλεῖν μόνην, εἰ μή τις ἄλλως ὀνόμασιν χαίρει κενοῖς. 〈 Comici incerti (fr. anon. 255, Com. IV p. 692).〉 Ἅπανθ' ὁρῶ ἅμα τῇ τύχῃ ῥέοντα μεταπίπτοντά τε. 〈 Ἀρχιλόχου (fr. 16 3 B.).〉 Πάντα τύχη καὶ μοῖρα, Περίκλεες, ἀνδρὶ δίδωσιν. 〈 Comici incerti (fr. anon. 256, Com. IV p. 693).〉 Ἀλλ' ἔστιν εὔστοχόν τι βουλευτήριον ταὐτόματον. 〈 Comici incerti (fr. anon. 257, Com. IV p. 693)〉 Ἐπηρεαστικόν γέ τι 〈 Tragici incerti (fr. adesp. 425 N.).〉 Ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ' ἐπισκοποῦς' 〈ἀεὶ〉 καὶ νέμους' ἡμῶν ἑκάστῳ τὴν κατ' ἀξίαν τύχη [μερίδα]. Χαιρήμονος ἐξ Ἀχιλλέως Θερσιτοκτόνου (fr. 2 p. 607 N.). Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία. Φιλήμονος (fr. inc. 98, Com. IV p. 62). Ἄλλος

κατ’ ἄλλην δαιμονίζεται τύχην. Μενάνδρου Κνιδίᾳ (fr. 2, Com. IV p. 151). Ταὐτόματόν ἐστιν ὡς ἔοικέ που θεός, σῴζει τε πολλὰ τῶν ἀοράτων πραγμάτων. Μενάνδρου Ὑποβολιμαίῳ (fr. 6, Com. IV p. 214). Οὐ παντὸς ἀγαθοῦ τὴν πρόνοιαν αἰτίαν κρίνων ἂν ὀρθῶς ὑπολαβεῖν τίς μοι δοκεῖ, ἀλλ’ ἔστι καὶ ταὐτόματον ἔνθα χρήσιμον. Φιλήμονος Ἀποκαρτεροῦντι (Com. IV p. 6). Νῦν δ’ οἶδ’ ἀκριβῶς τὴν τύχην, ὡς οὐ μία, οὐδ’ ἔστι πρῴην, ἀλλὰ μετὰ τῶν σωμάτων ἡμῶν, ὅταν γινώμεθ’, εὐθὺς χἡ τύχη προσγίνεθ’ ἡμῖν συγγενὴς τῷ σώματι· 〈 Εὐριπίδου (fr. 1006 N.).〉 Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν. 〈 Lyrici incerti (fr. adesp. 139 3 B.)〉 Τύχα μερόπων ἀρχὰ καὶ τέρμα, τὺ καὶ σοφίας θακεῖς ἕδρας καὶ τιμὰν βροτέοις ἐπέθηκας ἔργοις· καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν, ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρυσέαν· καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει. τὺ δ’ ἀμαχανίας πόρον εἶδες ἐν ἄλγεσιν, καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ, προφερεστάτα θεῶν. Μενάνδρου Κεκρυφάλῳ (fr. 4, Com. IV p. 148). Ταὐτόματον ἡμῖν ἀφανὲς ὂν συλλαμβάνει. 〈 Τοῦ αὐτοῦ Τιτθῇ (fr. 2, Com. IV p. 205).〉 Αὐτόματα γὰρ τὰ πράγματ’ ἐπὶ τὸ συμφέρον Χαιρήμονος (fr. 19 p. 611 N.). Ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη, οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης. Αἰσχύλου (=trag. fr. adesp. 426 N.). Πάντων τύραννος ἡ τύχη ’στὶ τῶν θεῶν, τὰ δ’ ἄλλ’ ὀνόματα ταῦτα πρόσκειται μάτην, μόνη διοικεῖν γοῦν ἅπαντα βούλεται. 〈 Aetii plac. (I 29 p. 324 sq. Diels.).〉 Ἀριστοτέλης διαφέρειν τῆς τύχης τὸ αὐτόματον· τὸ μὲν γὰρ ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου εἶναι ἐν τοῖς πρακτέοις πάντως· τὸ δ’ αὐτόματον οὐκ ἀπὸ τύχης, ἐν γὰρ τοῖς ἔξω πράξεως· καὶ τὴν μὲν τύχην τῶν λογικῶν, τὸ δ’ αὐτόματον καὶ τῶν λογικῶν καὶ τῶν ἀλόγων καὶ ἀψύχων· καὶ τὴν μὲν τύχην προαιρέτως συμβαίνειν, τὸ δ’ αὐτόματον ἀπροαιρέτως· καὶ τὴν μέν τινος ὑπάρχοντος γίγνεσθαι, τὸ δὲ ἀλόγως, μηδενὸς ἔξω βουλευθέντος. Πλάτων τὴν τύχην ἀπεφαίνετο αἰτίαν ἐν ἀπροαιρέτοις κατὰ συμβεβηκὸς καὶ παρακολούθημα καὶ σύμπτωμα, καὶ προαιρέσεως κατὰ τὴν πρὸς τὸ τέλος πρόθεσιν ἐναλλακτικὴν σχέσιν. Ἀριστοτέλη ς , αἰτίαν κατὰ συμβεβηκός, ἐν τοῖς καθ’ ὁρμὴν ἕνεκά τινος γιγνομένοις ἄστατον καὶ ἄδηλον. Καὶ ὑποθέσεις μὲν δύο ταῖς ἀρχαῖς ἐνυπάρχειν, τάξιν τε μασι, τὴν δ’ ἐν ἄλλοις· τελεῖσθαι δὲ τὰ μὲν πάντως, τὰ δὲ κατὰ τὸ πλεῖστον, τὰ δ’ ἄλλοτε ἄλλως. Τὴν δ’ εἱμαρμένην οὐκ αἰτίαν μέν, τρόπον δέ τινα αἰτίας, συμβεβηκότα πως τοῖς τῆς ἀνάγκης τεταγμένοις. Πλάτωνος Νόμων δ′ (p. 709 A). Ὡς οὐδείς ποτε ἀνθρώπων οὐδὲν νομοθετεῖ, τύχαι δὲ καὶ ξυμφοραὶ παντοῖαι πίπτουσαι παντοίως νομοθετοῦσιν ἅπαντα ἡμῖν. ἢ γὰρ πόλεμός τις βιασάμενος ἀνέτρεψε πολιτείας καὶ μετέβαλε νόμους, ἢ πενίας χαλεπῆς ἀπορία· πολλὰ δὲ καὶ νόσοι ἀναγκάζουσι καινοτομεῖν, λοιμῶν τε ἐμπιπτόντων καὶ χρόνον ἐπὶ πολὺν ἐνιαυτῶν πολλῶν πολλάκις ἀκαιρίαι. Ταῦτα δὴ πάντα προϊδών τις ἄρξειεν ἂν εἰπεῖν ὅπερ ἐγὼ νῦν δή, θνητὸν μὲν μηδένα νομοθετεῖν μηδέν, τύχας δ’ εἶναι σχεδὸν ἅπαντα τἀνθρώπινα πράγματα· τὸ δ’ ἔστι περὶ ναυτιλίαν καὶ κυβερνητικὴν καὶ ἰατρικὴν καὶ στρατηγικὴν πάντα ταῦτ’ εἰπόντα δοκεῖν εὖ λέγειν· ἀλλὰ γὰρ ὅμως αὖ καὶ τόδε ἔστιν εὖ λέγοντα λέγειν ἐν τοῖς αὐτοῖς τούτοις. — Τὸ ποῖον; — Ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. Ἡμερώτερον μὲν τρίτον ξυγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τέχνην· καιρῷ γὰρ χειμῶνος συλλαβέσθαι κυβερνητικὴν ἢ μή, μέγα πλεονέκτημα ἔγωγ’ ἂν θείην. ἢ πῶς; — Οὕτως. — Οὐκοῦν καὶ τοῖς ἄλλοις ὡσαύτως κατὰ τὸν αὐτὸν ἂν ἔχοι λόγον; 〈 Aetii plac. (I 29 p. 325 Diels.).〉 Θεόφραστος προσδιαρθροῖ ταῖς αἰτίαις τὴν κατὰ προαίρεσιν· φέρεται δέ πως εἰς τὸ εἱμαρμένην εἶναι τὴν ἑκάστου φύσιν· ἐν ᾗ τόπον τεττάρων αἰτιῶν ποικίλων, προαιρέσεως 〈φύσεως〉 τύχης καὶ ἀνάγκης. Ἐπίκουρος κατ’ ἀνάγκην, κατὰ προαίρεσιν, κατὰ τύχην. Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεω ν . Περὶ δὲ τύχης τάδ’ ἔφασκον· εἶναι μέν τι καὶ δαιμόνιον μέρος αὐτῆς, γενέσθαι γὰρ ἐπίπνοιάν τινα παρὰ τοῦ δαιμονίου τῶν ἀνθρώπων ἐνίοις ἐπὶ τὸ βέλτιον ἢ ἐπὶ τὸ χεῖρον, καὶ εἶναι φανερῶς κατ’ αὐτὸ τοῦτο τοὺς μὲν εὐτυχεῖς, τοὺς δὲ ἀτυχεῖς. καταφανέστατον δὲ εἶναι τοῦτο 〈τῷ〉

τοὺς μὲν ἀπροβουλεύτως καὶ εἰκῇ τι πράττοντας πολλάκις κατατυγχάνειν, τοὺς δὲ προβουλευομένους καὶ προνοουμένους ὀρθῶς τι πράττειν ἀποτυγχάνειν. Εἶναι δὲ καὶ ἕτερον τύχης εἶδος, καθ' ὃ οἳ μὲν εὐφυεῖς καὶ εὔστοχοι, οἳ δὲ ἀφυεῖς τε καὶ ἐναντίαν ἔχοντες φύσιν βλάστοιεν, ὧν οἳ μὲν εὐθυβολοῖεν ἐφ' ὅ τι ἂν ἐπιβάλωνται, οἳ δὲ ἀποπίπτοιεν τοῦ σκοποῦ, μηδέποτε τῆς διανοίας αὐτῶν εὐστόχως φερομένης, ἀλλὰ ἀεὶ ταρασσομένης· ταύτην δὲ τὴν ἀτυχίαν σύμφυτον εἶναι καὶ οὐκ ἐπείσακτον. Εὐρύσω περὶ τύχας (fr. 2 Mullach., phil. II p. 112). μενον ἀτέραις τισὶν αἰτίαις. Ἃ τύχα ὧν καὶ τὸ ἀπὸ τύχας γινόμενον οὔθ' ὡς φύσις ἐντὶ ὑπὸ φύσιός τε γινόμενον, οὔθ' ὡς τέχνα καὶ φρόνασίς τις ἀνθρωπίνα καὶ θεία, ἀλλὰ ἐπισυμβαῖνον παραλόγως τε καὶ ἀπροαισθήτως τούτοις. Ἐπεὶ γὰρ δύο φύσιες ἐν τῷ ὅλῳ τῷδε καὶ τῷ παντὶ ἐνυπάρχοντι ἐναντίαι ἀλλάλαις καὶ ταυτᾶν ἃ μέν ἐντι ῥητὰ καὶ τεταγμένα καὶ λόγον ἔχουσα ποτὶ πάντα, ἃ δ' ἄρρητος καὶ ἄτακτος καὶ ἄλογος καὶ οὐδεμίαν σύνταξιν ἔχουσα, αὐταυτόθεν φανερόν, ὅτι τὸ μὲν ἀπὸ τύχας καὶ τῶ αὐτομάτω γινόμενον γίνεται ἐμπεσούσας τᾶς ἀλόγω καὶ ἀτάκτω φύσιος ἐς τὰ πράγματα, πάντα δὲ τὰ σύστοιχα ταῖς καθόλω φύσεσιν ἀεὶ κατὰ τὸ βέλτιον καὶ τὸ χεῖρον ἀντιδιαιρέονται [τὰ] πράγματα, τὰ μὲν ὡς ἀγαθοποιῶ τινος φύσιος καὶ βασιλικᾶς ἐπικρατευσάσας, τὰ δ' ὡς κακοποιῶ καὶ τυραννικᾶς.

1.7 Μενάνδρου Κιθαριστοῦ (fr. 8, Com. IV p. 151). Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη. Μενάνδρου Προγάμων (=Chaeremonis fr. 20 p. 611 N.). 〈 Μενάνδρου (=Προγάμων Co m . IV p . 19 5) .〉 Τυφλόν γε καὶ δύστηνόν ἐστιν ἡ τύχ η . Σοφοκλέους Οἰδίποδι (Tyr. 977. 978.). Τί δ' ἂν φοβοῖτ' ἄνθρωπος, ᾧ τὰ τῆς τύχης κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής; Μενάνδρου (fr. 247, Com. IV p. 288). Οὐδὲν κατὰ λόγον γίγνεθ' ὧν ποιεῖ τύχη. Εὐριπίδου Ἑλένης (711—715). Σκέψαι γάρ, ὁ θεὸς ὡς ἔχει τι ποικίλον καὶ δυστέκμαρτον· εὖ δέ πως ἀναστρέφει ἐκεῖσε κἀκεῖς' ἀναφέρων· ὃ μὲν πονεῖ, ὃ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς, βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων. Μενάνδρου Ξενολόγῳ (fr. 2, Com. IV p. 176). Οὕτως ἀσυλλόγιστον ἡ τύχη ποιεῖ τὸ συμφέρον τί ποτ' ἐστὶν ἀνθρώπου βίῳ· οὐ χρῆται νόμοις καθ' οὓς κρίνει πράγματα, οὐδ' ἔστιν εἰπεῖν ζῶντα „ταῦτ' οὐ πείσομαι". 〈 Εὐριπίδου Ἱππολύτῳ (701).〉 Εὐριπίδου Δανάης (fr. 332 N.). Ἐς ταὐτὸν ἥκειν φημι τὰς βροτῶν τύχας, τόν θ' ὃν καλοῦσιν αἰθέρ', ὅστις ἔστι δή. οὗτος θέρους τε λαμπρὸν ἐκλάμπει σέλας, χειμῶνά τ' αὔξει, συντιθεὶς πυκνὸν νέφος· θάλλειν τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποιεῖ· οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν· ζῶσίν τε σὺν κακοῖσιν, οἳ δ' ὄλβου μέτα φθίνους' ἐτείοις προσφερῶς μεταλλαγαῖς. 〈 Aetii plac. (I 29, 6. 7 p. 326 Diels.).〉 Ἐπίκουρος ἄστατον αἰτίαν προσώποις, χρόνοις, τόποις. Ἀναξαγόρας καὶ οἱ Στωικοὶ ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ· ἃ μὲν γὰρ εἶναι κατ' ἀνάγκην, ἃ δὲ καθ' εἱμαρμένην, ἃ δὲ κατὰ προαίρεσιν, ἃ δὲ κατὰ τύχην, ἃ δὲ κατὰ τὸ αὐτόματον. Τύχη ἀτάκτου ἐνεργείας ἐστὶ προσηγορία. Διωτογένεος Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότατο ς . Ἐπεὶ γὰρ τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι καὶ ἐπὶ τέλος ἐπιτίθεντι, φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα, καὶ τῶν μὲν ... ἐξ ἄθεος ποτὶ ξυμφωνίαν πολιτικὰν φερόντων νόμος ἐπιστάτας καὶ δαμιουργός· τῶν δὲ διὰ φρονάσιος ἀνθρωπίνας τελεωθέντων τέχνα 〈κα〉 λέγοιτο μάτηρ τε καὶ ἀγεμὼν ἦμεν· τῶν δὲ εἰκᾷ τε καὶ ὡς ἔτυχεν ἀπὸ τωὐτομάτω ὁμοίως ποτιπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς τύχαν τῶν τοιούτων αἰτίαν φασοῦμες· ταύταν δ' οὔτ' ἐν μέτρῳ οὔτ' ἐν ὅρῳ τεταγμέναν καὶ πεφυρμένως ἕκαστα ποιέν· γενναθείσα δὲ δὴ ἐξ αὐταυτῶ γένεος ἄμφω κινεῖσθαι.

1.8 Σοφοκλέους (fr. 832 N.). Ξενοφάνους (fr. XII Brandis. p. 60). Οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς παρέδειξαν, ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον. Φιλήμονος (fab. inc. fr. 55, Com. IV p. 54). Ὦ Πάμφιλ', ὁ χρόνος οὐ μόνον τὰ σώματα αὔξει βαδίζων, ἀλλὰ καὶ τὰ πράγματα. 〈 Χαιρήμονος (fr. 22 p. 612 N.).〉 Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ τι οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται. Ἀντιφάνους (fab. inc. fr. 72, Com. III p. 156). Μάλιστα δ'

ἐκπλήττει με τῶν συνειδότων ὁ χρόνος, ὃν ἀεὶ λανθάνειν ἀμηχανῶ. Θεοδέκτου (fr. 9 p. 625 N.). Ἀλλ', ὦ τάλαν Θυέστα, καρτέρει δάκνων ὀργῆς χαλινόν· παρακελεύομαι δέ σοι τεθηγμένῳ νῦν· ἀλλ' ὁ μυρίος χρόνος τὰ πάντ' ἀμαυροῖ χὑπὸ χεῖρα λαμβάνει. Ἀγάθωνος (fr. 18 p. 595 N.). Οὐπώποτ' ἠξίωσα χαρίσασθαι χρόνοις. Μενάνδρου (fr. 278, Com. IV p. 293). Τοῦ αὐτοῦ (fr. 170, Com. IV p. 272). Ὦ δέσποτ', ἄξι' ἐστὶ τοῖς σοφοῖς βροτῶν χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι. Κριτίου (fr. 2 p. 600 N.). Ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον. 〈 Tragici incerti (fr. adesp. 427 N.).〉 Μετὰ τὴν σκιὰν τάχιστα γηράσκει χρόνος. 〈 Poetae incerti (=Nicostrati fr. 3, Com. III p. 288).〉 Πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίγνεται. 〈 Νικοστράτου Λακώνων (fr. 4, Com. III p. 288).〉 Οὐκ ἔστι δυσαρεστότερον οὐδὲ ἓν χρόνου, οὐδέποτ' ἀρέσκει ταὐτὰ τούτῳ τῷ θεῷ. Ἀγάθωνος (fr. 19 p. 595 N.). 〈 Σιμωνίδου (fr. 175 3 b.).〉 Οὐκ ἔστιν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου, ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον. 〈 Lyrici incerti (=Agath. eleg. 28 p. 593 3 B.).〉 Ὤφελεν ὡς ἀφανὴς οὕτω φανερώτατος εἶναι καιρός, ὃς αὐξάνεται πλεῖστον ἀπ' εὐλαβίης. Σοφοκλέους (fr. 280 N.). Πρὸς ταῦτα κρύπτε μηδέν, ὡς ὁ πάνθ' ὁρῶν καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος. 〈 Tragici incerti (=Sophocl. fr. 833 N.).〉 Χρόνος, ὦ Χρόν', ἅμα κραταιᾷ χρημοσύνᾳ βιότου 〈 Tragici incerti (=Eurip. fr. 509 N.).〉 Οὐκ ἔστι πράσσοντάς τι μοχθηρὸν λαθεῖν· ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ. Εὐριπίδου Ἀλόπῃ (=Aἰόλ. fr. 38 N.). Ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει, λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει. Σοφοκλέους Οἰδίποδι (Tyr. 614. 615). Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος, κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ. Σιμωνίδου Ἐπιγραμμάτων (fr. 176 3 B.). Ὅ τοι χρόνος ὀξὺς ὀδόντας πάντα καταψήχει καὶ τὰ βιαιότατα. Σοφοκλῆς Αἴαντι (646—649). Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται. Κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται χὠ δεινὸς ὅρκος, χαἱ περισκελεῖς φρένες. 〈 Τοῦ αὐτοῦ (714).〉 Εὐριπίδου Ἱππολύτου (fr. 444 N.). Χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ. Tragici incerti (=Philem. fr. 97, Com. IV p. 61). Χρόνος τὰ κρυπτὰ πάντα πρὸς τὸ φῶς ἄγει. 〈 Tragici incerti (fr. adesp. 428 N.).〉 Ἀλλὰ ταῦτα μὲν χρόνος δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής. 〈 Tragici incerti (=Chaerem. fr. 20 p. 612 N.).〉 Χρόνος δίκαιον ἄνδρα μηνύει ποτέ. Φιλήμονος (=tr. fr. adesp. 429 N.). Χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται. Χαιρήμονο ς . Σχολῇ βαδίζων ὁ χρόνος ἀφικνεῖται τ〈όπ〉αν. Μενάνδρου (fr. 42, Com. IV p. 247). Οὐκ ἔστ' ἄπιστον οὐδὲν ἐν θνητῷ βίῳ, οὐδ' ἂν γένοιτο· πολλὰ ποικίλλει χρόνος παράδοξα καὶ θαυμαστὰ καὶ ζώντων τρόποι. Χαιρήμονος (fr. 22 p. 612 N.). Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ τι Τοῦ αὐτοῦ (=Chaerem. fr. 23 p. 612 N.). Χρόνος μαλάσσει πάντα κἀξεργάζεται. Φιλήμονος (fr. 56, Com. IV p. 54). Ὅσαι τέχναι γεγόνασι, ταύτας, ὦ Λάχης, πάσας ἐδίδαξεν ὁ χρόνος, οὐχ ὁ διδάσκαλος. Ἀναγενέους (anonym. fr. 359, Com. IV p. 693). Ὁ πολὺς χρόνος πάντ' ἐξελέγχει, Νικοφῶν. Ἑρμίππου (fr. 1, Com. II p. 380; fr. 4 Kock.). Ἐκεῖνός ἐστιν στρογγύλος τὴν ὄψιν, ὦ πονηρέ, ἐντὸς δ' ἔχων περιέρχεται κύκλῳ τὰ πάντ' ἐν αὑτῷ· ἡμᾶς δὲ τίκτει περιτρέχων τὴν γῆν ἁπαξάπασαν. Ὀνομάζεται δ' ἐνιαυτός, ὢν δὲ περιφερὴς τελευτὴν οὐδεμίαν οὐδ' ἀρχὴν 〈ἔχει〉· κυκλῶν δ' ἀεὶ τὸ σῶμα οὐ παύεται δι' ἡμέρας ὁσημέραι τροχάζων. Κλεοβούλου σοφοῦ τῶν αἰνιγμάτων (fr. 2 3 B., p. 971). Εἷς ὁ πατήρ, παῖδες 〈δὲ〉 δυώδεκα· τῶν δὲ ἑκάστῳ κοῦραι ἑξήκοντα, διάνδιχα εἶδος ἔχουσαι· αἳ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἳ δ' αὖτε μέλαιναι· Μοσχίωνος (fr. 7 p. 633 N.). Πρῶτον δ' ἄνειμι καὶ διαπτύξω λόγῳ ἀρχὴν βροτείου καὶ κατάστασιν βίου· ἦν γάρ ποτ' αἰὼν κεῖνος, ἦν ποθ' ἡνίκα θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί, ὀρειγενῆ σπήλαια καὶ δυσηλίους φάραγγας ἐνναίοντες· οὐδέπω γὰρ ἦν οὔτε στεγήρης οἶκος, οὔτε λαΐνοις εὐρεῖα πύργοις ὠχυρωμένη πόλις· οὐ μὴν ἀρότροις ἀγκύλοις ἐτέμνετο μέλαινα καρποῦ βῶλος ὀμπνίου τροφός, οὐδ' ἐργάτης σίδηρος εὐιώτιδος θάλλοντας οἴνης ὀρχάτους ἐτημέλει, ἀλλ' ἦν ἀκύμων κωφεύουσα ῥέουσα γῆ. βοραὶ δὲ σαρκοβρῶτες ἀλληλοκτόνους παρεῖχον αὐτοῖς δαῖτας· ἦν δ' ὁ μὲν Νόμος ταπεινός, ἡ Βία δὲ σύνθρονος Διί, ὁ δ' ἀσθενὴς ἦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἀμεινόνων βορά. Ἐπεὶ δ' ὁ τίκτων πάντα καὶ τρέφων χρόνος τὸν θνητὸν ἠλλοίωσεν ἔμπαλιν βίον, εἴτ' οὖν μέριμναν τὴν Προμηθέως σπάσας, εἴτ' οὖν ἀνάγκην, εἴτε τῇ μακρᾷ τριβῇ αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον, Δήμητρος ἀγνῆς, εὑρέθη δὲ Βακχίου γλυκεῖα πηγή· γαῖα δ' ἡ πρὶν ἄσπορος ἤδη ζυγουλκοῖς βουσὶν ἠροτρεύετο. ἄστη δ' ἐπυργώσαντο καὶ περισκεπεῖς ἔτευξαν οἴκους· καὶ τὸν ἠγριωμένον εἰς ἥμερον δίαιταν ἤγαγον βίον· κἀκ τοῦδε τοὺς θανόντας ὥρισεν νόμος τύμβοις καλύπτειν, κἀπιμοιρᾶσθαι κόνιν νεκροῖς ἀθάπτοις, μηδ' ἐν ὀφθαλμοῖς ἐᾶν τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβοῦς. Ἐκ τῶν Βίωνος Βουκολικῶν (c. III Herm., XVII Ahr.). „Εἴαρος, ὦ Μύρσων, ἢ χείματος, ἢ φθινοπώρω, ἢ θέρεος τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν; ἦ θέρος, ἁνίκα πάντα τελείεται ἄσσα μογεῦμες; ἢ γλυκερὸν φθινόπωρον, ὅκ' ἀνδράσι λιμὸς ἐλαφρά; ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοὶ θαλπόμενοι θέλγονται ἀεργείᾳ τε καὶ ὄκνῳ. ἦ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπὲ τί τοι φρὴν αἱρεῖται; λαλέεν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἁμῖν.“ „„Κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι, πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἄδιον ἄλλων. οὖλον χεῖμα φέρον νιφετὸν κρυμώς τε φοβεῦμαι. εἶαρ ἐμοὶ τριπόθατον ὅλῳ λυκάβαντι παρείη, ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει· εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστῆ, χά νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.““ Θαλῆς ἐρωτηθείς, τί σοφώτατον; 〈ἔφη,〉 Χρόνος· ἀνευρίσκει γὰρ τὰ πάντα. Περίανδρος ἐρωτηθείς, Τί πάντων αἴτιον; ἔφη, Χρόνος. Θαλῆς ἔφησεν, ὅτι σαφέστατος ἔλεγχος πραγμάτων ἁπάντων ἐστὶν ὁ χρόνος, οὗτος 〈γὰρ〉 τὴν ἀλήθειαν ἐμφανίζει. Εὐρυφῶν ὁ ἰατρὸς ἐρωτηθεὶς τὸν διδάσκαλον παρ' ᾧ ἐπαιδεύθη, Παρὰ τῷ χρόνῳ, ἔφη. 〈 Aetii (plac. I 21. 22 p. 318 Diels.).〉 Πυθαγόρας τὴν σφαῖραν τοῦ περιέχοντος. Ἐρατοσθένης τὴν τοῦ ἡλίου πορείαν. Οἱ Στωικοὶ χρόνου οὐσίαν αὐτὴν τὴν κίνησιν. Οἱ πλείους ἀγένητον τὸν χρόνον. Στράτων τὸ ἐν κινήσει καὶ ἠρεμίᾳ ποσόν. Ἐπίκουρος σύμπτωμα 〈συμπτωμάτων〉, τοῦτο δ' ἐστὶ παρακολούθημα κινήσεων. Ἀντιφᾶν καὶ Κριτόλαος νόημα ἢ μέτρον τὸν χρόνον, οὐδ' ὑπόστασιν. 〈 Arii Didymi (epitom. phys. fr. 6 Diels. Doxogr. p. 449).〉 Ἀριστοτέλους ς . τὸν δὲ χρόνον ἀριθμὸν εἶναι κινήσεως κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον, οὔτ' ἀρχὴν ἔχοντα οὔτε τελευτήν, ἀλλ' ἀεὶ ὄντα καὶ ἀεὶ γιγνόμενον, εἶναι δὲ συνεχῆ καὶ διαιρετόν, λαμβάνεσθαι γὰρ αὐτοῦ τὸ μὲν πρότερον τὸ δ' ὕστερον, ὅρον δ' ὑπάρχειν ἑκατέρων τὸ νῦν, τοῦτο γὰρ νοεῖσθαι τοῦ μὲν προτέρου πέρας, τοῦ δὲ μέλλοντος ἀρχήν. 〈 Arii Didymi (epitom. phys. fr. 7 p. 450).〉 Οἱ Ἀριστοτελικοὶ τὸν χρόνον ἀριθμὸν τῶν κατὰ τὸ νῦν ἀφοριζομένων κινήσεων, τὸ δὲ νῦν εἶναι μονάδα στάσεως ἐν κινήσει, κίνησιν δ' οὐκ εἶναι τὸν χρόνον, οὐ μὴν 〈ἄνευ〉 κινήσεως· λέγεσθαι γὰρ κίνησιν βραδεῖαν καὶ ταχεῖαν, οὐκέτι δὲ χρόνον, ἀλλὰ πολὺν καὶ ὀλίγον. Ἔτι τὸ μὲν πλεῖον καὶ τοὔλαττον ἀριθμῷ κρίνεσθαι, χρόνῳ δὲ τὴν πλείω καὶ ἐλάττω κίνησιν. Οὐκ ἄρα κίνησις ὁ χρόνος, οὐ μὴν κινήσεως κεχωρισμένος, ἀριθμὸν γὰρ εἶναι κινήσεως συνεχῆ κατὰ τὸ πρότερον καὶ ὕστερον. 〈 Arii Didymi (epitom. phys. fr. 26 p. 461).〉 Ζήνωνο ς . Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα, τοῦτο δὲ καὶ μέτρον καὶ κριτήριον τάχους τε καὶ βραδύτητος, ὅπως ἔχει 〈ἕκαστα〉. Κατὰ τοῦτον δὲ γίνεσθαι τὰ γινόμενα καὶ τὰ περαινόμενα ἅπαντα καὶ τὰ ὄντα εἶναι. Ἑρμοῦ ἐκ τῶν πρὸς Τά τ . (p. 38 b Patrit.). ..... Ὡς καὶ περὶ τῶν τριῶν χρόνων εὑρεῖν· οὔτε γὰρ καθ' ἑαυτούς εἰσιν, οὔτε συνήνωνται· καὶ πάλιν συνήνωνται καὶ καθ' ἑαυτούς εἰσιν. Ἐὰν χωρὶς εἶναι τοῦ παρεληλυθότος ὑπολάβῃς τὸν ἐνεστῶτα, ἀδύνατόν ἐστιν ἐνεστάναι, εἰ μὴ καὶ παρεληλυθὼς γένοιτο· ἐκ γὰρ τοῦ ἀποιχομένου τὸ ἐνεστὼς γίνεται καὶ ἐκ τοῦ ἐνεστῶτος τὸ μέλλον ἔρχεται. Εἰ δὲ δεῖ καὶ ἐπὶ πλέον βασανίσαι, οὕτω λογισώμεθα· τὸν μὲν παρεληλυθότα χρόνον οἴχεσθαι εἰς τὸ μηκέτι εἶναι [τοῦτον], τὸν δὲ μέλλοντα μὴ ὑπάρχειν ἐν τῷ μηδέπω παμενος; καὶ πάλιν ὁ παρεληλυθὼς συνάπτων τῷ ἐνεστῶτι καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι εἷς γίνεται (οὐ γὰρ χωρὶς αὐτῶν εἰσι) τῇ ταὐτότητι καὶ τῇ ἑνότητι καὶ τῇ συνεχείᾳ. Οὕτω καὶ συνεχὴς καὶ διεστὼς γίνεται, εἷς ὢν καὶ ὁ αὐτός, χρόνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈 Arii Didymi (epitom. phys. fr. 26 p. 461). Ἀπολλοδώρο υ . Ἀπολλόδωρος δ' ἐν τῇ Φυσικῇ τέχνῃ οὕτως ὁρίζεται τὸν χρόνον· Χρόνος δ' ἐστὶ τῆς τοῦ κόσμου κινήσεως διάστημα· οὕτως δ' ἐστὶν ἄπειρος, ὡς ὁ πᾶς ἀριθμὸς ἄπειρος λέγεται εἶναι· τὸ μὲν γάρ ἐστιν αὐτοῦ παρεληλυθός, τὸ δὲ ἐνεστηκός, τὸ δὲ μέλλον. Ἐνεστάναι δὲ τὸν πάντα χρόνον ὡς τὸν ἐνιαυτὸν ἐνεστηκέναι λέγομεν κατὰ μείζονα περιγραφήν· καὶ ὑπάρχειν ὁ πᾶς χρόνος λέγεται, οὐδενὸς αὐτοῦ τῶν μερῶν ὑπάρχοντος ἀπαρτιζόντος. Ποσειδωνίο υ . Τὰ μέν ἐστι κατὰ πᾶν ἄπειρα, ὡς ὁ σύμπας χρόνος· τὰ δὲ κατά τι, ὡς ὁ παρεληλυθὼς χρόνος καὶ ὁ μέλλων· κατὰ γὰρ τὸν παρόντα μόνον ἑκάτερος πεπέρανται. Τὸν δὲ χρόνον οὕτως ὁρίζεται· διάστημα κινήσεως ἢ μέτρον τάχους τε καὶ βραδύτητος, ὅπως ἔχει τὸ ἐπινοούμενον. 〈καὶ〉 κατὰ τὸ πότε τοῦ χρόνου τὸν μὲν εἶναι παρεληλυθότα, τὸν δὲ μέλλοντα, τὸν δὲ παρόντα, ὃς ἔκ τινος μέρους τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος περὶ τὸν διορισμὸν αὐτὸν συνέστηκε· τὸν δὲ διορισμὸν σημειώδη εἶναι. Τὸ δὲ νῦν καὶ τὰ ὅμοια ἐν πλάτει χρόνον καὶ οὐχὶ κατ' ἀπαρτισμὸν νοεῖσθαι. Λέγεσθαι δὲ τὸ νῦν καὶ [κατὰ] τὸν ἐλάχιστον πρὸς αἴσθησιν χρόνον περὶ τὸν διορισμὸν τοῦ μέλλοντος καὶ παρεληλυθότος συνιστάμενον. Χρυσίππο υ . Ὁ δὲ Χρύσιππος χρόνον εἶναι κινήσεως διάστημα, καθ' ὃ ποτὲ λέγεται μέτρον τάχους τε καὶ βραδύτητος· ἢ τὸ παρακολουθοῦν διάστημα τῇ τοῦ κόσμου κινήσει, καὶ κατὰ μὲν τὸν χρόνον κινεῖσθαί τε ἕκαστα καὶ εἶναι· εἰ μὴ ἄρα διττὸς λέγεται ὁ χρόνος, καθάπερ ἥ τε γῆ καὶ ἡ θάλαττα καὶ τὸ κενόν, τά τε ὅλα καὶ τὰ μέρη τὰ αὐτῶν. Ὥσπερ δὲ τὸ κενὸν πᾶν ἄπειρον εἶναι πάντῃ καὶ τὸν χρόνον πάντα ἄπειρον εἶναι ἐφ' ἑκάτερα· καὶ γὰρ τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα ἄπειρον εἶναι. Ἐμφανέστατα δὲ τοῦτο λέγει, ὅτι οὐθεὶς ὅλως ἐνίσταται χρόνος. Ἐπεὶ γὰρ εἰς ἄπειρον ἡ τομὴ τῶν συνεχόντων ἐστί, κατὰ τὴν διαίρεσιν ταύτην καὶ πᾶς χρόνος εἰς ἄπειρον ἔχει τὴν τομήν· ὥστε μηθένα κατ' ἀπαρτισμὸν ἐνεστάναι χρόνον, ἀλλὰ κατὰ πλάτος λέγεσθαι. Μόνον δ' ὑπάρχειν φησὶ τὸν ἐνεστῶτα, τὸν δὲ παρῳχημένον καὶ τὸν μέλλοντα ὑφεστάναι μέν, ὑπάρχειν δὲ οὐδαμῶς, εἰ μὴ ὡς καὶ κατηγορήματα ὑπάρχειν λέγεται μόνα τὰ συμβεβηκότα, οἷον τὸ περιπατεῖν ὑπάρχει μοι ὅτε περιπατῶ, ὅτε δὲ κατακέκλιμαι ἢ κάθημαι οὐχ ὑπάρχει ..... Ἔαρ δὲ ἔτους ὥραν κεκραμένην ἐκ χειμῶνος ἀπολήγοντος καὶ θέρους ἀρχομένου· ἢ τὴν μετὰ χειμῶνα ὥραν πρὸ θέρους. Θέρος δὲ ὥραν ἔτους τὴν μάλισθ' ὑφ' ἡλίου ψυγμένον. Γίνεσθαι δὲ ἰσημερίας δύο καθ' ἕκαστον ἐνιαυτὸν καὶ τροπὰς δύο· ἰσημερίας μέν, ὅταν ἡ νὺξ καὶ ἡ ἡμέρα ἴσαι ὦσι· τούτων δὲ τὴν μὲν ἔαρι γίγνεσθαι, τὴν δὲ μετοπώρῳ· τῶν δὲ τροπῶν τὰς μὲν θέρους, τὰς δὲ χειμῶνος. 〈 Aetii (plac. III 8, 1 p. 375 Diels.).〉 Ἐμπεδοκλῆς καὶ οἱ Στωικοὶ χειμῶνα μὲν γίγνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει εἰς τὸ ἀνωτέρω βιαζομένου· θερείαν δὲ τοῦ πυρός, ὅταν εἰς τὸ κατωτέρω βιάζηται. 〈 Aetii (plac. II 32, 1—4 p. 363 Diels.).〉 Ἐνιαυτός ἐστι Κρόνου μὲν ἐνιαυτῶν περίοδος τριάκοντα, Διὸς δώδεκα, Ἄρεος δυοῖν, Ἡλίου δώδεκα μῆνες· οἱ δ' αὐτοὶ Ἑρμοῦ καὶ Ἀφροδίτης, ἰσόδρομοι γάρ· Σελήνης ἡμέραι τριάκοντα. Οὗτος γὰρ ὁ τέλειος μὴν ἀπὸ φάσεως εἰς σύνοδον. Γίγνεσθαι δὲ τὸν λεγόμενον μέγαν ἐνιαυτόν, ὅταν ἐπὶ τοὺς 〈αὐτοὺς〉 ἀφ' ὧν ἤρξαντο τῆς κινήσεως ἀφίκωνται τόπους. Τὸν δέ γε μέγαν ἐνιαυτὸν οἱ μὲν ἐν τῇ ὀκταετηρίδι τίθενται, οἱ δὲ ἐν τῇ ἐννεακαιδεκαετηρίδι, οἱ δ' ἐν τοῖς τετραπλασίοις ἔτεσιν, οἱ δ' ἐν τοῖς ἑξήκοντα 〈ἑνὸς δέουσιν〉 , ἐν οἷς Οἰνοπίδης καὶ Πυθαγόρας· οἱ δ' ἐν τῇ λεγομένῃ κεφαλῇ τοῦ Κρόνου, αὕτη δ' ἐστὶ τῶν ἑπτὰ Ἡράκλειτος ἐκ μυρίων ὀκτακισχιλίων ἐνιαυτῶν ἡλιακῶν. Διογένης ὁ Στωικὸς ἐκ πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ἐνιαυτῶν τοσούτων, ὅσος ἦν ὁ καθ' Ἡράκλειτον ἐνιαυτός. Ἐκ τοῦ Σκυθίνου Περὶ φύσεω ς . Χρόνος ἐστὶν ὕστατον καὶ πρῶτον πάντων καὶ ἔχει ἐν ἑαυτῷ πάντα καὶ ἔστιν εἷς ἀεί· καὶ οὐκ εἶσιν ὁ παροιχόμενος ἐκ τοῦ ἐόντος αὐτῷ ἐναντίην ὁδὸν παρεωνιατῶν. Τὸ γὰρ αὔριον ἡ μὲν τῷ ἔργῳ χθὲς ἔσται, τὸ δὲ χθὲς αὔριον 〈ἦν〉 . Ἐκ τοῦ Πλουτάρχου παραλλήλων Νουμᾶ καὶ Λουκούργου (Numa c. 18). Πολλοί εἰσιν, οἳ προστεθῆναι τὸν Ἰανουάριον καὶ Φεβρουάριον ὑπὸ Νουμᾶ τοὺς μῆνας

λέγουσιν, ἐξ ἀρχῆς δὲ χρῆσθαι Ῥωμαίους δέκα μόνοις εἰς τὸν ἐνιαυτόν, ὡς ἔνιοι τῶν βαρβάρων τρισὶ καὶ τῶν Ἑλλήνων Ἀρκάδες μὲν τέτρασιν, ἓξ δὲ Ἀκαρνᾶνες· Αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτός, εἶτα τετράμηνος, ὥς φασι· δι' ὃ καὶ οἱ ταύτην τὴν χώραν οἰκοῦντες ἀρχαιότατοι δοκοῦσιν εἶναι καὶ πλῆθος ἀμήχανον ἐτῶν ἐπὶ ταῖς γενεαλογίαις καταφέρουσιν, ἅτε Πλάτωνος ἐκ τοῦ Τιμαίου (c. X. XI) 〈et Aetii (I 21, 2; 22, 9 et 1 p. 318 Diels.).〉 Πλάτων αἰῶνος εἰκόνα κινητήν, ἢ διάστημα τῆς τοῦ κόσμου κινήσεως· γενητὸν δὲ κατ' ἐπίνοιαν· οὐσίαν δὲ χρόνου τὴν οὐρανοῦ κίνησιν· λέγει γὰρ ἐν τῷ Τιμαίῳ (c. X p. 37 C —c. XI p. 38 D) οὕτως· Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι. Καθάπερ οὖν αὐτὸ τυγχάνει ζῷον ἀΐδιον, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε τοιοῦτον ἀποτελεῖν. Ἡ μὲν οὖν τοῦ ζῴου φύσις ἐτύγχανεν οὖσα αἰώνιος· καὶ τοῦτο μὲν δὴ παντελῶς τῷ γενητῷ προσάπτειν οὐκ ἦν δυνατόν· εἰκόνα δ' ἐπενόει κινητήν τινα αἰῶνος ποιῆσαι καὶ διακοσμῶν οὐρανῷ ἅμα ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν. ἡμέρας δὲ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτούς, οὐκ ὄντας πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα ἐκείνῳ ξυνισταμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται. Ταῦτα δὲ πάντα μέρη χρόνου καὶ τό τ' ἦν καὶ ἔσται χρόνου γεγονότα εἴδη, ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον 〈οὐσίαν〉 οὐκ ὀρθῶς. Λέγομεν γὰρ δὴ ὡς ἦν ἔστι τε καὶ ἔσται· τῇ δὲ τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει, τὸ δ' ἦν τό τ' ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν ἰοῦσαν πρέπει λέγεσθαι· κίνησις γάρ ἐστι. Τὸ δὲ ἀεὶ κατὰ ταὐτὰ νου ταῦτα αἰῶνα μιμουμένου καὶ κατ' ἀριθμὸν κυκλουμένου γέγονεν εἴδη. Καὶ πρὸς τούτοις ἔτι τὰ τοιάδε, τό τε γεγονὸς εἶναι γεγονὸς καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον, ἔτι τε τὸ γενησόμενον εἶναι γενησόμενον καὶ τὸ μὴ ὂν μὴ ὂν εἶναι· ὧν οὐδὲν ἀκριβὲς λέγομεν. Περὶ μὲν οὖν τούτων τάχ' ἂν οὐκ ἂν εἴη καιρὸς πρέπων ἐν τῷ παρόντι διακριβολογεῖσθαι. Χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν, ἵν' ἅμα γενηθέντες ἅμα καὶ λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γίγνηται, καὶ κατὰ τὸ παράδειγμα τῆς αἰωνίας φύσεως, ἵν' ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ. Τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνά ἐστιν ὄν· ὁ δ' αὖ διὰ τέλους τὸν ἅπαντα χρόνον γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος. Ἐξ οὖν λόγου καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γενηθῇ χρόνος, ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἔχοντα ἐπίκλην ἄστρα πλανητὰ εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε. Σώματα δὲ αὐτῶν ἑκάστων ποιήσας ὁ θεὸς ἔθηκεν εἰς τὰς περιφοράς, ἃς ἡ θατέρου περίοδος ᾖειν, ἑπτὰ οὔσας, ὄντα ἑπτά· σελήνην μὲν εἰς τὸν περὶ γῆν πρῶτον, ἥλιον δ' εἰς τὸν δεύτερον ὑπὲρ γῆς, ἑωσφόρον δὲ καὶ τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον εἰς τὸν τάχει μὲν ἰσόδρομον ἡλίῳ κύκλον ἰόντας, τὴν δ' ἐναντίαν εἰληχότας αὐτῷ δύναμιν· ὅθεν καταλαμβάνουσί τε καὶ καταλαμβάνονται κατὰ ταὐτὰ ὑπ' ἀλλήλων ἥλιός πάρεργος ὢν πλέον ἂν ἔργον ὧν ἕνεκα λέγεται παράσχοι. —(c. XI p. 39 D) ἔστι δ' ὅμως οὐδὲν ἧττον κατανοῆσαι δυνατόν, ὡς ὅ γε τέλειος ἀριθμὸς χρόνου τὸν τέλειον ἐνιαυτὸν πληροῖ τότε, ὅταν ἁπασῶν τῶν ὀκτὼ περιόδων τὰ πρὸς ἄλληλα συμπερανθέντα τάχη σχῇ κεφαλὴν τῷ τοῦ ταὐτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ.

1.9 〈 Εὐριπίδου (fr. 890 N.).〉 Τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός; ἀλλ' οὐδ' ἂν εἴποις οὐδὲ μετρήσειας ἂν ὅση πέφυκε κἀφ' ὅσον διέρχεται. Αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς· τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς, ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ· ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν ξηρὸν πέδον ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ· ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο. ὅταν δὲ συμμιχθῆτον εἰς ταὐτὸν δύο, τίκτουσιν ἡμῖν πάντα κἀκτρέφους' ἅμα, Εὐριπίδου Οἰδίποδι (fr. 551 N.). Ἑνὸς 〈δ'〉 ἔρωτος ὄντος οὐ μί' ἡδονή· οἳ μὲν κακῶν ἐρῶσιν, οἳ δὲ τῶν καλῶν. 〈 Εὐριπίδου Σθενεβοίᾳ (fr. 671 N.).〉 Ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ. Ἐκτῶν Βίωνος

βουκολικῶν (c. XIV Herm., XVIII Ahr.). Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν· μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν, τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἄδιον οὐδέν. Εὐριπίδου Δίκτυϊ (fr. 342, 1. 2 N.). Φίλος γὰρ ἦν μοι καί μ' Ἔρως εἶλέν ποτε οὐκ εἰς τὸ μῶρον, οὐδέ μ' εἰς Κύπριν τρέπων. 〈 Εὐριπίδου Θησεῖ (=Dict. fr. 342, 3—7 N.).〉 Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς Ἔρως ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς· καὶ χρῆν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον, τῶν εὐσεβούντων οἵτινές τε σώφρονες ἐρᾶν, Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾶν. Ἡσιόδου (Theog. 116. 117. 120). Παρμενίδου (v. 131 Karsten., p. 800 Stein.). Πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων. 〈 Incerti scriptori s . 〉 Οὐχ ἡ ἀνάγκη μόνον καὶ τὸ δόγμα ἀγαθοὺς εἶναι ἐξορμᾷ, ἀλλὰ καὶ ὅπερ ἐξεργάζεται τὰ μέγιστα τῶν ἀνθρωπίνων, ἔρως· οὗτος καὶ τὴν ἀρετὴν τελεσίδρομον εἶναι ποιεῖ. Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 245 B. C). Ὥστε γε τοῦτο αὐτὸ μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος, ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι φίλον· ἀλλὰ τόδε πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ ἔρως τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται. Ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐναντίον, ὡς ἐπ' εὐτυχίᾳ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται. ἡ δὲ δὴ ἀπόδειξις ἔσται δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή. Ἐν ταὐτῷ (p. 265 A. B). Ὃ μέντοι ἐζήτουν, ἔστιν αὐτὸ τοῦτο· μανίαν γάρ τινα ἐφήσαμεν εἶναι τὸν ἔρωτα. ἦ γάρ; — Ναί. — Μανίας δὲ εἴδη δύο· τὴν μὲν ὑπὸ νοσημάτων ἀνθρωπίνων, τὴν δὲ ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰωθότων νομίμων γιγνοσαμεν ἀρίστην εἶναι. Ἐν ταὐτῷ (p. 249 D. E). Ἔστι δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος περὶ τῆς τετάρτης μανίας, ἣν ὅταν τὸ τῇδέ τις ὁρῶν κάλλος, τοῦ ἀληθοῦς ἀναμιμνησκόμενος πτεροῦταί τε καὶ ἀναπτερούμενος προθυμούμενος ἀναπτέσθαι, ἀδυνατῶν δὲ ὄρνιθος δίκην βλέπων ἄνω, τῶν κάτω δὲ ἀμελῶν, αἰτίαν ἔχει ὡς μανικῶς διακείμενος· ὡς ἄρα αὕτη πασῶν τῶν ἐνθουσιάσεων ἀρίστη τε καὶ ἐξ ἀρίστων τῷ τε ἔχοντι καὶ τῷ κοινωνοῦντι αὐτῆς γίγνεται, καὶ ὅτι ταύτης μετέχων τῆς μανίας ὁ ἐρῶν τῶν καλῶν ἐραστὴς γίγνεται. 〈 Ἐν ταὐτῷ (p. 252 B. C).〉 Τοῦτο δὲ τὸ πάθος, ὦ παῖ καλέ, πρὸς ὃν δή μοι ὁ λόγος, ἄνθρωποι μὲν Ἔρωτα ὀνομάζουσι, θεοὶ δὲ ὃ καλοῦσιν ἀκούσας εἰκότως διὰ νεότητα γελάσεις· λέγουσι δὲ οἶμαι τινὲς Ὁμηριδῶν ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα, ὧν τὸ ἕτερον πάνυ ὑβριστικὸν καὶ οὐ σφόδρα τι ἔμμετρον, ὑμνοῦσι δὲ ὧδε· τὸν δή τοι θνητοὶ μὲν Ἔρωτα καλοῦσι ποτηνόν, ἀθάνατοι δὲ Πτέρωτα διὰ πτεροφύτορ' ἀνάγκην. 〈 Τοῦ αὐτοῦ (Sympos. p. 178 A—C).〉 Ἔφη Φαῖδρον ἀρξάμενον ἐνθένδε ποθὲν λέγειν, ὅτι γένεσιν. Τὸ γὰρ ἐν τοῖς πρεσβύτατον εἶναι τῶν θεῶν τίμιον, ἦ δ' ὅς· τεκμήριον δὲ τούτου· γοναὶ γὰρ Ἔρωτος οὔτ' εἰσιν οὔτε λέγονται ὑπ' οὐδενὸς οὔτε ἰδιώτου οὔτε ποιητοῦ, ἀλλὰ Ἡσίοδος πρῶτον μὲν χάος φησὶ γίγνεσθαι, μετὰ τὸ χάος δύο τούτω γενέσθαι, Γῆν τε καὶ Ἔρωτα. Ἡσιόδῳ δὲ καὶ Ἀκουσίλεως ξύμφησιν ἐν τοῖς πρεσβυτάτοις εἶναι· πρεσβύτατός τε ὢν μεγίστων ἀγαθῶν ἡμῖν αἴτιός ἐστιν. Ἐν ταὐτῷ (p. 180 D. E). Πάντες γὰρ ἴσμεν ὅτι οὐκ ἔστιν ἄνευ Ἔρωτος Ἀφροδίτη. Μιᾶς μὲν οὔσης εἷς ἂν ἦν Ἔρως· ἐπεὶ δὲ δύο ἐστόν, δύο ἀνάγκη καὶ Ἔρωτας εἶναι. Πῶς δ' οὐ δύο τὰ θεά; ἡ μέν γέ που πρεσβυτέρα καὶ ἀμήτωρ Οὐρανοῦ θυγάτηρ, ἣν δὴ καὶ οὐρανίαν ἐπονομάζομεν, ἡ δὲ νεωτέρα Διὸς καὶ Διώνης, ἣν δὴ πάνδημον καλοῦμεν. ἀναγκαῖον δὴ καὶ Ἔρωτα τὸν μὲν τῇ ἑτέρᾳ ξυνεργὸν πάνδημον ὀρθῶς καλεῖσθαι, τὸν δὲ οὐράνιον. Ἐν ταὐτῷ (p. 185 B. C). Οὕτω πᾶν πάντως γε καλὸν ἕνεκα ἀρετῆς χαρίζεσθαι. οὗτός ἐστιν ὁ τῆς οὐρανίας θεοῦ ἔρως καὶ οὐράνιος καὶ πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις, πολλὴν ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρετὴν τόν τε ἐρῶντα αὐτὸν αὐτοῦ καὶ τὸν ἐρώμενον· οἱ δ' ἕτεροι πάντες τῆς ἑτέρας, Ἐν ταὐτῷ (p. 186 A. B). Τὸ μὲν γὰρ διπλοῦν εἶναι τὸν Ἔρωτα δοκεῖ μοι καλῶς διελέσθαι· ὅτι δὲ οὐ μόνον ἐστὶν ἐπὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων πρὸς τοὺς καλούς, ἀλλὰ καὶ πρὸς ἄλλα πολλὰ καὶ ἐν τοῖς ἄλλοις, τοῖς τε σώμασι τῶν πάντων ζῴων καὶ τοῖς ἐν τῇ γῇ φυομένοις καὶ ὡς ἔπος εἰπεῖν ἐν πᾶσι τοῖς οὖσι, καθεωρακέναι μοι δοκῶ ἐκ τῆς ἰατρικῆς, τῆς ἡμετέρας τέχνης, ὡς μέγας καὶ θαυμαστὸς καὶ ἐπὶ

πᾶν ὁ θεὸς τείνει καὶ κατὰ τἀνθρώπινα καὶ κατὰ τὰ θεῖα πράγματα· ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς λέγων, ἵνα πρεσβεύωμεν τὴν τέχνην. Ἡ γὰρ φύσις τῶν σωμάτων τὸν διπλοῦν ἔρωτα τοῦτον ἔχει· τὸ γὰρ ὑγιὲς τοῦ σώματος καὶ τὸ νοσοῦν ὁμολογοῦμεν ὡς ἕτερόν τε καὶ ἀνόμοιόν ἐστι, τὸ δὲ ἀνόμοιον ἀνομοίων ἐπιθυμεῖ καὶ ἐρᾷ. Ἄλλος μὲν οὖν ὁ ἐπὶ τῷ ὑγιεινῷ ἔρως, ἄλλος δὲ ὁ ἐπὶ τῷ νοσώδει. Ἐν ταὐτῷ (p. 188 A—D). Ἐπεὶ καὶ ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ ξύστασις μεστή ἐστιν ἀμφοτέρων τούτων, καὶ ἐπειδὰν μὲν πρὸς ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος, ἃ νῦν δὴ λέγω, τά τε θερμὰ καὶ τὰ ψυχρὰ καὶ τὰ ξηρὰ καὶ ὑγρὰ καὶ ἁρμονίαν καὶ κρᾶσιν λάβῃ σώφρονα, ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγίειαν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς, καὶ οὐδὲν ἠδίκησεν· ὅταν δὲ ὁ μετὰ τῆς ὕβρεως ἔρως ἐγκρατέστερος καὶ περὶ τὰς τοῦ ἐνιαυτοῦ ὥρας γένηται, διέφθειρέ τε πολλὰ καὶ ἠδίκησεν. οἵ τε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων καὶ ἄλλα ἀνόμοια καὶ πολλὰ νοσήματα καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς. καὶ γὰρ πάχναι καὶ χάλαζαι καὶ ἐρυσῖβαι ἐκ πλεονεξίας καὶ ἀκοεπιστήμη περὶ ἄστρων τε φορὰς καὶ ἐνιαυτῶν ὥρας ἀστρονομία καλεῖται. Ἔτι τοίνυν καὶ αἱ θυσίαι πᾶσαι καὶ οἷς μαντικὴ ἐπιστατεῖ τέχνη, ταῦτα δ’ ἐστὶν ἡ περὶ θεούς τε καὶ ἀνθρώπους πρὸς ἀλλήλους κοινωνία, οὐ περὶ ἄλλο τί ἐστιν ἢ περὶ ἔρωτος φυλακήν τε καὶ ἴασιν. Πᾶσα γὰρ ἀσέβεια φιλεῖ γίγνεσθαι, ἐὰν μή τις τῷ κοσμίῳ ἔρωτι χαρίζηται μηδὲ τιμᾷ τε αὐτὸν καὶ πρεσβεύῃ ἐν παντὶ ἔργῳ, ἀλλὰ τὸν ἕτερον, καὶ περὶ γονέας καὶ ζῶντας καὶ τετελευτηκότας, καὶ περὶ θεούς· ἃ δὴ προτέτακται τῇ μαντικῇ ἐπισκοπεῖν τοὺς ἐρῶντας καὶ ἰατρεύειν· καὶ ἔστιν αὖ ἡ μαντικὴ φιλίας θεῶν καὶ ἀνθρώπων δημιουργὸς τῷ ἐπίστασθαι τὰ κατ’ ἀνθρώπους ἐρωτικά, ὅσα τείνει πρὸς θέμιν καὶ εὐσέβειαν. Οὕτω πολλὴν καὶ μεγάλην, μᾶλλον δὲ πᾶσαν δύναμιν ἔχει ξυλλήβδην μὲν ὁ πᾶς ἔρως· ὁ δὲ περὶ τἀγαθὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος καὶ παρ’ ἡμῖν καὶ παρὰ θεοῖς, οὗτος τὴν μεγίστην δύναμιν ἔχει καὶ πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει καὶ ἀλλήλοις δυναμένους ὁμιλεῖν καὶ φίλους εἶναι καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς. Ἐν ταὐτῷ (p. 202 C —203 A). Εὐδαίμονας λέγεις οὐ τοὺς τἀγαθὰ καὶ καλὰ κεκτημένους; — Πάνυ γε. — Ἀλλὰ μὴν ἔρωτά γε ὡμολόγηκας δι’ ἔνδειαν τῶν καλῶν καὶ τῶν ἀγαθῶν ἐπιθυμεῖν αὐτῶν τούτων ὧν ἐνδεής ἐστι; — Ὡμολόγηκα γάρ. — Πῶς ἂν οὖν θεὸς εἴη ὅ γε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος; — Οὐδαμῶς, ὥς γ’ ἔοικεν. — Ὁρᾷς οὖν, ἔφη, ὅτι καὶ σὺ Ἔρωτα οὐ θεὸν νομίζεις; — Τί οὖν ἄν, ἔφην, ὁ Ἔρως εἴη; θνητός; — Ἥκιστά γε. — Ἀλλὰ τί μήν; — Ὥσπερ τὰ πρότερα ἔφην, μεταξὺ θνητοῦ καὶ ἀθανάτου. — Τί οὖν, ὦ Διοτίμα; — Δαίμων μέγας, ὦ Σώκρατες· καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ καὶ θνητοῦ. — Τίνα, ἦν δ’ ἐγώ, δύναμιν ἔχον; — Ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τε τὰ παρ’ ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν· ἐν μέσῳ δ’ ὂν ἀμφοτέρων συμπληροῖ, ὥστε τὸ πᾶν αὐτὸ αὑτῷ συνδεδέσθαι. Διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ καὶ ἡ τῶν ἱερῶν τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ τὰς ἐπῳδὰς καὶ τὴν μαντείαν πᾶσαν καὶ γοητείαν. Θεὸς δὲ ἀνθρώπῳ οὐ μίγνυται· ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς 〈ἀνθρώπους καὶ πρὸς θεοὺσ〉 ἀνθρώποις καὶ ἐγρηγορόσι καὶ καθεύδουσι. Καὶ ὁ μὲν περὶ τὰ τοιαῦτα σφοδρὸς δαιμόνιος ἀνήρ, ὁ δὲ ἄλλο τι σοφὸς ἢ περὶ τέχνας ἢ περὶ χειρουργίας τινὰς βάναυσος. Οὗτοι δὴ οἱ δαίμονες πολλοί τε καὶ παντοδαποί εἰσιν, εἷς δὲ τούτων καὶ ὁ Ἔρως.

1.10 Ἡσιόδου Θεογονίας (116—119). Ἤτοι μὲν πρώτιστα χάος γένετ’, αὐτὰρ ἔπειτα Γαῖ’ εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου Τάρταρά τ’ ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης. Ὁμήρου (Ξ 246). Ὠκεανός θ’ ὅσπερ γένεσις πάντεσσι τέτυκται. Ὀρφέως (fr. VI 17. 18 ed. Hermann.). Ἓν 〈δὲ〉 δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται, πῦρ 〈καὶ〉 ὕδωρ καὶ γαῖα καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ. 〈 Ὁμήρου (Ξ 201).〉 Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν. Λίνου ἐκ τῶν Περὶ φύσεως κόσμο υ . Ὧς κατ’ ἔριν συνάπαντα κυβερνᾶται διὰ παντός· ἐκ παντὸς δὲ τὰ πάντα καὶ ἐκ πάντων τόπαν ἐστί. Πάντα δ’ ἕν ἐστιν,

ἕκαστον ὅλου μέρος, ἐν δ’ ἑνὶ πάντα, ἐκ γὰρ ἑνός ποτ’ ἐόντος ὅλου τάδε πάντ’ ἐγένοντο· ἐκ πάντων δέ ποτ’ αὖθις ἓν ἔσσεται ἐν χρόνου αἴσῃ, αἰὲν ἓν ὂν καὶ πολλά· καὶ οὐ κατὰ ταὐτὸν ἀθρῆσαι πολλάκις [δ’] ἔσται ταὐτά· καὶ οὔποτε πεῖρας ἔπεισιν αἰεὶ πείρατ’ ἔχων· πήιον γένος ἔλλαχε ταὐτόν. ὧδε γὰρ ἀθάνατος θάνατος περὶ πάντα καλύπτει 〈 Πλουτάρχο υ . 〉 Ὅμηρος δὲ σημαίνει τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντὸς λέγων (Η 99)· Ἀλλ’ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε. Ἡρακλείτο υ . Ἐκ πυρὸς γὰρ τὰ πάντα καὶ εἰς πῦρ πάντα τελευτᾷ. Ὀρφεύς (fr. XIV Herm.). Ὠκεανὸς πρῶτος καλλίρροος ἦρξε γάμοιο, ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν. Ἡσίοδος Θεογονίᾳ (126—128). Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ οὐρανὸν ἀστερόενθ’, ἵνα μιν περὶ πάντα καλύπτοι, ὄφρ’ εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί. Φιλήμονος (fr. inc. 2, Com. IV p. 31). Ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία. Ἐγὼ δ’, ὃ θεοῦ ’στιν ἔργον, εἰμὶ πανταχοῦ, ἐνταῦθ’ ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ, ἐν ταῖς πόλεσι πάσαισιν, ἐν ταῖς οἰκίαις πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστιν τόπος οὗ μή ’στιν ἀήρ· ὁ δὲ παρὼν ἁπανταχοῦ πάντ’ ἐξ ἀνάγκης οἶδε [πανταχοῦ παρών]. 〈 Ἐμπεδοκλέους (v. 33—35. 175 Stein.).〉 Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε· Ζεὺς ἀργής, Ἥρη τε φερέσβιος, ἠδ’ Ἀϊδωνεύς, Νῆστίς θ’, ἣ δακρύοις τέγγει, κρούνωμα βρότειον. τῶν δὲ συνερχομένων ἐξ ἔσχατον ἵστατο νεῖκος. 〈 Πλουτάρχο υ . 〉 Ἐμπεδοκλῆς Δία μὲν λέγει τὴν ζέσιν 〈καὶ〉 τὸν αἰθέρα, Ἥρην δὲ φερέσβιον τὴν γῆν· ἀέρα δὲ τὸν Ἀιδωνέα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλὰ ὑπὸ ἡλίου καὶ σελήνης καὶ ἄστρων καταλάμπεται· Νῆστιν δὲ καὶ ‘κρούνωμα βρότειον‘ τὸ σπέρμα καὶ τὸ ὕδωρ. Ἐκ τεσσάρων οὖν στοιχείων τὸ πᾶν, τῆς τούτων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε καὶ ὑγρότητος καὶ θερμότητος καὶ ψυχρότητος, ὑπὸ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης, τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης. Λέγει γὰρ οὕτως (67. 68 Stein.)· Ἄλλοτε μὲν φιλότητι συνερχόμεν’ εἰς ἓν ἅπαντα, ἄλλοτε δ’ αὖ δίχ’ ἕκαστα φορεύμενα νείκεος ἔχθει. Ὅμηρος δὲ τὴν φιλίαν καὶ τὸ νεῖκος τῶν τοῦ παντὸς μερῶν ἐν τούτοις αἰνίσσεται (Ξ 201—203), ἐν οἷς φησιν ἡ Ἥρα· Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης, ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν· τοὺς εἶμ’ ὀψομένη καί σφ’ ἄκριτα νείκεα λύσω. 〈 Aetii plac. (I 3 p. 276—282; 288 Diels.).〉 Θαλῆς ὁ Μιλήσιος ἀρχὴν τῶν ὄντων ἀπεφήνατο τὸ ὕδωρ, ἐξ ὕδατος γάρ φησι πάντα εἶναι καὶ εἰς ὕδωρ πάντα ἀναλύεσθαι. Στοχάζεται δὲ πρῶτον ἐκ τούτου, ὅτι πάντων τῶν ζῴων ἡ γονὴ ἀρχή ἐστιν, ὑγρὰ οὖσα. οὕτως εἰκὸς καὶ τὰ πάντα ἐξ ὑγροῦ τὴν ἀρχὴν ἔχειν. Δεύτερον, 〈ὅτι〉 πάντα φυτὰ ὑγρῷ τρέφεται καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ ξηραίνεται. Τρίτον, ὅτι καὶ αὐτὸ τὸ πῦρ τὸ τοῦ ἡλίου καὶ τῶν ἄστρων ταῖς τῶν ὑδάτων ἀναθυμιάσεσι τρέφεται καὶ αὐτὸς ὁ κόσμος. Ἀναξίμανδρος δὲ Πραξιάδου Μιλήσιος φησὶ τῶν ὄντων 〈τὴν〉 ἀρχὴν εἶναι τὸ ἄπειρον· ἐκ γὰρ τούτου πάντα ἐξ οὗ γίγνονται. Λέγει γοῦν διότι ἀπέραντόν ἐστιν, ἵνα μηδὲν ἐλλείπῃ 〈ἡ〉 γένεσις ἡ ὑφισταμένη. Ἁμαρτάνει δὲ μὴ λέγων τί ἐστι τὸ ἄπειρον. Τὸ δ’ ἄπειρον οὐδὲν ἄλλο ἢ ὕλη ἐστίν· οὐ δύναται δ’ ἡ ὕλη εἶναι ἐνέργεια, ἐὰν μὴ τὸ ποιοῦν ὑποκέηται. Ξενοκράτης συνεστάναι τὸ πᾶν ἐκ τοῦ ἑνὸς καὶ τοῦ ἀενάου, ἀέναον τὴν ὕλην αἰνιττόμενος διὰ τοῦ πλήθους. Ξενοφάνης ἀρχὴν τῶν πάντων εἶναι τὴν γῆν· γράφει γὰρ ἐν τῷ Περὶ φύσεως (fr. 8 Mullach.). Ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ. Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος ἀρχὴν τῶν ὄντων ἀέρα ἀπεφήνατο, ἐκ γὰρ τούτου πάντα γίγνεσθαι καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι. Οἷον ἡ ψυχή, φησίν, ἡ ἡμετέρα, ἀὴρ οὖσα, συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει. Λέγεται δὲ συνωνύμως ἀὴρ καὶ πνεῦμα. Ἁμαρτάνει δὲ ἐξ ἁπλοῦ καὶ μονοειδοῦς ἀέρος καὶ πνεύματος δοκῶν συνεστάναι τὰ ζῷα· ἀδύνατον γὰρ ἀρχὴν μίαν τὴν ὕλην τῶν ὄντων ὑποστῆναι, ἀλλὰ καὶ τὸ ποιοῦν αἴτιον χρὴ ὑποτιθέναι· οἷον ἄργυρος οὐκ ἀρκεῖ πρὸς τὸ ἔκπωμα γενέσθαι, ἐὰν μὴ τὸ ποιοῦν ᾖ, τουτέστιν ὁ ἀργυροκόπος. Ἀναξαγόρας Ἡγησιβούλου ὁ Κλαζομένιος ἀρχὰς μόρια. Τούτων οὖν γιγνομένων ὁμολογητέον, ὅτι ἐν τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροφῇ τῇ προσφερομένῃ πάντα ἐστὶ τὰ ὄντα καὶ ἐκ τῶν ὄντων πάντα αὔξεται. ἐν ταύτῃ οὖν ἐστι λόγῳ θεωρητὰ μόρια· 〈καὶ ἀπὸ τοῦ ὅμοια〉 τὰ μέρη εἶναι ἐν τῇ τροφῇ τοῖς γεννωμένοις ὁμοιομερείας αὐτὰ ἐκάλεσε καὶ ἀρχὰς τῶν ὄντων. Καὶ τὰς μὲν ὁμοιομερείας ὕλην, τὸ δὲ ποιοῦν αἴτιον νοῦν, τὸν πάντα διαταξάμενον. Ἀρχέλαος ἀέρα ἄπειρον καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν. τούτων δὲ τὸ μὲν εἶναι πῦρ, τὸ δ' ὕδωρ. Οὗτοι μὲν οὖν ἐφεξῆς ἀλλήλοις ταῖς διαδοχαῖς γενόμενοι τὴν Ἰωνικὴν ἐκπληροῦσι φιλοσοφίαν, οὕτω προσαγορευθεῖσαν, διότι Μιλήσιος αὐτῆς κατῆρξεν ἀνήρ, ὁ Θαλῆς ἀπὸ τῆς τῶν Ἰώνων μητροπόλεως. Φιλόλαος ὁ Πυθαγόρειος τὸ πέρας καὶ τὸ ἄπειρον. Στράτων στοιχεῖα 〈θερμὸν〉 καὶ ψυχρόν. Πυθαγόρας Μνησάρχου Σάμιος, πρῶτος φιλοσοπάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς. Σπεύδει δὲ αὐτῷ τῶν ἀρχῶν ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον καὶ εἰδικόν, ὅπερ ἐστὶ νοῦς, ὁ θεός· ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος. Εἶναι δὲ τὴν φύσιν 〈τοῦ ἀριθμοῦ〉 δεκάδα· μέχρι γὰρ τῶν δέκα πάντες ἀριθμοῦσιν, ἐφ' ἃ ἐλθόντες πάλιν ἀναποδίζουσιν ἐπὶ τὴν μονάδα. Καὶ τῶν δέκα πάλιν, φησίν, ἡ δύναμίς ἐστιν ἐν τοῖς τέτταρσιν· ἐκ γὰρ τῆς τετράδος καὶ τῶν αὐτῆς μερῶν ἀναπληροῦται· ἐὰν δὲ ὑπερβάλῃ 〈τισ〉 τὸν τῆς τετράδος, καὶ τῶν δέκα ὑπερεκπεσεῖται. Διὸ καὶ ἐπεφθέγγοντο οἱ Πυθαγόρειοι, ὡς μεγίστου 〈ὅρκου〉 ὄντος τῆς τετράδος, Οὐ μὰ τὸν ἁμετέρᾳ κεφαλᾷ παραδόντα τετρακτύν, παγὰν ἀενάου φύσιος ῥίζωμά τ' ἔχουσαν. Θεανοῦς ἐκ τοῦ Περὶ εὐσεβείας (fr. 1 Mullach., fr. ph. Gr. II p. 115). Καὶ συχνοὺς μὲν Ἑλλήνων πέπυσμαι νομίσαι φάναι γος ἀπορησίας ἔχεται, πῶς ἃ μηδὲ ἔστιν ἐπινοεῖται καὶ γεννᾶν. ὃ δὲ οὐκ ἐξ ἀριθμοῦ, κατὰ δὲ ἀριθμὸν ἔλεγε πάντα γίγνεσθαι, ὅτι ἐν ἀριθμῷ τάξις πρώτη, ἧς μετουσίᾳ κἀν τοῖς ἀριθμητοῖς πρῶτόν τι καὶ δεύτερον καὶ τἆλλα ἑπομένως τέτακται. 〈 Aetii plac. (I 3 p. 283—286 Diels.).〉 Ἡράκλειτος καὶ Ἵππασος ἀρχὴν τῶν ἁπάντων τὸ πῦρ. Πρῶτον μὲν γὰρ τὸ παχυμερέστερον αὐτοῦ εἰς αὐτὸ συστελλόμενον 〈γῆ〉 γίγνεται, ἔπειτα ἀναχαλωμένην τὴν γῆν ὑπὸ τοῦ πυρὸς χύσει ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ ἀέρα γίγνεσθαι. Πάλιν δὲ τὸν κόσμον καὶ τὰ σώματα πάντα ὑπὸ τοῦ πυρὸς ἀναλοῦσθαι ἐν τῇ ἐκπυρώσει. Μητρόδωρος Θεοκρίτου Χῖος τὰ ἀδιαίρετα καὶ τὸ κενόν. Διογένης δὲ ὁ Ἀπολλωνιάτης ἀέρα ἄπειρον. Ζήνων Μνασέου Κιτιεὺς ἀρχὰς τὸν θεὸν καὶ τὴν ὕλην, στοιχεῖα δὲ τέσσαρα. Λεύκιππος Μιλήσιος ἀρχὰς καὶ στοιχεῖα τὸ πλῆρες καὶ τὸ κενόν. Δημόκριτος τὰ ναστὰ καὶ κενόν. οὐχ ὅτι ἐστὶν ἐλαχίστη, ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα καὶ ἀμέτοχος κενοῦ. Ἑρμοῦ (p. 27 Patrit., p. 39 Parthey.). Ἡ γὰρ μονάς, οὖσα πάντων ἀρχὴ καὶ ῥίζα, ἐν πᾶσίν ἐστιν ὡς ἂν ῥίζα καὶ ἀρχή, ἄνευ δὲ ἀρχῆς οὐδέν· ἀρχὴ δὲ ἐξ οὐδενός, ἀλλ' ἐξ αὐτῆς, εἴ γε ἀρχή ἐστι τῶν ἑτέρων. [μονὰς] οὖσα οὖν ἀρχὴ πάντα ἀριθμὸν ἐμπεριέχει, ὑπὸ μηδενὸς ἐμπεριεχομένη· καὶ πάντα ἀριθμὸν γεννᾷ, ὑπὸ μηδενὸς γεννωμένη ἑτέρου ἀριθμοῦ. Πᾶν δὲ τὸ γεννώμενον ἀτελὲς καὶ διαιρετὸν καὶ αὐξητὸν καὶ μειωτόν· τῷ δὲ τελείῳ οὐδὲν τούτων γίγνεται. Αὕτη οὖν, ὦ Τάτ, κατὰ τὸ δυνατόν σοι ὑπογέγραπται τοῦ θεοῦ εἰκών. 〈 Aetii plac. (I 3 p. 285—289 Diels.).〉 Ἔκφαντος Συρακούσιος, εἷς τῶν Πυθαγορείων, πάντων τὰ ἀδιαίρετα σώματα καὶ τὸ κενόν. Τὰς γὰρ Πυθαγορικὰς μονάδας οὗτος πρῶτος ἀπεφήνατο σωματικάς. Πλάτων Ἀρίστωνος τρεῖς ἀρχάς, τὸν θεόν, τὴν Ἀριστοτέλης Νικομάχου Σταγειρίτης ἀρχὰς μὲν εἶδος, ὕλην, στέρησιν· στοιχεῖα δὲ τέσσαρα, πέμπτον δέ τι σῶμα τὸ αἰθέριον, ἀμετάβλητον· στοιχεῖα δὲ τῶν γενητῶν κατὰ μὲν τὰς δυνάμεις θερμόν, ψυχρόν, ὑγρόν, ξηρόν, κατὰ δὲ τὰς οὐσίας, ἐν αἷς καὶ περὶ ἃς ὑπάρχουσιν αὗται, τὰ τέσσαρα. Διόδωρος ἐπίκλην Κρόνος τὰ ἀμερῆ σώματα ἄπειρα, τὰ δ' αὐτὰ λεγόμενα καὶ ἐλάχιστα· ἄπειρα μὲν κατ' ἀριθμόν. ὡρισμένα δὲ κατὰ μέγεθος. 〈 Aetii (I 2 p. 275 Diels.) et Platonis (Tim. p. 30 A).〉 Οἱ μὲν οὖν περὶ Ἀριστοτέλην καὶ Πλάτωνα διαφέρειν ἡγοῦνται ἀρχὴν καὶ στοιχεῖα. Θαλῆς δ' ὁ Μιλήσιος ταὐτὸν νομίζει ἀρχὴν καὶ στοιχεῖα. 〈Πλεῖστον δὲ ὅσον διαφέρει ἀλλήλων. Τὰ μὲν γὰρ στοιχεῖά〉 ἐστι σύνθετα, τὰς δὲ ἀρχάς φαμεν εἶναι οὔτε συνθέτους οὔτε ἀποτελέσματα· οἷον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στοιχεῖα μὲν καλοῦμεν γῆν, ὕδωρ, ἀέρα, πῦρ· ἀρχὰς δὲ λέγομεν διὰ τὸ οὐδὲν ἔχειν πρότερον ἐξ οὗ γεννᾶται, ἐπεὶ οὐκ ἔσται ἀρχή, ἀλλ' ἐκεῖνο ἐξ οὗ γεννᾶται. Τῆς δὲ γῆς καὶ τοῦ ὕδατος ἔστι τινὰ πρότερον ἐξ ὧν γέγονεν, ὕλη ἄμορφος καὶ ἀνείδεος. Λέγει γοῦν ἐν Τιμαίῳ (p. 30 A)· „βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, 〈 Arii Didymi (fr. phys. 21 p. 458 Diels.).〉 Χρυσίππο υ . Περὶ δὲ τῶν ἐκ τῆς οὐσίας στοιχείων τοιαῦτά τινα ἀποφαίνεται, τῷ τῆς αἱρέσεως ἡγεμόνι Ζήνωνι κατακολουθῶν, τέτταρα λέγων εἶναι στοιχεῖα 〈πῦρ, ἀέρα, ὕδωρ, γῆν, ἐξ ὧν συνίστασθαι πάντα καὶ ζῷα〉 καὶ φυτὰ καὶ τὸν ὅλον κόσμον καὶ τὰ ἐν αὐτῷ περιεχόμενα καὶ εἰς ταῦτα διαλύεσθαι. τὸ δὲ 〈πῦρ καὶ〉 κατ' ἐξοχὴν στοιχεῖον λέγεσθαι διὰ τὸ ἐξ αὐτοῦ πρώτου τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολὴν καὶ εἰς αὐτὸ ἔσχατον πάντα χεόμενα διαλύεσθαι, τοῦτο δὲ μὴ ἐπιδέχεσθαι τὴν εἰς ἄλλο χύσιν ἢ ἀνάλυσιν· [συνίστασθαι δὲ ἐξ αὐτοῦ τὰ λοιπὰ καὶ χεόμενα εἰς τοῦτο ἔσχατον τελευτᾶν· παρὸ καὶ στοιχεῖον λέγεσθαι, ὃ πρῶτον ἔστηκεν οὕτως, ὥστε σύστασιν διδόναι ἀφ' αὑτοῦ καὶ αὐτὸ τῶν λοιπῶν χύσιν καὶ διάλυσιν δέχεσθαι εἰς αὐτό]· κατὰ μὲν τὸν λόγον τοῦτον αὐτοτελῶς λεγομένου τοῦ πυρὸς στοιχείου· οὐ μετ' ἄλλου γάρ· κατὰ δὲ τὸν πρότερον καὶ μετ' ἄλλων συστατικὸν εἶναι, πρώτης μὲν γιγνομένης τῆς ἐκ πυρὸς κατὰ σύστασιν εἰς ἀέρα μεταβολῆς, δευτέρας δ' ἀπὸ τούτου εἰς ὕδωρ, τρίτης δ' ἔτι μᾶλλον κατὰ τὸ ἀνάλογον συνισταμένου τοῦ ὕδατος εἰς γῆν. πάλιν δ' ἀπὸ ταύτης διαλυομένης καὶ διαχεομένης πρώτη μὲν γίγνεται χύσις εἰς ὕδωρ, δευτέρα δ' ἐξ ὕδατος εἰς ἀέρα, τρίτη δὲ καὶ ἐσχάτη εἰς πῦρ. Λέόμοίως τὰ λοιπά. Τριχῶς δὴ λεγομένου κατὰ Χρύσιππον τοῦ στοιχείου, καθ' ἕνα μὲν τρόπον τοῦ πυρός, διὰ τὸ ἐξ αὐτοῦ τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολὴν καὶ εἰς αὐτὸ λαμβάνειν τὴν ἀνάλυσιν· καθ' ἕτερον δέ, καθὸ λέγεται τὰ τέσσαρα στοιχεῖα, πῦρ, ἀήρ, ὕδωρ, γῆ (ἐπεὶ διὰ τούτων τινὸς ἢ τινῶν ἢ καὶ πάντων τὰ λοιπὰ συνέστηκε, διὰ μὲν τῶν τεττάρων, ὡς τὰ ζῷα καὶ τὰ ἐπὶ γῆς πάντα συγκρίματα, διὰ δυοῖν δέ, ὡς ἡ σελήνη διὰ πυρὸς καὶ ἀέρος συνέστηκε, δι' ἑνὸς δέ, ὡς ὁ ἥλιος, διὰ πυρὸς γὰρ μόνου, ὁ γὰρ ἥλιος πῦρ ἐστιν εἰλικρινές), κατὰ τρίτον λόγον λέγεται στοιχεῖον ** εἶναι ὃ πρῶτον συνέστηκεν οὕτως, ὥστε γένεσιν διδόναι ἀφ' αὑτοῦ ὁδῷ μέχρι τέλους καὶ ἐξ ἐκείνου τὴν ἀνάλυσιν δέχεσθαι εἰς ἑαυτὸ τῇ ὁμοίᾳ ὁδῷ. Γεγονέναι δ' ἔφησε καὶ τοιαύτας ἀποδόσεις περὶ στοιχείου, ὡς ἔστι τό τε δι' αὐτοῦ εὐκινητότατον καὶ ἡ ἀρχὴ 〈καὶ ὁ σπερματικὸσ〉 λόγος καὶ ἡ ἀΐδιος δύναμις φύσιν ἔχουσα τοιαύτην, ὥστε αὐτήν τε κινεῖν κάτω πρὸς [γῆν] τὴν τροπὴν καὶ ἀπὸ τῆς τροπῆς ἄνω πάντῃ κύκλῳ, εἰς αὐτήν τε πάντα καταναλίσκουσα καὶ ἀφ' αὐτῆς πάλιν ἀποκαθιστᾶσα τεταγμένως καὶ ὁδῷ.

1.11 〈 Aetii plac. (I 9, 1 p. 307 Diels.).〉 Ὕλη ἐστὶ τὸ ὑποκείμενον πάσῃ γενέσει καὶ φθορᾷ Ἑρμοῦ ἐκ τῶν πρὸς Τά τ . (p. 51 b Patrit.). Καὶ γέγονεν, ὦ τέκνον, ἡ ὕλη καὶ ἦν, ὕλη γὰρ ἀγγεῖον γενέσεώς ἐστι, γένεσις δὲ ἐνεργείας τρόπος τοῦ ἀγενήτου καὶ προόντος θεοῦ. Τὸ σπέρμα οὖν τῆς γενέσεως λαμβάνουσα γέγονε καὶ τρεπτὴ ἐγένετο καὶ ἰδέας ἔσχε μορφοποιουμένη· ἐφέστηκε γὰρ αὐτῇ τρεπομένῃ ἡ τεχνιτεύουσα τὰς τῆς τροπῆς ἰδέας. Ἀγενησία οὖν τῆς ὕλης ἀμορφία ἦν, ἡ δὲ γένεσις τὸ ἐνεργεῖσθαι. 〈 Aetii plac. (I 9, 2—5 p. 307 sq. Diels.).〉 Οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρο υ , λέγω δὲ τοὺς μέχρι τῶν Στωικῶν καταβεβηκότας σὺν Ἡρακλείτῳ, τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ μεταβλητὴν καὶ ῥευστὴν ὅλην δι' ὅλης τὴν ὕλην ἀπεφήναντο. Οἱ ἀπὸ Δημοκρίτου ἀπαθῆ τὰ πρῶτα, τὴν ἄτομον καὶ τὸ κενόν. Πλάτων τὴν ὕλην σωματοειδῆ, ἄμορφον, ἀνείδεον, ἀσχημάτιστον, ἄποιον, ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει, δεξαμενὴν δὲ τῶν εἰδῶν καὶ οἷον τιθήνην καὶ ἐκμαγεῖον καὶ μητέρα γίγνεσθαι. (Timae. p. 50 B—D) „Ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως· ταὐτὸν ἀεὶ προσρητέον αὐτήν· ἐκ γὰρ τῆς ἑαυτῆς τὸ παράπαν οὐκ ἐξίσταται δυνάμεως. Δέχεται γὰρ ἀεὶ τὰ πάντα καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίως εἴληφεν οὐδαμῇ οὐδαμῶς· ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται

κινούμενόν τε τῶν ὄντων ἀεὶ μιμήματα, τυπωθέντα ἀπ' αὐτῶν τρόπον τινὰ δύσφραστον καὶ θαυμαστόν, ὃν εἰσαῦθις μέτιμεν. Ἐν δ' οὖν τῷ παρόντι διανοηθῆναι 〈χρὴ〉 γένη τριττά, τὸ μὲν γιγνόμενον, τὸ δ' ἐν ᾧ γίγνεται, τὸ δὲ ὅθεν ἀφομοιούμενον φύεται τὸ γιγνόμενον. Καὶ δὴ καὶ προσεικάσαι πρέπον τὸ μὲν δεχόμενον μητρί, τὸ δὲ ὅθεν πατρί, τὴν δὲ μεταξὺ τούτων φύσιν ἐκγόνῳ." 〈 Arii Didymi (fr. phys. 2 p. 448 Diels.).〉 Ἀριστοτέλους ς . Ἐπειδὴ δ' ἡ μὲν φύσις κατ' ἐπίνοιαν ἀρχή τίς ἐστι κινήσεως καὶ στάσεως, οὔτε δὴ κινούμενον ἡ ὕλη κατὰ τὸν ἴδιον λόγον οὔτε τὸ εἶδος. ἣ μὲν γὰρ ἀνείδεος, τὸ δὲ εἶδος ἀεί, καὶ ἣ μὲν οὐ σῶμα, σωματικὴ δέ, τὸ δὲ καθάπαξ ἀσώματον. Οὐ σῶμα δὲ τὴν ὕλην φασίν, οὐ μόνον ὅτε ἐστερῆσθαι δοκεῖ τῶν περὶ σῶμα διαστάσεων, ἀλλ' ὅτι καὶ πολλῶν ἄλλων ἀπολείπεται κατὰ τὸν ἴδιον λόγον, ἃ τοῖς σώμασιν ὑπάρχει, σχήματος, χρώματος, βαρύτητος, κουφότητος, ὅλως πάσης ποιότητος καὶ ποσότητος. Εἰ γὰρ τούτων μετεῖχε, τῶν ποιῶν 〈ἂν〉 ἦν καὶ ποσῶν· οὐ μετειληφυῖα δὲ κατὰ λόγον σῶμα μὲν οὐκ ἂν εἴη, σωματικὴ δὲ διὰ τὸ πάσαις ὥσπερ ἐκμαγεῖον ὑποκεῖσθαι ταῖς ποιότησιν· ὃν τρόπον γὰρ τὸ εἶδος τῆς ὕλης ἀφαιρεθὲν ἀσώματον εἶναι τυγχάνει, οὕτως καὶ τὴν ὕλην τοῦ εἴδους χωρισθέντος οὐ σῶμα. Δεῖν γὰρ ἀμφοῖν τῆς συνόδου πρὸς τὴν τοῦ σώματος ὑπόστασιν. 〈 Arii Didymi (fr. phys. 20 p. 457 sq. Diels.).〉 διαμένειν, ἀλλὰ διαιρεῖσθαι καὶ συγχεῖσθαι. Διὰ ταύτης δὲ διαθεῖν τὸν τοῦ παντὸς λόγον, ὃν ἔνιοι εἱμαρμένην καλοῦσιν, οἷόν περ καὶ ἐν τῇ γονῇ τὸ σπέρμα. Χρυσίππου Στωικο ῦ . Τῶν κατὰ ποιότητα ὑφισταμένων πρώτην ὕλην· ταύτην δὲ ἀΐδιον, οὔτε αὔξησιν οὔτε μείωσιν ὑπομένουσαν, διαίρεσιν δὲ καὶ σύγχυσιν ἐπιδεχομένην κατὰ μέρη, ὥστε φθορὰς γίγνεσθαι ἔκ τινων μερῶν εἴς τινα [οὐ] κατὰ διαίρεσιν, ἅμα κατ' ἀναλογίαν τῇ συγχύσει τινῶν γιγνομένων ἔκ τινων. 〈 Aetii plac. (I 9, 6. 7 p. 308 Diels.).〉 Οἱ δὲ ὕδωρ λέγοντες ἢ πῦρ ἢ ἀέρα ἢ γῆν τὴν ὕλην οὐκέτι ἄμορφον αὐτὴν λέγουσιν, ἀλλὰ σῶμα· οἱ δὲ τἀμερῆ καὶ τὰς ἀτόμους ἄμορφον. Οἱ Στωικοὶ σῶμα τὴν ὕλην ἀποφαίνονται. 〈 Arii Didymi (fr. phys. 20 p. 458 Diels.).〉 Ποσειδωνίο υ . Ἔφησε δὲ ὁ Ποσειδώνιος τὴν τῶν ὅλων οὐσίαν καὶ ὕλην ἄποιον καὶ ἄμορφον εἶναι, καθ' ὅσον οὐδὲν ἀποτεταγμένον ἴδιον ἔχει σχῆμα οὐδὲ ποιότητα καθ' αὑτήν, ἀεὶ δ' ἔν τινι σχήματι καὶ ποιότητι εἶναι. Διαφέρειν δὲ τὴν οὐσίαν τῆς ὕλης, τὴν 〈αὐτὴν〉 οὖσαν κατὰ τὴν ὑπόστασιν, ἐπινοίᾳ μόνον. Πλάτωνος ἐκ τοῦ Παρμενίδου (p. 144 B). Ἐπὶ πάντα ἄρα πολλὰ ὄντα ἡ οὐσία νενέμηται καὶ ἂν ἡ οὐσία γε τῶν ὄντων του ἀποστατοίη; — Οὐδαμῶς. — Κατακεκερμάτισται ἄρα ὡς οἷόν τε σμικρότατα καὶ μέγιστα καὶ πανταχῶς ὄντα καὶ μεμέρισται πάντων μάλιστα, καὶ ἔστι μέρη ἀπέραντα τῆς οὐσίας. — Ἔχει οὕτως.

1.12 〈 Aetii (I 10 p. 308 sq. Diels.).〉 Ἰδέα ἐστὶν οὐσία ἀσώματος, αἰτία τῶν οἵα ἐστὶν αὐτὴ καὶ παράδειγμα τῆς τῶν κατὰ φύσιν ἐχόντων αἰσθητῶν ὑποστάσεως, αὐτὴ μὲν ὑφεστῶσα καθ' ἑαυτὴν [ἕν], εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας καὶ αἰτία γιγνομένη τῆς τούτων διατάξεως, πατρὸς ἐπέχουσα τοῖς αἰσθητοῖς τάξιν. Πυθαγόρας τὰ λεγόμενα εἴδη καὶ τὰς ἰδέας ἐν τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις αὐτῶν καὶ τοῖς καλουμένοις γεωμετρικοῖς ἐτίθετο ἀχώριστα τῶν σωμάτων. 〈 Arii Didymi (fr. phys. 5 p. 448 Diels.).〉 Ἀριστοτέλους ς . Ταύτας δὲ τὰς ἀρχὰς ποτὲ μὲν εἶναί φησιν Ἀριστοτέλης δύο, τήν τε ὕλην καὶ τὸ εἶδος, ὃ καὶ μορφὴν καλεῖ καὶ ἐντελέχειαν καὶ τὸ τί ἦν εἶναι καὶ οὐσίαν τὴν κατὰ τὸν λόγον καὶ ἐνέργειαν· οὕτως αὐτῷ τοῦ γάλακτος οὐσίαν· ταὐτὸν δὲ εἶδος λέγεται, καθ' ὅσον τὸ μὲν εἰδοποιεῖ, τὸ δὲ διαμορφοῖ τὴν ὕλην. Ἐντελέχειαν 〈δ'〉 αὐτὸ προσεῖπεν ἤτοι διὰ τὸ ἐνδελεχῶς ὑπάρχειν, ἢ ὅτι τῶν μετεχόντων αὐτοῦ ἕκαστον παρέχεται τέλειον· ὁ γὰρ χαλκὸς ἀνδριὰς οὐδέπω, πλὴν ὅτι μὴ δυνάμει, διαπλασθεὶς δὲ καὶ τὴν πρόσφορον λαβὼν μορφὴν ἐντελεχείᾳ λέγεται· τότε γὰρ ἀπείληφε τὸ τέλος. Τὸ δὲ τί ἦν εἶναι προσηγόρευσε παρὰ τὸ τῶν ὄντων ἐπιφέρειν ἑκάστῳ τὴν τοῦ εἶναι δύναμιν· οὐσίαν δὲ τὴν κατὰ τὸν λόγον, ὅτι διαλλάττει τῆς κατὰ τὴν ὕλην, ὡς ἀνδριὰς χαλκοῦ καὶ Θηρίκλειον ἀργυροῦ καὶ τῶν ἀγαλμάτων ὁτιοῦν λίθου· τὸ γὰρ ᾧ

περιττεύει ταῦτα τῆς ὕλης, ἐξ ἧς δεδημιούργηται, τοῦτ' ἔστιν ἡ κατὰ τὸν λόγον οὐσία. Ἐνέργειαν δὲ ἐκάλεσεν, ὅτι τῶν ὄντων οὐθὲν ἂν ἐνεργεῖν ἠδύνατο μὴ πρότερον εἰδοποιηθέν. 〈 Arii Didymi (fr. phys. 1 p. 447 Diels.).〉 〈 Πλάτωνο ς . 〉 Περὶ δὲ τῶν ἰδεῶν ὠδὶ διεξήρχετο, τῶν κατὰ φύσιν αἰσθητῶν κατὰ μέρος ὡρισμένα τινὰ παραδείγματα φάμενος εἶναι τὰς ἰδέας, ἀφ' ὧν τὰς ἐπιστήμας γίγνεσθαι καὶ τοὺς ὅρους· παρὰ πάντας γὰρ ἀνθρώπους ἄνθρωπόν τινα νοεῖσθαι καὶ παρὰ πάντας ἵππους ἵππον καὶ κοινῶς παρὰ τὰ ζῷα ζῷον ἀγένητον καὶ ἄφθαρτον· ὃν τρόπον δὲ σφραγῖδος μιᾶς ἐκμαγεῖα γίνεσθαι πολλὰ καὶ συχνὰς εἰκόνας ἑνὸς ἀνδρός, οὕτω καὶ μιᾶς ἑκάστης ἰδέας αἰσθητῶν σωμάτων φύσεις παμπληθεῖς, τῆς μὲν ἀνθρώπων ἀνθρώπους ἅπαντας, 〈τῆς δὲ ἵππων ἵππους ἅπαντασ〉 , καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τῶν ἄλλων τῶν κατὰ φύσιν. Εἶναι δὲ τὴν ἰδέαν ἀΐδιον οὐσίαν, αἰτίαν καὶ ἀρχὴν τοῦ ἕκαστον εἶναι τοιοῦτον οἵα ἐστὶν αὐτή. Καθάπερ οὖν τὰς κατὰ μέρος ὥσπερ ἀρχέτυπα τῶν αἰσθητῶν προηγεῖσθαι συμβέβηκε σωμάτων, οὕτως τὴν πάσας ἐν ἑαυτῇ περιέχουσαν καλλίστην καὶ τελειοτάτην οὐσίαν ὑπάρχειν 〈τοῦδε παράδειγμα τοῦ κόσμου〉 . Λέγει γοῦν καὶ ἐν τῷ Παρμενίδῃ (p. 132 C. D) „Ἀλλ', ὦ Παρμενίδη, μάλιστα ἔμοιγε καταφαίνεται ὧδε ἔχειν· τὰ μὲν εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει, τὰ δὲ ἄλλα τούτοις ἐοικέναι καὶ εἶναι ὁμοιώματα· καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ ἄλλη τις ἢ εἰκασθῆναι αὐτοῖς." 〈 Arii Didymi (fr. phys. 40 p. 472 Diels.).〉 Ζήνωνος 〈καὶ τῶν ἀ π ' αὐτοῦ 〉 . Τὰ ἐννοήματά φασι μήτε τινὰ εἶναι μήτε ποιά, ὡσανεὶ δέ τινα καὶ ὡσανεὶ ποιὰ φαντάσματα ψυχῆς· ταῦτα δὲ ὑπὸ τῶν ἀρχαίων ἰδέας προσαγορεύεσθαι. Τῶν γὰρ κατὰ τὰ ἐννοήματα ὑποπιπτόντων εἶναι τὰς ἰδέας, οἷον ἀνθρώπων, ἵππων, κοινότερον εἰπεῖν πάντων τῶν ζῴων καὶ τῶν ἄλλων ὁπόσων λέγουσιν ἰδέας εἶναι. Ταύτας δὲ οἱ Στωικοὶ φιλόσοφοί φασιν ἀνυπάρκτους εἶναι καὶ τῶν μὲν ἐννοημάτων μετέχειν ἡμᾶς, τῶν δὲ πτώσεων, ἃς δὴ προσηγορίας καλοῦσι, τυγχάνειν.

1.13 〈 Aetii (I 11, 1. 2 p. 309 Diels.) et Platonis Timaei.〉 Αἴτιόν ἐστι δι' ὃ τὸ ἀποτέλεσμα, ἢ δι' ὃ συμβαίνει τι. ἀρκεῖ γὰρ ὑπογραφικῶς. Πλάτων τριχῶς τὸ αἴτιον, ὑφ' οὗ, ἐξ οὗ, πρὸς ὅ· κυριώτατον δ' ἡγεῖται τὸ ὑφ' οὗ, τοῦτο δ' ἦν τὸ ποιοῦν. Λέγει γοῦν ἐν Τιμαίῳ (p. 28 A. B)· „πᾶν δὲ αὖ τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνεται· παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν. Ὅταν οὖν ὁ δημιτινὶ χρώμενος παραδείγματι, τὴν ἰδέαν καὶ τὴν δύναμιν ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν· ὁπόταν δ' εἰς τὸ γεγονός, γενητῷ παραδείγματι προσχρώμενος, οὐ καλόν." 〈 Aetii (I 11, 3. 4 p. 310 Diels.).〉 Πυθαγόρας τὰ μὲν πρῶτα αἴτια ἀσώματα, τὰ δὲ κατὰ μετοχὴν ἢ κατὰ συμβεβηκὸς τῆς σωματικῆς ὑποστάσεως εἶναι. Ἀριστοτέλης ἔφησε δηλοῦν ἕκαστον χρώμενον σχήμασι τῆς ἑρμηνείας τοιούτοις, τό τε ἐξ οὗ λέγοντα 〈τὴν ὕλην〉 , καὶ τὸ ὑφ' οὗ τὸ ποιοῦν, τὸ δὲ καθ' ὃ τὸ εἶδος, τὸ δὲ δι' ὃ τὸ τέλος. 〈 Arii Didymi (fr. phys. 18 p. 457 Diels.).〉 Ζήνωνο ς . Αἴτιον δ' ὁ Ζήνων φησὶν εἶναι δι' ὅ· οὗ δὲ αἴτιον συμβεβηκός· καὶ τὸ μὲν αἴτιον σῶμα, οὗ δὲ αἴτιον κατηγόρημα· ἀδύνατον δ' εἶναι τὸ μὲν αἴτιον παρεῖναι, οὗ δέ ἐστιν αἴτιον μὴ ὑπάρχειν. Τὸ δὲ λεγόμενον τοιαύτην ἔχει δύναμιν· αἴτιόν ἐστι δι' ὃ γίνεταί τι, οἷον διὰ τὴν φρόνησιν γίνεται τὸ φρονεῖν καὶ διὰ τὴν ψυχὴν γίνεται τὸ ζῆν καὶ διὰ τὴν σωφροσύνην γίνεται τὸ σωφρονεῖν. ἀδύνατον γὰρ εἶναι σωφροσύνης περί τινα οὔσης μὴ σωφρονεῖν, ἢ ψυχῆς μὴ ζῆν, ἢ φρονήσεως μὴ φρονεῖν. ὡς αἰτίου. Ποσειδωνίο υ . Ποσειδώνιος δὲ οὕτως· αἴτιον δ' ἐστί τινος, δι' ὃ ἐκεῖνο, ἢ τὸ πρῶτον ποιοῦν, ἢ τὸ ἀρχηγὸν ποιήσεως. καὶ τὸ μὲν αἴτιον ὂν καὶ σῶμα, οὗ δὲ αἴτιον οὔτε ὂν οὔτε σῶμα, ἀλλὰ συμβεβηκὸς καὶ κατηγόρημα. 〈 Aetii (I 11, 6—8 p. 310 Diels.).〉 Θαλῆς καὶ οἱ ἐφεξῆς τὸ πρῶτον αἴτιον ἀκίνητον ἀπεφήναντο. 〈Οἱ〉 Στωικοὶ τὸ πρῶτον αἴτιον ὡρίσαντο κινητόν. Οἱ Περιπατητικοὶ τῶν αἰτίων εἶναι τὰ μὲν αἰσθητά, τὰ δὲ νοητά. Ὀκέλλο υ . Ὄκελλος ἔφησεν εἶναι αἴτιον δι' ὃ γίγνεταί τι. λέγει γὰρ ἐν τῷ Περὶ νόμου (fr. phil. Gr. I p. 407 Mullach.) οὕτως· Συνέχει γὰρ τὰ

μὲν σκάνεα τῶν ζῴων 〈ζωά〉, ταύτας δ' αἴτιον ψυχά· τὸν δὲ κόσμον ἁρμονία, ταύτας δ' αἴτιος ὁ θεός· τὼς δ' οἴκως καὶ τὰς πόλιας ὁμόνοια, ταύτας δ' αἴτιος νόμος. Τίς ὦν αἰτία ἦν φύσις, τὸν μὲν κόσμον μὲν ὦν γεννατὰ καὶ θνατὰ τὰν φύσιν, ἐξ ἃς συνέστακεν ὕλας, τὰν αὐτὰν αἰτίαν ἔχει τᾶς διαλύσιος· συνέστακε γὰρ ἐκ μεταβαλλοίσας καὶ ἀειπαθέος. Ἃ γὰρ τῶν γεννωμένων ἀπογέννασις σωτηρία τᾶς γενετείρας ὕλας. Τὸ δὲ ἀεικίνητον κυβερνῇ, τὸ δ' ἀειπαθὲς κυβερνῆται· καὶ τὸ μὲν πρότερον τᾷ δυνάμι, τὸ δὲ ὕστερον· καὶ τὸ μὲν θεῖον καὶ λόγον ἔχον καὶ ἔμφρον, τὸ δὲ γεννατὸν καὶ ἄλογον [τὸ μεταβάλλον].

1.14 〈Aetii (I 12, 1—3 med. p. 310 Diels.).〉 Σῶμά ἐστι τὸ τριχῇ διαστατόν, πλάτει, βάθει, μήκει· ἢ ὄγκος ἀντίτυπος, ὅσον ἐφ' αὑτῷ. Πλάτων μήτε βαρὺ μήτε κοῦφον εἶναί τι φύσει ἐν τῷ οἰκείῳ τόπῳ ὑπάρχον, ἐν δὲ τῷ ἀλλοτρίῳ γενόμενον τότε νεῦσιν ἴσχειν, ἐκ δὲ τῆς νεύσεως ῥοπὴν ἤτοι πρὸς 〈Aetii (I 16, 3 p. 315, 5 Diels.) de Aristotele.〉 Καὶ δυνάμει μὲν εἰς ἄπειρον τέμνεσθαι, ἐντελεχείᾳ δὲ μηδαμῶς. 〈Arii Didymi (fr. phys. 5 p. 449 Diels.) de Aristotele.〉 Τῶν δὲ ἁπλῶν σωμάτων εἶναι τὰς ποιότητας ἁπλᾶς· διαιρεῖσθαι δὲ εἰς ἄπειρον τὰ μεγέθη καὶ τὰ μέγεθος ἔχοντα. ταῦτα δὲ καὶ συνεχῆ καλεῖσθαι· μεγέθη δ' εἶναι μῆκος, πλάτος, βάθος· τὰ δ' ἔχοντα μέγεθος ἓξ ὑπάρχειν, σῶμα, τόπον, ἐπιφάνειαν, γραμμήν, κίνησιν, χρόνον. ἐπιφάνειαν δ' εἶναι σώματος πέρας δυσὶν ὁριζομένην διαστάσεσι· γραμμὴν δὲ τὸ τῆς ἐπιφανείας πέρας κατὰ μίαν διάστασιν. σῶμα δὴ τοίνυν ἐστὶ 〈τὸ〉 τὰς τρεῖς ἔχον διαστάσεις. ἐπεὶ δὲ καὶ περὶ τὸν τόπον εἰσὶν αὗται, προσθετέον τό τε μετ' ἀντερείσεως καὶ τὸ μὴ δεχόμενον ἕτερον εἰς τὸν αὐτὸν τόπον [σῶμα]· πληρωτικὸν γὰρ εἶναι τοῦ τόπου τὸ σῶμα, καθάπερ καὶ τὸν τόπον τοῦ σώματος δεκτικόν. ποιεῖν δὲ καὶ πάσχειν τὰ σώματα ταῖς ἀσωμάτοις δυνάμεσι· κατὰ γὰρ τὰς ἐν ταύταις διαφορὰς ἀποτελεῖσθαι τάς τε τῶν δραστικῶν καὶ τὰς τῶν παθητικῶν φύσεις. 〈Aetii (I 12, 3 med. p. 311, 1 Diels.) de Aristotele.〉 Μηδὲν δὲ πῦρ κυκλοτερῶς φύσει κινεῖσθαι, μόνον δὲ 〈Aetii (I 16, 4 p. 315, 8 Diels.).〉 Χρύσιππος ἔφασκε τὰ σώματα εἰς ἄπειρον τέμνεσθαι καὶ τὰ τοῖς σώμασι προσεοικότα, οἷον ἐπιφάνειαν, γραμμήν, τόπον, κενόν, χρόνον· εἰς ἄπειρόν τε τούτων τεμνομένων οὔτε σῶμα ἐξ ἀπείρων σωμάτων συνέστηκεν οὔτ' ἐπιφάνεια οὔτε γραμμὴ οὔτε τόπος 〈οὔτε κενὸν οὔτε χρόνος〉. 〈Aetii (I 12, 4—6 p. 311, 3 Diels.).〉 Οἱ Στωικοὶ δύο μὲν ἐκ τῶν τεσσάρων στοιχείων κοῦφα, πῦρ καὶ ἀέρα· δύο δὲ βαρέα, ὕδωρ καὶ γῆν. Κοῦφον γὰρ ὑπάρχει φύσει, ὃ νεύει ἀπὸ τοῦ ἰδίου μέσου, βαρὺ δὲ τὸ εἰς μέσον. Καὶ τὸ μὲν περίγειον φῶς κατ' εὐθεῖαν, τὸ δ' αἰθέριον περιφερῶς κινεῖται. Ἐπίκουρος ἀπερίληπτα εἶναι τὰ 〈ἄτομα〉 σώματα. καὶ τὰ πρῶτα δὲ ἁπλᾶ· τά τε ἐξ ἐκείνων συγκρίματα βάρος ἔχειν. Κινεῖσθαι δὲ τὰ ἄτομα τότε μὲν κατὰ στάθμην, τότε δὲ κατὰ παρέγκλισιν· τὰ δὲ ἄνω κινούμενα κατὰ πληγὴν καὶ ἀποπαλμόν. Δημόκριτος τὰ πρῶτά φησι σώματα (ταῦτα δ' ἦν χειν ἄτομον. 〈Aetii (I 16, 2 p. 315, 3 Diels.).〉 Ὁ δ' αὐτὸς ἔλεγε περὶ τἀμερῆ ἵστασθαι τὴν τομήν. 〈Aetii (I 12, 7 p. 311, 23 Diels.).〉 Στράτων μὲν προσεῖναι τοῖς σώμασι φυσικὸν βάρος, τὰ δὲ κουφότερα τοῖς βαρυτέροις ἐπιπολάζειν, οἷον ἐκπυρηνιζόμενα. 〈Aetii (I 16, 1 p. 314, 30 Diels.).〉 Οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου παθητὰ 〈τὰ〉 σώματα καὶ τμητὰ εἰς ἄπειρον, καὶ πάντα τὰ συνεχῆ, γραμμήν, ἐπιφάνειαν, στερεὸν σῶμα, τόπον, χρόνον. Περὶ ἐλαχίστο υ . 〈Aetii (I 13, 1—4 p. 312, 2 Diels.).〉 Ἐμπεδοκλῆς ἔφη πρὸ τῶν τεσσάρων στοιχείων θραύσματα ἐλάχιστα, οἱονεὶ στοιχεῖα πρὸ τῶν στοιχείων ὁμοιομερῆ. Ἡράκλειτος πρὸ τοῦ ἑνὸς δοκεῖ τισι ψήγματα καταλείπειν. Ξενοκράτης καὶ Διόδωρος ἀμερῆ τὰ ἐλάχιστα ὡρίζοντο. Ἡρακλείδης θραύσματα. 〈Arii Didymi (fr. phys. 19 p. 457 Diels.) de Stoicis.〉 τὸ κάτωθεν ἄνω· καὶ πλάτος ὁτὲ 〈μὲν〉 τὸ δεύτερον διάστημα, ὁτὲ δὲ τὸ ἐκ δεξιᾶς καὶ ἐξ εὐωνύμου· καὶ βάθος ὁτὲ μὲν τὸ εἰς ἑαυτὸ διάστημα, ὁτὲ δὲ τὸ πρόσω καὶ ὀπίσω· κατὰ μὲν τὸν πρότερον λόγον οὔτε τῶν σφαιρῶν οὔτε τῶν τετραγώνων καὶ τῶν ὁμοίων οὐδὲν τῶν διαστημάτων τούτων ἐχόντων, κατὰ δὲ τὸν δεύτερον παντὸς σώματος τὰς τρεῖς ἔχοντος διαστάσεις διὰ τὸ κατὰ πᾶσαν θέσιν ὑπὸ τὸν λόγον

τοῦτον πίπτειν αὐτό. Παρμενίδου (102—104 Karsten. p. 792 Stein.). Πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον πελέναι χρεόν ἐστι τῇ ἢ τῇ.

1.15 Ὁμήρου (II. Θ 16). Τόσσον ἔνερθ' Ἀίδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης. 〈 Anonymi poeta e . 〉 〈 Ἐμπεδοκλέους (v. 138 Stein.).〉 σφαῖρος κυκλοτερής, μονίῃ περιηγέϊ γαίων. Πορφυρίο υ . 〈 Aetii (I 14, 1 p. 312, 12 Diels.).〉 Σχῆμά ἐστιν ἐπιφάνεια καὶ περιγραφὴ καὶ πέρας σώματος. Πλάτωνο ς . Πλάτων ἔφησε σφαιροειδῆ τὸν κόσμον ὑπάρχειν. Λέγει γὰρ οὕτως ἐν τῷ Τιμαίῳ (p. 33 B)· „Σχῆμα δ' ἔδωκεν αὐτῷ τὸ πρέπον καὶ τὸ συγγενές· τῷ δὲ πάντα ζῷα ἐν αὐτῷ περιέχειν μέλλοντι ζῴῳ πρέπον ἂν εἴη σχῆμα τὸ περιειληφὸς ἐν αὐτῷ πάνθ' ὁπόσα σχήματα. Διὸ καὶ σφαιροειδές, ἐκ μέσου πάντῃ πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον, κυκλοτερὲς αὐτὸ ἐτορνεύσατο, πάντων τελεώτατον ὁμοιότατόν τε αὐτὸ ἑαυτῷ σχημάτων, νομίσας μυρίῳ κάλλιον ὅμοιον ἀνομοίου.“ Ἐν ταὐτῷ (Timae. p. 62 D —63 A). Τοῦ γὰρ παντὸς οὐρανοῦ σφαιροειδοῦς ὄντος, ὅσα μὲν ἀφεστῶτα ἴσον τοῦ μέσου γέγονεν ἔσχατα, ὁμοίως αὐτὰ χρὴ ἔσχατα προσπεφυκέναι, τὸ δὲ μέσον τὰ αὐτὰ μέτρα τῶν ἐσχάτων ἀφεστηκὸς ἐν τῷ καταντικρὺ νομίζειν δεῖ πάντων εἶναι· τοῦ δὴ κόσμου ταύτῃ πεφυκότος τί τῶν εἰρημένων ἄνω τις ἢ κάτω τιθέμενος [ὂν] οὐκ ἐν δίκῃ δίκαιος, ἀλλ' αὐτὸ ἐν μέσῳ· ὁ δὲ πέριξ οὔτε δὴ μέσος, οὔτε ἔχων διάφορον αὐτοῦ μέρος ἕτερον θατέρου μᾶλλον πρὸς τὸ μέσον ἤ τι τῶν καταντικρύ. τοῦ δὲ ὁμοίως πάντῃ πεφυκότος ποῖά τις ἐπιφέρων ὀνόματα αὐτῷ ἐναντία καὶ πῇ καλῶς ἂν ἡγοῖτο λέγειν; εἰ γάρ τι καὶ στερεὸν εἴη κατὰ μέσον τοῦ παντὸς ἰσοπαλές, εἰς οὐδὲν ἄν τί ποτε τῶν ἐσχάτων ἐνεχθείη διὰ τὴν πάντῃ ὁμοιότητα αὐτῶν· ἀλλ' εἰ καὶ περὶ ταὐτὸ πορεύοιτό τις ἐν κύκλῳ, πολλάκις ἂν στὰς ἀντίπους ταὐτὸν αὐτοῦ κάτω καὶ ἄνω προσείποι· τὸ μὲν γὰρ ὅλον, καθάπερ εἴρηται νῦν δή, σφαιροειδὲς ὂν τόπον τινὰ κάτω, τὸν δὲ ἄνω λέγειν ἔχειν οὐκ ἔμφρονος. 〈 Aetii (I 14, 2—6 p. 312, 14 Diels.).〉 Οἱ ἀπὸ Πυθαγόρου [τὸν κόσμον] σφαιρικὰ τὰ σχήματα τῶν τεττάρων στοιχείων· μόνον δὲ τὸ ἀνώτατον πῦρ κωνοειδές. Ἀναξαγόρας τὰ ὁμοιομερῆ πολυσχήμονα. Οἱ ἀπὸ Λευκίππου τὰ ἄτομα πολυσχήμονα. Κλεάνθης μόνος τῶν Στωικῶν τὸ πῦρ ἀπεφήνατο κωνοειδές. Ζήνων ἔφασκε τὸ πῦρ κατ' εὐθεῖαν κινεῖσθαι. 〈 Aetii (II 2, 1. 2 p. 329, 6 Diels.).〉 〈 Aetii (II 8, 1 p. 337, 26 Diels.).〉 Διογένης καὶ Ἀναξαγόρας ἔφησαν, μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ζῷα ἐκ τῆς γῆς ἐξαγαγεῖν ἐγκλιθῆναί πως τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν αὐτοῦ μέρος, ἴσως ὑπὸ προνοίας, ἵν' ἃ μὲν ἀοίκητα γένηται, ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου κατὰ ψῦξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν. 〈 Aetii (II 7, 6 p. 336, 16; II 8, 2 p. 338, 6; II 10, 2 p. 339, 16 Diels.).〉 Ἐμπεδοκλῆς ἔλεγε μὴ διὰ παντὸς ἑστῶτας εἶναι μηδ' ὡρισμένους τοὺς τόπους τῶν στοιχείων, ἀλλὰ πανταχῶς ἀλλήλων μεταλαμβάνειν, —Τοῦ δὲ ἀέρος εἴξαντος τῇ τοῦ ἡλίου ὁρμῇ ἐπικλιθῆναι τὰς ἄρκτους καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθὸ καὶ τὸν ὅλον κόσμον. —Καὶ δεξιὰ μὲν αὐτοῦ τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀριστερὰ δὲ τὰ κατὰ τὸν χειμερινόν. 〈 Aetii (II 10, 1 p. 339, 2 Diels.).〉 Πυθαγόρα ς , Πλάτω ν , Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου τὰ ἀνατολικὰ μέρη, ἀφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως [διὰ τὰς ἀνατολάς], ἀριστερὰ δὲ τὰ δυτικά. Οὔθ' ὕψος δέ φασιν οὔτε βάθος ἔχειν τὸν κόσμον, καθ' ὃν λόγον ὕψος μὲν λέγεται τὸ κάτωθεν ἄνω διάστημα, βάθος δὲ πρὸς ὃ πανταχόθεν ταὐτό. Φιλολάου Βάκχαι (fr. 5 Mull.). Ὁ κόσμος εἷς ἐστιν. Ἤρξατο δὲ γίγνεσθαι ἄχρι τοῦ μέσου, καὶ ἀπὸ τοῦ μέσου εἰς τὸ ἄνω διὰ τῶν αὐτῶν τοῖς κάτω ἐστὶ τὰ ἄνω τοῦ μέσου ὑπεναντίως κείμενα τοῖς κάτω. Τοῖς γὰρ κάτω τὸ κατωτάτω μέγα ἐστὶν ὥσπερ τὸ ἀνωτάτω, καὶ τὰ ἄλλα ὡσαύτως. Πρὸς γὰρ τὸ μέσον κατὰ ταὐτά ἐστιν ἑκάτερα, ὅσα μὴ μετενήνεκται.

1.16 〈 Aetii (I 15, 1—11 p. 313, 4 Diels.).〉 Χρῶμά ἐστι ποιότης σώματος ὁρατὴ προηγουμένως. 〈Οἱ〉 Πυθαγόρειοι χροιὰν ἐκάλουν τὴν ἐπιφάνειαν τοῦ σώματος, τὰ δὲ γένη τῶν χρωμάτων λευκόν τε καὶ μέλαν, ἐρυθρόν τε καὶ ὠχρόν· τὰς δὲ διαφορὰς τῶν χρωμάτων παρὰ τὰς

〈ποιὰσ〉 μίξεις τῶν στοιχείων, τὰς δὲ τῶν ριθμα, λευκόν, μέλαν, ἐρυθρόν, ὠχρόν. Πλάτων φλόγα ἀπὸ τῶν σωμάτων σύμμετρα μόρια ἔχουσαν πρὸς τὴν ὄψιν. Ἀρίσταρχος Σάμιος μαθηματικός, ἀκουστὴς Στράτωνος, φῶς εἶναι τὸ χρῶμα τοῖς ὑποκειμένοις ἐπιπῖπτον. Ζήνων ὁ Στωικὸς τὰ χρώματα πρώτους εἶναι σχηματισμοὺς τῆς ὕλης. Δημόκριτος φύσει μὲν μηδὲν εἶναι χρῶμα, τὰ μὲν γὰρ στοιχεῖα ἄποια, τά τε ναστὰ καὶ τὸ κενόν· τὰ δὲ ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι διαταγῇ τε καὶ ῥυθμῷ καὶ προτροπῇ, ὧν ἡ μέν ἐστι τάξις, ὃ δὲ σχῆμα, ἡ δὲ θέσις· παρὰ ταῦτα γὰρ αἱ φαντασίαι. Τούτων δὲ τῶν πρὸς τὴν φαντασίαν χρωμάτων τέτταρες αἱ διαφοραί, λευκοῦ, μέλανος, ἐρυθροῦ, ὠχροῦ. Ἐπίκουρος καὶ Ἀρίσταρχος τὰ ἐν τῷ σκότῳ σώματα χρόαν οὐκ ἔχειν. Ἀριστοτέλης πέρας ἐν ὡρισμένῳ διαφανεῖ, διαφανὲν δὲ ὕλην εἶναι διηθημένην καθαρὰν καὶ ἀμιγῆ, τούμηδαμῶς· πολὺ δὲ τὸ μεταξὺ τοῦ τε μὴ ἔχειν καὶ μὴ ὁρᾶσθαι. Οἱ μὲν ἄλλοι τὰ στοιχεῖα κεχρῶσθαι φυσικῶς, οἳ δὲ τὰ ὁμοιομερῆ ποιότητος μετέχειν τὰ πρῶτα, οἳ δὲ τὰ ἄτομα πάντα συλλήβδην ἄχροα, ἐξ ἀποίων δὲ τῶν λόγῳ θεωρητῶν τὰς αἰσθητὰς ὑποφαίνουσι γίγνεσθαι ποιότητας. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 67 C —68 D). Τέταρτον γὰρ δὴ λοιπὸν ἔτι γένος ἡμῖν αἰσθητικόν, ὃ διελέσθαι δεῖ συχνὰ ἐν αὐτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀπορρέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν· ὄψεως δ’ ἐν τοῖς πρόσθεν αὐτῶν περὶ τῶν αἰτίων τῆς γενέσεως ὀλίγα ἐρρήθη. Τῇδε οὖν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ’ ἂν τὸν ἐπιεικῆ λόγον διεξελθεῖν· τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια ἐμπίπτοντά τε εἰς τὴν ὄψιν τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δὲ ἴσα τοῖς αὐτοῖς τῆς ὄψεως μέρεσιν εἶναι. Τὰ μὲν οὖν ἴσα ἀναίσθητα, ἃ δὴ καὶ διαφανῆ λέγομεν· τὰ δὲ μείζω καὶ ἐλάττω, τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα αὐτήν, τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς καὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς καὶ ὅσα θερμαντικὰ ὄντα δριμέα ἐκαλέσαμεν ἀδελφὰ εἶναι, τά τε λευκὰ καὶ τὰ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει τὰ αὐτά, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας τὰς αἰτίας. Οὕτως οὖν αὐτὰ προσρητέον, τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ’ ἐναντίον αὐτοῦ μέλαν, τὴν δὲ ὀξυτέραν φορὰν καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀφθαλμῶν, αὐτάς τε τῶν ὀμμάτων τὰς διεξόδους βίᾳ διωθοῦσαν καὶ τήκουσαν, πῦρ μὲν ἀθρόον καὶ ὕδωρ, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν, καὶ τοῦ μὲν ἐκπηδῶντος πυρὸς οἷον ἀπὸ ἀστραπῆς, τοῦ δὲ εἰσιόντος καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν. Τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ, χρῶμα ἔναιμον παρασχομένῃ τοὔνομα ἔρυθρον λέγομεν. Λαμπρὸν δὲ ἐρυθρῷ λευκῷ τε μιγνύμενον ξανθὸν γέγονε. Τὸ δὲ ὅσον μέτρον ὅσοις, οὐδ’ εἴ τις εἰδείη, νοῦν ἔχει τὸ λέγειν, ὧν μήτε τινὰ ἀνάγκην μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός· ἐρυθρὸν δὲ δὴ μέλανι λευκῷ τε κραθὲν ἁλουργοῦν· ὄρφνινον δὲ ὅταν τούτοις μεμιγμένοις καυθεῖσί τε μᾶλλον συγκραθῇ μέλαν· πυρρὸν δὲ ξανθοῦ τε καὶ φαιοῦ κράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος· τὸ δὲ ὠχρὸν λευκοῦ ξανθῷ μιγνυμένου· λαμπρῷ δὲ λευκὸν συνελθὸν καὶ εἰς μέλαν κατακορὲς ἐμπεσὸν κυανοῦν χρῶμα ἀποτελεῖται· κυανοῦ δὲ λευκῷ κεραννυμένου γλαυκόν· πυρροῦ δὲ μέλανι πράσιον. Τὰ δ’ ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασῴζοι τὸν εἰκότα μῦθον. Εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας

1.17 〈 Aetii (I 17, 1—4 p. 315, 17 Diels.).〉 Θαλῆς καὶ οἱ ἀπ’ αὐτοῦ κράσεις εἶναι τὰς τῶν στοιχείων μίξεις κατ’ ἀλλοίωσιν. 〈 Οἱ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον 〉 τὰς κράσεις κατὰ παράθεσιν γίγνεσθαι τῶν στοιχείων. Ἐμπεδοκλῆς καὶ Ξενοκράτης ἐκ μικροτέρων ὄγκων τὰ στοιχεῖα

συγκρίνει, ἅπερ ἐστὶν ἐλάχιστα καὶ οἱονεὶ στοιχεῖα στοιχείων. Πλάτων τὰ μὲν τρία σώματα τρεπτὰ εἰς ἄλληλα, πῦρ, ἀέρα, ὕδωρ· τὴν δὲ γῆν εἴς τι τούτων ἀμετάβλητον. 〈 Arii Didymi (fr. phys. 4 p. 449 Diels.).〉 Ἀριστοτέλους καὶ τῶν ἀ π ’ αὐτο ῦ . Τὰ μὲν σώματά φασι θρυπτόμενα κατὰ μικρὰ μόρια παρατίθεσθαι ἀλλήλοις, τοῖς δ’ ἀσωμάτοις λόγοις, εἴ τινές εἰσι λόγοι, συγκιρνᾶσθαι. 〈 Arii Didymi (fr. phys. 38 p. 469 Diels.).〉 Ζήνωνα δὲ οὕτως ἀποφαίνεσθαι διαρρήδην· „τοιαύτην δὲ δεήσει εἶναι ἐν περιόδῳ τὴν τοῦ ὅλου διακόσμησιν γένηται, τὸ μέν τι ὑφίστασθαι καὶ γῆν συνίστασθαι, [καὶ] ἐκ τοῦ λοιποῦ δὲ τὸ μὲν διαμένειν ὕδωρ, ἐκ δὲ τοῦ ἀτμιζομένου ἀέρα γίγνεσθαι, λεπτυνομένου δὲ τοῦ ἀέρος πῦρ ἐξάπτεσθαι, τὴν δὲ μῖξιν 〈καὶ〉 κρᾶσιν γίγνεσθαι τῇ εἰς ἄλληλα τῶν στοιχείων μεταβολῇ σώματος ὅλου δι’ ὅλου τινὸς ἑτέρου διερχομένου.“ Κλεάνθης (fr. phys. 13, II p. 11 Wachsm.) δὲ οὕτω πώς φησιν· ἐκφλογισθέντος τοῦ παντὸς συνίζειν τὸ μέσον αὐτοῦ πρῶτον, εἶτα τὰ ἐχόμενα ἀποσβέννυσθαι δι’ ὅλου. Τοῦ δὲ παντὸς ἐξυγρανθέντος τὸ ἔσχατον τοῦ πυρός, ἀντιτυπήσαντος αὐτῷ τοῦ μέσου, τρέπεσθαι πάλιν εἰς τοὐναντίον, εἶθ’ οὕτω τρεπόμενον ἄνω φησὶν αὔξεσθαι καὶ ἄρχεσθαι διακοσμεῖν τὸ ὅλον· καὶ τοιαύτην περίοδον αἰεὶ καὶ διακόσμησιν ποιουμένου τὸν ἐν τῇ τῶν ὅλων οὐσίᾳ τόνον μὴ παύεσθαι. Ὥσπερ γὰρ ἑνός τινος τὰ μέρη πάντα φύεται ἐκ σπερμάτων ἐν τοῖς καθήκουσι χρόνοις, οὕτω καὶ τοῦ ὅλου τὰ μέρη, ὧν καὶ τὰ ζῷα καὶ τὰ φυτὰ ὄντα τυγχάνει, ἐν τοῖς καθήκουσι χρόνοις φύεται. Καὶ ὥσπερ τινὲς λόγοι τῶν μερῶν εἰς σπέρμα συνιόντες μίγνυνται καὶ αὖθις διακρίνονται γενομένων τῶν μερῶν, οὕτως ἐξ ἑνός τε πάντα γίνεσθαι καὶ ἐκ πάντων [εἰς] ἓν συγκρίνεσθαι, ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου. 〈 Arii Didymi (fr. phys. 28 p. 463 Diels.).〉 πται διὰ τὸ λέγεσθαι αὐτὸ ἀέρα εἶναι κινούμενον· ἀνάλογον δὲ γίνεσθαι κἀπὶ τοῦ αἰθέρος, ὥστε καὶ εἰς κοινὸν λόγον πεσεῖν αὐτόν. Ἡ τοιαύτη δὲ κίνησις κατὰ μόνους γίνεται τοὺς νομίζοντας τὴν οὐσίαν πᾶσαν μεταβολὴν ἐπιδέχεσθαι καὶ σύγχυσιν καὶ σύστασιν καὶ σύμμιξιν καὶ σύμφυσιν καὶ τὰ τούτοις παραπλήσια. Διαφέρειν γὰρ ἀρέσκει τοῖς ἀπὸ τῆς Στωικῆς αἱρέσεως παράθεσι ν , μῖξι ν , κρᾶσι ν , σύγχυσι ν . Παράθεσιν μὲν γὰρ εἶναι σωμάτων συναφὴν κατὰ τὰς ἐπιφανείας, ὡς ἐπὶ τῶν σωρῶν ὁρῶμεν, ἐν οἷς πυροί τε καὶ κριθαὶ καὶ φακοὶ καὶ εἴ τινα τούτοις ἄλλα παραπλήσια περιέχεται καὶ τῶν ἐπὶ τῶν αἰγιαλῶν ψήφων καὶ ἄμμων. Μῖξιν δ’ εἶναι δύο ἢ καὶ πλειόνων σωμάτων ἀντιπαρέκτασιν δι’ ὅλων, ὑπομενουσῶν τῶν συμφυῶν περὶ αὐτὰ ποιοτήτων, ὡς ἐπὶ τοῦ πυρὸς ἔχει καὶ τοῦ πεπυρακτωμένου σιδήρου, ἐπὶ τούτων γὰρ 〈δι’〉 ὅλων γίγνεσθαι τῶν σωμάτων τὴν ἀντιπαρέκτασιν. Ὁμοίως δὲ κἀπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχειν· δι’ ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν, ἀρέσκει γὰρ αὐτοῖς σῶμα διὰ σώματος ἀντιπαρήκειν. Κρᾶσιν δὲ εἶναι λέγουσι δύο ἢ καὶ πλειόνων σωμάτων ὑγρῶν δι’ ὅλων ἀντιπαρέκτασιν τῶν περὶ αὐτὰ ποιοτήτων ὑπομενουσῶν· τῶν συγκραθέντων ὑγρῶν ποιότητα, οἷον οἴνου, μέλιτος, ὕδατος, ὄξους, τῶν παραπλησίων. Ὅτι δ’ ἐπὶ τοιούτων κράσεων διαμένουσιν αἱ ποιότητες τῶν συγκραθέντων, πρόδηλον ἐκ τοῦ πολλάκις ἐξ ἐπιμηχανήσεως ἀποχωρίζεσθαι ταῦτα ἀπ’ ἀλλήλων. Ἐὰν γοῦν σπόγγον ἡλαιωμένον καθῇ τις εἰς οἶνον ὕδατι κεκραμένον, ἀποχωρίσει τὸ ὕδωρ τοῦ οἴνου ἀναδραμόντος τοῦ ὕδατος εἰς τὸν σπόγγον. Τὴν δὲ σύγχυσιν δύο 〈ἢ〉 καὶ πλειόνων ποιοτήτων περὶ τὰ σώματα μεταβολὴν εἰς ἑτέρας διαφερούσης τούτων ποιότητος γένεσιν, ὡς ἐπὶ τῆς συνθέσεως ἔχει τῶν μύρων καὶ τῶν ἰατρικῶν φαρμάκων.

1.18 〈 Aetii (I 18, 1—3 p. 315, 32 Diels.).〉 Οἱ ἀπὸ Θάλεω φυσικοὶ πάντες τὸ κενὸν ὡς ὄντως κενὸν ἀπέγνωσαν. Ἐμπεδοκλῆς (v. 91 Stein.). Οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ περιττόν. 〈 Aetii (I 18, 4 p. 316, 8 et 19, 3 p. 317, 27 Diels.).〉 Στράτων ἐξωτέρω μὲν ἔφη τοῦ κόσμου μὴ εἶναι κενόν, ἐνδοτέρω δὲ δυνατὸν γενέσθαι. —Τόπον δὲ εἶναι τὸ μεταξὺ διάστημα τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου. 〈 Aetii (I 18, 6 p. 316, 14 Diels.).〉 Ἀριστοτέλης ἐν τετάρτῳ Φυσικῆς ἀκροάσεως (c. 6 p. 213 b 22) γράφει· „εἶναι δέ φασιν οἱ Πυθαγόρειοι κενὸν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι.“ Ἐν δὲ τῷ Περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ (fr. 196 p. 1513 a 29) γράφει, τὸν μὲν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δὲ ἐκ τοῦ ἀπείρου χρόνον τε καὶ πνοὴν καὶ τὸ κενόν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί. Καὶ ἐν ἄλλοις λέγει, τόπον εἶναι τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον, ἢ ἐν ᾧ μένει τε καὶ κινεῖται τὰ σώματα, πλήρη μέν, ὅταν πανταχόθεν περιέχῃ τὸ σῶμα, κενὸν δέ, ὅταν μηθὲν ἔχῃ τὸ παράπαν ἐν ἑαυτῷ. Τόπον μὲν οὖν ἀναγκαῖον ὑπάρχειν καὶ σῶμα, κενὸν δὲ οὐδαμῶς, εἰ μὴ μόνον πρὸς νόησιν· ἀναιρετικὴν γὰρ εἶναι τὴν κατ’ ἐνδελέχειαν αὐτοῦ φύσιν τῆς τε τῶν ὄντων συμπαθείας καὶ τῆς τῶν σωμάτων ἀλληλουχίας· τὰς δὲ κινήσεις γίνεσθαι τὰς κατὰ τόπον [κατὰ τὸ πρότερον] ἀντιπεριισταμένων ἀλλήλοις τῶν σωμάτων. Ἄπειρον δὲ οὐθὲν ἀπολείπει οὔτε κατὰ τὸ πλῆθος οὔτε κατὰ τὸ μέγεθος. 〈 Aetii (I 18, 5 p. 316, 11 et 20, 1 p. 317, 31 Diels.).〉 Ζήνων καὶ οἱ ἀπ’ αὐτοῦ ἐντὸς μὲν τοῦ κόσμου μηματος, τὸν δὲ τόπον τὸ ἐπεχόμενον ὑπὸ σώματος, τὴν δὲ χώραν τὸ ἐκ μέρους ἐπεχόμενον. Θαλῆς ἐρωτηθείς, Τί τὸ μέγιστον; ἔφησε, Τόπος· τἆλλα μὲν γὰρ ὁ κόσμος, τὸν δὲ κόσμον οὗτος περιέχει. Ἑρμοῦ ἐκ τῶν πρὸς Ἀσκληπιόν (p. 18 b Patrit., p. 19 Parthey.). 〈Ἑ.〉 Πᾶν τὸ κινούμενον, ὦ Ἀσκληπιέ, οὐκ ἔν τινι κινεῖται καὶ ὑπό τινος; 〈Ἀ.〉 Μάλιστα. 〈Ἑ.〉 Οὐκ ἀνάγκη δὲ μεῖζον εἶναι 〈τὸ〉 ἐν ᾧ κινεῖται 〈ἢ〉 τὸ κινούμενον; 〈Ἀ.〉 Ἀνάγκη. 〈Ἑ.〉 Ἰσχυρότερον ἄρα τὸ κινοῦν τοῦ κινουμένου; 〈Ἀ.〉 Ἰσχυρότερον γάρ. 〈Ἑ.〉 Ἐναντίαν δὲ ἔχειν φύσιν ἀνάγκη τὸ ἐν ᾧ κινεῖται τῇ τοῦ κινουμένου; 〈Ἀ.〉 Καὶ πάνυ. 〈Ἑ.〉 Μέγας οὖν οὗτος 〈ὁ〉 κόσμος, οὗ μεῖζον οὐκ ἔστι σῶμα; 〈Ἀ.〉 Ὡμολόγηται. 〈Ἑ.〉 Καὶ στιβαρός; πεπλήρωται γὰρ ἄλλων σωμάτων μεγάλων πολλῶν, μᾶλλον δὲ πάντων ὅσα ἐστὶ σώματα; 〈Ἀ.〉 Οὕτως ἔχει. 〈Ἑ.〉 Σῶμα δὲ ὁ κόσμος; 〈Ἀ.〉 Σῶμα. 〈Ἑ.〉 Καὶ κινούμενον; νεῖται καὶ ποταπὸν τὴν φύσιν; Οὐ πολὺ μείζονα, ἵνα δυνηθῇ δέξασθαι τῆς φορᾶς τὴν συνέχειαν καὶ μὴ θλιβόμενον τὸ κινούμενον ὑπὸ τῆς στενότητος ἐπίσχῃ τὴν κίνησιν; 〈Ἀ.〉 Παμμέγεθές τι χρῆμα, ὦ Τρισμέγιστε. 〈Ἑ.〉 Ποταπῆς δὲ φύσεως; τῆς ἐναντίας ἆρα, ὦ Ἀσκληπιέ; σώματι δὲ ἐναντία φύσις τὸ ἀσώματον; 〈Ἀ.〉 Ὡμολόγηται. 〈Ἑ.〉 Ἀσώματος οὖν ὁ τόπος, τὸ δὲ ἀσώματον ἢ 〈τὸ〉 θεῖόν ἐστιν ἢ ὁ θεός. Τὸ δὲ θεῖον λέγω νῦν οὐ τὸ γενητόν, ἀλλὰ τὸ ἀγένητον. Ἐν ταὐτῷ (p. 19 Patrit., p. 25 Parthey.). 〈Ἑ.〉 Οὐδὲ ἓν τῶν ὄντων ἐστὶ κενὸν τῷ τῆς ὑπάρξεως λόγῳ· τὸ δὲ ὂν οὐκ ἂν ἠδύνατο εἶναι ὄν, εἰ μὴ μεστὸν τῆς ὑπάρξεως ἦν· τὸ γὰρ ὑπάρχον κενὸν οὐδέποτε γενέσθαι δύναται. 〈Ἀ.〉 Οὐκ ἔστιν οὖν κενά τινα, ὦ Τρισμέγιστε, οἷον κάδος καὶ κέραμος καὶ ληνὸς καὶ τὰ ἄλλα τὰ παραπλήσια; 〈Ἑ.〉 Φεῦ τῆς πολλῆς πλάνης, 〈ὦ〉 Ἀσκληπιέ· τὰ μᾶλλον πληρέστατα καὶ μεστότατα, ταῦτα κενὰ ἡγῇ εἶναι; 〈Ἀ.〉 Πῶς λέγεις, ὦ Τρισμέγιστε; 〈Ἑ.〉 Οὐ σῶμά ἐστιν ὁ ἀήρ; τῶν ὄντων καὶ πάντα διῆκον πληροῖ; σῶμα δὲ οὐκ ἐκ τῶν τεσσάρων κεκραμένον συνέστηκε; Μεστὰ οὖν πάντα ἐστίν, ἃ σὺ φῂς κενά, τοῦ ἀέρος, εἰ δὲ τοῦ ἀέρος, καὶ τῶν τεσσάρων σωμάτων· καὶ συμβαίνει ὁ ἐναντίος λόγος ἐκφαίνεσθαι, ὅτι ἃ σὺ φῂς μεστά, ταῦτα πάντα κενά ἐστι τοῦ ἀέρος ἐκείνων ὑπ’ ἄλλων σωμάτων στενοχωρουμένων καὶ μὴ ἐχόντων τόπον δέξασθαι τὸν ἀέρα. Ταῦτα οὖν, ἃ σὺ φῂς 〈κενά〉, κοῖλα δεῖ ὀνομάζειν, οὐ κενά· ὑπάρξει γὰρ μεστά ἐστιν ἀέρος καὶ πνεύματος. 〈Ἀ.〉 Ἀναντίρρητος ὁ λόγος, ὦ Τρισμέγιστε. Τὸν οὖν τόπον, ἐν ᾧ κινεῖται τὸ πᾶν, τί εἴπωμεν; 〈Ἑ.〉 Ἀσώματον, 〈ὦ〉 Ἀσκληπιέ. 〈Ἀ.〉 Τὸ οὖν ἀσώματον 〈τί〉 ἐστι; 〈Ἑ.〉 Νοῦς 〈καὶ λόγοσ〉, ὅλος ἐξ ὅλου ἑαυτὸν ἐμπεριέχων, ἐλεύθερος σώματος παντός, ἀπλανής, ἀπαθής, ἀναφής, αὐτὸς ἐν ἑαυτῷ ἑστώς, συγχωρητικὸς πάντων καὶ σωτήριος τῶν ὄντων, οὗ ὥσπερ ἀκτῖνές εἰσι τὸ ἀγαθόν, εἶναι τούτοις αἴτιος καὶ πᾶσι καὶ ἑνὶ ἑκάστῳ τῶν ὄντων πάντων. 〈 Aetii (I 20, 2 p. 318, 1 Diels.).〉 Ἐπίκουρος ὀνόμασι [πᾶσιν] παραλλάττειν κενόν, τόπον, χώραν. 〈 Aetii (II 9, 1—3 p. 338, 13 Diels.).〉 Οἱ 〈ἀπὸ〉 Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ. Οἱ Στωικοὶ εἶναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κενόν, εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται ὁ κόσμος, ἄπειρον ὄν. Ποσειδώνιος ἔφησε τὸ ἐκτὸς τοῦ κόσμου οὐκ ἄπειρον, ἀλλ' ὅσον αὔταρκες εἰς διάλυσιν. 〈 Aetii (I 19, 1 p. 317, 23 et II 9, 4 p. 338, 22 Diels.) et Platonis Timaei.〉 Πλάτων τόπον εἶναι τὸ μεταληπτικὸν τῶν εἰδῶν, ὅπερ εἴρηκε μεταφορικῶς τὴν ὕλην, καθάπερ τινὰ τιθήνην καὶ δεξαμενήν. —Κενὸν δὲ μὴ εἶναι μήτε ἐκτὸς τοῦ κόσμου, μήτε ἐν τῷ κόσμῳ. Λέγει γὰρ ἐν τῷ Τιμαίῳ (p. 32 C —33 A) οὕτως· „Τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς, πρῶτον δὲ κύκλῳ πᾶν ἔξωθεν αὐτὸ ἀπηκριβοῦτο πολλῶν χάριν. Ὀμμάτων τε γὰρ ἐπεδεῖτο οὐδέν, ὁρατόν [τε] γὰρ οὐθὲν ἔξωθεν ὑπελείπετο· οὐδ' ἀκοῆς, οὐδὲ 〈γὰρ〉 ἀκουστόν· πνεῦμά τε οὐκ ἦν περιεστὼς δεόμενον ἀναπνοῆς. 〈 Arii Didymi (epit. fr. phys. 25 p. 460 Diels.).〉 Χρυσίππου . Τόπον δ' εἶναι ὁ Χρύσιππος ἀπεφαίνετο τὸ κατεχόμενον δι' ὅλου ὑπὸ ὄντος ἢ τὸ οἷόν 〈τε〉 κατέχεσθαι ὑπὸ ὄντος καὶ δι' ὅλου κατεχόμενον εἴτε ὑπὸ τινὸς 〈εἴτε〉 ὑπὸ τινῶν. Ἐὰν δὲ τοῦ οἵου τε κατέχεσθαι ὑπὸ ὄντος τὶ μὲν κατέχηται, τὶ δὲ μή, τὸ ὅλον 〈οὔτε〉 κενὸν ἔσεσθαι οὔτε τόπον, ἕτερον δέ τι οὐκ ὠνομασμένον· τὸ μὲν γὰρ κενὸν τοῖς κενοῖς ἀγγείοις λέγεσθαι παραπλησίως, τὸν δὲ τόπον τοῖς πλήρεσι· χώραν δὲ πότερον τὸ μεῖζον οἷόν τε κατέχεσθαι ὑπὸ ὄντος καὶ οἷον μεῖζον ἀγγεῖον σώματος, ἢ τὸ χωροῦν μεῖζον σῶμα; Τὸ μὲν οὖν κενὸν ἄπειρον εἶναι λέγεσθαι· τὸ γὰρ ἐκτὸς τοῦ κόσμου τοιοῦτ' εἶναι· τὸν δὲ τόπον πεπερασμένον διὰ τὸ μηδὲν σῶμα ἄπειρον εἶναι. Καθάπερ δὲ τὸ σωματικὸν πεπερασμένον εἶναι, οὕτως τὸ ἀσώματον ἄπειρον, ὅ τε γὰρ χρόνος ἄπειρος καὶ τὸ κενόν. Ὥσπερ γὰρ τὸ μηδὲν οὐδέν ἐστι πέρας, οὕτως οὐδὲ τοῦ μηδενός, οἷόν ἐστι τὸ κενόν. Κατὰ γὰρ τὴν αὐτοῦ ὑπόστασιν ἄπειρόν ἐστι· περατοῦται δ' αὖ τοῦτο ἐκπληρούμενον· τοῦ δὲ πληροῦντος ἀρθέντος οὐκ ἔστιν αὐτοῦ νοῆσαι πέρας.

1.19 〈 Aetii (I 23 p. 318, 30 Diels.).〉 Πυθαγόρου . Κίνησίς ἐστι διαφορότης ἢ ἑτερότης ἐν ὕλῃ, ᾗ ἔστιν ὕλη. Οὗτος πάσης κινήσεως κοινὸς ὅρος. Δημόκριτος ἓν γένος κινήσεως τὸ κατὰ παλμὸν ἀπεφαίνετο. Ἐπίκουρος δύο εἴδη κινήσεως, τὸ κατὰ στάθμην καὶ τὸ κατὰ παρέγκλισιν. Εἰσὶ δέ τινες, οἳ καὶ τέταρτον εἶδος εἰσάγουσι, τὸ κατ' οὐσίαν, ὅπερ ἐστὶ τὸ κατὰ γένεσιν. Ἄλλοι δὲ καὶ τὴν διανοητικὴν προστιθέασι, μέχρι γὰρ τῶν πέντε προὔβησαν. Διόδωρος ὁ Κρόνος κεκινῆσθαι μέν τι, κινεῖσθαι δὲ μηδέν. Ἡράκλειτος ἠρεμίαν μὲν καὶ στάσιν ἐκ τῶν ὅλων ἀνῄρει, κίνησιν δὲ τοῖς πᾶσιν ἀπεδίδου. Ἡρόφιλος κινήσεως τὴν μὲν λόγῳ θεωρητήν, τὴν δὲ αἰσθητήν. Ἀσκληπιάδης πᾶσαν κίνησιν αἰσθητὴν ἀπεφήνατο. Ἀριστοτέλης τὴν κίνησιν ἐνέργειαν εἶναι τοῦ δυνάμει κινητοῦ ᾗ κινητόν. Τῶν δὲ κινήσεων τὰς μὲν εἶναι κατὰ τὸ ποσόν, τὰς δὲ κατὰ τὸ ποιόν, τὰς δὲ κατὰ τόπον. Κατὰ μὲν τὸ ποσὸν αὔξησιν καὶ μείωσιν, ἐν προσθέσει τινὶ θεωρουμένην καὶ ἀφαιρέσει· κατὰ δὲ τὸ ποιὸν ἀλλοίωσιν καὶ μεταβολήν, ὡς τὴν ἐκ θερμοῦ εἰς ψυχρόν, ἐκ γλυκέος εἰς πικρόν· κατὰ δὲ τόπον, ἣν ἰδιώτερον φορὰν ὠνόμασε (phys. VIII 7 p. 260 a 28), καθ' ὃν ἐξ οὗ εἰς ὃ μεταβαίνει τὰ κινούμενα. Ταύτης δὲ τρεῖς εἶναι διαφοράς, ὧν δύο μὲν ἁπλᾶς, τήν τε κατ' εὐθεῖαν καὶ τὴν ἐν κύκλῳ, μίαν δὲ μικτήν· 〈κατ'〉 εὐθεῖαν μὲν τὴν ἄνω καὶ κάτω κατά τε κουφότητα καὶ βαρύτητα τῶν σωμάτων, ἐν κύκλῳ δὲ τὴν περιφερῆ, μικτὴν δὲ τὴν κατ' ἔγκλισιν· τῆς δὲ κατὰ τόπον κινήσεως τὴν μὲν ἀπὸ τοῦ μέσου γίνεσθαι, τὴν δὲ ἐπὶ τὸ μέσον, τὴν δὲ περὶ τὸ μέσον· πυρὸς μὲν οὖν καὶ ἀέρος ἀπὸ τοῦ μέσου, γῆς καὶ ὕδατος ἐπὶ τὸ μέσον, τοῦ πέμπτου [ὅλον] περὶ τὸ μέσον. Τούτοις δὲ πληροῦσθαι τὸν ὅλον κόσμον. Ἑρμοῦ ἐκ τοῦ πρὸς Ἀσκληπιόν (p. 18 b Patrit., p. 21, 12 Parthey.). 〈ΕΡΜ.〉 Πᾶν τὸ κινούμενον οὐκ ἐν κινουμένῳ κινεῖται, ἀλλὰ ἐν ἑστῶτι· καὶ τὸ κινοῦν δὴ ἕστηκεν, ἀδυνατοῦν συγκινεῖσθαι. 〈ΑΣΚ.〉 Πῶς οὖν, ὦ Τρισμέγιστε, τὰ ἐνθάδε συγκινεῖται τοῖς κινουμένοις; τὰς γὰρ σφαίρας ἔφης τὰς πλανωμένας κινεῖσθαι ὑπὸ τῆς ἀπλανοῦς σφαίρας. 〈ΕΡΜ.〉 Οὐκ ἔστιν αὕτη, ὦ Ἀσκληπιέ, συγκίνησις, ἀλλ' ἀντικίνησις· οὐ γὰρ ὁμοίως κινοῦνται, ἀλλ' ἐναντίως

ἀλλήλαις. Ἡ δὲ ἐναντίωσις τὴν ἀντέρεισιν τῆς κινήσεως ἑστῶσαν ἔχει· ἡ γὰρ ἀντιτυπία στάσις φορᾶς. Διὸ καὶ αἱ πλανώμεναι σφαῖραι ἐναντίως κινούμεναι ἀλλήλαις ὑπὸ ἑστώσαν αὐτὴν ὑπ' αὐτῆς κινοῦνται. Τὰς γὰρ ἄρκτους ταύτας, ἃς ὁρᾷς μήτε δυνούσας μήτε ἀνατελλούσας, περὶ δὲ τὸ αὐτὸ στρεφομένας, οἴει κινεῖσθαι ἢ ἑστάναι; 〈Ἀ.〉 Κινεῖσθαι, ὦ Τρισμέγιστε. 〈Ἑ.〉 Κίνησιν ποίαν, ὦ Ἀσκληπιέ; 〈Ἀ.〉 Τὴν περὶ τὸ αὐτὸ ἀναστρεφομένην. 〈Ἑ.〉 Ἡ δὲ περιφορὰ ἡ περὶ τὸ αὐτὸ κίνησίς ἐστιν ὑπὸ στάσεως κατεχομένη· τὸ γὰρ περὶ αὐτὸ κωλύει τὸ ὑπὲρ αὐτό, οὕτω καὶ ἡ ἐναντία φορὰ ἕστηκεν ἑδραία, ὑπὸ τῆς ἐναντιότητος στηριζομένη. Παράδειγμα δέ σοι ἐπίγειον τοῖς ὀφθαλμοῖς ἐμπῖπτον φράσω· τὰ ἐπίγεια ζῷα, οἷον τὸν ἄνθρωπον λέγω, νηχόμενα θεώρησον· φερομένου γὰρ τοῦ ὕδατος ἡ ἀντιτυπία τῶν ποδῶν καὶ τῶν χειρῶν στάσις γίνεται τῷ ἀνθρώπῳ τοῦ μὴ συγκατενεχθῆναι τῷ ὕδατι. 〈Ἀ.〉 Σαφὲς τὸ παράδειγμα, ὦ Τρισμέγιστε. 〈Ἑ.〉 Πᾶσα οὖν κίνησις ἐν στάσει καὶ ὑπὸ στάσεως κινεῖται. Ἡ οὖν κίνησις τοῦ κόσμου καὶ παντὸς ητῶν, ψυχῆς ἢ πνεύματος ἢ ἄλλου τινὸς ἀσωμάτου. Σῶμα γὰρ 〈σῶμα〉 ἔμψυχον οὐ κινεῖ, ἀλλ' οὐδὲ τὸ σύνολον σῶμα κἂν ᾖ ἄψυχον. 〈Ἀ.〉 Πῶς τοῦτο λέγεις, ὦ Τρισμέγιστε; Τὰ οὖν ξύλα καὶ τοὺς λίθους καὶ τὰ 〈ἄλλα〉 πάντα ἄψυχα οὐ σώματά ἐστι 〈τὰ κινοῦντα〉; 〈Ἑ.〉 Οὐδαμῶς, 〈ὦ〉 Ἀσκληπιέ. Τὸ γὰρ ἔνδον τοῦ σώματος τοῦ κινοῦντος, τὸ ἔμψυχον, οὐ σῶμα ἐκεῖνό ἐστι τὸ ἀμφότερα κινοῦν καὶ τὸ τοῦ βαστάζοντος καὶ τὸ τοῦ βασταζομένου· διόπερ ἄψυχον οὐκ ἄψυχον κινήσει. ὁρᾷς γοῦν καταβαρυνομένην τὴν ψυχήν, ὅταν 〈μόνη〉 δύο σώματα φέρῃ. 〈 Arii Didymi (epit. fr. phys. 22 p. 459 Diels.).〉 Χρυσίππο υ . Κίνησιν δέ φησιν εἶναι ὁ Χρύσιππος μεταβολὴν κατὰ τόπον ἢ ὅλῳ ἢ μέρει, ἢ μεταλλαγὴν ἐκ τόπου ἢ καθ' ὅλον ἢ κατὰ μέρος. Καὶ ἄλλως· κίνησιν μεταλλαγὴν κατὰ τόπον ἢ σχῆμα· φορὰν δὲ μετέωρον κίνησιν ὀξεῖαν, μονὴν δὲ τὸ μὲν οἷον ἀκινησίαν σώματος, τὸ δ' οἷον σώματος σχέσιν κατὰ ταὐτὰ καὶ ὡσαύτως νῦν τε καὶ πρότερον. Πολλαχῶς δὲ λέγεσθαι τὴν κίνησιν καὶ τὴν μονήν, διὸ καὶ πολλοὺς καθ' ἕκαστον σημαινόμενον ἀποδίδοσθαι ὅρους. Τὰς δὲ πρώτας κινήσεις εἶναι δύο, τήν τε εὐθεῖαν καὶ τὴν καμπύλην· διὰ τούτων δὲ πολλαχῶς μιγνυμένων γίνεσθαι πολλὰς κινήσεις καὶ διαφερούσας. 〈 Arii Didymi (epit. fr. phys. 23 p. 459 Diels.).〉 Ζήνωνο ς . Τῶν δ' ἐν τῷ κόσμῳ πάντων τῶν κατ' ἰδίαν ἕξιν συνεστώτων τὰ μέρη τὴν φορὰν ἔχειν εἰς τὸ τοῦ ὅλου μέσον, ὁμοίως δὲ καὶ αὐτοῦ τοῦ κόσμου· διόπερ ὀρθῶς λέγεσθαι πάντα τὰ μέρη τοῦ κόσμου ἐπὶ τὸ μέσον τοῦ κόσμου τὴν φορὰν ἔχειν, μάλιστα δὲ τὰ βάρος ἔχοντα· ταὐτὸν δ' αἴτιον εἶναι καὶ τῆς τοῦ κόσμου μονῆς ἐν ἀπείρῳ κενῷ, καὶ τῆς γῆς παραπλησίως ἐν τῷ κόσμῳ περὶ τὸ τούτου κέντρον καθιδρυμένης ἰσοκρατῶς. Οὐ πάντως δὲ σῶμα βάρος ἔχειν, ἀλλ' ἀβαρῆ εἶναι ἀέρα καὶ πῦρ· τείνεσθαι δὲ καὶ ταῦτά πως ἐπὶ τὸ τῆς ὅλης σφαίρας τοῦ κόσμου μέσον, τὴν δὲ σύστασιν πρὸς τὴν περιφέρειαν αὐτοῦ ποιεῖσθαι· φύσει γὰρ ἀνώφοιτα ταῦτ' εἶναι διὰ τὸ μηδενὸς μετέχειν βάρους. Παραπλησίως δὲ τούτοις οὐδ' αὐτόν φασι τὸν κόσμον βάρος ἔχειν διὰ τὸ τὴν ὅλην αὐτοῦ σύστασιν ἔκ τε τῶν βάρος ἐχόντων στοιχείων εἶναι καὶ ἐκ τῶν ἀβαρῶν. Τὴν δ' ὅλην γῆν καθ' ἑαυτὴν μὲν ἔχειν ἀρέσκει βάρος· παρὰ δὲ τὴν θέσιν διὰ τὸ τὴν μέσην ἔχειν χώραν (πρὸς δὲ τὸ μέσον εἶναι τὴν φορὰν τοῖς τοιούτοις σώμασιν) ἐπὶ τοῦ τόπου τούτου μένειν. 〈 Arii Didymi (epit. fr. phys. 24 p. 460 Diels.).〉 Ἀπολλοδώρο υ . Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ τέχνῃ κίνησιν εἶναι μεταβολὴν κατὰ τόπον ἢ σχῆμα ἢ ὅλῳ ἢ [τοῖς] μέρεσι· σχέσιν δὲ συνοχὴν κατὰ τόπον ἢ σχῆμα καὶ τὸ ἴσχεσθαι τοιοῦτο· γένη δὲ κινήσεως εἶναι πρῶτα δύο, τήν τε κατ' εὐθεῖαν καὶ τὴν ἐγκύκλιον. Τούτων δὲ εἴδη γίγνεσθαι πλείονα. Περὶ τὸ αὐτὸ δὲ κινήσεις γίγνεσθαι πολλὰς καὶ ἐν τῷ αὐτῷ τόπῳ, οἷον περιπατεῖν καὶ τρέχειν μὴ ἐκβαίνοντα τὸν αὐτὸν τόπον, καὶ ἅμα κινεῖσθαι τήν τε ἐπ' εὐθεῖαν καὶ τὴν εἰς τὰ πλάγια καὶ τὴν ἔμπροσθεν καὶ τὴν ὄπισθεν καὶ τὴν εἰς δεξιὰν καὶ ἀριστερὰν καὶ ἐγκύκλιον, καὶ ταχέως ἅμα καὶ βραδέως, καθάπερ ἐπὶ τῶν πλεόντων καὶ τῶν ὁμοίως τούτοις διακειμένων συντυγχάνειν. Ὥσπερ δὲ παντὸς σώματος

ἐλέγομεν μέρος εἶναι σῶμα καὶ πάσης ἐπιφανείας ἐπιφάνειαν καὶ πάσης γραμμῆς γραμμὴν καὶ παντὸς τόπου τόπον καὶ παντὸς χρόνου χρόνον, οὕτως καὶ πάσης κινήσεως κίνησιν εἶναι ῥητέον καὶ πάσης σχέσεως σχέσιν κατὰ τὴν αὐτὴν ἀναλογίαν. Πλάτωνος ἐκ τῶν Παρμενίδου (p. 138 B). Ὅτι κινούμενόν γε ἢ φέροιτο ἢ ἀλλοιοῖτο ἄν, αὗται γὰρ μόναι κινήσεις; —Ναί. Τοῦ αὐτοῦ ἐκ τοῦ Τιμαίου (p. 43 B). Ὥστε τὸ μὲν ὅλον κινεῖσθαι ζῷον, ἀτάκτως μὴν ὅπῃ τύχοι προϊέναι καὶ ἀλόγως, τὰς ἓξ ἁπάσας κινήσεις ἔχον· εἴς τε γὰρ τὸ πρόσθεν καὶ ὄπισθεν καὶ πάλιν εἰς δεξιὰ καὶ ἀριστερά, κάτω τε καὶ ἄνω καὶ πάντῃ κατὰ τοὺς ἓξ τόπους πλανώμενα. Τοῦ αὐτοῦ ἐκ τοῦ Θεαιτήτου (p. 181 C. D). Καί μοι λέγε· ἆρα κινεῖσθαι καλεῖς, ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ, ἢ καὶ ἐν τῷ αὐτῷ στρέφηται; — Ἔγωγε. —Τοῦτο μὲν τοίνυν ἓν ἔστω εἶδος· ὅταν δὲ ᾖ μὲν ἐν τῷ αὐτῷ, γηράσκῃ δέ, ἢ μέλαν ἐκ λευκοῦ ἢ σκληρὸν ἐκ μαλακοῦ γίγνηται, ἤ τινα ἄλλην ἀλλοίωσιν ἀλλοιῶται, ἆρα οὐκ ἄξιον ἕτερον εἶδος κινήσεως φάναι; — Ἀναγκαῖον μὲν οὖν. — Δύο δὴ λέγω τούτω εἴδη κινήσεως, ἀλλοίωσιν, τὴν δὲ περιφοράν. Ἐν ταὐτῷ (p. 152 D — 153 D). Ἐγὼ ἐρῶ καὶ μάλα οὐ φαῦλον λόγον· ὡς ἄρα ἓν μὲν αὐτὸ καθ’ ἑαυτὸ οὐδέν ἐστιν, οὐδ’ ἄν τι προσείποις ὀρθῶς οὐδ’ ὁποιονοῦν τι, ἀλλ’ ἐὰν ὡς μέγα προσαγορεύῃς τι, καὶ μικρὸν φανεῖται, καὶ ἐὰν βαρύ τι, κοῦφον, ξύμπαντά τε οὕτως, ὡς μηδενὸς ὄντος ἑνὸς μήτε τινὸς μήτε ὁποιουοῦν· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα, ἃ δή φαμεν εἶναι, οὐκ ὀρθῶς προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτε οὐδέν, ἀεὶ δὲ γίγνεται. καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοὶ πλὴν Παρμενίδου ξυμφέρονται, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς καὶ τῶν ποιητῶν οἱ ἄκροι τῆς ποιήσεως ἑκατέρας, κωμῳδίας μὲν Ἐπίχαρμος, τραγῳδίας δὲ Ὅμηρος, 〈ὃσ〉 εἰπών, Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν (Il. Ξ 201) πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως. Τίς οὖν ἂν ἔτι πρός γε τοσοῦτον στρατόπεδον καὶ στρατηγὸν Ὅμηρον δύναιτο ἀμφισβητήσας μὴ καταγέλαστος γενέσθαι; — Οὐ Οὐ γάρ, ὦ Θεαίτητε. ἐπεὶ καὶ τάδε τῷ λόγῳ σημεῖα ἱκανά, ὅτι τὸ μὲν εἶναι δοκοῦν καὶ τὸ γίγνεσθαι κίνησις παρέχει, τὸ δὲ μὴ εἶναι καὶ ἀπόλλυσθαι ἡσυχία· τὸ γὰρ θερμόν τε καὶ πῦρ, ὃ δὴ καὶ τἆλλα γεννᾷ καὶ ἐπιτροπεύει, αὐτὸ γεννᾶται ἐκ φορᾶς καὶ τρίψεως· τοῦτο δ’ ἡ κίνησις. Καὶ μὴν τό γε τῶν ζῴων γένος ἐκ τῶν αὐτῶν τούτων φύεται. — Πῶς δ’ οὔ; — Τί δέ; ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεως ἐπὶ τὸ πολὺ σῴζεται; — Ναί. — Ἡ δ’ ἐν τῇ ψυχῇ ἕξις οὐχ ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων ὄντων, κτᾶται μαθήματα καὶ σῴζεται καὶ γίγνεται βελτίων, ὑπὸ δ’ ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης οὔτε τι μανθάνει ἅ τε ἂν μάθῃ ἐπιλανθάνεται; — Καὶ μάλα. — Τὸ μὲν ἄρα ἀγαθὸν κίνησις κατά τε ψυχὴν καὶ κατὰ τὸ σῶμα, τὸ δὲ τοὐναντίον; — Ἔοικεν. — Ἔτι οὖν σοι λέγω νηνεμίας τε καὶ γαλήνας καὶ ὅσα τοιαῦτα, ὅτι αἱ μὲν ἡσυχίαι σήπουσι καὶ ἀπολλῦσι, τὰ δ’ ἕτερα σῴζει· καὶ ἐπὶ τούτοις τὸν κολοφῶνα ἀναγκάζω προβιβάζων, τὴν χρυσῆν σειρὰν ὡς οὐδὲν ἄλλο ἢ τὸν ἥλιον Ὅμηρος λέγει, καὶ δηλοῖ ὅτι ἕως μὲν ἂν ἡ περιφορὰ ᾖ κινουμένη καὶ ὁ ἥλιος, πάντα ἔστι καὶ σῴζεται ἐν θεοῖς τε καὶ ἀνθρώποις, εἰ δὲ σταίη τοῦτο ὥσπερ δοθέν, πάντα χρήματ’ ἂν διαφθαρείη καὶ γένοιτ’ ἂν τὸ

1.20 〈 Aetii (I 24, 1 p. 320, 17 Diels.).〉 Παρμενίδης καὶ Μέλισσος ἀνῄρουν γένεσιν καὶ φθορὰν διὰ τὸ νομίζειν τὸ πᾶν ἀκίνητον. Ἡράκλειτός φησιν, ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει· καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. 〈 Aetii (II 4, 2 p. 330, 18 Diels.).〉 Πλάτων φθαρτὸν μὲν τὸν κόσμον, ὅσον ἐπὶ τῇ φύσει, αἰσθητὸν γὰρ εἶναι, διότι καὶ σωματικόν, οὐ μὴν φθαρησόμενόν γε προνοίᾳ καὶ συνοχῇ θεοῦ. 〈 Aetii (I 24, 2. 3 p. 320, 20 Diels.).〉 Ἐμπεδοκλῆ ς , Ἀναξαγόρα ς , Δημόκριτο ς , Ἐπίκουρος καὶ πάντες, ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι, συγκρίσεις μὲν καὶ διακρίσεις εἰσάγουσι, γενέσεις δὲ καὶ φθορὰς οὐ κυρίως. Οὐ γὰρ κατὰ τὸ ποιὸν ἐξ ἀλλοιώσεως, κατὰ δὲ τὸ ποσὸν ἐκ συναθροισμοῦ ταύτας γίνεσθαι. Πυθαγόρας καὶ πάντες, ὅσοι παθητὴν τὴν ὕλην

ὑποτίθενται, κυρίως γενέσεις καὶ φθορὰς γίνεσθαι· ἐκ γὰρ ἀλλοιώσεως τῶν στοιχείων καὶ τροπῆς καὶ ἀναλύσεως [γενέσεως καὶ φθορᾶς] παράθεσιν καὶ μῖξιν, κρᾶσίν τε καὶ 〈 Arii Didymi (epit. fr. phys. 36 p. 468 Diels.).〉 Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα πρότερον ἦν. Παναίτιος πιθανωτέραν εἶναι νομίζει καὶ μᾶλλον ἀρέσκουσαν αὐτῷ τὴν ἀϊδιότητα τοῦ κόσμου ἢ τὴν τῶν ὅλων εἰς πῦρ μεταβολήν. 〈 Aetii (II 4, 12. 11. 13. 6—10 p. 332 Diels.).〉 Ἀριστοτέλης τὸ ὑπὸ τὴν σελήνην μέρος τοῦ κόσμου παθητικὸν ἀπεφαίνετο, ἐν ᾧ καὶ τὰ περίγεια κηραίνεται. Ξενοφάνη ς , Παρμενίδη ς , Μέλισσος ἀγένητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον. [Καὶ] οἱ φάμενοι δὲ τὴν διακόσμησιν αἰώνιον ὑπάρχειν περιοδευτικοὺς εἶναί φασι χρόνους, καθ' οὓς κατὰ ταὐτὰ καὶ ὡσαύτως γίγνεσθαι πάντα καὶ τὴν αὐτὴν διασῴζεσθαι τοῦ κόσμου διάταξίν τε καὶ διακόσμησιν. Ἀναξίμανδρο ς , Ἀναξιμένη ς , Ἀναξαγόρα ς , Ἀρχέλαο ς , Διογένη ς , Λεύκιππος φθαρτὸν τὸν κόσμον. Καὶ οἱ Στωικοὶ φθαρτὸν τὸν κόσμον, κατ' ἐκπύρωσιν δέ. Ἐμπεδοκλῆς τὸν κόσμον 〈γίνεσθαι καὶ〉 φθείρερεσθαι· καὶ γὰρ ὡς ζῷον καὶ ὡς φυτὸν καὶ πολλαχῶς. 〈 Aetii (II 5, 3 p. 333, 4 Diels.).〉 Φιλόλαος διττὴν εἶναι τὴν φθορὰν τοῦ κόσμου, τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος. Φιλολάου Πυθαγορείου ἐκ τοῦ Περὶ ψυχᾶ ς . Φιλόλαος ἄφθαρτον τὸν κόσμον εἶναι. Λέγει γοῦν οὕτως ἐν τῷ Περὶ ψυχᾶς (fr. 21 Mull.)· Παρὸ καὶ ἄφθαρτος καὶ ἀκαταπόνατος διαμένει τὸν ἄπειρον αἰῶνα· οὔτε γὰρ ἔντοσθεν ἄλλα τις αἰτία δυναμικωτέρα αὐτᾶς εὑρεθήσεται οὔτ' ἔκτοσθεν, φθεῖραι αὐτὸν δυναμένα· ἀλλ' ἥς ὅδε ὁ κόσμος ἐξ αἰῶνος καὶ ἐς αἰῶνα διαμένει, εἷς ὑπὸ ἑνὸς τῶ συγγενέος καὶ κρατίστω καὶ ἀνυπερθέτω κυβερνώμενος. —Ἔχει δὲ καὶ τὰν ἀρχὰν τᾶς κινάσιός τε καὶ μεταβολᾶς ὁ κόσμος εἷς ἐὼν δὲ μεταβάλλον ἀπὸ τᾶς σελάνας μέχρι τᾶς γᾶς· ἐπεὶ δέ γα καὶ τὸ κινέον ἐξ αἰῶνος ἐς αἰῶνα περιπολεῖ, τὸ δὲ κινεόμενον ὡς τὸ κινέον ἄγει οὕτω διατίθεται, ἀνάγκα τὸ μὲν ἀεικίνατον τὸ δὲ ἀειπαθὲς εἶμεν· καὶ τὸ μὲν νῶ καὶ ψυχᾶς ἀνάκωμα πᾶν τὸ δὲ γενέσιος καὶ μεταβολᾶς, καὶ τὸ μὲν πρότερον τᾷ δυνάμι καὶ ὑπερέχον τὸ δ' ὕστερον καὶ καθυπερεχόμενον· τὸ δὲ ἐξ ἀμφοτέρων τούτων, τῶ μὲν ἀεὶ θέοντος θείω τῶ δὲ ἀεὶ μεταβάλλοντος γενατῶ, κόσμος. Διὸ καὶ καλῶς ἔχει λέγεν, κόσμον εἶμεν ἐνέργειαν ἀΐδιον θεῶ τε καὶ γενέσιος κατὰ συνακολουθίαν τᾶς μεταβλατικᾶς φύσιος. Καὶ ὃ μὲν εἷς ἀεὶ διαμένει κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχων, τὰ δὲ καὶ γινόμενα καὶ φθειρόμενα πολλά· καὶ τὰ ἐν φθορᾷ ἐόντα καὶ φύσι καὶ μορφᾷ σῴζεται τᾷ γονᾷ πάλιν τὰν αὐτὰν [μορφὰν] ἀποκαθιστάντα τῷ γεννάσαντι πατρὶ καὶ δαμιοεργῷ. Ὀκέλλο υ . Ἔτι δὲ 〈τὸ ἄναρχον〉 καὶ τὸ ἀτελεύτατον καὶ τῶ σχήματος καὶ τᾶς κινάσιος καὶ τῶ χρόνω καὶ τᾶς ὠσίας τοῦτο πιστοῦται, διότι ἀγένητος ὁ κόσμος καὶ ἄφθαρτος. Ἅ τε γὰρ τῶ σχήματος ἰδέα κύκλος, οὗτος δὲ πάντοθεν ἴσος καὶ ὅμοιος, διόπερ ἄναρχος καὶ ἀτελεύτατος· ἅ τε τᾶς κινάσιος κατὰ κύκλον, αὕτα δὲ ἀπαράβατος καὶ ἀδιέξοδος· ὅ τε χρόνος ἄπειρος, ἐν ᾧπερ ἁ κίνασις, διὰ τὸ μήτε ἀρχὰν εἰληφέναι τὸ κινούμενον μήτε τελευτὰν λαψεῖσθαι· ἅ γε μὰν ὠσία τῶν πραγμάτων ἀνέκβατος καὶ ἀμετάβλατος διὰ τὸ μήτε ἀπὸ τῶ χείρονος ἐπὶ τὸ βέλτιον μήτ' ἀπὸ τῶ βελτίονος ἐπὶ τὸ χεῖρον πεφύκειν μεταβάλλεν. (II 1 p. 394 Mull.) Ἐπεὶ δ' ἐν τῷ παντὶ τὸ μὲν γένεσις τὸ δὲ αἰτία γενέσιος, καὶ γένεσις μὲν ὅπου μεταβολὰ καὶ ἔκβασις τῶ ὑποκειμένω, αἰτία δὲ γενέσιος ὅπου ταυτότας καὶ ὑπόστασις τῶ ὑποκειμένω, φανερὸν ὅτι περὶ μὲν τὰν αἰτίαν τὰν γενέσιος τό τε ποιεῖν καὶ 〈τὸ〉 κινεῖν ἐστι, περὶ δὲ τὸ δεχόμενον τὰν γένεσιν τό τε πάσχεν καὶ τὸ κινεῖσθαι. 〈 Eiusdem (II 6 p. 396 Mull.).〉 Πράτως γὰρ ὕλα, τὸ πανδεχές, κοινὸν γὰρ ὑπόκειται καὶ ὑγρότας καὶ ξηρότας· τρίτον δὲ πῦρ καὶ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, ταῦτα γὰρ μεταβάλλοντι ἐς ἄλλαλα, αἱ δὲ ἐναντιώσιες 〈οὐ〉 μεταβάλλοντι. 〈 Eiusdem (III 4. 5 p. 401 sq. Mull.).〉 Παντελὴς δὲ φθορὰ τᾶς περὶ τὰν γᾶν διακοσμάσιος οὔτε γέγονεν οὔτε ἐσεῖταί ποκα. Διὸ καὶ τοῖς λεγόντεσσι τὰν τᾶς Ἑλλανικᾶς ἱστορίας ἀρχὰν ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰνάχω ἦμεν τῶ Ἀργείω ποθεκτέον οὕτως, ὡς οὐκ ἀπό τινος ἀρχᾶς πράτας ἀλλὰ τᾶς γενομένας μεταβολᾶς κατ' αὐτόν. Πολλάκις γὰρ ἤδη καὶ γέγονε καὶ ἐσεῖται βάρβαρος ἁ Ἑλλάς, οὐχ ὑπ' ἀνθρώπων μόνον γινομένα μετανάστατος, ἀλλὰ καὶ ὑπ' αὐτᾶς τᾶς φύσιος, οὔτε μείζονος οὔτε μείονος αὐτᾶς γινομένας, ἀλλὰ καινοτέρας ἀεὶ καί ποθ' ἁμὲ ἀρχὰς λαμβανοίσας. Περὶ μὲν ὦν τῶ ὅλω καὶ παντός, ἔτι δὲ γενέσιος καὶ φθάρσιος τᾶς ἐν αὐτῷ γινομένας, ὥς τ' ἔχει τᾶς δὲ κυβερνωμένας, ἱκανῶς εἴρηταί μοι διὰ τούτων. Ἀρισταίο υ . Ἀρισταῖος ἔφησεν ἄφθαρτον εἶναι τὸν κόσμον, λέγει γοῦν ἐν τῷ Περὶ ἁρμονίας οὕτως· Ἐπεὶ δὲ 〈ἁ〉 ἀρχά, ἅτε δὴ οὖσα ἀρχά, πρὸ παντός τέ ἐστι καὶ ἀγένητος καὶ αὐτοτελή ς , (οὔτε γὰρ αἰ μεθ' ἄτερόν τι ἦς, ὑπάρχοι κα ἔτι πρὸ παντός· οὔτε γενομένα ποκὰ [καὶ] ἔκ τινος [οὔτε γὰρ] ἀγένητός κα εἴη ἔτι, οὐδὲ μὰν ἀρχά τε καὶ αἰτία τῶν γενομένων, [οὔτε γὰρ αὐτοτελής,] ἀτέρω γάρ τινος ποτιδεηθήσεται τῶ σῴσοντος αὐτὰν καὶ κινάσοντος), δῆλον δή, ὡς αὐτὰ κα θ ' αὐτὰν ἁ ἀρχὰ ἀγένητός τέ ἐστι καὶ ἄΐδιος καὶ αἰτία γενέσιός τε καὶ κινάσιος, καὶ κινέουσα πάντα αὐτὰ ἐξ αὐτᾶς [φύσις] ἐστὶ καὶ τοῖς φύσι γινομένοις καὶ ἐν τοῖς κατὰ τέχναν. Ἐπεὶ δὲ τὸ ἀθάνατον τὸ ἀκάματον, τὸ δὲ ἀκάματον τὸ μὴ κάμνον 〈κινοῦν〉 , ὁ δὲ θεὸς τοιοῦτος, 〈ἀεὶ〉 κινέων γα τὸ ὅλον καὶ τὸ πᾶν, φανερόν, ὡς ἀΐδιός κα εἴη ὁ κόσμος. Αἰ γὰρ ἀρχὰν λαψεῖται διακοσμάσιος, ἔκαμέ ποκα τὸ κινέον αὐτὸν κατ' ἄμπαυσιν διακοσμάσιος. Αἰ δέ γα κάμνοι καὶ ἀμπαύοιτο τὸ κινέον, φθαρτὸν καὶ γενητὸν ὑπάρχον καὶ αὐτὸ πέρας ἐξεῖ κινάσιος, καὶ τὸ ὅλον δὲ καὶ τὸ πᾶν διακοσμάσιος. ὥστ' ἀνάγκα ἤτοι γένεσιν ἀναιρέν, ἢ γεννᾶν ἐκ τῶ μὴ ὄντος, ἢ τόνδε τὸν κόσμον καταλείπεται ἀθάνατον καὶ ἀγήρατον εἶμεν. Λέγοιτο δέ κα ἁρμονία φύσιος, ὅτι πάντα κατὰ λόγον φύεται τὸν ταύτας ** ποταλλήλως, ὡς ὁ τεχνίτας ποτὶ τὰν τέχναν, οὕτως θεὸς ποθ' ἁρμονίαν. Ἅ τε γὰρ τέχνα ἐστὶ λόγος καὶ ἰδέα τῶν γινομένων καὶ 〈ἁ〉 φύσις. Τὸ μὲν ἔργον ἁμαρτάνεται [ἐν] τοῖς τεχνίταις, ὅκκα παραλλάξῃ τὸν τᾶς τέχνας λόγον· τὰ δὲ γινόμενα φύσι φθείρεται, πηρὰ καὶ ἄναρθρα γινόμενα, ὅκκα παραλλάξῃ τὸν τᾶς ἁρμονίας λόγον. 〈 Arii Didymi epit. (fr. phys. 27 p. 462 Diels.).〉 ὄντα, καθάπερ εἴπομεν πρόσθεν, ἀπέγνωσαν ἀνύπαρκτον οὖσαν. Τῶν δ' εἰς ὄντα γινομένων μεταβολῶν τὴν μὲν εἶναι κατὰ διαίρεσιν, τὴν δὲ κατ' ἀλλοίωσιν, τὴν δὲ κατὰ σύγχυσιν, τὴν δ' ἐξ ὅλων, λεγομένην δὲ κατ' ἀνάλυσιν. Τούτων δὲ τὴν κατ' ἀλλοίωσιν περὶ τὴν οὐσίαν γίνεσθαι, τὰς δ' ἄλλας τρεῖς περὶ τοὺς ποιοὺς λεγομένους τοὺς ἐπὶ τῆς οὐσίας γινομένους. Ἀκολούθως δὲ τούτοις καὶ τὰς γενέσεις συμβαίνειν. Τὴν γὰρ οὐσίαν οὔτ' αὔξεσθαι οὔτε μειοῦσθαι κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν, ἀλλὰ μόνον ἀλλοιοῦσθαι, καθάπερ ἐπ' ἀριθμῶν καὶ μέτρων συμβαίνειν. Ἐπὶ 〈δὲ〉 τῶν ἰδίως ποιῶν, οἷον Δίωνος καὶ Θέωνος, καὶ αὐξήσεις καὶ μειώσεις γίνεσθαι. Διὸ καὶ παραμένειν τὴν ἑκάστου ποιότητα ἀπὸ τῆς γενέσεως μέχρι τῆς ἀναιρέσεως, 〈ὡσ〉 ἐπὶ τῶν ἀναίρεσιν ἐπιδεχομένων ζῴων καὶ φυτῶν καὶ τῶν τούτοις παραπλησίων. Ἐπὶ δὲ τῶν ἰδίως ποιῶν φησι δύο εἶναι τὰ δεκτικὰ μόρια, τὸ μέν τι κατὰ τὴν τῆς οὐσίας ὑπόστασιν, τὸ δέ 〈τι〉 κατὰ τὴν τοῦ ποιοῦ. Τοῦτο γάρ, ὡς πολλάκις ἐλέγομεν, τὴν αὔξησιν καὶ τὴν μηδ' ἕτερον, ἀλλὰ μόνον οὐ ταὐτὸν διὰ τὸ καὶ μέρος εἶναι τῆς οὐσίας καὶ τὸν αὐτὸν ἐπέχειν τόπον, τὰ δ' ἕτερα τινῶν λεγόμενα δεῖν καὶ τόπῳ κεχωρίσθαι καὶ μηδ' ἐν μέρει θεωρεῖσθαι. Τὸ δὲ μὴ εἶναι ταὐτὸ τό τε κατὰ τὸ ἰδίως ποιὸν καὶ τὸ κατὰ τὴν οὐσίαν, δῆλον εἶναί φησιν ὁ Μνήσαρχος · ἀναγκαῖον γὰρ τοῖς αὐτοῖς ταὐτὰ συμβεβηκέναι. Εἰ γάρ τις πλάσας ἵππον, λόγου χάριν, συνθλάσειεν, ἔπειτα κύνα ποιήσειεν, εὐλόγως ἂν ἡμᾶς ἰδόντας εἰπεῖν, ὅτι τοῦτ' οὐκ ἦν πάλαι, νῦν δ' ἔστιν· ὥσθ' ἕτερον εἶναι τὸ ἐπὶ τοῦ ποιοῦ λεγόμενον τόδε καὶ 〈τὸ〉 ἐπὶ τῆς οὐσίας. Καθόλου νομίζειν τοὺς αὐτοὺς ἡμᾶς εἶναι ταῖς οὐσίαις ἀπίθανον εἶναι φαίνεται· πολλάκις γὰρ συμβαίνει τὴν μὲν οὐσίαν ὑπάρχειν πρὸ τῆς γενέσεως, εἰ τύχοι, τῆς Σωκράτους, τὸν δὲ Σωκράτην μηδέπω ὑπάρχειν, καὶ μετὰ τὴν τοῦ Σωκράτους ἀναίρεσιν ὑπομένειν μὲν τὴν οὐσίαν, αὐτὸν δὲ μηκέτ' εἶναι. Πλάτωνος ἐν τῷ Τιμαίῳ (p. 49 B—E). [Ὅτι τὰ στοιχεῖα εἰς ἄλληλα μεταβάλλεται.] Πῶς οὖν δὴ τοῦτο αὐτὸ καὶ πῇ καὶ τί περὶ αὐτῶν εἰκότως

διαπορηθέντες ἂν λέγοιμεν; Πρῶτον μὲν ὃ δὴ νῦν ὕδωρ ὠνομάκαμεν πηγνύμενον, ὡς δοκοῦμεν, λίθους καὶ γῆν γιγνόμενον ὁρῶμεν, τηκόμενον δὲ καὶ διακρινόμενον αὖ ταὐτὸν τοῦτο πνεῦμα καὶ ἀέρα, ξυγκαυθέντα δὲ ἀέρα πῦρ, κνούμενον νέφος καὶ ὁμίχλην, ἐκ δὲ τούτων ἔτι μᾶλλον συμπιλουμένων ῥέον ὕδωρ, ἐξ ὕδατος δὲ γῆν καὶ λίθους αὖθις, κύκλον τε οὕτω διαδιδόντα εἰς ἄλληλα, ὡς φαίνεται, τὴν γένεσιν. Οὕτω· δὴ τούτων οὐδέποτε τῶν αὐτῶν ἑκάστων φανταζομένων, ποῖον αὐτῶν ὡς ὂν ὁτιοῦν τοῦτο καὶ οὐκ ἄλλο παγίως διισχυριζόμενος οὐκ αἰσχυνεῖταί τις ἑαυτόν; οὐκ ἔστιν· ἀλλ' ἀσφαλέστατα μακρῷ περὶ τούτων τιθεμένους ὧδε λέγειν· ἀεὶ ὃ καθορῶμεν ἄλλοτε ἄλλῃ γιγνόμενον, ὡς πῦρ, μὴ τοῦτο ἀλλὰ τὸ τοιοῦτον ἑκάστοτε προσαγορεύειν πῦρ, μηδὲ ὕδωρ τοῦτο ἀλλὰ τὸ τοιοῦτον ἀεί· μηδὲ ἄλλο ποτὲ μηδὲν ὥς τιν' ἔχον βεβαιότητα, ὅσα δεικνύντες τῷ ῥήματι τῷ 'τόδε' καὶ 'τοῦτο' προσχρώμενοι δηλοῦν ἡγούμεθά τι· φεύγει γὰρ οὐχ ὑπομένον τὴν τοῦ 'τόδε' καὶ 'τοῦτο' καὶ τὴν 'τῷδε' καὶ πᾶσαν ὅση μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται φάσις. 〈 In eode m . 〉 Ὅτι δὲ τὸ πᾶν ἀΐδιον, δηλοῖ σαφῶς· λέγει γοῦν ἐν 〈τῷ〉 Τιμαίῳ (p. 32 C) οὕτως· Ἔκ τε δὴ τούτων καὶ τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγενήθη δι' ἀναλογίας ὁμολογῆσαν, φιλίαν τε ἔσχεν ἐκ τούτων, ὥστ' εἰς τὸ αὐτὸ αὑτῷ ξυνελθὸν ἄλυτον ὑπὸ τῶν ἄλλων πλὴν ὑπὸ τοῦ ξυνδήσαντος γενέσθαι. 〈 In eodem (p. 38 B. C).〉 ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ· τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνά ἐστιν ὄν, ὁ δ' αὖ διὰ τέλους τὸν ἅπαντα 〈χρόνον〉 γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος. Ἐν ταὐτῷ (p. 41 A. B). Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γιγνόμενα ἄλυτα ἐμοῦ γε θέλοντος. Τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν· τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν θέλειν κακοῦ. Διὸ καὶ ὑμεῖς ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστέ, οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτε ἐγίγνεσθε συνεδεῖσθε.

1.21 Πλάτωνο ς . Πλάτων τὸν κόσμον ἔφησε ζῷον ἔμψυχον ἔννουν τε, ὅτι τε ἀφ' ἑαυτοῦ τρέφεται, τὸ δὲ ἡγεμονικὸν τοῦ κόσμου ἐν οὐρανῷ τίθεται. Λέγει γοῦν οὕτως ἐν τῷ Τιμαίῳ (p. 30 A. B): Βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς τῷ ἀρίστῳ δρᾶν ἄλλο, πλὴν τὸ κάλλιστον. Λογισάμενος οὖν εὕρισκεν ἐκ τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν ἀνόητον τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτε ἔργον, νοῦν δὲ αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. Διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι συνιστὰς τὸ πᾶν συνετεκταίνετο, ὅπως ὅ τι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. Οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν. Ἐν ταὐτῷ (p. 33 C). Ἀπῄει τε γὰρ οὐδὲν οὐδὲ προσῄει αὐτῷ ποθέν· οὐδὲ γὰρ ἦν· αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον καὶ πάντ' ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν. 〈 Aetii (II 1, 4—6 p. 328, 1 Diels.).〉 Ἐμπεδοκλῆς τὸν τοῦ ἡλίου περίδρομον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου. Σέλευκος ὁ Ἐρυθραῖος καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἄπειρον τὸν κόσμον. Διογένης καὶ Μέλισσος τὸ μὲν πᾶν ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι. 〈 Aetii (II 1, 7. 328, 10; 4, 14 p. 332, 14; 6, 1 p. 333, 15 Diels.).〉 Οἱ Στωικοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον· πᾶν κενοῦ τὸν κόσμον. —Μήτε αὔξεσθαι δὲ μήτε μειοῦσθαι τὸν κόσμον, τοῖς δὲ μέρεσιν ὁτὲ μὲν παρεκτείνεσθαι πρὸς πλείονα τόπον, ὁτὲ δὲ συστέλλεσθαι. —Ἀπὸ γῆς δὲ ἄρξασθαι τὴν γένεσιν τοῦ κόσμου, καθάπερ ἀπὸ κέντρου, ἀρχὴ δὲ σφαίρας τὸ κέντρον. 〈 Aetii (II 3, 1. 2 p. 329, 12 Diels.).〉 Οἱ μὲν ἄλλοι πάντες ἔμψυχον τὸν κόσμον 〈καὶ〉 προνοίᾳ διοικούμενον. Λεύκιππος δὲ καὶ Δημόκριτος καὶ Ἐπίκουρος οὐδέτερα τούτων, φύσει δὲ ἀλόγῳ ἐκ τῶν ἀτόμων συνεστῶτα. 〈 Πλουτάρχο υ . 〉 Ὁμηρός φησι πεπερασμένον εἶναι τὸν κόσμον, δηλοῦται δὲ διὰ

τούτων· Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἕμμορε τιμῆς (Ο 189). Τοῦτο τοίνυν ἑνὶ στίχῳ διαρρήδην ἐδήλωσεν, τὸ γὰρ ἄπειρον οὐκ ἔστιν εἰς μοίρας διελεῖν. Καὶ ἐν τούτοις δὲ τὸ αὐτὸ σημαίνει· Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ παλλομένων, Ἀΐδης δ' ἔλαχεν ζόφον ἠερόεντα, Ζεὺς δ' ἔλαχ' οὐρανὸν 〈εὐρὺν〉 ἐν αἰθέρι καὶ νεφέλῃσι, γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος (Ο 190—193) ὡς τῶν ἐν μέσῳ φύσεων πεποιημένος τὴν νέμησιν, τὰ δὲ ἄκρα καὶ περατοῦντα ἀνέμητα καταλελοιπώς. Καὶ εἶναι τὴν γῆν μὲν κατωτάτω πάντων, τὸν δὲ Ὄλυμπον ἀνωτάτω δεδήλωκεν ἐν τούτῳ· Ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι, αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ· σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο (Θ 23—26) Τὴν γὰρ γῆν μετέωρον γενήσεσθαί φησιν ἐξ ἕδρας ἀνασπασθεῖσαν ὡς τὴν κατωτάτω [ὡς τὴν ἀνωτάτω]. 〈 Arii Didymi (epit. fr. phys. 31 p. 465 Diels.).〉 Χρυσίππο υ . Κόσμον δ' εἶναί φησιν ὁ Χρύσιππος σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων· ἢ τὸ ἐκ θεῶν καὶ ἀνθρώπων σύστημα καὶ ἐκ τῶν ἕνεκα τούτων γεγονότων. Λέγεται δ' ἑτέρως κόσμος ὁ θεός, καθ' ὃν ἡ διακόσμησις γίνεται καὶ τελειοῦται. Τοῦ δὲ κατὰ τὴν διακόσμησιν λεγομένου κόσμου τὸ μὲν εἶναι περιφερόμενον περὶ τὸ μέσον, τὸ δ' ὑπομένον· περιφερόμενον μὲν τὸν αἰθέρα, ὑπομένον δὲ τὴν γῆν καὶ τὰ ἐπ' αὐτῆς ὑγρὰ καὶ τὸν ἀέρα. Τὸ γὰρ τῆς πάσης οὐσίας πυκνότατον ὑπέρεισμα πάντων εἶναι κατὰ φύσιν, ὅνπερ τρόπον ἐν ζῴῳ τὰ ὀστέα, τοῦτο δὲ καλεῖσθαι γῆν. Περὶ δὲ ταύτην τὸ ὕδωρ περικεχύσθαι σφαιρικῶς, ὁμαλωτέραν τὴν ἴσχυν διειληχός. Τῆς γὰρ γῆς ἐξοχάς τινας ἐχούσης ἀνωμάλους διὰ τοῦ ὕδατος εἰς ὕψος ἀνηκούσας, ταύτας δὴ νήσους καλεῖσθαι· τούτων δὲ τὰς ἐπὶ πλεῖον διηκούσας ἠπείρους προσηγορεῦσθαι ὑπ' ἀγνοίας τοῦ περιέχεσθαι σφαιρικῶς· ἐκ δὲ τούτου τὸν αἰθέρα ἀραιότατον ὄντα καὶ εἰλικρινέστατον. Τὸν μὲν οὖν κατὰ τὴν διακόσμησιν λεγόμενον κόσμον εἰς ταύτας διακεκρίσθαι τὰς φύσεις· τὸ δὲ περιφερόμενον αὐτῷ ἐγκυκλίως αἰθέρα εἶναι, ἐν ᾧ τὰ ἄστρα καθίδρυται, τά τε ἀπλανῆ καὶ τὰ πλανώμενα, θεῖα τὴν φύσιν ὄντα καὶ ἔμψυχα καὶ διοικούμενα κατὰ τὴν πρόνοιαν. Τῶν μὲν οὖν ἀπλανῶν ἄστρων ἀκατάληπτον εἶναι τὸ πλῆθος, τὰ δὲ πλανώμενα ἑπτὰ τὸν ἀριθμὸν εἶναι, πάντα δὲ τὰ πλανώμενα ταπεινότερα τῶν ἀπλανῶν. Τετάχθαι δὲ τὰ μὲν ἀπλανῆ ἐπὶ μιᾶς ἐπιφανείας, ὡς καὶ ὁρᾶται· τὰ δὲ πλανώμενα ἐπ' ἄλλης καὶ ἄλλης σφαίρας· περιέχεσθαι δὲ πάσας τὰς τῶν πλανωμένων ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας. Τῶν δὲ πλανωμένων ὑψηλοτάτην εἶναι μετὰ τὴν 〈τῶν〉 ἀπλανῶν τὴν τοῦ Κρόνου, μετὰ δὲ ταύτην τὴν τοῦ Διός, εἶτα τὴν τοῦ Ἄρεος, ἐφεξῆς δὲ τὴν τοῦ Ἑρμοῦ καὶ μετ' αὐτὴν τὴν τῆς Ἀφροδίτης, εἶτα τὴν τοῦ ἡλίου, ἐπὶ πᾶσι δὲ τὴν τῆς σελήνης, πλησιάζουσαν τῷ ἀέρι. Διὸ καὶ ἀερωδεστέραν φαίνεσθαι καὶ μάλιστα διατείνειν τὴν ἀπ' αὐτῆς δύναμιν εἰς τὰ περίγεια. Ὑπὸ δὲ τὴν σελήνην τὴν τοῦ ὑπ' αὐτοῦ φερομένου ἀέρος, εἶτα τὴν 〈τοῦ〉 ὕδατος, τελευταίαν δὲ τὴν τῆς γῆς, περὶ τὸ μέσον σημεῖον τοῦ κόσμου κειμένης, ὃ δὴ τοῦ παντός ἐστι 〈 Aetii (II 3, 3 p. 330, 5 Diels.).〉 Ἕκφαντος ἐκ μὲν τῶν ἀτόμων συνεστάναι τὸν κόσμον, διοικεῖσθαι δὲ ὑπὸ προνοίας. 〈 Aetii (II 3, 4 p. 330, 8 et II 5, 1 p. 332, 29 Diels.).〉 Ἀριστοτέλης οὔτε ἔμψυχον ὅλον δι' ὅλου οὔτε λογικὸν οὔτε νοερὸν οὔτε προνοίᾳ διοικούμενον. Τὰ μὲν γὰρ οὐράνια πάντων τούτων κοινωνεῖν, σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς, τὰ δὲ περίγεια μηδενὸς αὐτῶν, τῆς δ' εὐταξίας κατὰ συμβεβηκός, οὐ προηγουμένως μετέχειν. —Εἰ δὲ τρέφεται ὁ κόσμος, καὶ φθαρήσεται· ἀλλὰ μὴν οὐδεμιᾶς δεῖται τροφῆς, διὰ τοῦτο καὶ ἀΐδιος. 〈 Aetii (II 4, 1 p. 330, 16; 1, 1 p. 327, 2; 6, 2 p. 333, 17; 6, 5 p. 334, 8 Diels.).〉 Πυθαγόρας φησὶ γενητὸν κατ' ἐπίνοιαν τὸν κόσμον, οὐ κατὰ χρόνον. —Ὃς καὶ πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν κόσμον ἐκ τῆς ἐν αὐτῷ τάξεως. —Ἄρξασθαι δὲ τὴν γένεσιν τοῦ κόσμου ἀπὸ πυρὸς καὶ τοῦ πέμπτου στοιχείου. —Πέντε δὲ σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου 〈τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου〉 τὴν τοῦ παντὸς σφαῖραν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈 Aetii (II 5, 3 p. 333, 4 et II 4, 15 p. 332, 19 Diels.).〉 Φιλόλαος ἔφησε τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου. — Τὸ δὲ ἡγεμονικὸν ἐν τῷ μεσαιτάτῳ πυρί, ὅπερ τρόπεως δίκην προϋπεβάλλετο τῇ τοῦ παντὸς 〈σφαίρᾳ〉 ὁ δημιουργὸς θεός. 〈 Aetii (II 4, 16. 17 p. 332, 23 Diels.).〉 Κλεάνθης ὁ Στωικὸς ἐν ἡλίῳ ἔφησεν εἶναι τὸ ἡγεμονικὸν τοῦ κόσμου. Ἀρχέδημος τὸ ἡγεμονικὸν τοῦ κόσμου ἐν γῇ ὑπάρχειν ἀπεφήνατο. 〈 Aetii (II 4, 3—5 p. 331, 5 Diels.).〉 Ἡράκλειτος οὐ κατὰ χρόνον εἶναι γενητὸν τὸν κόσμον, ἀλλὰ κατ' ἐπίνοιαν. Ἐπίδικος ὑπὸ φύσεως γεγενῆσθαι τὸν κόσμον. Ἀρχέλαος ὑπὸ θερμοῦ καὶ ἐμψυχρίας συστῆναι τὸν κόσμον. Ἐκ τοῦ Φιλολάου Περὶ κόσμω (fr. 1 b Chaign., 3 Mull.). Ἀνάγκα τὰ ἐόντα εἶμεν πάντα ἢ περαίνοντα ἢ ἄπειρα ἢ περαίνοντά τε καὶ ἄπειρα, ἄπειρα δὲ μόνον οὔ κα εἴη. Ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων, δῆλόν τᾶρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη. ἀπείρων περαίνοντά τε καὶ οὐ περαίνοντα, τὰ δ' ἐξ ἀπείρων ἄπειρα φαίνεται. 〈 Eiusdem (fr. 2 Chaign., 3 Mull.).〉 Καὶ πάντα γα μὰν τὰ γιγνωσκόμενα ἀριθμὸν ἔχοντι. Οὐ γὰρ οἷόν τε οὐδὲν οὔτε νοηθῆμεν οὔτε γνωσθῆμεν ἄνευ τούτου. 〈 Eiusdem (fr. 3 Chaign., 3 Mull.).〉 Ὅ γα μὰν ἀριθμὸς ἔχει δύο μὲν ἴδια εἴδεα, περισσὸν καὶ ἄρτιον, τρίτον δὲ ἀπ' ἀμφοτέρων μιχθέντων, ἀρτιοπέρισσον. Ἑκατέρω δὲ τῶ εἴδεος πολλαὶ μορφαί, ὡς ἕκαστον αὐταυτὸ σημαίνει. 〈 Eiusdem (fr. 4 Chaign., 3 Mull.).〉 Περὶ δὲ φύσιος καὶ ἁρμονίας ὧδε ἔχει· Ἁ μὲν ἐστὼ τῶν πραγμάτων, ἀΐδιος ἔσσα καὶ αὐτὰ μὰν ἁ φύσις, θεία ἐντὶ καὶ οὐκ ἀνθρωπίναν ἐνδέχεται γνῶσιν, πλάν γα ἢ ὅτι οὐχ οἷόν τ' ἦς οὐδὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γενέσθαι, μὴ ὑπαρχοίσας τᾶς ἐστοῦς τῶν πραθῆμεν, αἱ μὴ ἁρμονία ἐπεγένετο, ὡτινιῶν τρόπῳ ἐγένετο. Τὰ μὲν ὦν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁμόφυλα μηδὲ ἰσολαχῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, αἱ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι. Ἁρμονίας δὲ μέγεθός ἐντι συλλαβὰ καὶ δι' ὀξειᾶν· τὸ δὲ δι' ὀξειᾶν μεῖζον τᾶς συλλαβᾶς ἐπογδόῳ· ἔντι γὰρ ἀπὸ ὑπάτας ἐπὶ μέσαν συλλαβά, ἀπὸ δὲ μέσας ἐπὶ νεάταν δι' ὀξειᾶν, ἀπὸ δὲ νεάτας ἐς τρίταν συλλαβά, ἀπὸ δὲ τρίτας ἐς ὑπάταν δι' ὀξειᾶν· τὸ δ' ἐν μέσῳ μέσας καὶ τρίτας ἐπόγδοον· ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἡμιόλιον, 〈τὸ〉 διὰ πασᾶν δὲ διπλόον. Οὕτως ἁρμονία πέντε ἐπόγδοα καὶ 〈δύο〉 διέσιες, δι' ὀξειᾶν δὲ τρία ἐπόγδοα καὶ δίεσις. 〈 Eiusdem (fr. 4 Mullach.).〉 Τὸ πρᾶτον ἁρμοσθέν, τὸ ἕν, ἐν τῷ μέσῳ τᾶς σφαίρας ἑστία καλεῖται. Ἑρμοῦ ἐκ τοῦ πρὸς Τάτ (inde a p. 191, 19= p. 38 b Patric.). δήλωσον περὶ αὐτῶν καὶ τῆς τούτων ἐνεργείας. 〈ΕΡΜ.〉 Οὐδεὶς φθόνος, ὦ Τάτ, καὶ ὁ κυριώτατος πάντων λόγος καὶ κορυφαιότατος οὗτος ἂν εἴη· σὺ δὲ νόει οὕτως. Ἔφαμέν σοι περὶ τοῦ ζῳδιακοῦ κύκλου, τοῦ καὶ ζῳοφόρου, καὶ τῶν πέντε πλανητῶν καὶ ἡλίου καὶ σελήνης καὶ τοῦ ἑκάστου τούτων κύκλου. 〈ΤΑΤ〉 Ἔφης γάρ, ὦ Τρισμέγιστε. 〈ΕΡΜ.〉 Οὕτως βούλομαί σε νοεῖν καὶ περὶ τῶν τριάκοντα ἓξ δεκανῶν μεμνημένον ἐκείνων, ἵν' εὔγνωστός σοι καὶ ὁ περὶ τούτων λόγος γένηται. 〈ΤΑΤ〉 Μέμνημαι, ὦ πάτερ. 〈ΕΡΜ.〉 Ἔφαμέν που, ὦ τέκνον, περιεκτικὸν τῶν ἁπάντων εἶναι σῶμα· ἐννόησον οὖν καὶ αὐτὸς ὥσπερ κυκλοειδὲς σχῆμα· καὶ γὰρ οὕτως ἔχει τὸ πᾶν. 〈ΤΑΤ〉 Τοιοῦτον σχῆμα νοῶ οὕτως ὡς λέγεις, ὦ πάτερ. 〈ΕΡΜ.〉 Ὑπὸ δὲ τὸν κύκλον τοῦ σώματος τούτου τετάχθαι τοὺς τριάκοντα ἓξ δεκανούς, μέσους τοῦ παντὸς κύκλου 〈καὶ〉 τοῦ ζῳδιακοῦ, διορίζοντας ἀμφοτέρους τοὺς κύκλους, καὶ ὥσπερ ἐκεῖνον μὲν κουφίζοντας τὸν ζῳδιακόν, [καθορίζοντας,] συμφερομένους 〈δὲ〉 τοῖς πλάνησι, καὶ ἰσοδυναμεῖν τῇ τοῦ παντὸς φορᾷ κατὰ τὸ ἐναλλὰξ τοῖς 〈θ'〉 ἑπτά· καὶ τὸ μὲν περιεκτικὸν ἐπέχειν σῶμα (ἔσχατον γὰρ ἂν ἦν ἐν τῇ φορᾷ, αὐτὸ καθ' αὐτὸ ὄν, τῷ τάχει)· τέραν κίνησιν κινεῖσθαι τοῦ παντὸς κύκλου. Ὥσπερ οὖν ἀνάγκη αὐτοὺς κινεῖσθαι καὶ 〈τὸν〉 τοῦ παντός. Νοήσωμεν οὖν καὶ [τὰς] τῶν ἑπτὰ καὶ 〈τοῦ〉 παντὸς τὸν κύκλον, μᾶλλον δὲ τὰ ἐν κόσμῳ ἅπαντα ὡσπερεὶ φύλακας αὐτοὺς περιίστασθαι, καὶ συνέχοντας τὰ

πάντα καὶ τηροῦντας τὴν τῶν πάντων εὐταξίαν. 〈ΤΑΤ〉 Οὕτως γὰρ νοῶ, πάτερ, ἐξ ὧν λέγεις. 〈Ἑρμ.〉 Ἔτι δὲ νόησον, Τάτ, ὅτι καὶ ἀπαθεῖς εἰσιν, ὧν οἱ ἄλλοι ἀστέρες πάσχουσιν· οὔτε γὰρ ἐπεχόμενοι τὸν δρόμον στηρίζουσιν οὔτε κωλυόμενοι ἀναποδίζουσιν, ἀλλ᾽ οὐδὲ μὴν ὑπὸ τοῦ φωτὸς τοῦ ἡλίου σκέπονται, ἅπερ πάσχουσιν οἱ ἄλλοι ἀστέρες· ἐλεύθεροι δὲ ὄντες ὑπεράνω πάντων ὥσπερ φύλακες ἀκριβεῖς καὶ ἐπίσκοποι τοῦ παντὸς περιέχονται τῷ νυχθημέρῳ τὸ πᾶν. 〈ΤΑΤ〉 Ἆρ᾽ οὖν καὶ οὗτοι, ὦ πάτερ, ἔχουσι πρὸς ἡμᾶς ἐνέργειαν; 〈Ἑρμ.〉 Τὴν μεγίστην, ὦ τέκνον. Εἰ γὰρ ἐκείνοις ἐνεργοῦσι, πῶς οὐ καὶ ἡμῖν; καὶ καθ᾽ ἕνα ἕκαστον καὶ κοινῇ; Οὕτως, ὦ τέκνον, τῶν καθολικῶς πάντων συμβαινόντων τῇ ἐνεργείᾳ ἀπὸ τούτων ἐστιν. οἷον (ὃ λέγω νόησον) βασιλειῶν μετατροπαί, πόλεων ἐπαναστάσεις, λιμοί, λοιμοί, ἀμπώτεις θαλάσσης, γῆς σεισμοί, οὐδὲν τούτων, ὦ τέκνον, χωρὶς τῆς τούτων ἐνεργείας γίνεται. Ἔτι τε πρὸς τούτοις νόησον· εἰ γὰρ οὗτοι μὲν ἐπιστατοῦσιν ἐκείνοις τινὸς ἐκείνων φθάνειν ἐνέργειαν, ἤτοι ὑπ᾽ αὐτῶν, ἢ δι᾽ ἐκείνων; 〈ΤΑΤ〉 Τίς 〈δ᾽ ἂν〉 αὐτοῖς εἴη, ὦ πάτερ, ὁ τοῦ σώματος τύπος; 〈Ἑρμ.〉 Τούτους οὖν καλοῦσιν οἱ πολλοὶ δαίμονας· οὐδὲ γὰρ ἴδιόν τί ἐστι γένος τὸ τῶν δαιμόνων οὔτε ἄλλα σώματα ἔχοντες ἐξ ἰδίας τινὸς ὕλης οὔτε ψυχῇ κινούμενοι ὥσπερ ἡμεῖς, ἀλλὰ ἐνέργειαί εἰσι τῶν τριάκοντα ἓξ τούτων θεῶν. Ἔτι δὲ πρὸς τούτοις νόησον, ὦ Τάτ, ἐνέργημα τούτων, ὅτι καὶ εἰς τὴν γῆν σπερματίζουσιν ἃς καλοῦσι τάνας, τὰς μὲν σωτηρίους, τὰς δὲ ὀλεθριωτάτας. Ἔτι καὶ ἐν οὐρανῷ φερόμενοι ἀστέρες γεννῶσιν αὐτοῖς ὑπολειτουργούς, 〈οὓς〉 καὶ ὑπηρέτας καὶ στρατιώτας ἔχουσιν. Οὗτοι δὲ ὑπ᾽ ἐκείνων μιγνύμενοι φέρονται ἐν τῷ αἰθέρι αἰωρούμενοι, τὸν τούτου τόπον ἀναπληροῦντες, ὅπως μηδεὶς ᾖ τόπος ἄνω κενὸς ἀστέρων, συγκοσμοῦντες τὸ πᾶν, ἐνέργειαν ἰδίαν ἔχοντες, ὑποτεταγμένην δὲ 〈τῇ〉 τῶν τριάκοντα ἓξ ἐνεργείᾳ· ἐξ ὧν καὶ κατὰ τὰς χώρας φθοραὶ γίνονται τῶν ἄλλων ἐμψύχων ζῴων καὶ ἡ πληθὺς τῶν λυμαινομένων ζῴων τοὺς καρπούς. Ὑπὸ δὲ τούτους ἐστὶν ἡ καλουμένη ἄρκτος, κατὰ μέσον τοῦ ζῳδιακοῦ, ἐξ ἀστέρων συγκειμένη ἑπτά, ἔχουσα ἀντίζυγον ἑτέραν ὑπὲρ κεφαλῆς. Ταύτης μὲν ἡ ἐνέργειά ἐστι καθάπερ ἄξονος, μηδαμοῦ μὲν δυνούσης μηδὲ ἀνατελλούσης, μενούσης δὲ ἐν τῷ αὐτῷ τόπῳ, [τῆς] περὶ 〈τὸ〉 αὐτὸ οὓς ἡμεῖς προσηγοριῶν οὐ κατηξιώσαμεν, οἱ δὲ μεθ᾽ ἡμᾶς μιμησάμενοι μὲν καὶ αὐτοὶ προσηγορίας τούτοις θήσονται. Κάτωθεν δὲ τῆς σελήνης εἰσὶν ἕτεροι ἀστέρες φθαρτοί, ἀργοί, πρὸς ὀλίγον χρόνον συνιστάμενοι, εἰς τὸν ὑπὲρ γῆς ἀέρα ἐξ αὐτῆς τῆς γῆς ἀναθυμιώμενοι, οὓς καὶ ἡμεῖς ὁρῶμεν διαλυομένους, τὴν φύσιν ὁμοίαν ἔχοντας τοῖς ἀχρήστοις τῶν ἐπὶ γῆς ζῴων, ἐπὶ ἕτερον δὲ οὐδὲν γίνεται ἢ ἵνα μόνον φθαρῇ, οἷον τὸ τῶν μυιῶν γένος καὶ τῶν ψυλλῶν καὶ τῶν σκωλήκων καὶ τῶν ἄλλων τῶν ὁμοίων καὶ γὰρ ἐκεῖνα, ὦ Τάτ, οὔτε ἡμῖν οὔτε τῷ κόσμῳ χρήσιμά ἐστι, τοὐναντίον δὲ λυπεῖ ἐνοχλοῦντα, παρακολουθήματα ὄντα τῆς φύσεως καὶ κατὰ τὸ περισσὸν τὴν γένεσιν ἔχοντα· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀπὸ τῆς γῆς ἀναθυμιώμενοι ἀστέρες τὸν μὲν ἄνω τόπον οὐ καταλαμβάνουσιν (ἀδυνατοῦσι γὰρ ὡς κάτωθεν ἀνιόντες), πολὺ δὲ 〈τὸ〉 ἐμβριθὲς ἔχοντες, ἑλκόμενοι κάτω ὑπὸ τῆς ἰδίας ὕλης διαχέονται ταχέως καὶ διαλυθέντες πίπτουσι πάλιν εἰς γῆν μηδὲν 〈ἕτερον〉 ἐνεργήσαντες, ἢ μόνον ὀχλήσαντες τῷ ὑπὲρ γῆν ἀέρι. Ἕτερόν ἐστι γένος, ὦ Τάτ, τὸ τῶν καλουμένων κομητῶν, κατὰ καιρὸν ἐπιφαινομένων καὶ πάλιν μετὰ χρόνον ὀλίγον ἀφανῶν γινομένων, μήτε ἀνατελλόντων μήτε δυνόντων μήτε διαλυομένων, οἵτινες φανεροὶ ἄγγελοι καὶ κήρυκες καθολικῶν ἀποτελεσμάτων γίνονται μελλόντων ἔσεσθαι· οὗτοι δὲ τὸν τόπον ἔχουσιν ὑπὸ τὸν βορρᾶ, ἄλλοι δὲ ἐν τῷ λιβί, ἄλλοι δὲ ἐν τῷ νότῳ· μάντεις δὲ τούτους προσηγορεύσαμεν. Καὶ ἀστέρων ἥδε φύσις. [Ἀστέρες δὲ ἄστρων διαφορὰν ἔχουσιν. Ἀστέρες μὲν γάρ εἰσιν οἱ ἐν τῷ οὐρανῷ αἰωρούμενοι, ἄστρα δὲ τὰ ἐγκείμενα ἐν τῷ σώματι τοῦ οὐρανοῦ, συμφερόμενα δὲ τῷ οὐρανῷ, ἐξ ὧν δώδεκα ζῴδια προσηγορεύσαμεν.] Ὁ ταῦτα μὴ ἀγνοήσας ἀκριβῶς δύναται νοῆσαι τὸν θεόν, εἰ δὲ καὶ τολμήσαντα δεῖ εἰπεῖν, καὶ αὐτόπτης γενόμενος θεάσασθαι καὶ θεασάμενος

μακάριος γενέσθαι. 〈ΤΑΤ〉 Μακάριος ὡς ἀληθῶς, ὦ πάτερ, ὁ τοῦτον θεασάμενος. 〈ΕΡΜ.〉 Ἀλλ' ἀδύνατον, ὦ τέκνον, τὸν ἐν σώματι τούτου εὐτυχῆσαι. Δεῖ δὲ προγυμνάζειν αὐτοῦ τινα τὴν ψυχὴν ἐνθάδε, ἵνα ἐκεῖ γενομένη, ὅπου αὐτὴν ἔξεστι θεάσασθαι, ὁδοῦ μὴ σφαλῇ. Ὅσοι δὲ ἄνθρωποι φιλοσώματοί εἰσιν, οὗτοι οὐκ ἄν ποτε θεάσαιντο τὴν τοῦ καλοῦ καὶ ἀγαθοῦ ὄψιν. Οἷον γάρ ἐστι κάλλος, ὦ τέκνον, τὸ μήτε σχῆμα μήτε χρῶμα μήτε σῶμα ἔχον. 〈ΤΑΤ〉 Εἴη δ' ἄν τι, ὦ πάτερ, χωρὶς τούτων καλόν; 〈ΕΡΜ.〉 Μόνος ὁ θεός, ὦ τέκνον, μᾶλλον δὲ τὸ μεῖ-

1.22 〈 Aetii (II 7, 1 p. 335, 4 Diels.).〉 Παρμενίδης στεφάνας εἶναι περιπεπλεγμένας ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ· μικτὰς δὲ ἄλλας 〈ἐκ〉 φωτὸς καὶ σκότους μεταξὺ τούτων· καὶ τὸ περιέχον δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν, ὑφ' ᾧ πυρώδης στεφάνη· καὶ τὸ μεσαίτατον πασῶν περὶ ὃ πάλιν πυρώδης· τῶν δὲ συμμιγῶν τὴν μεσαιτάτην ἁπάσαις αἰτίαν πάσης κινήσεως καὶ γενέσεως ὑπάρχειν, ἥντινα καὶ δαίμονα κυβερνῆτιν καὶ κληδοῦχον ἐπονομάζει, δίκην τε καὶ ἀνάγκην. Καὶ τῆς μὲν γῆς ἀπόκρισιν εἶναι τὸν ἀέρα, διὰ τὴν βιαιοτέραν αὐτῆς ἐξατμισθέντα πίλησιν, τοῦ δὲ πυρὸς ἀναπνοὴν τὸν ἥλιον καὶ τὸν γαλαξίαν κύκλον· συμμιγῆ δ' ἐξ ἀμφοῖν εἶναι τὴν σελήνην, τοῦ τ' ἀέρος καὶ τοῦ πυρός. Περιστάντος δ' ἀνωτάτω πάντων τοῦ αἰθέρος ὑπ' αὐτῷ τὸ πυρῶδες ὑποταγῆναι τοῦθ' ὅπερ κεκλήκαμεν οὐρανόν, ὑφ' ᾧ ἤδη τὰ περίγεια. 〈 Aetii (II 7, 5 p. 336, 12 Diels.)〉 〈 Arii Didymi epit. (fr. phys. 9 p. 450 Diels.) de Ari- stotele.〉 Περιέχεσθαι δὲ ταῦτα ὑπὸ τοῦ αἰθέρος, ἔνθα τὰ θεῖα διανενεμημένα κατὰ σφαίρας ἵδρυται τῶν λεγομένων ἀπλανῶν τε καὶ πλανωμένων ἀστέρων. Ὅσας δὲ εἶναι τὰς σφαίρας, τοσούτους ὑπάρχειν καὶ τοὺς κινοῦντας θεοὺς ταύτας, ὧν μέγιστον τὸν πάσας περιέχοντα, ζῷον ὄντα λογικὸν καὶ μακάριον, συνεκτικὸν καὶ προνοητικὸν τῶν οὐρανίων. Συνεστάναι δὲ τὰ ἄστρα καὶ τὸν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τοῦτον δὲ οὔτε βαρὺν οὔτε κοῦφον οὔτε γενητὸν οὔτε φθαρτὸν οὔτε αὐξόμενον οὔτε μειούμενον ἐς ἀεὶ διαμένειν ἄτρεπτον καὶ ἀναλλοίωτον, πεπερασμένον καὶ σφαιροειδῆ καὶ ἔμψυχον, κινούμενον περὶ τὸ μέσον ἐγκυκλίως. 〈 Aetii (II 7, 7 p. 336, 20 Diels.).〉 Φιλόλαος πῦρ ἐν μέσῳ περὶ τὸ κέντρον, ὅπερ ἑστίαν τοῦ παντὸς καλεῖ καὶ Διὸς οἶκον καὶ μητέρα θεῶν, βωμόν τε καὶ συνοχὴν καὶ μέτρον φύσεως· καὶ πάλιν πῦρ ἕτερον ἀνωτάτω, τὸ περιέχον. Πρῶτον δ' εἶναι φύσει τὸ μέσον, περὶ δὲ τοῦτο δέκα σώματα θεῖα χορεύειν, οὐρανόν, τοὺς ε πλανήτας, μεθ' οὓς ἥλιον, ὑφ' ᾧ σελήνην, ὑφ' ᾗ τὴν γῆν, ὑφ' ᾗ τὴν ἀντίχθονα, μεθ' ἃ σύμπαντα τὸ πῦρ, ἑστίας περὶ τὰ κέντρα τάξιν ἐπέχον. Τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος, ἐν ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων, Ὄλυμπον καλεῖ· τὰ δὲ ὑπὸ τὴν τοῦ Ὀλύμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, περὶ μὲν τὰ τεταγμένα τῶν μετεώρων γίνεσθαι τὴν σοφίαν, περὶ δὲ τῶν γινομένων τὴν ἀταξίαν τὴν ἀρετήν, τελείαν μὲν ἐκείνην, ἀτελῆ δὲ ταύτην. 〈 Aetii (II 7, 2. 3 p. 336, 4 Diels.).〉 Λεύκιππος καὶ Δημόκριτος χιτῶνα κύκλῳ καὶ ὑμένα περιτείνουσι τῷ κόσμῳ, διὰ τῶν ἀγκιστροειδῶν ἀτόμων συμπεπλεγμένον. Ἐπίκουρος ἐνίων μὲν κόσμων ἀραιὸν τὸ πέρας, ἐνίων δὲ πυκνόν, καὶ τούτων τὰ μέν τινα κινούμενα, τὰ δ' ἀκίνητα. 〈 Aetii (II 6, 4 p. 334, 1 Diels.) et Platonis Timaei.〉 Πλάτων τὸν ὁρατὸν κόσμον γεγονέναι παράδειγμα τοῦ νοητοῦ κόσμου. Τοῦ δὲ ὁρατοῦ προτέραν μὲν τὴν ψυχήν, μετὰ δὲ ταύτην τὸ σωματοειδές, τὸ ἐκ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον. Λέγει γοῦν ἐν Τιμαίῳ (p. 32 C. D) οὕτως· „Τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολείπων, τάδε διανοηθείς, πρῶτον μὲν ἵνα ὅλον ὅτι μάλιστα ζῷον τέλειον ἐκ τελείων τῶν μερῶν εἴη, πρὸς δὲ τούτοις ἕν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν.“ 〈 Πλουτάρχο υ . 〉 Ὅμηρος τὸν αἰθέρα τοῦ ἀέρος ὑψηλότερον εἶναί φημακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν. Ἐπέκεινα δὲ τοῦ αἰθέρος τὸν οὐρανὸν ὑπάρχειν ἀπεφήνατο· λέγει γὰρ τοιῶσδε (Ρ 424. 425)· Ὣς οἳ μὲν μάρναντο, σιδήρειος δ' ὀρυμαγδὸς

χάλκεον οὐρανὸν ἦκε δι' αἰθέρος ἀτρυγέτοιο Ἐπὶ πᾶσι δὲ τὸν Ὄλυμπον ὑπάρχειν κατ' ἐξοχήν τινα καὶ θειότητα· φησὶ γὰρ οὕτως (Α 497)· Ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε. Τὸ γὰρ ἀπωτάτω τῆς γῆς καὶ μήτε τὴν σκιὰν αὐτῆς μήτε τὰς ἀναθυμιάσεις προσδεχόμενον, ὡς ἀειλαμπὲς καὶ ὁλολαμπὲς Ὄλυμπον οἱ παλαιοὶ προσηγόρευσαν. Τοῦτο δὲ καὶ δι' αὐτῶν δηλοῦται ἐν οἷς φησι τοιῶσδε (ζ 42—45)· Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ ἔμμεναι, οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ δεύεται, οὐδὲ χιὼν ἐπικίδναται, ἀλλὰ μάλ' αἴθρη πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη. Εἰ ἓν τὸ πᾶν. 〈 Aetii (I 5, 2. 1. 4 p. 291. 292 Diels.).〉 Ἐμπεδοκλῆς κόσμον ἕνα· οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλὰ ὀλίγον τι τοῦ παντὸς μέρος· τὸ δὲ λοιπὸν ὕλην. Οἱ μὲν οὖν ἀπὸ τῆς στοᾶς ἕνα κόσμον ἀπεφήδῆλον ἐκ τοῦ ἄπειρα τὰ αἴτια εἶναι. Εἰ γὰρ 〈ὅδε〉 ὁ κόσμος πεπερασμένος, τὰ δ' αἴτια πάντα ἄπειρα ἐξ ὧν ὅδε ὁ κόσμος γέγονεν, ἀνάγκη ἀπείρους εἶναι. Ὅπου γὰρ 〈ἀπέραντα〉 τὰ αἴτια, ἐκεῖ καὶ 〈τὰ〉 ἀποτελέσματα. Αἴτια δὲ ἤτοι αἱ ἄτομοι ἢ τὰ στοιχεῖα. 〈 Aetii (II 1, 2. 3 p. 327, 8 Diels.).〉 Θαλῆ ς , Πυθαγόρα ς , Ἐμπεδοκλῆ ς , Ἔκφαντο ς , Παρμενίδη ς , Μέλισσο ς , Ἡράκλειτο ς , Ἀναξαγόρα ς , Πλάτω ν , Ἀριστοτέλη ς , Ζήνων ἕνα τὸν κόσμον. Ἀναξίμανδρο ς , Ἀναξιμένη ς , Ἀρχέλαο ς , Ξενοφάνη ς , Διογένη ς , Λεύκιππο ς , Δημόκριτο ς , Ἐπίκουρος ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κατὰ πᾶσαν περιαγωγήν. 〈 Aetii (II 1, 8 p. 329, 1 Diels.).〉 Τῶν ἀπείρους ἀποφηναμένων τοὺς κόσμους Ἀναξίμανδρος τὸ ἴσον αὐτοὺς ἀπέχειν ἀλλήλων, Ἐπίκουρος ἄνισον εἶναι τὸ μεταξὺ τῶν κόσμων διάστημα. Πλάτων ἕνα τὸν κόσμον ἀπεφήνατο· λέγει γὰρ κατὰ τὸ παράδειγμα δεδημιουργημένος ἔσται. Τὸ γὰρ περιέχον πάντα ὁπόσα νοητὰ ζῷα μεθ' ἑτέρου δεύτερον οὐκ ἄν ποτε εἴη. Πάλιν γὰρ 〈ἂν〉 ἕτερον εἶναι τὸ περὶ ἐκείνω δέοι ζῷον, οὗ μέρος ἂν εἰήτην ἐκείνω· καὶ οὐκ ἂν ἔτι ἐκείνοιν, ἀλλ' ἐκείνῳ τῷ περιέχοντι τόδ' ἂν ἀφωμοιωμένον λέγοιτο ὀρθότερον. Ἵνα οὖν τόδε κατὰ τὴν μόνωσιν ὅμοιον ᾖ τῷ παντελεῖ ζῴῳ, διὰ ταῦτα οὔτε δύο οὔτε ἀπείρους ἐποίησεν ὁ ποιῶν κόσμους, ἀλλ' εἷς ὅδε μονογενὴς οὐρανὸς γεγονὼς ἔστι τε καὶ ἔτ' ἔσται".

1.23 〈 Aetii (II 11 p. 339 Diels.).〉 Ἀναξιμένης καὶ Παρμενίδης τὴν περιφορὰν τὴν ἐξωτάτω τῆς γῆς εἶναι τὸν οὐρανόν. Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος παγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ τὸ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα. Ἀναξίμανδρος ἐκ θερμοῦ καὶ ψυχροῦ μίγματος. Παρμενίδη ς , Ἡράκλειτο ς , Στράτω ν , Ζήνων πύρινον εἶναι τὸν οὐρανόν. 〈 Aetii (II 11, 3 p. 340, 1 Diels.) et Didymi (epit. fr. phys. 9 p. 450 D.) de Aristotele.〉 οὐρανοῦ λόγοις οὕτως. — Συνεστάναι δὲ τὰ ἄστρα καὶ τὸν οὐρανὸν ἐκ τοῦ αἰθέρος· τοῦτον δὲ οὔτε βαρὺν οὔτε κοῦφον οὔτε γενητὸν οὔτε φθαρτὸν οὔτε αὐξόμενον οὔτε μειούμενον ἐς ἀεὶ διαμένειν ἄτρεπτον καὶ ἀναλλοίωτον, πεπερασμένον καὶ σφαιροειδῆ καὶ ἔμψυχον, κινούμενον περὶ τὸ μέσον ἐγκυκλίως. 〈 Aetii (II 12, 1. 2 p. 340, 11 Diels.).〉 Θαλῆς Πυθαγόρας καὶ οἱ ἀπ' αὐτοῦ μεμερίσθαι τὴν τοῦ παντὸς οὐρανοῦ σφαῖραν εἰς κύκλους πέντε, οὕστινας προσαγορεύουσι ζώνας· καλεῖται δ' αὐτῶν ὁ μὲν ἀρκτικός τε καὶ ἀειφανής, ὁ δὲ θερινὸς τροπικός, ὁ δὲ ἰσημερινός, ὁ δὲ χειμερινὸς τροπικός, ὁ δὲ ἀνταρκτικός τε καὶ ἀφανής. Λοξὸς δὲ [ἐν] τοῖς τρισὶ μέσοις ὁ καλούμενος ζῳδιακὸς ὑποβέβληται, παραψαύων τῶν μέσων τριῶν. Πάντας δ' αὐτοὺς ὁ μεσημβρινὸς πρὸς ὀρθὰς ἀπὸ τῶν ἄρκτων ἐπὶ τὸ ἀντικρὺ τέμνει. Πυθαγόρας πρῶτος ἐπινενοηκέναι λέγεται τὴν λόξωσιν τοῦ ζῳδιακοῦ κύκλου· ἤντινα Οἰνοπίδης ὁ Χῖος ἐπίνοιαν ὡς ἰδίαν σφετερίζεται.

1.24 〈 Aetii (II 13, 1 p. 341, 4 Diels.).〉 〈 Aetii (II 13, 2 et 11 p. 341, 6 et 342, 19 Diels.).〉 Ἐμπεδοκλῆς πύρινα ἐκ τοῦ πυρώδους, ὅπερ ὁ ἀὴρ ἐν ἑαυτῷ περιέχων [ἐξανέλαμψεν ἤτοι] ἐξανέθλιψε κατὰ τὴν πρώτην διάκρισιν. —Καὶ τοὺς μὲν ἀπλανεῖς ἀστέρας συνδεδέσθαι τῷ κρυστάλλῳ, τοὺς δὲ πλανήτας ἀνεῖσθαι. 〈 Aetii (II 13, 3 et 16, 1 p. 341, 10 et 345, 20 Diels.).〉 Ἀναξαγόρας τὸν περικείμενον αἰθέρα πύρινον μὲν εἶναι κατὰ τὴν οὐσίαν, τῇ δὲ εὐτονίᾳ τῆς

περιδινήσεως ἀναρπάσαντα πέτρους ἀπὸ τῆς γῆς 〈καὶ〉 καταφλέξαντα τούτους ἠστερωκέναι. —Ἀπ' ἀνατολῶν δὲ ἐπὶ δυσμὰς φέρεσθαι πάντας τοὺς ἀστέρας. 〈 Aetii (II 13, 5 et 9 p. 341, 16 et 342, 8 Diels.).〉 Διογένης κισηροειδῆ τὰ ἄστρα, διαπνοίας δὲ αὐτὰ νομίζει τοῦ κόσμου, εἶναι δὲ διάπυρα. —Συμπεριφέρεσθαι δὲ τοῖς φανεροῖς ἄστροις ἀφανεῖς λίθους καὶ παρ' αὐτὸ τοῦτ' ἀνωνύμους, πίπτοντας δὲ πολλάκις ἐπὶ τῆς γῆς σβέννυσθαι, καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυρωδῶς κατενεχθέντα ἀστέρα πέτρινον. 〈 Aetii (II 13, 4 et 15, 3 p. 341, 15 et 344, 12 Diels.).〉 Δημόκριτος πέτρους. —Καὶ πρῶτα μὲν τὰ ἀπλανῆ, μετὰ δὲ ταῦτα τοὺς πλανήτας. 〈 Aetii (II 13, 6 p. 342, 1 Diels.).〉 Ἀρχέλαος μύδρους ἔφησεν εἶναι τοὺς ἀστέρας, διαπύρους δέ. 〈 Aetii (II 13, 7 et 15, 6 p. 342, 3 et 345, 9 Diels.).〉 Ἀναξίμανδρος πιλήματα ἀέρος τροχοειδῆ, πυρὸς αὐτὸν δὲ τὴν σελήνην· ὑπὸ δὲ αὐτοὺς τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας. 〈 Aetii (II 15, 6 [non 14, 5] p. 344, 5 Diels.).〉 Μητρόδωρος ὁμοίως περὶ σχήματος τῶν ἀστέρων καὶ αὐτὸς ἀπεφήνατο. 〈 Aetii (II 13, 8 et 17, 4 p. 342, 6 et 346, 18 Diels.).〉 Παρμενίδης καὶ Ἡράκλειτος πιλήματα πυρὸς τὰ ἄστρα. —Τρέφεσθαι δὲ τοὺς ἀστέρας ἐκ τῆς ἀπὸ γῆς ἀναθυμιάσεως. 〈 Aetii (II 13, 10; 14, 3; 19, 2; 16, 6 p. 342, 15; 344, 2; 347, 11; 346, 1 Diels.).〉 Ἀναξιμένης πυρίνην μὲν τὴν φύσιν τῶν ἄστρων, περιέχειν δέ τινα καὶ γεώδη σώματα συμπεριφερόμενα τούτοις ἀόρατα. —Ἥλιον δὲ δίκην καταπεπηγέναι τὰ ἄστρα τῷ κρυσταλλοειδεῖ. —Τὰς δὲ ἐπισημασίας γίγνεσθαι διὰ τὸν ἥλιον μόνον. —Οὐχ ὑπὸ τὴν γῆν δὲ ἀλλὰ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας. 〈 Aetii (II 13, 12; 17, 6; 15, 4; 19, 1 p. 342, 23; 346, 24; 344, 15; 347, 7 Diels.).〉 Πλάτων ἐκ μὲν τοῦ πλείστου μέρους πυρίνους, μετέχοντας δὲ καὶ τῶν ἄλλων στοιχείων. —Κοινῶς δὲ τὸν κόσμον ὅλον καὶ τὰ ἄστρα ἐξ αὐτοῦ τρέφεσθαι. —Καὶ πρῶτον μετά γε τὴν τῶν ἀπλανῶν θέσιν φαίνωνα λεγόμενον τὸν τοῦ Κρόνου, δεύτερον φαέθοντα τὸν τοῦ Διός, τρίτον πυρόεντα τὸν τοῦ Ἄρεος, τέταρτον ἑωσφόρον ἕκτον ἥλιον, ἕβδομον σελήνην. —Τὰς δὲ ἐπισημασίας τάς τε χειμερινὰς καὶ τὰς θερινὰς κατὰ τὰς τῶν ἄστρων ἐπιτολάς τε καὶ δυσμὰς γίνεσθαι. 〈 Aetii (II 13, 13 et 17, 5 p. 343, 1 et 346, 21 Diels.) et Didymi epit. (fr. phys. 8 p. 450 Diels.).〉 Ἀριστοτέλης ἐκ τοῦ πέμπτου σώματος γεγενῆσθαι τὰ ἄστρα. —Μὴ δεῖσθαι δὲ τὰ οὐράνια τροφῆς, οὐ γὰρ φθαρτὰ ἀλλ' ἀίδια εἶναι. —Πάντα δὲ κινεῖσθαι, τὰ μὲν πρὸς ἡμῶν καλούμενα πλανήτας ὑπὸ τὸν ζῳδιακὸν κύκλον, λοξὸν ὄντα καὶ τῶν τροπικῶν ἐφαπτόμενον, τὰ δὲ ἀπλανῆ ἀπὸ τοῦ αἰεὶ φανεροῦ παρήκοντα μέχρι τοῦ ἀφανοῦς· οὐκ ὀλίγα δὲ αὐτῶν τῆς γῆς εἶναι μείζονα. 〈 Aetii (II 13, 14 et 18, 1 p. 343, 3 et 347, 1 Diels.).〉 Ξενοφάνης ἐκ νεφῶν μὲν πεπυρωμένων· σβεννυμένους δὲ καθ' ἑκάστην ἡμέραν ἀναζωπυρεῖν νύκτωρ καθάπερ τοὺς ἄνθρακας. τὰς γὰρ ἀνατολὰς καὶ τὰς δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις. —Τοὺς δὲ ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, οὓς καὶ Διοσκούρους καλοῦσί τινες, νεφέλια εἶναι, κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντα. 〈 Aetii (II 13, 15. 16 p. 343, 9 Diels.).〉 Ἡρακλείδης καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν, γῆν περιέχοντα 〈καὶ〉 ἀέρα ἐν τῷ ἀπείρῳ αἰθέρι. Ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς φέρεσθαι, κοσμοποιοῦσι γὰρ ἕκαστον τῶν ἀστέρων. Ἐπίκουρος οὐδὲν ἀπογινώσκει τούτων, ἐχόμενος τοῦ ἐνδεχομένου. 〈 Aetii (II 15, 1. 2 p. 344, 8 Diels.).〉 Ξενοκράτης κατὰ μιᾶς ἐπιφανείας οἴεται κεῖσθαι τοὺς ἀστέρας. Οἱ δὲ ἄλλοι Στωικοὶ πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους ἐν ὕψει καὶ βάθει. 〈 Aetii (II 15, 5; 16, 7; 16, 2. 3 p. 345, 5; 346, 3; 345, 23 Diels.).〉 Τῶν μαθηματικῶν τινὲς μὲν ὡς Πλάτων φασὶν εἶναι τὴν τάξιν τῶν ἀστέρων, τινὲς δὲ μέσον πάντων τὸν ἥλιον. —Ταὐτὸν δὲ πεπονθέναι τῷ ἑωσφόρῳ τὸν στίλβωνα, ἰσοδραμεῖν δὲ αὐτοὺς τῷ ἡλίῳ καὶ συμπεριφέρεσθαι αὐτῷ· καὶ τότε μὲν προανατέλλοντα ἑωσφόρον φαίνεσθαι, τότε δὲ ἐπικαταδυόμενον ἕσπερον καλεῖσθαι. —Τοὺς δὲ πλανήτας τοῖς ἀπλανέσιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς ἀντιφέρεσθαι. Τούτῳ δὲ συνομολογεῖ καὶ Ἀλκμαίων . 〈 Aetii (II 16, 4. 5 p. 345, 28 Diels.).〉 Ἀριστοτέλης δὲ ὑπὸ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος ἐμβέβηκε. Καὶ Ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε, φέρεσθαι. 〈 Aetii (II 14, 1. 2 p. 343, 18

Diels.).〉 Οἱ μὲν ἄλλοι 〈 Στωικοὶ 〉 σφαιρικοὺς αὐτούς, Κλεάνθης δὲ κωνοειδεῖς. 〈 Aetii (II 15, 7 p. 345, 14 Diels.).〉 οὐρανὸν καλεῖ. 〈 Aetii (II 17, 1—3 p. 346, 11 Diels.).〉 Μητρόδωρος ἅπαντας τοὺς ἀπλανεῖς ἀστέρας ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι. Στράτων καὶ αὐτὸς τὰ ἄστρα ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι. Διότιμος Τύριος, ὁ Δημοκρίτειος, τὴν αὐτὴν τούτοις εἰσηνέγκατο γνώμην. 〈 Aetii (II 19, 3 p. 347, 13 Diels.).〉 Εὔδοξος καὶ Ἄρατος τὰς ἐπισημασίας κατὰ τὰς τῶν ἄστρων ἐπιτολὰς γίνεσθαι. Λέγει γοῦν Ἄρατος ἐν τοῖς Φαινομένοις (10—12) οὕτως· Αὐτὸς γὰρ τά γε σήματ' ἐν οὐρανῷ ἐστήριξεν ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν. 〈 Arii Didymi epit. (fr. phys. 32 p. 466 Diels.).〉 Ποσειδωνίο υ . Ἄστρον δὲ εἶναί φησιν ὁ Ποσειδώνιος σῶμα θεῖον ἐξ αἰθέρος συνεστηκός, λαμπρὸν καὶ πυρῶδες, οὐδέποτε στάσιν ἔχον, ἀλλ' αἰεὶ φερόμενον ἐγκυκλίως· ἰδίως δὲ τὸν ἥλιον καὶ τὴν σελήνην ἄστρα λέγεσθαι· διαφέρειν δὲ ἀστέρα ἄστρου· εἰ μὲν γάρ τίς ἐστιν ἀστήρ, καὶ ἄστρον ὀνομασθήσεται δεόντως, οὐ μὴν ἀνάπαλιν. Χρυσίππο υ . Ἀνατολὴν δ' εἶναί φησιν ὁ Χρύσιππος ἐν ταῖς Φυσικαῖς τέχναις ὑπεροχὴν ἄστρου ὑπὲρ γῆς, δύσιν δὲ κρύψιν ἄστρου ὑπὸ γῆν. Γίγνεσθαι δ' ἅμα τῶν αὐτῶν ἀνατολὴν καὶ δύσιν πρὸς ἄλλους τε καὶ ἄλλους. Ἐπιτολὴν δὲ 〈τὴν〉 ἄστρου ἅμα ἡλίῳ ἀνατολήν, δύσιν δὲ τὴν ἅμα ἡλίῳ δύσιν. Διχῶς γὰρ λέγεσθαι δύσιν, τὴν μὲν κατὰ τὴν ἀνατολήν, τὴν δὲ κατὰ τὴν ἐπιτολήν. Κυνὸς δ' ἐπιτολὴν ἅμα ἡλίῳ κυνὸς ἀνατολήν, δύσιν δὲ κυνὸς ἅμα ἡλίῳ κυνὸς ἀπόκρυψιν ὑπὸ γῆν. Τὸν δ' ὅμοιον λόγον εἶναι καὶ ἐπὶ τῆς πλειάδος. Ἀπολλοδώρο υ . Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ Περὶ θεῶν (fr. 2 ap. Müller. fr. hist. Gr. I p. 428) Πυθαγορείαν εἶναι τὴν περὶ τοῦ τὸν αὐτὸν εἶναι φωσφόρον τε καὶ ἕσπερον δόξαν.

1.25 〈 Aetii (II 20, 3 et 24, 4 p. 348, 10 et 354, 11 Diels.).〉 Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον. —Ἔκλειψιν δὲ γίνεσθαι κατὰ σβέσιν· ἕτερον δὲ πάλιν ταῖς ἀνατολαῖς γίνεσθαι. Παριστόρηκε δὲ καὶ ἔκλειψιν ἡλίου ἐφ' ὅλον μῆνα καὶ πάλιν ἐντελῆ, ὥστε τὴν ἡμέραν νύκτα φανῆναι. 〈 Aetii (II 20, 3 p. 348, 12 Diels.).〉 〈 Aetii (II 20, 1; 21, 1; 24, 2 p. 348, 2; 351, 12; 354, 3 Diels.).〉 Ἀναξίμανδρος κύκλον εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς, ἁρματείῳ τροχῷ παραπλήσιον, ἔχοντα κοίλην περιφέρειαν, πλήρη πυρός, κατὰ μέρος ἐκφαίνουσαν διὰ στομίου τὸ πῦρ ὥσπερ διὰ πρηστῆρος. —Καὶ τὸν μὲν ἥλιον ἴσον εἶναι τῇ γῇ· τὸν δὲ κύκλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει καὶ ὑφ' οὗ περιφέρεται εἶναι τοῦ προειρημένου μεγέθους. —Γίγνεσθαι δὲ τὴν ἔκλειψιν τοῦ στομίου τῆς τοῦ πυρὸς ἐκπνοῆς ἀποκλειομένου. 〈 Aetii (II 20, 2; 23, 1; 22, 1 p. 348, 8; 352, 12; 352, 4 Diels.).〉 Ἀναξιμένης πύρινον ὑπάρχειν τὸν ἥλιον ἀπεφήνατο. —Ὑπὸ πεπυκνωμένου δὲ ἀέρος καὶ ἀντιτύπου ἐξωθούμενα τὰ ἄστρα τὰς τροπὰς ποιεῖσθαι. —Πλατὺν δ' εἶναι τῷ σχήματι. 〈 Aetii (II 20, 8 p. 349, 10 Diels.).〉 Παρμενίδης καὶ Μητρόδωρος πύρινον ὑπάρχειν τὸν ἥλιον. 〈 Aetii (II 20, 15 p. 351, 3 Diels.).〉 Ἀντιφῶν πῦρ ἐπινεμόμενον μὲν τὸν περὶ τὴν γῆν πάλιν ἀντέχεσθαι. 〈 Aetii (II 20, 16; 22, 2; 24, 3; 21, 4 p. 351, 9; 352, 6; 354, 6; 351, 20 Diels.).〉 Ἡράκλειτος καὶ Ἑκαταῖος ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης εἶναι τὸν ἥλιον. —Σκαφοειδῆ δ' εἶναι, ὑπόκυρτον. —Γίνεσθαι δὲ τὴν ἔκλειψιν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. —Τὸ δὲ μέγεθος ἔχειν „εὖρος ποδὸς ἀνθρωπείου". 〈 Aetii (II 22, 4 p. 352, 8 Diels.).〉 Ἀλκμαίων πλατὺν εἶναι τὸν ἥλιον. 〈 Aetii (II 22, 5 et 24, 6 p. 352, 9 et 354, 17 Diels.).〉 Οἱ Πυθαγόρειοι σφαιροειδῆ τὸν ἥλιον. —Ἔκλειψιν δὲ γίγνεσθαι σελήνης αὐτὸν ὑπερχομένης. Πορφυρίου ἐκ τοῦ Περὶ ἀγαλμάτω ν . Καθάπερ καὶ ὁ ἥλιος τὸν ἐναντίον τῷ πόλῳ ποιεῖται δρόμον [ὥσπερ δοκεῖ τὸν οὐρανὸν ὁ ἥλιος εἰς τἀναντία περιφέρειν] αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς ἀνατολὰς φερόμενος. 〈 Aetii (II 20, 6 et 23, 2 p. 349, 6 et 352, 15 Diels.).〉 Ἀναξαγόρας μύδρον ἢ πέτρον διάπυρον εἶναι τὸν ἥλιον. —Τροπὴν δὲ γίγνεσθαι ἀνταπώσει τοῦ πρὸς ταῖς ἄρκτοις ἀέρος, ὃν αὐτὸς συνωθῶν ἐκ τῆς πυκνώσεως ἰσχυροποιεῖ. 〈 Aetii (II 20, 9 et 24, 1 p. 349, 17 et 353, 17

Diels.).〉 δίσκῳ. 〈 Aetii (II 20, 10 et 23, 4 p. 349, 18 et 353, 6 Diels.).〉 Διογένης κισηροειδῆ τὸν ἥλιον, εἰς ὃν ἀπὸ τοῦ αἰθέρος ἀκτῖνες ἐναποστηρίζονται. —Ὑπὸ δὲ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψυχροῦ σβέννυσθαι. 〈 Aetii (II 20, 12 p. 349, 21 Diels.).〉 Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ τὸν ἥλιον, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν, ὥστε τρόπον τινὰ διττοὺς ἡλίους γίγνεσθαι, τό τε ἐν τῷ οὐρανῷ πυρῶδες καὶ τὸ ἀπ' αὐτοῦ πυροειδὲς κατὰ τὸ ἐσοπτροειδές· εἰ μή τις καὶ τρίτον λέξει, τὴν ἀπὸ τοῦ ἐνόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν. 〈 Aetii (II 20, 13; 23, 3; 21, 2; 24, 7 p. 350, 7; 353, 1; 351, 18; 354, 20 Diels.).〉 Ἐμπεδοκλῆς δύο ἡλίους, τὸν μὲν ἀρχέτυπον, πῦρ ὃν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, αἰεὶ κατ' ἀντικρὺ τῇ ἀνταυγείᾳ ἑαυτοῦ τεταγμένον· τὸν δὲ φαινόμενον, ἀνταύγειαν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ, τῷ τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένῳ, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν γιγνομένην εἰς τὸν ἥλιον κρυσταλλοειδῆ, συμπεριελκομένην τῇ κινήσει τοῦ πυρίνου. Ὡς δὲ βραχέως εἰρῆσθαι συντεμόντι ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρὸς τὸν ἥλιον. —Τροπὴν δὲ γίγνεσθαι ὑπὸ τῆς περιεχούσης αὐτὸν σφαίρας κωλυ- Ἔκλειψιν δὲ γίνεσθαι σελήνης αὐτὸν ὑπερχομένης. 〈 Aetii (II 20, 14 et 21, 5 p. 350, 21 et 352, 1 Diels.).〉 Ἐπίκουρος γήινον πύκνωμα τὸν ἥλιόν φησιν εἶναι κισηροειδῶς καὶ σπογγοειδῶς ταῖς κατατρήσεσιν ὑπὸ πυρὸς ἀνημμένον. —Τηλικοῦτον δὲ ἡλίκος φαίνεται, ἢ μικρῷ τινι μείζω ἢ ἐλάττω. 〈 Aetii (II 20, 8 a p. 349, 12 Diels.).〉 Παρμενίδης τὸν ἥλιον καὶ τὴν σελήνην ἐκ τοῦ γαλαξίου κύκλου ἀποκριθῆναι, τὸν μὲν ἀπὸ τοῦ ἀραιοτέρου μίγματος, ὃ δὴ θερμόν, τὴν δὲ ἀπὸ τοῦ πυκνοτέρου, ὅπερ ψυχρόν. 〈 Aetii (II 20, 7 et 23, 7 p. 349, 8 et 353, 15 Diels.).〉 Δημόκριτος μύδρον ἢ πέτρον διάπυρον. —Τροπὴν δὲ γίνεσθαι ἐκ τῆς περιφερούσης αὐτὸν δινήσεως. 〈 Aetii (II 20, 4 et 23, 5 p. 349, 4 et 353, 9 cum Add. p. 853 Diels.).〉 Κλεάνθης ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης τὸν ἥλιον. —Περὶ δὲ τῶν τροπῶν φασι κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς· ὠκεανὸς δ' ἐστὶ ** ἧς τὴν ἀναθυμίασιν ἐπινέμεται. Συγκαταφέρεσθαι δὲ τὸν ἥλιον κινούμενον ἕλικα ἐν τῇ σφαίρᾳ, ἀπὸ τοῦ ἰσημερινοῦ ἐπί τε ἄρκτου καὶ νότου, ἅπερ ἐστὶ πέρατα τῆς ἕλικος· ἄλλοι δὲ ἐπ' εὐθείας αὐτὸν κινεῖσθαι τὴν ἕλικα οὐ περὶ σφαῖραν ποιοῦντα, περὶ δὲ κύλινδρον. 〈 Aetii (II 24, 8. 9 p. 355, 1 Diels.).〉 Ἀρίσταρχος τὸν ἥλιον ἵστησι μετὰ τῶν ἀπλανῶν, τὴν δὲ γῆν κινεῖσθαι περὶ τὸν ἡλιακὸν κύκλον καὶ κατὰ τὰς ταύτης ἐγκλίσεις σκιάζεσθαι. Ξενοφάνης πολλοὺς εἶναι ἡλίους καὶ σελήνας κατὰ τὰ κλίματα τῆς γῆς καὶ ἀποτομὰς καὶ ζώνας. Κατὰ δέ τινα καιρὸν ἐκπίπτειν τὸν δίσκον εἴς τινα ἀποτομὴν τῆς γῆς οὐκ οἰκουμένην ὑφ' ἡμῶν καὶ οὕτως ὡσπερεὶ κενεμβατοῦντα ἔκλειψιν ὑποφαίνειν· ὁ δ' αὐτὸς τὸν ἥλιον εἰς ἄπειρον μὲν προϊέναι, δοκεῖν δὲ κυκλεῖσθαι διὰ τὴν ἀπόστασιν. 〈 Arii Didymi epit. (fr. phys. 10 p. 450 Diels.).〉 Ἀριστοτέλου ς . Ἀριστοτέλης ἐκ πέμπτης οὐσίας τὸν ἥλιον. Πυροῦσθαι δὲ τὸν ἀέρα καὶ σφόδρα γίνεσθαι θερμὸν ἀνίσχοντός τε τοῦ ἡλίου καὶ πλησιάζοντος ἡμῖν, οὐ διὰ τὸ πύρινον εἶναι τὴν οὐσίαν, ἀλλὰ διὰ τὴν ὀξύτητα τῆς κινήσεως αὐτοῦ καὶ τὴν πρὸς τὸν ἀέρα παράτριψιν ὑποβεβλημένον αὐτοῦ τῇ φορᾷ καὶ παρακείμενον· οὔτε δὲ τὸν ἥλιον οὔτε τῶν ἄλλων ἄστρων ὁτιοῦν πῦρ εἶναι· σφαιροειδῆ μὲν γὰρ τούτων τὰ σχήματα, πυρὸς δὲ ἐκτός· οὔτε γὰρ τὴν περὶ τὸ μέσον οἰκείαν εἶναι κίνησιν πυρός, ἀλλὰ τὴν ἀπὸ τοῦ μέσου· οὔτε τὴν τῆς αὐξήσεως τῶν ζῴων καὶ φυτῶν δύναμιν, ἀλλὰ τὴν τῆς φθορᾶς· οὐδὲ τὴν καθ' ἑαυτὸ διαμονήν, τὸ γὰρ πῦρ ἀχώριστον εἶναι τῆς ὕλης. Ἐκ πέμπτης ἄρα τινὸς καὶ διαφερούσης τοῦ πυρὸς οὐσίας τόν τε οὐρανὸν ὑπάρχειν καὶ τὰ ἐν αὐτῷ πάντα. Καὶ τὸν μὲν ἥλιον ἡμέραν ἀπεργάδὲ ἀνάπαλιν· τοῦ δ' ἰσημερινοῦ ἰόντα τε καὶ ἀπιόντα, διαθεῖν δὲ τὸν ἴδιον 〈ἐν〉 ἐνιαυτῷ κύκλον. Ἔκλειψιν δὲ τοῦ ἡλίου φαίνεσθαι σελήνης ὑποδραμούσης ὑπὸ τὸν αὐτοῦ κύκλον καὶ ταῖς ἡμετέραις ὄψεσιν ἀντιφραττούσης, προσγειοτάτην γὰρ εἶναι τῶν ἄλλων ἄστρων· ὁπότ' οὖν κατὰ διάμετρον ὑπ' αὐτὸν γένοιτο, ταῖς προσπιπτούσαις ἀπ' αὐτοῦ πρὸς τὴν γῆν ἀκτῖσιν ἐπιπροσθεῖν, ὥστε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοσοῦτον τόπον ἀφώτιστον ἀπεργάζεσθαι τῆς γῆς, ὁπόσον ἂν αὐτῆς ἐπίσχῃ τὸ σκίασμα, παρ' ὃ καὶ μήτε κατὰ πᾶν κλίμα τῆς γῆς μήτε κατὰ τὴν αὐτὴν ὥραν μήτε ἐπὶ πολὺν ἄγαν τόπον διατείνειν τὸ τῆς ἡλιακῆς ἐκλείψεως πάθος. 〈 Arii Didymi epit. (fr. phys. 33 p. 467 Diels.).〉 Ζήνωνο ς . Ζήνων τὸν ἥλιόν φησι καὶ τὴν σελήνην καὶ τῶν ἄλλων ἄστρων ἕκαστον εἶναι νοερὸν καὶ φρόνιμον, πύρινον πυρὸς τεχνικοῦ. Δύο γὰρ γένη πυρός, τὸ μὲν ἄτεχνον καὶ μεταβάλλον εἰς ἑαυτὸ τὴν τροφήν, τὸ δὲ τεχνικόν, αὐξητικόν τε καὶ τηρητικόν, οἷον ἐν τοῖς φυτοῖς ἐστι καὶ ζῴοις, ὃ δὴ φύσις ἐστὶ καὶ ψυχή· τοιούτου δὴ πυρὸς εἶναι τὴν τῶν ἄστρων οὐσίαν· τὸν δὲ ἥλιον καὶ τὴν σελήνην δύο φορὰς φέρεσθαι, τὴν μὲν ὑπὸ τοῦ κόσμου ἀπ' ἀνατολῆς ἐπ' ἀνατολήν, τὴν δὲ ἐναντίαν τῷ κόσμῳ ζῳδιον ἐκ ζῳδίου μεταβαίνοντας. Τὰς δ' ἐκλείψεις τούτων γίγνεσθαι διαφόρως, ἡλίου μὲν περὶ τὰς συνόδους, σελήνης δὲ περὶ τὰς πανσελήνους. Γίνεσθαι δ' Χρυσίππο υ . Χρύσιππος τὸν ἥλιον εἶναι τὸ ἀθροισθὲν ἔξαμμα νοερὸν ἐκ τοῦ τῆς θαλάσσης ἀναθυμιάματος, σφαιροειδῆ δὲ εἶναι τῷ σχήματι. Εὐριπίδης πῦρ εἶναι τὸν ἥλιον. Λέγει γοῦν ἐν Φοινίσσαις (v. 3) Ἥλιε θοαῖς ἵπποισιν εἰλίσσων φλόγα, ἐν δὲ Φαέθοντι (fr. 776 Nauck.) Θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς. 〈 Πλουτάρχο υ . 〉 Ὅμηρος μὴ εἶναι πῦρ τὸν ἥλιον, ἀλλὰ φῶς καθαρώτατον. Δείκνυσι δὲ τοῦτο σαφῶς διὰ τῶν ἐπῶν· λέγει γὰρ οὕτως (Χ 133—135)· Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον δεινήν, ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος. Τί οὖν φαίνεται ποιῶν ἄλλο, ἢ τῇ διαζεύξει μαρτυρόμενος, ὅτι πῦρ οὐ νομίζει τὸν ἥλιον, ἀλλ' ἕτερον μὲν πυρός, φαινόμενον δὲ ἐν ταῖς ἀνατολαῖς πυρώδη διὰ τὴν ὑγρότητα καὶ τὴν ἀναθυμίασιν, ᾗ μιγνύμενον ἐρυθραίνεται πᾶν τὸ λαμπρόν; Φιλολάου ἐκ Βακχῶ ν . 〈 Ἀράτου Φαινομένων (822—891).〉 Μή οἱ ποικίλλοιτο νέον βάλλοντος ἀρούρας κύκλος, ὅτ' εὐδίου κεχρημένος ἤματος εἴης, Εἰ δ' αὔτως καθαρόν μιν ἔχοι βουλύσιος ὥρη, δύνοι δ' ἀνέφελος μαλακὴν ὑποδείελος αἴγλην, καί κεν ἐπερχομένης ἠοῦς ἔθ' ὑπεύδιος εἴη. Ἀλλ' οὐχ ὁππότε κοῖλος ἐειδόμενος περιτέλλῃ, οὐδ' ὁπότ' ἀκτίνων αἳ μὲν νότον, αἳ δὲ βορῆα σχιζόμεναι βάλλωσι, τὰ δ' αὖ περὶ μέσσα φαείνῃ· ἀλλά που ἢ ὑετοῖο διέρχεται ἢ ἀνέμοιο. Σκέπτεο δ' εἴ κέ τοι αὐγαὶ ὑπείκως' ἠελίοιο αὐτὸν ἐς ἠέλιον (τοῦ γὰρ σκοπιαὶ καὶ ἄρισται), εἴ τί που 〈ἢ〉 καὶ ἔρευθος ἐπιτρέχει, οἷά τε πολλὰ ἑλκομένων νεφέων ἐρυθαίνεται ἄλλοθεν ἄλλα, ἢ εἴ που μελανεῖ· καί τοι τὰ μὲν ὕδατος ἔστω σήματα μέλλοντος, τὰ δ' ἐρευθέα πάντ' ἀνέμοιο· εἴ γε μὲν ἀμφοτέρων ἄμυδις κεχρωσμένος εἴη, καί κεν ὕδωρ φορέοι καὶ ὑπηνέμιος τανύοιτο. Εἰ δέ τοι ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο ἀκτῖνες συνίωσι καὶ ἀμφ' ἑνὶ πεπλήθωσιν, ἤ ποτε καὶ νεφέων πεπιεσμένος ἢ ὅγ' ἐς ἠᾶ ἔρχηται παρὰ νυκτὸς ἢ ἐξ ἠοῦς ἐπὶ νύκτα, ὕδατί κεν κατιόντι παρατρέχοι ἤματα κεῖνα. Μηδ' ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλῃσι, τὴν δὲ μετ' ἀκτίνων κεχρημένος αὐτὸς ἀερθῇ, ἀμνηστεῖν ὑετοῖο. Πολὺς δ' ὅτε οἱ περὶ κύκλος οἷον τηκομένῳ ἐναλίγκιος εὐρύνηται, εὔδιός κε φέροιτο· καὶ εἴ ποτε χείματος ὥρῃ ὠχρήσαι κατιών· ἀτὰρ ὕδατος ἡμερινοῖο γινομένου, κατόπισθε περὶ νέφεα σκοπέεσθαι κὰδ δὴ δυομένου τετραμμένος ἠελίοιο. Ἦν μὲν ὑποσκιάῃσι μελαινομένῃ εἰκυῖα ἠέλιον νεφέλῃ, ταὶ δ' ἀμφί μιν ἔνθα καὶ ἔνθα ἀκτῖνες μεσσηγὺς ἑλισσόμεναι διχόωνται, ἦτ' ἂν ἔτ' εἰς ἠῶ σκέπαος κεχρημένος εἴης. Εἰ δ' ὃ μὲν ἀνέφελος βάπτοι ῥόου ἑσπερίοιο, ταὶ δὲ κατερχομένου νεφέλαι καὶ ἀποιχομένοιο πλησίαι ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ αὔριον οὐδ' ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο· ἀλλ' ὁπότ' ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι ἐξαπίνης ἀκτῖνες ἀπ' οὐρανόθεν τανύωνται, οἷον ἀμαλδύνονται, ὅτε σκιάῃσι κατ' ἰθὺ ἱσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη. οὐδ' ὅτε οἱ ἐπέχοντι φανήμεναι ἠῶθι πρὸ φαίνονται νεφέλαι ὑπερευθέες ἄλλοθεν ἄλλαι, ἄρραντοι γίγνονται ἐπ' ἤματι κείνῳ ἄρουραι. Μηδ' αὔτως, ἔτ' ἐόντι πέρην ὁπότε προταθεῖσαι ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρό, ὕδατος ἢ ἀνέμοιο κατοισομένου λελαθέσθαι. Ἀλλ' εἰ μὲν κεῖναι μᾶλλον κνέφαος φορέοιντο ἀκτῖνες, μᾶλλόν κεν ἐφ' ὕδατι σημαίνοιεν· εἰ δ' ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσιν, οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα, ἦτ' ἂν ἐπερχομένοιο

περιδνοφέοιντ' ἀνέμοιο. Οὐδὲ μὲν ἠελίου σχεδόθεν μελανεῦσαι ἀλωαὶ εὔδιοι· ἀσσότεραι δὲ καὶ ἀστεμφὲς μελανεῦσαι μᾶλλον χειμέριαι· δύο δ' ἂν χαλεπώτεραι εἶεν. Σκέπτεο δ' ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο εἴ πού 〈οἱ〉 νεφέων, τὰ παρήλια κικλήσκονται, ἢ νότου ἠὲ βορῆος ἐρεύθεται ἢ ἑκάτερθεν. μηδ' οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσσειν· οὐ γὰρ, ὅτ' ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχωσιν ἠέλιον κεῖναι νεφέλαι σχεδὸν ὠκεανοῖο, γίγνεται ἀμβολίη Διόθεν χειμῶνος ἰόντος. Εἴ γε μὲν ἐκ βορέαο μί' οἵη φοινίσσοιτο, ἐκ βορέω πνοιάς κε φέροι, νοτίη δὲ νότοιο, ἢ καί που ῥαθάμιγγες ἐπιτροχόως' ὑετοῖο. Ἑσπερίοις καὶ μᾶλλον ἐπίτρεπε σήμασι τούτοις· ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.

1.26 〈 Aetii (II 25, 1. 2 p. 355, 16 Diels.).〉 Ἀναξίμανδρος κύκλον εἶναι ἐννεακαιδεκαπλάσιον τῆς γῆς, ὅμοιον ἁρματείῳ 〈τροχῷ〉, κοίλην ἔχοντα τὴν λοξόν, ὡς κἀκεῖνον, ἔχοντα μίαν ἐκπνοήν, οἷον πρηστῆρος αὐλόν· ἐκλείπειν δὲ κατὰ τὰς τροπὰς τοῦ τροχοῦ. Ἀναξιμένης πυρίνην τὴν σελήνην. 〈 Aetii (II 25, 3 et 26, 2 p. 356, 2 et 357, 9 Diels.).〉 Παρμενίδης πυρίνην. —Ἴσην δὲ τῷ ἡλίῳ, καὶ γὰρ ἀπ' αὐτοῦ φωτίζεται. 〈 Aetii (II 27, 2 p. 358, 1 Diels.).〉 Ἡράκλειτος σκαφοειδῆ τῷ σχήματι. 〈 Aetii (II 25, 4 p. 356, 3 Diels.).〉 Ξενοφάνης νέφος εἶναι πεπιλημένον. 〈 Aetii (II 25, 8—14 p. 356, 14 Diels.).〉 Θαλῆς γεώδη τὴν σελήνην ἀπεφήνατο. Ἀναξαγόρας καὶ Δημόκριτος στερέωμα διάπυρον, ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη καὶ φάραγγας. Διογένης κισηροειδὲς ἄναμμα τὴν σελήνην. Ἴων σῶμα τῇ μὲν ὑελοειδές, διαυγές, τῇ δὲ ἀφεγγές. Βήρωσος ἡμιπύρωτον σφαῖραν τὴν σελήνην. Ἡρακλείδης καὶ Ὄκελλος γῆν ὁμίχλῃ περιεχομένην. Πυθαγόρας κατοπτροειδὲς σῶμα. 〈 Aetii (II 25, 15 et 27, 3. 4 p. 357, 2 et 358, 3 Diels.).〉 Τινὲς δὲ κυλινδροειδῆ. 〈 Aetii (II 25, 6 p. 356, 8 Diels.).〉 Πλάτων ἐκ πλείονος τοῦ πυρὸς εἶναι τὴν σελήνην. 〈 Aetii (II 25, 7 et 26, 3 p. 356, 10 et 357, 11 Diels.).〉 Ἀριστοτέλης σελήνην ἐν μεθορίοις ἀέρος τεταγμένην καὶ τῆς πέμπτης οὐσίας μετέχουσαν ἐν μηνὶ περιέρχεσθαι τὸν ἴδιον κύκλον. —Ἐλάττονα δὲ τῆς γῆς εἶναι τῷ μεγέθει. 〈 Arii Didymi epit. (fr. phys. 34 p. 467 Diels.).〉 Ζήνων τὴν σελήνην ἔφησεν ἄστρον νοερὸν καὶ φρόνιμον, πύρινον δὲ πυρὸς τεχνικοῦ. Κλεάνθης πυροειδῆ τὴν σελήνην, πιλοειδῆ δὲ τῷ σχήματι. 〈 Aetii (II 25, 5; 26, 1; 27, 1 p. 356, 5; 357, 6 et 14 Diels.).〉 Ποσειδώνιος δὲ καὶ οἱ πλεῖστοι τῶν Στωικῶν μικτὴν ἐκ πυρὸς καὶ ἀέρος. —Μείζονα δὲ τῆς γῆς, ὡς καὶ τὸν ἥλιον. —Σφαιροειδῆ δὲ τῷ σχήματι· σχηματίζεσθαι δὲ αὐτὴν πολλαχῶς, καὶ γὰρ πανσέληνον γινομένην καὶ διχότομον καὶ ἀμφίκυρτον καὶ μηνοειδῆ. 〈 Arii Didymi epit. (fr. phys. 34 p. 467 Diels.).〉 Χρύσιππος τὸ ἀθροισθὲν ἔξαμμα μετὰ τὸν ἥλιον νοερὸν ἐκ τοῦ ἀπὸ τῶν ποτίμων ὑδάτων ἀναθυμιάματος· διὸ καὶ τούτοις τρέφεσθαι. Σφαιροειδῆ δὲ εἶναι. Μῆνα δὲ καλεῖσθαι τὴν τοῦ δρόμου αὐτῆς περίοδον. Μεὶς δ' ἐστί, φησί, τὸ φαινόμενον τῆς σελήνης πρὸς ἡμᾶς, ἢ σελήνη μέρος ἔχουσα φαινόμενον πρὸς ἡμᾶς. Περὶ δὲ φωτισμῶν αὐτῆς. 〈 Aetii (II 28, 1—6 p. 358, 7 Diels.).〉 Ἀναξίμανδρο ς , Ξενοφάνη ς , Βήρωσος ἴδιον αὐτὴν ἔχειν φῶς. Ἀριστοτέλης ἴδιον μέν, ἀραιότερον δέ πως. Οἱ Στωικοὶ ἀμαυροφανές, ἀεροειδὲς γάρ. Ἀντιφῶν ἰδιοφεγγῆ μὲν τὴν σελήνην, τὸ δ' ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου τὸ ἀσθενέστερον ἀμαυροῦν· ὃ δὴ συμβαίνειν καὶ περὶ τὰ ἄλλα ἄστρα. Θαλῆς πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι. Πυθαγόρα ς , Παρμενίδη ς , Ἐμπεδοκλῆ ς , Ἀναξαγόρα ς , Μητρόδωρος ὁμοίως. Ἡράκλειτος ταὐτὸν πεπονθέναι τήν τε σελήνην καὶ τὸν ἥλιον. Σκαφοειδεῖς δὲ ὄντας τοῖς σχήμασι τοὺς ἀστέρας, δεχομένους τὰς ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιάσεως αὐγάς, φωτίζεσθαι πρὸς τὴν φαντασίαν, λαμπροτέρως μὲν τὸν ἥλιον, ἐν καθαρωτέρῳ γὰρ ἀέρι φέρεσθαι, τὴν δὲ σελήνην ἐν θολωτέρῳ καὶ διὰ τοῦτο ἀμαυροτέραν φαίνεσθαι. Περὶ δὲ ἐκλείψεως σελήνης. 〈 Aetii (II 29, 1—8 p. 359, 12 Diels.).〉 Ἀναξίμανδρος τοῦ στομίου τοῦ περὶ τὸν τροχὸν ἀπυρώτου μέρους. Ἀλκμαίω ν , Ἡράκλειτο ς , Ἀντιφῶν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφὴν καὶ τὰς περικλίσεις. Τῶν Πυθαγορείων τινὲς κατὰ τὴν

Ἀριστοτέλειον ἱστορίαν καὶ τὴν Φιλίππου τοῦ Ὀπουντίου ἀπόφασιν ἀντιφράξει τοτὲ μὲν τῆς γῆς, τοτὲ δὲ τῆς ἀντίχθονος. Τῶν δὲ νεωτέρων εἰσί τινες οἷς ἔδοξε κατ' ἐπινέμησιν φλογὸς κατὰ μικρὸν ἐξαπτομένης τεταγμένως, ἕως 〈ἂν〉 τὴν τελείαν πανσέληνον ἀποδῷ, καὶ πάλιν ἀναλόγως μειουμένης μέχρι τῆς συνόδου καθ' ἣν τελείως σβέννυται. Ξενοφάνης καὶ τὴν μηνιαίαν ἀπόκρυψιν κατὰ σβέσιν. Θαλῆ ς , Ἀναξαγόρα ς , Πλάτω ν , οἱ Στωικοὶ τοῖς μαθηματικοῖς συμφώνως τὰς μὲν μηνιαίους ἀποκρύψεις συνοδεύουσαν αὐτὴν ἡλίῳ καὶ περιλαμπομένην ποιεῖσθαι, τὰς δ' ἐκλείψεις εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν, μεταξὺ [μὲν] ἀμφοτέρων τῶν ἀστέρων γενομένης, μᾶλλον δὲ τῆς σελήνης ἀντιφραττομένης. Ἀναξαγόρα ς , ὥς φησι Θεόφραστος (phys. opin. fr. 19 p. 493 Diels.), καὶ τῶν ὑποκάτω τῆς σελήνης ἔσθ' ὅτε σωμάτων ἐπιπροσθούντων. Χρύσιππος ἐκλείπειν τὴν σελήνην τῆς γῆς αὐτῇ Περὶ δὲ ἐμφάσεως αὐτῆς. 〈 Aetii (II 30, 1—8 p. 361, 2 Diels.).〉 Τῶν Πυθαγορείων τινὲς μέν, ὧν ἐστι Φιλόλαος, τὸ γεωφανὲς αὐτῆς εἶναι διὰ τὸ περιοικεῖσθαι τὴν σελήνην, καθάπερ τὴν παρ' ἡμῖν γῆν, ζῴοις καὶ φυτοῖς μείζοσι καὶ καλλίοσιν. Εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐπ' αὐτῆς ζῷα τῇ δυνάμει, μηδὲν περιττωματικὸν ἀποκρίνοντα, καὶ τὴν ἡμέραν τοσαύτην τῷ μήκει. Ἄλλοι δὲ τὴν ἐν τῇ σελήνῃ ἔμφασιν ἀνάκλασιν εἶναι τῆς πέραν τοῦ διακεκαυμένου κύκλου τῆς οἰκουμένης ὑφ' ἡμῶν θαλάττης. Ἀναξαγόρας ἀνωμαλότητα συγκρίματος διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες, τὰ μὲν ἐχούσης ὑψηλά, τὰ δὲ ταπεινά, τὰ δὲ κοῖλα. Καὶ παραμεμῖχθαι τῷ πυροειδεῖ τὸ ζοφῶδες, ὧν τὸ πάθος ὑποφαίνει τὸ σκιερόν· ὅθεν ψευδοφανῆ λέγεσθαι τὸν ἀστέρα. Δημόκριτος ἀποσκίασμά τι τῶν ὑψηλῶν ἐν αὐτῇ μερῶν· ἄγκη γὰρ αὐτὴν ἔχειν καὶ νάπας. Παρμενίδης διὰ τὸ παραμεμῖχθαι τῷ περὶ αὐτὴν πυρώδει τὸ ζοφῶδες, ὅθεν ψευδοφανῆ τὸν ἀστέρα καλεῖ. Οἱ Στωικοὶ διὰ τὸ ἀερομιγὲς τῆς οὐσίας μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα. Ἀριστοτέλης μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα διὰ τὰ πρόσγεια ἀερώματα τοῦ αἰθέρος, ὃν προσαγορεύει σῶμα πέμπτον. Οἱ ἀπὸ τῶν μαθηματικῶν τὸ ἀνώμαλον συγκριμένης δ' ὑπὸ τοῦ ἡλίου. Ξενοφάνης τὸν μὲν ἥλιον χρήσιμον εἶναι πρὸς τὴν τοῦ κόσμου καὶ τὴν τῶν ἐν αὐτῷ ζῴων γένεσίν τε καὶ διοίκησιν, τὴν δὲ σελήνην παρέλκειν. Περὶ δὲ τῶν ἀποστημάτων. 〈 Aetii (II 31, 1—5 p. 362, 20 Diels.).〉 Ἐμπεδοκλῆς διπλάσιον ἀπέχειν τῆς σελήνης ἀπὸ 〈τῆσ〉 γῆς ἥπερ ἀπὸ τοῦ ἡλίου. Οἱ δὲ ἀπὸ τῶν μαθηματικῶν ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν ἀπὸ τῆς γῆς σταδίων μυριάδας [μυριάδων] τετρακοσίας καὶ στάδια ὀκτάκις μύρια· τὴν δὲ σελήνην ἀπέχειν ἀπὸ τῆς γῆς μυριάδας ἑβδομήκοντα ὀκτὼ σταδίων. Ἐμπεδοκλῆς τοῦ ὕψους τοῦ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, ἥτις ἐστὶν ἀφ' ἡμῶν ἀνάτασις, πλείονα εἶναι τὴν κατὰ τὸ πλάτος διάστασιν, κατὰ τοῦτο τοῦ οὐρανοῦ μᾶλλον ἀναπεπταμένου διὰ τὸ ᾠῷ παραπλησίως τὸν κόσμον κεῖσθαι. Βόηθος δὲ πρὸς τὴν φαντασίαν δέχεται τὸ ἀναπεπταμένον, οὐ κατὰ τὴν ὑπόστασιν. Σημεῖα σελήνης. Ἐκ τῶν Ἀράτου Φαινομένων (v. 778—817). Σκέπτεο δὴ πρώτην κεράων ἑκάτερθε σελήνην· ἄλλοτε γάρ τ' ἄλλῃ μιν ἐπιγράφει ἔσπερος αἴγλῃ, ἄλλοτε δ' ἀλλοῖαι μορφαὶ κερόωσι σελήνην εὐθὺς ἀεξομένην, αἳ μὲν τρίτῃ, αἳ δὲ τετάρτῃ· τάων καὶ περὶ μηνὸς ἐφεσταότος κε πύθοιο. Λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα εὔδιός κ' εἴη· λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρευθὴς πνευματίη· παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα ἢ νότῳ ἀμβλύνεται ἢ ὕδατος ἐγγὺς ἐόντος. Εἰ δέ κ' ἀπ' ἀμφοτέρων κεράων τρίτον ἦμαρ ἄγουσα μήτε τι νευστάζῃ μηθ' ὑπτιόωσα φαείνῃ, ἀλλ' ὀρθὰς ἑκάτερθε περιγνάμπτουσα κεραίας, ἐσπέριοί κ' ἄνεμοι κείνην μετὰ νύκτα φέροιντο. Εἰ δ' αὕτως ὀρθὴ καὶ τέτρατον ἦμαρ ἀγινοῖ, ἦτ' ἂν χειμῶνος συναγειρομένοιο διδάσκοι. εἰ δέ κέ οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύῃ, δειδέχθαι βορέω, ὅτε δ' ὑπτιάῃσι, νότοιο. Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἐλίσσῃ πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη· καί οἱ ἐπὶ χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου. Πάντῃ μὲν καθαρῇ κε μάλ' εὔδια τεκμήραιο· πάντα δ' ἐρευθομένῃ δοκέειν ἀνέμοιο κέλευθον, ἄλλοθι δ' ἄλλο μελαινομένῃ δοκέειν ὑετοῖο. Σήματα δ' οὐ μάλα πᾶσιν ἐπ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἥμασι πάντα τέτυκται· ἀλλ᾽ ὅσα μὲν τριτάτῃ τε τεταρταίῃ τε πέλονται μέσφα διχαζομένης, διχάδος γε μὲν ἄχρις ἐπ᾽ αὐτὴν σημαίνει διχόμηνον, ἀτὰρ πάλιν ἐκ διχομήνου ἐς διχάδα φθιμένην· δέχεται μὲν αὐτίκα τετρὰς μηνὸς ἀποιχομένου, ἡ δὲ τριτάτη ἀπιόντος. Εἰ δέ κέ μιν περὶ πᾶσαν ἁλωαὶ κυκλώσωνται ἢ τρεῖς ἠὲ δύω περικείμεναι ἠὲ μί᾽ οἵη, τῇ μὲν ἴῃ ἀνέμοιο γαληναίης τε δοκεύειν, ῥηγνυμένῃ ἀνέμοιο, μαραινομένῃ δὲ γαλήνης· ταὶ δύο δ᾽ ἂν χειμῶνι περιτροχάοιντο σελήνην· μείζονα δ᾽ ἂν χειμῶνα φέροι τριέλικτος ἁλωή, καὶ μᾶλλον μελανεῦσα, καὶ εἰ ῥηγνύατο μᾶλλον.

1.27 〈 Aetii (III 1, 1—6 p. 364, 12 Diels.).〉 Κύκλος ἐστὶ νεφελοειδής, ἐν μὲν τῷ ἀέρι διὰ παντὸς Τῶν Πυθαγορείων οἳ μὲν ἔφασαν ἀστέρος εἶναι διάκαυσιν, ἐκπεσόντος μὲν ἀπὸ τῆς ἰδίας ἕδρας, δι᾽ οὗ δὲ περιέδραμε χωρίου κυκλοτερῶς αὐτὸ περιφλέξαντος ἐπὶ τοῦ κατὰ Φαέθοντα ἐμπρησμοῦ· οἳ δὲ τὸν ἡλιακὸν ταύτῃ φασὶ κατ᾽ ἀρχὰς γεγονέναι δρόμον. Τινὲς δὲ κατοπτρικὴν εἶναι φαντασίαν τοῦ ἡλίου τὰς αὐγὰς πρὸς τὸν οὐρανὸν ἀνακλῶντος, ὅπερ κἀπὶ τῆς ἴριδος ἐπὶ τῶν νεφῶν συμβαίνει. Μητρόδωρος διὰ τὴν πάροδον τοῦ ἡλίου, τοῦτον γὰρ εἶναι τὸν ἡλιακὸν κύκλον. Παρμενίδης τὸ τοῦ πυκνοῦ καὶ τὸ τοῦ ἀραιοῦ μῖγμα γαλακτοειδὲς ἀποτελέσαι χρῶμα. Ἀναξαγόρας τὴν σκιὰν τῆς γῆς κατὰ τόδε τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν ὑπὸ τὴν γῆν ὁ ἥλιος γενόμενος μὴ πάντα περιφωτίζῃ. 〈 Δημόκριτος 〉 πολλῶν καὶ μικρῶν καὶ συνεχῶν ἀστέρων συμφωτιζομένων ἀλλήλοις διὰ τὴν πύκνωσιν συναυγασμόν. 〈 Aetii (III 1, 7 p. 365, 21 Diels.) et Arii Didymi epit.〉 Ἀριστοτέλης ἀναθυμιάσεως ξηρᾶς ἔξαψιν πολλῆς τε καὶ συνεχοῦς. —Τὸν γὰρ κύκλον ἐν ᾧ δοκεῖ θεωρεῖσθαι μέγιστον ὄντα, πλήρη τῶν μεγίστων ὑπάρχειν καὶ λαμπροτάτων ἄστρων καὶ ἔτι τῶν σποράδων καλουμένων, ὥστε διὰ ταῦτα συνεχῶς πλείστην περὶ τοῦτον ἀθροίζεσθαι τὸν τόπον τὴν ἀπὸ τῆς γῆς ἀναθυμίασιν καὶ ποιεῖν 〈 Aetii (III 1, 8 p. 366, 1 Diels.).〉 Ποσειδώνιος πυρὸς σύστασιν, ἄστρου μὲν μανωτέραν, αὐγῆς δὲ πυκνοτέραν.

1.28 〈 Aetii (III 2, 1—11 p. 366, 6 Diels.).〉 Τῶν Πυθαγορείων τινὲς μὲν ἀστέρα φασὶν εἶναι τὸν κομήτην τῶν οὐκ αἰεὶ μὲν φαινομένων, διὰ δέ τινος διωρισμένου χρόνου περιοδικῶς ἀνατελλόντων· ἄλλοι δὲ ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον παραπλησίαν ταῖς κατοπτρικαῖς ἐμφάσεσιν. Ἀναξαγόρας καὶ Δημόκριτος σύνοδον ἀστέρων δυοῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Ἀριστοτέλης τῆς ξηρᾶς ἐκ γῆς ἀναθυμιάσεως διάπυρον σύστασιν. ** κομήτας δὲ ὅταν ἐπὶ πλέον ἐξαφθῇ καὶ πρὸς πλείονα διαμένῃ χρόνον, τοῦ μὲν ἀστέρος φαινομένου κάτωθεν, τῆς δὲ κόμης ἄνωθεν ἐπιλαμπούσης· πωγωνίας δὲ ὅταν ἔμπαλιν ὁ μὲν ἀστὴρ ἄνωθεν θεωρῆται, ἡ δὲ κόμη κάτωθεν, παρεχομένη τῷ σχήματι πώγωνος ἔμφασιν. Στράτων ἄστρου φῶς περιληφθὲν νέφει πυκνῷ, καθάπερ ἐπὶ τῶν λαμπτήρων γίνεται. Ἡρακλείδης ὁ Ποντικὸς νέφος μετάρσιον ὑπὸ μετπωγωνίαν, δοκίδας, κίονα καὶ τὰ τούτοις συγγενῆ, καθάπερ ἀμέλει πάντες οἱ Περιπατητικοὶ παρὰ τοὺς τοῦ νέφους ταῦτα γίνεσθαι σχηματισμούς. Ἐπιγένης πνεύματος ἀναφορὰν γεωμιγοῦς πεπυρωμένου. Βόηθος ἀέρος ἀνημμένου φαντασίαν. Διογένης ἀστέρας εἶναι τοὺς κομήτας. Ἀναξαγόρας τοὺς καλουμένους διάττοντας ἀπὸ τοῦ αἰθέρος σπινθήρων δίκην καταφέρεσθαι, διὸ καὶ παραυτίκα σβέννυσθαι. Μητρόδωρος τὴν εἰς τὰ νέφη τοῦ ἡλίου βίαιον ἔμπτωσιν πολλάκις σπινθηρίζειν. Ξενοφάνης πάντα τὰ τοιαῦτα νεφῶν πεπυρωμένων συστήματα ἢ κινήματα. Χαλδαίους μὲν δὴ λόγος περὶ κομητῶν ὧδε γιγνώσκειν, ὅτι εἰσί τινες καὶ ἄλλοι ἔξω τῶν φαινομένων πλανητῶν ἀστέρες, οἳ τέως μὲν ἀφανεῖς εἰσιν, ὅτι ἐπὶ πολὺ ἄνω που ἀφ᾽ ἡμῶν φέρονται, ἤδη δὲ καὶ ταπεινωθέντες ὤφθησαν οὕτως ὡς ξένοι ἐνεχθέντες εἰς τὰ ὅλα· καὶ τούτους κομήτας καλεῖν φίλον τοῖς οὐ γιγνώσκουσιν, ὅτι καὶ αὐτοὶ ἐκ τῶν πολλῶν ἀστέρων εἰσίν. ἀφανίζεσθαι δὲ δοκοῦσιν, ἐπειδὰν ἀνενεχθῶσιν εἰς τὴν σφῶν χώραν, δύντες εἰς τὸ βάθος τοῦ αἰθέρος, ὥσπερ εἰς τὸν τοῦ πελάγους βυθὸν οἱ ἰχθῦς. Οἳ δὲ ὑπ᾽ ἀνέμων ἢ θυέλλης ἀναμήτας δὴ καλουμένους ἀστέρας

ταῦτα εἶναι. Δημοκρίτου δὲ ὁ λόγος λεγόμενός ἐστιν, ὡς κατ᾽ ἀντίλαμψιν τῶν πλανωμένων ἀστέρων πρὸς ἀλλήλους τε καὶ τοὺς ἀπλανεῖς οἱ κομῆται ξυνίστασθαι δοκοῦσι, καθάπερ πλειόνων κατόπτρων ἀντιλαμπόντων σφίσιν ἤδη τινὰ ὤφθη ἀστεροειδῆ φαντάσματα. Ἀρριανο ῦ . Ἀρριανός φησιν· „Ὅσα δὲ μένει ἐπὶ χρόνον τὰ μέν πως ξυμπεριφερόμενα τῷ οὐρανῷ, τὰ δὲ ἤδη τινὰ κατ᾽ ἰδίαν πλάνην πλανώμενα, οὗτοί εἰσιν οἱ κομῆται ἀστέρες καὶ λαμπάδες καὶ πωγωνίαι καὶ πίθοι καὶ δοκίδες, καθ᾽ ὁμοιότητα ἑκάστῃ ἰδέᾳ τῆς ἐπωνυμίας λαχόντα“. ** „Τεκμήριον δὲ ὅτι μὴ παραυτίκα διαφθείρεται, ὡς εἴ γε ἐν τῷ ἀέρι ξυνίσταντο, ταχεῖα ἂν ἐγίγνετο αὐτοῖς ἐν τῷ ψυχρῷ ἡ σβέσις. Ὅτι δὲ πρόσκαιρά ἐστιν, ἡ φθορὰ αὐτῶν ἐδήλωσε, καὶ ὅτι πρὸς ἄρκτοις μᾶλλόν τι ἢ ἄλλῃ χώρᾳ ξυνίσταται τοῦ οὐρανοῦ καὶ τοῦτο ἐπ᾽ αὐτὸν φέρει, ἔνθα παχύς τε ὁ ἀὴρ [καὶ] μᾶλλον καὶ ξύστασις οὐ ῥᾳδία, φορηθῆναι πρὸς τὴν οὐ. Φέρονταί τε ἀτάκτως οἱ ἀναφερομένην τροφὴν καὶ ταύτῃ ἐφομαρτοῦντες. Ἡ δὲ ἀρχὴ αὐτῶν ἀστεροειδής ἐστι, καθότι ἐς σφαῖραν ξυνάγεσθαι πέφυκε πᾶν, ὅσον πυροειδές· ἡ δὲ κόμη αὐγοειδής, τῶν μὲν ὥσπερ ἄφετος ἀνειμένη, τῶν δὲ ἐπ᾽ εὐθὺ ἰοῦσα καὶ ἐς τὸ ἄνω μᾶλλόν τι ἀπὸ τοῦ ἀστέρος τεινομένη. Οἱ δὲ πίθοι ὀλιγάκις πεφήνασι, καθότι πλείονος δέονται ξυναγωγῆς πυρός. Ἤδη δὲ καὶ τῶν ἀπλανῶν ἔστιν οἳ ξὺν κόμῃ ἐφάνησαν, ἐπειδὰν περὶ αὐτοὺς 〈ἡ τοῦ〉 ἀέρος ἀναφορὰ πυκνωθεῖσα ξυναφὲς ἐργάσηται τῆς κόμης τὸ εἴδωλον, καθάπερ καὶ ἄλως ξυναφεῖς αὐτοῖς τοῖς ἄστροις φαίνονται. Ἤδη δὲ καὶ πλησίον ἡλίου ξυστάντες κομῆται οἳ μὲν ἔφθησαν ἀφανισθῆναι πρὶν τὴν γένεσιν αὐτῶν καταστῆναι ἐμφανῆ· οἳ δὲ ἐκλείποντος ἡλίου ἐξεφάνησαν, οἳ δὲ καὶ ἐπικαταδύνοντες τῷ ἡλίῳ, πρόσθεν, οἷα δὴ εἰκός, ὑπὸ τῶν αὐγῶν καταλαμπόμενοι, τῷ μὴ ἐμφανεῖς καθίστασθαι. Ὥστε ἐκεῖνος ἂν κρατοίη ὁ λόγος 〈ὁ〉 ἀποφαίνων ἀέρος πιλήματα, ἀποθλιβόμενα καὶ ἐμπίπτοντα ἐς τὰ κατωτέρω καὶ τῷ ἀέρι ξυναφῆ τοῦ αἰθέρος, ἐξαφθέντα, ἔστ᾽ ἂν ὑπάρχῃ περὶ αὐτοὺς ἡ τροφή, ξυμμένειν τε καὶ ξυμπερινοστεῖν τῷ αἰθέρι“. Καὶ ταῦτα, ὅπως ἂν τύχῃ, ἀπὸ τῆς ἰδέας ἐπικλήζεσθαι ἕκαστον, κομήτας μέν, ἀφ᾽ ὧν ὥσπερ κόμη ἐς τὰ κύκλῳ ἐξέφηνε· δοκοὺς δὲ αὖ καὶ λαμπάδας καθ᾽ ὁμοιότητα τοῦ εἴδους 〈ἐφ᾽ ὅ〉 τῳ ἐπιφημίζονται. „Φαίνεται δὲ τούτων ἕκαστον καὶ ἑσπέριον καὶ ἑῷον, τὰ δὲ καὶ ἀμφιφανῆ φαίνεται. Ἀμφιφανῆ δὲ κλῄζουσιν, ὅσα περὶ πρῶτα τῆς νυκτὸς φανέντα πρὸς δύσει, ἔπειτα ἐν τῇ αὐτῇ νυκτί, πρὶν ἡμέραν ἐπιλαβεῖν, ἔφθη ἀνασχόντα“.

1.29 〈 Aetii (III 3, 1—11. 13. 14. 15. 12 p. 367, 22 Diels.).〉 Ἀναξίμανδρος ἐκ τοῦ πνεύματος ταῦτ᾽ εἶπε συμβαίνειν· ὅταν γὰρ περιληφθὲν νέφει παχεῖ βιασάμενον ἐκπέσῃ τῇ λεπτομερείᾳ καὶ κουφότητι, τόθ᾽ ἡ μὲν ῥῆξις τὸν ψόφον, ἡ δὲ διαστολὴ παρὰ τὴν μελανείαν τοῦ νέφους τὸν διαυγασμὸν ἀποτελεῖ. Ἀναξιμένης ταὐτὰ τούτῳ παρατιθεὶς τὸ ἐπὶ τῆς θαλάσσης, ἥτις σχιζομένη ταῖς κώπαις παραστίλβει. Μητρόδωρο ς , ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν συνθραύσει τὸν κτύπον ἀποτελεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει, τῇ δ᾽ ὀξύ- Ἀναξαγόρα ς , ὅταν 〈τὸ〉 θερμὸν εἰς τὸ ψυχρὸν ἐμπέσῃ, (τοῦτο δ᾽ ἐστὶν αἰθέριον μέρος εἰς ἀερῶδες,) τῷ μὲν ψόφῳ βροντὴν ἀποτελεῖ, τῷ δὲ παρὰ τὴν μελανείαν τοῦ νέφους χρώματι τὴν ἀστραπήν· τῷ δὲ πλήθει καὶ μεγέθει τοῦ φωτὸς τὸν κεραυνόν· τῷ δὲ πολυσωματωτέρῳ πυρὶ τὸν τυφῶνα· τῷ δὲ νεφελομιγεῖ τὸν πρηστῆρα. Ἀρχέλαος ταὐτὸ λέγει παρατιθεὶς τὸ τῶν διαπύρων λίθων καθιεμένων εἰς ψυχρὸν ὕδωρ πάθος. Ξενοφάνης ἀστραπὰς γίνεσθαι λαμπρυνομένων τῶν νεφῶν κατὰ τὴν κίνησιν. Ἐμπεδοκλῆς ἔμπτωσιν φωτὸς εἰς νέφος ἐξείργοντος τὸν ἀνθεστῶτα ἀέρα, οὗ τὴν μὲν σβέσιν καὶ τὴν θραῦσιν κτύπον ἀπεργάζεσθαι, τὴν δὲ λάμψιν ἀστραπήν· κεραυνὸν δὲ τὸν τῆς ἀστραπῆς τόνον. Διογένης ἔμπτωσιν πυρὸς εἰς νέφος ὑγρόν, βροντὴν μὲν τῇ σβέσει ποιοῦν, τῇ δὲ λαμπηδόνι τὴν ἀστραπήν. συναιτιᾶται δὲ καὶ τὸ πνεῦμα. Ἡράκλειτος βροντὴν μὲν κατὰ συστροφὰς ἀνέμων καὶ νεφῶν καὶ ἐμπτώσεις πνευμάτων εἰς τὰ νέφη, ἀστραπὰς δὲ κατὰ τὰς τῶν ἀναθυμιωμένων ἐξάψεις, πρηστῆρας δὲ κατὰ νεφῶν ἐμπρήσεις καὶ σβέσεις. Λεύκιππος πυρὸς ἐναποληφθέντος

νέφεσι παχυτάτοις ἔκπτωσιν ἰσχυρὰν βροντὴν ἀποτελεῖν ἀποφαίνεται. Δημόκριτος βροντὴν μὲν ἐκ συγκρίματος ἀνωμάλου, τὸ περιειληφὸς αὐτὸ νέφος πρὸς τὴν κάτω φορὰν ἐκβιαζομένου· ἀστραπὴν δὲ σύγκρουσιν νεφῶν, ὑφ' ἧς τὰ γεννητικὰ τοῦ πυρὸς διὰ τῶν πολυκένων ἀραιωμάτων ταῖς παρατρίψεσιν εἰς τὸ αὐτὸ συναλιζόμενα διηθεῖται· κεραυνὸν δὲ ὅταν ἐκ καθαρωτέρων καὶ λεπτοτέρων, ὁμαλωτέρων τε καὶ πυκναρμόνων, καθάπερ αὐτὸς γράφει, γεννητικῶν τοῦ πυρὸς ἡ φορὰ βιάσηται· πρηστῆρα δ', ὅταν πολυκενώτερα συγκρίματα πυρὸς ἐν πολυκένοις κατασχεθέντα χώραις καὶ περιοχαῖς ὑμένων ἰδίων σωματοποιούμενα τῷ πολυμιγεῖ τὴν ἐπὶ τὸ βάρος ὁρμὴν λάβῃ. Χρύσιππος ἀστραπὴν ἔξαψιν νεφῶν ἐκτριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος, βροντὴν δ' εἶναι τὸν τούτων ψόφον· ἅμα δὲ γίνεσθαι ἐν τῷ ἀέρι βροντήν τε καὶ ἀστραπήν, πρότερον δὲ τῆς ἀστραπῆς ἀντιλαμβάνεσθαι ἡμᾶς διὰ τὸ τῆς ἀκοῆς ὀξυτέραν εἶναι τὴν ὅρασιν· ὅταν δ' ἡ τοῦ πνεύματος φορὰ σφοδροτέρα γένηται καὶ πυρώδης, κεραυνὸν ἀποτελεῖσθαι, ὅταν δὲ ἄθρουν ἐκπέσῃ τὸ πνεῦμα καὶ ἧττον πεπυρωμένον, πρηστῆρα γίγνεσθαι, ὅταν δ' ἔτι ἧττον ᾖ πεπυρωμένον τὸ πνεῦμα, τυφῶνα. Ἀριστοτέλης ἐξ ἀναθυμιάσεως καὶ τὰ τοιαῦτα γίνεσθαι τῆς ξηρᾶς. Ὅταν οὖν ἐντύχῃ μὲν τῇ ὑγρᾷ, παραβιάζηται δὲ τὴν ἔξοδον, τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον, τῇ δ' ἐξάψει τῆς ξηρότητος τὴν ἀστραπὴν παρίστησι. Στράτων θερμοῦ ψυχρῷ παρείξαντος, ὅταν ἐκβιασθὲν τύχῃ, τὰ τοιαῦτα γίνεσθαι, βροντὴν μὲν ἀπορρήξει, φάει δ' ἀστραπήν, τάχει δὲ κεραυνόν, πρηστῆρας δὲ καὶ τυφῶνας τῷ πλεονασμῷ τῷ τῆς ὕλης, ἣν ἑκάτερος αὐτῶν ἐφέλκεδροτέραν ἔκλαμψιν, πρηστῆρα δὲ νωθεστέραν. 〈 Arii Didymi epit. (fr. phys. 12 p. 452 Diels.).〉 Ἀριστοτέλους ς . Ἀριστοτέλης τυφῶνας μὲν, ὅταν ἐκνεφίας δινούμενος καταφέρηται. Τὸ γὰρ πνεῦμα κωλυόμενον μὲν εἰς ὀρθὸν ἰέναι παρ' ἀντίπνοιαν ἢ ψῦχος ἢ πάχος ἤ τινα ἄλλην αἰτίαν, ἐλαυνόμενον δ' ὑπὸ τοῦ κατόπιν ἐπεισιόντος, ἀναστρέφειν εἰλούμενον ἐν τῷ νέφει κύκλῳ καὶ συγκατάγειν ἐπὶ γῆν ἑαυτῷ τὸ νέφος· εἶθ' ὅτῳ ἂν ἐντύχῃ φερόμενον, σφοδρῶς ἀναρπάζειν καὶ πάλιν ἀπορρίπτειν, τοῦτο γὰρ εἶναι τὸ πάθος οἷον ἐκνεφίαν ἄπεπτον. Πρηστῆρας δ', ὅταν βιαίως κατιὸν ἐκπυρωθῇ τὸ πνεῦμα κατὰ τὴν φοράν, συνεμπίπρασθαι γὰρ τὸν ἀέρα 〈τῇ〉 πυρώσει χρωματιζόμενον, διὸ καὶ νυκτὸς ἐκλάμπειν· ἀναρπάζειν δὲ καὶ περιτρέπειν ὁμοίως καὶ τούτους, ὥσπερ πυρώδεις ὄντας τυφῶνας. Κεραυνὸν δ', ὅταν πολὺ καὶ λεπτὸν περιληφθὲν ἐν τοῖς νέφεσι πνεῦμα πυρωθὲν ἐκθλιφθῇ καὶ μετ' ἰσχυρᾶς ἐπὶ γῆν κατασκήψῃ φορᾶς, ἐὰν μὲν ᾖ πάνυ λεπτὸν καὶ διὰ τοῦτ' οὐκ ἐπικαῖον, ἀργῆτα λέγεσθαι κατὰ τοὺς ποιητάς· ἐὰν δ' ἧττον, ἐπικαῖον, ψολόεντ α . Τὸν μὲν γὰρ διὰ τὴν λεπτότητα καὶ πρὶν ἐκπυρῶσαι φερόμενον οἴχεσθαι διὰ τάχους, ὡς μηδ' ἐπιμελᾶναί τι τῶν ὑποκειμένων· τὸν δὲ οἷον καὶ βραδύτερον, ἐπισχειν. Ἤδη γοῦν ἀσπίδος πληγείσης τακῆναι μὲν τὸ χάλκωμα, τὸ δὲ ξύλον μηδὲν παθεῖν, φθάσαντος τοῦ πνεύματος διὰ τὴν τῆς ὕλης μανότητα πρὸ τῆς καύσεως διεκδραμεῖν· καὶ δι' ἱματίων ὁμοίως διελθὸν οὐ κατέκαυσεν, ἀλλ' οἷον τρῦχος ἐποίησε. Περὶ μὲν οὖν τούτων διετάττετο οὕτως. Ἀρριανο ῦ . Ὅσοι δὲ ξηροὶ ἀτμοί, ῥυέντες μὲν εὐθὺς ἀνέμους εἰργάσαντο, ἐν νέφει δὲ ἀποληφθέντες, ἔπειτα ῥηγνύντες βίᾳ τὸ νέφος βροντάς τε καὶ ἀστραπὰς ἐξέφηναν· ἐκπίπτοντες δ' ἐπὶ μέγα, διάπυροι μὲν κεραυνοί · ἀθρόοι δὲ καὶ ἡμίπυροι πρηστῆρες · ὅσοι δὲ ἔρημοι πυρὸς τυφῶνες · οἱ δὲ ἔτι ἀνειμένοι ἐκνεφίαι · κατασκήψαντες δὲ ἐς γῆν ξύμπαντα ταῦτα σκηπτοὶ κλῄζονται. Οὐ δι' ἴσου δὲ αἱ κοιλότητες τῶν νεφῶν καὶ 〈αἱ〉 ῥήξεις αἱ ἐπ' αὐταῖς βροντὰς ἔχουσιν. Ἀστραπὴ δὲ ὑπὸ τῇ ῥήξει ἐκτρίβεται καὶ ἐξάπτει τὸ πνεῦμα, ὡς ἐκλάμψαι ἐπὶ μέγα. Καὶ γίγνεται μὲν ἀστραπὴ μετὰ βροντή ν , ὀξυτέρα δὲ τοσόνδε, ὅσον ὄψις ἀκοῆς ὀξύτερον· καθότι ἀκοὴ μὲν πελαζούσης τῆς φωνῆς αἰσθάνεται, ὄψις δὲ ἐπὶ τὸ ὁρώμενον αὐτὸ ἐκπέμπεται. Κεραυνὸς δὲ ὅτι πνεῦμά ἐστιν, ἀπὸ τῶνδε τεκέστι, δηλοῖ μὲν τοῦτό γε καὶ ἡ ὄψις ὅτῳ ἐγγὺς κατέσκηψε, πῦρ γὰρ φαίνεται. Ἤδη δὲ καὶ ἀφ' ὧν ἐργάζεται ἐδήλωσε· περιφλέγει γὰρ ἔστιν ἃ τῶν πελασάντων, τὰ δὲ καὶ ἐξάπτει πάντῃ καὶ ἀπολείπεται ἀπ' αὐτοῦ ἴχνη, οἷα δὴ ἐπὶ πυρὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκκαύσαντι ἐσβεσμένῳ. Ἐκνεφίας δὲ ἄνεμος, ἐπὰν δινούμενος ἐκπέσῃ, νέφους ῥαγέντος, τυφὼν κλῄζεται. Γίγνεται δὲ ἡ δίνη ὧδε· ἐπειδὰν κώλυμα ἐν τῷ νέφει ἐγχριμφθῇ τὸ μὴ οὐκ ἐπ' εὐθὺ ἐκπεσεῖν τὴν πνοήν, ἀναστρέφεταί τε καὶ ἀνειλεῖται ἐς αὐτήν. Εἴργεται δὲ ὑπὸ πάχους νεφέλης ἐπ' εὐθὺ ἐκπεσεῖν ἢ κρύους ἀποστρέψαντος ἢ ἀντιπεσούσης ἄλλης πνοῆς. Οὕτω τοι καὶ πρὸς ἄλλοτε ἀλλοῖαι θύελλαι ἀναστρέφονταί τε καὶ ἀνειλούμεναι αὖθις ἄνω ἀναφέρονται, ἐπειδὰν δὴ ἐγχρίμψας τόπος τις γῆς ἀνακόψῃ τῆς πνοῆς τὴν ἐπ' εὐθὺ ὁρμήν. Καὶ δῖναι ἐν τοῖς ποταμοῖς ὕδατος ταὐτὸ τοῦτό εἰσι· φερόμενον γὰρ εὐθείᾳ τὸ ὕδωρ οὔποτ' ἂν δινηθείη· ἀντιπεσόντος δὲ ἄλλοτε ἄλλου πρὸς τὴν φορὰν ἀναστρέφει ἡ ῥοή, ἀναστραφεῖσα δὲ ἐς κύκλον ἐπικάμπτει ὑπὸ τῇ ῥύμῃ, ὅτι μὴ οἷά τε ἐπ' νεφέλης τὸ πολὺ ἐς τὸ κάτω σὺν ἕλικι ἐπάγουσιν ἅμα σφίσι· καὶ προσπεσόντες τῇ γῇ ἀναρπάζουσιν ὅτῳ ἂν ἐντύχωσιν, ἀντικοπτομένης τῆς ῥύμης, ὡς ξὺν τῇ αὐτῇ ἕλικι ἀναστρέφεσθαι· ὥστε καὶ ναῦς ἤδη ἅμα τῷ φόρτῳ ἐμπεσόντες ἐξῆραν ἐπὶ μέγα ἔξω τῆς θαλάσσης. Κεραυνῶν δὲ πολλαὶ ἰδέαι τε καὶ ὀνόματά εἰσιν. Οἳ μὲν αὐτῶν ψολόεντε ς , οἳ δὲ ἀργῆτες κλῄζονται, σκηπτοί τε ὅσοι κατασκήπτουσι, καὶ αἰγίδες ὅσοι ἐν συστροφῇ ἀέρος καταφέρονται, ἕλικες δὲ ὅσοι ἐς ἑλικοειδῆ γραμμὴν διάττουσι. Καὶ δὴ ὅσοι μὲν μὴ πάντῃ ὀξέως ἐκπεσόντες ὕλῃ ἐνέτυχον καυσίμῳ, ἔκαυσάν τε αὐτὴν ὑπὸ τῇ διατριβῇ καὶ αὐτοὶ κατεσβέσθησαν τῷ ἔργῳ· ὅσοι δὲ ξὺν πολλῷ τῷ τάχει κατέσκηψαν, οὗτοι πρὶν ἐκκαῦσαι διῆξαν ὥστε ἡμίπυρα ἔστιν ἃ ὑπολελεῖφθαι ἀπ' αὐτῶν· οἳ δὲ καὶ αἰθαλώσαντες μόνον διῆλθον. Οἱ δὲ ἔτι καὶ τῶνδε ὀξύτεροι οὐδὲ ἓν ἐξεργάσασθαι ἔφθασαν, ἀλλὰ ἀραιᾷ μὲν ὕλῃ εἰ καὶ πάνυ καυσίμῳ ἐντυχόντες διεχώρησαν μόνον· ἀντιτύπῳ δὲ εἰ πελάσειαν ἐνσχεθέντες κατειργάσαντό τε αὐτὴν καὶ διέφθειραν· ὥστε κυτίδος μὲν ξύλου μαλθακοῦ ἁψάμενοι διῆξαν, ἀπαθῆ ἀπολιπόντες· τὸ δὲ χρυσίον ἔτηξαν τὸ ἐνόν, ὅτι ἐσχέθησαν ἐν τῷ χρυσίῳ. Καὶ χιτῶνα ἤδη οὐκ ἔκαυσαν, ἀλλὰ ἐτρύχωσαν μόνον· καὶ διὰ μὲν κεράμου διῆλθον, τὸ δὲ ἐνὸν ἐν αὐτῷ διεφόρησαν. Τούτων ξυμπάντων οἱ μὲν λαμπροὶ ἀργῆτες · ὅσοι δὲ καταιψολόεντες ἐπὶ τῷ ἔργῳ ἐκλήθησαν. Καὶ οἱ μὲν εὐθείᾳ κατασκήψαντες εἰς τὸ ἔμπαλιν τῇ αὐτῇ εὐθείᾳ ἀνῆξαν· οἱ δὲ ἐκ πλαγίου ἐμπεσόντες πρὸς ἴσην γωνίαν ἄνω ἀναφέρονται· καὶ οἱ μὲν ἁπλοῖ, οἱ δὲ διπλοῖ κατέσκηψαν. πλεῖστοι δὲ ἦρος καὶ μετοπώρου καὶ ἅμα βιαιότεροι περί τε πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν, ὅτι ἐν κινήσει καὶ παθήμασι πολυειδέσιν ὁ ἀὴρ τῇδε τῇ ὥρᾳ ἐστίν, οἷα δὴ οὔτε ὑπὸ κρύει πεπηγὼς οὔτε ὑπὸ τῷ θερινῷ ἡλίῳ ἐκκεκαθαρμένος. Τοιγάρτοι καὶ ἐν χώραις ὅσαι νιφετώδεις καὶ ψυχραὶ καὶ ὅσαι αὖ κεκαυμέναι ὑπὸ ἡλίῳ 〈εἰ〉 κατασκήπτουσιν, οἱ κατασκήψαντες ἐν θαύμασιν ἀναφέρονται, καθάπερ ἐν Κελτοῖς καὶ παρ' Αἰγυπτίοις. Μίλωνος Φυσικῶ ν . Ἀστραπαί εἰσι διτταί, ἡ μὲν ἡμερινή, ἡ δὲ νυκτερινή. Γίγνεται δὲ ἡ μὲν ἡμερινὴ ὑπὸ τοῦ ἡλίου, ὅταν ῥαγῇ τὸ ὕδωρ ὑποφαινομένου αὐτοῦ· λαμπρὰ δὲ οὐ φαίνεται, ὥσπερ ἡ νυκτερινή, ὅτι ἐν φάει γίγνεται· ἡ δὲ νυκτερινὴ ὑπὸ τῶν ἄστρων γίγνεται, ὅταν ῥαγῇ τὸ ὕδωρ ὑποφαινομένων αὐτῶν· λαμπρὰ δὲ φαίνεται, ὅτι ἐν ζόφῳ γίγνεται.

1.30 〈 Aetii (III 5, 1—18 p. 371, 28 Diels.).〉 κινεῖσθαι δοκεῖ. Ἔστιν οὖν κατ' ἔμφασιν ἡ ἶρις. Πλάτων φησὶ (Theaetet. p. 155 D) Θαύμαντος αὐτὴν γεναλογῆσαι τοὺς ἀνθρώπους διὰ τὸ θαυμάσαι ταύτην. Ὅμηρος (P 547)· Ἠύτε πορφυρέην νεφέλην θνητοῖσι τανύσσει. Καὶ ἐμυθεύσαντό τινες αὐτὴν ταύρου κεφαλὴν ἔχουσαν ἀναρροφεῖν τοὺς ποταμούς. Πῶς οὖν γίγνεται; Ὁρῶμεν δὴ κατὰ γραμμάς, ἢ κατ' εὐθείας ἢ κατὰ καμπύλας ἢ κατὰ ἀνακλωμένας, γραμμὰς δὴ λόγῳ θεωρητὰς καὶ ἀσωμάτους. Κατὰ μὲν οὖν εὐθείας ὁρῶμεν τὰ ἐν ἀέρι καὶ τὰ διὰ τῶν λίθων τῶν διαυγῶν καὶ κεράτων, λεπτομερῆ γὰρ ταῦτα πάντα. 〈Κατὰ〉 καμπύλας δὲ γραμμὰς καθ' ὕδατος βλέπομεν· κάμπτεται γὰρ ἡ ὄψις βίᾳ διὰ τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην· διὸ καὶ τὴν κώπην ἐν τῇ θαλάσσῃ μακρόθεν καμπτομένην βλέπομεν. Τρίτος τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα, ὡς τὰ κατοπτρικά. Ἔστιν οὖν τὸ τῆς ἴριδος πάθος τοιοῦτον. δεῖ γὰρ ἐπινοῆσαι τὴν ὑγρὰν ἀναθυμίασιν εἰς νέφος μεταβάλλουσαν, εἶτα ἐκ τούτου κατὰ βραχὺ εἰς

μικρὰς ῥανίδας νοτιζούσας. Ὅταν οὖν ὁ ἥλιος γένηται ἐν δυσμαῖς, ἀνάγκη πᾶσα ἶριν ἄντικρυς ἡλίου φαίνεσθαι· τότε γὰρ ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥστε γίγνεσθαι τὴν ἶριν. Εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφαί, ἀλλὰ χρώματος. Καὶ ἔχει τὸ μὲν πρῶτον φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυροῦν, τὸ δὲ τρίτον κυανοῦν καὶ πράσινον. Μήποτε τὸ φοινίκινον, ὅτι ἡ λαμπρότης τοῦ ἡλίου προσπεσοῦσα καὶ ἡ λαμπηδὼν ἀκραιφνὴς ἀνακλωμένη ἐρυθρὸν ποιεῖ καὶ φοινίκειον χρῶμα· τὸ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκκαιόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας, ἁλουργές 〈ἄνεσις γὰρ τοῦ ἐρυθροῦ τοῦτο· ἔτι δὲ πάλιν ἐπιθολούμενον〉 τὸ δροσίζον εἰς πράσινον μεταβάλλει. Ἔστι δὲ τοῦτο δοκιμάσαι δι' ἔργων· εἰ γάρ τις ἀντικρὺ στὰς τοῦ ἡλίου λάβῃ ὕδωρ καὶ πυτίσῃ, αἱ δὲ ῥανίδες ἀνάκλασιν πρὸς τὸν ἥλιον λάβωσιν, εὑρήσει γινομένην ἶριν. Καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν. 〈 Arii Didymi (epit. fr. phys. 14 p. 454 Diels.).〉 Ἀριστοτέλους ς . Ἅλω δὲ καὶ ἴριδας καὶ παρήλιον καὶ ῥάβδους καὶ τἆλλα τὰ κατὰ τὰς ἐμφάσεις ὑπὸ μὲν τῆς αὐτῆς αἰτίας γίνεσθαι· πάντα γὰρ εἶναι ταῦτα τῆς ὄψεως ἀνάκλασιν, διαφέρειν δὲ τοῖς τρόποις καὶ ἀφ' ὧν καὶ ὡς ἔχειν συμβαίνει τὴν ἀνάκλασιν. Ἅλω μὲν οὖν καὶ περὶ ἥλιον φαίνεσθαι καὶ περὶ σελήνην καὶ καθόλου περὶ τὰ λαμπρὰ τῶν ἄστρων καὶ οὐθὲν ἧττον ἡμέρας ἢ νυκτὸς καὶ περὶ μεσημβρίαν ἢ δείλην· ἔωθεν δ' ἐλαττονάκις καὶ περὶ δύσιν. Συμβαίνειν δ', ὅταν διὰ τοῦ πέριξ ἀέρος ἀχλυώδους ὄντος ἐπιλάμπηται τὸ φῶς αὐτῶν, ὥσθ' ὅλον ὁρᾶσθαι τὸν κύκλον· περιφανῆ γὰρ εἶναι καὶ σφαιρικὴν κατὰ τὴν ἔμφασιν τὴν ἅλω. Ταύτης δὲ τὴν μὲν ἐπιμένουσαν ὑετὸν σημαίνειν, τὴν δὲ διασπασθεῖσαν πνεῦμα, τὴν δὲ μαραινομένην εὐδίαν. Ἶριν δὲ περὶ μόνον ἥλιον καὶ σελήνην συνίστασθαι, γίνεσθαι δὲ καὶ νύκτωρ, ὀλιγάκις δὲ καὶ πάνυ διὰ πολλοῦ. Κύκλον δὲ μηδέποτε φαίνεσθαι τῆς ἴριδος μηδὲ μεῖζον ἡμικυκλίου τμῆμα. Ποικίλην δ' ἔχειν τὴν ἔμφασιν διὰ τὸ κατὰ τὴν τῆς ὄψεως ἀνάκλασιν φοινικοῦν καὶ πράσινον καὶ ἁλουργὸν προσπίπτειν ἀπ' αὐτῆς χρῶμα. Φοινικοῦν μέν, ὅτι τὸ λαμπρὸν ἐν μέλανι καὶ διὰ μέλανος ὁρώμενον τοιαύτην ἀποτελεῖ χρόαν. τοῖς γοῦν θεωμένοις τὸν ἥλιον δι' ὁμίχλης ἢ διὰ καπνοῦ δοκεῖν ἐρυθρὸν εἶναι· ἢ τὴν ἀπὸ τῶν χλωρῶν ξύλων φλόγα πεφοινιγμένην διὰ τὸ πολὺν αὐτῇ καταμεμῖχθαι καπνόν. κατὰ τοῦτο δὴ καὶ τὴν ἐξωτάτω καὶ μείζονα περιφέρειαν τῆς ἴριδος ἐμφαίνειν τὸ φοινικοῦν· διὰ γὰρ μέλανος τοῦ νέφους ἀνακλωμένην τὴν ὄψιν πρὸς λαμπρότατον ὄντα τὸν ἥλιον ἀντιλαμβάνεσθαι τοιοῦδε χρώματος. Τὴν δὲ δευτέραν καὶ τρίτην περιφέρειαν διὰ τὴν τῆς ὄψεως ἀσθένειαν τό τε πράσινον καὶ τὸ ἁλουργὲς ἐμφαίνειν. Τὸ δ' ὅλον εἶναι τὴν ἶριν ἔμφασιν ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει κοίλῳ καὶ δεδροσισμένῳ κατὰ κύκλου περιφέρειαν ὁρωμένην. Γίνεσθαι δ' ἔστιν ὅτε διπλῆν, ὡς τὴν ἑτέραν ἀμαυροτέραν φαίνεσθαι καὶ διὰ παντὸς ἐξ ἐναντίας ἱσταμένην τῇ προτέρᾳ καὶ τῇ θέσει τῶν χρωμάτων ἀντεστραμμένην. Παρηλίους δὲ καὶ ῥάβδους γίνεσθαι μὲν ἀπὸ Ὅταν γὰρ ἀχλυῶδες ᾖ καὶ ὁμαλές, πρὸς δὲ τούτοις ὑδατῶδες καὶ πυκνόν, ὡς ἀπὸ χαλκοῦ κατόπτρου λείου κλωμένην πρὸς τὸν ἥλιον τὴν ὄψιν λευκοῦ ποιεῖν φαντασίαν. παραπλήσιον γὰρ ἡλίῳ κατά τε τὴν χρόαν καὶ τὸ σχῆμα φαίνεσθαι τὸν παρήλιο ν . τὴν μὲν γὰρ ὁμαλότητα τοῦ νέφους αἰτίαν εἶναι τοῦ χρώματος, τὴν δ' ἀνάκλασιν τῆς ὄψεως τῆς τοῦ ἡλίου, διὰ τῆς ἀχλυώδους ἐμφάσεως προσπίπτουσαν ἀθρόως πρὸς πεπυκνωμένον, ὥσπερ ἔνοπτρον, οὐδέπω μὲν ὂν ὕδωρ, ἐγγὺς δ' ὑπάρχον τῆς πρὸς ὕδωρ μεταβολῆς. διὸ καὶ σημεῖον ὕδατος εἶναι τὸν παρήλιον· καὶ μᾶλλόν γε τὸν νότιον τοῦ βορείου παρὰ τὸ μᾶλλον μεταβάλλειν εἰς ὕδωρ τὸν νότιον ἀέρα τοῦ πρὸς ἄρκτον. Γίνεσθαί τε περί τε [τὰς] ἀνατολὰς τοῦ ἡλίου καὶ περὶ δύσεις, οὐκ ἄνωθεν, ἀλλ' ἐκ τῶν πλαγίων, καθάπερ καὶ τὰς ῥάβδους. Εἶναι δὲ δὴ τὰς καλουμένας ῥάβδους ἰριοειδεῖς εὐθείας ἐμφάσεις περὶ τὸν ἀέρα συνισταμένας δι' ἀνωμαλίαν τῶν ἐνοπτριζόντων νεφῶν.

1.31

〈 Aetii (III 4, 1—5 p. 370, 26 Diels.).〉 Ἀναξιμένης νέφη μὲν γίνεσθαι παχυνθέντος ἐπὶ πλεῖον τοῦ ἀέρος, μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλίβεσθαι ματικόν. Ἀναξαγόρας νέφη μὲν καὶ χιόνα παραπλησίως, χάλαζαν δ' ὅταν ἀπὸ τῶν παγέντων νεφῶν προωσθῇ τινα πρὸς τὴν γῆν, ἃ δὴ ταῖς καταφοραῖς ἀποψυχρούμενα στρογγυλοῦται. Μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς ὑπὸ τοῦ ἀέρος συνίστασθαι τὰ νέφη. Ξενοφάνης ἀπὸ τῆς τοῦ ἡλίου θερμότητος ὡς ἀρκτικῆς αἰτίας τἀν τοῖς μεταρσίοις συμβαίνειν· ἀνελκομένου γὰρ ἐκ τῆς θαλάττης τοῦ ὑγροῦ τὸ γλυκὺ διὰ τὴν λεπτομέρειαν διακρινόμενον νέφη τε συνιστάνειν ὁμιχλούμενον καὶ καταστάζειν ὄμβρους ὑπὸ πιλήσεως καὶ διατμίζειν τὰ πνεύματα. γράφει γὰρ διαρρήδην (fr. 11 Karst.)· „πηγὴ δ' ἐστὶ θάλασς' ὕδατος". Ἐπίκουρος ἀπὸ τῶν ἀτόμων· στρογγυλαίνεσθαι 〈δὲ〉 τὴν χάλαζαν 〈καὶ〉 τὸν ὑετὸν ἀπὸ τῆς μακρᾶς καταφορᾶς ὑποπεπλασμένον. [Ἐμπεδοκλῆς ἔμπτωσιν φωτὸς εἰς νέφος.] ** καὶ πνεῦμα μὲν ἀποτελεῖν παρῶσαν τὰ νέφη, ὄμβρους δὲ διαχέαν, χάλαζαν δὲ πιλῆσαν, χιόνα δὲ συμπεριλαβόμενόν τι τοῦ ἀερώδους. 〈 Arii Didymi epit. (fr. phys. 11 p. 451 Diels.).〉 τοὺς μὲν γίνεσθαι τῆς ἀναδιδομένης ἀπὸ τῆς γῆς ἀτμίδος 〈ἐν〉 τοῖς ἄνω τόποις συνισταμένης κατὰ πύκνωσιν καὶ τρεπομένης εἰς ὕδωρ, εἶτα φερομένης ἀθρόως ἐπὶ γῆν διὰ τὴν ἀπόλειψιν τοῦ ἀναγαγόντος αὐτὴν θερμοῦ· σκεδασθείσης δ' εἰς μικρὰ μόρια καλεῖσθαι ψεκάδας · πρὸ τοῦ δὲ μετεωρισθῆναι σφόδρα κατενεχθείσης διὰ τὴν τοῦ ἀναγαγόντος αὐτὴν πυρὸς ὀλιγότητα προσονομάζεσθαι δρόσον καὶ πάχνην · πάχνην μέν, ὅταν παγῇ πρὶν εἰς ὕδωρ συγκριθῆναι (γίνεσθαι δὲ χειμῶνος καὶ ἐν τόποις μᾶλλον χειμερινοῖς)· δρόσον δ', ὅταν τὸ συνιστάμενον ὑγρὸν νύκτωρ ψυχθὲν ἅμα τοῖς ὄρθροις ἐπὶ γῆν ἐπιφέρηται· διὸ καὶ πλείστην πίπτειν δρόσον καὶ πάχνην περὶ τὰ ἕλη καὶ τὰς λίμνας καὶ τοὺς ποταμοὺς καὶ μάλιστα περὶ τοὺς ἐναύλους καὶ κοίλους τῶν τόπων· ἀνάγεσθαί τε γὰρ πλεῖστον ὑγρὸν ἀπὸ τῶν τοιούτων χωρίων καὶ καταψύχεσθαι μᾶλλον. Τὴν δ' ἀθρόαν ἀνάδοσιν λέγεσθαι τῆς ἀτμίδος ἐπὶ μικρὸν μὲν παχυνθεῖσαν ὁμίχλη ν , οἷον ἀραιὰν καὶ ἄγονον ὕδατος νεφέλην, ὡς ἂν προσυνισταμένην ταύτης καὶ προδιαλυομένην καὶ σημεῖον οὖσαν εὐδίας· τὴν δὲ μετεωρισθεῖσαν ἐπὶ πλεῖον καὶ συγκριθεῖσαν νεφέλη ν . πάντα δὲ περὶ γῆν ταῦτα γίνεσθαι διὰ τὸ μὴ πόρρω τὴν ἀτμίδα μετεωρίζεσθαι κατισχύειν. ἐν γοῦν τοῖς ὑψηλοτάτοις ὄρεσιν οὐδὲν γίνεσθαι τούτων. αἴτιον 〈δ'〉 ὅτι μάλιστα ἐκ τῶν κοίλων ἀνάγεται καὶ ἐφύδρων ἡ ἀτμὶς τόπων· ὥστε καθάπερ φορτίον πλεῖον φέρουσαν ἢ καθ' ἑαυτὴν τὴν πρὸς ἡμᾶς, ὕδωρ καὶ χιόνα καὶ χάλαζαν · ὧν δύο μὲν ἀναλογίας ἔχει πρὸς ἄλληλα παρὰ τὸ διὰ τὰς αὐτὰς αἰτίας γίνεσθαι τοῖς κάτω, διαφέροντα τῷ μᾶλλον καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι. Χιόνα γὰρ καὶ πάχνην εἶναι ταὐτόν, καὶ ὑετὸν καὶ δρόσον, ἀλλὰ τὸ μὲν πολύ, τὸ δ' ὀλίγον· τὸν μὲν γὰρ ὑετὸν ἐκ πολλῆς ἀτμίδος γίνεσθαι ψυχομένης, τὴν δὲ δρόσον ἐξ ὀλίγης, ἐφήμερον γὰρ αὐτῆς ὑπάρχειν τὴν σύστασιν. ὁμοίως χιόνα καὶ πάχνην· χιόνα μὲν γὰρ εἶναι πῆξιν νέφους, ἀτμίδος δὲ τὴν πάχνην· διὸ ἢ χώρας ἢ ὥρας ψυχρᾶς σημεῖον γίνεσθαι τὴν χιόνα. Χάλαζαν δὲ κατὰ τοὐναντίον ἐν ταῖς εὐδιεινοτέραις συμβαίνειν χώραις ἢ ὥραις, θέρους γοῦν μάλιστα καὶ μετοπώρου γίνεσθαι, χειμῶνος δ' ὀλιγάκις καὶ ὅταν ἧττον ᾖ ψῦχος· εἶναι δὲ τὴν χάλαζαν τοῦ καταφερομένου πῆξιν ἐκ τῶν νεφῶν ὕδατος. Ἐκ δὲ τῆς ξηρᾶς καὶ καπνώδους πόρρω διατεινούσης καὶ μετεωριζομένης, ὡς καὶ διὰ τοῦτο πολλάκις διὰ τῆς ἐπιφορᾶς τῶν οὐρανίων ἐμπίπρασθαι, τῶν πρότερον εἰρημένων ἕκαστον ἀποτελεῖσθαι. 〈 Arii Didymi epit. (fr. phys. 35 p. 468 Diels.).〉 Χρυσίππο υ . Χρύσιππος ἔφησε τὴν ὁμίχλην νέφος διακεχυμένον, ἢ ἀέρα πάχος ἔχοντα· δρόσον δὲ ἐξ ὁμίχλης καταφερόμενον ὑγρόν· ὑετὸν δὲ φορὰν ὕδατος ἐκ νεφῶν· ὄμβρον δὲ λάβρου ὕδατος καὶ πολλοῦ ἐκ νεφῶν φοράν· χάλαζαν δὲ ὑετοῦ πεπηγότος διάθρυψιν· χιόνα δὲ νέφος πεπηγὸς ἢ νέφους πῆξιν· τὸ δ' ἐπὶ τῆς γῆς πεπηγὸς Ἀρριανο ῦ . Ἀρριανός φησι τὴν ὁμίχλη ν , 〈ὅτι〉 ἡ μὲν πρὸ νέφους ξυνίσταται πρὶν ἐξαναστῆναι, ἐπιπολὺ δὲ ἀπὸ νέφους ἐκχυθέντος καὶ σκεδασθέντος· γίγνεται δὲ ταῦτα, εἰ μὴ κρατήσειεν αὐτῶν ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἥλιος καὶ τὰ ἄλλα ἄστρα ὅσα ἐν οὐρανῷ καὶ αὐτὸς ὁ οὐρανός. Ἀπὸ δὲ νεφελῶν, ὅσαι μὲν μὴ ἄγαν πιληθεῖσαι ξυνέστησαν, ψεκάδες καταφέρονται ἐπὶ γῆν καὶ εἰς ταύτας διαλύονται ὁμίχλαι τε καὶ νεφελῶν ὅσαι μανώτεραι· ὅσαι δὲ ἐπὶ μέγα ξυστᾶσαι εἰς ὕδωρ μετέβαλον, ὑετοὺς ἐκ νεφῶν γεννῶσι. Καὶ ὁμίχλαι μὲν τὸ πολὺ τῇ γῇ ἐφιζάνουσιν, ἅτε δὴ κεχυμένης τε ἔτι καὶ ἀξυστάτου τῆς ἀτμίδος· αἱ νεφέλαι δὲ αἴρονται εἰς τὸ ἄνω, οὐ μὴν ὑπὲρ εἴκοσίν γε ἀπὸ γῆς σταδίους οὐδὲ αὖται ἀναφέρονται. Ὅτι καὶ τῶν ὀρῶν ὅσα ὑπὲρ εἴκοσί γε ἀπὸ γῆς σταδίους ἀνέχει ἐς εὐθὺ (ἔστι δὲ καὶ εὐαρίθμητα ταῦτα ἔν γε τοῖς καθ' ἡμᾶς τόποις) οὔτε ὑόμενα ὤφθη ποτὲ οὔτε καταπνεόμενα, οὐδὲ νεφέλη ὑπὲρ αὐτῶν ἢ καὶ ἐπ' αὐτοῖς ἱζάνουσα. ἀλλὰ τῆς Οἴτης γε ἐπὶ τῇ ἀκρωρείᾳ θύεσθαι ὅσα ἔτη λόγος καὶ Ἡρακλεῖ καὶ Φιλοκτήτῃ εἰς μνήμην τοῦ παλαιοῦ παθήματος καὶ τὴν τέφραν ἐπὶ τῇ πυρκαιᾷ ἐν χώρᾳ μένειν. εἶναι γὰρ τὸν ἄνω ὑπὲρ γῆς ἀέρα λεπτόν τε ἤδη καὶ καθαρὸν καὶ αὐγοειδῆ· καὶ ταῦτα διαφορεῖσθαι τοὺς ἀτμοὺς ὅσοι πορρωτέρω ὑπεραναφέρονται. Ὅση δὲ λεπτὴ ἀτμὶς μὴ ἐπὶ μέγα ἀρθεῖσα ἐσκεδάσθη, ἀλλὰ ψυχθεῖσα κατηνέχθη ἐπὶ γῆν, δρόσος γίγνεται· πρὸς ἡλίου δὲ ἐπικαυθεῖσα ἐρυθαίνεται ἢ μελαίνεται· πρὸς δρόσον, τοῦτο χιὼν πρὸς ὑετόν. Ὅτι καὶ τὸ νέφος ξυνελθὸν μὲν ἄνευ πήξεως εἰς ὑετὸν διακρίνεται, παγὲν δὲ εἰς νιφετὸν ξυνάγεται. Ὅτι πρὶν παντελῶς ἐς ὕδωρ ξυστῆναι τὴν νεφέλην φθάνει παγῆναι ἐς χιόνα, καὶ ἡ χρόα τῆς χιόνος τεκμηριῶσαι παρέχει, λευκή τε γὰρ καὶ αὐγοειδής ἐστιν· ὅτι πρὶν τραπῆναι ἐς ὕδωρ παγεῖσα θρύπτεται, οἷα δὴ οὐ σμικρὰν μοῖραν [οὐ] πνεύματος φωτοειδοῦς ὄντος ξυνεπιλαμβάνουσα· ἔνθεν τε ἀφρῷ ἐς τὰ μάλιστα τὴν χρόαν ἔοικεν, ὅτι καὶ ἐν ἀφρῷ πολύ τι ἔνι πνεύματος· δηλοῦσι δὲ πομφόλυγες αἱ ἐπὶ τῶν ἀφρῶν οἷα δὴ ἐπιζέουσαι. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 59 D. E). Τὸ πυρὶ μεμιγμένον ὕδωρ, ὅσον λεπτὸν ὑγρόν τε διὰ τὴν κίνησιν καὶ τὴν ὁδὸν ἣν κυλινδούμενον ἐπὶ γῆς ὑγρὸν λέγεται, μαλακόν τε αὐτῷ τὰς βάσεις ἧττον ἑδραίας οὔσας ἢ τὰς γῆς ὑπείκειν· τοῦτο ὅταν πυρὸς ἀποχωρισθὲν ἀέρος τε μονωθῇ, γέγονε μὲν ὁμαλώτερον, ξυνέωσται δὲ ὑπὸ τῶν ἐξιόντων εἰς αὐτό, παγέν τε οὕτως τὸ μὲν ὑπὲρ γῆς μάλιστα παθὸν τοιαῦτα χάλαζα, τὸ δ' ἐπὶ γῆς κρύσταλλος· τὸ δὲ ἧττον ἡμιπαγές τε ὂν ἔτι, τὸ μὲν ὑπὲρ γῆς αὖ χιών, τὸ δ' ἐπὶ γῆς ξυμπαγὲν ἐκ δρόσου γενόμενον

1.32 〈 Aetii (III 7, 4 p. 375, 1 Diels.) et Didym i . 〉 Ἀριστοτέλης τῆς ξηρᾶς ἀναθυμιάσεως τὴν πρώτην ἀναφοράν· γίνεσθαι δέ ποτε τῇ ξηρᾷ πρὸς τὴν ὑγρὰν μῖξιν. πνεῦμα μὲν ἐκ πολλῶν συνιουσῶν ἀναθυμιάσεων. — Τὸν γὰρ ἄνεμον μὲν εἶναι ξηρᾶς ἀναδόσεως πλῆθος κινούμενον περὶ γῆν· τοὺς δ' ἐκνεφίας ἀνέμους, ὅταν ἀθρόον καὶ πυκνὸν φερόμενον εἰς ἑαυτὸ τὸ πλέον ἀναλύσῃ τοῦ νέφους τῇ σφοδρότητι τῆς ῥύμης. τὸ γὰρ τάχος τῆς ἐκκρίσεως ποιεῖν τὴν τοῦ πνεύματος ἰσχύν.

1.33 deest.

1.34 deest.

1.35 deest.

1.36 〈 Aetii (III 15, 10 p. 380, 1 Diels.).〉 Πλάτων πάσης κινήσεως ἓξ εἶναι περιστάσεις, ἄνω καὶ κάτω, ἐπὶ δεξιὰ καὶ θάτερα, πρόσθεν καὶ ὄπισθεν. Κατ' οὐδεμίαν 〈δὲ〉 τούτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι, ἐν τῷ πανταχόθεν κατωτάτῳ κειμένην μένειν ἀκίνητον, ἅτε δὴ μηδὲν ἔχουσαν ἐξαίρετον ἐς τὸ ῥέψαι μᾶλλον· τόπους δὲ αὐτῆς κατὰ ἀραιότητα σαλεύεσθαι. 〈 Arii Didymi epit. (fr. phys. 13 p. 453 Diels.).〉 Ἀριστοτέλους ς . Ἀριστοτέλης φησὶ σεισμοὺς γίνεσθαι καὶ μυκήματα καὶ χάσματα τῆς ξηρᾶς ἀναθυμιάσεως εἰς τὰς ἀραιότητας κατὰ τῆς γῆς ῥυείσης καὶ κατὰ τὰς ἀθρόας ἐμπτώσεις τρόμους καὶ βρασμοὺς περὶ αὐτὴν ἀπεργαζομένης. Ὡς γὰρ ὁρμήσασαν ἔξω τὴν ἀναθυμίασιν ἄνεμον ποιεῖν σφοδρόν, οὕτως εἴσω καθειρχθεῖσαν τῇ ῥύμῃ τῆς φορᾶς διακραδαίνειν τοὺς τόπους, ἐν οἷς ἂν ἀποληφθῇ. Συνέχεσθαι 〈δὲ〉 τὴν δύναμιν ταύτην ἐν τῇ γῇ διά τε πύκνωσιν τῆς ἐπιφανείας καὶ διὰ κατάψυξιν καὶ διὰ ξηρασίαν. Ὅθεν καὶ

νηνεμίας οὔσης ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι τοὺς σεισμοὺς τῆς τῶν ἀνέμων ὁρμῆς εἴσω τραπείσης· καὶ νυκτὸς μᾶλλον διὰ τὴν ψῦξιν καὶ περὶ τὸν πρὸς τὴν γῆν ἀποστρέφειν 〈τὸ〉 κατὰ τὴν ἀναθυμίασιν ἀνιὸν πνεῦμα· καὶ τῆς ἡμέρας ἔστιν ὅτε περὶ μεσημβρίαν. τὸν γὰρ ἥλιον τῆς ἀναθυμιάσεως ἐπικρατοῦντα κατακλείειν αὐτὴν εἰς τὴν γῆν· καὶ ἔαρος καὶ μετοπώρου μᾶλλον (ἀνωμάλους γὰρ ταύτας εἶναι τὰς ὥρας· τὸ γὰρ θέρος καὶ τὸν χειμῶνα, τὸ μὲν διὰ τὸν πάγον, τὸ δὲ διὰ τὴν ἀλέαν ἀκίνητον ποιεῖν τὸν ἀέρα διὰ τὸ τὸ μὲν ἄγαν εἶναι ξηρόν, τὸν δὲ ἄγαν ψυχρόν)· καὶ ἐν τοῖς αὐχμοῖς, ὅτε μάλιστα πνευματώδης ὁ ἀήρ· τοῦτο γὰρ εἶναι τὸν αὐχμόν, ξηρᾶς πλῆθος ἀναθυμιάσεως. Ἀπελαυνομένης οὖν τῆς ἀτμίδος εἰς τὴν γῆν καὶ καθειργνυμένης σφυγμὸν γίγνεσθαι περὶ αὐτὴν καὶ τρόμον, καὶ ἐν ταῖς ἐπομβρίαις ἐπιφραττομένης ὑπὸ τῶν ὑγρῶν καὶ τοῦ ψυχροῦ τῆς γῆς καὶ τῆς ἐντὸς ἀναθυμιάσεως αὐξομένης ὑπὸ τῶν ὑετῶν καὶ πυκνουμένης, ὥστε κατὰ τὴν πρόσπτωσιν ἰσχυρῶς κινεῖν καὶ σείειν, καὶ ἐν τοῖς ὑπάντρους καὶ σομφοὺς ἔχουσι τοὺς κάτω τόπους ἢ καὶ παρακειμένην ῥοώδη θάλατταν διὰ τὸ θύραθεν πλεῖον ὑποδέχεσθαι πνεῦμα καὶ διὰ τὸ τὴν θάλατταν προσπίπτουσαν ἀπωθεῖν εἰς τὴν γῆν τὸ πεφυκὸς ἀπ’ αὐτῆς ἀποπνεῖν πνεῦμα καὶ σκεδάννυσθαι· περὶ γοῦν τὴν Πελοπόννησον καὶ τὴν Ἀχαιίαν καὶ τῆς Εὐβοίας τὰς κοιλάδας πολλοὺς καὶ μεγάλους γίνεσθαι σεισμούς. Ὡς γὰρ ὑφ’ ἡμῶν πολλάκις τὸ διαπνεόμενον ἔξω πνεῦμα παλινδρομῆσαν εἴσω παλμὸν παρέχει καὶ σφυγμὸν ἐν τοῖς σώμασιν, οὕτω τὸ περιληφθὲν ἐν τῇ γῇ κατὰ τὴν κίνησιν κλονούμενον περὶ τοὺς πόρους καὶ διεγκοπτόμενον σπαδρομεῖ παρατριβόμενον μηδ’ ἐξιόν. Τά τε χάσματα μετὰ σεισμῶν. ἤδη γοῦν τινας σεισμοὺς μὴ πρότερον λῆξαι, πρὶν ἢ διαρραγῆναι τοὺς τόπους, ἐν οἷς ἐγένοντο, βιασαμένου τοῦ περιληφθέντος πνεύματος περὶ τὴν ἔξοδον ὥσπερ ἐκνεφίου τινὸς ἀνέμου, καθάπερ καὶ τὸν περὶ τὴν Ποντικὴν Ἡράκλειαν καὶ τὸν ἔτι πρότερον γενόμενον περὶ τὴν ἱερὰν καλουμένην Αἰόλου νῆσον· ἐν ταύταις γὰρ ὑπὸ σεισμῶν οἰδήματα τῆς γῆς γενέσθαι μεγάλα, καὶ ταῦτα διαρραγέντα πολὺν ἄνεμον ἐκπεφυσηκέναι καὶ φέψαλον, ὥστε κατατεφρῶσαι πλησίον οὖσαν τὴν τῶν Λιπαραίων πόλιν. Τὰς δὲ ποντίους λεγομένας νήσους ἧττον σείεσθαι τῶν προσγείων διὰ τὸ καταψύχεσθαι τῷ πλήθει τῆς θαλάττης τὴν ἀπὸ τῆς γῆς ἀναθυμίασιν. Τεκμήριον δ’ εἶναι τοῦ ῥεῖν ὑπὸ τὴν γῆν τὸ πνεῦμα, πρῶτον μὲν ἀπὸ τοῦ ἐν οἷς γίνεται προσημαίνειν ἠχοῦντος, εἶτα τὸ περὶ τὸν ἥλιον πάθος· ἀμαυρότερον γὰρ καὶ ἀχλυώδη φαίνεσθαι χωρὶς νέφους, ὑπονοστεῖν ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν τοῦ λεπτύνοντος τὸν ἀέρα καὶ διακρίνοντος. πρός τε τούτοις τὸ πρὸ τῶν ὀρθρίων σεισμῶν νηνεμίαν γίνεσθαι καὶ ψῦχος· τὴν μὲν γὰρ ξυμβαίνειν διὰ τὴν εἴσω τῶν ἀνέμων μετάρροιαν, τὸ δὲ διὰ τὴν τῆς θερμῆς ἀναθυμιάσεως ἀπουσίαν. Καὶ περὶ μὲν σεισμῶν καὶ τῶν ἄλλων τῶν περὶ τὴν γῆν παθημάτων ἐπὶ

1.37 deest.

1.38 〈 Aetii (III 17, 1—9 p. 382, 3 Diels.).〉 Ἀριστοτέλης καὶ Ἡρακλείδης ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ περιφέροντος· ὑφ’ ὧν ἐμβαλλόντων μὲν προωθουμένην ἀνοιδεῖν τὴν Ἀτλαντικὴν θάλασσαν καὶ κατασκευάζειν τὴν πλήμμυραν, καταληγόντων δ’ ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν. 〈Εὐ〉 ήνιος [Μεσήνιο ς] ἡλίῳ καὐτὸς τὴν αἰτίαν ἀνατίθησι, καθ’ οὓς μὲν ἂν τόπους γένηται τῆς γῆς πλημμύροντι τὰ πελάγη, ἐξ ὧν δ’ ἂν τύχῃ παραποστὰς ὑποσυνέλκοντι. ταῦτα δὲ συμβαίνειν περὶ τὰς ἑῴας καὶ τὰς μεσημβρινὰς ἐκκλίσεις. Πυθέας ὁ Μασσαλιώτης τῇ πληρώσει τῆς σελή- Ποσειδώνιος ὑπὸ μὲν τῆς σελήνης κινεῖσθαι τοὺς ἀνέμους, ὑπὸ δὲ τούτων τὰ πελάγη, ἐν οἷς τὰ προειρημένα γίνεσθαι πάθη. Πλάτων ἐπὶ τὴν αἰώραν φέρεται τῶν ὑδάτων. εἶναι γάρ τινα φυσικὴν αἰώραν διά τινος ἐγγείου τρήματος περιφέρουσαν τὴν παλίρροιαν, ὑφ’ ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη. Τίμαιος ὁ Ταυρομενίτης τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται προωθοῦντας μὲν ταῖς ἐφόδοις, ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις. Κράτης ὁ

γραμματικὸς τὸν ἀντισπασμὸν τῆς θαλάσσης αἰτιᾶται. Ἀπολλόδωρος ὁ Κερκυραῖος τὰς ἐκ τοῦ ὠκεανοῦ παλιρροίας. Σέλευκος ὁ μαθηματικὸς ἀντιγεγραφὼς Κράτητι, κινῶν καὐτὸς τὴν γῆν, ἀντικόπτειν αὐτῆς τῷ δίνῳ φησὶ τὴν περιστροφὴν τῆς σελήνης· τοῦ δὲ μεταξὺ ἀμφοτέρων τῶν σωμάτων ἀντιπερισπωμένου πνεύματος καὶ ἐμπίπτοντος εἰς τὸ Ἀτλαντικὸν πέλαγος κατὰ λόγον οὕτω συγκυμαίνεσθαι τὴν θάλασσαν.

1.39 〈 Arii Didymi epit. (fr. phys. fr. 14 a Add. p. 854 Diels.).〉 Ἀριστοτέλους ς . Τὰς δὲ τῶν ὑδάτων δυνάμεις καὶ τοὺς χυλοὺς καὶ τὰς ἄλλας πάσας ποιότητας, ὡς εἰπεῖν τὴν τῆς γῆς διαφοράν· (ἐν οἵᾳ γὰρ ἂν ἕκαστον ᾖ καὶ δι’ οἵας ἂν ῥέῃ, τοιοῦτον ἴσχειν τὸν χυλόν, οἷον ἁλυκὸν ἢ νιτρῶδες ἢ πικρὸν ἢ τῶν ἄλλων ὁποιονοῦν·) ἢ παρὰ τὴν τῆς καπνώδους καὶ πυρώδους ἀναθυμιάσεως μῖξιν· (ἀπολίθωσιν γὰρ καὶ πῆξιν ἁλῶν καὶ νίτρων, ἔτι τε βαρύτητας καὶ κουφότητας καὶ παχύτητας καὶ λεπτότητας καὶ τὰς ἄλλας δυνάμεις ἀπεργάζεσθαι τὴν τοῦ θερμοῦ καὶ καπνώδους μῖξιν·) ἢ παρὰ τὸν ἀέρα. θερμότητας δὲ καὶ ψυχρότητας καὶ παρὰ τὴν γῆν [μὲν] γίνεσθαι, δι’ οἵας ἂν ῥέῃ καὶ ἐν οἵᾳ 〈ἂν〉 γίνηται. Θερμὰ μὲν γὰρ τὴν κατακεκαυμένην καὶ τὴν ξηρὰν καὶ τὴν ἀσφαλτώδη ποιεῖν· ψυχρὰ δ’, ὡς μὲν ἁπλῶς εἰπεῖν, 〈εἶναι τὰ ἐν〉 τοῖς ναματιαίοις, ὡς δὲ καθ’ ἕκαστα, τὰ κατὰ βάθους [ὡς ἐπίπαν], ὥσπερ καὶ τὰ ἐν τοῖς μετάλλοις (πόρρω γὰρ τοῦ ἡλίου), πλὴν ἐὰν πυρώδης ὁ τόπος ᾖ· (δεῖ γὰρ ἀφεστάναι τῶν θερμῶν, τοῦ τ’ ἐν τῷ ἀέρι καὶ τοῦ ἐν τῇ γῇ)· καὶ τὰ ἐν τοῖς ὑψηλοῖς διά τε τὰ πνεύματα καὶ μάλιστα διὰ τὴν τοῦ ἀέρος ψυχρότητα· καὶ 〈τὰ〉 ἐν τοῖς συσκίοις καὶ πνευματώδεσι (ψύχεται γὰρ ὑπ’ ἀμφοτέρων, διὸ καὶ κοπέντων δένδρων ἔνια θερμὰ γίνεσθαι)· καὶ τὰ διαπνοὰς ἔχοντα φαραγγώδεις καὶ ὑπάντρους (τὸ γὰρ πνεῦμα διαυλωνίζον ταύτῃ ψύχει, καθάπερ ἐν τοῖς ἀφ’ ἑτέρων. Συμβαίνει δ’ οὖν καὶ ἐκ τοῦ λόγου τούτου μὴ εἶναι τοῦ ὕδατος καθ’ ἑαυτὸ διαφοράν, ἀλλὰ ταῖς ἄλλων δυνάμεσι διαφέρειν, εἴπερ τὰ μὲν τὴν γῆν, τὰ δὲ τὸ πῦρ, τὰ δὲ τὸν ἀέρα ποιεῖν συμβέβηκεν.

1.40 Ἐκ τῆς Ἀριστοτέλους πρὸς Ἀλέξανδρον ἐπιστολῆς (de mundo c. 2—5). 〈c. 2〉 Κόσμος μὲν οὖν ἐστι σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. Λέγεται δὲ καὶ ὁ κόσμος ἑτέρως, ἡ τῶν ὅλων τάξις τε καὶ διακόσμησις ὑπὸ θεοῦ τε καὶ διὰ θεῶν φυλαττομένη. Ταύτης δὲ τὸ μὲν μέσον [καὶ] ἀκίνητόν τε καὶ ἑδραῖον 〈ἡ〉 φερέσβιος εἴληχε γῆ, παντοδαπῶν ζῴων δεσπόζουσα καὶ μήτηρ· τὸ δὲ ὕπερθεν αὐτῆς πᾶν τε καὶ πάντῃ πεπερατωμένον· εἰς τὸ ἄνω τὸ τῶν θεῶν οἰκητήριον οὐρανὸς ὠνόμασται· πλήρης δ’ ὢν σωμάτων θείων, ἃ δὴ καλεῖν ειδοῦς ὄντος καὶ κινουμένου, καθάπερ εἶπον, ἐνδελεχῶς, δύο ἐξ ἀνάγκης ἀκίνητά ἐστι σημεῖα καταντικρὺ ἀλλήλοις, καθάπερ τόρνῳ κυκλοφορουμένης σφαίρας, παραμένοντα καὶ συνέχοντα τὴν σφαῖραν, περὶ ἃ ὁ πᾶς ὄγκος κύκλῳ στρέφεται. Καλοῦνται δὲ οὗτοι πόλοι, δι’ ὧν εἰ νοήσαιμεν ἐπεζευγμένην εὐθεῖαν, ἥντιν’ ἄξονα καλοῦσι, διάμετρος ἔσται τοῦ κόσμου, μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρατα. Τῶν δ’ ἀκινήτων πόλων τούτων ὁ μὲν ἀεὶ φανερός ἐστιν, ὑπὲρ κορυφὴν ὢν κατὰ 〈τὸ〉 βόρειον κλῖμα, ἀρκτικὸς καλούμενος, 〈ὁ δὲ ὑπὸ γῆν ἀεὶ κατακέκρυπται, κατὰ τὸ νότιον, ἀνταρκτικὸς καλούμενος.〉 Οὐρανοῦ δὲ καὶ ἄστρων οὐσίαν μὲν αἰθέρα 〈καλοῦμεν〉, οὐχ, ὥς τινες, διὰ τὸ πυρώδη οὖσαν αἴθεσθαι, πλημμελοῦντες περὶ τὴν πλεῖστον πυρὸς ἀπηλλαγμένην δύναμιν, ἀλλὰ διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην, στοιχεῖον οὖσαν ἕτερον τῶν τεττάρων ἀκήρατόν τε καὶ θεῖον. Τῶν γε μὴν ἐμπεριεχομένων ἄστρων τὰ μὲν ἀπλανῶς τῷ σύμπαντι οὐρανῷ συμπεριφέρεται τὰς αὐτὰς ἕδρας ἔχοντα· μέσος δὲ ὁ ζῳοφόρος καλούμενος κύκλος ἐγκάρσιος ὢν διὰ τῶν τροπικῶν διέζωσται, κατὰ μέρη διῃρημένος εἰς δώδεκα ζῳδίων χώρας· τὰ δὲ πλανητὰ ὄντα οὔτε τοῖς προτέροις ὁμοταχῶς κινεῖσθαι πέφυκεν οὔτε [ἐν] ἀλλήλοις, μιᾶς κινουμένων ἐπιφανείας τῆς τοῦ παντὸς οὐρανοῦ· τὸ δὲ τῶν πλανητῶν εἰς ἑπτὰ μέρη κεφαλαιούμενον ἐν τοσούτοις ἐστὶ κύκλοις ἐφεξῆς κειμένοις, ὥστ’ ἀεὶ τὸν ἀνώτερον μείζω τοῦ ὑποκάτω εἶναι, τοὺς δὲ ἑπτὰ ἀλλήλοις περιέχεσθαι· πάντας γε μὴν ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας περιειλῆφθαι. συνεχῆ δὲ

ἀεὶ τὴν θέσιν ταύτην εἶναι μέχρις οὗ αἰθὴρ ὁρίζεται, τὰ θεῖα ἐμπεριέχων σώματα καὶ τὴν τῆς κινήσεως τάξιν. Μετὰ δὲ τὴν αἰθέριον καὶ θείαν φύσιν, ἥντινα τεταγμένην ἀποφαίνομεν, ἔτι δὲ ἄτρεπτον καὶ ἀναλλοίωτον καὶ ἀπαθῆ, συνεχής ἐστιν ἡ δι' ὅλων παθητή τε καὶ τρεπτή, καὶ τὸ σύμπαν εἰπεῖν, φθαρτή τε καὶ ἐπίκηρος. Ταύτης δὲ αὐτῆς πρώτη ἐστὶν ἡ λεπτομερὴς καὶ φλογώδης οὐσία, ὑπὸ τῆς αἰθερίου πυρουμένη διὰ τὸ μέγεθος αὐτῆς καὶ τὴν ὀξύτητα τῆς κινήσεως· ἐν δὲ τῇ πυρώδει καὶ τῇ ἀτάκτῳ λεγομένῃ τὰ σέλα διάττει καὶ φλόγες ἀκοντίζονται καὶ δοκίδες τε καὶ βόθυνοι καὶ κομῆται λεγόμενοι στηρίζονταί τε καὶ σβέννυνται πολλάκις. Ἐξῆς δὲ ταύτης ὁ ἀὴρ ὑποκέχυται, ζοφερὸς ὢν καὶ παγετώδης τὴν φύσιν, ὑπὸ 〈δ'〉 ἐκείνης λαμπόμενος ἅμα καὶ καιόμενος λαμπρότερός τε γίνεται καὶ ἀλεεινός. Ἐν δὲ τούτῳ τῆς παθητῆς ὄντι καὶ αὐτῷ δυνάμεως 〈καὶ〉 παντοδαπῶς 〈c. 3〉 Ἐξῆς δὲ τῆς ἀερίου φύσεως γῆ τε καὶ θάλασσα ἐρήρεισται, φυτοῖς τε βρύουσα καὶ ζῴοις, πηγαῖς τε καὶ ποταμοῖς τοῖς μὲν ἀνὰ γῆν ἐλιττομένοις, τοῖς δὲ ἀνερευγομένοις εἰς θάλατταν. Πεποίκιλται δὲ χλόαις μυρίαις, ὄρεσί τε ὑψηλοῖς, βαθυξύλοις τε δρυμοῖς καὶ πόλεσιν, ἃς τὸ σοφὸν ζῷον ἄνθρωπος ἱδρύσατο, νήσοις τε ἐναλίοις. Τὴν μὲν οὖν οἰκουμένην ὁ πολὺς λόγος εἴς τε νήσους καὶ ἠπείρους διεῖλεν, ἀγνοῶν ὅτι καὶ ἡ σύμπασα μία νῆσός ἐστιν, ὑπὸ τῆς Ἀτλαντικῆς καλουμένης θαλάσσης περιρρεομένη· πολλὰς δὲ καὶ ἄλλας 〈εἰκὸσ〉 τῇδε ἀντιπόρθμους ἀπῳκίσθαι, τὰς μὲν μείζους αὐτῆς, τὰς δὲ ἐλάττους, ἡμῖν δὲ πάσας πλὴν τῆσδε ἀοράτους. Ὅπερ γὰρ αἱ παρ' ἡμῖν νῆσοι πρὸς ταῦτα τὰ πελάγη πεπόνθασι, τοῦτο ἥδε ἡ οἰκουμένη πολλαί τε ἕτεραι πρὸς σύμπασαν τὴν θάλατταν. Καὶ αὗται μὲν μεγάλαι τινές εἰσι νῆσοι μεγάλοις περικλυζόμεναι πελάγεσιν. Ἡ δὲ σύμπασα τοῦ ὑγροῦ φύσις ἐπιπολάζουσα κατὰ τὰς τοῦ ὑγροῦ ποιότητας καὶ τὰ κοιλώματα, τὰς καλουμένας ἀναπεφυκυῖα οἰκουμένας, ἐξῆς ἂν εἴη τῆς ἀερίου μάλιστα φύσεως. Μετὰ δὲ ταῦτα ἐν τοῖς βυθοῖς κατὰ τὸ μεσαίτατον τοῦ κόσμου ἐρηρεισμένη 〈γῆ πᾶσα καὶ πεπιεσμένη〉 συνέστηκεν ἀκίνητος καὶ ἀσάλευτος· καὶ τοῦτ' ἔστι τοῦ κόσμου τὸ πᾶν ὃ καλοῦμεν κάτω. Πέντε δὲ στοιχεῖα ταῦτα, ἐν πέντε χώραις σφαιρικῶς 〈ἐγκείμενα, περιεχομένης ἀεὶ τῆς ἐλάττονος τῇ μείζονι〉 (λέγω δὲ γῆς μὲν ἐν ὕδατι, ὕδατος δὲ ἐν ἀέρι, ἀέρος δὲ ἐν πυρί, πυρὸς δὲ ἐν αἰθέρι) τὸν ὅλον κόσμον συνεστήσατο· καὶ τὸ μὲν ἄνω πᾶν θεῶν ἀπέδειξεν οἰκητήριον, τὸ κάτω δὲ ἐφημέρων ζῴων. Αὐτοῦ γε μὴν τούτου τὸ μὲν ὑγρόν ἐστιν, ὃ καλεῖν ποταμοὺς καὶ νάματα καὶ θαλάσσας εἰθίσμεθα, τὸ δὲ ξηρόν, ὃ γῆν τε καὶ ἠπείρους καὶ νήσους ὀνομάζομεν. Τῶν δὲ νήσων αἳ μέν εἰσι μεγάλαι, καθάπερ σύμπασα ἡ οἰκουμένη λέλεκται πολλαί τε ἕτεραι μεγάλοις περιρρεόμεναι πελάγεσιν, αἳ δὲ ἐλάττους, φανεραὶ δὲ ἡμῖν καὶ ἐντὸς οὖσαι. Καὶ τούτων αἳ μὲν ἀξιόλογοι, Σικελία τε καὶ Εὔβοια καὶ Κύπρος, Σαρδὼ 〈καὶ〉 Κύρνος, Κρήτη τε [καὶ Πελοπόννησος] καὶ Λέσβος· αἳ δὲ ὑποδεέστεραι, ὧν αἳ μὲν Σποράδες 〈καὶ〉 Κυκλάδες, αἳ δὲ ἄλλως ὀνομάζονται. Πέλαγος δὲ τὸ μὲν ἔξω τῆς οἰκουμένης Ἀτλαντικόν τε καὶ Ὠκεανὸς καλεῖται, περιρρέων ἡμᾶς· ἐντὸς δὲ πρὸς δύσεις στενοπόρῳ διανεῳγὼς στόματι, ταῖς Ἡρακλείοις λεγομέναις στήλαις, τὸν εἴσρουν εἰς τὴν ἔσω θάλασσαν ὡς ἂν εἰς λιμένα ποιεῖται· κατὰ μικρὸν δὲ ἐπιπλατυνόμενος ἀναχεῖται, μεγάλους περιλαμβάνων κόλπους ἀλλήλων δεξιᾷ εἰσπλέοντι τὰς Ἡρακλείους στήλας διχῶς εἰς τὰς καλουμένας Σύρτεις, ὧν τὴν μὲν μεγάλην, τὴν δὲ μικρὰν καλοῦσιν· ἐπὶ θάτερα δὲ οὐκέθ' ὁμοίως ἀποκολπούμενος τρία ποιεῖ πελάγη, τό τε Σαρδονικὸν καὶ τὸ Γαλατικὸν λεγόμενον καὶ Ἀδρίαν, ἐξῆς δὲ τούτων ἐγκάρσιον τὸ Σικελικόν, μετὰ δὲ τοῦτο τὸ Κρητικόν, συνεχὲς 〈δ'〉 αὐτοῦ τῇ μὲν τὸ Αἰγύπτιον καὶ Παμφύλιον καὶ Σύριον, τῇ δὲ τὸ Αἰγαῖόν τε καὶ Μυρτῷον. Ἀντιπαρήκει δὲ τοῖς εἰρημένοις πολυμερέστατος [δὲ] ὢν Πόντος, οὗ τὸ μὲν μυχαίτατον Μαιῶτις καλεῖται, τὸ δὲ ἔξω πρὸς τὸν Ἑλλήσποντον συνεστόμωται τῇ καλουμένῃ Προποντίδι. Πρός γε μὴν ταῖς ἀνασχέσεσι τοῦ ἡλίου πάλιν εἰσρέων ὁ Ὠκεανός, τὸν Ἰνδικόν τε καὶ Περσικὸν διανοίξας κόλπον, ἀναφαίνει τὴν Ἐρυθρὰν θάλασσαν διειληφώς. Ἐπὶ θάτερον δὲ κέρας καταστενοῦται καὶ ἐπιμήκη διιὼν εἰς αὐχένα πάλιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνευρύνεται, τὴν Ὑρκανίαν τε καὶ Κασπίαν ὁρίζων· τὸ δὲ ὑπὲρ ταύτην βαθὺν ἔχει τὸν ὑπὲρ τὴν Μαιῶτιν λίμνην τόπον. Εἶτα κατ᾽ ὀλίγον τι ὑπὲρ τοὺς Σκύθας τε καὶ Κελτικὴν σφίγγει τὴν οἰκουμένην, πρός τε τὸν Γαλατικὸν καλούμενον κόλπον καὶ τὰς προειρημένας στήλας Ἡρακλείους, ὧν ἔξω περιρρεῖ τὴν γῆν ὁ Ὠκεανός. Ἐν τούτῳ γε μὴν νῆσοι μεγάλαι τυγχάνουσιν, αἵ [τε] δύο Βρετανικαὶ λεγόμ Φοβέα [Εὔβοια] καλουμένη, κατὰ τὸν Ἀράβιον κειμένη κόλπον. Οὐκ ὀλίγαι τε ἄλλαι μικραὶ περὶ τὰς Βρετανικὰς καὶ τὴν Ἰβηρίαν κύκλῳ περιεστεφάνωνται τὴν οἰκουμένην ταύτην, ἣν δὴ νῆσον εἰρήκαμεν. ἧς πλάτος μὲν κατὰ τὸ βαθύτατον τῆς ἠπείρου βραχὺ ἀποδέον τετρακισμυρίων σταδίων φασὶν οἱ εὖ γεωγραφήσαντες, μῆκος δὲ περὶ ἑπτακισμυρίους μάλιστα. διαιρεῖται δὲ εἵς τε Εὐρώπην καὶ Ἀσίαν καὶ Λιβύην. Εὐρώπη μὲν οὖν ἐστιν ἧς ὅρος κύκλῳ στῆλαί τε Ἡρακλέους καὶ μυχοὶ Πόντου, θάλαττά τε [καὶ] Ὑρκανία, καθ᾽ ἣν στενώτατος ἰσθμὸς εἰς τὸν πόντον διήκει· τινὲς δὲ ἀντὶ τοῦ ἰσθμοῦ Τάναιν ποταμὸν εἰρήκασιν. Ἀσία δ᾽ ἐστὶ τὸ ἀπὸ τοῦ εἰρημένου ἰσθμοῦ τοῦ τε Πόντου καὶ τῆς Ὑρκανίας θαλάττης μέχρι θατέρου ἰσθμοῦ, ὃς μεταξὺ κεῖται τοῦ τε Ἀραβικοῦ κόλπου καὶ τῆς ἔσω θαλάττης, περιεσχημένος ὑπό τε ταύτης καὶ τοῦ πέριξ ὠκεανοῦ· τινὲς δὲ ἀπὸ Τανάιδος μέχρι Νείλου τίθενται ὅρον. Λιβύη δὲ τὸ ἀπὸ τοῦ Ἀραβικοῦ ἰσθμοῦ ἕως Ἡρακλείων στηλῶν· οἳ δὲ ἀπὸ τοῦ Νείλου φασὶν ἕως ἐκείνων. Τὴν δὲ Αἴγυπτον ὑπὸ τῶν τοῦ Νείλου στομάτων περιχεομένην οἳ μὲν τῇ Ἀσίᾳ, οἳ δὲ τῇ Λιβύῃ προσάπτουσι· καὶ τὰς νήσους οἳ μὲν ἐξαιρέτους ποιοῦσιν, οἳ δὲ [ἀεὶ] προσνέμουσιν ἀεὶ ταῖς γείτοσι μοίραις. Γῆς μὲν δὴ καὶ θαλάττης φύσιν καὶ θέσιν, ἣν καλεῖν εἰώθαμεν οἰκουμένην, τοιάνδε πῃ ἱστορήκαμεν. [c. 4] Περὶ δὲ τῶν ἀξιολογωτάτων ἐν αὐτῇ καὶ ὑπὲρ αὐτῆς παθῶν νῦν λέγωμεν, αὐτὰ τὰ ἀναγκαῖα ἀνακεφαλαιούμενοι. Δύο γὰρ δή τινες ἀναθυμιάσεις ἀπ᾽ αὐτῆς ἀναφέρονται συνεχῶς εἰς τὸν ὑπὲρ ἡμᾶς ἀέρα λεπτομερεῖς καὶ ἀόρατοι παντάπασιν, ἔκ τε τῶν κατὰ τὰς ᾐόνας τόπων ἔκ τε ποταμῶν τε καὶ ναμάτων ἀναφερόμεναι θεωροῦνται. Τούτων δ᾽ ἡ μέν ἐστι ξηρὰ καὶ καπνώδης, ἀπὸ τῆς γῆς ἀπορρέουσα· ἡ δὲ νοτερὰ καὶ ἀτμώδης, [καὶ] ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιωμένη φύσεως. Γίγνονται δὲ ἀπὸ μὲν ταύτης ὁμίχλαι καὶ δρόσοι καὶ πάγων ἰδέαι, νέφη τε καὶ ὄμβροι καὶ χιόνες καὶ χάλαζαι· ἀπὸ δὲ τῆς ξηρᾶς ἄνεμοί τε καὶ πνεύματα διάφορα, βρονταί τε καὶ ἀστραπαὶ καὶ πρηστῆρες καὶ κεραυνοὶ καὶ τὰ ἄλλα, ἃ δὴ τούτοις ἐστὶ σύμφυλα. Ἔστι δὲ ὁμίχλη μὲν ἀτμώδης ἀναθυμίασις ἄγονος ὕδατος, ἀέρος μὲν παχυτέρα, νέφους δὲ ἀραιοτέρα· γίνεται δὲ ἤτοι ἐξ ἀρχῆς νέφους ἢ ἐξ ὑπολείμματος. Ἀντίπαλος δὲ αὐτῇ λέγεταί τε καὶ ἔστιν αἰθρία, οὐδὲν ἄλλο οὖσα πλὴν ἀὴρ ἀνέφελός τε καὶ ἀνόμιχλος. Δρόσος δ᾽ ἐστὶν ὑγρὸν ἐξ αἰθρίας κατὰ σύστασιν λεπτὴν φερόμενον, κρύἐστὶν ** ἡμιπαγὴς δρόσος· νέφος δ᾽ ἐστὶν 〈πάχοσ〉 ἀτμῶδες συνεστραμμένον γόνιμον ὕδατος· ὄμβρος δὲ γίνεται μὲν κατ᾽ ἐκπιασμὸν νέφους εὖ μάλα πεπαχυμμένου· διαφορὰς δὲ ἴσχει ὅσας καὶ ἡ τοῦ νέφους ἀπόθλιψις· ἠπία μὲν γὰρ οὖσα μαλακὰς ψεκάδας διασπείρει, σφοδρὰ δὲ ἀδροτέρας· καὶ τοῦτο καλοῦμεν ὄμβρον ὑετοῦ μείζονα καὶ συνεχῆ συστρέμματα ἐπὶ γῆς φερόμενα. Χιὼν δὲ γίνεται κατὰ νεφῶν πεπυκνωμένων ἀπόθραυσιν πρὸ τῆς εἰς ὕδωρ μεταβολῆς ἀνακοπέντων· ἐργάζεται δὲ ἡ μὲν κοπὴ τὸ ἀφρῶδές τε καὶ ἔκλευκον, ἡ δὲ σύμπηξις τοῦ ἐνόντος ὑγροῦ τὴν ψυχρότητα οὔπω χυθέντος οὐδὲ ἠραιωμένου. Σφοδρὰ δ᾽ αὕτη καὶ ἀθρόα καταφερομένη νιφετὸς ὠνόμασται. Χάλαζα δὲ γίνεται νιφετοῦ συστραφέντος καὶ βρῖθος ἐκ πιλήματος εἰς καταφορὰν ταχυτέραν λαβόντος· παρὰ δὲ τὰ μεγέθη τῶν ἀπορρηγνυμένων θραυσμάτων οἵ τε ὄγκοι μείζους αἵ τε φοραὶ γίνονται βιαιότεραι. Ταῦτα μὲν οὖν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως πέφυκε συμπίπτειν. Ἐκ δὲ τῆς ξηρᾶς ὑπὸ ψύχους μὲν ὠσθείσης ὥστε ῥεῖν ἄνεμος ἐγένετο· οὐδὲν γάρ ἐστιν οὗτος πλὴν ἀὴρ ῥέων πολὺς καὶ ἀθρόος, ὅστις ἅμα καὶ πνεῦμα λέγεται. Καλεῖται δὲ πνεῦμα καὶ ἑτέρως ἥ τε ἐν φυτοῖς καὶ ζῴοις καὶ διὰ πάντων διήκουσα ἔμψυχός τε καὶ γόνιμος οὐσία, περὶ ἧς νῦν λέγειν οὐκ ἀναγκαῖον. Τὰ δὲ ἐν ἀέρι πνέοντα πνεύματα καλοῦμεν ἀνέμους, αὔρας δὲ τὰς ἐξ ὑγροῦ

φερομένας ἐκπνοάς. Τῶν δὲ ἀνέμων οἱ μὲν ἐκ νενοτισμένης γῆς ῥέοντες ἀπόγειοι λέγονται, οἱ δὲ ἐκ κόλπων οἱ μὲν ἀπὸ ἀνατολῆς συνεχεῖς εὖροι κέκληνται, βορέαι δὲ οἱ ἀπὸ ἄρκτου· ζέφυροι δὲ οἱ ἀπὸ δυσμῶν· νότοι δὲ 〈οἱ〉 ἀπὸ μεσημβρίας. Τῶν γε μὴν εὔρων Ἀπαρκτίας μὲν λέγεται 〈ὁ〉 ἀπὸ τοῦ περὶ τὰς θερινὰς ἀνατολὰς τόπου ῥέων ἄνεμος, Ἀπηλιώτης δὲ 〈ὁ ἀπὸ τοῦ περὶ τὰς ἰσημερινάς, Εὖρος δὲ ὁ〉 ἀπὸ τοῦ περὶ τὰς χειμερινάς. Καὶ τῶν ἐναντίων ζεφύρων Ἀργέστης μὲν ὁ ἀπὸ τῆς θερινῆς δύσεως, ὄντινα καλοῦσιν οἱ μὲν Ὀλυμπίαν, οἱ δὲ Ἰάπυγα, Ζέφυρος δὲ 〈ὁ〉 ἀπὸ τῆς ἰσημερινῆς, 〈Λὶψ δὲ ὁ ἀπὸ τῆς χειμερινῆσ〉. Καὶ τῶν βορείων ἰδίως ὁ μὲν [τῶν] ἑξῆς τῷ Καικίᾳ καλεῖται Βορέας, [δὲ καὶ] Ἀπαρκτίας δὲ ὁ ἐφεξῆς [αὐτῶν καθεξῆς] ἀπὸ τοῦ πόλου κατὰ τὸ μεσημβρινόν, Θρασκίας δὲ ὁ ἑξῆς τῷ Ἀργέστῃ, ὃν ἔνιοι Καικίαν καλοῦσι. Καὶ τῶν [μὲν] νότων ὁ μὲν ἀπὸ τοῦ ἀφανοῦς πόλου φερόμενος, ἀντίπαλος τῷ Ἀπαρκτίᾳ, καλεῖται Νότος· Εὐρόνοτος δὲ ὁ μεταξὺ τούτου καὶ Εὔρου. Τὸν δὲ ἐπὶ θάτερα μεταξὺ Λιβός τε καὶ Νότου οἳ μὲν Λιβόνοτον, οἳ δὲ Λιβοφοίνικα καλοῦσι. καθάπερ οἱ νότοι, δυναστεύοντες, οἳ δὲ θέρους, ὡς οἱ ἐτησίαι λεγόμενοι, μῖξιν ἔχοντες τῶν τε ἀπὸ τῆς ἄρκτου φερομένων καὶ ζεφύρων. οἱ δὲ Ὀρνιθίαι καλούμενοι, ἐαρινοὶ πνέοντες ἄνεμοι, βόρειοί εἰσι τῷ γένει. Τῶν γε μὴν βιαίων πνευμάτων καταιγὶς μέν ἐστι πνεῦμα ** βίᾳ καὶ ἄφνω προσαλλόμενον· λαῖλαψ δὲ καὶ στρόβιλος πνεῦμα εἱλούμενον ἄνω καὶ κάτω· ἀναφύσημα δὲ πνεῦμα γῆς ἄνω φερόμενον κατὰ τὴν ἐκ βυθοῦ τινος ἢ ῥήγματος ἀνάδοσιν· ὅταν δὲ πολὺ φέρηται εἱλούμενον, πρηστὴρ χθόνιός ἐστιν. Εἰληθὲν δὲ πνεῦμα ἐν νέφει παχεῖ τε 〈καὶ〉 νοτίῳ καὶ ἐξωσθὲν δι’ αὐτοῦ βιαίως 〈ῥηγνύον〉 τὸ πίλημα τοῦ νέφους βρόμον καὶ πάταγον μέγαν ἀπειργάσατο, βροντὴν λεγόμενον, ὥσπερ ἐν ὕδατι πνεῦμα σφοδρῶς ἐλαυνόμενον. Κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν πυρωθὲν τὸ πνεῦμα καὶ λάμψαν ἀστραπὴ λέγεται· ὃ δὴ πρότερον τῆς βροντῆς προσέπεσεν ὕστερον γενόμενον, ἐπεὶ τὸ ἀκουστὸν ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι· τοῦ μὲν καὶ πόρρωθεν δηλουμένου, τοῦ δὲ ἐπειδὰν ἐμπελάσῃ τῇ ἀκοῇ· καὶ ὅταν τὸ μὲν τάχιστον ᾖ τῶν ὄντων, λέγω δὲ τὸ πυρῶδες, τὸ δὲ ἧττον ταχύ, τὸ ἀερῶδες, ἐν τῇ πλήξει πρὸς ἀκοὴν ἀφικνούμενον. Τὸ δὲ ἀστράψαν, ἀναπυρωθὲν βιαίως καὶ ἄχρι τῆς γῆς διεκθέον, κεραυνὸς καλεῖται· ἐὰν δὲ ἡμίπυρον ᾖ, σφοδρὸν ἄλλως λέγονται· οἱ δὲ ταχέως διάττοντες ἀργῆτες· ἑλικίαι δὲ οἱ γραμμοειδῶς φερόμενοι· σκηπτοὶ δὲ ὅσοι κατασκήπτουσιν εἴς τι. Συλλήβδην δὲ τῶν ἐν ἀέρι φαντασμάτων τὰ μέν ἐστι κατ’ ἔμφασιν, 〈τὰ δὲ καθ’ ὑπόστασιν. Κατ’ ἔμφασιν μὲν〉 ἴριδες καὶ ῥάβδοι καὶ ἁπλῶς τὰ τοιαῦτα, καθ’ ὑπόστασιν δὲ σέλα τε διάττοντα καὶ κομῆται καὶ τὰ τούτοις παραπλήσια. Ἶρις μὲν οὖν ἐστιν ἔμφασις ἡλίου τμήματος ἢ σελήνης, ἐν νέφει νοτερῷ καὶ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν ὡς ἐν κατόπτρῳ θεωρουμένη κατὰ κύκλου περιφάνειαν. Ῥάβδος δὲ ἴριδος ἔμφασις εὐθεῖα· ἄλως δ’ ἐστὶν ἔμφασις λαμπρότητος ἄστρου περίαυγος, διαφέρουσα τῇ ἰδιότητι, 〈ὅτι〉 ἡ μὲν ἶρις ἐξ ἐναντίας φαίνεται ἡλίου τε καὶ σελήνης, ἡ δ’ ἄλως κύκλῳ παντὸς ἄστρου. Σέλας δ’ ἐστὶ πυρὸς ἀθρόου ἔξαψις ἐν ἀέρι. Τῶν δὲ σελῶν τὰ μὲν ἀκοντίζεται, τὰ δὲ στηρίζεται. Ὁ μὲν οὖν ἐξακοντισμός ἐστι πυρὸς γένεσις ἐκ παρατρίψεως ἐν ἀέρι φερομένου ταχέως καὶ φαντασίαν μήκους ἐμφαίνοντος διὰ τὸ τάχος· ὁ δὲ στηριγμὸς χωρὶς φορᾶς προμήκης ἔκτασις καὶ οἱονεὶ ἄστρου ῥύσις· πλατυνομένη δὲ κατὰ θάτερον κομήτης καλεῖται. Πολλάκις δὲ τῶν σελῶν τὰ μὲν ἐπιμένει πλείονα χρόνον, τὰ δὲ παραχρῆμα σβέννυται. Πολλαὶ δὲ καὶ ἄλλαι φασμάτων ἰδέαι θεωροῦνται, λαμπάδες τε καλούμεναι καὶ δοκίδες καὶ πωγωνίαι καὶ βόθυνοι, κατὰ τὴν πρὸς ταῦτα ὁμοιότητα ὧδε προσαγορευθεῖσαι. Καὶ τὰ μὲν τούτων ἐσπέρια, τὰ δὲ ἑῷα, τὰ δὲ ἀμφιφανῆ θεωρεῖται· σπανίως δὲ καὶ βόρεια καὶ νότια. Πάντα δὲ ἀβέβαια· οὐδὲ γάρ ποτέ τι τούτων ἀεὶ φανερὸν ἱστόρηται κατεστηριγμένον. Τὰ μὲν τοίνυν ἀέρια τοιαῦτα. Ἐμπεριέχει δὲ καὶ ἡ γῆ πολλὰς ἐν ἑαυτῇ καθάπερ ὕδατος, οὕτως δὲ καὶ πνεύματος καὶ πυρὸς πηγάς· τούτων δὲ αἳ μὲν ὑπὸ γῆν εἰσιν ἀόρατοι, πολλαὶ δὲ ἀναπνοὰς ἔχουσι καὶ ἀναφυσήσεις, ὥσπερ Λίπαρά

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε καὶ Αἴτνη καὶ Αἰόλου νῆσος· αἳ δ’ ἐκρέουσι πολλάκις ποταμοῦ δίκην καὶ μύδρους ἀναρριπτοῦσι διαπύρους. Ἔνιαι δὲ ὑπὸ γῆν οὖσαι πλησίον πηγαίων ὑδάτων θερμαίνουσι ταῦτα· καὶ τὰ μὲν χλιαρὰ τῶν ναμάτων ἀνιᾶσι, τὰ δὲ ὑπέρζεστα, τὰ δὲ εὖ ἔχοντα κράσεως. Ὁμοίως δὲ καὶ τῶν πνευμάτων πολλὰ πολλαχοῦ γῆς στόμια ἀνέῳκται. Καὶ τὰ μὲν ἐνθουσιᾶν ποιεῖ τοὺς ἐμπελάζοντας, ** τὰ δὲ χρησμῳδεῖν, ὥσπερ τὰ ἐν Δελφοῖς καὶ τὰ ἐν Λεβαδείᾳ, τὰ δὲ καὶ παντάπασιν ἀναιρεῖ, καθάπερ τὰ ἐν Φρυγίᾳ. Πολλάκις δὲ καὶ συγγενές τι πνεῦμα εὔκρατον ἐν γῇ, παρεξωσθὲν εἰς μυχίους σήραγγας ἐν τοῖς ταύτης κοιλώμασι καὶ ἀποκλεισθὲν ἐξόδου μετὰ βίας αὐτὴν συνετίναξε, ζητοῦν ἔξοδον αὐτῷ καὶ ἀπειργάσατο τὸ πάθος τοῦτο, ὃ καλεῖν σεισμοὺς εἰώθαμεν. Τῶν δὲ σεισμῶν οἱ μὲν εἰς τὰ πλάγια σείοντες κατ’ ὀξείας γωνίας ἐπικλίνται καλοῦνται· οἱ δὲ ἄνω ῥιπτοῦντες καὶ κάτω κατ’ ὀρθὰς γωνίας βράσται· οἱ δὲ συνιζήσεις ποιοῦντες καὶ τὰ κοῖλα χασματίαι· οἱ δὲ χάσματα ποιοῦντες καὶ γῆν ἀναρρηγνύντες ῥῆκται. Τούτων δὲ οἳ μὲν καὶ πνεῦμα προσαναβάλλουσιν, οἳ δὲ πέτρας, οἳ δὲ πηλόν, οἳ δὲ πηγὰς φαίνουσι τὰς πρότερον οὐκ οὔσας. Τινὲς δὲ ἀποτρέπονται κατὰ μίαν πρόωσιν, οὓς καλοῦσιν 〈ὥστας· οἱ δὲ ἀναπάλλοντες καὶ ταῖς εἰς ἑκάτερον ἐγκλίσεσι〉 καὶ ἀποπάλσεσι διορθοῦντες ἀεὶ τὸ σειόμενον παλματίαι λέγονται, τρόμῳ πάθος ὅμοιον ἀπεργαζόμενοι. Γίγνονται δὲ καὶ μυκητίαι σεισμοί, σείοντες τὴν γῆν μετὰ βρόμου. Πολλάκις δὲ καὶ χωρὶς σεισμοῦ γίνεται μύκημα γῆς, ὅταν τὸ πνεῦμα σείειν μὲν μὴ αὔταρκες ᾖ, εἰλούμενον δὲ ἐν αὐτῇ κόπτηται μετὰ ῥοθίου βίας. Συσσωματοποιεῖται δὲ τὰ σείοντα πνεύματα καὶ ὑπὸ τῶν ἐν τῇ γῇ ὑγρῶν κεκραμένων. Τὰ δὲ ἀνάλογον συμπίπτει τούτοις καὶ ἐν θαλάττῃ. Χάσματα 〈γὰρ〉 γίγνονται θαλάττης καὶ ἀναχωρήματα πολλάκις καὶ κυμάτων ἐπιδρομαί, ποτὲ μὲν ἀντανακοπὴν ἔχουσαι, ποτὲ δὲ πρόωσιν μόνον· ὥσπερ ἱστορεῖται περὶ Ἑλίκην τε καὶ Βοῦραν. Πολλάκις δὲ καὶ ἀναφυσήματα γίγνεται πυρὸς ἐν τῇ θαλάττῃ καὶ πηγῶν ἀναβλύσεις καὶ ποταμῶν ἐκβολαὶ καὶ δένδρων ἐκφύσεις, ῥοαί τε καὶ δῖναι 〈ταῖσ〉 τῶν πνευμάτων ἀνάλογον, αἳ μὲν ἐν μέσοις πελάγεσιν, αἳ δὲ κατὰ τοὺς εὐρίπους τε καὶ πορθμούς. Πολλαί τε ἀμπώτεις λέγονται καὶ κυμάτων ἄρσεις συμπεριοδεύειν ἀεὶ τῇ σελήνῃ κατά τινας ὡρισμένους καιρούς. Ὡς δὲ τὸ πᾶν εἰπεῖν, τῶν στοιχείων κεκραμένων ἀλλήλοις ἐν ἀέρι τε καὶ γῇ καὶ θαλάττῃ κατὰ τὸ εἰκὸς αἱ τῶν παθῶν ὁμοιότητες συνίστανται, τοῖς μὲν ἐπὶ μέρους φθορὰς καὶ γενέσεις φέρουσαι, τὸ δὲ σύμπαν ἀγένητόν τε καὶ ἀνώλεθρον φυλάττουσαι. 〈c. 5〉 Καίτοι γέ τις ἐθαύμαζε, πῶς ποτε ἐκ τῶν ἐναντίων ἀρχῶν συνεστηκὼς ὁ κόσμος, λέγω δὲ ξηρῶν τε καὶ ὑγρῶν, ψυχρῶν τε καὶ θερμῶν, οὐ πάλαι διέφθαρται καὶ ἀπόλωλεν· ὡς κἂν εἰ πόλιν τινὲς θαυμάζοιεν, ὅπως διαμένει συνεστηκυῖα ἐκ τῶν ἐναντιωτάτων ἐθνῶν, πενήτων λέγω καὶ πλουσίων, νέων γερόντων, ἀσθενῶν ἰσχυρῶν, πονηρῶν χρηστῶν. Ἀγνοοῦσι δὲ ὅτι τοῦτ’ ἔστι πολιτικῆς ὁμονοίας τὸ θαυμασιώτατον, λέγω δὲ τὸ μίαν ἐκ πολλῶν καὶ ὁμοίαν ἐξ ἀνομοίων ἀποτελεῖν διάθεσιν, ὑποδεχομένην πᾶσαν καὶ φύσιν καὶ τύχην. Ἴσως δὲ τῶν ἐναντίων ἡ φύσις γλίχεται καὶ ἐκ τούτων ἀποτελεῖ τὸ σύμφωνον, οὐκ ἐκ τῶν ὁμοίων· ὥσπερ ἀμέλει τὸ ἄρρεν συνήγαγε πρὸς τὸ θῆλυ καὶ οὐχ ἑκάτερον πρὸς τὸ ὁμόφυλον, καὶ τὴν πρώτην ὁμόνοιαν διὰ τῶν ἐναντίων συνῆψεν, οὐ διὰ τῶν ὁμοίων. Ἔοικε δὲ καὶ ἡ τέχνη τὴν φύσιν μιμουμένη τὸ αὐτὸ ποιεῖν· ζῳγραφία μὲν γὰρ λευκῶν τε καὶ μελανῶν, ὠχρῶν τε καὶ ἐρυθρῶν χρωμάτων ἐγκερασαμένη φύσεις τὰς εἰκόνας τοῖς προηγουμένοις ἀπετέλεσε συμφώνως· μουσικὴ δὲ ὀξεῖς ἅμα δὲ καὶ βαρεῖς, μακρούς τε καὶ βραχεῖς φθόγγους μίξασα ἐν διαφόροις φωναῖς μίαν ἀπετέλεσεν ἁρμονίαν· γραμματικὴ δὲ φωνηέντων τε καὶ ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη τὴν ὅλην τέχνην ἀπ’ αὐτῶν συνεστήσατο. Αὐτὸ δὲ τοῦτ’ ἦν παρὰ τῷ σκοτεινῷ Ἡρακλείτῳ (fr. 59 Byw., 37 Schlei.) λεγόμενον· „Συνάψειας οὖλα καὶ οὐχὶ οὖλα, συμφερόμενον καὶ διαφερόμενον, συνᾷδον 〈καὶ〉 διᾷδον, ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.“ Οὕτως οὖν καὶ τὴν τῶν ὅλων σύστασιν, οὐρανοῦ λέγω καὶ γῆς τοῦ τε σύμπαντος κόσμου, διὰ τῆς τῶν ἐναντιωτάτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κράσεως ἀρχῶν μία διεκόσμησεν ἁρμονία· ξηρὸν γὰρ ὑγρῷ ψυχρόν τε θερμῷ μιγέν, βαρεῖ τε κοῦφον καὶ ὀρθὸν περιφερεῖ, γῆν τε πᾶσαν ** καὶ αἰθέρα καὶ ἥλιον καὶ σελήνην καὶ τὸν ὅλον οὐρανὸν ἐκόσμησε μία ἑτεροίων, ἀέρος τε καὶ γῆς καὶ πυρὸς καὶ ὕδατος, τὸν σύμπαντα κόσμον δημιουργήσασα καὶ μιᾷ περιλαβοῦσα σφαίρας ἐπιφανείᾳ, τάς τε ἐναντιωτάτας ἐν αὐτῷ φύσεις ἀλλήλαις ἀναγκάσασα ὁμολογῆσαι καὶ ἐκ τούτων μηχανησαμένη τῷ παντὶ σωτηρίαν. Αἰτία δὲ ταύτης 〈μὲν〉 ἡ 〈τῶν στοιχείων ὁμολογία〉, τῆς 〈δὲ〉 ὁμολογίας ἰσομοιρία καὶ τὸ μηδὲν αὐτῶν πλέον 〈ἕτερον〉 ἑτέρου δύνασθαι· τὴν γὰρ ἴσην ἀντίτασιν ἔχει τά τε βαρέα πρὸς τὰ κοῦφα καὶ τὰ θερμὰ πρὸς τὰ θάτερα, τῆς φύσεως ἐπὶ τῶν μειζόνων διδασκούσης, ὅτι τὸ ἶσον σωστικόν πώς ἐστιν ὁμονοίας, ἡ δὲ ὁμόνοια τοῦ πάντων γεννήτορός τε καὶ περικαλλεστάτου κόσμου. Τίς γὰρ ἂν εἴη φύσις τοῦδε κρείττων; Ἦν γὰρ ἂν εἴπῃ τις μέρος ἐστὶν αὐτοῦ, τό τε καλὸν πᾶν ἐπώνυμόν ἐστι τούτου καὶ τὸ τεταγμένον, ἀπὸ τοῦ κόσμου λεγόμενον κεκοσμῆσθαι. Τί δὲ τῶν ἐπὶ μέρους δύναιτο ἂν ἐξισωθῆναι τῇ κατ' οὐρανὸν τάξει καὶ φορᾷ τῶν ἄστρων ἡλίου τε καὶ σελήνης κινουμένων 〈ἐν〉 ἀκριβεστάτοις μέτροις ἐξ αἰῶνος εἰς ἕτερον αἰῶνα; Τίς δὲ γένοιτ' ἂν ἀψεύδεια τοιάδε, ἥν 〈τινα〉 φυλάττουσιν αἱ καλαὶ καὶ γόνιμοι τῶν ὅλων ὧραι, θέρη τε καὶ χειμῶνας ἐπάγουσαι τεταγμένως, ἡμέρας 〈τε〉 καὶ νύκτας εἰς μηνὸς ἀποτέλεσμα καὶ ἐνιαυτοῦ; Καὶ μὴν μεγέθει μὲν οὗτος ἀνυπέρθετος, κινήσει δ' ὀξύτατος, λαμπρότητι δὲ τηλαυγέστατος, δυνάμει δὲ ἀγήρως καὶ ἄφθαρτος. Οὗτος ἐναλίων ζῴων καὶ πεζῶν καὶ ἀερίων φύσεις ἐχώρισε καὶ βίους ἐμέτρησε ταῖς αὐτοῦ κινήσεσιν. Ἐκ τούτου πάντα ἐμπνεῖται καὶ ψυχὴν ἴσχει τὰ ζῷα. Ἐκ τούτου καὶ αἱ παράδοξοι νεοχμώσεις τεταγμένως ἀποτελοῦνται, συναραττόντων μὲν ἀνέμων παντοίων, πιπτόντων δὲ ἐξ οὐρανοῦ κεραυνῶν, ῥηγνυμένων τε χειμώνων ἐξαισίων. Διά τε τούτων τὸ νοτερὸν ἐκπιεζόμενον τό τε πυρῶδες διαπνεόμενον εἰς ὁμόνοιαν ἄγει τὸ πᾶν καὶ καθίστησιν. Ἥ τε γῆ φυτοῖς κομῶσα [κοσμηθεῖσα] παντοδαποῖς, νάμασί τε περιβρύουσα καὶ περιοχουμένη ζῴοις, κατὰ καιρὸν ἐκφύουσά τε πάντα καὶ τρέφουσα καὶ δεχομένη, μυρίας φέρουσα ἰδέας καὶ πόας, τὴν ἀγήρω φύσιν ὁμοίως τηρεῖ, καίτοι [γῆ] καὶ σεισμοῖς τινασσομένη καὶ πλημμύραις ἐπικλυζομένη πυρκαιαῖς τε κατὰ μέρος φλογιζομένη. Πάντα δὲ ἔοικεν αὐτῇ πρὸς ἀγαθοῦ γινόμενα τὴν δι' αἰῶνος σωτηρίαν παρέχειν. Σειομένης τε γὰρ διεξάττουσιν αἱ τῶν πνευμάτων παρεμπτώσεις κατὰ 〈τὰ〉 ῥήγματα τὰς ἀναπνοὰς ἴσχουσαι, καθὼς ἄνω λέλεκται, καθαιρομένη τε ὄμβροις ἀποκλύζεται πάντα τὰ νοσώδη, περιπνεομένη δὲ αὔραις τά τε ὑπ' αὐτὴν καὶ τὰ ὑπὲρ αὐτὴν εἰλικρινεῖται. Καὶ μὴν αἱ φλόγες μὲν τὸ παγετῶδες ἰαίνουσιν, οἱ πάγοι δὲ τὰς φλόγας ἀνιᾶσι. Καὶ τῶν ἐπὶ μέρους τὰ μὲν γίγνεται, τὰ δὲ ἀκμάζει, τὰ δὲ φθείρεται· καὶ αἱ μὲν γενέσεις ἀνασηκοῦσι τὰς φθοράς, αἱ φθοραὶ δὲ κουφίζουσι τὰς γενέσεις. Μία δὲ ἐκ πάντων περαινομένη σωτηρία [δὲ] διὰ τέλους ἀντιπαρισταμένων ἀλλήλοις καὶ τὸ μὲν περικρατούντων τὸ δὲ περι-

1.41 Ἑρμοῦ ἐκ τοῦ πρὸς Τάτ (p. 4 Patrit.). 〈ΕΡΜ.〉 Ἐγώ, ὦ τέκνον, καὶ τῆς φιλανθρωπίας ἕνεκα καὶ τῆς πρὸς τὸν θεὸν εὐσεβείας πρῶτον τόδε συγγράφω. Οὐδεμία γὰρ ἂν λέγοιτο δικαιότερον εὐσέβεια [ἢ] τοῦ νοῆσαι τὰ ὄντα καὶ χάριν τῷ ποιήσαντι ὑπὲρ τούτων ὁμολογῆσαι, ὅπερ διατελῶν οὐ παύσομαι. 〈ΤΑΤ〉 Τί οὖν ἄν τις πράττων, ὦ πάτερ, εἰ μηδέν ἐστιν ἀληθὲς ἐνθάδε, καλῶς διαγάγοι τὸν βίον; 〈ΕΡΜ.〉 Εὐσέβει, ὦ τέκνον. Ὁ δὲ εὐσεβῶν ἄκρως φιλοσοφήσει· χωρὶς γὰρ φιλοσοφίας ἄκρως εὐσεβῆσαι ἀδύνατον· ὁ δὲ μαθὼν οἷα ἔστι καὶ πῶς διατέτακται καὶ ὑπὸ τίνος καὶ ἕνεκεν τίνος, χάριν εἴσεται ὑπὲρ πάντων τῷ δημιουργῷ ὡς πατρὶ ἀγαθῷ καὶ τροφεῖ χρηστῷ καὶ ἐπιτρόπῳ πιστῷ· ὁ δὲ χάριν ὁμολογῶν εὐσεβήσει· ὁ δὲ εὐσεβῶν εἴσεται καὶ ποῦ ἐστιν ἡ ἀλήθεια καὶ τίς ἐστιν ἐκείνη, καὶ μαθὼν ἔτι μᾶλλον εὐσεβέστερος ἔσται. Οὐδέποτε γάρ, ὦ τέκνον, ψυχὴ ἐν σώματι οὖσα καὶ κουφίσασα ἑαυτὴν ἐπὶ τὴν κατάληψιν τοῦ ὄντως ἀγαθοῦ καὶ ἀληθοῦς ὀλισθῆσαι δύναται ἐπὶ τὸ ἐναντίον· δεινὸν γὰρ ἔρωτα ἴσχει καὶ λήθην πάντων τῶν κακῶν ψυχὴ μαθοῦσα ἑαυτῆς τὸν προπάτορα, καὶ οὐκέτι ἀποστῆναι

δύναται τοῦ ἀγαθοῦ. Τοῦτ', ὦ τέκνον, τοῦτο εὐσεβείας ἔστω τέλος, ἐφ' ὃ ἀφιγὰρ μόνη ἐστίν, ὦ τέκνον, ἡ πρὸς ἀλήθειαν ὁδός, ἣν καὶ οἱ ἡμέτεροι πρόγονοι ὥδευσαν καὶ ὁδεύσαντες ἔτυχον τοῦ ἀγαθοῦ. Σεμνὴ αὕτη ὁδὸς καὶ λεία, χαλεπὴ δὲ ψυχῇ ὁδεῦσαι ἐν σώματι οὔσῃ. Πρῶτον μὲν γὰρ αὐτὴν ἑαυτῇ πολεμῆσαι δεῖ καὶ διάστασιν μεγάλην ποιῆσαι καὶ ὑπὸ τοῦ ἑνὸς μέρους πλεονεκτηθῆναι. Ἑνὸς γὰρ γίγνεται πρὸς δύο ἡ σύστασις, τοῦ μὲν φεύγοντος, τῶν δὲ καθελκόντων κάτω, καὶ ἔρις καὶ μάχη πολλὴ πρὸς ἄλληλα τούτων γίγνεται τοῦ μὲν φυγεῖν βουλομένου, τῶν δὲ κατασχεῖν σπευδόντων. Ἡ δὲ νίκη ἀμφοτέρων οὐχ ὁμοία· τὸ μὲν γὰρ πρὸς τὸ ἀγαθὸν σπεύδει, τὰ δὲ πρὸς τὰ κακὰ κατοικεῖ· καὶ τὸ μὲν ἐλευθερωθῆναι ποθεῖ, τὰ δὲ τὴν δουλείαν ἀγαπᾷ. Κἂν μὲν νικηθῇ τὰ δύο μέρη, μεμένηκεν ἑαυτῶν ἔρημα καὶ τοῦ ἄρχοντος· ἐὰν δὲ τὸ ἓν ἡττηθῇ, ὑπὸ τῶν δύο ἄγεται καὶ φέρεται τιμωρούμενον τῇ ἐνθάδε διαίτῃ. Οὗτός ἐστιν, ὦ τέκνον, ὁ τῆς ἐκεῖσε ὁδοῦ ἀγών· δεῖ γάρ σε, ὦ τέκνον, πρῶτον τὸ σῶμα πρὸ τοῦ τέλους ἐγκαταλεῖψαι καὶ νικῆσαι τὸν ἐναγώνιον βίον καὶ νικήσαντα οὕτως ἀνελθεῖν. Νῦν δέ, ὦ τέκνον, 〈ἐν〉 κεφαλαίοις τὰ ὄντα διεξελεύσομαι· νοήσεις γὰρ τὰ λεγόμενα μεμνημένος ὧν ἤκουσας. Πάντα τὰ ὄντα κινεῖται· μόνον τὸ μὴ ὂν ἀκίνητον. Πᾶν σῶμα μεταβλητόν, οὐ πᾶν σῶμα διαλυτόν· [ἔνια τῶν σωμάτων διαλυτά]. Οὐ πᾶν ζῷον θνητόν, οὐ πᾶν ζῷον ἀθάνατον. Τὸ διαλυτὸν φθαρτόν, τὸ μένον ἀμετάβλητον, 〈τὸ Ὁ κόσμος διὰ τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος διὰ τὸν θεόν. Ψυχῆς τὸ μὲν αἰσθητικὸν θνητόν, τὸ δὲ λογικὸν ἀθάνατον. Πᾶσα οὐσία ἀθάνατος, πᾶσα οὐσία μεταβλητή. Πᾶν τὸ ὂν διττόν, οὐδὲν τῶν ὄντων ἔστηκεν. Οὐ πάντα ψυχῇ κινεῖται, πᾶν δὲ ὂν ψυχὴ κινεῖ. Πᾶν τὸ πάσχον αἴσθεται, 〈οὐ〉 πᾶν τὸ αἰσθόμενον πάσχει. Πᾶν τὸ λυπούμενον καὶ ἥδεται [ζῷον θνητόν], οὐ πᾶν τὸ ἡδόμενον λυπεῖται [ζῷον ἀίδιον]. Οὐ πᾶν σῶμα νοσεῖ· πᾶν σῶμα νοσοῦν διαλυτόν. Ὁ νοῦς ἐν τῷ θεῷ, ὁ λογισμὸς ἐν τῷ ἀνθρώπῳ. Ὁ λόγος ἐν τῷ νοί, ὁ νοῦς ἀπαθής. Οὐδὲν ἐν σώματι ἀληθές, ἐν ἀσωμάτῳ τὸ πᾶν ἀψευδές. Πᾶν τὸ γενόμενον μεταβλητόν, οὐ πᾶν τὸ γενόμενον φθαρτόν. Οὐδὲν ἀγαθὸν ἐπὶ τῆς γῆς, οὐδὲν κακὸν ἐν τῷ οὐρανῷ. Ὁ θεὸς ἀγαθός, ὁ ἄνθρωπος κακός. Τὸ ἀγαθὸν ἑκούσιον, τὸ κακὸν ἀκούσιον. Οἱ θεοὶ τὰ ἀγαθὰ αἱροῦνται ὡς ἀγαθά ** . μεταθετόν. Οὐδὲν ἐν οὐρανῷ δοῦλον, οὐδὲν ἐπὶ γῆς ἐλεύθερον. Οὐδὲν ἄγνωστον ἐν οὐρανῷ, οὐδὲν γνώριμον ἐπὶ τῆς γῆς. Οὐ κοινωνεῖ 〈τὰ ἐν οὐρανῷ τοῖς ἐπὶ γῆς, κοινωνεὶ〉 τὰ ἐπὶ γῆς τοῖς ἐν οὐρανῷ. Πάντα τὰ ἐν οὐρανῷ ἄμωμα, πάντα τὰ ἐπὶ γῆς ἐπίμωμα. Τὸ ἀθάνατον οὐ θνητόν, τὸ θνητὸν οὐκ ἀθάνατον. Τὸ σπαρὲν οὐ πάντως γενητόν, τὸ δὲ γενητὸν πάντως καὶ σπαρέν. Διαλυτοῦ σώματος δύο χρόνοι· ὁ ἀπὸ τῆς σπορᾶς μέχρι τῆς γενέσεως καὶ ὁ ἀπὸ τῆς γενέσεως μέχρι τοῦ θανάτου· τοῦ ἀιδίου σώματος χρόνος ἐκ τῆς γενέσεως μόνος. Τὰ διαλυτὰ σώματα αὔξεται καὶ μειοῦται. Ἡ διαλυτὴ ὕλη εἰς τὰ ἐναντία ἐναλλοιοῦται [φθορὰν καὶ γένεσιν]· ἡ δὲ ἀίδιος ἢ εἰς αὐτὴν ἢ εἰς τὰ ὅμοια. Γένεσις ἀνθρώπου φθορᾶς, φθορὰ ἀνθρώπου γενέσεως ἀρχή. Τὸ ἀπογιγνόμενον 〈καὶ ἐπιγίγνεται, τὸ ἐπιγιγνόμενον〉 καὶ ἀπογίγνεται. Τὸ ἀθάνατον οὐ μετέχει τοῦ θνητοῦ, τὸ δὲ θνητὸν τοῦ ἀθανάτου μετέχει. Τὸ μὲν θνητὸν εἰς ἀθάνατον σῶμα οὐκ ἔρχεται, τὸ δὲ ἀθάνατον εἰς θνητὸν παραγίνεται. Αἱ ἐνέργειαι οὐκ εἰσὶν ἀνωφερεῖς, ἀλλὰ κατωφερεῖς. Οὐδὲν ὠφελεῖ τὰ ἐπὶ γῆς τὰ ἐν οὐρανῷ, πάντα ὠφελεῖ τὰ ἐν οὐρανῷ τὰ ἐπὶ γῆς. Ὁ οὐρανὸς σωμάτων ἀιδίων δεκτικός, ἡ γῆ σωμάτων φθαρτικῶν δεκτική. Ἡ γῆ ἄλογος, ὁ οὐρανὸς λογικός. Τὰ ἐν οὐρανῷ ὑπόκειται, τὰ ἐπὶ γῆς τῇ γῇ ἐπίκειται. Ὁ οὐρανὸς πρῶτον στοιχεῖον, ἡ γῆ ὕστατον στοιχεῖον. Πρόνοια θεία τάξις, ἀνάγκη προνοίᾳ ὑπηρέτις. Τύχη φορὰ ἄτακτος, ἐνεργείας εἴδωλον, δόξα ψευδής. Τί θεός; ἄτρεπτον ἀγαθόν· τί ἄνθρωπος; τρεπτὸν κακόν. Τούτων τῶν κεφαλαίων μεμνημένος καὶ ὧν σοι διὰ πλειόνων λόγων διεξῆλθον εὐκόλως ἀναμνησθήσῃ· ταῦτα γὰρ ἐκείνων εἰσὶ περιοχαί. Τὰς μέντοι πρὸς τοὺς πολλοὺς ὁμιλίας παραιτοῦ· φθονεῖν μὲν γάρ σε οὐ βούλομαι, μᾶλλον δὲ ὅτι πολλοῖς δόξεις καταγέλαστος εἶναι. Τὸ γὰρ ὅμοιον πρὸς τὸ ὅμοιον παραλαμβάνεται, ἀνόμοιος δὲ ἀνομᾶλλον παροξύνουσι πρὸς τὴν κακίαν· διὸ χρὴ τοὺς πολλοὺς φυλάττεσθαι μὴ

νοοῦντας τῶν λεγομένων τὴν ἀρετήν. 〈ΤΑΤ〉 Πῶς εἶπας, ὦ πάτερ; 〈ἙΡΜ.〉 Οὕτως, ὦ τέκνον. Πᾶν τὸ ζῷον τὸ ἀνθρώπινον ἐπιρρεπέστερόν ἐστιν εἰς τὴν κακίαν καὶ ταύτῃ σύντροφον γίγνεται, διὸ καὶ ἥδεται αὐτῇ. Τοῦτο δὲ τὸ ζῷον ἐὰν μάθῃ ὅτι γενητὸς ὁ κόσμος καὶ πάντα κατὰ πρόνοιαν καὶ ἀνάγκην γίνεται, εἱμαρμένης πάντων ἀρχούσης, οὕτω πολλῷ ἑαυτοῦ χεῖρον ἔσται, καταφρονῆσαν μὲν τοῦ παντὸς ὡς γενητοῦ, τὰς δὲ αἰτίας τοῦ κακοῦ τῇ εἱμαρμένῃ ἀναφέρον, οὐδ' ἀφέξεταί ποτε παντὸς ἔργου κακοῦ. Διὸ φυλακτέον αὐτούς, ὅπως ἐν ἀγνοίᾳ ὄντες ἔλαττον ὦσι κακοὶ φόβῳ τοῦ ἀδήλου. Ἐκ τοῦ Ἀρχύτου Περὶ ἀρχῶν (fr. 4 phil. Gr. I p. 567 Mullach.). Ἀνάγκα [καὶ] δύο ἀρχὰς εἶμεν τῶν ὄντων, μίαν μὲν τὰν συστοιχίαν ἔχοισαν τῶν τεταγμένων καὶ ὁριστῶν, ἑτέραν δὲ τὰν συστοιχίαν ἔχοισαν τῶν ἀτάκτων καὶ ἀορίστων. Καὶ τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν καὶ τὰ ἐόντα ὁμοίως συνέχεν καὶ τὰ μὴ ἐόντα ὁρίζεν καὶ συντάσσεν (πλατιάζοισαν γὰρ ἀεὶ τοῖς γινομένοις εὐλόγως καὶ εὐρύθμως ἀνάγεν ταῦτα καὶ τὸ καθόλω οὐσίας τε καὶ ἰδέας μεταδιδόμεν)· τὰν δ' ἄλογον καὶ ἄρρητον καὶ τὰ συντεταγμένα λυμαίνεσθαι καὶ τὰ ἐς γένεσίν τε καὶ ὠσίαν παραγενόμενα διαλύεν (πλατιάζοισαν γὰρ ἀεὶ τοῖς πράγμασιν ἐξομοιοῦν αὐτᾷ ταῦτα). Ἀλλ' ἐπείπερ ἀρχαὶ δύο κατὰ γένος ἀντιδιαιρέομεναι τὰ πράγματα τυγχάνοντι τῷ τὰν μὲν εἶμεν ἀγαθοποιόν, τὰν δ' εἶμεν κακοποιόν, ἀνάγκα καὶ δύο λόγως εἶμεν, τὸν μὲν ἕνα τᾶς ἀγαθοποιῶ φύσιος, τὸν δ' ἕνα τᾶς κακοποιῶ. Διὰ τοῦτο καὶ τὰ τέχνᾳ καὶ τὰ φύσι γινόμενα δύο τούτων πράτων μετείληφε, τᾶς τε μορφῶς καὶ τᾶς ὠσίας. Καὶ ἁ μὲν μορφώ ἐντι ἁ αἰτία τῶ τόδε τι εἶμεν· ἁ δὲ ὠσία τὸ ὑποκείμενον, παραδεχόμενον τὰν μορφώ. Οὔτε δὲ τᾷ ὠσίᾳ οἷόν τέ ἐντι μορφῶς μετεῖμεν αὐτᾷ ἐξ αὐτᾶς, οὔτε μὰν τὰν μορφὼ γενέσθαι περὶ τὰν ὠσίαν, ἀλλ' ἀνάγκα ἀτέραν τινὰ εἶμεν αἰτίαν, τὰν κινάσοισαν τὰν ἐστὼ τῶν πραγμάτων ἐπὶ τὰν μορφώ· ταύταν δὲ τὰν πράταν τᾷ δυνάμι καὶ καθυπερτάταν εἶμεν τᾶν ἀλλᾶν· ὀνομάζεσθαι δ' αὐτὰν ποθάκει θεόν· ὥστε τρεῖς ἀρχὰς εἶμεν ἤδη, τόν τε θεὸν καὶ τὰν ἐστὼ τῶν πραγμάτων καὶ τὰν τὰν δ' ἐστὼ τὰν ὕλαν καὶ τὸ κινεόμενον, τὰν δὲ μορφὼ τὰν τέχναν καὶ ποθ' ἃν κινέεται ὑπὸ τῶ κινέοντος ἁ ἐστώ. Ἀλλ' ἐπεὶ τὸ κινεόμενον ἐναντίας ἑαυτῷ δυνάμιας ἴσχει τὰς τῶν ἁπλόων σωμάτων, τὰ δ' ἐναντία συναρμογᾶς τινος δεῖται καὶ ἑνώσιος, ἀνάγκα ἀριθμῶν δυνάμιας καὶ ἀναλογίας καὶ τὰ ἐν ἀριθμοῖς καὶ γαμετρικοῖς δεικνύμενα παραλαμβάνεν, ἃ καὶ συναρμόξαι καὶ ἑνῶσαι τὰν ἐναντιότατα δυνασεῖται ἐν τᾷ ἐστοῖ τῶν πραγμάτων ποττὰν μορφώ. Καθ' αὐτὰν μὲν γὰρ ἔσσα ἁ ἐστὼ ἄμορφός ἐντι, κιναθεῖσα δὲ ποττὰν μορφὰ ἔμμορφος γίνεται καὶ λόγον ἔχοισα τὸν τᾶς συντάξιος. Ὁμοίως δὲ καὶ τὸ δι' ὃ κινέεται τὸ κινεόμενόν ἐντι τὸ πράτως κινέον· ὥστ' ἀνάγκα τρεῖς εἶμεν τὰς ἀρχάς, τάν τε ἐστὼ τῶν πραγμάτων καὶ τὰν μορφὼ καὶ τὸ ἐξ αὐτῶ κινατικὸν καὶ πρᾶτον τᾷ δυνάμι. Τὸ δὲ τοιοῦτον οὐ νόον μόνον εἶμεν δεῖ, ἀλλὰ καὶ νόω τι κρέσσον· νόω δὲ κρέσσον ἐντί, ὅπερ ὀνομάζομεν θεόν, φανερόν. — φθορὰ γίνεται περὶ ταύταν καὶ οὐκ ἄνευ ταύτας. Ἐκ τῶν Πορφυρίου πρὸς τὰ νοητὰ ἀφορμῶν (opusc. Porph. p. 78 Holsten.). Τὰ κατηγορούμενα τοῦ αἰσθητοῦ καὶ ἐνύλου ἀληθῶς ἐστὶ ταῦτα, τὸ πάντῃ εἶναι διαπεφορημένον, τὸ μεταβλητὸν εἶναι, τὸ ὑφεστάναι ἐν ἑτερότητι, τὸ σύνθετον εἶναι, τὸ 〈μὴ〉 καθ' ἑαυτὸ αὐτὸ ὑπάρχειν, τὸ ἐν τόπῳ, τὸ ἐν ὄγκῳ θεωρεῖσθαι καὶ ὅσα τούτοις παραπλήσια· τοῦ δὲ ὄντως ὄντος καὶ καθ' αὐτὸ ὑφεστηκότος αὐτοῦ τὸ εἶναι ἀεὶ ἐν ἑαυτῷ ἱδρυμένον, τὸ ὡσαύτως 〈καὶ〉 κατὰ ταὐτὰ ἔχειν, τὸ ἐν ταὐτότητι οὐσιῶσθαι, τὸ ἀμετάβλητον εἶναι κατ' οὐσίαν, τὸ ἀσύνθετον, τὸ μήτε λυτὸν μήτε ἐν τόπῳ εἶναι μήτε εἰς ὄγκον διαπεφορῆσθαι, τὸ μήτε γιγνόμενον μήτε ἀπολλύμενον εἶναι καὶ ὅσα τοιαῦτα, ὧν ἐχομένους δεῖ μηδὲν ἐπαλλάττοντας περὶ τῆς διαφόρου αὐτῶν φύσεως καὶ αὐτοὺς λέγειν καὶ ἄλλων λεγόντων ὑπακούειν. Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα (p. 40 Patrit.). Ἡ ψυχὴ τοίνυν οὐσία ἐστὶν ἀσώματος, καὶ ἐν σώματι δὲ οὖσα οὐκ ἐκβαίνει τῆς ἰδίας οὐσιότητος. Τυγχάνει γὰρ οὖσα ἀεικίνητος κατ' οὐσίαν, κατὰ νόησιν αὐτοκίνητος, οὐκ ἔν τινι κινουμένη, οὐ πρός τι, οὐχ ἕνεκέν τινος· προτερεῖ γὰρ τῇ δυνάμει, τὸ δὲ πρότερον οὐ δεῖται τῶν χρόνος καὶ τόπος καὶ

φύσις. Ταῦτα δὲ κατὰ συγγενικὴν οἰκειότητα κοινωνεῖ ἀλλήλοις, ἐπεί τοι γε τὸ σῶμα ἐδεῖτο τόπου (ἀμήχανον γὰρ ἦν συστῆναι σῶμα ἄνευ τόπου) καὶ μεταβάλλεται φυσικῶς, ἀδύνατον δὲ μεταβολὴν εἶναι ἄνευ χρόνου καὶ τῆς κατὰ φύσιν κινήσεως, οὐδὲ σώματος οἷόν τε σύστασιν εἶναι ἄνευ ἁρμονίας. Ἕνεκα τοίνυν τοῦ σώματός ἐστιν ὁ τόπος· παραδεχόμενος γὰρ τὰς τοῦ σώματος μεταβολὰς οὐκ ἐᾷ ἀπόλλυσθαι τὸ μεταβαλλόμενον· μεταβαλλόμενον δὲ ἀφ' ἑτέρου εἰς ἕτερον μεταπίπτει καὶ τῆς μὲν ἕξεως στερίσκεται, τοῦ δὲ εἶναι σῶμα συστατὸν οὐχί· μεταβληθὲν δὲ εἰς ἕτερον τὴν τοῦ ἑτέρου ἕξιν ἔχει. Τὸ γὰρ σῶμα, ᾗ σῶμα, μένει σῶμα· ἡ δὲ ποιὰ διάθεσις οὐ μένει· τὸ σῶμα τοίνυν κατὰ διάθεσιν μεταβάλλεται. Ἀσώματος τοίνυν ὁ τόπος καὶ ὁ χρόνος καὶ ἡ φυσικὴ κίνησις. Τυγχάνει δὲ ἕκαστον τούτων τῆς ἰδίας ἰδιότητος. Ἰδιότης δὲ τοῦ τόπου περιοχή, χρόνου δὲ διάστημα καὶ ἀριθμός, φύσεως δὲ κίνησις, ἁρμονίας δὲ φιλία, σώματος δὲ μεταβολή· ἰδιότης δὲ ψυχῆς ἡ κατ' οὐσίαν νόησις. Ἀρχύτου ἐκ τοῦ Περὶ ἀρχῶν (fr. 5 phil. Gr. I p. 568 Mullach.). Ἀρχὰ τᾶς τῶν ἐόντων γνώσιος τὰ αὐτόθεν φαινόμενα. Τῶν δ' αὐτόθεν φαινομένων τὰ μέν ἐντι νοατά, τὰ δ' αἰσθατά· νοατὰ μὲν τὰ ἀκίνητα, αἰσθατὰ δὲ τὰ κινεόμενα. Κριτήριον δὲ τῶν μὲν νοατῶν ὁ νόος, τῶν δ' αἰσθατῶν τε κρῖνον καὶ τὸ κρινόμενον καὶ ποθ' ὅπερ κρίνεται. Καὶ τὸ μὲν κρῖνον εἶμεν τὸν νόον καὶ τὰν αἴσθασιν, τὸ δὲ κρινόμενον τὸν λόγον· ποθ' ὅπερ δὲ κρίνεται τὸ αὐτόθεν φαινόμενον· τούτω δὲ τὸ μὲν νοατόν, τὸ δ' αἰσθατόν. Ἐπικρίνει δὲ ὁ νόος τὸν λόγον, ὅκα μὲν ποτὶ τὸ νοατὸν ποτιβάλλων, ὅκα δὲ ποτὶ τὸ αἰσθατόν. Ὅκκα μὲν γὰρ περὶ νοατῶν μαστεύηται ὁ λόγος, ποτὶ τὸ νοατὸν ποτιβάλλει, ὅκκα δὲ περὶ αἰσθατῶν, ποτὶ τὸ αἰσθατόν. Καὶ δι' αὐτὸ ψευδογραφίαι ἐν γαμετρίᾳ κατὰ σχήματα καὶ ἀριθμὼς ἐμφαίνονται, αἰτιολογίαι δὲ καὶ εἰκοτολογίαι ἐν φυσιολογίᾳ καὶ πολιτικᾷ κατὰ γένεσιν καὶ πράξιας. Τὸ μὲν γὰρ ὅτι ἐν διπλόῳ λόγῳ ἁρμονία τυγχάνει, ποτὶ τὸ νοατὸν [λόγον] ποτιβάλλων ὁ λόγος γινώσκει· τὸ δ' ὅτι συμφωνεῖ ὁ διπλόος λόγος, διὰ τᾶς αἰσθάσιος ἐπιμαρτυρεῖται. Καὶ τῶν μαχανικῶν δὲ τοὶ λόγοι ποττὰ νοατὰ ποτιβάλλοντι σχήματα καὶ ἀριθμὼς καὶ ἀναλογίας, τὰ δὲ ἀποτελέσματα ποτὶ τὰ αἰσθητά· μεθ' ὕλας γὰρ ταῦτα θεωρεῖται καὶ κινάσιος. Καθόλω δὲ ἀμάχανον γνῶμεν τὸ διὰ τί ἐν ἑκάστῳ μὴ προειδότας τὸ τί ἐντι ἕκαστον. Κρίνεται δὲ τὸ μὲν τί ἐντι ἕκαστον 〈τῶν〉 ἐόντων τῷ νόῳ· τὸ δ' ὅτι ἐντὶ ἢ ὅτι οὕτως ἔχει, λόγῳ καὶ αἰσθάσι· λόγῳ Ἑρμοῦ ἐκ τῶν πρὸς Τά τ . (p. 44 Patrit.). 〈ΤΑΤ〉 Ὀρθῶς ταῦτα ἀπέδειξας, ὦ πάτερ· ἐκεῖνα δὲ ἔτι με δίδαξον. Ἔφης γάρ που τὴν ἐπιστήμην καὶ τὴν τέχνην ἐνέργειαν εἶναι τοῦ λογικοῦ· νῦν δὲ φὴς τὰ ἄλογα ζῷα στερήσει τοῦ λογικοῦ ἄλογα εἶναι καὶ κεκλῆσθαι· δῆλον 〈δ'〉 ὅτι ἀνάγκη κατὰ τοῦτον τὸν λόγον τὰ ἄλογα ζῷα μὴ μετέχειν ἐπιστήμης μηδὲ τέχνης διὰ τὸ ἐστερῆσθαι τοῦ λογικοῦ. 〈ΕΡΜ.〉 Ἀνάγκη γάρ, ὦ τέκνον. 〈ΤΑΤ〉 Πῶς οὖν ὁρῶμεν, ὦ πάτερ, τινὰ τῶν ἀλόγων ἐπιστήμῃ καὶ τέχνῃ χρώμενα, οἷον τοὺς μύρμηκας τὰς τροφὰς ἀποθησαυριζομένους τοῦ χειμῶνος καὶ τὰ ἀέρια ζῷα ὁμοίως καλιὰς ἑαυτοῖς συντιθέντα, τὰ δὲ τετράποδα γνωρίζοντα τοὺς φωλεοὺς τοὺς ἰδίους; 〈ΕΡΜ.〉 Ταῦτα, ὦ τέκνον, οὐκ ἐπιστήμῃ οὐδὲ τέχνῃ ποιεῖ, ἀλλὰ φύσει. Ἡ γὰρ ἐπιστήμη καὶ ἡ τέχνη διδακτά εἰσι· τούτων δὲ τῶν ἀλόγων οὐδεὶς οὐδὲν διδάσκεται. Τὰ δὲ φύσει γιγνόμενα ἐνεργείᾳ μὲν γίγνεται καθολικῇ· τὰ δὲ ἐπιστήμῃ καὶ τέχνῃ εἰδικῶς παραγίγνεται, οὐ πᾶσι· 〈τὰ δὲ πᾶσι〉 γιγνόμενα ὑπὸ φύσεως ἐνεργεῖται. Οἷον οἱ ἄνθρωποι 〈πάντες〉 ἄνω βλέπουσιν, οὐ πάντες δὲ ἄνθρωποι μουσικοὶ οὐδὲ πάντες τοξόται ἢ κυνηγοὶ οὐδὲ τὰ ἄλλα πάντα· ἀλλὰ τινὲς αὐτῶν τι ἔμαθον ἐπιστήμης καὶ μυρμήκων τοῦτο ἔπραττον, οἳ δ' οὔ, καλῶς ἂν ἔλεγες ἐπιστήμῃ αὐτὸ τοῦτο πράττειν καὶ τέχνῃ συνάγειν τὰς τροφάς· εἰ δὲ πάντες ὁμοίως ἄγονται ὑπὸ τῆς φύσεως ἐπὶ τοῦτο καὶ ἄκοντες, δῆλον ὅτι οὐκ ἐπιστήμῃ οὐδὲ τέχνῃ τοῦτο πράττουσιν. Ἐνέργειαι γάρ, ὦ Τάτ, ἀσώματοι αὐταὶ οὖσαι, ἐν σώμασίν εἰσιν καὶ διὰ τῶν σωμάτων ἐνεργοῦσι. Διόπερ, ὦ Τάτ, καθότι ἀσώματοί εἰσι, καὶ ἀθανάτους αὐτάς φημι εἶναι· καθότι δὲ χωρὶς σωμάτων ἐνεργεῖν οὐ δύνανται, φημὶ αὐτὰς εἶναι ἀεὶ ἐν σώματι. Τὰ γὰρ πρός τι ἢ ἕνεκά τινος γενόμενα προνοίᾳ καὶ

ἀνάγκῃ ὑποπεπτωκότα ἀδύνατον ἀργά ποτε μεῖναι τῆς ἰδίας ἐνεργείας. Τὸ γὰρ ὂν ἀεὶ ἔσται, ταὐτὸ γὰρ αὐτοῦ καὶ σῶμα καὶ ζωή ἐστι. Τούτῳ τῷ λόγῳ ἔπεται τὸ καὶ ἀεὶ τὰ σώματα εἶναι. Διὸ καὶ αὐτὴν τὴν σωμάτωσίν φημι ἀιδίαν ἐνέργειαν εἶναι. Εἰ γὰρ σώματα ἐπίγεια διαλυτά, σώματα δὲ δεῖ εἶναι, τόπους καὶ ὄργανα τῶν ἐνεργειῶν ταῦτα, αἱ δὲ ἐνέργειαι ἀθάνατοι, τὸ δὲ ἀθάνατον ἀεὶ ἔστιν, ἐνέργεια καὶ ἡ σωματοποίησις, εἴγε ἀεὶ ἔστι. Παρέπονται δὲ τῇ ψυχῇ οὐκ ἀθρόως παραγιγνόμεναι, ἀλλὰ τινὲς μὲν αὐτῶν ἅμα τῷ γίνεσθαι τὸν ἄνθρωπον ἐνεργοῦσιν, ὁμοῦ τῇ ψυχῇ περὶ τὸ ἄλογον οὖσαι, αἱ δὲ καθαρώτεραι ἐνέργειαι κατὰ μεταβολὴν τῆς ἡλικίας τῷ λογικῷ μέρει τῆς ψυχῆς συνεργοῦσαι. Αὗται δὲ αἱ ἐνέργειαι τῶν σωμάτων εἰσὶν ἠρτημέναι. Καὶ ἀπὸ μὲν τῶν θείων σωμάτων ἔρχονται εἰς τὰ θνητὰ αὗται [αἱ] σωμαεῖναι, αἱ δὲ ἐνέργειαι χωρὶς τῶν σωμάτων οὐ δύνανται εἶναι. Ἱερὸς λόγος ἐστίν, ὦ τέκνον, οὗτος. Συνεστάναι μὲν σῶμα χωρὶς ψυχῆς οὐ δύναται, τὸ δὲ εἶναι δύναται. 〈ΤΑΤ〉 Πῶς τοῦτο λέγεις, ὦ πάτερ; 〈Ἑρμ.〉 Οὕτω νόησον, ὦ Τάτ· τῆς ψυχῆς χωρισθείσης τοῦ σώματος ἐπιμένει αὐτὸ τὸ σῶμα· τοῦτο δὲ τὸ σῶμα παρὰ τὸν τῆς ἐπιμονῆς χρόνον ἐνεργεῖται διαλυόμενον καὶ ἀειδὲς γιγνόμενον· ταῦτα δὲ οὐ δύναται πάσχειν τὸ σῶμα χωρὶς ἐνεργείας. Ἐπιμένει οὖν τῷ σώματι ἡ ἐνέργεια αὕτη ψυχῆς χωρισθείσης. Αὕτη οὖν ἡ διαφορὰ ἀθανάτου σώματος καὶ θνητοῦ, ὅτι τὸ μὲν ἀθάνατον ἐκ μιᾶς ὕλης συνέστηκε, τὸ δὲ οὔ· καὶ τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει (πᾶν γὰρ τὸ ἐνεργοῦν κρατεῖ, τὸ δὲ ἐνεργούμενον κρατεῖται) καὶ τὸ μὲν κρατοῦν ἐπιτακτικὸν καὶ ἐλεύθερον 〈ὂν〉 ἄγει, τὸ δὲ δοῦλον φέρεται. Αἱ μὲν 〈οὖν〉 ἐνέργειαι οὐ μόνον τὰ ἔμψυχα ἐνεργοῦσι σώματα, 〈ἀλλὰ〉 καὶ τὰ ἄψυχα, ξύλα καὶ [τοὺς] λίθους καὶ τὰ ἄλλ' ὁμοίως, αὔξουσαί τε καὶ καρποφυοῦσαι καὶ πεπαίνουσαι καὶ φθείρουσαι καὶ τήκουσαι καὶ σήπουσαι καὶ θρύπτουσαι καὶ τὰ ὅμοια ἐνεργοῦσαι, ὅσα δύναται σώματα ἄψυχα πάσχειν. Ἐνέργεια γὰρ κέκληται, ὦ τέκνον, αὐτὸ τοῦτο, ὅ τί ποτέ ἐστι τὸ γιγνόμενον· ἀεὶ δὲ γίγνεσθαι δεῖ καὶ πολλά, μᾶλλον δὲ πάντα· οὐδέποτε γὰρ χρηεύει τῶν ὄντων τινὸς ὁ κόσμος, ἀεὶ δὲ φερόμενος ἐν ἑαυτῷ φθορᾶς. Πᾶσα οὖν ἐνέργεια νοείσθω, ὡς ἀεὶ ἀθάνατος οὖσα, ἥτις ἂν ᾖ ἐν οἱῳδήποτε σώματι. Τῶν δὲ ἐνεργειῶν αἳ μέν εἰσι τῶν θείων σωμάτων, αἳ δὲ τῶν φθαρτῶν, καὶ αἳ μὲν καθολικαί, αἳ δὲ εἰδικαί, καὶ αἳ μὲν τῶν γενῶν, αἳ δὲ τῶν μερῶν ἑνὸς ἑκάστου. Θεῖαι μὲν οὖν εἰσιν αἱ εἰς τὰ ἀίδια σώματα ἐνεργοῦσαι· αὗται δὲ καὶ τέλειαί εἰσιν, ὡς εἰς τέλεια σώματα· μερικαὶ δὲ αἱ δι' ἑνὸς ἑκάστου γένους τῶν ζῴων· εἰδικαὶ δὲ αἱ εἰς ἕκαστον τῶν ὄντων τί. Οὗτος οὖν ὁ λόγος, ὦ τέκνον, συνάγει πάντα μεστὰ εἶναι ἐνεργειῶν. Εἰ γὰρ ἀνάγκη τὰς ἐνεργείας ἐν σώμασιν εἶναι, πολλὰ δὲ σώματα ἐν κόσμῳ, πλείους φημὶ εἶναι τὰς ἐνεργείας τῶν σωμάτων. Ἐν ἑνὶ γὰρ πολλάκις σώματί ἐστι μία καὶ δευτέρα καὶ τρίτη χωρὶς τῶν παρεπομένων καθολικῶν· καθολικὰς γὰρ ἐνεργείας φημὶ τὰς ὄντως σωματικάς, διὰ δὲ τῶν αἰσθήσεων καὶ τῶν κινήσεων γινομένας· χωρὶς γὰρ τούτων τῶν ἐνεργειῶν τὸ σῶμα συστῆναι οὐ δυνατόν. Ἕτεραι δέ εἰσιν εἰδικαὶ ἐνέργειαι ταῖς ψυχαῖς τῶν ἀνθρώπων διὰ τεχνῶν καὶ ἐπιστημῶν καὶ ἐπιτηδευμάτων καὶ ἐνεργημάτων. Παρέπονται γὰρ ταῖς ἐνεργείαις αἱ αἰσθήσεις, μᾶλλον δὲ ἀποτελέσματα τῶν ἐνεργειῶν 〈αἱ〉 αἰσθήσεις εἰσί. Νόησον οὖν, ὦ τέκνον, διαφορὰν ἐνεργείας 〈καὶ αἰσθήσεως· ἡ μὲν ἐνέργεια〉 ἄνωθεν πέμπεται· ἡ δὲ αἴσθησις ἐν τῷ σώματι οὖσα καὶ ἀπὸ τούτου τὴν οὐσίαν ἔχουσα, δεξαμένη τὴν ἐνέργειαν φανερὰν ποιεῖ, καθάπερ αὐτὴν [ἀθάνατον] αἴσθησιν οὐκ ἔχει, ὡς ἐξ οὐσίας τοιαύτης συνεστῶτα· ἡ γὰρ αἴσθησις οὐδ' ὅλως ἄλλου ἐστὶ [σωματικὴ] ἢ τοῦ προσγενομένου τῷ σώματι κακοῦ ἢ τοῦ ἀγαθοῦ ἢ τοῦ πάλιν αὖ ἀπογενομένου. Τοῖς δὲ ἀιδίοις σώμασιν οὔτε προσγίνεταί 〈τι〉 οὔτε ἀπογίνεται· διὸ αἴσθησις ἐν ἐκείνοις οὐ γίνεται. 〈ΤΑΤ〉 Ἐν παντὶ οὖν σώματι αἴσθησις αἰσθάνεται; 〈Ἑρμ.〉 Ἐν παντί, ὦ τέκνον, καὶ ἐνέργειαι 〈ἐν〉 πᾶσιν ἐνεργοῦσι. 〈ΤΑΤ〉 Καὶ τοῖς ἀψύχοις, ὦ πάτερ; 〈Ἑρμ.〉 Καὶ 〈τοῖσ〉 ἀψύχοις, ὦ τέκνον. Διαφοραὶ δέ εἰσι τῶν αἰσθήσεων· αἱ μὲν τῶν λογικῶν μετὰ λόγου γίγνονται, αἱ δὲ τῶν ἀλόγων σωματικαί εἰσι μόνον, αἱ δὲ τῶν ἀψύχων αἰσθήσεις μέν εἰσι,

παθητικαὶ δὲ κατὰ αὔξησιν μόνον καὶ κατὰ μείωσιν γιγνόμεναι. Τὸ δὲ πάθος καὶ 〈ἡ〉 αἴσθησις ἀπὸ μιᾶς κορυφῆς ἤρτηνται, εἰς δὲ τὸ αὐτὸ συνάγονται, ὑπὸ δὴ τῶν ἐνεργειῶν. Τῶν δὲ ἐμψύχων ζῴων εἰσὶ δύο ἄλλαι ἐνέργειαι, αἳ παρέπονται ταῖς αἰσθήσεσι καὶ τοῖς πάθεσι, λύπη καὶ χαρά· χωρὶς τούτων ζῷον ἔμψυχον καὶ μάλιστα λογικὸν αἴσθεσθαι ἀδύνατον· διὸ καὶ ἰδέας ταύτας εἶναί φημι [τῶν παθῶν ἰδέας] τῶν λογικῶν μᾶλλον ζῴων ἐπικράτουσας. [Αἱ μὲν ἐνέργειαι ἐνεργοῦσιν, αἱ δὲ αἰσθήσεις τὰς ἐνεργείας ἀναφαίνουσιν.] Αὗται δὲ οὖσαι σωματικαὶ ἀνακινοῦνται ὑπὸ κακωτικὰς εἶναι. Τό τε γὰρ χαίρειν μεθ' ἡδονῆς τὴν αἴσθησιν παρέχον πολλῶν κακῶν εὐθέως αἴτιον συμβαίνει τῷ παθόντι, ἥ τε λύπη ἀλγηδόνας καὶ ὀδύνας ἰσχυροτέρας παρέχεται· διόπερ εἰκότως ἀμφότεραι κακωτικαὶ ἂν εἴησαν. 〈ΤΑΤ〉 Ἡ αὐτὴ 〈δ'〉 ἂν εἴη αἴσθησις ψυχῆς καὶ σώματος, ὦ πάτερ; 〈ΕΡΜ.〉 Πῶς νοεῖς, ὦ παῖ, ψυχῆς αἴσθησιν; 〈ΤΑΤ〉 Οὐχ ἡ μὲν ψυχὴ ἀσώματος, ἡ δὲ αἴσθησις σῶμα ἂν εἴη, ὦ πάτερ, 〈εἰ〉 ἡ αἴσθησις [ἡ] ἐν σώματι οὖσα τυγχάνει; 〈ΕΡΜ.〉 Ἐὰν ἐν σώματι αὐτὴν θῶμεν, ὦ τέκνον, ὁμοίαν τῇ ψυχῇ αὐτὴν ἀποφανοῦμεν ἢ ταῖς ἐνεργείαις· ταῦτα γὰρ ἀσώματα ὄντα φαμὲν ἐν σώμασιν. Ἡ δὲ αἴσθησις οὔτε ἐνέργειά ἐστιν οὔτε ψυχὴ οὔτε ἀσώματόν τι ἄλλο παρὰ τὰ προειρημένα, οὐκ ἂν οὖν εἴη ἀσώματον· εἰ δ' οὐκ ἔστιν ἀσώματον, σῶμα ἂν εἴη· τῶν γὰρ ὄντων δεῖ τὰ μὲν σώματα εἶναι, τὰ δὲ ἀσώματα. Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα (p. 40 Patrit.). Κινεῖται δὲ τὸ κινούμενον κατ' ἐνέργειαν τῆς κινήσεως τῆς κινούσης τὸ πᾶν. Ἡ γὰρ φύσις τοῦ παντὸς τῷ παντὶ παρέχει κινήσεις, μίαν μὲν τὴν κατὰ δύναμιν αὐτῆς, ἑτέραν δὲ τὴν κατ' ἐνέργειαν· καὶ ἡ μὲν διήκει διὰ τοῦ σύμπαντος κόσμου καὶ ἐντὸς συνέχει· ἡ δὲ παρήκει καὶ ἐκτὸς περιέχει· καὶ διὰ πάντων πεφοιτήκασι κοινῇ. Καὶ ἡ φύσις πάντων, φύουσα τὰ γιγνόμενα, φυὴν παρέχει τοῖς φυομένοις, σπείρουσα μὲν τὰ ἑαυτῆς σπέρματα, γενέσεις 〈δ'〉 ἔχουσα δι' ὕλην κινητήν. Κινουμένη δὲ ἐγένετο ἐκ τῶν τριῶν, τοῦ τε ὕδατος 〈καὶ〉 τῆς γῆς καὶ τοῦ πυρός, καὶ ἐγένετο ἀήρ. Ταῦτα συνῆλθε κατὰ τὸν τῆς ἁρμονίας λόγον, θερμὸν ψυχρῷ, ξηρὸν ὑγρῷ, καὶ ἐκ τῆς συμπνοίας τούτων ἐγένετο πνεῦμα καὶ σπέρμα ἀνάλογον τῷ περιέχοντι πνεύματι. Τοῦτο δὲ ἐς τὴν μήτραν ἐμπεσὸν οὐκ ἠρεμεῖ ἐν τῷ σπέρματι, οὐκ ἠρεμοῦν δὲ μεταβάλλει τὸ σπέρμα, μεταβαλλόμενον δὲ αὔξην ἴσχει καὶ μέγεθος. Ἐπὶ τῷ μεγέθει δὲ εἴδωλον ἐπισπᾶται σχήματος καὶ σχηματίζεται· ὀχεῖται δὲ ἐπὶ τῷ σχήματι τὸ εἶδος, δι' οὗ καὶ εἰδωλοποιεῖται τὸ εἰδωλοποιούμενον. Ἐπεὶ τοίνυν τὸ πνεῦμα οὐκ εἶχεν ἐν τῇ νηδύι τὴν ζωτικὴν κίνησιν, τὴν δὲ βλαστικήν, καὶ ταύτην ἥρμοσεν ἁρμονία, ὑποδοχὴν οὖσαν τῆς διανοητικῆς ζωῆς. Ἔστι δὲ αὕτη ἀμερὴς καὶ ἀμετάβλητος, οὐδέποτε ἐξισταμένη τῆς ἀμεταβλησίας. Τὸ δ' ἐν τῇ νηδύι ἀριθμοῖς λοχεύει καὶ μαιοῦται καὶ εἰς τὸν ἔξω ἀέρα ἄγει· καὶ ἐγγυτάτω ψυχὴ οὖσα οἰκειοῦται, οὐ κατὰ τὴν συγγενικὴν ἰδιότητα ἀλλὰ τὴν καθειμαρμένην· οὐ γὰρ ἔρως ἐστὶν αὐτῇ μετὰ σώματος εἶναι. Διὰ τοῦτο καθ' εἱμαρμένην παρέχει τῷ γιγνομένῳ διανοητικὴν κίνησιν καὶ νοερὰν ζωῆς αὐτῆς οὐσίαν· παρεισέρπει γὰρ τῷ πνεύματι καὶ κινεῖ ζωτικῶς. Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα πρὸς Τάτ (p. 45 b Patrit.). Καὶ ὁ μὲν κύριος καὶ πάντων δημιουργὸς τῶν ἀιδίων σωμάτων, ὦ Τάτ, ἅπαξ ποιήσας οὐκέτι ἐποίησεν οὐδὲ ποιεῖ. Ταῦτα γὰρ ἑαυτοῖς παραδοὺς καὶ ἑνώσας ἀλλήἡμέτερος δημιουργὸς ἐν σώματι ὧν ἐποίησεν ἡμᾶς καὶ ποιεῖ ἀεὶ καὶ ποιήσει σώματα διαλυτὰ καὶ θνητά. Οὐ γὰρ θέμις ἦν αὐτῷ μιμεῖσθαι τὸν ἑαυτοῦ δημιουργόν, ἄλλως τε καὶ ἀδύνατον 〈ὄν〉. ὃ μὲν γὰρ ἐκ τῆς πρώτης οὐσίας ἐποίησεν οὔσης ἀσωμάτου, ὃ δὲ ἐκ τῆς γειναμένης σωματώσεως ἐποίησεν ἡμᾶς. Εἰκότως οὖν κατὰ τὸν ὀρθὸν λόγον ἐκεῖνα μὲν τὰ σώματα, ὡς ἐξ ἀσωμάτου οὐσίας γεγεννημένα, ἀθάνατά ἐστι· τὰ δὲ ἡμέτερα διαλυτὰ καὶ θνητά, ὡς τῆς ὕλης ἡμῶν ἐκ σωμάτων συνεστώσης, διὰ τὸ ἀσθενῆ εἶναι καὶ πολλῆς ἐπικουρίας δεόμενα. Πῶς γὰρ ἂν καὶ τὸ τυχὸν ἀντέσχεν ὁ σύνδεσμος ἡμῶν τῶν σωμάτων, εἰ μή τινα εἶχεν ἐπεισερχομένην τροφὴν ἐκ τῶν ὁμοίων στοιχείων καὶ ὑπεσωμάτου ἡμᾶς καθ' ἑκάστην τὴν ἡμέραν; Καὶ γὰρ γῆς τε καὶ ὕδατος καὶ πυρὸς καὶ ἀέρος ἐπιρροὴ ἡμῖν γίγνεται, ἥ τις τὰ σώματα

ἡμῶν νεοποιοῦσα συνέχει τὸ σκῆνος· ὥστε καὶ πρὸς τὰς κινήσεις ἐσμὲν ἀσθενέστεροι, φέροντες κινήσεις μηδὲ ἡμέρας μιᾶς. Εὖ γὰρ ἴσθι, ὦ τέκνον, ὅτι εἰ μὴ ἐν ταῖς νυξὶν ἡμῶν ἀνεπαύετο τὰ σώματα, οὐκ ἂν πρὸς μίαν ἡμέραν ἀντέσχομεν. Ὅθεν ἀγαθὸς ὢν ὁ δημιουργὸς πάντα προεπιστάμενος, εἰς διαμονὴν τοῦ ζῴου ἐποίησε τὸν ὕπνον, [ὃν] μέγιστον τοῦ καμάτου τῆς κινήσεως, καὶ ἐπ' ἰσότητος ἔταξεν ἑκατέρῳ χρόνον, μᾶλλον δὲ 〈δ'〉 ἐκείνης. Καθάπερ γὰρ ἡ ψυχὴ κινήσεώς ἐστιν ἐνέργεια, τὸν αὐτὸν τρόπον καὶ τὰ σώματα ζῆν οὐ δύναται χωρὶς τοῦ ὕπνου. Ἄνεσις γὰρ καὶ ἄφεσίς ἐστι τῶν συνδέτων μελῶν καὶ ἔσωθεν ἐνεργεῖ σωματοποιῶν τὴν ἐπεισελθοῦσαν ὕλην, ἑκάστῳ τὸ οἰκεῖον διαστέλλων· τὸ μὲν ὕδωρ τῷ αἵματι, τὴν δὲ γῆν 〈τοῖσ〉 ὀστέοις καὶ μυελοῖς, τὸν δὲ ἀέρα τοῖς νεύροις καὶ φλεψί, τὸ δὲ πῦρ τῇ ὁράσει. Διόπερ καὶ ἥδεται ἄκρως τὸ σῶμα τοῦ ὕπνου ταύτην ἐνεργοῦντος τὴν ἡδονήν. Πλάτωνος ἐκ τοῦ Κρατύλου (p. 400 B. C). Τὸ σῶμα λέγεις; Πολλαχῇ μοι δοκεῖ τοῦτό γε· ἂν μὲν καὶ σμικρόν τις παρακλίνῃ, καὶ πάνυ· καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι· καὶ διότι αὖ τούτῳ σημαίνει ἃ ἂν σημαίνῃ ἡ ψυχή, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι. Δοκοῦσι μέντοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι· τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σῴζηται, δεσμωτηρίου εἰκόνα· εἶναι οὖν τῆς ψυχῆς τοῦτο αὐτό, ὥσπερ ὀνομάζεται, ἕως ἂν ἐκτίσῃ τὰ ὀφειλόμενα, 〈τὸ〉 σῶμα, καὶ οὐδὲν δεῖν παράγειν οὐδὲν γράμμα. 〈 Πλουτάρχο υ . 〉 ἐπεὶ οὔ ἐθέν ἐστι χερείων οὐ δέμας οὐδὲ φυήν. Τὸ δὲ ἀποβεβληκὸς τὴν ψυχὴν σῶμα καλεῖ (H 79. 80)· Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα. Τὸ γὰρ αὐτὸ τῆς ψυχῆς δεσμὸς μὲν ἦν καὶ δέμας κρατουμένης, σῶμα δὲ ἀπολείπεται, τουτέστι σῆμα καὶ ἴχνος, ἀπελθούσης. Ἑρμοῦ (p. 51 b Patrit.). Ἔστι τοίνυν τὸ προὸν ἐπὶ πάντων τῶν ὄντων καὶ τῶν ὄντως ὄντων. Προὸν [ὂν] γάρ ἐστι, δι' οὗ ἡ οὐσιότης ἡ καθόλου λεγομένη κοινὴ νοεῖται τῶν ὄντως ὄντων καὶ τῶν ὄντων τῶν καθ' ἑαυτὰ νοουμένων. Τὰ δὲ ἐναντία τούτοις κατὰ τὸ ἕτερον πάλιν αὐτὰ καθ' ἑαυτά ἐστι φύσις, οὐσία αἰσθητή, ἔχουσα ἐν ἑαυτῇ αἰσθητὰ πάντα. Μεταξὺ δὲ τούτων νοηματικοὶ καὶ αἰσθητοὶ θεοί· *** τὰ μὲν μετέχοντα τῶν νοητῶν, τὰ δὲ δοξαστά, τὰ κοινωνοῦντα τῶν νοηματικῶν θεῶν. Αὗται δὲ εἰκόνες εἰσὶ νοημάτων, οἷον ἥλιος εἰκών ἐστι τοῦ ἐπουρανίου δημιουργοῦ θεοῦ. Καθάπερ γὰρ ἐκεῖνος τὸ ὅλον ἐδημιούργησε, καὶ ὁ ἥλιος δημιουργεῖ τὰ ζῷα καὶ γεννᾷ 〈τὰ〉 φυτὰ

1.42 Περὶ τῆς τῶν ζώιων γενέσεων. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 76 E —77 C). Ἐπειδὴ δὲ πάντα ἦν τὰ τοῦ θνητοῦ ζῴου συμπεφυκότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν πυρὶ καὶ πνεύματι συνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτῷ, καὶ διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον, κενούμενον ἔφθινε, βοήθειαν αὐτῷ θεοὶ μηχανῶνται. τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῷον εἶναι, φυτεύουσιν· ἃ δὴ νῦν ἥμερα δένδρα καὶ φυτὰ καὶ σπέρματα παιδευθέντα ὑπὸ γεωργίας τιθασῶς πρὸς ἡμᾶς ἔσχε· πρὶν δ' ἦν μόνα τὰ τῶν ἀγρίων γένη, πρεσβύτερα τῶν ἡμέρων ὄντα. Πᾶν γὰρ οὖν ὅ τι περ ἂν μετάσχῃ τοῦ ζῆν, ζῷον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατον· μετέχει γε μὴν τοῦτο, ὃ νῦν λέγομεν, τοῦ τρίτου ψυχῆς εἴδους, ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρῦσθαι λόγος, ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως δὲ ἡδείας καὶ ἀλγεινῆς μετὰ ἐπιθυμιῶν. πάσχον γὰρ διατελεῖ πάντα· στραφέντι δὲ αὐτῷ ἐν ἑαυτῷ περὶ ἑαυτό, τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δὲ οἰκείᾳ χρησαμένῳ, τῶν αὐτοῦ τι λογίσασθαι κατιδόντι φύσιν οὐ παρέδωκεν ἡ γένεσις· διὸ δὴ ζῇ μὲν ἔστι τε οὐχ ἕτερον ζῴου, μόνιμον δὲ καὶ κατερριζωμένον πέπηγε διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως ἐστερῆσθαι. 〈Περὶ συλλήψεως.〉 deest. 〈Ἐν πόσωι χρόνωι διαρθροῦται τὸ ἔμβρυον.〉 deest. 〈Ἀπὸ ποίου ἄρχεται μορίου μορφοῦσθαι τὸ ἔμβρυον.〉 deest. 〈Πῶς ἄρρενα γεννᾶται καὶ θήλεα.〉 deest. 〈Πῶς τέρατα γίνεται.〉 deest. 〈Πόθεν γίνονται τῶν γονέων αἱ ὁμοιώσεις ἢ τῶν προγόνων.〉 Ἑρμοῦ ἐκ τῆς Ἀφροδίτης (p. 46 Patrit.). Παρὰ τί δὲ τὰ

βρέφη ὅμοια τοῖς γονεῦσι γίνεται ἢ συγγενείαις ἀποδίδοται; Ἐκθήσω λόγον. Ὅταν νοστίμου αἵματος ἐξαφρουμένου ἡ γέννησις ἀποθησαυρίζῃ γόνον, συμβαίνει πως ἐκπνεῖν ἐκ τοῦ σώματος ὅλου μελῶν οὐσίαν τινὰ κατὰ θείαν ἐνέργειαν, ὡς τοῦ αὐτοῦ ἀνθρώπου γινομένου, τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς γυναικὸς εἰκὸς γίγνεσθαι. Ὅταν 〈οὖν〉 καθυπερτερήσῃ τὸ ῥυὲν ἀπὸ τοῦ ἀνδρὸς καὶ ἄθικτον γένηται, τῷ πατρὶ ὁμοιούμενον τὸ βρέφος ἀποδειχθήσεται, ὡς τὸ ἀνάπαλιν τὸν αὐτὸν τρόπον τῇ μητρί· ἐὰν 〈δέ〉 τινος μέρους καθυπερτέρησις γένηται, πρὸς ἐκεῖνο τὸ μέρος ἀφομοιοῦται. Ἔσθ' ὅτε δὲ καὶ εἰς μακρὰς γενεὰς παραβάλλει τὸ βρέφος τῇ μορφῇ τοῦ γεννήσαντος, ἐκείνου δεκανοῦ λόγον ἔχοντος πρὸς τὴν ὥραν, ἐν ᾗ ἡ γυνὴ ἐπαιδοποίει. 〈Πῶς ἄλλοις ὅμοιοι γίνονται οἱ γεννώμενοι καὶ οὐ τοῖς γονεῦσι.〉 deest. 〈Διατί αἱ ἡμίονοι στεῖραι.〉 deest. 〈Πῶς δίδυμα γίνεται καὶ τρίδυμα.〉 deest. 〈Εἰ τὸ ἔμβρυον ζῶιον.〉 deest. 〈Πῶς τρέφεται τὰ ἔμβρυα.〉 deest. 〈Διατί τὰ ἐπταμηνιαῖα γόνιμα.〉 〈 Aetii (V 18, 4 p. 428, 1 Diels.).〉 Οἱ δὲ περὶ τὸν Ἀριστοτέλην καὶ Ἱπποκράτην φασίν, ἐὰν μὲν ἐκπληρωθῇ ἡ μήτρα ἐν τοῖς ἑπτὰ μησί, τότε προκύπτειν καὶ γεννᾶσθαι γόνιμα· ἐὰν δὲ προκύψῃ μέν, μὴ τρέφηται δέ, ἀσθενήσαντος [δὲ] τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτῷ γενέσθαι τὸ ἔμβρυον, ἄτροφον εἶναι. Ἐὰν δὲ μείνῃ τοὺς ἐννέα μῆνας ἐν τῇ μήτρᾳ, προκύψαν τότε

1.43 〈 Aetii (V 20, 1 p. 432, 1 Diels.).〉 Πλάτων καὶ Ἀριστοτέλης τέτταρα γένη ζῴων· χερσαῖα, ἔνυδρα, πτηνά, οὐράνια. Καὶ γὰρ τὰ ἄστρα ζῷα λέγεσθαι, τὸν κόσμον καὶ τὸν ἔνθεον ζῷον λογικὸν ἀθάνατον.

1.44 deest.

1.45 〈 Aetii (V 26, 1. 2 p. 438, 3 Diels.).〉 Πλάτων Θαλῆς καὶ τὰ φυτὰ ἔμψυχα ζῷα. Φανερὸν δὲ καὶ ἀπὸ τοῦ σαλεύεσθαι καὶ ἐντεταμένους ἔχειν τοὺς κλάδους καὶ ταῖς ἐπαγωγαῖς εἴκειν καὶ πάλιν σφο- Ἀριστοτέλης ἔμψυχα μέν. οὐ μὴν ζῷα. Τὰ γὰρ ζῷα ὁρμητικὰ εἶναι καὶ αἰσθητικά, ἔνια δὲ καὶ λογικά.

1.46 deest.

1.47 Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 90 E —92 C). Καὶ δὴ καὶ τὰ νῦν ἡμῖν ἐξ ἀρχῆς παραγγελθέντα διεξελθεῖν περὶ τοῦ παντὸς μέχρι γενέσεως ἀνθρωπίνης σχεδὸν ἔοικε τέλος ἔχειν. Τὰ γὰρ ἄλλα ζῷα ᾗ γέγονεν αὖ διὰ βραχέων ἐπιμνηστέον, ὃ μή τις ἀνάγκη μηκύνειν· οὕτω γὰρ ἐμμετρότερός τις αὐτῷ ἂν δόξειε περὶ τοὺς τοιούτων λόγους εἶναι. Τῇδ' οὖν τὸ τοιοῦτον ἔστω λεγόμενον. Τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ καὶ τὸν βίον ἀδίκως διῆλθον, κατὰ λόγον τὸν εἰκότα γυναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει. Καὶ κατ' ἐκεῖνον δὴ τὸν χρόνον διὰ ταῦτα θεοὶ τὸν τῆς ξυνουσίας ἔρωτα ἐτεκτήναντο, ζῷον τὸ μὲν ἐν ἡμῖν, τὸ δ' ἐν ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον, τοιῷδε τρόπῳ ποιήσαντες ἑκάτερον. Τὴν τοῦ ποτοῦ διέξοδον, ᾗ διὰ τοῦ πνεύμονος τὸ πῶμα ὑπὸ τοὺς νεφροὺς εἰς τὴν κύστιν ἐλθὸν καὶ τῷ πνοὴν τοῦθ' ᾗπερ ἀνέπνευσε, τῆς ἐκροῆς ζωτικὴν ἐπιθυμίαν ἐμποιήσας αὐτῷ, τοῦ γεννᾶν ἔρωτα ἀπετέλεσε. Διὸ δὴ τῶν μὲν ἀνδρῶν τὸ περὶ τὴν τῶν αἰδοίων φύσιν ἀπειθές τε καὶ αὐτοκρατὲς γεγονός, οἷον ζῷον ἀνυπήκοον τοῦ λόγου, πάντων δι' ἐπιθυμίας οἰστρώδεις ἐπιχειρεῖ κρατεῖν· αἱ δ' ἐν ταῖς γυναιξὶ μῆτραί τε καὶ ὑστέραι λεγόμεναι διὰ τὰ αὐτὰ ταῦτα, ζῷον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδοποιίας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίγνηται, χαλεπῶς ἀγανακτοῦν φέρει καὶ πλανώμενον πάντῃ κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν, εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλει καὶ νόσους παντοδαπὰς ἄλλας παρέχει, μέχρι περ ἂν ἑκατέρων ἡ ἐπιθυμία καὶ ὁ ἔρως ξυναγαγόντες, οἷον ἀπὸ δένδρων καρπὸν ἀποδρέψαντες, ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῷα κατασπείραντες καὶ πάλιν διακρίναντες, μεγάλα ἐντὸς ἐκθρέψωνται καὶ μετὰ τοῦτο εἰς φῶς ἀγαγόντες ζῴων ἀποτελέσωσι γένεσιν.

Γυναῖκες μὲν οὖν καὶ τὸ θῆλυ πᾶν οὕτω γέγονε· τὸ δὲ τῶν ὀρνίθων φῦλον μετερρυθμίζετο, ἀντὶ τριχῶν πτερὰ φῦον, ἐκ τῶν ἀκάκων ἀνδρῶν, κούφων δέ, καὶ μετεωρολογικῶν μέν, ἡγουμένων δὲ διὰ ὄψεως τὰς περὶ τούτων ἀποδείξεις βεβαιοτάτας εἶναι δι' εὐήθειαν. Τὸ δ' αὖ πεζὸν καὶ θηριῶδες γέγονεν ἐκ τῶν μηδὲν προσχρωμένων φιλοσοφίᾳ μηδὲ ἀθρούντων ταῖς ἐν τῇ κεφαλῇ χρῆσθαι περιόδοις, ἀλλὰ τοῖς περὶ τὰ στήθη τῆς ψυχῆς ἡγεμόσιν ἔπεσθαι μέρεσιν. Ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων τά τ' ἔμπροσθεν κῶλα καὶ τὰς κεφαλὰς εἰς γῆν ἑλκόμενα ὑπὸ συγγενείας ἤρεισαν, προμήκεις τε καὶ παντοίας ἔσχον τὰς κορυφάς, ὅπῃ συνεθλίφθησαν ὑπὸ ἀργίας ἑκάστων αἱ περιφοραί. Τετράπουν τε τὸ γένος αὐτῶν ἐκ ταύτης ἐφύετο καὶ πολύπουν τῆς προφάσεως, θεοῦ βάσεις ὑποτιθέντος πλείους τοῖς μᾶλλον ἄφροσιν, ὡς μᾶλλον ἐπὶ γῆν ἕλκοιντο. Τοῖς δ' ἀφρονεστάτοις αὐτῶν τούτων καὶ παντάπασι πρὸς γῆν πᾶν τὸ σῶμα κατατεινομένοις, ὡς οὐδὲν ἔτι ποδῶν χρείας οὔσης, ἄποδα αὐτὰ καὶ ἰλυσπώμενα ἐπὶ γῆς ἐγέννησαν. Τὸ δὲ τέταρτον γένος ἔνυδρον γέγονεν ἐκ τῶν μάλιστα ἀνοητοτάτων καὶ ἀμαθεστάτων, οὓς οὐδὲ ἀναπνοῆς καθαρᾶς ἔτι ἠξίωσαν οἱ μεταπλάττοντες, ὡς τὴν ψυχὴν ὑπὸ πλημμελείας πάσης ἀκαθάρτως ἐχόντων, ἀλλ' ἀντὶ λεπτῆς καὶ καθαρᾶς ἀναπνοῆς ἀέρος εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἔωσαν ἀνάπνευσιν· ὅθεν ἰχθύων γένος καὶ τὸ τῶν ὀστρέων ξυναπάντων τε ὅσα ἔνυδρα γέγονε, δίκην ἀμαθίας ἐσχάτης ἐσχάτας οἰκήσεις εἰληχότων. Καὶ κατὰ ταῦτα δὴ πάντα τότε καὶ νῦν διαμείβεται τὰ ζῷα εἰς ἄλληλα, νοῦ καὶ ἀνοίας ἀποβολῇ καὶ κτήσει μεταβαλλόμενα. Καὶ δὴ καὶ τέλος περὶ τοῦ παντὸς νῦν ἤδη τὸν λόγον φῶμεν ἔχειν· θνητὰ γὰρ καὶ ἀθάνατα ζῷα λαβὼν καὶ συμπληρωθεὶς ὅδε ὁ κόσμος, οὕτω ζῷον ὁρατὸν τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ ποιητοῦ θεὸς αἰσθητός, μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε, μονο- Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 42 A). Πρῶτον μὲν οὖν αἴσθησιν ἀναγκαῖον εἶη πᾶσιν ἐκ βιαίων παθημάτων σύμφυτον γίγνεσθαι· δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα· πρὸς δὲ τούτοις φόβον τε καὶ θυμόν, ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεστηκότα. Πλάτωνος ἐκ τοῦ Κρατύλου (p. 399 C). Ὀρθῶς ὁ ἄνθρωπος ἄνθρωπος ὠνομάσθη, ἀναθρῶν ἃ ὄπωπε. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 90 A). Τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους. Πλάτωνος Νόμων ε′ (p. 747 D. E). Καὶ γάρ, ὦ Μέγιλλέ τε καὶ Κλεινία, μηδὲ τοῦθ' ἡμᾶς λανθανέτω περὶ τόπων, ὡς οὐκ εἰσί τινες ἄλλοι διαφέροντες ἄλλων τόπων πρὸς τὸ γεννᾶν ἀνθρώπους ἀμείνους καὶ χείρους, οἷς οὐκ ἐναντία νομοθετητέον. Οἳ μέν γέ που διὰ πνεύματα παντοῖα καὶ δι' εἰλήσεις ἀλλόκοτοί τέ εἰσι καὶ ἐναίσιοι αὐτῶν, οἳ δὲ δι' ὕδατα, οἳ δὲ δι' αὐτὴν τὴν ἐκ τῆς γῆς τροφὴν ἀναδιδοῦσαν, οὐ μόνον τοῖς σώμασιν ἀμείνω καὶ χείρω, ταῖς ψυχαῖς δὲ οὐχ ἧττον δυναμένην πάντα τὰ τοιαῦτα ἐμποιεῖν. Ἐκ τῶν Ἀριστοτέλους Φυσιογνωμονικῶν (p. 805 a 1—18 Bekk.). κινήσεων, τοῦτο δῆλον γίνεται ἐν ταῖς μέθαις καὶ ἀρρωστίαις· πολὺ γὰρ ἐξαλλάττουσαι φαίνονται αἱ διάνοιαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων. Καὶ τοὐναντίον δὴ τοῖς τῆς ψυχῆς παθήμασι τὸ σῶμα συμπάσχον φανερόν ἐστι περί τε τοὺς ἔρωτας καὶ τοὺς φόβους καὶ τὰς λύπας καὶ τὰς ἡδονάς. Ἔτι δὲ ἐν τοῖς φύσει γιγνομένοις μᾶλλον ἄν τις συνίδοι, ὅτι οὕτως ἔχει πρὸς ἄλληλα σῶμά τε καὶ ψυχὴ συμφυῆ, ὥστε τῶν πλείστων ἀλλήλοις αἴτια γίγνεσθαι παθημάτων. Οὐδὲν γάρ που ζῷον γεγένηται τοιοῦτον, ὃ τὸ μὲν εἶδος ἔσχηκέ τι ἑτέρου ζῴου, τὴν δὲ διάνοιαν ἄλλου, ἀλλ' ἀεὶ τοῦ αὐτοῦ τό τε σῶμα καὶ ἡ ψυχή, ὡς ἀναγκαῖον ἕπεσθαι τῷ τοιῷδε σώματι τοιάνδε διάνοιαν. Ἔτι δὲ καὶ τῶν ἄλλων ζῴων οἱ περὶ ἕκαστον ἐπιστήμονες ἐκ τῆς ἰδέας δύνανται θεωρεῖν ἱππικοί τε ἵππους καὶ κυνηγετικοὶ κύνας. Εἰ δὴ ταῦτά ἐστιν ἀληθῆ, ἀληθὴς ἂν εἴη ἡ φυσιογνωμονία. Πλάτωνος Νόμων ζ′ (p. 797 D —798 B). Μεταβολὴν γὰρ δὴ πάντων πλὴν κακῶν πολὺ σφαλερώτατον εὑρήσομεν, ἐν ὥραις πάσαις, ἐν πνεύμασι καὶ διαίταις σωμάτων, ἐν τρόποις ψυχῶν, ἐν ὡς ἔπος εἰπεῖν οὐ τοῖς μὲν τοῖς δ' οὔ, πλὴν ὅπερ εἶπον νῦν δὴ κακοῖς· ὥστε εἴ τις ἀποβλέψειε πρὸς σώματα, ὡς πᾶσι μὲν σιτίοις πᾶσι

δὲ ποτοῖς καὶ πόνοις ξυνήθη γιγνόμενα, καὶ τὸ πρῶτον ταραχθέντα ὑπ' αὐτῶν, ἔπειτα ἐξ αὐτῶν τούτε καὶ ξυνήθη καὶ γνώριμα γενόμενα πάσῃ ταύτῃ τῇ διαίτῃ πρὸς ἡδονὴν καὶ ὑγείαν ἄριστα διάγει· καὶ ἐάν ποτ' ἄρα ἀναγκασθῇ μεταβάλλειν αὖθις ἡντινοῦν τῶν εὐδοκίμων διαιτῶν, τότε κατ' ἀρχὰς συνταραχθεὶς ὑπὸ νόσων μόγις ποτὲ κατέστη τὴν συνήθειαν τῇ τροφῇ πάλιν ἀπολαβών· ταὐτὸν δὴ δεῖ νομίζειν τοῦτο γίγνεσθαι καὶ περὶ τὰς τῶν ἀνθρώπων διανοίας τε ἅμα καὶ τὰς τῶν ψυχῶν φύσεις. Οἷς γὰρ ἂν ἐντραφῶσι νόμοις καὶ κατά τινα θείαν εὐτυχίαν ἀκίνητοι γένωνται μακρῶν καὶ πολλῶν χρόνων, ὡς μηδένα ἔχειν μνείαν μηδὲ ἀκοὴν τοῦ ποτὲ ἄλλως αὐτὰ σχεῖν ἢ καθάπερ νῦν ἔχει, σέβεται καὶ φοβεῖται πᾶσα ἡ ψυχὴ τό τι κινεῖν τῶν τότε καθεστώτων. Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ (p. 11 b Patrit.; 82, 2 Parthey.). 〈ΕΡΜ.〉 Κοινωνία δέ ἐστι ψυχῶν, καὶ κοινωνοῦσι μὲν αἱ τῶν θεῶν ταῖς τῶν ἀνθρώπων, αἱ δὲ τῶν ἀνθρώπων ταῖς τῶν ἀλόγων. Ἐπιμελοῦνται δὲ οἱ κρείττονες τῶν ἐλαττόνων, θεοὶ μὲν ἀνθρώπων, ἄνθρωποι δὲ τῶν ἀλόγων [ζῴων], ὁ δὲ θεὸς πάντων. Ὁ μὲν οὖν κόσμος ὑπόκειται τῷ θεῷ, ὁ δὲ ἄνθρωπος τῷ κόσμῳ, τὰ δὲ ἄλογα τῷ ἀνθρώπῳ, ὁ δὲ θεὸς ὑπὲρ πάντα καὶ περὶ πάντα. Καὶ τοῦ μὲν θεοῦ καθάπερ [αἱ] ἀκτῖνες αἱ ἐνέργειαι· τοῦ δὲ κόσμου [αἱ ἀκτῖνες] αἱ φύσεις· τοῦ δὲ ἀνθρώπου αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι. Καὶ αἱ μὲν ἐνέργειαι διὰ τοῦ κόσμου ἐνεργοῦσι καὶ ἐπὶ τὸν ἄνθρωπον διὰ τῶν τοῦ κόσμου φυσικῶν αἰτίων, αἱ δὲ φύσεις διὰ στημῶν. Καὶ αὕτη ἡ τοῦ παντὸς διοίκησις ἠρτημένη ἐκ τῆς 〈τοῦ〉 ἑνὸς φύσεως καὶ διήκουσα δι' ἑνὸς τοῦ νοῦ, οὗ οὐδέν ἐστι θειότερον καὶ ἐνεργέστερον καὶ ἑνωτικώτερον ἀνθρώπων μὲν πρὸς θεούς, θεῶν δὲ πρὸς ἀνθρώπους. Οὗτός ἐστιν ὁ ἀγαθὸς δαίμων· ὅθεν μακαρία ψυχὴ ἡ τούτου πληρεστάτη, κακοδαίμων δὲ ψυχὴ ἡ τούτου κενωτάτη. 〈ΤΑΤ〉 Πῶς τοῦτο πάλιν λέγεις, ὦ πάτερ; 〈ΕΡΜ.〉 Οἴει οὖν, ὦ τέκνον, ὅτι πᾶσα ψυχὴ νοῦν ἔχει τὸν ἀγαθόν; περὶ γὰρ τούτου ὁ νῦν λόγος, οὐ τοῦ ὑπηρετικοῦ, περὶ οὗ ἔμπροσθεν εἰρήκαμεν, τοῦ καταπεμπομένου ὑπὸ τῆς δίκης. Ψυχὴ γὰρ χωρὶς 〈τοῦ〉 νοῦ „οὔτε τι εἰπεῖν οὔτ' ἔρξαι δύναται“ (Theogn. 177. 178). Πολλάκις γὰρ ἐξίσταται ὁ νοῦς τῆς ψυχῆς, καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ οὔτε βλέπει ἡ ψυχὴ οὔτε ἀκούει, ἀλλ' ἀλόγῳ ζῴῳ ἔοικε. Τηλικαύτη δύναμίς ἐστι τοῦ νοῦ, ἀλλ' οὐδὲ νωθρᾶς ψυχῆς ἀνέχεται, ἀλλὰ καταλείπει τὴν [ἐν] τῷ σώματι προσκειμένην καὶ ὑπ' αὐτοῦ ἀγχομένην κάτω· ἡ τοιαύτη δὲ ψυχή, ὦ τέκνον, νοῦν οὐκ ἔχει. Ὅθεν οὐδ' ἄνθρωπον ἡγεῖσθαι δεῖ τὸν τοιοῦτον· ὁ γὰρ ἄνθρωπος θεῖον ζῷόν ἐστι καὶ οὐδὲ τοῖς ἄλλοις ζῴοις συγκρινόουρανίων 〈θεῶν〉 ἐπὶ γῆς κατελεύσεται, οὐρανοῦ τὸν ὅρον καταλιπών· ὁ δὲ ἄνθρωπος καὶ εἰς τὸν οὐρανὸν ἀναβαίνει καὶ μετρεῖ αὐτὸν καὶ τὸ πάντων μεῖζον οὐδὲ τὴν γῆν καταλιπὼν ἄνω γίγνεται· τοσοῦτον τὸ μέγεθός ἐστιν αὐτοῦ τῆς ἐκτάσεως. Διὸ τολμητέον εἰπεῖν, τὸν μὲν ἄνθρωπον 〈τὸν〉 ἐπίγειον εἶναι θνητὸν θεόν, τὸν δὲ οὐράνιον θεὸν ἀθάνατον ἄνθρωπον. Διόπερ διὰ τούτων τὰ πάντα 〈διοικεῖται〉 τῶν δύο, κόσμου καὶ ἀνθρώπου, ὑπὸ δὲ τοῦ ἑνὸς πάντα. Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ (p. 10 b Patrit.; p. 75, 2 et 7 Parthey.). Ὁ μὲν ἄνθρωπος τὸ δεύτερον ζῷον μετὰ τὸν κόσμον, πρῶτον δὲ τῶν θνητῶν. — Ψυχὴ δὲ ἀνθρώπου ὀχεῖται τὸν τρόπον τοῦτον· ὁ νοῦς ἐν τῷ λόγῳ, ὁ λόγος ἐν τῇ ψυχῇ, ἡ [δὲ] ψυχὴ ἐν τῷ πνεύματι, τὸ πνεῦμα 〈ἐν τῷ σώματι. Τὸ δὲ πνεῦμα〉 διῆκον διὰ φλεβῶν καὶ ἀρτηριῶν καὶ αἵματος κινεῖ τὸ ζῷον καὶ ὥσπερ τρόπον τινὰ βαστάσφαλλόμενοι τὴν φύσιν, οὐκ εἰδότες, ὅτι πρῶτον δεῖ τοῦ πνεύματος ἀναχωρήσαντος εἰς τὴν ψυχὴν τὸ αἷμα παγῆναι καὶ τὰς φλέβας καὶ τὰς ἀρτηρίας κενωθῆναι, 〈καὶ τότε〉 τὸ ζῷον ἐκλείπειν· καὶ τοῦτο ἔστιν ὁ θάνατος τοῦ σώματος. Πλάτωνος Πολιτείας δ′ (p. 435 E —436 A). Ἆρ' οὖν ἡμῖν, ἦν δ' ἐγώ, πολλὴ ἀνάγκη ὁμολογεῖν ὅτι γε τὰ αὐτὰ ἐν ἑκάστῳ ἔνεστιν ἡμῶν εἴδη τε καὶ ἤθη ἅπερ ἐν τῇ πόλει; οὐ γάρ που ἄλλοθεν ἐκεῖσε ἀφῖκται. Γελοῖον γὰρ ἂν εἴη, εἴ τις οἰηθείη τὸ θυμοειδὲς μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν ἐκγεγονέναι, οἳ δὴ καὶ ἔχουσι ταύτην τὴν αἰτίαν, οἷον οἱ κατὰ τὴν Θρᾴκην τε καὶ Σκυθικὴν καὶ σχεδόν τι κατὰ τὸν ἄνω τόπον· ἢ τὸ φιλομαθές, ὃ δὴ 〈περὶ〉 τὸν παρ' ἡμῖν μάλιστ' ἄν τις αἰτιάσαιτο τόπον· ἢ τὸ φιλοχρήματον, ὃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ τούς τε Φοίνικας εἶναι καὶ τοὺς κατ’ Αἴγυπτον φαίη τις ἂν οὐχ ἥκιστα. Πλάτωνος Πολιτείας δ′ (V p. 455 B. C). Ἴθι δή, φήσομεν πρὸς αὐτόν, ἀποκρίνου. Ἆρα οὕτως ἔλεγες, τὸν μὲν εὐφυῆ πρός τι εἶναι, τὸν δ’ ἀφυῆ, ἐν ᾧ ὃ μὲν ῥᾳδίως τι μανθάνοι, ὃ δὲ χαλεπῶς; καὶ ὃ μὲν ἀπὸ βραχείας μαθήσεως ἐπὶ πολὺ εὑρετικὸς εἴη οὗ ἔμαθεν, ὃ δὲ πολλῆς μαθήσεως τυχὼν καὶ μελέτης μηδὲ ἃ ἔμαθε σῴζοιτο; καὶ τῷ μὲν τὰ τοῦ σώματος ἱκανῶς ὑπηρετοίη τῇ διανοίᾳ, τῷ δ’ ἐναντιοῖτο; Ἆρ’ ἄλλ’ ἄττα ἐστὶν ἢ ταῦτα, οἷς τὸν εὐφυῆ πρὸς ἕκαστα καὶ τὸν μὴ ὡρίζου; — Οὐδείς, ἦ δ’ ὅς, ἄλλα φήσει. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 64 A—D). Μέγιστον δὲ καὶ λοιπὸν τῶν κοινῶν περὶ ὅλον τὸ σῶμα παθημάτων, τὸ τῶν ἡδέων καὶ τὸ τῶν ἀλγεινῶν αἴτιον, ἐν οἷς διεληλύθαμεν, καὶ ὅσα διὰ τῶν τοῦ σώματος μορίων αἰσθήσεις κεκτημένα καὶ λύπας ἐν αὐτοῖς ἡδονάς τε ἑπομένας ἔχει. Ἧδ’ οὖν κατὰ παντὸς αἰσθητοῦ καὶ ἀναισθήτου παθήματος 〈τὰσ〉 αἰτίας λαμβάνωμεν, ἀναμιμνησκόμενοι τὸ τῆς εὐκινήτου τε καὶ δυσκινήτου φύσεως ὅ τι διειλόμεθα ἐν τοῖς πρόσθεν· ταύτῃ γὰρ μεταδιωκτέον πάντα ὅσα ἐπινοοῦμεν ἐλεῖν. Τὸ μὲν γὰρ κατὰ φύσιν εὐκίνητον, ὅταν καὶ βραχὺ πάθος εἰς αὐτὸ ἐμπίπτῃ, διαδίδωσι κύκλῳ μόρια ἕτερα ἑτέροις, ταὐτὸν ἀπεργαζόμενα, μέχρι περ ἂν ἐπὶ τὸ φρόνιμον ἐλθόντα ἐξαγγείλῃ τοῦ ποιήσαντος τὴν δύναμιν. Τὸ δ’ ἐναντίον, ἑδραῖον 〈ὂν〉, κατ’ οὐδένα τε κύκλον ἰόν, πάσχει μόνον, ἄλλο δ’ οὐ κινεῖ τῶν πλησίον· ὥστε οὐ διαδιδόντων μορίων μορίοις ἄλλων ἄλλοις τὸ πρῶτον πάθος ἐν αὐτοῖς ἀκίνητον εἰς τὸ πᾶν ζῷον γενόμενον ἀναίσθητον παρέσχε τὸ παθόν. Ταῦτα δὲ περί τε ὀστᾶ καὶ τρίχας ἐστὶ καὶ ὅσα ἄλλα γήινα τὸ πλεῖστον ἔχομεν ἐν ἡμῖν μόρια· τὰ δ’ ἔμπροσθεν περὶ τὰ τῆς ὄψεως καὶ ἀκοῆς μάλιστα διὰ τὸ πυρὸς ἀέρος τε ἐν αὐτοῖς δύναμιν ἐνεῖναι μεγίστην. Τὸ δὲ τῆς ἡδονῆς καὶ λύπης ὧδε διανοεῖσθαι δεῖ. Τὸ μὲν παρὰ φύσιν καὶ βίαιον γιγνόμενον ἀθρόον παρ’ ἡμῖν πάθος ἀλγεινόν· τὸ δ’ εἰς φύσιν ἀπιὸν πάλιν ἀθρόον ἡδύ· τὸ δὲ ἠρέμα καὶ κατὰ σμικρὸν ἀναίσθητον· τὸ δ’ ἐναντίον τούτοις ἐναντίως. Τὸ δὲ μετ’ εὐπετείας γιγνόμενον ἅπαν σῶμα ἐν τοῖς ἔμπροσθεν ἐρρήθη καθ’ ἡμέραν ξυμφυὲς ἡμῶν γίγνεσθαι. Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 31 D —32 C). Λέγω τοίνυν, τῆς ἁρμονίας μὲν λυομένης ἡμῖν ἐν τοῖς ζῴοις ἅμα λύσιν τῆς φύσεως καὶ γένεσιν ἀλγηδόνων ἐν τῷ τότε γίγνεσθαι χρόνῳ. — Πάνυ λέγεις εἰκός. — Πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὐτῆς φύσιν ἀπιούσης ἡδονὴν γίγνεσθαι λεκτέον, εἰ δεῖ δι’ ὀλίγων ὅτι τάχιστα περὶ μεγίστων ῥηθῆναι. — Οἶμαι μέν σε ὀρθῶς λέγειν, ὦ Σώκρατες, ἐμφανέστερον δὲ ἔτι 〈ταὐτὰ〉 ταῦτα πειρώμεθα λέγειν. — Οὐκοῦν δημόσιά που καὶ περιφανῆ ῥᾷστον συννοεῖν; — Ποῖα; — Πείνη μέν που 〈λύπη〉 καὶ λύσις. — Ναί. — Ἐδωδὴ δὲ πλήρωσις γιγνομένη πάλιν ἡδονή. — Ναί. — Δίψους δ’ αὖ φθορὰ καὶ λύπη καὶ λύσις, ἡ δὲ τοῦ ὑγροῦ πάλιν τὸ ξηρανθὲν πληροῦσα δύναμις ἡδονή· διάκρισις δέ τ’ αὖ καὶ διάλυσις παρὰ φύσιν, τοῦ πνίγους πάθη, λύπη· κατὰ φύσιν δὲ πάλιν ἀπόδοσίς τε καὶ ψύξις ἡδονή. — Πάνυ μὲν οὖν. — Καὶ ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζῴου τῆς ὑγρότητος πῆξις [καὶ] λύπη. πάλιν δ’ εἰς ταὐτὸν ἀπιόντων καὶ διακρινομένων ἡ κατὰ φύσιν ὁδὸς ἡδονή. Καὶ ἑνὶ λόγῳ σκόπει εἴ σοι μέτριος 〈ὁ〉 λόγος, ὃς ἂν φῇ, τὸ ἐκ τῆς ἀπείρου καὶ πέρατος κατὰ τύπον γέ τινα ἔχειν. — Τοῦτο μὲν τοίνυν ἓν εἶδος τιθώμεθα λύπης τε καὶ ἡδονῆς ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις; — Κείσθω. — Τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς κατὰ τὸ τούτων τῶν παθημάτων προσδόκημα, τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον 〈ἡδὺ〉 καὶ θαρραλέον, τὸ δὲ πρὸ τῶν λυπ〈ηρ〉ῶν φοβερὸν καὶ ἀλγεινόν. — Ἔστι γὰρ οὖν τοῦθ’ ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ χωρὶς τοῦ σώματος αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίας γιγνόμενον. 〈 Ἐν ταὐτῷ (p. 33 C —34 A).〉 Καὶ μὴν τό γε ἕτερον εἶδος τῶν ἡδονῶν, ὃ τῆς ψυχῆς αὐτῆς εἶναι ἔφαμεν, διὰ μνήμης πᾶν ἐστι γεγονός. — Πῶς; — Μνήμην, ὡς ἔοικεν, ὅ τί ποτ’ ἔστι, πρότερον ἀναληπτέον· καὶ κινδυνεύει πάλιν ἔτι πρότερον αἴσθησιν μνήμης, εἰ μέλλει ταῦθ’ ἡμῖν κατὰ τρόπον φανερά πῃ γενήσεσθαι, — Πῶς φῄς; — Θὲς τῶν περὶ τὸ σῶμα ἡμῶν ἑκάστοτε παθημάτων τὰ μὲν ἐν τῷ σώματι κατασβεννύμενα πρὶν ἐπὶ τὴν ψυχὴν διεξελθεῖν, ἀπαθῆ

ἐκείνην ἐάσαντα, τὰ δὲ δι’ ἀμφοῖν ἰόντα καί τινα ὥσπερ σεισμὸν ἐντιθέντα ἴδιόν τε καὶ κοινὸν ἑκατέρῳ. — Κείσθω. — Τὰ μὲν μὴ δι’ ἀμφοῖν ἰόντα ἐὰν τὴν ψυχὴν ἡμῶν 〈φῶμεν〉 λανθάνειν, τὰ δὲ δι’ ἀμφοῖν μὴ λανθάνειν, ἆρ’ ὀρθότατα ἐροῦμεν; — Πῶς γὰρ οὔ; — Τὸ τοίνυν λεληθέναι μηδαμῶς ὑπολάβῃς, ὡς λέγω λήθης ἐνταῦθά — Πῶς; — Ἀντὶ τοῦ λεληθέναι τὴν ψυχήν, ὅταν ἀπαθὴς αὕτη γίγνηται τῶν σεισμῶν τῶν τοῦ σώματος, ἣν νῦν λήθην καλεῖς, ἀναισθησίαν ἐπονόμασον. — Ἔμαθον. — Τὸ δ’ ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δὴ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοι’ ἄν. — Ἀληθέστατα λέγεις. — Οὐκοῦν ἤδη μανθάνομεν ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν; Ἐν ταὐτῷ (p. 50 D). Ὅτι καὶ σῶμα ἄνευ ψυχῆς καὶ ψυχὴ ἄνευ σώματος καὶ κοινῇ μετ’ ἀλλήλων ἐν τοῖς παθήμασι μεστά ἐστι συγκεκραμένης ἡδονῆς λύπαις.

1.48 Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 58 A). Ἔγωγε ἡγεῖσθαι οἶμαι ξύμπαντας, ὅσοις νοῦ καὶ σμικρὸν προσήρτηται, μακρῷ ἀληθεστάτην εἶναι γνῶσιν. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 93 B). Φέρε δή, πρὸς Διός· λέγεται ψυχὴ ἢ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἢ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; Καὶ ταῦτα ἀληθῶς λέγεται; Ἑρμοῦ (p. 11 Patrit.; 78, 1 Parthey.). πνεῦμα; 〈ΕΡΜ.〉 Συννοεῖν δεῖ, 〈ὦ〉 τέκνον, τὸν ἀκούοντα τῷ λέγοντι καὶ συμπνεῖν καὶ ὀξυτέραν ἔχειν τὴν ἀκοὴν τῆς τοῦ λέγοντος φωνῆς. Ἡ σύνθεσις τῶν ἐνδυμάτων τούτων ἐν σώματι γηίνῳ γίγνεται· ἀδύνατον γὰρ τὸν νοῦν ἐν γηίνῳ σώματι γυμνὸν αὐτὸν καθ’ ἑαυτὸν ἑδράσαι. Οὔτε γὰρ τὸ γήινον σῶμα δυνατόν ἐστι τὴν τηλικαύτην ἀθανασίαν ἐνεγκεῖν οὔτε τὴν τοσαύτην. ἀρετὴν ἀνασχέσθαι συγχρωτιζόμενον αὐτῇ παθητὸν σῶμα. Ἔλαβεν 〈οὖν〉 ὥσπερ περιβόλαιον τὴν ψυχήν· ἡ δὲ ψυχὴ καὶ αὐτή τις θεία οὖσα καθάπερ ὑπηρέτῃ τῷ πνεύματι χρῆται, τὸ δὲ πνεῦμα τὸ ζῷον διοικεῖ. Ὅταν 〈οὖν〉 ὁ νοῦς ἀπαλλαγῇ τοῦ γηίνου σώματος, τὸν ἴδιον εὐθὺς ἐνεδύσατο χιτῶνα τὸν πύρινον, ὃν οὐκ ἠδύνατο ἔχων εἰς τὸ γήινον σῶμα κατοικῆσαι. Γῇ γὰρ πῦρ οὐ βαστάζει· πᾶσα γὰρ γῆ φλέγεται καὶ ὑπὸ ὀλίγου σπινθῆρος. Διὰ τοῦτο καὶ τὸ ὕδωρ περικέχυται τῇ γῇ, ὥσπερ ἔρυμα καὶ τεῖχος ἀντέχον πρὸς τὴν τοῦ πυρὸς φλόγα· νοῦς δὲ ὀξύτατος 〈ὢν〉 πάντων τῶν θείων νοημάτων καὶ τὸ ὀξύτατον πάντων τῶν στοιχείων ἔχει τὸ πῦρ σῶμα. Δημιουργὸς γὰρ ὢν ὁ νοῦς τῶν πάντων ὀργάνῳ τῷ πυρὶ πρὸς τὴν δημιουργίαν χρῆ- Πορφυρίου ἐκ τῶν Πρὸς τὰ νοητὰ ἀφορμῶν (opusc. Porphyr. p. 62 Holsten.). Πᾶν γενητὸν ἀπ’ ἄλλου τὴν αἰτίαν τῆς γενέσεως ἔχει, εἴ γε μηδὲν ἀναιτίως γίγνεται. Ἀλλὰ τῶν γε γενητῶν ὅσα μὲν διὰ συνθέσεως κέκτηται τὸ εἶναι, λυτὰ ἂν εἴη καὶ διὰ τοῦτο φθαρτά· ὅσα δὲ ἁπλᾶ καὶ ἀσύνθετα ὄντα ἐν τῷ ἁπλῷ τῆς ὑποστάσεως κέκτηται τὸ εἶναι, ἄλυτα ὄντα, ἔστι μὲν ἄφθαρτα, γενητὰ δὲ λέγεται, οὐ τῷ σύνθετα εἶναι, ἀλλὰ τῷ ἀπ’ αἰτίου τινὸς ἀνηρτῆσθαι. Τὰ μὲν οὖν σώματα διχῶς γενητὰ καὶ ὡς ἀπ’ αἰτίας ἠρτημένα τῆς παραγούσης καὶ ὡς σύνθετα· ψυχὴ δὲ καὶ νοῦς γενητά, ὡς ἀπ’ αἰτίας ἠρτημένα μόνον, οὐ μὴν καὶ ὡς σύνθετα. Τὰ μὲν ἄρα σώματα γενητὰ καὶ λυτὰ καὶ φθαρτά· τὰ δὲ ἀγένητα μὲν ὡς ἀσύνθετα καὶ ταύτῃ καὶ ἄλυτα καὶ ἄφθαρτα, γενητὰ δὲ ὡς 〈ἀπ’〉 αἰτίου ἠρτημένα. Τοῦ αὐτοῦ (p. 63 Holsten.). Ὁ νοῦς οὐκ ἔστιν ἀρχὴ πάντων· πολλὰ γάρ ἐστιν ὁ νοῦς, πρὸ δὲ τῶν πολλῶν ἀνάγκη εἶναι τὸ ἕν. Ὅτι δὲ πολλὰ ὁ νοῦς δῆλον· νοεῖ γὰρ ἀεὶ τὰ νοήματα, οὐχ ἓν ὄντα, ἀλλὰ πολλὰ καὶ οὐκ ἄλλα ὄντα παρ’ ἐκεῖνον. Εἰ θεωρεῖ δῆλον· σὺν γὰρ τῷ νοεῖν εἴη ἂν ὁ νοῦς, ἀφαιρεθεὶς δὲ τοῦ νοεῖν ἀφῄρηται τῆς οὐσίας. Δεῖ τοίνυν ἐπιστήσαντας τοῖς πάθεσιν ἃ συμβαίνει περὶ τὰς γνώσεις ἀνιχνεῦσαι τὴν ἐκείνου θεωρίαν. Γνωστικαὶ δὲ δυνάμεις ἐν ἡμῖν ἀθρόον αἴσθησι ς , φαντασί α , νοῦ ς . Πάντῃ δὲ τὸ αἰσθήσει προσχρώμενον τοῖς ἔξω ἐπιβάλλον θεωρεῖ, οὐχ ἑνούμενον ἐκείνοις ἃ θεωρεῖ, ἀλλὰ μόνον τύπον αὐτῶν ἐκ τῆς πρὸς αὐτὰ προσβολῆς λαμβάνον. ὅταν οὖν ἴδῃ ὀφθαλμὸς τὸ ὁρώμενον, ἀμήχανον ἐν ταὐτότητι γενέσθαι τοῦ ὁρωμένου· οὐ γὰρ ἂν ἴδοι, εἰ μὴ ἐν διαστάσει γένοιτο. ὡσαύτως δὲ κἂν τὸ ἁπτόμενον, ἐν ταὐτότητι γενόμενον, φθαρείη. ἐξ ὧν δῆλον, ὅτι ἀεὶ ἥ τε αἴσθησις καὶ τὸ αἰσθήσει προσχρώμενον εἰς τὸ ἔξω φέρεται, εἰ μέλλει τὸ αἰσθητὸν

καταλήψεσθαι. Ὡσαύτως δὲ καὶ ἡ φαντασία ἀεὶ ἐπὶ τὸ ἔξω φέρεται καὶ τῇ τάσει αὐτῆς τὸ εἰκόνισμα παρυφίσταται ....., ἤτοι καὶ παρασκευάζον ἔξωθεν ἢ αὐτῇ τῇ πρὸς τὸ ἔξω τάσει τὴν ὡς ἔξω ὄντος εἰκονίσματος ἐνδεικνύμενον. Καὶ τούτων μὲν κατάληψις τοιαύτη, ὧν οὐδεμία εἰς ἑαυτὴν συννεύουσα καὶ συναγομένη ἐντύχοι ἂν ἢ τῳ αἰσθητῷ ἢ τῳ ἀναισθήτῳ εἴδει· ἐπὶ δὲ τοῦ νοῦ οὐ τοῦτον τὸν τρόπον ἡ κατάληψις, ἀλλὰ συννεύοντος εἰς ἑαυτὸν καὶ ἑαυτὸν θεωροῦντος. Παρεξελθὼν γὰρ τοῦ θεάσασθαι τὰς ἑαυτοῦ ἐνεργείας καὶ ὄμμα εἶναι τῶν αὐτοῦ ἐνεργειῶν 〈ἐνεργ〉 ουσῶν τὸ ὅραμα, οὐδὲν ἂν νοήσειεν. Ὡς μὲν οὖν ἦν [ἡ] αἴσθησίς τε καὶ τὸ αἰσθητόν, οὕτως ἔστι νοῦς τε καὶ τὸ νοητόν. Θεωρεῖ δὲ ἡ μὲν ἐκτεινομένη εἰς τὸ ἔξω, εὑρίσκουσα τὸ αἰσθητὸν 〈ἐν〉 τῇ ὕλῃ κείμενον· ὁ δὲ νοῦς εἰς αὐτὸν συναγόμενος, οὐδαμῇ ἔξω ἐκτεινόμενος, ὅπερ καὶ ἐδόκει τισὶν 〈οὐδ'〉 ὀνόματος διαφορᾶς προστεθείσης τῇ τοῦ νοῦ ὑποστάσει καὶ 〈τῇ〉 τῆς φαντασίας. Ἡ γὰρ ἐν λογικῷ ζῴῳ φαντασία ἐδέδοκτο αὐτοῖς νόησις· ἀλλ' [εἰ] ἐκείνοις μὲν πάντα ἀπαρτήσασιν ἀπὸ τῆς ὕλης καὶ τῆς σωματικῆς φύσεως ἀκόλουθον ἦν καὶ τὸν νοῦν τούτων ἀπαρτᾶν· ὁ δ' ἡμέτερος 〈νοῦσ〉 ἀσωμάτων καὶ ἑτέρων θεωρὸς οὐσιῶν ποῦ τοίνυν κειμένας καταλήψεται αὐτάς; ἔξω δὲ ὄντων ὕλης οὐδαμοῦ ἂν εἴη ταῦτα. Δῆλον 〈οὖν〉 ὡς νοερὰ καὶ νοήσει συναχθήσεται. Καὶ τοίνυν εἰ νοερὰ 〈χωρεῖ〉 εἰς τὸν νοῦν, [καὶ τὸ νοητὸν] καὶ ἑαυτὸν θεωρήσει νοῶν τὰ νοητά· καὶ χωρῶν εἰς ἑαυτόν, νοεῖ διὰ τὸ εἰς ἐκεῖνα χωρεῖν. Εἰ δὲ πολλὰ [καὶ] τὰ νοητά, (πολλὰ γὰρ ὁ νοῦς νοεῖ καὶ οὐχ ἕν), πολλὰ ἂν εἴη [καὶ] ἐξ ἀνάγκης καὶ αὐτός. Κεῖται δὲ πρὸ τῶν πολλῶν τὸ Ἀρχύτου ἐκ τοῦ Περὶ νόω καὶ αἰσθάσιος (fr. phil. Gr. I p. 565 Mullach.). Αἴσθασις μὲν ἐν σώματι γίνεται, νόος δ' ἐν ψυχᾷ. Τὸ μὲν γὰρ ἀρχὰ τῶν αἰσθατῶν ὑπάρχει, τὸ δὲ τῶν νοατῶν. Πλάθεος μὲν γὰρ μέτρον ἀριθμός, μάκεος δὲ ποῦς, ῥοπᾶς δὲ καὶ σταθμῶ ζυγόν, ὀρθότατος δὲ καὶ εὐθύτατος κανὼν καὶ στάθμα ὀρθὰ γωνία· οὕτως δὲ καὶ τῶν μὲν αἰσθατῶν αἴσθασις [μέτρον], τῶν δὲ νοατῶν νόος ἀρχὰ καὶ μέτρον ἐντί. Καὶ ὁ μὲν νόος ἀρχὰ νοατῶν τε 〈καὶ〉 φύσι πράτων· ἁ δὲ αἴσθασις 〈δευτέρων τε φύσι καὶ τῶν παρ'〉 ἁμῖν· ὃ μὲν γάρ ἐντι ἀρχὰ τᾷ ψυχᾷ, ἃ δὲ τῷ σώματι. Καὶ ὁ μὲν νόος τῶν τιμιαιτάτων ἐντὶ κριτάς, ἁ δ' αἴσθασις τῶν χρησιμωτάτων. Ἃ μὲν γὰρ αἴσθασις τῶ σώματος ἕνεκε συνέστακε καὶ τᾶς εἰς τοῦτο λειτουργίας· ὁ δὲ νόος 〈τᾶς ψυχᾶς ἕνεκε〉 καὶ τᾶς εἰς ταύταν πολυφραδμοσύνας. Καὶ ὁ μὲν νόος ἐντὶ ἀρχὰ τᾶς ἐπιστάμας, ἁ δ' αἴσθασις τᾶς δόξας· ἃ μὲν γὰρ ἔχει τὰν ἐκ τῶν αἰσθατῶν ἐνέργειαν, ὃ δὲ νοατὰ στάσιος καὶ αἰδιότατος. Παραπλασίως δὲ καὶ ἁ αἴσθασις καὶ ὁ νόος ἔχοντι· ἁ μὲν γὰρ αἴσθασις τῶ αἰσθατῶ, τὸ δ' αἰσθατὸν καὶ κινέεται καὶ μεταβάλλει καὶ οὐδέποκα ἐν ταὐτῷ ἀτρεμέει· διὸ καὶ μᾶλλον καὶ ἧττον καὶ βέλτιον καὶ χεῖρον γίνεται ὁρῆν 〈τὸ αἰσθατόν〉· ὁ δὲ νόος τῶ νοατῶ, τὸ δὲ νοατὸν ἀκίνατον ἐξ ὠσίας· διὸ οὔτε μᾶλλον οὔτε ἧττον οὔτε βέλτιον οὔτε χεῖρον ἔντι νοὲν τὸ νοατόν. 〈Καὶ〉 καθάπερ 〈ὁ〉 νόος τὸ πρᾶτον βλέπει καὶ τὸ παράδειγμα, οὕτως ἁ αἴσθασις τὰν εἰκόνα καὶ τὸ δεύτερον· ὁ μὲν γὰρ νόος οὐρανὸν ἁπλῶς 〈ἢ τέχναν〉, ἁ δ' αἴσθασις ἁπλῶς τὰν τῶ ἁλίω σφαῖραν ἢ τὰς χειροτεχνατῶν. Ἔτι 〈ὁ〉 μὲν νόος ἀμερὴς καὶ ἀδιαίρετος, καθάπερ μονὰς καὶ στιγμά, παραπλασίως δὲ καὶ τὸ νοατόν (τὸ γὰρ εἶδος οὔτε πέρας σώματός ἐντι οὔτε ὅρος, ἀλλὰ μόνον τύπωσις τῶ ἐόντος, ᾧ ἐόν ἐντι), ἁ δ' αἴσθασις μεριστὰ καὶ διαιρετά. Τῶν γὰρ ἐόντων ἐντὶ τὰ μὲν αἰσθατά, τὰ δὲ δοξαστά, τὰ δ' ἐπιστατά, τὰ δὲ νοατά. τριγώνω· ἐπιστατὰ δὲ τὰ τοῖς εἴδεσι συμβεβακότα ἐξ ἀνάγκας, ὡς ἐν γαμετρίᾳ τὰ τοῖς σχήμασι· νοατὰ δὲ αὐτὰ τὰ εἴδεα καὶ αἱ ἀρχαὶ τῶν ἐπιστατῶν· οἷον αὐτὸ κύκλος καὶ τρίγωνον καὶ σφαῖρα. Τυγχάνοντι δὲ καὶ ἐν ἁμῖν αὐτοῖς κατὰ ψυχὰν γνώσιες τέτταρες· νόος, ἐπιστάμα, δόξα, αἴσθασις· ὧν αἱ μὲν δύο τῶ λόγω ἀρχαί ἐντι, οἷον νόος καὶ αἴσθασις, τὰ δὲ δύο τέλεα, οἷον ἐπιστάμα καὶ δόξα. Τὸ δ' ὅμοιον ἀεὶ τῶ ὁμοίω γνωστικόν. Φανερὸν 〈ὧν〉 ὅτι ὁ μὲν νόος ἐν ἁμῖν τῶν νοατῶν γνωστικός, ἁ δὲ ἐπιστάμα τῶν ἐπιστατῶν, 〈ἁ δὲ δόξα τῶν δοξαστῶν,〉 ἁ δὲ αἴσθασις τῶν αἰσθατῶν. 〈 Aetii (IV 5, 11. 12 p. 392, 1 Diels.).〉 Πυθαγόρα ς , Ἀναξαγόρα ς , Πλάτω ν , Ξενοκράτη ς , Κλεάνθης

θύραθεν εἰσκρίνεσθαι τὸν νοῦν. Παρμενίδης καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος ταὐτὸν νοῦν καὶ ψυχήν, καθ' οὓς οὐδὲν ἂν εἴη ζῷον ἄλογον κυρίως. Ἰαμβλίχου ἐκ τοῦ Περὶ ψυχῆ ς . Πάλιν τοίνυν περὶ τοῦ νοῦ καὶ πασῶν τῶν κρειττόνων δυνάμεων τῆς ψυχῆς οἱ μὲν Στωικοὶ λέγουσι μὴ εὐθὺς ἐμφύεσθαι τὸν λόγον, ὕστερον δὲ συναθροίζεσθαι ἀπὸ τῶν αἰσθήσεων καὶ φαντασιῶν περὶ δεκατέσσαρα ἔτη. Οἱ δ' ἀπὸ Πλάτωνος καὶ Πυθαγόρου παρεῖναι μὲν καὶ ἐν τοῖς ἀρτιγενέσι τὸν λόγον φασίν, ἐπισκοτεῖσθαί γε μὴν [ἐν] τοῖς ἔξωθεν καὶ μὴ ἐνεργεῖν τὴν οἰκείαν ἐνέργειαν, ἀλλ' ἡσυχάζειν. Ἤδη τοίνυν [περὶ τοῦ νοῦ] πολλοὶ μὲν Περιπατητικοὶ τὸν ἐκ σπέρματος καὶ [τὸν] ἀπὸ τῆς φύσεως ἄλλον νοῦν ὑποθέμενοι, ὡς αὐτίκα μάλα ἀποβλαστάνοντα 'πὸ τῆς πρώτης γενέσεως, καὶ χωριστὸν καὶ θύραθεν ἐπικαλούμενον ἕτερον παραγίγνεσθαι λέγουσιν ὀψιαίτατα, ἐπειδὰν τελειωθῇ μὲν ὁ κατὰ δύναμιν νοῦς, ἐπιτηδείως δὲ μετέχῃ τῆς κατ' ἐνέργειαν νοήσεως. Πολλοὶ δὲ αὐτῶν τῶν Πλατωνικῶν καὶ τὸν νοῦν τῇ ψυχῇ ἅμα τῇ πρώτῃ εἰσόδῳ αὐτῆς εἰς τὸ σῶμα συνεισάγουσιν, οὐδὲ εἶναι ὅλως ἑτέραν μὲν αὐτήν, ἕτερον δὲ αὐτῆς τὸν νοῦν.

1.49 〈 Aetii (IV 2, 1. 3. 4. 2. 7. 8. 6 p. 386, 2 Diels.).〉 Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχὴν ἀεικίνητον ἢ αὐτοκίνητον. Πυθαγόρας ἀριθμὸν αὐτὸν κινοῦντα, τὸν δὲ ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει. Ὁμοίως δὲ καὶ Ξενοκράτη ς . Δικαίαρχος ἁρμονίαν τῶν τεττάρων στοιχείων. Ἀσκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων. Ἀριστοτέλης ἐνδελέχειαν πρώτην σώματος φυσικοῦ, ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος· τὴν δ' ἐντελέχειαν ἀκουστέον ἀντὶ τοῦ εἴδους καὶ τῆς ἐνεργείας. 〈 Aetii (IV 3, 2—11 p. 387, 10 Diels.).〉 Ἀναξιμένη ς , Ἀναξαγόρα ς , Ἀρχέλαος [Διογένη ς] ἀερώδη. Οἱ Στωικοὶ πνεῦμα νοερόν, θερμόν. Παρμενίδης δὲ καὶ Ἵππασος πυρώδη. Δημόκριτος πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν Λεύκιππος ἐκ πυρὸς εἶναι τὴν ψυχήν. Διογένης ὁ Ἀπολλωνιάτης ἐξ ἀέρος τὴν ψυχήν. Ἵππων ἐξ ὕδατος τὴν ψυχήν. Ξέναρχος ὁ Περιπατητικὸς καί τινες ἕτεροι τῆς αὐτῆς αἱρέσεως τὴν κατὰ τὸ εἶδος τελειότητα καὶ ἐντελέχειαν, καθ' ἑαυτὴν οὖσαν ἅμα καὶ μετὰ τοῦ σώματος συντεταγμένην. Ἐπίκουρος κρᾶμα ἐκ τεττάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τετάρτου τινὸς ἀκατονομάστου, τοῦτο δ' ἦν αὐτῷ τὸ αἰσθητικόν· ὧν τὸ μὲν πνεῦμα κίνησιν, τὸν δὲ ἀέρα ἠρεμίαν, τὸ δὲ θερμὸν τὴν φαινομένην θερμότητα τοῦ σώματος, τὸ δ' ἀκατονόμαστον τὴν ἐν ἡμῖν ἐμποιεῖν αἴσθησιν, ἐν οὐδενὶ γὰρ τῶν ὀνομαζομένων στοιχείων εἶναι αἴσθησιν. Ἑρμοῦ (p. 41 b Patrit.). Ψυχὴ τοίνυν ἐστὶν οὐσία ἀίδιος νοητική, νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον. Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 247 C). Ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως 〈οὖσα〉 ψυχῆς. Ἑρμοῦ (p. 40 b Patrit.). Ἔστι τοίνυν ἡ ψυχὴ ἀσώματος οὐσία· εἰ γὰρ ἔχει σῶμα, οὐκέτι ἔσται ἑαυτῆς σωστική. Πᾶν γὰρ σῶμα δεῖται τοῦ εἶναι, δεῖται καὶ ζωῆς τῆς ἐν τάξει κειμένης. Παντὶ γὰρ τῷ γένεσιν ἔχοντι καὶ μεταβολὴν δεῖ ἐπακολουθεῖν. Τὸ γὰρ γινόμενον γίνεται ἐν μεγέθει, γινόμενον 〈γὰρ〉 αὔξην ἔχει· παντὶ δὲ τῷ αὐξανομένῳ ἐπακολουθεῖ μείωσις, μειώσει φθορά. Μετειληφὸς δὲ εἴδους ζωῆς ζῇ καὶ κοινωνεῖ τοῦ εἶναι 〈διὰ〉 τὴν ψυχήν. Ἡ δὲ αἰτία ἑτέρῳ τοῦ εἶναι αὐτὴ προτοῦ ὅν ἐστι. Τὸ δὲ εἶναι νῦν λέγω τὸ ἐν λόγῳ γενέσθαι καὶ μετέχειν ζωῆς νοερᾶς· παρέχει δὲ ἡ ψυχὴ ζωὴν νοεράν. Καλεῖται δὲ ζῷον μὲν διὰ τὴν ζωήν, λογικὸν δὲ διὰ τὸ νοερόν, θνητὸν δὲ διὰ τὸ σῶμα. Ψυχὴ ἄρα 〈οὐσία〉 ἀσώματος, ἀμετάπτωτον ἔχουσα τὴν δύναμιν. Πῶς γὰρ οἷόν τέ ἐστι λέγειν ζῷον [νοερόν], μὴ οὔσης οὐσίας τῆς καὶ παρεχούσης ζωήν; ἀλλὰ οὐδὲ λογικὸν οἷόν τέ ἐστιν εἰπεῖν, μὴ οὔσης τῆς διανοητικῆς οὐσίας τῆς καὶ παρεχούσης νοερὰν ζωήν. Ἐν πᾶσι δὲ οὐκ ἀφικνεῖται τὸ νοερὸν διὰ τὴν τοῦ σώματος σύστασιν πρὸς τὴν ἁρμονίαν. Ἐὰν γὰρ ὑπερέχῃ ἐν τῇ συστάσει τὸ θερμόν, κοῦφος καὶ ἔνθερμος 〈ἄνθρωποσ〉 γίνεται, ἐὰν δὲ τὸ ψυχρόν, βαρὺς καὶ νωχελὴς γίνεται· φύσις γὰρ ἁρμόζει τὴν τοῦ σώματος σύστασιν πρὸς τὴν ἁρμονίαν. Εἴδη δὲ τῆς ἁρμονίας τρία· τὸ κατὰ τὸ θερμὸν καὶ τὸ

κατὰ 〈τὸ〉 ψυχρὸν καὶ τὸ κατὰ τὸ μέσον. Ἁρμόζει δὲ κατὰ τὸν ἐπικρατήσαντα ἀστέρα τῆς συγκράσεως τῶν ἀστέρων. Παραλαβοῦσα δὲ ψυχὴ 〈σῶμα〉 καθὼς εἵμαρται, τούτῳ παρέχει ζωὴν τῷ τῆς φύσεως ἔργῳ. Ἡ φύσις τοίνυν ὁμοιοῖ τὴν ἁρμονίαν τοῦ σώματος τῇ τῶν ἀστέρων συγκράσει καὶ ἑνοῖ τὰ πολυμιγῆ πρὸς τὴν τῶν ἀστέρων ἁρμονίαν, ὥστε ἔχειν πρὸς ἄλληλα συμπάθειαν. Τέλος γὰρ τῆς τῶν ἀστέρων ἁρμονίας τὸ γεννᾶν συμπάθειαν καθ' εἱμαρμένην αὐτῶν. Τοῦ αὐτοῦ (p. 41 Patrit.). Καὶ ὁ μὲν θυμὸς ὑπερέχει ὕλην· οὗτος, ἐὰν ἕξιν ποιήσῃ πρὸς τὸ τῆς ψυχῆς νόημα, γίνεται ἀνδρεία καὶ οὐ παράγεται ὑπὸ δειλίας. Ἡ δὲ ἐπιθυμία ὑπερέχεται· αὕτη ἐὰν ἕξιν ποιήσῃ πρὸς τὸν τῆς ψυχῆς λογισμόν, γίνεται σωφροσύνη καὶ οὐ κινεῖται ὑπὸ ἡδονῆς· ἀναπληροῖ γὰρ ὁ λογισμὸς τὸ ἐνδέον τῆς ἐπιθυμίας. Ὅταν δὲ ἀμφότερα ὁμονοήσῃ καὶ ἴσην ἕξιν ποιήσῃ καὶ ἔχηται ἀμφότερα τοῦ τῆς ψυχῆς λογισμοῦ, γίνεται δικαιοσύνη· ἡ γὰρ ἴση ἕξις αὐτῶν ἀφαιρεῖ μὲν τὴν ὑπερβολὴν τοῦ θυμοῦ, ἐπανισοῖ δὲ τὸ ἐνδέον τῆς ἐπιθυμίας. Ἀρχὴ δὲ τούτων ἡ διανοητικὴ οὐσία, καθ' αὑτὴν αὐτὴ οὖσα, ἐν τῷ αὐτῆς περινοητικῷ λόγῳ κράτος ἔχουσα [τὸν ἑαυτῆς λόγον]. Ἄρχει δὲ καὶ ἡγεμονεύει ἡ οὐσία ὥσπερ ἄρχων· ὁ δὲ λόγος αὐτῆς ὥσπερ σύμβουλος. Ὁ περινοητικὸς λόγος τοίνυν τῆς οὐσίας ἐστὶ γνῶσις τῶν λογισμῶν τῶν παρεχόντων εἰκασμὸν λογισμοῦ τῷ ἀλόγῳ, ἀμυδρὸν μὲν ὡς πρὸς λόγον, λογισμὸν δὲ ὡς πρὸς τὸ ἄλογον, καθάπερ ἠχὼ πρὸς φωνὴν καὶ τὸ τῆς σελήνης λαμπρὸν πρὸς ἥλιον. Ὅρμοσται δὲ θυμὸς καὶ ἐπιθυμία πρός τινα λογισμὸν καὶ ἀνθέλκει ἄλληλα καὶ ἐπισπᾶται 〈τὴν〉 ἐν ἑαυτοῖς ὑλικὴν διάνοιαν. Τοῦ αὐτοῦ (p. 41 Patrit.). Ψυχὴ πᾶσα ἀθάνατος καὶ ἀεικίνητος. Ἔφημεν γὰρ ἐν τοῖς γενικοῖς κινήσεις τὰς μὲν ὑπὸ τῶν ἐνεργειῶν, τὰς τινὸς οὐχ ὕλης γεγενῆσθαι, ἀσώματον οὖσαν καὶ αὐτῆς ἀσωμάτου οὔσης. Πᾶν γὰρ τὸ γενόμενον ἀνάγκη ἔκ τινος γεγενῆσθαι. Ὅσων μὲν οὖν τῇ γενέσει φθορὰ ἐπακολουθεῖ, τούτοις δύο κινήσεις παρακολουθεῖν ἀνάγκη, τήν τε 〈τῆσ〉 ψυχῆς ὑφ' ἧς κινεῖται καὶ τὴν τοῦ σώματος ὑφ' ἧς αὔξεται καὶ φθίνει, ἔτι δὲ καὶ ἀναλυθέντος ἀναλύεται. Ταύτην ὁρίζομαι τὴν κίνησιν τῶν φθαρτῶν σωμάτων. Ἡ δὲ ψυχὴ ἀεικίνητος, ὅτι ἀεὶ ἐν αὐτῇ κινεῖται καὶ ἄλλοις κίνησιν ἐνεργεῖ. Κατὰ τοῦτον οὖν τὸν λόγον ἐστὶ ψυχὴ πᾶσα ἀθάνατος καὶ ἀεικίνητος, ἔχουσα κίνησιν τὴν αὐτῆς ἐνέργειαν. Ἰδέαι δὲ ψυχῶν· θεί α , ἀνθρωπίν η , ἄλογο ς . Ἡ μὲν οὖν θεία τοῦ θείου σώματος 〈δι'〉 αὐτῆς ἐνέργεια. Ἐν μὲν γὰρ αὐτῇ κινεῖται καὶ αὐτὸ κινεῖ. Ἐπὰν γὰρ θνητῶν ζῴων ἀπαλλαγῇ, χωρισθεῖσα τῶν ἀλόγων ἑαυτῆς μερῶν, ἐξελθοῦσα εἰς τὸ θεῖον σῶμα ὡς ἀεικίνητος ἐν ἑαυτῇ κινεῖται, συμπεριφερομένη τῷ παντί. Ἡ δὲ ἀνθρωπίνη ἔχει μὲν καί τι τοῦ θείου, συνῆπται δὲ αὐτῇ καὶ τὰ ἄλογα, ἥ τε ἐπιθυμία καὶ ὁ θυμός. Καὶ αὗται μὲν ἀθάνατοι, καθότι καὶ αὐταὶ ἐνέργειαι τυγχάνουσιν, [αἱ] ἐνέργειαι δὲ θνητῶν σωμάτων. Διὸ τοῦ μὲν θείου μέρους τῆς ψυχῆς, οὔσης ἐν τῷ θείῳ σώματι, πόρρω τυγχάνουσιν οὖσαι· ἐπειδὰν δὲ εἰσέλθῃ τοῦτο εἰς θνητὸν σῶμα, κἀκεῖνα ἐπιφοιτᾷ καὶ τῇ παρουσίᾳ αὐτῶν γίνεται ἀεὶ ψυχὴ ἀνθρωπίνη. Ἡ δὲ τῶν ἀλόγων συνέστηκεν ἐκ θυμοῦ τε καὶ ἐπιθυμίας. Διόπερ καὶ ἄλογα ἐκλήθη τὰ ζῷα ταῦτα, στερήσει τοῦ λόγου τῆς ψυχῆς. Τετάρτην δὲ νόει τὴν τῶν ἀψύχω ν , ἥτις ἔξωθεν οὖσα τῶν σωμάτων ἐνεργεῖ κινοῦσα. Αὕτη δ' ἂν εἴη ἐν τῷ θείῳ σώματι κινουμένη καὶ ὥσπερ κατὰ πάροδον ταῦτα κινοῦσα. Τοῦ αὐτοῦ (p. 41 b Patrit.). Ψυχὴ τοίνυν ἐστὶν ἀίδιος νοητικὴ οὐσία, νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον, συννοοῦσα δὲ διάνοιαν τῆς ἁρμονίας ἐπισπᾶται. Ἀπαλλαγεῖσα δὲ τοῦ φυσικοῦ σώματος, αὐτὴ καθ' αὑτὴν μένει, αὐτὴ ἑαυτῆς οὖσα ἐν τῷ νοητῷ κόσμῳ. Ἄρχει δὲ τοῦ ἑαυτῆς λόγου, φέρουσα ὁμοίαν κίνησιν [ἐν] τῷ ἑαυτῆς νοήματι ὀνόματι ζωὴν τῷ εἰς ζωὴν ἐρχομένῳ. Τοῦτο γὰρ ἴδιον ψυχῆς, τὸ παρέχειν ἑτέροις ὅμοιον τῇ ἰδιότητι αὐτῆς. Δύο τοίνυν εἰσὶ ζωαὶ καὶ δύο κινήσεις. Μία μὲν ἡ κατ' οὐσίαν, ἑτέρα δὲ ἡ κατὰ φύσιν σώματος. Καὶ ἡ μὲν γενικωτέρα, 〈ἡ δὲ μερικωτέρα〉 . Καὶ ἡ κατ' οὐσίαν ἐστὶν αὐτεξούσιος· ἡ δὲ ἀναγκαστική· πᾶν γὰρ τὸ κινούμενον τῇ τοῦ κινοῦντος ἀνάγκῃ ὑποτέτακται. Ἡ δὲ κινοῦσα κίνησις τῷ τῆς νοητικῆς οὐσίας ἔρωτι ᾠκείωται. Εἴη γὰρ ἂν ψυχὴ ἀσώματος ἀμέτοχος οὐσία

τοῦ φυσικοῦ σώματος. Εἰ γὰρ ἔχει σῶμα, οὔτε λόγον ἔχει οὔτε νόησιν. Πᾶν γὰρ σῶμα ἀνόητον· μεταλαβὸν δὲ οὐσίας τὸ εἶναι ζῷον ἔμπνουν ἔσχε. Καὶ τὸ μὲν πνεῦμα τοῦ σώματος, ὁ δὲ λόγος τῆς οὐσίας τοῦ καλοῦ θεωρητικός ἐστι. Τὸ δὲ αἰσθητικὸν πνεῦμα τῶν φαινομένων κριτικόν ἐστι. Διῄρηται δὲ εἰς τὰς ὀργανικὰς αἰσθήσεις καὶ ἔστι τι μέρος αὐτοῦ πνευματικὴ ὅρασις καὶ πνεῦμα ἀκουστικὸν καὶ ὀσφρητικὸν καὶ γευστικὸν καὶ ἁπτικόν. Τοῦτο τὸ πνεῦμα ἀνάλογον γενόμενον διανοίας κρίνει τὸ αἰσθητικόν, εἰ δὲ μή, φαντάζεται μόνον. Τοῦ γὰρ σώματός ἐστι καὶ δεκτι- 〈 Περὶ μερῶν τῆς ψυχῆ ς . 〉 〈 Aetii (IV 4 p. 389 sq. Diels.).〉 ..... Ἀπολλοφάνης 〈ἐξ ἐννέα μερῶν φησι τὴν ψυχὴν συνεστάναι〉 . Περὶ κινήσεως καὶ ἀφθαρσίας ψυχῆ ς . 〈 Aetii (IV 6, 2 p. 392, 11 Diels.).〉 Ἀριστοτέλης ἀκίνητον τὴν ψυχήν, πάσης κινήσεως προηγουμένην, τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν, καθάπερ τὰ σχήματα καὶ τὰ πέρατα καὶ καθάπαξ τὰ παρὰ τοῖς σώμασιν εἴδη. 〈 Aetii (IV 6, 1 p. 392, 9 Diels.) et Platoni s . 〉 Πλάτων ἄφθαρτον καὶ ἀεικίνητον. Λέγει γοῦν ἐν Φαίδωνι (p. 69 E —70 B)· Εἰπόντος δὴ τοῦ Σωκράτους ταῦτα ὑπολαβὼν ὁ Κέβης ἔφη· Ὦ Σώκρατες, τὰ μὲν ἄλλα ἔμοιγε δοκεῖ λέγεσθαι καλῶς, τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπιστίαν παρέχει τοῖς ἀνθρώποις, μὴ ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος οὐδατοῦ σώματος καὶ ἐκβαίνουσα ὥσπερ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα οἴχηται διαπτομένη καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ. Ἐπεὶ εἴπερ εἴη που αὐτὴ καθ' αὑτὴν συνηθροισμένη καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν 〈ὧν〉 νῦν σὺ διῆλθες, πολλὴ ἂν εἴη ἐλπὶς καὶ καλή, ὦ Σώκρατες, ὡς ἀληθῆ ἐστιν ἃ σὺ λέγεις· ἀλλὰ τοῦτο δὴ ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν. —Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σωκράτης, ὦ Κέβης· ἀλλὰ τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν εἴτε μή; —Ἐγὼ γοῦν, ἔφη ὁ Κέβης, ἡδέως ἂν ἀκούσαιμ' ἥντινα δόξαν ἔχεις περὶ αὐτῶν. Ἐν ταὐτῷ (p. 70 C —71 A ; 71 C —72 A). Παλαιὸς μὲν οὖν ἔστι τις λόγος οὗτος, οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ, καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων· καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι ἢ εἶεν ἂν ἡμῶν αἱ ψυχαὶ ἐκεῖ; Οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο μὴ οὖσαι· καὶ τοῦτο ἱκανὸν τεκμήριον τοῦ ταῦτ' εἶναι, εἰ τῷ ὄντι φανερὸν γένοιτο, ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων· εἰ δὲ μὴ ἔστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. — Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. — Μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει οὐτωσὶ γίγνεται ἅπαντα οὐκ ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που καὶ δίκαιον ἀδίκῳ, καὶ ἄλλα δὴ μύρια οὕτως ἔχει. Τοῦτο οὖν σκεψώμεθα, ἆρα ἀναγκαῖον, ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου. οἷον ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι; — Ναί. — Οὐκοῦν κἂν ἔλαττον γίγνηται ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; — Ἔστιν, ἔφη, οὕτω. — Καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; — Πάνυ γε. — Τί δέ; ἄν τι χεῖρον γίγνηται, οὐκ ἐξ ἀμείνονος, καὶ ἐὰν δικαιότερον, οὐκ ἐξ ἀδικωτέρου; — Πῶς γὰρ οὔ; — Ἱκανῶς οὖν, ἔφη, ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται, ἐξ ἐναντίων τὰ ἐναντία πράγματα; — Πάνυ γε. — ..... Τί οὖν; ἔφη, τῷ ζῆν ἔστι τι ἐναντίον, ὥσπερ τῷ ἐγρηγορέναι τὸ καθεύδειν; — Πάνυ μὲν οὖν, ἔφη. — Τί; — Τὸ τεθνάναι, ἔφη. — Οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴπερ ἐναντία ἐστί, καὶ αἱ γενέσεις εἰσὶν αὐτοῖν μεταξὺ δύο δυοῖν ὄντων; — Πῶς γὰρ οὔ; — Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν ὧν νῦν δὴ ἔλεγον ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. Λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ ἐγρηγορέναι, καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεσθαι καὶ ἐκ τοῦ καταδαρθάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι. Ἱκανῶς σοι ἔφην ἢ οὔ; — Πάνυ μὲν οὖν. — Λέγε δὴ καὶ σύ μοι, ἔφη, οὕτω περὶ ζωῆς καὶ θανάτου. Οὐκ ἐναντίον μὲν φῂς τῷ ζῆν τὸ τεθνάναι εἶναι;

— Ἔγωγε. — Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; — Ναί. — Ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; — Τὸ τεθνηκός, ἔφη. — 〈Τί δέ, ἦ δ' ὅς, ἐκ τοῦ τεθνεῶτος; — Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν,〉 ὅτι τὸ ζῶν. — Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται; — Φαίνεται, ἔφη. — Εἰσὶν ἄρα, ἔφη, αἱ ψυχαὶ ἡμῶν ἐν Ἅιδου. — Ἔοικεν. — Οὐκοῦν καὶ τοῖν γενεσέοιν τοῖν περὶ ταῦτα ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει; τὸ γὰρ ἀποθνῄσκειν σαφὲς δήπου, ἢ οὔ; — Πάνυ μὲν οὖν ˏ ἔφη. — Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; 〈οὐκ ἀνταποδώσομεν〉 τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνῄσκειν ἐναντίαν γένεσιν; — Πάντως που, ἔφη. — Τίνα ταύτην; — Τὸ ἀναβιώσκεσθαι. — Οὐκοῦν, ἦ δ' ὅς, εἴπερ ἔστι τὸ ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων 〈ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὕτη, τὸ ἀναβιώσκεσθαι; — Πάνυ γε. — Ὁμολογεῖται ἄρα ἡμῖν καὶ ταύτῃ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων〉 γεγονέναι οὐδὲν ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων· τούτου δὲ ὄντος, ἱκανόν που ἐδόκει τεκμήριον εἶναι, ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. — Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν. Ἐν ταὐτῷ (p. 78 B—C ; 79 A —80 D). Ἆρ' οὖν τῷ συντεθέντι τε καὶ συνθέτῳ ὄντι φύσει ἥκει μὴ πάσχειν ταῦτα, εἴπερ τῳ ἄλλῳ; — Δοκεῖ μοι, ἔφη, οὕτως ἔχειν, ὁ Κέβης. — Οὐκοῦν ἅπερ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀσύνθετα, τὰ δὲ ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ 〈ταὐτά〉, ταῦτα 〈δὲ〉 σύνθετα; — Ἔμοιγε δοκεῖ οὕτως ..... Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων, τὸ μὲν ὁρατόν, τὸ δὲ ἀειδές; — Θῶμεν, ἔφη. — Καὶ τὸ μὲν ἀειδὲς κατὰ ταὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν μηδέποτε κατὰ ταὐτά; — Καὶ τοῦτο, ἔφη, θῶμεν. — Φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν αὐτῶν, ἢ τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; — Οὐδὲν ἄλλο, ἔφη. — Ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαμὲν ἂν εἶναι καὶ ξυγγενέστερον τὸ σῶμα; — Παντί, ἔφη, τοῦτό γε δῆλον ὅτι τῷ ὁρατῷ. — Τί δὲ ἡ ψυχή; ὁρατὸν ἢ ἀειδές; — Οὐχ ὑπ' ἀνθρώπων γε, ἔφη, ὦ Σώκρατες. — Ἀλλὰ μὴν ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ τῇ τῶν ἀνθρώπων φύσει ἐλέγομεν· ἢ ἄλλῃ τινὶ οἴῃ; — Τῇ τῶν ἀνθρώπων. — Τί οὖν περὶ ψυχῆς λέγομεν; ὁρατὸν ἢ ἀόρατον εἶναι; — Οὐχ ὁρατόν. — Ἀειδὲς ἄρα; — Ναί. — Ὁμοιότερον ἄρα ψυχὴ σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ; — Πᾶσα ἀνάγκη, ὦ Σώκρατες. — Οὐκοῦν καὶ τόδε πάλαι ἐλέγομεν, ὅτι ἡ ψυχή, ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ἢ διὰ τοῦ ὁρᾶν ἢ διὰ τοῦ ἀκούειν ἢ δι' ἄλλης τινὸς αἰσθήσεως (τοῦτο γάρ ἐστι ἔχοντα, καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται καὶ ἰλιγγιᾷ ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη; — Πάνυ γε. — Ὅταν δέ γε αὐτὴ καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡσαύτως ἔχον, καὶ συγγενὴς αὐτοῦ οὖσα ἀεὶ μετ' ἐκείνου τε γίγνεται, ὅτανπερ αὐτὴ καθ' αὑτὴν γένηται καὶ ἐξῇ αὐτῇ, καὶ πέπαυταί τε τοῦ πλάνου καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη· καὶ τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληται; — Παντάπασιν, ἔφη, καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες. — Ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ εἴδει καὶ ἐκ τῶν πρόσθεν καὶ ἐκ τῶν νῦν λεγομένων ψυχὴ ὁμοιότερον εἶναι καὶ ξυγγενέστερον; — Πᾶς ἂν ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, συγχωρῆσαι, ὦ Σώκρατες, ἐκ ταύτης τῆς μεθόδου καὶ ὁ δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον ἢ τῷ μή. — Τί δὲ τὸ σῶμα; — Τῷ ἑτέρῳ. — Ὅρα δὲ καὶ τῇδε· ὅτι ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι, ἢ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν; — Ἔοικε. — Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικε; — Δῆλα δή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. — Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότερον αὖ εἶναι σῶμα. Ἔχομέν τι παρὰ ταῦτα λέγειν ἄλλο, ὦ φίλε Κέβης, ὡς οὐχ οὕτως ἔχει; — Οὐκ ἔχομεν. — Τί οὖν οὕτως ἐχόντων τούτων ἆρ' οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προσήκει, ψυχῇ δὲ αὖ τὸ παράπαν ἀδιαλύτῳ εἶναι ἢ ἐγγύς τι

τούτου; — Πῶς γὰρ οὔ; — Ἐννοεῖς οὖν, ἔφη, ὅτι ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ σῶμα καὶ ἐν ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν καλοῦμεν, ὃ προσήκει διαλύεσθαι καὶ διαπίπτειν καὶ διαπνεῖσθαι, οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν, ἀλλ' ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον· ἐὰν μέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν τοιαύτῃ ὥρᾳ, καὶ πάνυ μάλα. Συμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθέν, ὥσπερ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον· ἔνια δὲ μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ, ὀστᾶ τε καὶ νεῦρα καὶ τὰ τοιαῦτα πάντα ὁμοίως, ὡς ἔπος εἰπεῖν, ἀθάνατά ἐστιν· ἢ οὔ; — Ναί. — Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς [τὸ] τοιοῦτον τόπον ἕτερον οἰχόμενον γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον, αὕτη δὲ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; Πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης καὶ Σιμμία. Πλάτωνος ἐκ τοῦ Κρατύλου (p. 399 D). Οἶμαι τοιοῦτόν τι νοεῖν τοὺς τὴν ψυχὴν ὀνομάσαντας, ὡς τοῦτο ἄρα, ὅταν παρῇ τῷ σώματι, αἴτιόν ἐστι τοῦ ζῆν αὐτῷ, τὴν τοῦ ἀναπνεῖν δύναμιν παρέχον καὶ ἀναψῦχον, ἅμα δὲ ἐκλείποντος τοῦ ἀναψύχοντος τὸ σῶμα ἀπόλλυται καὶ τελευτᾷ· ὅθεν δή μοι δοκοῦσιν ψυχὴν αὐτὸ καλέσαι. Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 245 C —246 A). Ψυχὴ πᾶσα ἀθάνατος. Τὸ γὰρ ἀεικίνητον ἀθάνατον· τὸ δ' ἄλλο κινοῦν καὶ ὑπὸ ἄλλου κινούμενον παῦλαν ἔχον ζωῆς παῦλαν ἔχει κινήσεως. Μόνον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, οὔποτε λήγει κινούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὅσα κινεῖται, τοῦτο γὰρ πηγὴ καὶ ἀρχὴ κινήσεως. Ἀρχὴ δὲ ἀγένητον· ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γιγνόμενον γίγνεσθαι, αὐτὴν δὲ μηδ' ἐξ ἑνός. Εἰ γὰρ ἔκ του ἀρχὴ γίγνοιτο, οὐκ ἂν ἐξ ἀρχῆς γίγνοιτο. Ἐπεὶ δὲ ἀγένητόν ἐστι, καὶ ἄφθορον αὐτὸ εἶναι ἀνάγκη. Ἀρχῆς γὰρ δὴ ἀπολομένης οὔτε αὐτή ποτε ἔκ του οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται, εἴπερ ἐξ ἀρχῆς δεῖ τὰ πάντα γίγνεσθαι. Οὕτω δὴ κινήσεως μὲν ἀρχὴ τὸ αὐτὸ αὑτὸ κινοῦν· τοῦτο δ' οὖν οὔτ' ἀπόλλυσθαι οὔτε γίγνεσθαι δυνατόν, ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γένεσιν συμπεσοῦσαν στῆναι καὶ μήποτε αὖθις ἔχειν ὅθεν κινηθέντα γενήσεται. Ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ἄψυχον· ᾧ δὲ ἔνδοθεν αὐτὸ ἐξ αὑτοῦ, ἔμψυχον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς. Εἰ δ' ἐστὶ τοῦτο οὕτως, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ αὑτὸ κινοῦν ἢ ψυχήν, ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη. Περὶ μὲν οὖν ἀθανασίας αὐτῆς ἱκανῶς. Περὶ δὲ τῆς ἰδέας αὐτῆς ὧδε λεκτέον· οἷον μέν ἐστι, πάντῃ πάντως θείας εἶναι καὶ μακρᾶς διηγήσεως, ᾗ δὲ ἔοικεν, ἀνθρωπίνης τε καὶ ἐλάττονος. Ταύτῃ οὖν λέγωμεν. Ἐοικέτω δὴ ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου. Ἡροδότου ἱστορία β′ (c. 123). Πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατόν ἐστι· τοῦ δὲ σώματος καταφθίνοντος ἐς ἄλλο ζῷον αἰεὶ γινόμενον ἐσδύεται· ἐπὰν δὲ πάντα περιέλθῃ τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ πετεινά, αὖτις ἐς ἀνθρώπου σῶμα γενόμενον ἐσδύνειν· τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. τούτῳ τῷ λόγῳ εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο οἳ μὲν πρότερον, οἳ δὲ ὕστερον. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 91 E — 95 A). Πότερον οὖν, ἔφη, πάντας τοὺς ἔμπροσθεν λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ' οὔ; — Τοὺς μέν, ἐφάτην, τοὺς δ' οὔ. — Τί οὖν, ἦ δ' ὅς, περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν ἀνάμνησιν εἶναι, καὶ τούτου οὕτως ἔχοντος ἀναγκαίως ἔχειν ἄλλο τι πρό- Καὶ μήν, ἔφη ὁ Σιμμίας, καὶ αὐτὸς οὕτως ἔχω, καὶ πάνυ γε ἂν θαυμάσαιμι, εἴ μοι περί γε τούτου ἄλλα ποτὲ ἔτι δόξειεν. — Καὶ ὁ Σωκράτης· Ἀλλ' ἀνάγκη σοι, ἔφη, ὦ ξένε Θηβαῖε, ἄλλο δόξαι, ἄνπερ μείνῃ ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι σύνθετον πρᾶγμα, ψυχὴν δὲ ἁρμονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων συγκεῖσθαι. Οὐ γάρ που ἀποδέξῃ γε σαυτοῦ λέγοντος, ὡς πρότερον ἦν ἁρμονία ξυγκειμένη, πρὶν ἐκεῖνο εἶναι ἐξ ὧν ἔδει αὐτὴν συντεθῆναι· ἢ ἀποδέξῃ; — Οὐδαμοῦ, ἔφη, ὦ Σώκρατες. — Αἰσθάνῃ οὖν, ἦ δ' ὅς, ὅτι ταῦτά σοι ξυμβαίνει λέγειν, ὅταν φῇς μὲν εἶναι τὴν ψυχὴν πρὶν καὶ εἰς ἀνθρώπου εἶδος καὶ σῶμα ἀφικέσθαι, εἶναι δ' αὐτὴν

συγκειμένην ἐκ τῶν οὐδέπω ὄντων; οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν ᾧ ἀπεικάζεις· ἀλλὰ πρότερον καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ φθόγγοι ἔτι ἀνάρμοστοι ὄντες γίγνονται, τελευταῖον δὲ πάντων ξυνίσταται ἡ ἁρμονία καὶ πρῶτον ἀπόλλυται. Οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ τῷ λόγῳ πῶς ξυναινέσεται; — Οὐδαμῶς, ἔφη ὁ Σιμμίας. — Καὶ μήν, ἦ δ' ὅς, πρέπει γε, εἴπερ τῳ ἄλλῳ λόγῳ ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας. — Πρέπει γάρ, ἔφη ὁ Σιμμίας. — Οὗτος τοίνυν, ἔφη, σοὶ οὐ ξυνῳδός, ἀλλ' ὅρα· πότερον αἱρεῖ τῶν λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι, ἢ ψυχὴν ἁρμονίαν; — Πολὺ μᾶλλον ἐκεῖνον, ἔφη, ὦ Σώκρατες. Ὅδε μὲν γάρ μοι γέγονεν ἄνευ ἀποδείξεως μετὰ εἰκότος τινὸς καὶ εὐπρεπείας· ὅθεν καὶ τοῖς πολλοῖς δοκεῖ ἀνθρώποις· ἐγὼ δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι, καὶ ἄν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλα ἐξαπατῶσι καὶ ἐν γεωμετρίᾳ καὶ τοῖς ἄλλοις πᾶσιν. Ὁ δὲ περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως λόγος δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι εἴρηται. Ἐρρήθη γάρ που οὕτως ἡμῶν εἶναι ἡ ψυχὴ καὶ πρὶν ἢ εἰς σῶμα ἀφικέσθαι, ὥσπερ αὐτῆς ἐστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν. Ἐγὼ δὲ ταύτην, ὡς ἐμαυτὸν πείθω, ἱκανῶς τε καὶ ὀρθῶς ἀποδέδειγμαι. Ἀνάγκη οὖν μοι, ὡς ἔοικε, διὰ ταῦτα μήτε ὡς ἐμαυτοῦ μήτε ὡς ἄλλου ἀποδέχεσθαι λέγοντος ὡς ψυχή ἐστιν ἁρμονία. — Τί δέ, ἦ δ' ὅς, ὦ Σιμμία, τῇδε; δοκεῖ σοι ἁρμονίᾳ ἢ ἄλλῃ τινι συνθέσει προσήκειν, ἄλλως πως ἔχειν ἢ ὡς ἂν ἐκεῖνα ἔχῃ ἐξ ὧν ἂν συγκέηται; — Οὐδαμῶς. — Οὐδὲ μὴν ποιεῖν τι, ὡς ἐγῷμαι, οὐδέ τι πάσχειν ἄλλο παρ' ὃ ἂν ἐκεῖνα ἢ ποιῇ ἢ πάσχῃ. — Συνέφη. — Οὐκ ἄρα ἡγεῖσθαί γε προσήκει ἁρμονίαν τούτων ἐξ ὧν ἂν συντεθῇ, ἀλλὰ ἔπεσθαι. — Συνεδόκει. — Πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονία κινηθῆναι ἂν ἢ φθέγξασθαι ἤ τι ἄλλο ἐναντιωθῆναι τοῖς αὐτῆς μέρεσι. — Πολλοῦ μέντοι, ἔφη. — Τί δέ; οὐχ οὕτως ἁρμονία πέφυκεν εἶναι ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ; — Οὐ μανθάνω, ἔφη. — Ἦ οὐχί, ἦ δ' ὅς, ἐὰν μὲν μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον, εἴπερ ἐνδέχεται τοῦτο γίγνεσθαι, μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλείων· εἰ δ' ἧττόν τε καὶ ἐπὶ ἔλαττον, ἧττόν τε καὶ ἐλάττων; — Πάνυ γε. — ἡ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; καὶ ταῦτα ἀληθῶς λέγεται; — Ἀληθῶς μέντοι. — Τῶν οὖν τιθεμένων ψυχὴν ἁρμονίαν εἶναι τί τις φήσει ταῦτα ὄντα εἶναι ἐν ταῖς ψυχαῖς, τήν τε ἀρετὴν καὶ τὴν κακίαν; Πότερα ἁρμονίαν αὖ τιν' ἄλλην καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι, τὴν ἀγαθήν, καὶ ἔχειν ἐν αὑτῇ τῇ ἁρμονίᾳ οὖσῃ ἄλλην ἁρμονίαν, τὴν δὲ ἀνάρμοστον αὐτήν τε εἶναι καὶ οὐκ ἔχειν ἐν αὑτῇ ἄλλην; — Οὐκ ἔχω ἔγωγε, φησὶν ὁ Σιμμίας, εἰπεῖν· δῆλον δὲ ὅτι τοιαῦτ' ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο ὑποθέμενος. — Ἀλλὰ προωμολόγηται, ἔφη, μηδὲν μᾶλλον μηδ' ἧττον ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς εἶναι. Τοῦτο δ' ἐστὶ τὸ ὁμολόγημα, μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον μηδὲ ἧττον, μηδ' ἐπὶ ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι; ἦ γάρ; — Πάνυ γε. — Τὴν δέ γε μηδὲν μᾶλλον μηδὲ ἧττον ἁρμονίαν οὖσαν μηδὲ μᾶλλον μηδὲ ἧττον ἡρμόσθαι· ἔστιν οὕτως; — Ἔστιν. — Ἡ δὲ μήτε μᾶλλον μήτε ἧττον ἡρμοσμένη ἔστιν ὅτι πλέον ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον; — Τὸ ἴσον. — Οὐκοῦν ψυχὴ οὐδὲν μᾶλλον οὐδὲ ἧττον ἄλλη ἄλλης αὐτὸ τοῦτο ψυχή ἐστιν, οὐδὲ δὴ μᾶλλον οὐδὲ ἧττον ἥρμοσται; — Οὕτω. — Τοῦτο δέ γε πεπονθυῖα οὐδὲν πλέον ἀναρμοστίας οὐδὲ ἁρμονίας — Οὐδὲν πλέον. — Μᾶλλον δέ γέ που, ὦ Σιμμία, κατὰ τὸν ὀρθὸν λόγον κακίας οὐδεμία ψυχὴ μεθέξει, εἴπερ ἁρμονία ἐστίν· ἁρμονία γὰρ δήπου παντελῶς αὐτὸ τοῦτο οὖσα, ἁρμονία, ἀναρμοστίας οὔποτ' ἂν μετάσχοι. — Οὐ μέντοι. — Οὐδέ γε δήπου ψυχή, οὖσα παντελῶς ψυχή, κακίας. — Πῶς γὰρ ἔκ γε τῶν προειρημένων; — Ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζῴων ὁμοίως ἀγαθαὶ ἔσονται, εἴπερ ὁμοίως ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο εἶναι, ψυχαί. — Ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες. — Ἦ καὶ καλῶς δοκεῖ, ἦ δ' ὅς, οὕτω λέγεσθαι καὶ πάσχειν ἂν ταῦτα ὁ λόγος, εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν, τὸ ψυχὴν ἁρμονίαν εἶναι. — Οὐδ' ὁπωστιοῦν, ἔφη. — Τί δέ; ἦ δ' ὅς· τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ' ὅ τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχήν, ἄλλως τε καὶ φρόνιμον; — Οὐκ ἔγωγε. — Πότερον συγχωροῦσαν τοῖς κατὰ τὸ

σῶμα παθήμασιν, ἢ καὶ ἐναντιουμένην; λέγω δὲ τὸ τοιόνδε· οἷον καύματος ἐνόντος καὶ δίψους ἐπὶ τοὐναντίον ἕλκειν, τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης ἐπὶ τὸ μὴ ἐσθίειν, καὶ ἄλλα που μυρία ἐροῦμεν ἐναντιουμένην τὴν ψυχὴν τοῖς κατὰ τὸ σῶμα· ἢ οὔ; — Πάνυ μὲν οὖν. — Οὐκοῦν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν μήποτε ταύτην, ἁρμονίαν γε οὖσαν, ἐναντία ᾄδειν οἷς ἐπιτείνοιτο καὶ χαλῷτο καὶ ψάλλοιτο καὶ ἄλλο ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα ἐξ ὧν τυγχάνει οὖσα, ἀλλ' ἔπεσθαι ἐκείνοις καὶ οὔποτ' ἂν ἡγεμονεύειν; — Ὡμοτοὐναντίον φαίνεται ἡμῖν ἐργαζομένη, ἡγεμονεύουσά τε ἐκείνων πάντων, ἐξ ὧν φησί τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα διὰ παντὸς τοῦ βίου καὶ δεσπόζουσα πάντας τρόπους, τὰ μὲν χαλεπώτερον κολάζουσα καὶ μετ' ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, τὰ δὲ πραότερον, καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα, ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη; οἷόν που καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν Ὀδυσσέα (υ 17. 18)· στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ· τέτλαθι δή, κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης. Ἆρ' οἴει αὐτὸν ταῦτα ποιῆσαι διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων, ἀλλ' οὐχ οἵας ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς ἢ καθ' ἁρμονίαν; — Νὴ Δία, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ. — Οὐκ ἄρα, ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν τινὰ φάναι εἶναι· οὔτε γὰρ ἄν, ὡς ἔοικεν, Ὁμήρῳ θειῷ ποιητῇ ὁμολογοῖμεν οὔτε αὐτοὶ ἡμῖν αὐτοῖς. — Ἔχει οὕτως, ἔφη. — Εἶεν δή, ἦ δ' ὃς ὁ Σωκράτης, τὰ μὲν Ἁρμονίας ἡμῖν τῆς Θηβαικῆς ἵλεά πως, ὡς ἔοικε, μετρίως γέγονε· τί δὲ δὴ τὰ Κάδμου, ἔφη, ὦ Κέβης, πῶς ἱλασόμεθα καὶ τίνι λόγῳ; — Σύ μοι δοκεῖς, ἔφη ὁ Κέβης, ἐξευρήσειν. Ἐν ταὐτῷ (p. 95 E —96 C). Ὁ οὖν Σωκράτης συχνὸν χρόνον ἐπισχὼν καὶ πρὸς αὑτόν τι σκεψάμενος, Οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ Κέβης, ζητεῖς· ὅλως γὰρ δεῖ περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. Ἐγὼ οὖν σοι δίειμι περὶ αὐτῶν, ἂν βούλῃ, τά γ' ἐμὰ πάθη· ἔπειτα ἐάν τί σοι χρήσιμον φαίνηται ὧν ἂν λέγω, πρὸς τὴν πειθὼ περὶ ὧν λέγεις χρήσῃ. — Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, βούλομαί γε. — Ἄκουε τοίνυν ὡς ἐροῦντος. Ἐγὼ γάρ, ἔφη, ὦ Κέβης, νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν· ὑπερήφανον γάρ μοι ἐδόκει εἶναι εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε· ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῷα συστρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ ἢ τὸ πῦρ, ἢ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ τοῦ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην· καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν καὶ τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα. Πλάτωνος (Phaed. p. 99 B —100 A). Τὸ γὰρ μὴ διελέσθαι οἷόν τε εἶναι ὅτι ἄλλο μέν τί ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δὲ ἐκεῖνο ἄνευ οὗ τὸ αἴτιον οὐκ ἄν ποτ' εἴη αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ ὥσπερ ἐν σκότει, ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν. Διὸ δὴ καὶ ὃ μέν τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν οὔτε τινὰ οἴονται δαιμονίαν ἰσχὺν ἔχειν, ἀλλ' ἡγοῦνται τούτου ἄν ποτε Ἄτλαντα ἰσχυρότερον καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα συνέχοντα ἐξευρεῖν καὶ ὡς ἀληθῶς τὸ ἀγαθὸν καὶ δέον συνιδεῖν καὶ συνδέειν οὐδὲν οἴονται. Ἐγὼ μὲν οὖν τῆς τοιαύτης αἰτίας, ὅπῃ ποτὲ ἔχει, μαθητὴς ὁτουοῦν ἥδιστ' ἂν γενοίμην· ἐπειδὴ δὲ ταύτης ἐστερήθην καὶ οὔτ' αὐτὸς εὑρεῖν οὔτε παρ' ἄλλου μαθεῖν οἷός τε ἐγενόμην, τὸν δεύτερον πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν ᾗ πεπραγμάτευμαι, βούλει σοι, ἔφη, ἐπίδειξιν ποιήσομαι, ὦ Κέβης; — Ὑπερφυῶς μὲν οὖν, ἔφη, ὡς βούλομαι. — Ἔδοξε τοίνυν μοι, ἦ δ' ὅς, μετὰ ταῦτα, ἐπειδὴ ἀπείρηκα τὰ ὄντα

σκοπῶν, δεῖν εὐλαβηθῆναι, μὴ πάθοιμι ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι πάσχουσι· διαφθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἤ τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐτοῦ. Τοιοῦτόν τι καὶ ἐγὼ διενοήθην καὶ ἔδεισα, μὴ παντάπασι τὴν ψυχὴν τυφλωθείην βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι καὶ ἑκάστῃ τῶν αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν. Ἔδοξε δή μοι χρῆναι εἰς τοὺς λόγους καταφυγόντα ἐν ἐκείνοις σκοπεῖν τῶν ὄντων τὴν ἀλήθειαν. Ἴσως μὲν οὖν, ὡς εἰκάζω, τρόπον τινὰ οὐκ ἔοικεν. Οὐ γὰρ πάνυ συγχωρῶ, τὸν ἐν λόγοις σκοπούμενον τὰ ὄντα ἐν εἰκόσι μᾶλλον σκοπεῖν ἢ τὸν ἐν τοῖς ἔργοις· ἀλλ' οὖν δὴ ταύτῃ γε ὥρμησα, καὶ ὑποθέμενος ἑκάστοτε λόγον ὃν ἂν κρίνω ἐρρωμενέστατον εἶναι, ἃ μὲν ἄν μοι δοκῇ τούτῳ οὐ σφόδρα. Ἐν ταὐτῷ (p. 105 C —107 A). Ἀποκρίνου δή, ἦ δ' ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι, ζῶν ἔσται; — Ὧι ἂν ψυχή, ἔφη. — Οὐκοῦν ἀεὶ τοῦτο οὕτως ἔχει; — Πῶς γὰρ οὐχί, ἦ δ' ὅς. — Ἡ ψυχὴ ἄρα ὅ τι ἂν αὐτὴ κατάσχῃ, ἀεὶ ἥκει ἐπ' ἐκεῖνο φέρουσα ζωήν; — Ἥκει μέντοι, ἔφη. — Πότερον δ' ἔστι τι ζωῇ ἐναντίον ἢ οὐδέν; — Ἔστιν, ἔφη. — Τί; — Θάνατος. — Οὐκοῦν ψυχὴ τὸ ἐναντίον ᾧ αὐτὴ ἐπιφέρει ἀεὶ οὐ μήποτε δέξηται, ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται; — Καὶ μάλα σφόδρα, ἔφη ὁ Κέβης. — Τί οὖν; τὸ μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν, τί νῦν δὴ ὀνομάζομεν; — Ἀνάρτιον, ἔφη. — Τὸ δὲ δίκαιον μὴ δεχόμενον καὶ ὃ ἂν μουσικὸν μὴ δέχηται; — Ἄμουσον, ἔφη, τὸ δὲ ἄδικον. — Εἶεν· ὃ δ' ἂν θάνατον μὴ δέχηται, τί καλοῦμεν; — Ἀθάνατον, ἔφη. — Οὐκοῦν ψυχὴ οὐ δέχεται θάνατον; — Οὔ. — Ἀθάνατον ἄρα ψυχή; — Ἀθάνατον. — Εἶεν, ἔφη· τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν· ἢ πῶς δοκεῖ; — Καὶ μάλα γε ἱκανῶς, ὦ Σώκρατες. — Τί οὖν, ἦ δ' ὅς, ὦ Κέβης; Εἰ τῷ ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι, ἄλλο τι ἢ τὰ τρία ἀνώλεθρα ἂν ἦν; — Πῶς γὰρ οὔ; — Οὐκοῦν εἰ καὶ τὸ θερμὸν ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις ἐπὶ χιόνα θερμὸν ἐπάγει, ὑπεξῄει ἂν ἡ χιὼν μένουσα ἄτηκτος· οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα ἐδέξατ' ἂν οἶμαι, κἂν εἰ τὸ ψυχρὸν ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ πῦρ ψυχρόν τι ἐπῄει, οὔποτ' ἂν ἀπεσβέννυτο οὐδ' ἀπώλλυτο, ἀλλὰ σῶον ἂν ἀπελθὸν ᾤχετο. — Ἀνάγκη, ἔφη. — Οὐκοῦν καὶ ὧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου 〈εἰπεῖν〉; Εἰ μὲν τὸ ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνατος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι· θάνατον μὲν γὰρ δὴ ἐκ τῶν προειρημένων οὐ δέξεται οὐδ' ἔσται τεθνηκυῖα, ὥσπερ τὰ τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδὲ γοῦν τὸ περιττόν, οὐδὲ δὴ τὸ πῦρ ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερμότης. Ἀλλὰ τί κωλύει, φαίη ἄν τις, ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι ἐπιόντος τοῦ ἀρτίου, ὥσπερ ὡμολόγηται, ἀπολομένου δ' αὐτοῦ ἀντ' ἐκείνου ἄρτιον γεγονέναι; Τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμάχεσθαι ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ ἀνώλεθρόν ἐστιν, ἐπεὶ εἰ τοῦτο ὡμολόγητο ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα ὅτι ἐπελθόντος τοῦ ἀρτίου τὸ περιττὸν καὶ τὰ τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν ἄλλων οὕτως ἂν διεμαχόμεθα· ἢ οὔ; — Πάνυ μὲν οὖν. — Οὐκοῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τῷ ἀθάνατος εἶναι καὶ ἀνώλεθρος· εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου. — Ἀλλ' οὐδὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα· σχολῇ γὰρ ἄν τι ἄλλο φθορὰν μὴ δέχοιτο, εἴ γε τὸ ἀθάνατον ἀίδιον ὂν ἐστι, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι. — Παρὰ πάντων μέντοι νὴ Δί', ἔφη, ἀνθρώπων τέ γε καὶ ἔτι μᾶλλον, ὡς ἐγῷμαι, παρὰ θεῶν. — Ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιάφθορόν ἐστιν, ἄλλο τι ψυχὴ ἤ, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη; — Πολλὴ ἀνάγκη. — Ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνῄσκει, τὸ δ' ἀθάνατον σῶον καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. — Φαίνεται. — Παντὸς μᾶλλον ἄρα, ἔφη, ὦ Κέβης, ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου. Ἐκ τῶν Πορφυρίου Πρὸς τὰ νοητὰ ἀφορμῶν (Porphyr. op. p. 60 Holsten.). Ἡ μὲν ψυχὴ τῆς ἀμερίστου καὶ 〈τῆσ〉 περὶ τὰ σώματα μεριστῆς οὐσίας μέσον τι· ὁ δὲ νοῦς ἀμέριστος οὐσία μόνον, τὰ δὲ σώματα μεριστὰ μόνον. Αἱ δὲ ποιότητες καὶ τὰ ἔνυλα εἴδη περὶ τὰ σώματα 〈τὰ〉 μεριστά. Ἐν ταὐτῷ (Porphyr. op. p. 60

Holsten.). Ψυχὴ καταδεῖται πρὸς σῶμα τῇ ἐπιστροφῇ τῇ πρὸς τὰ πάθη τὰ ἀπ' αὐτοῦ, καὶ λύεται διὰ τῆς ἀπαθείας. Ἐν ταὐτῷ (Porphyr. op. p. 66 Holsten.). Ἡ ψυχὴ ἔχει μὲν πάντων τοὺς λόγους, ἐνεργεῖ δὲ κατ' αὐτοὺς ἢ ὑπ' ἄλλου εἰς τὴν προχείρισιν ἐκκαλουμένη ἢ ἑαυτὴν εἰς αὐτοὺς ἐπιστρέφουσα εἰς τὸ εἴσω. Καὶ ὑπ' ἄλλου μὲν ἐκκαλουμένη ὡς πρὸς τὰ ἔξω τὰς αἰσθήσεις οὐκ ἄνευ φαντασίας· ἵν' ᾖ τὸ ἀνάλογον, ὡς ὁ τύπος παρακολούθημα ζῴου αἰσθητικοῦ, οὕτως τὸ φάντασμα ψυχῆς ζῴου ἑπόμενον νοήσει. Ἐν ταὐτῷ (Holsten. l. s.). Ἡ ψυχὴ οὐσία ἀμεγέθης, ἄυλος, ἄφθαρτος, ἐν ζωῇ παρ' ἑαυτῆς ἐχούσῃ τὸ ζῆν κεκτημένη τὸ εἶναι. Ἐν ταὐτῷ (Holsten. l. s.). Ἄλλο τὸ πάσχειν τῶν σωμάτων, ἄλλο τῶν ἀσωμάτων. Τῶν μὲν γὰρ σωμάτων σὺν τροπῇ τὸ πάσχειν· τῆς δὲ ψυχῆς αἱ οἰκειώσεις καὶ τὰ πάθη ἐνέργειαι, οὐδὲν ἐοικυῖαι θερμάνσεσι καὶ ψύξεσι σωμάτων. Διὸ εἴπερ τὸ πάσχειν πάντως σὺν τροπῇ, ἀπαθῆ ῥητέον παντελῶς τὰ ἀσώματα. Τὰ μὲν γὰρ ὕλης κεχωρισμένα καὶ σωμάτων ἐνεργείαις ἦν τὰ αὐτά· τὰ δ' ὕλῃ πλησιάζοντα καὶ σώμασιν αὐτὰ μὲν ἀπαθῆ, τὰ δὲ ἐφ' ὧν θεωρεῖται πάσχει. Ὅταν γὰρ τὸ ζῷον αἰσθάνηται, ἔοικεν ἡ ψυχὴ μὲν ἁρμονίᾳ χωριστῇ, ἐξ ἑαυτῆς τὰς χορδὰς κινούσῃ ἡρμοσμένας· ** ἁρμονίᾳ σμέναις χορδαῖς. καὶ γὰρ ἐκεῖ οὐδ' ἡ ἁρμονία πέπονθεν ἡ χωριστή, ἀλλ' ἡ χορδή· καὶ κινεῖ μὲν ὁ μουσικὸς κατὰ τὴν ἐν αὐτῷ ἁρμονίαν, οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ μουσικῶς, εἰ καὶ ὁ μουσικὸς ἐβούλετο, μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης. Ἐν ταὐτῷ (Porphyr. op. p. 71 Holsten.). Ἧς οὐσίας ἐν ζωῇ τὸ εἶναι καὶ ἧς τὰ πάθη ζωή, ταύτης καὶ ὁ θάνατος ἐν ποιᾷ ζωῇ κεῖται, οὐκ ἐν ζωῆς καθάπαξ στερήσει, ὅτι μηδὲ τὸ παθεῖν ἦν ὁδὸς εἰς τὴν παντελῆ ἀζωίαν ἐπ' αὐτῆς. Ἐν ταὐτῷ (Porphyr. op. p. 95 Holsten.). Οὐ διὰ τὸ πλῆθος τῶν σωμάτων δεῖ νομίζειν πλῆθος τῶν ψυχῶν γενέσθαι, πρὸ δὲ τῶν σωμάτων εἶναι καὶ πολλὰς καὶ μίαν, οὔτε τῆς μιᾶς ὅλης κωλυούσης τὰς πολλὰς ἐν ἑαυτῇ εἶναι οὔτε τῶν πολλῶν τὴν μίαν εἰς αὐτὰς μεριζουσῶν. Διέστησαν γὰρ οὐκ ἀποκοπεῖσαι οὐδ' ἀποκερματίσασαι εἰς αὐτὰς τὴν ὅλην, καὶ πάρεισιν ἀλλήλαις οὐ συγκεχυμέναι οὐδὲ σωρὸν ποιοῦσαι τὴν ὅλην. Οὔτε γὰρ πέρασίν εἰσι διειλημμέναι οὔτε πάλιν ἀλλήλαις συγκεχυμέναι, ὥσπερ οὐδὲ ἐπιστῆμαι συνεχύθησαν αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ καὶ πάλιν οὐκ ἔγκεινται ὡς τὰ σώματα τῇ ψυχῇ ἑτερουσίως, ἀλλὰ τῆς ψυχῆς ποιαὶ ἦσαν ἐνέργειαι. Ἀπειροδύναμος ἡ τῆς ψυχῆς φύσις καὶ καθ' ἕκαστον τὸ τυχὸν αὐτῆς ** ψυχή, καὶ πᾶσαι μία, καὶ πάλιν ἡ ὅλη ἄλλη παρὰ πάσας. Ὡς γὰρ τὰ σώματα ἐπ' ἄπειρον τεμνόμενα οὐ καταλήγει εἰς ἀσώματα, κατ' ὄγκον λαμβανόντων τῶν τμημάτων τὴν διαφοράν, οὕτως ψυχή, οὖσα ζωτικόν, ἐπ' ἄπειρον κατὰ τὰ εἴδη διείληπται, παραλλαγὰς ἔχουσα εἰδικάς, καὶ ἡ ὅλη σὺν ταύταις οὖσα καὶ ἄνευ τούτων. Ἡ γὰρ ἐπ' αὐτῆς οἷον τομὴ ἑτερότης ἐστὶ μενούσης τῆς ταὐτότητος. Εἰ δ' ἐπὶ τῶν σωμάτων, ἐφ' ὧν ἡ ἑτερότης ἐκράτει μᾶλλον τῆς ταὐτότητος, οὐδὲν ἐπεισελθὸν ἀσώματον διέκοψε τὴν ἕνωσιν, μένει δὲ πάντα ἡνωμένα μὲν κατὰ τὴν οὐσίαν, ταῖς δὲ ποιότησι καὶ τοῖς ἄλλοις εἴδεσι διειλημμένα, τί χρὴ ὑπονοεῖν ἐπὶ τῆς εἰδικῆς ἀσωμάτου ζωῆς, ἐφ' ἧς ἡ ταὐτότης μᾶλλον κεκράτηκε τῆς ἑτερότητος, καὶ οὐδὲν ὑπόκειται ἀλλοῖον παρὰ τὸ εἶδος, ἀφ' ἧς καὶ τοῖς σώμασιν ἡ ἑνότης, οὐδὲ σῶμα συμπεσὸν ἀποκόπτει τὴν ἕνωσιν, καίπερ πρὸς τὰς ἐνεργείας ἐν πολλοῖς ἐμποδίζον; Αὐτὴ δι' αὐτὴν ἡ ταὐτότης δὲ κρατηθὲν ἐν ὕλῃ τὸ σπέρμα καθ' ἕκαστον ὧν ἠδύνατο λόγων ἐν τοῖς μέρεσι τῆς ὕλης κρατεῖται, καὶ πάλιν συναχθὲν εἰς τὴν τοῦ σπέρματος δύναμιν καθ' ἕκαστον τῶν μερῶν ἔχει τὴν πᾶσαν δύναμιν, οὕτω καὶ ψυχῆς ἀύλου τὸ ὡς μέρος ἐπινοούμενον τῆς πάσης ψυχῆς ἔχει τὴν δύναμιν. Τὸ δὲ πρὸς ὕλην ῥέψαν κεκράτηται μὲν καθ' ὃ [εἶδος ῥέψαν] ἐπιτηδείως ἔσχε προσομιλεῖν ἐνύλῳ· ἔχει δὲ τὴν τῆς ὅλης δύναμιν ἤδη καὶ ἐντυγχάνει οὖσῃ ἐν ἑαυτῷ, ὅταν ἀπὸ τοῦ ἐνύλου ἀποστὰν ἐν ἑαυτῷ γένηται. Ἐπεὶ δὲ πρὸς μὲν ὕλην ῥεπούσῃ ἀπορία ἁπάντων 〈ἦν〉 καὶ τῆς οἰκείας δυνάμεως κένωσις, εἰς δὲ τὸν νοῦν ἀναγομένη τὸ πλῆρες ἑαυτῆς κατὰ τὴν δύναμιν ἔχειν τῆς πάσης ηὑρίσκετο, τὴν μὲν εἰκότως πενίαν τὴν δὲ κόρον οἱ τοῦτο πρῶτον γνόντες τῆς ψυχῆς τὸ πάθος ᾐνίξαντο. Ἐκ τῶν Πορφυρίου Περὶ τῶν τῆς ψυχῆς δυνάμεω ν . Τὰς

τῆς ψυχῆς δυνάμεις ὑπογράψαι πρόκειται καὶ πρότερόν γε ἐπεξελθεῖν τῇ ἱστορίᾳ τῇ τε παρὰ τοῖς παλαιοῖς καὶ τῇ ὕστερον ἐπικρίσει τῇ παρὰ τοῖς διδατικὸν καλεῖ, ἀρχὴν καὶ πηγὴν ὑπάρχον τῶν κατὰ μέρος αἰσθήσεων, τὸ δὲ ἀεὶ καθ' ἑαυτὸ καὶ χωρὶς ὀργάνων, ὃ ἐπὶ μὲν τῶν ἀλόγων οὐκ ὠνομάσθαι (ἢ γὰρ ὅλως οὐκ εἶναι ἐν αὐτοῖς, ἢ τελέως ἀσθενὲς καὶ ἀμυδρὸν ἄγαν), ἐν δὲ τοῖς λογικοῖς, ἐν οἷς δὴ μάλιστα 〈ἢ〉 μόνοις φαίνεται, νοῦν προσαγορεύεσθαι. [Ἔφη ἄνευ ὀργάνων τὸν νοῦν ἐνεργεῖν, τὴν αἰσθητικὴν καὶ μετ' ὀργάνου.] Πῶς οὖν ἡ μετ' ὀργάνου οὐχ ἡ αὐτὴ ἔσται τῷ νῷ, εἴγε ὑφ' ἓν γένος, τὸ τῆς ἀντιληπτικῆς, τέτακται καὶ 〈τὸ〉 μετ' ὀργάνου ἐνεργοῦν μέρος καὶ τὸ ἄνευ ὀργάνου; ἢ ὅτι ἡ μὲν τῆς μορφῆς τῶν ὄντων ἀντιλαμβάνεται, ἡ δὲ τῆς οὐσίας; Αἴσθησις γὰρ οὐσίας οὐκ ἀντιληπτική, ἀλλὰ μορφῆς καὶ πλάσεως ** · ὅτι δὲ ἄνθρωπος ἢ ἵππος, ἄλλου ἡ ἀντίληψις. Διάφορον οὖν τῆς ἀντιλήψεως κίνημα· ἢ μὲν γὰρ τυπουμένῃ ἔοικεν ἡ τῆς αἰσθητικῆς καὶ ἔξω ἑλκομένῃ ἐπὶ μορφήν, ἢ δὲ ἀφισταμένῃ τυπώσεως. Οἳ μὲν οὖν διῄρουν καὶ τὸ μὲν ἄνευ φαντασίας 〈ἢ αἰσθήσεως〉 διεξοδικόν, ἀπὸ τοῦ νοῦ ἠρτημένον διάνοιάν τε καὶ νοῦν προσηγόρευον, τὸ δὲ μετὰ φαντασίας ἢ αἰσθήτὴν οὐσίαν λογικὴν ἐτίθεντο, διαφόρους δὲ τὰς ἐνεργείας. Τοιαύτης δὲ οὔσης τῆς διαφορᾶς ὑφ' ἓν τίθεσθαι τὰς 〈δύο〉 δυνάμεις μήποτε ἄτοπον ἦν (οὐ γὰρ ἐκ μιᾶς ἥ τε νόησις οὐσίας ὁρμᾶται καὶ ἡ αἴσθησις, καὶ ἀντίληψιν εἴ τις λέγει τὴν τοῦ νοῦ ἐνέργειαν, ὁμωνύμως ἐρεῖ), καὶ ἔδει ἄλλην μὲν θέσθαι τὴν τοῦ νοῦ δύναμιν καὶ ἑτερογενῆ. μεθ' ἣν τὴν τῆς διανοία ς , πάντας τοὺς ἐφ' ἑκατέρας, ἀλλὰ τὴν μὲν ἀθρόαν ἐνέργειαν τὴν δὲ ἐν διεξόδῳ· ἄλλην δὲ πάντῃ τὴν αἰσθητική ν , ἧς τὸ μέν τι μετὰ προσχρήσεως ὀργάνων, τὸ δέ 〈τι〉 ἄνευ προσχρήσεως, τοῦ μὲν μετ' ὀργάνων αἰσθητικοῦ καλουμένου, τοῦ δὲ ἄνευ τούτων φανταστικο ῦ , τὸ δέ τι οὐχ ἧττον τοῦ αὐτοῦ γένους, ὑπερβεβηκὸς δὲ τὸ διεξοδεῦον, τὸ ἀθρόον τούτων, δοξαστικὸν καλούμενον, ἐπιστάσεως οὔσης, πότερον τῆς διανοίας εἶδος τὸ τοιοῦτο ἢ τὸ ἄλλο, τὸ ὑπερβεβηκὸς μὲν τὸ αἰσθητικὸν καὶ φανταστικόν, ὑποβεβηκὸς δὲ τὸ νοητικόν. Ἐν ταὐτ ῷ . Νουμήνιος (fr. 52 ap. Thedinga, de Numenio p. 70) δὲ τὴν συγκαταθετικὴν δύναμιν παραδεκτικὴν ἐνεργειῶν φήσας εἶναι, σύμπτωμα αὐτῆς φησιν εἶναι τὸ φανταστικόν, οὐ μὴν ἔργον γε καὶ ἀποτέλεσμα, ἀλλὰ παρακολούθημα· τῶν ἀπὸ τῆς Στοᾶς τὴν αἴσθησιν οὐκ ἐν τῇ φαντασίᾳ ἱστάντων μόνον, ἀλλὰ τὴν οὐσίαν ἀναρτώντων ἀπὸ τῆς συγκαταθέσεως. Αἰσθητικὴ γὰρ φαντασία συγκατάθεσίς ἐστιν ἡ αἴσθησις τῆς συγκαταθέσεως καθ' ὁρμὴν οὔσης. Λογγῖνος δὲ μηδ' εἶναι ὅλως συγκαταθετικὴν μέτοχος. Κἂν ᾖ δὲ μετὰ συγκαταθέσεως συγκατακειμένη φαντασία δι' αἰσθητηρίου ἡ αἴσθησις, οὐ πάντως καὶ ἀρετῆς μέτοχος ἡ αἴσθησις ἔσται, εἰ μὴ συγκατάθεσις εἴη τῶν ἐφ' ἡμῖν. Τοῦ αὐτο ῦ . Διαπεφώνηται δὲ οὐ τὰ περὶ τούτων μόνον τοῖς παλαιοῖς, ἀλλὰ καὶ ἐξ ἀρχῆς τὰ περὶ τῶν μερῶν τῆς ψυχῆς, καὶ ὅλως τί τὸ μέρος καὶ τίς ἡ δύναμις καὶ τίνι ταῦτα διενήνοχεν. Αὐτίκα οἱ μὲν ἀπὸ τῆς Στοᾶς ὀκταμερῆ τὴν ψυχὴν θέντες καὶ πέντε μὲν μέρη τὰ αἰσθητικὰ λαβόντες, ἕκτον δὲ τὸ φωνητικὸν καὶ ἕβδομον τὸ σπερματικόν, [καὶ] λοιπὸν τὸ ἡγεμονικὸν ὡς ἂν ἄρχοντος χώραν ἔχειν ὑπετίθεντο, τὰ δὲ ἄλλα μέρη ἐν ὑπηρέτου τάξει ἀπεδίδοσαν, ὥστε τὸ αὐτὸ ἐξ ἄρχοντος καὶ ἀρχομένων συνεστάναι. Παρὰ δὲ Πλάτωνι καὶ Ἀριστοτέλει ἐν τοῖς Ἠθικοῖς τριμερὴς ἡ ψυχὴ λέγεται εἶναι, καὶ κεκράτηκε τοῦτο παρὰ τοῖς πολλοῖς ἀγνοοῦσιν ὡς ἡ διαίρεσις τῆς συστάσεως ἕνεκα τῶν ἀρετῶν παρείληπται· οὐ γὰρ ἁπλῶς εἰς σύλληψιν πάντων τῶν μερῶν. Τὸ γὰρ φανταστικὸν καὶ αἰσθητικὸν καὶ τὸ νοερὸν καὶ 〈τὸ〉 φυτικὸν οὐ δήπου ἐν τῇ διαιρέσει ταύτῃ περιληφθήσεται. Ἄλλοι δέ, ὧν καὶ Νουμήνιος (fr. 54 p. 70 Theding.), οὐ τρία μέρη ψυχῆς μιᾶς, ἢ δύο γε, τὸ λογικὸν καὶ ἄλογον, ἀλλὰ δύο ψυχὰς καὶ κατ' οὐσίαν διαλύεσθαι. Τοῖς δὲ ἐδόκει δύο ψυχῶν εἰς ταὐτὸ συμπλακεισῶν ἀλλήλαις διπλασίας εἶναι τὰς κινήσεις, ὁμοιουμένων ἀλλήλαις ἐκ τοῦ ἀπολαύειν ἑκατέραν τῶν τῆς ἑτέρας παθημάτων κατὰ τὴν ἕνωσιν. Ῥητέον δὲ ὡς δύναμις μέρους διήνεγκεν, ὅτι τὸ μὲν μέρος ἐκβέβηκε κατὰ γένος τὸν χαρακτῆρα τοῦ ἄλλου μέρους, αἱ δὲ δυνάμεις περὶ τὸ αὐτὸ στρέφονται γένος. Διὸ τὰ μὲν μέρη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρητεῖτο Ἀριστοτέλης ἐπὶ τῆς ψυχῆς, τὰς δὲ δυνάμεις οὐκέτι· τὸ γὰρ ἑτερομερὲς εὐθὺς ὑποκειμένου παραλλαγὴν εἰσάγειν, τὸ δὲ ἑτεροδύναμον καὶ περὶ ἓν ὑποκείμενον ἐνίστασθαι. Λογγῖνος δὲ οὐδὲ τὸ ζῷον πολυμερὲς εἶναι ἀλλ' ἀμερές, πολυδύναμον δέ, τὸ τοῦ Πλάτωνος ἐν τοῖς σώμασι πολυμερῆ φάσκων τὴν ψυχὴν γίγνεσθαι, καθ' ἑαυτὴν οὖσαν ἀμερῆ. ὅτι δὲ οὐ πολυμερής, οὐ διὰ τοῦτο καὶ μονοδύναμος· ἐνδέχεσθαι γὰρ ἓν ἀμερὲς δυνάμεις πλείους ἔχειν. Διακριτέον οὖν τάχα ἐκ τοῦ πολλοῦ ταράχου θέντας ὅρον γνώσεως μερικῆς διαφορᾶς καὶ ἀδιαφορίας καὶ πάλιν δυνάμεων πρὸς μέρη καὶ πρὸς ἀλλήλας, εἶτ' ἀνωτέρω οὐσιῶν εἰ καὶ πλείους ἐν ἑνὶ εἶεν. Ὡς ἐκ τούτου γὰρ γνώριμον ἔσται, εἰ καὶ ἡ ψυχὴ ἐν ζῴῳ οὖσα πολυμερὴς ὁ ἄνθρωπος μάλιστα χορῷ συνᾴδοντι καὶ κατὰ τοῦτο ἔχοντι τὸ ἓν κατὰ τὴν τῶν συμπληρούντων τὸ ὅλον συμφωνίαν, ἢ ἑνὸς ἦν κατ' οὐσίαν τὸ διάφορον πλῆθος. Ῥητέον οὖν, ὡς δύναμις καὶ μέρος καὶ κατασκευὴ ἐπὶ τῆς ψυχῆς ταύτῃ διενήνοχε· μέρος μὲν γάρ ἐστιν ὃ καὶ τῷ ὑποκειμένῳ καὶ τῷ εἴδει καὶ ταῖς ἐνεργείαις ἄλλου μέρους διαφέρει· κατασκευὴ δὲ ἡ πρὸς ὃ πέφυκε τῶν μερῶν οἰκεία ἐπιτηδειότης· δύναμις δὲ τῆς κατασκευῆς ἕξις ἀφ' ἧς ἐνεργεῖν δύναται, καθ' ὃ κατεσκεύασται ἕκαστον. Ἔνιοι δὲ τὴν αὐτὴν ἔφασαν εἶναι κατασκευήν τε καὶ δύναμιν. Διαφέρει δὲ μέρους δύναμις· 〈αἱ μὲν γὰρ δυνάμεις〉 ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου ὅλου πλείους θεωροῦνται, οὐκ ἐν ἄλλῳ καὶ [ἐν] ἄλλῳ περατούμεναι τῷ ποσῷ τῆς ὑποκειμένης οὐσίας, τὰ δὲ μέρη ἀπολαμβάνει ἑαυτοῖς ποσόν τι τῆς οὐσίας καὶ περιγράφει ἀλλοῖόν τι μόριον αὐτῆς. Αὐτίκα τοῦ μήλου αἱ μὲν δυνάμεις πᾶσαι ἐν ἑνί, τὰ δὲ μέρη ἄλλα ἀλλαχοῦ κεχώρισται· ἐφάπτεται γὰρ ἡ μὲν τοῦ μέρους ἔννοια ποσοῦ, ὡς πρὸς τὴν τοῦ ὅλου κατασκευὴν ὀλιγωτέραν ποσότητα ἀπολαμβάνον· ἡ δὲ τῆς δυνάμεως τοῦ ὅλου τὴν ἐπίνοιαν ἀπείληφε. Διόπερ ἀμερεῖς μὲν αἱ δυνάμεις καὶ δι' ὅλου κεχωρηκυῖαι, τὰ δὲ μέρη ἠλλοίωται, μεριεικότως ἀποροῦσι, πῶς καὶ ἀμερὴς καὶ τριμερής, καὶ λύουσι φάσκοντες κατὰ μὲν ἴδιον λόγον καὶ καθ' ἑαυτὴν εἶναι ἀμερῆ, τριμερῆ δὲ καθ' ὅσον ἐν σώματι γενομένη μεριστῷ ὄντι ἄλλο καὶ ἄλλο μέρος ἐπέχει τοῦ σώματος εἰς τὰς διαφόρους αὐτῆς ἐνεργείας. Οὐ γὰρ δὴ 〈ἡ〉 αὐτὴ κεφαλὴν ἔχει καὶ θώρακα καὶ τοῦ ποτ' ἦπαρ, ἀλλ' αἱ διὰ τούτων διάφοροι ἐνέργειαι διαμεριστῶς καὶ μερῶν γιγνόμεναι διαφόρων τοῦ σώματος ἀπ' ἐκείνων αὐτῇ τῶν μερῶν μερισμὸν ἐπανέθεσαν. Νικόλαος δὲ οὐκ ἠξίου τὰ μέρη τῆς ψυχῆς κατὰ τὸ ποσὸν λαμβάνειν, ἀλλὰ μᾶλλον κατὰ τὸ ποιόν, ὥσπερ καὶ τέχνης καὶ φιλοσοφίας· ἐπὶ μὲν γὰρ τοῦ ποσοῦ τὸ ὅλον ἐκ τῶν μερῶν συμπληροῦται καὶ γίγνεται ὡς κατὰ τὴν πρὸς ἕτερον ἀντεξέτασιν πλέον ἢ ἔλαττον, ἢ μικρότερον ἢ μεῖζον, προστιθεμένου μέρους ἢ ἀφαιρουμένου. Ψυχῆς δὲ 〈οὐχ〉 οὕτως λέγομεν εἶναι μέρη (οὐ γὰρ δὴ τὸ ποσὸν αὐτῆς ὑπὸ τούτων συμπληροῦται, οὔτε γὰρ μέγεθός ἐστιν, οὔτε τι ἔχει πλῆθος), ἀλλ' ὡς τέχνης μέρη. Διαφέρει δὲ καὶ τούτων· τέχνη μὲν γάρ, 〈ἂν〉 ἀπῇ τι μέρος, οὐκ ἂν εἴη ὁλόκληρος οὐδὲ τελεία, ψυχὴ δὲ πᾶσα τελεία ἐστὶ καὶ τὸ πᾶν ζῷον οὐ κομισάμενον τὸ κατὰ φύσιν τέλος ἀτελές ἐστιν. Ἀκούει τοίνυν Νικόλαος τὰ μέρη τῆς ψυχῆς ὡς δυνάμεις τοῦ ἔχοντος· τὸ γὰρ ζῷον καὶ ὅλως τὸ ἔμκαὶ ἀρχὴ ἡ ψυχή. Ταύτας οὖν τὰς δυνάμεις, ἀφ' ὧν λέγεται τὸ ἔμψυχον ταῦτα δρᾶν ἢ πάσχειν, μέρη τῆς ψυχῆς τίθεται ὡς εἴρηται. Οὐδὲν 〈δὲ〉 κωλύει αὐτῆς ἀμεροῦς οὔσης μεριστῶς. δέχεσθαι τὰς ἀπ' αὐτῆς τῶν ἐνεργειῶν ἐνδόσεις. Μεριστὸν οὖν τὸ ζῷον, εἰς τὴν ἐπίνοιαν αὐτοῦ καὶ τοῦ σώματος παραλαμβανομένου, ἀφ' οὗ αἱ ζωτικαὶ ἐνέργειαι κατὰ ψυχῆς ἔνδοσιν δεχόμεναι τὴν εἰς μέρη τῶν διαφόρων ἐνεργειῶν κατάταξιν καὶ τῇ ψυχῇ τὸ μέρη ἔχειν προσανέθεσαν. Καὶ μήποτε διττῶς ἐπινοουμένης τῆς ψυχῆς καὶ ἐχούσης τὴν ζωήν, τήν τε καθ' αὐτὴν καὶ τὴν κατὰ σχέσιν, ἐν τῇ κατὰ σχέσιν ζωῇ ὑφίσταται τὰ μέρη. Ὡς γὰρ πυρῷ σπαρέντι ἐν τῇ πρὸς τὴν γένεσιν σχέσει ὑφίσταται τὰ μέρη, τοῦ στάχυος τοῦ ὅλου οὐκ ὄντος μεριστοῦ ἐν δὲ μεριστῷ θεωρουμένου, ἀφ' οὗ πάλιν ἐπάνεισιν εἰς τὸ ἀμέριστον, οὕτω καὶ ψυχῇ ἀμερίστῳ οὔσῃ ἐν τῇ σπορᾷ παρυφίσταται τὰ μέρη. Ἐν ταὐτ ῷ . ** συμβαλλόμενον ἐξῆς 〈ἂν〉 εἴη ἐπισκέψασθαι πρὸς τὸ γνῶναι τίνες διὰ τὴν ψυχὴν ζῷα προβέβληνται ὡς δι' αὐτήν,

καὶ τίνες διὰ τὴν μετ’ αὐτήν, καὶ τίνες διὰ τὸ ζῷον. Οὕτως γὰρ καὶ αἱ ὑποστάσεις πρόδηλοι καὶ τίνες αἱ ἀνάγκαι εἰς τὴν καθ’ αὐτὴν ἐπάνοδον ἔσονται τῶν ἐν μέ- Αἰσάρας Πυθαγορείου Λευκανᾶς ἐκ τοῦ Περὶ ἀνθρώπω φύσιος (fr. phil. Gr. II p. 51 Mull.). Φύσις ἀνθρώπω κανών μοι δοκέει νόμω τε καὶ δίκας ἦμεν καὶ οἴκω τε καὶ πόλιος. Ἴχνια γὰρ ἐν αὐτῷ στιβαζόμενος εὕροιτό κά τις καὶ μαστευόμενος· νόμος γὰρ ἐν αὐτῷ καὶ δίκα ἁ τᾶς ψυχᾶς ἐστι διακόσμασις. Τριχθαδία γὰρ ὑπάρχοισα ἐπὶ τριχθαδίοις ἔργοις συνέστακε· γνώμαν καὶ φρόνασιν ἐργαζόμενος 〈ὁ νόος〉 καὶ ἀλκὰν καὶ 〈ὁρμὰν ἁ〉 θύμωσις καὶ ἔρωτα καὶ φιλοφροσύναν ἁ ἐπιθυμία. Καὶ οὕτω συντέτακται ταῦτα ποτ’ ἄλλαλα πάντα, ὥστε αὐτᾶς τὸ μὲν κράτιστον ἀγέεσθαι, τὸ δὲ χέρειον ἄρχεσθαι, τὸ δὲ μέσον μέσαν ἐπέχεν τάξιν, καὶ ἄρχεν καὶ ἄρχεσθαι. Ταῦτα δ’ οὕτως ἐμάσατο κατὰ λόγον ὁ θεὸς ἔν τε ἐκτυπώσι καὶ ἐξεργασίᾳ τῶ ἀνθρωπίνω σκάνεος, ὅτι μόνον ἄνθρωπον ἐνοάσατο νόμω τε καὶ δίκας ἐπιδέκτορα γενέσθαι καὶ οὐδὲν ἄλλο τῶν θνατῶν ζῴων. Οὔτε 〈γὰρ〉 ἐξ ἑνὸς σύσταμα κοινανίας γένοιτό κα, οὔτε μὰν ἐκ πλειόνων, ὁμοίων δὲ τούτων (ἀνάγκα γάρ, ἐπεὶ τὰ πράγματα διαῇμεν, ὥσπερ καὶ ἐπὶ τῶ σώματος 〈ἄψιος ὄργανα καὶ〉 ὁράσιος καὶ ἀκοᾶς καὶ γεύσιος καὶ ὀσφράσιος, οὐ γὰρ πάντα ποτὶ πάντα τὰν αὐτὰν ἔχει συναρμογάν), οὔτε μὰν ἐκ πλειόνων μὲν καὶ ἀνομοίων, τῶν τυχόντων μέντοι γε, ἀλλὰ τῶν ποττὰν τῶ ὅλω συστάματος ἐκπλάρωσιν καὶ σύνταξιν καὶ συναρμογὰν τευχθέντων· οὐ μόνον δὲ ἐκ πλειόνων καὶ ἀνομοίων καὶ τῶν ἐς τὸ ὅλον καὶ τέλεον τευχθέντων, ἀλλὰ καὶ αὐτῶν τούτων οὐκ εἰκαίως καὶ ὡς ἔτυχε συνταχθέντων, ἀλλὰ μετά τινος νόμω καὶ ἔμφρονος ἐπιστασίας. Αἵ τε γὰρ τὰν ἴσαν ἐφέρετο μοῖραν καὶ δυνάμιος καὶ τιμᾶς, ἀνόμοια ἐόντα καὶ τὰ μὲν χερείονα τὰ δὲ κάρρονα τὰ δὲ μέσα, οὔ κα ἐδύνατο ἁ κατὰ ψυχὰν τῶν μερέων κοινανία συναρμοσθῆμεν· αἵ τε ἀνίσας, μὴ τὰ κάρρονα δὲ τὰν μείζονα μοῖραν ἐφέρετο, ἀλλὰ τὰ χερείονα, πολλά 〈κα〉 ἀφροσύνα καὶ ἀταξία περὶ τὰν ψυχὰν ὑπᾶρχεν· αἵ τε τὰ κάρρονα μὲν τὰν μείζονα, τὰ χερείονα δὲ τὰν μείονα, μὴ ποτὶ λόγον δὲ ἕκαστον τούτων, οὔ κα ἐδύνατο ὁμόνοια καὶ φιλία καὶ δικαιότας ἦμεν περὶ τὰν ψυχάν, τις καὶ ὁμοφροσύνα ὀπαδέει τᾷ τοιαύτᾳ διατάξι. Τὸ δὲ τοιοῦτον δικαίως κα λέγοιτο εὐνομία ἦμεν τᾶς ψυχᾶς, ἅτις ἐκ τῶ ἄρχεν μὲν τὸ κάρρον, ἄρχεσθαι δὲ τὸ χέρειον κράτος ἐπιφέροιτο τᾶς ἀρετᾶς. Καὶ φιλία δὲ καὶ ἔρως καὶ φιλοφροσύνα σύμφυλος καὶ συγγενὴς ἐκ τούτων ἐξεβλάστασε τῶν μερέων. Συμπείθει μὲν γὰρ ὁ νόος ὁραυγούμενος, ἔραται δὲ ἁ ἐπιθυμία, ἁ δὲ θύμωσις ἐμπιπλαμένα μένεος, ἔχθρᾳ ζέοισα φίλα γίνεται τᾷ ἐπιθυμίᾳ. Ἁρμόξας γὰρ ὁ νόος τὸ ἁδὺ τῷ λυπηρῷ συγκατακρεόμενος καὶ τὸ σύντονον καὶ σφοδρὸν τῷ κούφῳ μέρει τᾶς ψυχᾶς καὶ διαχυτικῷ· ἕκαστόν τε ἑκάστω πράγματος τὰν σύμφυλον καὶ συγγενέα προμάθειαν διαμεμέρισται, ὁ μὲν νόος ὁραυγούμενος καὶ στιβαζόμενος τὰ πράγματα, ἁ δὲ θύμωσις ὁρμὰν καὶ ἀλκὰν ποτιφερομένα τοῖς ὁραυγαθεῖσιν· ἁ δὲ ἐπιθυμία φιλοστοργίᾳ συγγενὴς ἐᾶσα ἐφαρμόσδει τῷ νόῳ ἴδιον περιποιουμένα τὸ ἁδὺ καὶ τὸ σύννοον ἀποδιδοῖσα τῷ συννόῳ μέρει τᾶς ψυχᾶς. Ὥνπερ ἕκατι δοκέει μοι καὶ ὁ βίος ὁ κατ’ ἀνθρώπως ἄριστος ἦμεν, ὅκκα τὸ ἁδὺ τῷ σπουδαίῳ συγκατακραθῇ καὶ 〈ἁ〉 ἁδονὰ τᾷ ἀρετᾷ. Ποθαρμόξασθαι δ’ αὐτὰ ὁ νόος δύναται, παιδεύσιος καὶ ἀρετᾶς ἐπήρατος γενόμενος. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 34 B —35 B ; p. 36 B —37 c). Τὴν δὲ δὴ ψυχὴν οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ ἂν ἄρχεσθαι ὁ θεὸς πρεσβύτερον ἀπὸ νεωτέρου συνέρξας εἴασεν· ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ ταύτῃ πῃ καὶ λέγομεν, ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ 〈προτέραν〉 καὶ πρεσβυτέραν ψυχὴν σώματος ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου ξυνεστήσατο ἐκ τῶνδέ τε καὶ τοιῷδε τρόπῳ. Τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς τοῦ ἑτέρου, καὶ κατὰ ταῦτα ξυνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. Καὶ τρία λαβὼν αὐτὰ ὄντα

συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸν ξυναρμόττων βίᾳ. Μιγνὺς δὲ μετὰ τῆς οὐσίας καὶ ἐκ τριῶν ποιησάμενος ἕν, πάλιν ὅλον τοῦτο μοίρας ὅσας προσῆκε διένειμεν, ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην. — Καὶ τὸ μὲν δὴ σῶμα ὁρατὸν οὐρανοῦ γέγονεν, αὐτὴ δὲ ἀόρατος μέν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας ψυχή, τῶν νοητῶν ἀεί τε ὄντων ὑπὸ τοῦ ἀρίστου ἀρίστη γενομένη τῶν γεννηθέντων. Ἅτε οὖν ἐκ τῆς ταὐτοῦ καὶ τῆς θατέρου φύσεως ἔκ τε οὐσίας τριῶν τούτων συγκραδιὰ πάσης ἑαυτῆς κινουμένη, ὅτῳ τ’ ἄν τι ταὐτὸν ᾖ καὶ ὅτου ἂν ἕτερον, πρὸς ὅ τι τε μάλιστα καὶ ὅπῃ καὶ ὅπως καὶ ὁπότε ξυμβαίνει κατὰ τὰ γιγνόμενά τε πρὸς ἕκαστον ἕκαστά τε εἶναι καὶ πάσχειν καὶ πρὸς τὰ κατὰ ταὐτὰ ἔχοντα ἀεί· λόγος δὲ ὁ κατὰ ταὐτὸν ἀληθὴς γιγνόμενος, περί τε θάτερον 〈ὢν〉 καὶ περὶ τὸ ταὐτόν, ἐν τῷ κινουμένῳ ὑφ’ αὑτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται καὶ 〈ὁ〉 τοῦ θατέρου κύκλος ὀρθὸς ὢν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δὲ αὖ περὶ τὸ λογιστικὸν ᾖ καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, νοῦς ἐπιστήμη τε ἐξ ἀνάγκης ἀποτελεῖται. Τούτω δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίγνεσθον, ἄν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν εἴπῃ, πᾶν μᾶλλον ἢ τἀληθὲς ἐρεῖ. Πλάτωνος Πολιτείας ι′ (p. 610 E —611 B). Οὐκοῦν ὁπότε μηδ’ ὑφ’ ἑνὸς ἀπόλλυται κακοῦ, μήτε οἰκείου μήτε ἀλλοτρίου, δῆλον ὅτι ἀνάγκη αὐτὸ ἀεὶ ὂν εἶναι· εἰ δ’ ἀεὶ ὄν, ἀθάνατον. — Ἀνάγκη, ἔφη. — Τοῦτο μὲν τοίνυν, ἦν δ’ ἐγώ, οὕτως ἐχέτω. Εἰ δ’ ἔχει, ἐννοεῖς ὅτι ἀεὶ ἂν εἶεν αἱ αὐταί. Οὔτε γὰρ ἄν που ἐλάττους γένοιντο μηδεμιᾶς ἀπολλυμένης, οὔτε αὖ πλείους· εἰ γὰρ ὁτιοῦν τῶν ἀθανάτων πλέον γίγνοιτο, οἶσθ’ ὅτι ἐκ τοῦ θνητοῦ ἂν γίγνοιτο καὶ πάντα ἂν εἴη τελευτῶντα ἀθάνατα. — Ἀληθῆ λέγεις. — Ἀλλ’, ἦν δ’ ἐγώ, μήτε τοῦτο οἰώμεθα, ὁ γὰρ λόγος οὐκ ἐάσει, μήτε γε αὖ τῇ ἀληθεστάτῃ φύσει τοιοῦτον εἶναι ψυχήν, ὥστε πολλῆς ποικιλίας καὶ ἀνομοιότητός τε καὶ διαφορᾶς γέμειν αὐτὸ πρὸς αὑτό. — Πῶς λέγεις; ἔφη. — Οὐ ῥᾴδιον, ἦν δ’ ἐγώ, ἀίδιον εἶναι σύνθετόν τε ἐκ πολλῶν καὶ μὴ τῇ καλλίστῃ κεχρημένον συνθέσει, ὡς νῦν ἡμῖν ἐφάνη ἡ ψυχή. — Οὔκουν εἰκός γε. — Ὅτι μὲν τοίνυν ἀθάνατον ψυχή, καὶ ὁ ἄρτι λόγος καὶ οἱ ἄλλοι ἀναγκάσειαν ἄν. Πλάτωνος Πολιτείας δ′ (p. 436 A. B ; p. 439 A —440 A). Τόδε δὲ ἤδη χαλεπόν, εἰ τῷ αὐτῷ τούτῳ ἕκαστα πράττομεν, ἢ τρισὶν οὖσιν ἄλλο ἄλλῳ· μανθάνομεν μὲν ἑτέρῳ, θυμούμεθα δὲ ἄλλῳ τῶν ἐν ἡμῖν, ἐπιθυμοῦμεν δ’ αὖ τρίτῳ τινὶ τῶν περὶ τὴν τροφήν τε καὶ γέννησιν ἡδονῶν καὶ ὅσα τούτων ἀδελφά, ἢ ὅλῃ τῇ ψυχῇ καθ’ ἕκαστον αὐτῶν πράττομεν, ὅταν ὁρμήσωμεν. Ταῦτ’ ἔσται τὰ χαλεπὰ διορίσασθαι ἀξίως λόγου. — Καὶ ἐμοὶ δοκεῖ, ἔφη. — Τοῦ διψῶντος ἡ ψυχή, καθ’ ὅσον διψῇ, οὐ βούλεται ἄλλο τι ἢ πιεῖν, καὶ τούτου ὀρέγεται καὶ ἐπὶ τοῦτο ὁρμᾷ. — Δῆλον δή. — Οὐκοῦν εἴ ποτέ τι αὐτὴν ἀνθέλκει διψῶσαν, ἕτερόν τι ἂν ἐν αὐτῇ εἴη αὐτοῦ τοῦ διψῶντος καὶ ἄγοντος ὥσπερ θηρίον ἐπὶ τὸ πιεῖν; Οὐ γὰρ δή, φαμέν, τό γε αὐτὸ τῷ αὐτῷ ἑαυτοῦ περὶ τὸ αὐτὸ ἅμα τἀναντία πράττοι. — Οὐ γὰρ οὖν. — Ὥσπερ γε, οἶμαι, τοῦ τοξότου οὐ καλῶς ἔχει λέγειν, ὅτι αὐτοῦ ἅμα αἱ χεῖρες τὸ τόξον ἀπωθοῦνταί τε καὶ προσέλκονται, ἀλλ’ ὅτι ἄλλη μὲν ἡ ἀπωθοῦσα χείρ, ἑτέρα δὲ ἡ προσαγομένη. — Παντάπασι μὲν οὖν, ἔφη. — Πότερον δὴ φῶμέν τινας ἔστιν ὅτε διψῶντας οὐκ ἐθέλειν πιεῖν; — Καὶ μάλα γε, ἔφη, πολλοὺς καὶ πολλάκις. — Τί οὖν, ἔφην ἐγώ, φαίη τις ἂν τούτων πέρι; οὐκ ἐνεῖναι μὲν ἐν τῇ ψυχῇ αὐτῶν τὸ κελεῦον, ἐνεῖναι δὲ τὸ κωλῦον πιεῖν, ἄλλο ὂν καὶ κρατοῦν τοῦ κελεύοντος; — Ἔμοιγε δοκεῖ, ἔφη. — Ἆρ’ οὖν οὐ τὸ μὲν κωλῦον τὰ τοιαῦτα ἐγγίγνεται, ὅταν ἐγγένηται, ἐκ λογισμοῦ, τὰ δὲ ἄγοντα καὶ ἕλκοντα διὰ παθημάτων τε καὶ νοσημάτων παραγίγνεται; — Φαίνεται. — Οὐ δὴ ἀλόγως, ἦν δ’ ἐγώ, ἀξιώσομεν αὐτὰ διττά τε καὶ ἕτερα ἀλλήλων εἶναι, τὸ μὲν ᾧ λογίζεται λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς, τὸ δ’ ᾧ ἐρᾷ τε καὶ πεινῇ καὶ διψῇ καὶ περὶ τὰς ἄλλας ἐπιθυμίας ἐπτόηται ἀλόγιστόν τε καὶ ἐπιθυμητικόν, πληρώσεών τινων καὶ ἡδονῶν ἑταῖρον. — Οὔκ, ἀλλ’ εἰκότως, ἔφη, ἡγοίμεθ’ ἂν οὕτως. — Ταῦτα μὲν τοίνυν, ἦν δ’ ἐγώ,

δύο ἡμῖν ὡρίσθω εἴδη ἐν ψυχῇ ἐνόντα· τὸ δὲ δὴ τοῦ θυμοῦ καὶ ᾧ θυμούμεθα πότερον 〈τρίτον〉, ἢ τούτων ποτέρῳ ἂν εἴη ὁμοφυές; — Ἴσως, ἔφη, τῷ ἑτέρῳ 〈τῷ〉 ἐπιθυμητικῷ. — Ἀλλ', ἦν δ' ἐγώ, ποτὲ ἀκούσας τι πιστεύω τούτῳ, ὡς ἄρα Λεόντιος ὁ Ἀγλαίωνος ἀνιὼν ἐκ Πειραιέως ὑπὸ τὸ βόρειον τεῖχος ἐκτός, αἰσθόμενος νεκροὺς παρὰ τῷ δημίῳ κειμένους, ἅμα μὲν ἰδεῖν ἐπιθυμοίη, ἅμα δὲ δυσχεραίνοι καὶ ἀποτρέποι ἑαυτόν, καὶ τέως μὲν μάχοιτο καὶ παρακαλύπτοιτο, κρατούμενος δ' οὖν ὑπὸ τῆς ἐπιθυμίας, διελκύσας τοὺς ὀφθαλμούς, προσδραμὼν πρὸς τοὺς νεκρούς, ἰδοὺ ὑμῖν, ἔφη, ὦ κακοδαίμονες, ἐμπλήσθητε τοῦ καλοῦ θεάματος. — Ἤκουσα, ἔφη, καὶ αὐτός. — Οὗτος μέντοι, ἔφην, ὁ λόγος σημαίνει τὴν ὀργὴν πολεμεῖν ἐνίοτε Ἐν ταὐτῷ (p. 440 E —444 C). Ἆρ' οὖν ἕτερον ὂν καὶ τούτου, ἢ λογιστικόν τι εἶδος, ὥστε μὴ τρία ἀλλὰ δύο εἴδη εἶναι ἐν ψυχῇ, λογιστικὸν καὶ ἐπιθυμητικόν; ἢ καθάπερ ἐν τῇ πόλει ξυνεῖχεν αὐτὴν τρία ὄντα γένη, χρηματιστικόν, ἐπικουρητικόν, βουλευτικόν, οὕτω καὶ ἐν ψυχῇ τρίτον τοῦτό ἐστι τὸ θυμοειδές, ἐπίκουρον ὂν τῷ λογιστικῷ φύσει, ἐὰν μὴ ὑπὸ κακῆς τροφῆς διαφθαρῇ; — Ἀνάγκη, ἔφη, τρίτον. — Ναί, ἦν δ' ἐγώ, ἄν γε τοῦ λογιστικοῦ ἄλλο τι, ὥσπερ τοῦ ἐπιθυμητικοῦ ἐφάνη ἕτερον ὄν. — Ἀλλ' οὐ χαλεπόν, ἔφη, φανῆναι· καὶ γὰρ ἐν τοῖς παιδίοις τοῦτο [οὐ] ἄν τις ἴδοι, ὅτι θυμοῦ μὲν εὐθὺς γενόμενα μεστά ἐστι, λογισμοῦ δὲ ἔνιοι μὲν ἔμοιγε δοκοῦσιν οὐδέποτέ γε μεταλαμβάνειν, οἱ δὲ πολλοὶ ὀψέ ποτε. — Ναὶ μὰ Δι', ἦν δ' ἐγώ, καλῶς γε εἶπες. Ἔτι δὲ ἐν τοῖς θηρίοις ἄν τις ἴδοι ὃ λέγεις, ὅτι οὕτως ἔχει. Πρὸς δὲ τούτοις καὶ ἃ ἄνω που ἐκεῖ εἴπομεν, τὸ τοῦ Ὁμήρου μαρτυρήσει, τὸ (υ 17) στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ· ἐνταῦθα γὰρ δὴ σαφῶς ὡς ἕτερον ἑτέρῳ ἐπιπλῆττον πεποίηκεν Ὅμηρος τὸ ἀναλογισάμενον περὶ τοῦ βελτίονός τε καὶ χείρονος τῷ ἀλογίστως θυμουμένῳ. — Κομιδῇ, ἔφη, ὀρθῶς λέγεις. 〈 Ἰαμβλίχου ἐκ τοῦ περὶ ψυχῆ ς . 〉 Ἀριστοτέλης (de anima I 2 p. 405 b 10) μὲν οὖν τὰ μάλιστα δοκοῦντα τῇ ψυχῇ ὑπάρχειν εἰς τρία τὰ κυριώτατα γένη ἀναγαγών, κίνησίν τε καὶ γνῶσιν καὶ λεπτότητα οὐσίας, ἣν ἐνίοτε καὶ ἀσώματον ὑπόστασιν ἐπονομάζει, ἐς ταῦτα τὰ τρία τὰς καθ' ἕκαστα διωρισμένας ἐπαναφέρει δόξας, πέρας τῶν ἀπείρων ἀνευρὼν οὕτω καὶ σαφῆ καὶ σύντομον περίληψιν. Ἐγὼ δὲ ὁρῶ ἐν τούτοις τοῖς ὅροις πολὺ μὲν τὸ ὁμώνυμον καὶ συγκεχυμένον, (οὐ γὰρ ὡσαύτως αἱ κατὰ μεταβολὴν καὶ αἱ κατὰ ζωὴν θεωροῦνται κινήσεις, ἢ αἱ μορφωτικαὶ καὶ 〈αἱ〉 ἄμορφοι γνώσεις, ἢ αἱ τοῦ ἀέρος καὶ αἱ τῶν καθ' αὑτὰ ἀσωμάτων καθαρότητες τῆς οὐσίας,) πολὺ δὲ καὶ τὸ ἀτελὲς αὐτῶν καὶ ἐνδεές· οὐ γὰρ ἔνεστι πάντα περιλαβεῖν τὰ γένη τῶν δοξῶν ἐν τοῖς τρισὶ τούτοις ὅροις. Τινὲς εἰς τὰς τῶν τεσσάρων στοιχείων ἀρχὰς τὴν οὐσίαν τῆς ψυχῆς ἐπαναφέρουσιν. Εἶναι μὲν γὰρ τὰ πρῶτα σώματα ἄτομα, πρὸ τῶν τεσσάρων στοιχείων στοιχειωδέστερα· εἰλικρινῆ δ' ὄντα καὶ πεπληρωμένα πάντῃ καθαρᾶς πρώτης οὐσίας μὴ δέχεσθαι μηδ' ὁπωστιοῦν εἰς αὐτὰ διαίρεσιν. Ταῦτα τοίνυν ἄπειρα ἔχειν σχήματα, ἓν δὲ αὐτῶν εἶναι τὸ σφαιροειδές, ἀπὸ δὴ τῶν σφαιροειδῶν ἀτόμων εἶναι τὴν ψυχήν. Ὡς δὲ τῶν Ἀριστοτελικῶν τινες ὑφηγοῦνται, εἶδός ἐστι τὸ περὶ τοῖς σώμασιν, ἢ ποιότης ἁπλῆ ἀσώματος ἢ ποιότης οὐσιώδης τελεία· ᾗ παράκειται δόξῃ οὐ παραδοθεῖσα μέν, δυναμένη δὲ πιθανῶς λέγεσθαι αἵρεσις, ἡ τὴν συνδρομὴν τῶν ὅλων ποιοτήτων καὶ τὸ ἓν αὐτῶν κεφάλαιον, εἴτε τὸ ἐπιγιγνόμενον ἢ τὸ προϋπάρχον, τιθεμένη τὴν ψυχήν. Σεβῆρος ὁ Πλατωνικὸς αὐτὴν ἀφωρίσατο, ἐν ἰδέᾳ δὲ τοῦ πάντῃ διαστατοῦ Σπεύσιππος· ἐν αἰτίᾳ δὲ ἤτοι ἑνώσει τούτων ἄλλος ἄν τις καθαρώτερον αὐτὴν προστήσαιτο τελεώτατα. Πάλιν τοίνυν ὁ ἀριθμὸς ἐν ἑτέρῳ γένει κεῖται. Ἀλλὰ καὶ τοῦτον ἁπλῶς μὲν οὕτως ἔνιοι τῶν Πυθαγορείων τῇ ψυχῇ συναρμόζουσιν· ὡς δ' αὐτοκίνητον Ξενοκράτη ς , ὡς δὲ 〈ἐν〉 λόγοις περιέχουσιν Μοδέρατος ὁ Πυθαγόρειος, ὡς δὲ κριτικὸν κοσμουργοῦ θεοῦ ὄργανον Ἵππασο ς , ὁ ἀκουσματικὸς τῶν Πυθαγορείων· ὡς δ' Ἀριστοτέλης (de anima I 2 p. 404 b 18—24) ἱστορεῖ, Πλάτων ἐκ τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους 〈καὶ πλάτους〉 καὶ βάθους αὐτὸ τὸ ζῷον προϋποτιθέμενος καὶ τὸ μὲν ἓν νοῦν, τὴν δὲ δυάδα ἐπιστήμην, δόξαν δὲ τὸν τοῦ ἐπιπέδου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀριθμόν, τὸν δὲ τοῦ στερεοῦ [τὴν] αἴσθησιν διοριζόμενος. Ἔτι τοίνυν τὴν ἁρμονίαν ἴδωμεν, οὐ τὴν ἐν σώμασιν ἐνιδρυμένην, ἀλλ' ἥτις ἐστὶ μαθηματική. Ταύτην τοίνυν, ὡς μὲν ἁπλῶς εἰπεῖν, τὴν τὰ διαφέροντα ὁπωσοῦν σύμμετρα καὶ προσήγορα ἀπεργαζομένην ἀναφέρει εἰς τὴν ψυχὴν Μοδέρατος · τὴν δ' ὡς ἐν οὐσίαις καὶ ζωαῖς καὶ γενέσει πάντων μεσότητα καὶ σύνδεσιν ὁ Τίμαιος (Locr. Πλατωνικῶν καὶ Πυθαγορείων προκρίνουσιν. Ἴθι δὴ οὖν ἐπὶ τὴν καθ' αὐτὴν ἀσώματον οὐσίαν ἐπανίωμεν, διακρίνοντες καὶ ἐπ' αὐτῆς ἐν τάξει τὰς περὶ ψυχῆς πάσας δόξας. Εἰσὶ δή τινες, οἳ πᾶσαν τὴν τοιαύτην οὐσίαν ὁμοιομερῆ καὶ τὴν αὐτὴν καὶ μίαν ἀποφαίνονται, ὡς καὶ ἐν ὁτῳοῦν αὐτῆς μέρει εἶναι τὰ ὅλα· οἵτινες καὶ ἐν τῇ μεριστῇ ψυχῇ τὸν νοητὸν κόσμον καὶ θεοὺς καὶ δαίμονας καὶ τἀγαθὸν καὶ πάντα τὰ πρεσβύτερα γένη αὐτῆς ἐνιδρύουσι καὶ ἐν πᾶσιν ὡσαύτως πάντα εἶναι ἀποφαίνονται, οἰκείως μέντοι κατὰ τὴν αὐτῶν οὐσίαν ἐν ἑκάστοις. Καὶ ταύτης τῆς δόξης ἀναμφισβητήτως μέν ἐστι Νουμήνιος (fr. 48 p. 69 Theding.), οὐ πάντῃ δὲ ὁμολογουμένως Πλωτῖνο ς , ἀστάτως δὲ ἐν αὐτῇ φέρεται Ἀμέλιος · Πορφύριος δὲ ἐνδοιάζει περὶ αὐτήν, πῇ μὲν διατεταμένως αὐτῆς ἀφιστάμενος, πῇ δὲ συνακολουθῶν αὐτῇ, ὡς παραδοθείσῃ ἄνωθεν. Κατὰ δὴ ταύτην νοῦ καὶ θεῶν καὶ τῶν κρειττόνων γενῶν οὐδὲν ἡ ψυχὴ διενήνοχε κατά γε τὴν ὅλην οὐσίαν. Ἀλλὰ μὴν ἥ γε πρὸς ταύτην ἀνθισταμένη δόξα χωρίζει μὲν τὴν ψυχήν, ὡς ἀπὸ νοῦ γενομένην δευτέραν καθ' ἑτέραν ὑπόστασιν, τὸ δὲ μετὰ νοῦ αὐτῆς ἐξηγεῖται ὡς ἐξηρτημένον ἀπὸ τοῦ νοῦ, μετὰ τοῦ κατ' ἰδίαν ὑφεστηκέναι αὐτοτελῶς, χωρίζει δὲ αὐτὴν καὶ ἀπὸ τῶν κρειττόνων γενῶν ὅλων, ἴδιον δὲ αὐτῇ τῆς οὐσίας ὅρον 〈τῶν τε σωματικῶν καὶ ἀ〉σωμάτων γενῶν, ἢ τὸ πλήρωμα τῶν καθόλου λόγων, ἢ τὴν μετὰ τὰς ἰδέας ὑπηρεσίαν τῆς δημιουργίας, ἢ ζωὴν παρ' ἑαυτῆς ἔχουσαν τὸ ζῆν τὴν ἀπὸ τοῦ νοητοῦ προελθοῦσαν, ἢ τὴν αὖ τῶν γενῶν ὅλου τοῦ ὄντως ὄντος πρόοδον εἰς ὑποδεεστέραν οὐσίαν. Περὶ δὴ ταύτας τὰς δόξας ὅ τε Πλάτων αὐτὸς καὶ ὁ Πυθαγόρα ς , ὅ τε Ἀριστοτέλης καὶ ἀρχαῖοι πάντες, ὧν ὀνόματα μέγαλα ἐπὶ σοφίᾳ ὑμνεῖται, τελέως ἐπιστρέφονται, εἴ τις αὐτῶν τὰς δόξας ἀνιχνεύοι μετ' ἐπιστάσεως· ἡμεῖς τε περὶ αὐτὰς τὴν μετ' ἀληθείας πραγματείαν πᾶσαν πειρασόμεθα ἐνστήσασθαι. Τινὲς δὲ τῶν φυσικῶν σύνοδον τῶν ἐναντίων συνυφαίνουσιν, οἷον θερμοῦ καὶ 〈ψυχροῦ〉 , ξηροῦ καὶ ὑγροῦ. Καὶ γὰρ τὸ ζῆν ἀπὸ τοῦ ἀναζεῖν ὑπὸ τοῦ θερμοῦ καὶ τὴν ψυχὴν ἀπὸ τοῦ ἀναψύχεσθαι ὑπὸ τοῦ ψυχροῦ ὠνομάσθαι ἀποφαίνονται, καὶ ἅμα ἐπ' ἀμφοτέρων [ἢ] τὸν ἀναπνεόμενον ἀέρα ψυχὴν νομίζουσιν· ὥσπερ Ἀριστοτέλης (de anima I 5 p. 410 b 27 sq.) μὲν ἐν τοῖς Ὀρφικοῖς ἔπεσί φησι λέγεσθαι τὴν ψυχὴν εἰσιέναι ἐκ τοῦ ὅλου ἀναπνεόντων ἡμῶν φερομένην ὑπὸ τῶν ἀνέμων· ἔοικέ γε μὴν αὐτὸς ὁ Ὀρφεὺς χωρὶς ὑπολαμβάνειν εἶναι καὶ μίαν τὴν ψυχήν, ἀφ' ἧς πολλὰς μὲν εἶναι διαιρέσεις, πολλὰς δὲ καὶ ἀμέσους ἐπιπνοίας καθήκειν ἐπὶ τὰς μεριστὰς ψυχὰς ἀπὸ τῆς ὅλης ψυχῆς. Τινὲς μὲν τῶν Ἀριστοτελικῶν αἰθέριον σῶμα τὴν ψυχὴν τίθενται· ἕτεροι δὲ τελειότητα αὐτὴν ἀφορίζονται κατ' οὐσίαν τοῦ θείου σώματος, ἣν ἐντελέχειαν καλεῖ Ἀριστοτέλη ς , ὥσπερ δὴ ἐν ἐνίοις Θεόφραστο ς , ἢ τὸ ἀπογεννώμενον ἀπὸ τῶν θειοτέρων γενῶν ὅλων, ὥσπερ ἄν τις νεωτερίσειεν ἐν ταῖς ἐπινοίαις· ἢ τὸ συγκεκραμένον τοῖς σώμασιν, ὥσπερ οἱ Στωικοὶ λέγουσιν· ἢ τὸ τῇ φύσει συμμεμιγμένον ἢ τὸ τοῦ σώματος ὂν ὥσπερ τὸ ἐψυχῶσθαι, αὐτῇ δὴ μὴ παρὸν τῇ ψυχῇ ὥσπερ ὑπάρχειν, οἷα δὴ λέγεται περὶ ψυχῆς παρὰ Δικαιάρχῳ τῷ Μεσσηνίῳ. Ἐν ταὐτῷ · περὶ δυνάμεων ψυχῆ ς . Πλάτων μὲν οὖν οὐχ ὡς ἑτέρας τὰς δυνάμεις ἐν ἑτέρᾳ τῇ ψυχῇ ἐνεῖναι ἡγεῖται, συμφύτους δ' αὐτὰς καὶ κατὰ μίαν ἰδέαν συνυφεστηκέναι λέγει διὰ τὴν ἀσύνθετον οὐσίαν τῆς ψυχῆς. Ἀριστοτέλης δὲ ὡσαύτως ἁπλῆν οὐσίαν, ἀσώματον, εἴδους τελεσιουργὸν τὴν τῆς ψυχῆς ὑποθέμενος, οὐ ποιεῖ τὰς δυνάμεις ὡς ἐν συνθέτῳ τινὶ τῇ ψυχῇ παρούσας. Ἀλλὰ μὴν οἵγε ἀπὸ Χρυσίππου καὶ Ζήνωνος φιλόσοφοι καὶ πάντες ὅσοι σῶμα τὴν ψυχὴν νοοῦσι τὰς μὲν δυνάμεις ὡς ἐν τῷ ὑποκειμένῳ ποιότητας συμβιβάζουσι, τὴν δὲ ψυχὴν ὡς οὐσίαν προϋποκειμένην ταῖς δυνάμεσι τιθέασιν, ἐκ δ' ἀμφοτέρων ἔχοντος τοῦ κοινοῦ μετὰ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σώματος θεωρουμένου ζῴου, καθ' οὓς μὲν ἡ ψυχὴ διττὴν ζωὴν ζῇ, καθ' αὑτήν τε καὶ μετὰ τοῦ σώματος, ἄλλως μὲν πάρεισι τῇ ψυχῇ, ἄλλως δὲ τῷ κοινῷ ζῴῳ, 〈ὡσ〉 κατὰ Πλάτωνα καὶ Πυθαγό - ραν· καθ' οὓς δὲ μία ζωὴ τῆς ψυχῆς ἐστιν ἡ τοῦ συνθέτου, συγκεκραμένης τῆς ψυχῆς τῷ σώματι, ὡς οἱ Στωικοὶ λέγουσιν, ἢ δούσης ὅλην τὴν ἑαυτῆς ζωὴν εἰς τὸ κοινὸν ζῷον, ὡς οἱ Περιπατητικοὶ διισχυρίζονται, κατὰ τούτους εἶς ἐστιν ὁ τρόπος τῆς παρουσίας αὐτῶν ὁ ἐν τῷ μετέχεσθαι ἢ ἐν τῷ κεκρᾶσθαι τῷ ὅλῳ ζῴῳ. Πῶς οὖν διακρίνονται; Κατὰ μὲν τοὺς Στωικοὺς ἔνιαι μὲν διαφορότητι 〈τῶν〉 ὑποκειμένων σωμάτων· πνεύματα γὰρ ἀπὸ τοῦ ἡγεμονικοῦ φασιν οὗτοι διατείνειν ἄλλα κατ' ἄλλα, τὰ μὲν εἰς ὀφθαλμούς, τὰ δὲ εἰς ὦτα, τὰ δὲ εἰς ἄλλα αἰσθητήρια· ἔνιαι δὲ ἰδιότητι ποιότητος περὶ τὸ αὐτὸ ὑποκείμενον· ὥσπερ γὰρ τὸ μῆλον ἐν τῷ αὐτῷ σώματι τὴν γλυκύτητα ἔχει καὶ τὴν εὐωδίαν, οὕτω καὶ τὸ ἡγεμονικὸν ἐν ταὐτῷ φαντασίαν, συγκατάθεσιν, ὁρμήν, λόγον συνείληφε. Κατὰ δὲ τοὺς Ἀριστοτελικοὺς καὶ πάντας ὅσοι ἀμέριστον τὴν ψυχὴν διανοοῦνται κατὰ μὲν τὴν οὐσίαν αἱ δυνάμεις, κατὰ δὲ εἴδη ὧν δύνανται ποιεῖν. Κατὰ δὲ Πλάτωνα ἄλλως μὲν λέγεται ἡ ψυχὴ τριμερής, ὡς ἐν ἑτέραις οὐσίαις τριπλῇ διακρινομένη. Καὶ ὅλως μέρος δυνάμεως ταύτῃ διενήνοχεν, ᾗ τὸ μὲν μέρος οὐσίας ἑτερότητα, ἡ δὲ δύναμις ἐν ταὐτῷ γεννητικὴν ἢ ποιητικὴν διάκρισιν παρίστησιν. Ἐν ταὐτῷ · περὶ πλήθους δυνάμεω ν . Οἱ ἀπὸ Ζήνωνος ὀκταμερῆ τὴν ψυχὴν διαδοξάζουσι, περὶ 〈ἣν〉 τὰς δυνάμεις εἶναι πλείονας, ὥσπερ ἐν τῷ ἡγεμονικῷ ἐνυπαρχουσῶν φαντασίας, συγκαταθέσεως, ὁρμῆς, λόγου. Οἱ δὲ περὶ Πλάτωνα καὶ Ἀρχύτας καὶ οἱ λοιποὶ Πυθαγόρειοι τὴν ψυχὴν τριμερῆ ἀποφαίνονται, διαιροῦντες εἰς λογισμὸν καὶ θυμὸν καὶ ἐπιθυμίαν· ταῦτα γὰρ εἶναι χρήσιμα πρὸς τὴν τῶν ἀρετῶν σύστασιν. Δυνάμεις δὲ τῆς ψυχῆς ἀναλογίζονται φύσιν καὶ φαντασίαν καὶ αἴσθησιν καὶ δόξαν καὶ κινητικὴν σωμάτων διάνοιαν καὶ ὄρεξιν καλῶν κἀγαθῶν καὶ νοήσεις. Ἀριστοτέλης (de anim. II 3 p. 414 a 31 et p. 432 a 29) δὲ εἰς πέντε αὐτὰς διαιρεῖ, φύσιν, αἴσθησιν, κίνησιν κατὰ τόπον, ὄρεξιν, διανόησιν. Ἐν ταὐτῷ · περὶ τῶν κα τ ' οὐσίαν τῆς ψυχῆς καὶ τῶν προστιθεμένων αὐτῇ δυνάμεω ν . Πλωτῖνος (Ennead. IV 3, 18) αὐτῆς ἀφαιρεῖ τὰς ἀλόγους δυνάμεις, τὰς αἰσθήσεις, τὰς φαντασίας, τὰς μνήμας, τοὺς λογισμούς· μόνον δὲ τὸν καθαρὸν λογισμὸν εἰς τὴν καθαρὰν οὐσίαν αὐτῆς ἀνατείνει, ὡς ἔχοντα συμφυῆ δύναμιν Ὁ δὲ Πλάτων καὶ αὐτὰς ἑαυτῶν ποιεῖ καὶ τῶν ζῴων, καθ' ἑκατέραν ζωὴν διοριζόμενος ἑκάτερον. Οἱ δὲ περὶ Πορφύριον (supra ecl. 23) καὶ Πλωτῖνον ἑκάστῳ μέρει τοῦ παντὸς τὰς οἰκείας δυνάμεις προβάλλεσθαι ὑπὸ τῆς ψυχῆς ἀποφαίνονται, καὶ ἀφίεσθαι μὲν καὶ μηκέτι εἶναι τὰς ζωὰς τὰς ὁπωσοῦν προβληθείσας [οἱ περὶ Πορφύριον καὶ Πλωτῖνον Πλατωνικοὶ] ἀφορίζονται παραπλησίως τοῖς ἀπὸ τοῦ σπέρματος φυομένοις, ὁπόταν εἰς ἑαυτὸ ἀναδράμῃ τὸ σπέρμα· εἶναι δὲ καὶ ταύτας ἐν τῷ παντὶ καὶ μὴ ἀπόλλυσθαι τάχα ἄν τις ἐπινοήσειε καινότερον, οὐκ ἀπιθάνως. Ἐν ταὐτῷ · περὶ τῶν ἐνεργειῶν τῆς ψυχῆ ς . Τίς οὖν ἀνήκοός ἐστι τῆς Περιπατητικῆς δόξης, ἢ τὴν ψυχὴν ἀκίνητον μὲν εἶναί φησιν, αἰτίαν δὲ κινήσεων; Εἰ δὴ καὶ ἀνενέργητόν ἐστι τὸ ἀκίνητον, ἔσται καὶ χορηγὸν τῶν ἐνεργειῶν τὸ τῆς ψυχῆς ἀνενέργητον. Εἰ δ', ὡς ἔνιοι λέγουσι, τέλος καὶ συνοχὴ καὶ ἕνωσις καὶ μόνιμος αἰτία τῶν κινήσεών ἐστιν ἡ ἐνέργεια καὶ ταύτην ἐν ἑαυτῇ συνείληφεν ἡ κατ' Ἀριστοτέλην ἀκίνητος ἐντελέχεια τῆς ψυχῆς, ἔσται ἀπὸ τῆς τελειοτάτης ἐνεργείας προϊοῦσα [ἀπὸ τῆς ψυχῆς] ἡ ἐν τοῖς καθ' ἕκαστα τῶν ζῴων ἔργοις ἀπεργασία. Αὕτη τοίνυν κατά γε Πλάτωνα πολλοῦ δεῖ ἡ αὐτὴ εἶναι τῇ συμφύτῳ τῆς ψυχῆς οὐσίᾳ καὶ ζωῇ. Δῆλον γὰρ ὅτι δίδοται μὲν εἰς τὸ κοινόν, ἀλλ' ἐπεὶ μεταβολὴ καὶ διαίρεσις καὶ παράτασις περὶ τὸ σῶμα καὶ κατὰ χρόνον καὶ τόπον διάστασις ἐπισυμπίπτει, ὧν οὐδέν ἐστιν ἐν τῇ καθ' αὐτὴν ἀσωμάτῳ ζωῇ, φανερὸν δὴ καὶ τοῦτο γέγονεν, ὡς οὐδὲν ὑπάρχει κατὰ Πλάτωνα τῶν τοῦ συνθέτου ζῴου κινημάτων ἴδιον αὐτῆς τῆς ψυχῆς. Οὐκοῦν ὥσπερ ζωὴ κατ' αὐτὸν ἦν διττή, ἡ μὲν χωριστὴ τοῦ σώματος, ἡ δὲ κοινὴ μετ' αὐτοῦ, οὕτω καὶ ἐνεργήματα 〈τὰ〉 μὲν ἴδια ἔσται τῆς ψυχῆς, τὰ δὲ κοινὰ καὶ τοῦ ἔχοντος. Καὶ τούτων τὰ μὲν ἀπὸ τῆς ψυχῆς

προκατάρχοντα, τὰ δὲ ἀπὸ τῶν τοῦ σώματος παθημάτων ἐγειρόμενα, τὰ δὲ ἐξ ἀμφοῖν ἐπίσης ἀνακινούμενα· πάντα δὲ ὡς ἀπ' αἰτίας τῆς ψυχῆς ὡρμημένα. Ὥσπερ δὴ καὶ τῆς κατὰ τὴν ναῦν φορᾶς κοινῆς οὔσης πρὸς τὸν κυβερνήτην καὶ τὸν ἄνεμον, τὰ μὲν ἄλλα τοιαῦτά ἐστιν, ὡς ἄνευ αὐτῶν μὴ γίγνεσθαι τὴν κίνησιν, ὁ δὲ κυβερνήτης καὶ ὁ ἄνεμος τὴν κυριωτάτην αἰτίαν περιέχουσιν ἐν ἑαυτοῖς τῆς φορᾶς, οὕτως ἄρα καὶ ἡ ψυχὴ αὐτή τε ὅλῳ χρῆται τῷ σώματι καὶ τὰ ἔργα μεταχειρίζεται, ὡς ὄργανον ἢ ὄχημα τὸ σῶμα περιέχουσα· ἔχει δὲ καὶ καθ' αὐτὴν οἰκείας κινήσεις, ὅσαι τοῦ συνθέτου ζῴου ἀπολελυμέναι αὐταὶ καθ' αὑτὰς [ἀπόλυτοι] τὰς κατ' οὐσίαν ζωὰς τῆς ψυχῆς ἐνεργοῦσιν, οἷαι δή εἰσιν αἱ τῶν ἐνθουσιασμῶν καὶ τῶν ἀύλων νοήσεων καὶ συλλήβδην ἐκείνων, καθ' ἃς τοῖς θεοῖς συναπτόμεθα. Οὐ μὴν ἔτι γε τούτοις συγχωροῦσιν οἱ σῶμα τὴν ψυχὴν ὑπολαμβάνοντες, οἷον οἱ Στωικοὶ καὶ ἄλλοι πλείονες· οὐδ' ὅσοι συγκεκρᾶσθαι αὐτὴν εἰς τὴν γένεσιν οἴονται, ὥσπερ οἱ Ἐν ταὐτῷ · περὶ τῶν ἔργων τῆς ψυχῆ ς . Πότερον οὖν πασῶν τῶν ψυχῶν τὰ αὐτὰ ἔργα ἀποτελεῖται, ἢ τὰ μὲν τῶν ὅλων τελεώτερα, τὰ δὲ τῶν ἄλλων ὡς ἕκασται διειλήχασι τὴν προσήκουσαν ἑαυταῖς τάξιν; Ὡς μὲν οἱ Στωικοὶ λέγουσιν, εἷς τέ ἐστιν ὁ λόγος καὶ ἡ αὐτὴ πάντως διανόησις καὶ τὰ κατορθώματα ἴσα καὶ αἱ αὐταὶ ἀρεταὶ τῶν τε μεριστῶν καὶ τῶν ὅλων· καί που Πλωτῖνος καὶ Ἀμέλιος ἐπὶ ταύτης εἰσὶ τῆς δόξης (ἐνίοτε γὰρ 〈οὐχ〉 ὡς ἄλλην τὴν μεριστὴν ψυχὴν παρὰ τὴν ὅλην, μίαν δὲ αὐτὴν πρὸς ἐκείνην εἶναι ἀφορίζονται)· ὡς δ' ἂν εἴποι Πορφύριο ς , πάντῃ κεχώρισται τὰ τῆς ὅλης ψυχῆς παρὰ τὴν μεριστὴν ἐνεργήματα. Γένοιτο δὲ κἂν ἄλλη δόξα οὐκ ἀπόβλητος, ἡ κατὰ γένη καὶ εἴδη τῶν ψυχῶν ἄλλα μὲν τὰ τῶν ὅλων παντελῆ, ἄλλα δὲ τὰ τῶν θείων ψυχῶν ἄχραντα καὶ ἄυλα, ἕτερα δὲ τὰ τῶν δαιμονίων δραστήρια, τὰ δὲ τῶν ἡρωικῶν μεγάλα, τὰ δὲ τῶν ἐν τοῖς ζῴοις καὶ τοῖς ἀνθρώποις θνητοειδῆ καὶ τὰ ἄλλα ὡσαύτως ἔργα διαιρουμένη. Τούτων δὴ διωρισμένων καὶ τὰ ἐχόμενα τούτων τὴν ὁμοίαν λήψεται διάκρισιν. Οἱ μὲν γὰρ μίαν καὶ τὴν αὐτὴν πανταχοῦ ψυχὴν διατείνοντες ἤτοι γένει ἢ εἴδει, ὡς δοκεῖ Πλωτίνῳ (Ennead. IV 2, 1), ἢ καὶ ἀριθμῷ, ὡς νεανιεύεται οὐκ ὀλιγάκις Ἀμέλιο ς , εἶναι αὐτὴν ἐροῦσιν ἅπερ ἐνεργεῖν. Οἱ δ' ἀσφαλέστερον τούτων διαταττόμενοι καὶ προόδους πρώτας καὶ δευτέρας καὶ τρίτας οὐσιῶν τῆς ψυχῆς διισχυριζόμενοι προχωρεῖν εἰς τὸ πρόσω, οἵους ἄν τις θείη τοὺς καινῶς μὲν ἀπταίστως δὲ ἀντιλαμβανομένους τῶν λόγων, τὰ μὲν τῶν ὅλων ψυχῶν καὶ θείων καὶ ἀύλων ἐνεργήματα ἐροῦσιν οὗτοι πάντως δήπου καὶ εἰς οὐσίαν ἀποτελευτᾶν· τὰ δὲ τῶν μεριστῶν 〈καὶ〉 κρατουμένων ἐν ἑνὶ εἴδει καὶ διαιρουμένων περὶ τοῖς σώμασιν οὐδαμῶς συγχωρήσουσιν εὐθὺς εἶναι ταῦθ' ἅπερ ἐνεργοῦσι. Κατὰ δὴ τὴν αὐτὴν μέθοδον προΐτω καὶ ἡ συγγενὴς πρὸς ταύτην διαίρεσις. Λέγω δὴ προσπεφυκέναι μὲν ταῖς δυνάμεσι τὰ ἔργα ἐκείνων τῶν ψυχῶν τῶν αὐτοτελῶν καὶ μονοειδῶν καὶ χωριστῶν ἀπὸ τῆς ὕλης, ὡς ἂν φαίη ἡ νεωστὶ παρευρεθεῖσα ἥδε αἵρεσις, ἐοικέναι δὲ ταῖς τῶν καρπῶν ἀπογεννήσεσιν ἐπὶ τῶν ἀτελεστέρων καὶ περὶ γῆν ἀπομεριζομένων. Ἐπὶ δὴ τούτοις δεῖ νοεῖν ὡς οἱ μὲν Στωικοὶ πάσας τῆς ὁποιασοῦν ψυχῆς τὰς ἐνεργείας συμμιγνύουσιν τοῖς διοικουμένοις καὶ ἀψύχοις, οἱ δ' ἀπὸ Πλάτωνος οὐ πάσας. Εἶναι μὲν γάρ τινας δυνάμεις τῆς ψυχῆς αἳ τοῦ σώματος ὡς ὕλης ἐφάπτονται, ὡς τὴν αἰσθητικὴν καὶ ὁρμητικήν, καθαρωτέρας δὲ τούτων τὰς μηδὲν σώματι προσχρωμένας, ὡς τὴν νοεράν. Τὰ μὲν οὖν τῶν σωματοειδῶν δυνάμεων ἔργα κατ' οὐσίαν μὲν Πλάτων οὐ συνάπτει τοῖς σώμασιν, κατ' ἐπιστροφὴν δὲ κοινωνεῖν φησί, τὰ δὲ τῶν χωριστῶν ἀπολύει πάντῃ τοῦ κατατείνεσθαι εἰς τὰ σώματα. Ἤδη τοίνυν καὶ τὰ μὲν τῶν ὅλων καὶ θειοτέρων ἔργα ἄμικτα εἶναι διὰ τὴν καθαρότητα αὐτῶν τῆς οὐσίας, τὰ δὲ τῶν ἐνύλων καὶ μεριστῶν μηκέθ' ὡσαύτως εἶναι ἄχραντα· καὶ τὰ μὲν τῶν ἀνιουσῶν καὶ ἀπολυομένων τῆς γενέσεως ἀφίεσθαι τὸ λοιπὸν τῶν σωμάτων, τὰ δὲ τῶν κατιουσῶν συμπλέκεσθαι αὐτοῖς πολυειδῶς καὶ συνυφαίνεσθαι. Καὶ τὰ μὲν τῶν ἐποχουμένων τοῖς αὐτοειδέσι πνεύμασι καὶ δι' αὐτῶν τιθεμένων εὐκόλως, ἅπερ ἂν θέλωσιν, ἄνωθεν ἀπραγμόνως ἐκφαίνειν τὰ σφῶν ἔργα· τὰ δὲ τοῖς στερεωτέροις σώμασιν ἐνσπειρόμενα

καὶ κατεχόμενα ἐν αὐτοῖς ἀναπίμπλασθαι ἀμωσγέπως τῆς τούτων φύσεως. Καὶ τὰ μὲν τῶν ὅλων ἐπιστρέφειν εἰς ἑαυτὰ τὰ διοικούμενα, τὰ δὲ τῶν διῃρημένων αὐτὰ ἐπιστρέφεσθαι πρὸς ταῦτα ὧν ἐπιμελοῦνται. Κατ' ἄλλην τοίνυν ἀρχὴν τῆς τῶν αὐτῶν διακρίσεως ἡ μὲν Περιπατητικὴ δόξα τοῦ ζῴου μόνως καὶ τοῦ συνθέτου τίθεται τὰ ἔργα τῆς ψυχῆς. [Πλάτων δὲ τῆς ψυχῆς αὐτὰ πρώτως προτάττει, εἶθ' οὕτως εἰς τὸ κοινὸν δίδωσιν.] Πλάτων δὲ καὶ Πυθαγόρας ὑπερφυῆ τὴν οὐσίαν αὐτῆς καὶ γεννητικὴν τῆς φύσεως προτάττοντες πρεσβύτερα αὐτῇ καὶ τιμιώτερα πρὸ τῆς φύσεως τὰ ἔργα διδόασιν· ἄρχεσθαί τε αὐτὴν οὐ ποιοῦσιν ἀπὸ τῆς φύσεως, αὐτὴν δὲ ἀφ' αὑτῆς καὶ περὶ αὑτὴν ἐξηγεῖσθαι τῶν οἰκείων ἐνεργειῶν ὑπολαμβάνουσιν, ὅσα τέ ἐστιν ἐν αὐτῇ καλὰ καὶ σπουδαῖα κινήματα τῆς φύσεως ὑπερέχοντα καθ' αὑτὰ ἐξαιροῦσιν. Ἤδη τοίνυν καὶ ἐν αὐτοῖς τοῖς Πλατωνικοῖς πολλοὶ διαστασιάζουσιν, οἳ μὲν εἰς μίαν σύνταξιν καὶ μίαν ἰδέαν τὰ εἴδη καὶ τὰ μόρια τῆς ζωῆς καὶ τὰ ἐνεργήματα συνάγοντες, ὥσπερ Πλωτῖνός τε καὶ Πορφύριος · οἳ δὲ εἰς μάχην ταῦτα κατατείνοντες, ὥσπερ Νουμήνιος σμοῦντα αὐτὰ καὶ διατάττοντα καὶ τὴν συμφωνίαν ἀπ' ἀμφοτέρων οὕτως συνυφαίνουσι, κατὰ μὲν Πλωτῖνον τῆς πρώτης ἑτερότητος, κατ' Ἐμπεδοκλέα (fr. 381 Sturz.) δὲ τῆς [πρώτης] ἀπὸ τοῦ θεοῦ φυγῆς, καθ' Ἡράκλειτον (fr. 83 Bywat.) δὲ τῆς ἐν τῷ μεταβάλλεσθαι ἀναπαύλης, κατὰ δὲ τοὺς Γνωστικοὺς παρανοίας ἢ παρεκβάσεως, κατ' Ἀλβῖνον δὲ τῆς τοῦ αὐτεξουσίου διημαρτημένης κρίσεως αἰτίας γιγνομένης τῶν καταγωγῶν ἐνεργημάτων· τῶν δ' αὖ διισταμένων πρὸς τούτους καὶ ἀπὸ τῶν ἔξωθεν προσφυομένων προστιθέντων ὁπωσοῦν τῇ ψυχῇ τὸ κακόν, ἀπὸ μὲν τῆς ὕλης Νουμηνίου (fr. 49 p. 69 Theding.) καὶ Κρονίου πολλάκις, ἀπὸ δὲ τῶν σωμάτων αὐτῶν τούτων ἔστιν ὅτε καὶ Ἀρποκρατίωνο ς , ἀπὸ δὲ τῆς φύσεως καὶ τῆς ἀλόγου ζωῆς Πλωτίνου καὶ Πορφυρίου ὡς τὰ πολλά. Κατὰ δὲ Ἀριστοτέλην εἴδεσι ζωῆς καὶ ἄλλοις ὅροις ταῦτα χωρὶς ἐπὶ τῶν ἀνθρωπίνων διακέκριται. Κατὰ δ' αὖ τοὺς Στωικοὺς ἀτελέστερα ἀεὶ ἀπομερίζεται τὰ τοιαῦτα τῆς ζωῆς ἐνεργήματα καὶ ὅσῳ ἂν ᾖ προϊόντα προσωτέρω τῆς ἀλογίας, τοσῷδε μᾶλλον ἐπὶ τὸ ἀτελέστερον ἀποφέρεται τὰ καταδεέστερα τῶν πρεσβυτέρων. Ὡς δ' ἐγώ τινων ἀκήκοα Πλατωνικῶ ν , οἷον Πορφυρίου καὶ ἄλλων πολλῶν, ἀφομοιοῦται ἀλλήλοις τὰ μὲν ἀνθρώπεια τοῖς θηρείοις, τὰ δὲ τῶν ζῴων τοῖς ἀνθρωπείοις, ἐφ' ὅσον πέφυκε τὰ διακεκριμένα καθ' Ἓν ταὐτῷ · περὶ μέτρου ψυχῆ ς . Οἱ μὲν δὴ μίαν οὐσίαν τῆς ψυχῆς ἀριθμῷ τιθέμενοι, πληθύουσαν δὲ αὐτήν, ὡς Ἀμέλιος οἴεται, σχέσεσι καὶ κατατάξεσιν, ἤ, ὡς οἱ Ὀρφικοὶ λέγουσιν, ἐπιπνοίαις ἀπὸ τῆς ὅλης, ἔπειτα ἀνασχέοντες ἀπὸ τοῦ πλήθους τῆς ὅλης ἐπὶ τὴν μίαν ψυχὴν ἀποθεμένην τὰς σχέσεις καὶ τὰς εἰς ἕτερον κατατάξεις καὶ ἀναλύοντες ἀπὸ τῆς εἰς τὰ μεταλαβόντα διαιρέσεως, ἀπολυομένης τῆς τῶν μετασχόντων διαλήψεως, τηροῦσιν αὐτὴν ὅλην πανταχοῦ τὴν αὐτήν, μίαν οὐσίαν τε αὐτῇ διδόασι καθ' ἓν πεπερασμένην. Οἱ δ' ἐν ἀπείροις κόσμοις, ὥσπερ δὴ οἱ περὶ Δημόκριτον καὶ Ἐπίκουρον νομίζουσιν, ἀπὸ τῶν ἀπείρων ἀτόμων κατὰ συντυχίαν συνερχομένων ** συνίστασθαι ἀπὸ τῶν τοιῶνδε στοιχείων τὰς ψυχὰς ἡγούμενοι ἀπείρους αὐτὰς εἶναι ἑπομένως ταῖς οἰκείαις ὑποθέσεσιν ἀποφαίνονται. Καὶ οἱ μὲν ἐκ σπερμάτων αὐτὰς γεννῶντες ἑκάστου δυναμένου πολλὰ σπείρειν καὶ τοῦδε προϊόντος ἀεὶ καὶ οὐδαμῇ ἱσταμένου κατὰ τὴν γέννησιν καὶ ἐν τῷ γίγνεσθαι ἀεὶ τὸ ἄπειρον ἀπολείπουσιν. Οἱ δὲ κατὰ μεταβολὴν ἐξ ἑνὸς ζῴου φθειρομένου πολλὰ ζῷα καὶ πολλὰς ζωὰς παράγοντες ἐν τῷ μεταβάλλειν συνεχῶς καὶ μηδέποτε ἐπιλείπειν τὴν ἐκ τῆς μεταβολῆς διαδεχομένην ἀειγενεσίαν ταύτῃ τὸ ἀπέραντον πλῆθος τῶν ψυχῶν ἐπινοοῦσιν ἐν μὴ διακρίνοντες πάλιν δὴ καὶ οὗτοι κατὰ διαίρεσιν τὸ ἄπειρον τῶν ψυχῶν γίγνεσθαι προσομολογοῦσιν, ἐπειδὴ καὶ ἕκαστον τῶν φυομένων δένδρων μεριζόμενον ταὐτόν ἐστι τῷ ὅλῳ καὶ τῶν ἴσων αὐτῷ φαίνεται γεννητικὸν εἶναι. Οἱ δ' ἀπὸ Πλάτωνος ἀγενήτους καὶ ἀφθάρτους αὐτὰς προστησάμενοι ἑστάναι ἀεὶ κατὰ τὴν αὐτὴν συμμετρίαν ἀφορίζονται, οὔτε γὰρ προστίθεσθαί τι αὐταῖς ἀπὸ τῆς γενέσεως οὔτε ἀφαιρεῖσθαι ἀπ' αὐτῶν μεθιστάμενον εἰς τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπολλύμενα. Τοῦτο δὴ τὸ μέτρον οἱ μὲν περὶ Πλωτῖνον εἰς τὸν τέλεον ἀριθμὸν ὡς οἰκεῖον προσβιβάζουσι. 〈 Ἐν ταὐτῷ · περὶ διαφορᾶς καθόδου τῶν ψυχῶ ν .〉 Πλωτῖνος μὲν καὶ Πορφύριος καὶ Ἀμέλιος ἀπὸ τῆς ὑπὲρ τὸν οὐρανὸν ψυχῆς καὶ πάσας ἐπίσης εἰσοικίζουσιν εἰς τὰ σώματα. Πολὺ δὲ διαφερόντως ἔοικεν ὁ Τίμαιος τὴν πρώτην ὑπόστασιν τῶν ψυχῶν ποιεῖν, τὸν δημιουργὸν διασπείροντα περὶ πάντα μὲν τὰ κρείττονα γένη, καθ' ὅλον δὲ τὸν οὐρανόν, εἰς ὅλα δὲ τὰ στοιχεῖα τοῦ παντός. Ἔσται δὴ οὖν καὶ ἡ σπορὰ ἡ δημιουργικὴ τῶν ψυχῶν διαιρουμένη παρὰ τὰς θείας δημιουργίας καὶ ἡ πρώτη τῶν ψυχῶν πρόοδος συνυφισταμένη, μεθ' ἑαυτῆς ἔχουσα τὰ δεχόμενα τὰς ψυχάς· ἡ μὲν ὅλη τὸν ὅλον κόσμον, αἱ δὲ τῶν ἐμφανῶν θεῶν τὰς κατ' οὐρανὸν σφαίρας, αἱ δὲ τῶν στοιχείων αὐτὰ τὰ στοιχεῖα μεθ' ὧν καὶ ψυχαὶ συνεκληρώθησαν καθ' ἑκάστην τοιαύτην λῆξιν, ἀφ' ὧν δὴ αἱ κάθοδοι γίγνονται τῶν ψυχῶν ἄλλαι ἀπ' ἄλλων διακληρώσεων, ὡς βούλεται ἐνδείκνυσθαι σαφῶς ἡ τοῦ Τιμαίου Ἄλλη τοίνυν αἵρεσις τῶν Πλατωνικῶν οὐ κατὰ τοὺς δημιουργικοὺς κλήρους, οὐδὲ κατὰ τὰς διαιρέσεις τῶν κρειττόνων γενῶν οἷον θεῶν, ἀγγέλων, δαιμόνων, ἡρώων, οὐδὲ κατὰ τὰς νομὰς τοῦ παντὸς διακρίνει τὰς ἀπὸ τῶν διαφερόντων τόπων καταβάσεις τῶν ψυχῶν· τιθεμένη δὲ τὴν ψυχὴν ἀεὶ εἶναι ἐν σώματι, ὥσπερ ἡ Ἐρατοσθένους καὶ Πτολεμαίου τοῦ Πλατωνικοῦ καὶ ἄλλων, ἀπὸ σωμάτων αὐτὴν λεπτοτέρων εἰς τὰ ὀστρεώδη πάλιν εἰσοικίζει σώματα· διατρίβειν μὲν γὰρ αὐτὴν εἰς μοῖράν τινα τοῦ αἰσθητοῦ, καθήκειν γε μὴν εἰς τὸ στερεὸν σῶμα ἄλλοτε ἀπ' ἄλλων τοῦ παντὸς τόπων. Καὶ τούτους Ἡρακλείδην μὲν τὸν Ποντικὸν ἀφορίζειν περὶ τὸν γαλαξίαν, ἄλλους δὲ καθ' ὅλας τοῦ οὐρανοῦ τὰς σφαίρας, ἀφ' ὧν δὴ δεῦρο κατιέναι τὰς ψυχάς· τοὺς δὲ περὶ σελήνην ἢ ἐν τῷ ὑπὸ σελήνην ἀέρι λέγειν αὐτὰς κατοικεῖν καὶ ἀπ' αὐτῶν κάτω χωρεῖν εἰς τὴν περίγειον γένεσιν, τοὺς δὲ ἀπὸ σωμάτων ἀεὶ στερεῶν πίπτειν εἰς ἕτερα σώματα διισχυρίζεσθαι. Ἀπὸ μὲν δὴ τοσούτων καὶ οὕτω διαφερόντων μερῶν γίγνεσθαι διαφερούσας τὰς τῇδε καθόδους, αὐτοὺς δὲ τοὺς τρόπους διίστασθαι πολυειδῶς. Ἡράκλειτος (fr. 83 Bywat.) μὲν γὰρ ἀμοιβὰς ἀναγκαίας τίθεται ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω καὶ κάτω διαπορεύεσθαι τὰς ψυχὰς ὑπείληφε καὶ τὸ μὲν τοῖς αὐτοῖς ἐπιμένειν κάματον εἶναι, τὸ δὲ μεταβάλλειν φέρειν ἀνάπαυσιν. Οἱ δὲ περὶ Ταῦρον Πλατωνικοὶ πέμπεσθαι τὰς ψυχὰς ὑπὸ θεῶν εἰς γῆν λέγουσιν, οἳ μὲν ἑπομένως τῷ Τιμαίῳ παραδιδόντες την γὰρ εἶναι τὴν βούλησιν τῶν θεῶν, θεοὺς ἐκφαίνεσθαι διὰ τῶν ψυχῶν· προέρχονται γὰρ εἰς τοὐμφανὲς οἱ θεοὶ καὶ ἐπιδείκνυνται διὰ τῶν ψυχῶν καθαρᾶς καὶ ἀχράντου ζωῆς. Κατ' ἄλλην τοίνυν διαίρεσιν οἱ μὲν ἑκούσιοι τρόποι νοοῦνται τῆς καθόδου ἢ ἑλομένης αὐτῆς τῆς ψυχῆς τὴν διοίκησιν τῶν περὶ γῆν, ἢ πειθαρχούσης τοῖς κρείττοσιν, οἱ δὲ ἀκούσιοι βιαζομένης ἐπὶ τὸ χεῖρον ἕλκεσθαι. Ἐν ταὐτ ῷ . Οὐχ ἡ αὐτή ἐστι πασῶν τῶν ψυχῶν κοινωνία πρὸς τὰ σώματα, ἀλλ' ἡ μὲν ὅλη, ὥσπερ καὶ Πλωτίνῳ δοκεῖ, προσιὸν ἑαυτῇ τὸ σῶμα ἔχει ἐν ἑαυτῇ, ἀλλ' οὐκ αὐτὴ πρόσεισι τῷ σώματι, οὐδὲ περιέχεται ὑπ' αὐτοῦ· αἳ δὲ μερισταὶ προσέρχονται τοῖς σώμασι καὶ τῶν σωμάτων γίγνονται καὶ ἤδη κρατουμένων τῶν σωμάτων ὑπὸ τῆς τοῦ παντὸς φύσεως εἰσοικίζονται εἰς αὐτά. Καὶ αἳ μὲν τῶν θεῶν θεῖα σώματα, νοῦν μιμούμενα, ἐπιστρέφουσι πρὸς τὴν ἑαυτῶν νοερὰν οὐσίαν· αἳ δὲ τῶν ἄλλων θείων γενῶν, ὡς ἕκασται ἐτάχθησαν, οὕτω κατευθύνουσιν ἑαυτῶν τὰ ὀχήματα. Ἔτι γε μὴν αἱ καθαραὶ ψυχαὶ καὶ τέλειαι καθαρῶς εἰσοικίζονται εἰς τὰ σώματα ἄνευ παθημάτων καὶ τῆς στερήσεως τοῦ νοεῖν· αἱ δ' ἐναντίαι ἐναντίως. Ἀττικῷ 〈δὲ〉 καὶ 〈ἄλλοις τισὶ〉 Πλατωνικοῖς οὐ συνδοκεῖ, καθ' ἕνα δὲ τρόπον συντεύξεως τὰς ὅλας ψυχὰς τοῖς σώμασι συνάγουσιν, ὡσαύτως ἀεὶ μὲν καὶ ἐπὶ πάσης ἐνσωματώσεως τῶν ψυχῶν προϋποτιθέντες τὴν ἄλογον καὶ πλημμελῆ καὶ ἔνυλον ψυχήν, ἐν αὐτῇ δὲ κατακοσμουμένῃ τὴν κοινωνίαν τῆς λογικῆς ἐπεισάγοντες. Οἶμαι τοίνυν καὶ τὰ τέλη διάφορα ὄντα καὶ τοὺς τρόπους τῆς καθόδου τῶν ψυχῶν ποιεῖν διαφέροντας. Ἡ μὲν γὰρ ἐπὶ σωτηρίᾳ καὶ καθάρσει καὶ τελειότητι τῶν τῇδε κατιοῦσα ἄχραντον ποιεῖται καὶ τὴν κάθοδον· ἡ δὲ διὰ γυμνασίαν καὶ ἐπανόρθωσιν τῶν οἰκείων ἠθῶν ἐπιστρεφομένη περὶ τὰ σώματα οὐκ

ἀπαθής ἐστι παντελῶς, οὐδὲ ἀφεῖται ἀπόλυτος καθ' ἑαυτήν· ἡ δὲ ἐπὶ δίκῃ καὶ κρίσει δεῦρο κατερχομένη συρομένῃ πως ἔοικε καὶ συνελαυνομένῃ. 〈Τινὲς δὲ τῶν νεωτέρων οὐχ οὕτως〉 διακρίνουσιν, οὐκ ἔχοντες δὲ σκοπὸν τῆς διαφορότητος εἰς ταὐτὸ συγχέουσι τὰς ἐνσωματώσεις τῶν ὅλων, κακάς τε εἶναι πάσας διισχυρίζονται καὶ διαφερόντως οἱ περὶ Κρόνιόν τε καὶ Νουμήνιον (fr. 50 p. 70 Theding.) καὶ Ἀρποκρατίων α . Δεῖ δέ που καὶ τοὺς βίους τῶν ψυχῶν κατανοεῖν πρὶν ἐλθεῖν εἰς σῶμα, ὡς ἄρα καὶ οὗτοι πολλὴν ἔχουσιν ἐν ἑαυτοῖς διάστασιν· ἀπὸ δὲ διαφόρων τρόπων ζωῆς διάφορον ποιοῦνται ἑαυτῶν καὶ τὴν πρώτην σύνοδον. Οἵ τε γὰρ νεοτελεῖς καὶ πολυθεάμονες τῶν ὄντων, οἵ τε συνοπαδοὶ καὶ συγγενεῖς τῶν θεῶν, οἵ τε παντελεῖς καὶ ὁλόκληρα τὰ εἴδη τῆς ψυχῆς περιέχοντες, πάντες ἀπαθεῖς καὶ ἀκήρατοι ἐμφύονται πρώτως εἰς τὰ σώματα· οἱ δὲ ἀπὸ τῶν ἐπιθυμιῶν ἄδην ἀναπεπλησμένοι καὶ ἄλλων παθῶν μεστοὶ μετὰ παθῶν συνέρχονται πρώτως Ἐν ταὐτ ῷ . Κατὰ δ' Ἱπποκράτη ν , τὸν τῶν Ἀσκληπιαδῶν, ὅταν πλασθῇ τὸ σπέρμα (τότε γὰρ ἐπιτηδείως ἔχειν αὐτὸ μεταλαμβάνειν ζωῆς), κατὰ δὲ Πορφύριον ἐν τῇ πρώτῃ ἀπογεννήσει τοῦ τικτομένου πρώτως ἡ κατ' ἐνέργειαν ζωοποιία καὶ παρουσία τῆς ψυχῆς φύεται. Γένοιτο δ' ἂν καὶ ἄλλη τις δόξα οὐδέπω καὶ νῦν ῥηθεῖσα, ἡ λέγουσα πλείονας μὲν εἶναι τὰς δυνάμεις καὶ τὰς οὐσίας τῆς ψυχῆς, κατὰ καιροὺς δὲ ἄλλοτε ἄλλους, ᾗπερ ἂν ἐπιτηδείως ἔχῃ τὸ γιγνόμενον σῶμα, τὰ μὲν πρῶτα τῆς φύσεως μεταλαμβάνειν, ἔπειτα τῆς αἰσθήσεως, εἶτα τῆς ὁρμητικῆς ζωῆς καὶ τότε δὴ τῆς λογικῆς ψυχῆς, ἐπὶ δὲ τῷ τέλει τῆς νοερᾶς. Τοσαῦτα καὶ ἡ κατὰ τοὺς χρόνους συμφυομένη κοινωνία τῶν ψυχῶν πρὸς τὰ σώματα δέχεται δοξάσματα. Ἀλλὰ μὴν ἔν γε τῷ τόπῳ τῆς εἰσόδου τῶν ψυχῶν, καθ' ὃν ἐπιζητοῦμεν πῶς εἰσκρίνετα ι , μία μέν ἐστι τριπλῆ δόξα ἡ ἔλκουσα ἀπὸ τῶν ἐκτὸς τὴν ψυχὴν ἐν τῇ καλουμένῃ συλλήψει ἢ διὰ προθυμίαν τοῦ γεννῶντος διὰ τῆς ἀναπνοῆς, ἢ διὰ προθυμίαν τῆς ὑποδεχομένης [μήτρας], ὅταν αὕτη ἐπιτηδείως ἔχῃ πρὸς τὴν κράτησιν, ἢ διὰ συμπάθειαν ἀμφοῖν, ὅταν κοινῇ συμπνέοντα ἀμφότερα ἑλκτικὴν ἔχῃ τὴν ἰδιότητα συγκινουμένης καὶ τῆς φύσεως· ἢ δὲ κατ' ἀνάγκην εἰσδύνειν ποιεῖ 〈αὐ〉 τὴν αὐτοκίνητον εἰς τὸ ὀργανικὸν σῶμα ἤτοι ἀπὸ τοῦ παντός, ἢ τῆς ὅλης ψυχῆς, ἢ τῆς δημιουργίας πάσης. Ἤδη τοίνυν καὶ ἡ χρῆσις τοῦ σώματος πολλῆς δεῖται διακρίσεως. Οἳ μὲν γὰρ προσεοικέναι αὐτὴν λέγουσι νεὼς κυβερνήσει, ἧς καὶ ἀπολελύσθαι χωρὶς δύναται ὁ κυβερνήτης· οἳ δὲ ὀχήματος ἐπιβάσει κοινὴν πορείαν καὶ διακομιδὴν ἡνιοχούσῃ προσοικειοῦσιν αὐτήν· οἳ δὲ ὡς μᾶλλον ἁρμόζουσαν συνεργείᾳ ἀπ' ἀμφοτέρων ἰσομοιρούσῃ, ἢ συννεύσει καὶ ῥοπῇ πρὸς τὸ σῶμα ἐπικρατεῖ τοῦ σώματος ἀποδιδόασιν αὐτῆς τὴν ὁμοιότητα· οἳ δὲ οὐδὲν τούτων συγχωροῦσιν, ὡς δὲ μέρος τὴν ψυχήν φασιν εἶναι ἐν ὅλῳ τῷ ζῴῳ, οἳ δὲ ὡς τέχνην ἐμπεφυκέναι τοῖς ὀργάνοις, ὥσπερ εἰ ἦν ἔμψυχος 〈ὁ〉 οἴαξ. Οἱ δὲ καθαρώτεροι τῶν Πλατωνικῶ ν , ὥσπερ δὴ οἱ περὶ Πλωτῖνον (enn. IV 3, 3 et 23), ἄρχεσθαι μὲν τῆς κινήσεως τὸ ὀργανικὸν σῶμά φασιν ἀπὸ τούτων τῶν μερῶν, δουλεῦον εἰς τὴν γέννησιν ταῖς χρωμέναις αὐτῷ δυνάμεσιν, αὐτὰς δὲ τὰς δυνάμεις ἀπολύτους εἶναι τῶν μεριστῶν σωμάτων διισχυρίζονται. 〈 Ἐν ταὐτ ῷ . 〉 Περὶ τῆς κοινωνίας τῆς πρὸς τοὺς θεοὺς τῶν ψυχῶν γέγονέ τις διαμφισβήτησις τῶν μὲν λεγόντων ἀδύνατον μίγνυσθαι θεοὺς ταῖς κατεχομέναις ψυχαῖς ἐν τῷ σώματι, τῶν δὲ διατεινομένων μίαν εἶναι κοινὴν πολιτείαν τῶν καθαρῶν ψυχῶν πρὸς τοὺς θεοὺς καὶ εἰ ὅτι μάλιστα ἐν τοῖς σώμασι διατρίβουσιν· οἳ δὲ μόνοις δαίμοσιν ἢ καὶ ἥρωσιν ὑποτιθέασιν αὐτὰς εἰς κοινὴν συνουσίαν. ** ἄλλοι μὲν οἱ βελτίονες κρινόμενοι κατὰ Πλάτωνα καθάρσει καὶ ἀναγωγῇ καὶ τελειώσει τῆς ψυχῆς, ἄλλοι δὲ οἱ χείρονες τοῖς ἐναντίοις τούτων ἀντιδιαστελλόμενοι· κατὰ δὲ τοὺς Στωικοὺς τῇ κοινωνίᾳ καὶ τῷ καλῷ τῷ τῆς φύσεως ἐξηρτημένῳ· κατὰ δὲ τοὺς Περιπατητικοὺς τῇ κατὰ φύσιν τε συμμετρίᾳ καὶ τῇ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν νοερᾷ ζωῇ προτιμώμενοι· κατὰ δὲ Ἥριλλον ἐπιστήμῃ· κατὰ δὲ Ἀρίστωνα ἀδιαφορίᾳ· κατὰ δὲ Δημόκριτον εὐσχημοσύνῃ· κατὰ δὲ τοὺς ἄλλους μέρει τινὶ τοῦ καλοῦ· ἢ τῇ ἀοχλησίᾳ καθ' Ἱερώνυμον (fr. XI

Eulogikon public reading copy · View original HTML at eulogikon.org

19 Hiller. in satur. Saupp. p. 102) ἢ ἄλλοις τισὶ τρόποις διαγωγῆς τὸ αἱρετὸν ἔχοντες, ἀφ' ὧν οἱ κατὰ μέρος φύονται βίοι ἄπειροι περὶ τὴν γένεσιν διαιρούμενοι· περὶ ὧν οὐδὲν δεῖ πολυπραγμονεῖν, ἀλλὰ εἰς τὸ ἄπειρον αὐτοὺς μεθιέντας χαίρειν ἐᾶν. Ἐν ταὐτῷ · περὶ θανάτο υ . Ἐπειδὰν μετὰ τὸν τῇδε βίον ἡ τελευτὴ συμπίπτῃ, τί ποτε συμβαῖνόν ἐστι; Πότερον ὥσπερ ἐν τῇ γενέσει προϋπῆρχεν ἢ συνυφίστατο ἢ ὑστέρα πως ἐπεγίγνετο τοῖς σώμασιν ἡ ψυχὴ κατὰ τὰς διαφόρους αἱρέσεις, οὕτω καὶ ἐν τῷ ἀποθνῄσκειν προφθείρεται τοῦ σώματος ἢ συναπόλλυται αὐτῷ ἢ καὶ διαμένει καθ' ἑαυτὴν μετὰ τὴν ἐνθένδε ἔξοδον; Τὸ μὲν οὖν πᾶν κεφάλαιον τοιοῦτον· μέρη δὲ αὐτοῦ καὶ ἡ κατὰ τὰ εἴδη διαίρεσις δέχεται πολλὰς τοιαύτας ἀμφισβητήσεις· ἆρά γε πνιγμῷ τῶν ἀρτηρίων ἀποκλειομένων τοῦ δέχεσθαι τὸ ἐκτὸς πνεῦμα, ἢ ἐκλυομένου τοῦ τόνου καὶ παριεμένου, ἢ τοῦ θερμοῦ ἐναποσβεννυμένου πως εἰς τὰ εἴσω τὰ ζῶντα πρότερον εἰσαῦπροαναιρεῖται ἢ συναναιρεῖται ἡ ψυχὴ τῷ σώματι, καθάπερ Κουρνοῦτος οἴεται. Εἰ δὲ ὡς δύναμις ὑποκειμένου, ὥσπερ δὴ ἁρμονία λύρας ἢ τελειότης, προαφίσταται τοῦ σώματος ἐν τῷ ἀποθνῄσκειν ἡ ψυχή, προφθείρεται μὲν οὐδαμῶς (οὐδὲ γὰρ διὰ κινήσεως πρόεισιν εἰς τὸ μὴ εἶναι), ἀλλ' ἐξαίφνης εἰς τὸ μὴ εἶναι μεθίσταται ἀχράντως καὶ ἄνευ φθορᾶς, ὥσπερ δὴ καὶ ἔστιν ὅτε ἔστιν ἀθρόως οἷον ἀστραπῆς ἐκλαμπούσης. Ἔσται δὴ οὖν τὸ μὲν ζῆν τὰ ζῷα ἀπὸ τοῦ ἔχειν τὸ τῆς ζωῆς εἶδος· τὸ δὲ καλούμενον ἀποθνῄσκειν ἀπὸ τοῦ μὴ παρεῖναι αὐτὸ ἢ μὴ ἔχεσθαι· ἧς πολλοὶ Περιπατητικοὶ δόξης προεστήκασιν. Εἰ δὲ παρέσπαρται μὲν καὶ ἔνεστιν ἡ ψυχὴ τῷ σώματι καθαπερεὶ ἀσκῷ πνεῦμα, περιεχομένη ἢ συμμιγνυμένη πρὸς αὐτὸ καὶ ἐγκινουμένη ὥσπερ τὰ ἐν τῷ ἀέρι ξύσματα διὰ τῶν θυρίδων φαινόμενα, δῆλόν που τοῦτο ὅτι ἔξεισιν μὲν ἀπὸ τοῦ σώματος, ἐν δὲ τῷ ἐκβαίνειν διαφορεῖται καὶ διασκεδάννυται, ὥσπερ Δημόκριτος καὶ Ἐπίκουρος ἀποφαίνονται. ** τοὺς δὲ περὶ Πλωτῖνον τῆς στάσεως προισταμένους ἐκείνης τῆς χωριζούσης αὐτὰς ἀπὸ τοῦ λόγου, ἢ καὶ ἀφιείσης εἰς τὴν γένεσιν, ἢ καὶ ἀφαιρούσης ἀπὸ τῆς διανοίας, ἀφ' ἧς πάλιν διττῆς δόξης γίγνεται διάκρισις. Ἤτοι γὰρ λύεται ἑκάστη δύναμις ἄλογος εἰς τὴν ὅλην ζωὴν τοῦ παντὸς ἀφ' ἧς ἀπεμερίσθη, ᾗ καὶ ὅτι μάλιστα μένει ἀμετάβλητος, ὥσπερ ἡγεῖται Πορφύριος · ἢ καὶ χωρισθεῖσα ἀπὸ τῆς διανοίας ἡ ὅλη ἄλογος ζωὴ μένει καὶ αὐτὴ διασῳζομένη ἐν τῷ κόσμῳ, ὥσπερ οἱ πα- Οἳ μὲν γὰρ εὐθὺς αὐτὴν τὴν ψυχὴν αὐτῷ τῷ σώματι τῷ ὀργανικῷ συνοικίζουσιν, ὥσπερ οἱ πλεῖστοι τῶν Πλατωνικῶν · οἳ δὲ μεταξὺ τῆς τε ἀσωμάτου ψυχῆς καὶ τῆς ἀγγελιώδους αἰθέρια καὶ οὐράνια καὶ πνευματικὰ περιβλήματα περιαμπέχοντα τὴν νοερὰν ζωὴν προβεβλῆσθαι μὲν αὐτῆς φρουρᾶς ἕνεκεν, ὑπηρετεῖν δὲ αὐτῇ καθάπερ ὀχήματα, συμμέτρως δ' αὖ καὶ πρὸς τὸ στερεὸν σῶμα συμβιβάζειν μέσοις τισὶ κοινοῖς συνδέσμοις αὐτὴν συνάπτοντα. Ἑρμοῦ τρισμεγίστου ἐκ τῆς ἱερᾶς βίβλου 〈τῆσ〉 ἐπικαλουμένης Κόρης κόσμου (p. 27 b Patr.). Ταῦτα εἰποῦσα Ἶσις ἐγχεῖ ποτὸν Ὥρῳ γλυκὺ τὸ πρῶτον ἀμβροσίας, ὃ αἱ ψυχαὶ λαμβάνειν ἔθος ἔχουσιν 〈ἀπὸ〉 θεῶν. Καὶ οὕτως τοῦ ἱερωτάτου λόγου ἄρχεται [Ἶσις]· „Ἐπικειμένου, τέκνον Ὧρε, τῇ τῶν ὑποκειμένων φύσει πάσῃ τοῦ πολυστεφοῦς οὐρανοῦ καὶ κατ' οὐδένα τόπον στερουμένου τινὸς ὧν νῦν ὁ σύμπας ἔχει κόσμος, ἀνάγκη πᾶσα ὑπὸ τῶν ὑπερκειμένων συγκεκοσμῆσθαι καὶ πεπληρῶσθαι φύσιν πᾶσαν τὴν ὑποκειμένην· οὐ γὰρ δήπου δυνατὰ κοσμῆσαι τὰ κάτω τὸν ὕπερθεν διάκοσμον. Ἀνάγκη τοίνυν τοῖς κρείττοσι μυστηρίοις εἴκειν τὰ ἐλάσσονα. Κρείσσων δὴ τῶν ὑποκειμένων ἡ τῶν μετεώρων ἐστὶ διαπίπτουσα διανοία. Ἔνθεν ἐστέναξε τὰ κάτω, φόβον ἔχοντα, τὴν περικαλλῆ καὶ εἰς ἀεὶ διανομὴν τῶν ἐπικειμένων. Ἦν γὰρ ἄξιον θεωρίας ὁμοῦ καὶ ἀγωνίας ὁρᾶν οὐρανοῦ κάλλος θεῷ καταφανταζόμενον τῷ ἔτι ἀγνώστῳ πλουσίαν τε νυκτὸς σεμνότητα, ἐλάττονι μὲν ἡλίου ὀξεῖ δὲ προσφορουμένην φωτί, τῶν τε ἄλλων κατὰ μέρος κινουμένων ἐν οὐρανῷ μυστηρίων τακταῖς χρόνων κινήσεσι καὶ περιόδοις διά τινων κρυπτῶν ἀπορροιῶν τὰ κάτω συγκοσμούντων καὶ συναυξόντων. Καὶ οὕτως φόβος μὲν ἐπάλληλος ζητήσεις τε ἄληκτοι, καὶ ἕως ὁ τῶν συμπάντων οὐκ ἐβούλετο τεχνίτης ἀγνωσία κατεῖχε τὰ ξύμπαντα· ὅτε δὲ ἔκρινεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸν ὅστις ἐστὶ δηλῶσαι, ἔρωτας ἐνεθουσίασε θεοῖς καὶ αὐγὴν ἣν εἶχεν ἐν στέρνοις πλείονα ταῖς τούτων ἐχαρίσατο διανοίαις· ἵνα πρῶτον μὲν ζητεῖν θελήσωσιν, εἶτα ἐπιθυμήσωσιν εὑρεῖν, εἶτα καὶ κατορθῶσαι δυνηθῶσι. Τοῦτο δ' αὖ, ὦ τέκνον ἀξιοθαύμαστον Ὦρε, οὐκ ἂν ἐπὶ θνητῆς σπορᾶς ἐγεγόνει, οὐδὲ γὰρ ἦν οὐδέπω, ψυχῆς δὲ τῆς συμπάθειαν ἐχούσης τοῖς οὐρανοῦ μυστηρίοις· τοῦτο δὲ ἦν ὁ πάντα γνοὺς Ἑρμῆς· ὃς καὶ εἶδε τὰ σύμπαντα καὶ ἰδὼν κατενόησε καὶ κατανοήσας ἴσχυσε δηλῶσαί τε καὶ δεῖξαι. Καὶ γὰρ ἃ ἐνόησεν ἐχάραξε· καὶ χαράξας ἔκρυψε τὰ πλεῖστα σιγήσας ἀσφαλῶς ἢ λαλήσας, ἵνα ζητῇ ταῦτα πᾶς αἰὼν ὁ μεταγενέστερος κόσμου· καὶ οὕτως τοὺς Ἀλλ' ἦν αὐτῷ διάδοχος ὁ Τάτ, υἱὸς ὁμοῦ καὶ παραλήπτωρ τῶν μαθημάτων τούτου, οὐκ εἰς μακρὰν δὲ καὶ Ἀσκληπιὸς ὁ Ἰμούθης, Πανὸς καὶ Ἡφαιστοβούλης, ἄλλοι τε ὅσοι τῆς οὐρανίου θεωρίας πιστὴν ἀκρίβειαν ἔμελλον βουλομένης τῆς πάντων βασιλίδος ἱστορῆσαι προνοίας. Ἑρμῆς μὲν οὖν ἀπελογεῖτο τῷ περιέχοντι, ὡς οὐδὲ τῷ παιδὶ παρέδωκεν ὁλοτελῆ θεωρίαν διὰ τὸ ἔτι τῆς ἡλικίας νεοειδές· ἐμοὶ δὲ τῆς ἀνατολῆς γενομένης τοῖς πάντα βλέπουσιν ὀφθαλμοῖς τὰ τῆς ἀνατολῆς θεωρήσαντι ἀειδῆ καὶ ἐπισκοποῦντι βραδέως μὲν ἀλλ' οὖν ἦλθεν ἡ ἀκριβὴς διάγνωσις πλησίον τῶν Ὀσίριδος κρυφίων ἀποθέσθαι τὰ ἱερὰ τῶν κοσμικῶν στοιχείων σύμβολα. Ἐπικατευξάμενος δὲ καὶ τοὺς λόγους τούσδε εἰπὼν εἰς οὐρανὸν ἀπῆλθεν. Ἀλλ' οὐ καθῆκον ἀτελῆ τὴν ἐπαγγελίαν, ὦ τέκνον, ταύτην με καταλεῖψαι, εἰπεῖν δ' ὅσα τὰς βίβλους κατατιθέμενος ἐξεῖπεν Ἑρμῆς. Ἐξεῖπε γὰρ οὕτως· "Ὦ ἱεραὶ βίβλοι, τῶν ἀφθάρτων αἳ τετεύχατέ μου χειρῶν, ἃς τῷ τῆς ἀφθαρσίας φαρμάκῳ χρίσας ἐπικρατῶ, ἀσαπεῖς παντὸς ἀνεύρετοι γιγνόμεναι παντὶ τῷ τὰ γῆς ταύτης παροδεύειν μέλλοντι πεδία, ἄχρις οὗ γέρων οὐρανὸς συστήματα ὑμῶν ἄξια τεκνώσεται, ἃς ψυχὰς ὁ δημιουργὸς προσηγόρευσε." Τοσαῦτα εἰπὼν τὰς βίβλους [καὶ] τοῖς ἑαυτοῦ κατευξάμενος ἔργοις ἰδίαις τεμενίζεται ζώναις. Ἱκανὸς δὲ ὁ μέσος ἤργει χρόνος 〈καὶ〉 ἐκέκρυπτο· καὶ ἡ φύσις, ὦ τέκνον, ἐτύγχανε στεῖρα, ἕως αὐτοὶ οἱ ἤδη περιπολεῖν τὸν οὐρανὸν κελευσθέντες 〈θεοὶ〉 τῷ πάντων θεῷ βασιλεῖ προσελθόντες τὴν τῶν ὄντων ἡσυχίαν ἀπήγγειλαν, καὶ ὅτι δέον ἐστὶ συγκοσμηθῆναι τὰ σύμπαντα καὶ τοῦτο ὅτι οὐχ ἑτέρου τινός ἐστιν ἔργον ἢ αὐτοῦ· "καὶ δεόμεθά σου", ἔλεγον, "τὰ νῦν ὄντα καὶ ὧν 〈τὰ〉 ὕστερον ἔχει χρείαν διάσκεψαι". Ταῦτα εἰπόντων ἐμειδίασεν ὁ θεὸς καὶ εἶπε Φύσιν εἶναι καὶ θῆλυ πάγκαλον χρῆμα ἐκ τῆς φωνῆς αὐτοῦ προῆλθεν, ὃ καὶ θεωρήσαντες οἱ θεοὶ κατεπλάγησαν. Καὶ ταύτην Φύσεως ὀνόματι ἐτίμησεν ὁ θεὸς ὁ προπάτωρ καὶ αὐτῇ προσέταξεν εἶναι γεννητικὴν καὶ ταῦτα ἔτι εἰς τὸ περιέχον ἀτενίσας ἐφώνησεν· "ἔστω πεπληρωμένος ὁ οὐρανὸς ἄπασιν ἀήρ τε καὶ αἰθήρ". Εἶπεν ὁ θεὸς καὶ ἦν. Ἡ δὲ Φύσις ἑαυτῇ λαλήσασα ἔγνω ὡς μὴ δέον αὐτήν ἐστι παρακοῦσαι τῆς τοῦ πατρὸς ἐχαρίσατο ἡγεμονικόν. Αὐτὸς δ' οὐκέτι βουλόμενος ἀργὸν τὸν ὑπεράνω κόσμον εἶναι, ἀλλὰ πνευμάτων πληρῶσαι δοκιμάσας τοῦτον ὡς μὴ τὰ κατὰ μέρος ἀκίνητα καὶ ἀργὰ μένῃ, οὕτως εἰς ταῦτα ἤρξατο τεχνιτείας, οὐσίαις πρὸς τὴν τοῦ ἰδίου ἔργου γένεσιν χρησάμενος ἱεραῖς. Πνεῦμα γὰρ ὅσον ἀρκετὸν ἀπὸ τοῦ ἰδίου λαβὼν καὶ νοερῷ τοῦτο πυρὶ μίξας ἀγνώστοις τισὶν ἑτέραις ὕλαις ἐκέρασε· καὶ ταῦτα ἑκάτερον ἑκατέρῳ μετά τινων ἐπιφωνήσεων κρυπτῶν ἑνώσας τὸ πᾶν οὕτως εὖ μάλα διεκίνησε κρᾶμα, ἕως ἐπεγέλασέ τις ὕλη τῷ μίγματι λεπτοτέρα τε καὶ καθαρωτέρα μᾶλλον καὶ διαφανεστέρα ἢ ἐξ ὧν ἐγένετο, διειδὴς δὲ ἦν αὕτη, ἣν δὴ καὶ μόνος ὁ τεχνίτης ἑώρα. Ἐπειδὴ δὲ οὔτε ὡς ἐκ πυρὸς καιομένη διετήκετο, οὔτε μὴν ὡς ἐκ πνεύματος τελεσιουργηθεῖσα ἔψυχεν, ἀλλά τινα ἰδιογενῆ καὶ οἰκείαν εἶχε τὴν τοῦ κράματος σύστασιν ἰδιότυπόν τε καὶ ἰδιοσύγκριτον, ἔν 〈θεν〉 δὴ καὶ ἀπὸ τοῦ εὐφημοτέρου ὀνόματος καὶ τῆς καθ' ὁμοιότητα ἐνεργείας ψύχωσιν ὁ θεὸς ἐκάλεσε τὴν σύστασιν. Ἐξ οὗ δὴ ἐπιπάγου μυριάδας ψυχῶν ἱκανὰς πρὸς ὃ θέλει πλάσσων εὐτάκτως τε καὶ συμμέτρως, μετ' ἐμπειρίας καὶ λόγου τοῦ καθήκοντος, ᾧ μέγα τι διαφέρειν αὐτὰς ἑαυτῶν ἦν ἀναγκαῖον, ἐπειδήπερ τὸ ἐκ τῆς κινήσεως τοῦ θεοῦ ἐξατμιζόμενον ἄνθος οὐκ ἦν ἑαυτῷ ὅμοιον, ἀλλὰ μεῖζον καὶ πληρέστερον ἦν τοῦ δευτέρου τὸ πρῶτον καὶ τῷ παντὶ

καθαρώτερον, τὸ δεύτερον δὲ ἱκανῶς μὲν ἦν τοῦ πρώτου [τὸ] δεύτερον, πολλῷ δὲ τοῦ τρίτου [τὸ] μεῖζον. Καὶ οὕτως ἄχρι βαθμῶν ἑξήκοντα ὁ πᾶς ἀπήρτιστο ἀριθμός, πλὴν ὅτι γε πάσας ἀιδίους εἶναι νομοθετήσας ἔταξεν, ὡς ἂν ἐκ μιᾶς οὐσίας, ἧς μόνος αὐτὸς ἤδη τελείωμα. Ταῖς δὲ καὶ τμήματα καὶ ταμιεῖα ἐν μεταρσίῳ διέταξε τῆς ἄνω φύσεως [οὐρανοῦ], ὅπως τόν τε κύλινδρον περιστροβῶσι τάξει τινὶ καὶ οἰκονομίᾳ καθηκούσῃ καὶ τὸν πατέρα τέρπωσιν. Οὕτως δὴ καὶ ἐν τῇ περικαλλεῖ τοῦ αἰθέρος στάσει καὶ τὰς τῶν ἤδη ὄντων μεταπεμψάμενος φύσεις, "ὦ", φησί, "πνεύματος ἐμοῦ καὶ μερίμνης ἐμῆς, ψυχαί, καλὰ τέκνα, ἃ ταῖς ἐμαυτοῦ μαιωσάμενος χερσὶν ἤδη τῷ ἐμῷ καθιερῶ κόσμῳ, λόγων ἐμῶν ὡς νόμων τούτων ἐπακούσατε καὶ τόπου μηδενὸς ἄλλου θίγητε πλὴν τοῦ διαταγέντος ὑμῖν ὑπὸ τῆς ἐμῆς γνώμης. εὐσταθησάσαις μὲν οὖν ὑμῖν οὐρανός τε καταμένει πάλιν ὁμοίως καὶ ὁ διαταγεὶς ἀστερισμὸς θρόνοι τε ἀρετῆς πεπληρωμένοι· εἰ δέ τι νεώτερον παρὰ τἀμὰ πράξετε βουλεύματα, ἱερὸν ὑμῖν ὀμνύω πνεῦμα καὶ κρᾶμα τοῦτ' ἀφ' οὗπερ ὑμᾶς ἐγέννησα ψυχοποιούς τε ταύτας μου τὰς χεῖρας, ὡς οὐκ εἰς μακρὰν δεσμὸν καὶ κολάσεις ὑμῖν τεχνιτεύσω." Τοσαῦτα εἰπὼν ὁ θεός, ὁ κἀμοῦ κύριος, τὰ λοιπὰ τῶν στοιχείων συγγενῆ μίξας, ὕδωρ καὶ γῆν, καί τινας ὁμοίως κρυπτοὺς ἐπειπὼν λόγους, δυνατοὺς μέν, οὐ τοῖς πρώτοις δ' ὁμοίους, εὖ τε κινήσας καὶ ζῳοποιὸν ἐνθουσιάσας τῷ κράματι ἐπιπλέοντα ὁμοίως ἐπίπαγον εὐαφῆ τε καὶ εὐπαγῆ γενόμενον ἔλαβε καὶ ἐκ τούτου τὰ ἀνθρωποειδῆ τῶν ζῳδίων διέπλασε. Τὸ δὲ τοῦ μίγματος λείψανον ταῖς ἤδη προκοψάσαις ψυχαῖς ἔδωκε. Ψυχαῖς δὲ ταύταις ταῖς εἰς χωρία θεῶν καὶ τοὺς ἐγγὺς ἄστρων τόπους καὶ ἱεροὺς δαίμονας μετακεκλημέναις "πλάσσετε", λέγων, "ὦ τέκνα, τῆς ἐμῆς φύσεως γεννήματα, δέχεσθε τῆς ἐμῆς τέχνης τὰ λείψανα καὶ ἑκάστη τῇ ἑαυτῆς φύσει πλασσέτω τι παραπλήσιον· παραθήσομαι δ' ἔτι καὶ ταῦθ' ὑμῖν παραδείγματα", καὶ λαβὼν εὖ καὶ καλῶς τὸν ζωδιακὸν συμφώνως ταῖς ψυχικαῖς κινήσεσι διέταξε κόσμον, πρὸς τοῖς ἀνθρωποειδέσι τῶν ζῳδιακῶν τὰ ἑξῆς ἀπαρτίσας οἷον ζῳδίοις, καὶ τὰς πανούργους ἐχαρίσατο δυνάμεις καὶ πάντεχνον πνεῦμα γεννητικὸν τῶν εἰς ἀεὶ μελλόντων ἔσεσθαι καθολικῶς πάντων. Καὶ ἀπέστη ὑποσχόμενος τοῖς ὁρατοῖς ἔργοις αὐτῶν τὸ ἀόρατον πνεῦμα ἐπιζεῦξαι οὐσίαν τε ὁμοιογονίας ἑκάστῳ, ὅπως αὐτῷ [αὐτοῖς] ἕτερα γεννᾷ ὅμοια αὐτά τε οὐκέτι ἀνάγκην ἔχου- Καὶ εἰπεῖν Ἶσις· „Τὸ κεκερασμένον, ὦ τέκνον Ὧρε, τῆς ὕλης λαβόμεναι κατενόουν πρῶτον καὶ τὸ τοῦ πατρὸς προσεκύνουν κρᾶμα καὶ ὁπόθεν ἦν συμπεπλεγμένον ἐπεζήτουν. Τὸ δὲ ἦν αὐταῖς οὐκ εὔπορον ἐπιγνῶναι. Ἔνθεν δὴ καὶ ὅτι ἐπεζήτησαν ἐφοβοῦντο μὴ τῷ τοῦ πατρὸς ὑποπέσωσι χόλῳ καὶ ἐπὶ τὸ πράττειν τὰ προσταχθέντα ἐτράπησαν. Ἔνθεν ἐκ μὲν τῆς ἀνωτέρω ὕλης τῆς ὑπερβολῇ κοῦφον ἐχούσης τὸν ἐπίπαγον τὸ τῶν ὀρνέων γένος ἐμόρφουν· ἐν τούτῳ δ' ἡμιπαγοῦς ἤδη τοῦ κράματος γενομένου καὶ ἤδη τὴν στερεὰν πῆξιν λαβόντος τὸ τῶν τετραπόδων γένος ἔπλασσον, τό θ' ἧττον κοῦφον καὶ ἑτέρας ὑγρασίας δεόμενον εἰς διάνηξιν, τὸ τῶν ἰχθύων· ψυχροῦ δὲ τοῦ λοιποῦ καὶ ἤδη κατωφεροῦς ὑπάρχοντος τὴν τῶν ἑρπετῶν αἱ ψυχαὶ φύσιν ἐκαινούργουν. Αὗταί τε, ὦ τέκνον, ὥς τι πράξασαι ἤδη, καὶ περίεργον ὡπλίζοντο τόλμαν καὶ παρὰ τὰ διατεταγμένα ἐποίουν καὶ ἤδη τῶν ἰδίων τμημάτων καὶ ταμιείων προήρχοντο καὶ ἐφ' ἑνὸς οὐκέτι ἤθελον τόπου μένειν, ἀεὶ δὲ ἐκινοῦντο καὶ τὸ [ἔτι] ἐπὶ μιᾶς μονῆς εἶναι θάνατον ἡγοῦντο. Τοῦτο μὲν οὖν, φησίν, ὦ τέκνον, Ἑρμῆς, ὡς Καμῆφιν λέγων. Καὶ τὸν τῶν ὅλων κύριον καὶ θεὸν οὐκ ἐλάνθανεν ὃ πράσσουσιν, κόλασιν δὲ αὐταῖς ἐπεζήτει καὶ δεσμόν, κολάζηται. Τότε δὴ μεταπεμψάμενος ἐμέ, φησὶν Ἑρμῆς, εἶπεν· "Ὦ ψυχῆς ἐμῆς ψυχὴ καὶ νοῦς ἱεροῦ ἐμοῦ νοῦ, ἄχρι ποῦ στυγνὴ φύσις ἡ τῶν ὑποκειμένων ὁρᾶται; ἄχρι πότε τὰ ἤδη γεγονότα ἀργὰ μένει καὶ ἀνεγκωμίαστα ἀλλ' ἄγε δή μοι τοὺς ἐν οὐρανῷ θεοὺς πάντας ἤδη", εἶπεν ὁ θεός, ὦ τέκνον, ὥς φησιν Ἑρμῆς. Οἳ δὲ 〈ὡσ〉 ἦλθον πρὸς ἐπίταγμα, "ἀπίδετε", εἶπεν, "εἰς τὴν γῆν καὶ πάντα τὰ χαμαί". Οἳ δὲ ἐν τάχει καὶ εἶδον καὶ ἐνόησαν ἃ ἐβούλετο ὁ δυνάστης. Καὶ εἰπόντι ὑπὲρ τῆς τῶν ἀνθρώπων γενέσεως συνῆσθοντο, ὅτι παρ'

ἑνὸς ἑκάστου τι δυνατός ἐστι παρασχεῖν τοῖς μέλλουσι γίγνεσθαι. Ἔλεγεν Ἥλιος· “ἐπὶ πλέον λάμψω”. Ὑπισχνεῖτο Σελήνη τὸν μετὰ τὸν ἥλιον δρόμον φωτίσαι· ἔλεγε καὶ προπεπαιδοποιηκέναι Φόβον καὶ Σιγὴν καὶ Ὕπνον καὶ τὴν μέλλουσαν αὐτοῖς ἔσεσθαι πανωφελῆ Μνήμην. Κρόνος ἀπήγγειλεν ἤδη πατὴρ γεγονέναι καὶ Δίκης καὶ Ἀνάγκης. Ζεὺς ἔλεγεν· “ὡς μὴ παντάπασι πολεμῆσαι τὸ φῦλον τὸ ἐσόμενον, ἤδη αὐτοῖς καὶ Τύχην καὶ Ἐλπίδα καὶ Εἰρήνην γεγέννηκα”. Ἄρης Ἀγωνίας ἔλεγεν ἤδη καὶ Ὀργῆς καὶ Ἔριδος πατὴρ εἶναι. Ἀφροδίτη οὐκ ἐμέλλησεν, ἀλλὰ εἶπεν· “ἐγὼ δὲ Πόθον αὐτοῖς, ὦ δέσποτα, καὶ Ἡδονὴν ἐπιζεύξω καὶ Γέλωτα· ὡς μὴ χαλεπωτάτην αἱ συγγενεῖς ψυχαὶ τὴν καταδίκην ὑπομένουσαι ἐπὶ πλέον κολάζωνται”. Ἐτέρπετο, φύσιν εὐφυῆ καὶ σοφίαν αὐτοῖς καὶ σωφροσύνην καὶ πειθὼ καὶ ἀλήθειαν ἀναθήσω καὶ οὐ παύσομαι τῇ Εὑρέσει συνών, ἀλλὰ καὶ τῶν ὑπὸ ζῳδίων τῶν ἐμῶν γινομένων ἀνθρώπων εἰσαεὶ τὸν θνητὸν βίον ὠφελήσω (ζῴδια γὰρ ἃ ἐμοὶ ἀνέθηκεν ὁ πατὴρ καὶ δημιουργὸς ἔμφρονά γε καὶ νοερά) καὶ τότε πλέον, ὅταν ἡ ἐπικειμένη αὐτοῖς τῶν ἀστέρων κίνησις σύμφωνον ἔχῃ τὴν ἑνὸς ἑκάστου φυσικὴν ἐνέργειαν”. Ἔχαιρεν ὁ θεός, ὁ δεσπότης κόσμου, ταῦτα ἀκούσας καὶ προσέταξε γίγνεσθαι φῦλον τὸ ἀνθρώπων. Ἐγὼ δέ, φησὶν Ἑρμῆς, ἐπεζήτουν ὕλην τίνι δέον ἐστὶ χρήσασθαι καὶ παρεκάλουν τὸν μόναρχον. Ὃ δὲ ταῖς ψυχαῖς προσέταξε τοῦ κράματος τὸ λείψανον δοῦναι· καὶ λαβὼν εὗρον αὐτὸ παντελῶς ξηρόν. Ἔνθεν πολλῷ πλείονι τοῦ δέοντος ἐχρησάμην κατὰ μῖξιν ὕδατι [ὡς τὴν τῆς ὕλης σύστασιν νεαροποιήσασθαι], ὡς ἔκλυτον παντάπασιν καὶ ἀσθενὲς καὶ ἀδύνατον τὸ πλασσόμενον εἶναι, ὡς μὴ πρὸς τῷ συνετὸν εἶναι ἔτι καὶ δυνάμεως ᾖ πεπληρωμένον. Ἔπλασα καὶ καλὸν ὑπῆρχε καὶ ἐτερπόμην βλέπων μου τὸ ἔργον καὶ κάτωθεν ἐπεκαλεσάμην τὸν μόναρχον θεωρῆσαι. Ὃ δὲ καὶ εἶδε καὶ ἐχάρη καὶ τὰς ψυχὰς ἐκέλευσεν ἐνσωματισθῆναι. Αἳ δὲ τότε πρῶτον στυγνάσασαι 〈ἐστέναζον〉 κατακρίτους ἑαυτὰς μαθοῦσαι. Ἐθαύμασα οὖν καὶ τοὺς τῶν ψυχῶν λόγους. Πρόσεχε, τέκνον Ὦρε, κρυπτῆς γὰρ ἐπακούεις θεωρίας, ἧς ὁ μὲν προπάτωρ Καμῆφις ἔτυχεν ἐπακούσας παρὰ Ἑρμοῦ τοῦ πάντων ἔργων ὑπομνηματογράφου, 〈ἐγὼ δὲ〉 παρὰ τοῦ πάντων προγενεστέρου Καμήφεως, ὁπότ’ ἐμὲ καὶ τῷ τελείῳ μέλανι ἐτίμησε· νῦν δὲ αὐτὸς σὺ παρ’ ἐμοῦ. Ὅτε γάρ, ὦ θαυμαστὲ παῖ μεγαλόδοξε, ἔμελλον ἐγκατακλείεσθαι τοῖς σώμασιν, αἳ μέν γε αὐτῶν αὐτὸ μόνον ὠδύροντο καὶ ἐστέναζον, καθ’ ὅνπερ τρόπον τῶν γεγονότων θηρίων τὰ ἐλεύθερα δουλοῦσθαι πονηρῶν μελλήσει τῆς συνήθους τε καὶ φίλης ἀποσπώμενα ἐρημίας μάχεσθαι καὶ στασιάζειν καὶ οὐχ ὁμονοεῖν πρὸς τοὺς κρατήσαντας αὐτῶν, ἀλλὰ καὶ ἐὰν τύχῃ περιγενόμενα θανάτῳ παραδώσουσι τοὺς αὐτοῖς ἐπιβάλλοντας· αἳ δὲ πλέον ἔτριζον δίκην ἀσπίδων, ὀξὺ δὲ κωκύσασα ἑτέρα καὶ πρὸ τῶν λόγων ἱκανὰ κλαύσασα καὶ πολλάκις ἄνω τε καὶ κάτω τοὺς ὡς ἔτυχεν ἔχουσα μεταφέρουσα ὀφθαλμούς· “Οὐρανέ, τῆς ἡμετέρας”, εἶπεν, “ἀρχὴ γενέσεως, αἰθήρ τε καὶ ἀὴρ καὶ τοῦ μονάρχου θεοῦ χεῖρές τε καὶ ἱερὸν πνεῦμα, περιλαμπῆ τε, ὀφθαλμοὶ θεῶν, ἄστρα καὶ φῶς ἡλίου καὶ σελήνης ἀκοπίαστον, τὰ τῆς ἡμετέρας ἀρχῆς σύντροφα, ὧν ἁπάντων ἀποσπώμεναι ἄθλια πάσχομεν, πλέον δ’ ὅτι ἀπὸ μεγάλων τε καὶ λαμπρῶν καὶ τοῦ ἱεροῦ περιχύματος καὶ πλουσίου πόλου καὶ ἀπὸ τῆς μακαΐξιον; ὅσαι τὰς δειλαίας ἡμᾶς ἁμαρτίαι περιμένουσιν· ὅσα διὰ τὰ πονηρὰ τῶν ἐλπίδων πράξομεν, ἵνα τῷ ὑδαρεῖ καὶ ταχὺ διαλύτῳ σώματι πορίζωμεν τὰ ἐπιτήδεια· ὀφθαλμοὶ τὰς οὐκέτι τοῦ θεοῦ ψυχὰς χωρήσουσιν ἄλογοι, καὶ παντελῶς μικρὸν τῷ ἐν τούτοις ὑγρῷ [καὶ] κύκλῳ τὸν ἑαυτῶν πρόγονον οὐρανὸν ὁρῶσαι στενάξομεν ἀεί, ἔστι δ’ ὅτε καὶ οὐ βλέψομεν [ἔνθεν Ὀρφεύς (fragm. monad. 10 p. 504 Herm.)· τῷ λαμπρῷ βλέπομεν, τοῖς δ’ ὄμμασιν οὐδὲν ὁρῶμεν]· ἄθλιαι γὰρ κατεκρίθημεν καὶ τὸ βλέπειν ἡμῖν οὐκ ἀντικρὺς ἐχαρίσθη, ὅτι χωρὶς τοῦ φωτὸς ἡμῖν τὸ ὁρᾶν οὐκ ἐδόθη· πόροι τοίνυν καὶ οὐκέτι εἰσὶν ὀφθαλμοί. ὡς δὲ καὶ τῶν συγγενῶν φυσώντων ἐν ἀέρι πνευμάτων ἀκοῦσαι τλημόνως οἴσομεν, ὅτι μὴ συμπνέομεν αὐτοῖς. οἶκος ἡμᾶς ἀντὶ τοῦ μεταρσίου κόσμου τούτου ὁ βραχὺς περιμένει καρδίας ὄγκος. ἀεὶ

δὴ ἐπιλήσας ἡμᾶς ἀφ' ὧν εἰς οἷα κατέβημεν, ἀπόλυε τοῦ λυπεῖσθαι, δέσποτα καὶ πάτερ κόσμου." Ἐπέτυχον, τέκνον Ὧρε, αἱ ψυχαὶ τάδε εἰποῦσαι, παρῆν γὰρ καὶ 〈ὁ〉 μόναρχος καὶ τάδε ἐπὶ τοῦ τῆς Ἀληθείας καθίσας θρόνου ταῖς δεηθείσαις ἐφώνησεν· "Ἔρως ὑμῶν, ψυχαί, δεσπόσει καὶ Ἀνάγκη, οἵδε γὰρ μετ' ἐμὲ πάντων δεσπόται τε καὶ ταξίαρχοι. Ψυχαὶ δέ, ὅσαι τὴν ἀγήρατόν μου σκηπτουχίαν θεραπεύετε, ἵστε ὡς ἕως μὲν ἀναμάρτητοί ἐστε, τὰ τοῦ οὐρανοῦ οἰκήσετε χωρία· εἰ δ' ἄρα τις ὑμῶν τινος ἐγγίσει μέμψις, θνητοῖς καὶ αὐταὶ προσμεμοιρασμένον χῶρον σπλάγχνοις καταδικασθεῖσαι ἐνοικήσετε. κἂν μὲν ᾖ ὑμῶν μέτρια τὰ αἰτιάματα, τὸν ἐπίκηρον τῶν σαρκῶν σύνδεσμον καταλιποῦσαι, πάλιν ἀστένακτοι τὸν ἑαυτῶν οὐρανὸν ἀσπάσεσθε· εἰ δ' ἄρα τινῶν μειζόνων ἁμαρτημάτων ἔσεσθε ποιητικαί, οὐ μετὰ τέλους καθήκοντος τῶν πλασμάτων προελθοῦσαι, οὐρανὸν μὲν οὐκέτι οἰκήσετε, οὐδ' αὖ σώματα ἀνθρώπων, ζῷα δ' ἄλογα μεταπλανώμεναι λοιπὸν διατελέσετε." Τάδε εἰπών, ὦ τέκνον Ὧρε, πάσαις αὐταῖς ἐχαρίσατο πνεύματα καὶ πάλιν ἐφώνησεν· "Ἀλλ' οὐδὲ εἰκῇ καὶ ὡς ἔτυχεν ἐνομοθέτησα τὰς μεταβολὰς ὑμῶν, ἀλλ' ὡς ἐπὶ τὸ εἴ τι βουλεύσεσθε τῆς ἑαυτῶν γενέσεως ἄξιον· ἐγὼ γὰρ καὶ οὔτις ἕτερος ἐπόπτης αὐτὸς καὶ ἐπίσκοπος ἔσομαι. ἐπίγνωτε δὴ οὖν ὡς διὰ τὰ πρόσθεν πραχθέντα ὑμὶν κόλασιν ταύτην ὑπομένετε τὴν ἐνσωμάτωσιν. ἡ τοίνυν διαφορὰ τῆς παλιγγενεσίας ὑμῖν ἔσται ἡ τῶν σωμάτων, ὡς ἔφην, διαφορά, εὐεργεσία δὲ καὶ 〈ἡ〉 πρόσθεν εὐδαιμονία ** ἡ διάλυσις. τυφλωθήσεται δ' ὑμῶν ἡ φρόνησις, ἐάν τι ἀνάξιον ἐμοῦ δόξητε πράσσειν, ὥστε φρονεῖν τὰ ἐναντία καὶ τὴν μὲν κόλασιν ὡς εὐεργεσίαν ὑπομένειν, τὴν δὲ εἰς τὰ βελτίονα μεταβολὴν ἀτιμίαν τε καὶ ὕβριν. αἱ δικαιότεραι δ' ὑμῶν καὶ τὴν εἰς τὸ θεῖον μεταβολὴν ἐκδεχόμεναι εἰς μὲν ἀνθρώπους βασιλεῖς δίκαιοι, φιλόσοφοι γνήσιοι, ** κτίσται καὶ νομοθέται, μάντεις [οἱ] ἀληθεῖς, ῥιζοτόμοι γνήσιοι, ἄριστοι προφῆται θεῶν, μουσικοὶ ἔμπειροι, ἀστρονόμοι νοεροί, οἰωνοσκόποι σαφεῖς, ἀκριβεῖς θύται καὶ ὁπόσοι ἐστὲ καλῶν κἀγαθῶν ἄξιαι· εἰς δὲ πτηνὰ ἀετοί, διότι οὐδὲν τῶν ὁμογενῶν οὔτε ἐκσοβήσουσιν οὔτε θοινήσονται, ἀλλ' οὐδὲ πλησίον τούτων ζῷον ἕτερον ἀσθενέστερόν τι αὐτοῦ ἀδικεῖν ἀφεθήσεται, ἐνδικώτερα γὰρ ἡ τῶν ἀετῶν φύσις μετελεύσεται· εἰς δὲ τετράποδα λέοντες, ἰσχυρὸν γὰρ τὸ ζῷον καὶ φύσεως ἔτυχεν ἀκοιμήτου τρόπῳ τινὶ καὶ φθαρτῷ σώματι τὴν ἀθάνατον σευθήσεται καὶ ἰὸν οὐχ ἕξει, νεάσει δὲ καὶ γηράσαν, καθάπερ φύσις ἡ θεῶν· ἐν δὲ νήχουσι δελφῖνες, συμπαθήσουσι γὰρ καὶ τοῖς εἰς πέλαγος ἐμπίπτουσιν οὗτοι καὶ τὰ μὲν ἔμπνοα διακομιοῦσιν εἰς γῆν, τῶν δὲ τελευτησάντων οὐδ' ὅλως ποτὲ ἅψονται, καίτοι φιλοβρωτάτου πάντων ἐσομένου τούτου τῶν ἐνύδρων γένους". Τοσαῦτα ὁ θεὸς εἰπὼν ἄφθαρτος νοῦς γίγνεται. Τούτων οὕτως γενομένων, τέκνον Ὧρε, ἰσχυρότατόν τι ἀπὸ γῆς ἀνίσταται πνεῦμα, ἀκατάληπτον μὲν περιοχῇ σώματος, δυνάμει δὲ φρονήσεως ὑπάρχον, ὃ καίπερ εἰδὸς ὑπὲρ ὧν ἐπυνθάνετο, τὸ σῶμα μὲν κατὰ τύπον ἀνδρὸς περικείμενον καὶ καλὸν καὶ σεμνοπρεπὲς ὄν, ὑπερβολῇ δὲ ἄγριον καὶ πλῆρες φόβου, ὃ δὴ παραυτίκα τὰς ψυχὰς εἰσιούσας εἰς τὰ πλάσματα θεωρῆσαν, "τίνες", ἔλεγεν, "οὗτοι καλοῦνται, ὦ Ἑρμῆ, θεῶν ὑπομνηματογράφε;" Εἰπόντος δέ, "ἄνθρωποι, 〈ὦ Μῶμε〉", "Ὦ Ἑρμῆ", ἔφη, "τολμηρὸν ἔργον ποιῆσαι τὸν ἄνθρωπον, περίεργον ὀφθαλμοῖς καὶ λάλον γλώσσῃ, ἀκουστικὸν μέλλοντα εἶναι καὶ τῶν αὐτῷ μὴ προσηκόντων, λίχνον ὀσφρήσει καὶ μέχρι πάντων ριμνον καταλεῖψαι κέκρικας, ὦ γενεσιουργέ, τὸν ὁρᾶν μέλλοντα τολμηρῶς τῆς φύσεως τὰ καλὰ μυστήρια; ἄλυπον ἐᾶσαι θέλεις τοῦτον καὶ μέχρι τῶν περάτων γῆς τὰς ἑαυτοῦ μελλήσοντα πέμπειν ἐπινοίας; ῥίζας φυτῶν ἀνασκάψουσιν ἄνθρωποι καὶ ποιότητα ἐξετάσουσι χυλῶν, λίθων φύσεις ἐπισκοπήσουσι καὶ διὰ μέσον ἀνατεμοῦσι τῶν ζῴων τὰ ἄλογα οὐ μόνον, ἀλλὰ καὶ ἑαυτούς, ὡς ἐγένοντο ἐξετάζειν θέλοντες, τολμηρὰς ἐκτενοῦσι χεῖρας καὶ μέχρι θαλάσσης καὶ τὰς αὐτοφυεῖς ὕλας τέμνοντες μέχρι καὶ τῶν πέραν διαπορθμεύσουσιν ἀλλήλους ἐπὶ ζήτησιν, καὶ τίς ἐνδοτέρω τῶν ἱερῶν ἀδύτων φύσις ὑπάρχει, τὰ μέχρις ἄνω διώξουσι, παρατηρῆσαι βουλόμενοι τίς οὐρανοῦ καθέστηκε κίνησις. ἔτι μέτρια ταῦτα· λείπει γὰρ οὐδὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔτι πλὴν γῆς τόπος ἔσχατος. ἀλλὰ καὶ τούτων τὴν ἐσχάτην τῷ θέλειν ἐρευνήσουσι νύκτα. μηδὲν οὖν ἐμπόδιον ἔχωσιν οὗτοι, ἀλλὰ τῷ τῆς ἀλυπίας ἀγαθῷ μυηθῶσι καὶ τοῖς χαλεποῖς μὴ βιασθέντες τοῦ φόβου κέντροις ἀμερίμνῳ βίῳ τρυφήσωσιν; εἶτα οὐ καὶ μέχρις οὐρανοῦ περίεργον ὁπλισθήσονται τόλμαν οὗτοι; οὐκ ἀμερίμνους ἐκτενοῦσιν ἐπὶ καὶ τὰ στοιχεῖα τὰς ψυχὰς αὐτῶν; δίδαξον ἐντεῦθεν ἐρᾶν τοῦ τι βουλεύεσθαι [ἵνα ἔχωσι καὶ τῆς ἀποτυχίας τὸ χαλεπὸν φοβηθῆναι], ἵνα τῷ τῆς λύπης δακνηρῷ δαμασθῶσι τῶν ἐλπιζομένων ἀποτυχόντες. χρεωκοπείσθω τῶν ψυχῶν αὐτῶν τὸ περίεργον ἐπιθυμίαις καὶ φόβοις καὶ λύπαις καὶ ἐλπίσι πλάνοις. ἐπάλληλοι τὰς ψυχὰς αὐτῶν ἔρωτες νεμέσθωσαν, ἐλπίδες, ποικίλαι ἐπιθυμίαι, ποτὲ μὲν ἐπιτυγχάνουσαι, ποτὲ δὲ ἀτευκτοῦσαι, ἵνα αὐτοῖς καὶ τῆς ἐπιτυχίας ἡδὺ δέλεαρ ᾖ εἰς ἄθλησιν τελειοτέρων κακῶν· βαρείτω πυρετὸς αὐτούς, ἵνα ἐκκακήσαντες κολάσωσι τὴν ἐπιθυμίαν." Λυπῇ, τέκνον Ὧρε, τάδε ἑρμηνευούσης σοι τῆς τεκούσης; Οὐ θαυμάζεις, οὐ καταπλήσσῃ, πῶς ὁ τάλας ἄνθρωπος ἐβαρήθη; Τὸ δεινότερον ἐπάκουσον. Ἐτέρπετο Μώμου ταῦτα λέγοντος Ἑρμῆς, ἐλέγετο γὰρ οἰκείως αὐτῷ τὰ εἰρημένα καὶ ταῦτα ἔπραττεν, ὅσα περ εἰρήκει, λέγων· "Μῶμε, ἀλλ' οὐκ ἐναργὴς γενήσεται πνεύματος θείου φύσις ἡ τοῦ περιέχοντος; εἶπε γὰρ εἶναί με ταμίαν καὶ προνοητὴν ὁ τῶν συμπάντων δεσπότης. ἐπόπτειρα τοίνυν ταγῆς ἔσται τῶν ὅλων ὀξυδερκὴς θεὸς Ἀδράστεια καί τι κρυπτὸν ὄργανον ἐγὼ τεχνάσομαι, ἁπλανοῦς καὶ ἀπαραβάτου θεωρίας ἐχόμενον, ᾧ τὰ ἐπὶ γῆς ἀναγκαίως δουλαγωγηθήσεται πάντα τὰ ἀπὸ γενέσεως ἄχρι φθορᾶς ἐσχάτης, ἔχον τὴν 〈τῶν〉 ἀποτελουμένων πῆξιν· πεισθήσεται δὲ τῷ ὀργάνῳ τούτῳ καὶ τὰ ἐπὶ γῆς ἄλλα πάντα." Εἶπεν Ἑρμῆς [ἐγὼ] δὴ ταῦτα τῷ Μώμῳ καὶ ἤδη τὸ ὄργανον ἐκινεῖτο. "Θεοί," λέγων "ὅσοι τῆς κορυφαίας, ὅσοι καὶ ἀφθάρτου φύσεως τετεύχατε, οἳ τὸν μέγαν αἰῶνα διέπειν ἐς ἀεὶ κεκλήρωσθε, οἷς αὐτὰ ἑαυτοῖς ἀντιπαραδιδόντα οὐδέποτε κοπιάσει τὰ σύμπαντα, μέχρι πότε τῆς ἀνεπιγνώστου ταύτης δεσπόσομεν ἡγεμονίας; μέχρι πότε ἀθεώρητα γενήσεται ταῦτα ἡλίῳ καὶ σελήνῃ; ἕκαστος ἡμῶν ἐφ' ἑαυτῷ γεννάτω· ἀπαλείψωμεν τῷ δύνασθαι τὴν ἔτι ἀργὴν σύστασιν ταύτην· ἄπιστος τοῖς μεταγενεστέροις μῦθος δὴ δοξάτω τὸ χάος εἶναι· ἔργων ἅπτεσθε μεγάλων, ἐγὼ δ' αὐτὸς ἄρξομαι πρῶτος". Εἶπε καὶ εὐθέως κοσμικῶς τῆς ἔτι μελαίνης ἑνώσεως διάστασις ἐγένετο· καὶ ἐφάνη μὲν οὐρανὸς ἄνω, συγκεκοσμημένος τοῖς ἑαυτοῦ μυστηρίοις πᾶσι· κραδαινομένη ἔτι γῆ ἡλίου λάμψαντος ἐπάγη καὶ ἐφάνη πᾶσι τοῖς περὶ αὐτὴν συγκεκοσμημένη καλοῖς. Καλὰ γὰρ τῷ θεῷ καὶ τὰ θνητοῖς εἶναι νομιζόμενα φαῦλα, ὅτι δὴ τοῖς τοῦ θεοῦ νόμοις δουλεύειν ἐποιήθη. Ἔχαιρε δὲ ὁ θεὸς ὁρῶν ἤδη ἑαυτοῦ τὰ ἔργα κινούμενα· πληρώσας δὲ τὰς ἰσοστασίους χεῖρας τῷ περιέχοντι τῶν ἐκ τῆς φύσεως ὑπαρχόντων καὶ τὰς δράκας καρτερῶς σφίγξας "λάβε," εἶπεν "ὦ ἱερὰ γῆ, λάβε, πάντιμε καὶ εἶναι γεννήτειρα μέλλουσα πάντων, καὶ μηδενὶ ἐντεῦθεν λείπεσθαι δόκει." Εἶπεν ὁ θεὸς καὶ τὰς χεῖρας, οἵας δεῖ θεὸν ἔχειν, ἁπλώσας πάντα ἀφῆκεν ἐν τῇ τῶν ὄντων συστάσει. Καὶ ἀγνωσία μὲν ἦν κατ' ἀρχὰς παντάπασι. Νεωστὶ τοῖς ἐν οὐρανῷ θεοῖς ἐφιλονείκουν τῆς ἑαυτῶν εὐγενείας περικρατοῦσαι καὶ ἀντιλαμβανόμεναι, ὡς καὶ αὐταὶ τοῦ αὐτοῦ ἔτυχον δημιουργοῦ, ἐστασίαζον 〈οὖν〉 καὶ τοῖς λειπομένοις ἀνθρώποις ὀργάνοις χρώμεναι, ἐποίουν αὐτοὺς ἑαυτοῖς ἐπιτίθεσθαι καὶ ἀντιτάσσεσθαι καὶ πολεμεῖν ἀλλήλοις. Καὶ οὕτως ἡ μὲν ἰσχὺς κατὰ τῆς ἀσθενείας μέγα ἠδύνατο, ὥστε οἱ ἰσχυροὶ τοὺς ἀδυνάτους καὶ ἔκαιον καὶ ἐφόνευον καὶ [κατὰ τῶν ἱερῶν] τοῦτο μὲν ζῶντας τοῦτο δὲ καὶ νεκροὺς ἔρριπτον κατὰ τῶν ἀδύτων, ἕως ἀγανακτήσαντα τὰ στοιχεῖα τῷ μονάρχῳ θεῷ ἐντυχεῖν ἐδοκίμαζον ὑπὲρ τῆς τῶν ἀνθρώπων ἀγρίου πολιτείας. Πολλοῦ δὲ ἤδη γενομένου τοῦ κακοῦ τὰ στοιχεῖα τῷ ποιήσαντι αὐτὰ τῷ θεῷ προσελθόντα τοιούτοις λόγοις ὑπὲρ μέμψεως ἐχρήσαντο. Καὶ δὴ καὶ εἶχε τὴν τοῦ λέγειν ἐξουσίαν τὸ πῦρ πρῶτον. "Δέσποτα" δὲ ἔλεγε "καὶ τοῦ καινοῦ τούτου κόσμου τεχνῖτα καὶ κρυπτὸν ἐν θεοῖς καὶ σεβαστὸν ὄνομα μέχρι νῦν ἅπασιν ἀνθρώποις, μέχρι πότε, ὦ δαῖμον, ἄθεον καταλεῖψαι τὸν θνητῶν βίον προαίρεσιν ἔχεις; ἀνάτειλον ἤδη σεαυτὸν χρηματίζοντι τῷ κόσμῳ καὶ τοῦ βίου τὸ ἄγριον

μύησον εἰρήνῃ· χάρισαι νόμους τῷ βίῳ, χάρισαι νυκτὶ χρησμούς· πλήρωσον καλῶν ἐλπίδων πάντα· φοβείσθωσαν ἄνθρωποι τὴν ἀπὸ θεῶν ἐκδικίαν καὶ οὐδεὶς ἁμαρτήσει· ἐπαξίους ἁμαρτημάτων μισθοὺς ἂν ἀπολάβωσι, φυλάξονται οἱ λοιποὶ τὸ ἀδικεῖν, φοβηθήσονται ὅρκους καὶ οὐδὲ εἷς ἔτι ἀνόσιον φρονήσει· μαθέτωσαν εὐεργετηθέντες εὐχαριστῆσαι, ἵνα χαῖρον παρὰ λοιβαῖς [παρὰ θυσίαις] ὑπηρετήσω [τὸ πῦρ], ἵν' εὐώδεις ἀτμοὺς ἀπ' ἐσχάρας προπέμψω σοι. μιαίνομαι γάρ, ὦ δέσποτα, μέχρι νῦν καὶ ὑπὸ τῆς τῶν γενομένων ἀνθρώπων ἀθέου τόλμης σάρκας ἀναγκάζομαι τήκειν, οὐκ ἐῶσί τε μένειν εἰς ὃ πέφυκα, παραχαράσσοντες οὐ καθηκόντως τὸ ἄφθαρτον." Ὁ δὲ ἀήρ "καὶ αὐτὸς θολοῦμαι, δέσποτα," ἔλεγε "καὶ ἀπὸ τῆς ἀπὸ τῶν νεκρῶν σωμάτων ἀναθυμιάσεως νοσώδης τέ εἰμι καὶ ὑγιεινὸς οὐκέτι, ἐφορῶ τε ἄνωθεν ὅσα μὴ θέμις ὁρᾶν". Ὕδωρ ἐξῆς, ὦ παῖ μεγαλόψυχε, τὴν τοῦ λέγειν εἶχεν ἐξουσίαν καὶ ἔλεγεν οὕτως· "Πάτερ καὶ θαυμαστὲ ποιητὰ πάντων, αὐτόγονε δαῖμον καὶ τῆς διὰ σὲ πάντα γεννώσης ποιητὰ φύσεως, ἤδη ποτέ, ὦ δαῖμον, ἀεὶ ῥεῖθρα ποταμῶν καθαρὰ πρόσταξον εἶναι· ἢ γὰρ ἀπολούουσι ποταμοὶ καὶ θάλασσαι τοὺς φονεύσαντας, ἢ δέχονται τοὺς φονευθέντας." Γῆ παρῆν περίλυπος ἐξῆς καὶ τάξομαι τῆς ἀπὸ τῶν λόγων, ὦ παῖ μεγαλόδοξε, οὕτως λέγειν ἤρξατο· "Βασιλεῦ καὶ τῶν οὐρανίων πρύτανι καὶ δέσποτα ἀψίδων, στοιχείων ἡμῶν ἡγεμὼν 〈καὶ〉 πάτερ τῶν σοι παρεστώτων, ἐξ ὧν αὐξήσεως καὶ μειώσεως ἀρχὴν ἔχει τὰ πάντα, εἰς ἃ καὶ πάλιν καταλήγοντα ἀναγκαίως ὀφειλόμενον τέλος ἔχει, ἀλόγιστος, ὦ πολυτίμητε, καὶ ἄθεος [ἀπ'] ἀνθρώπων ἐπ' ἐμὲ χορὸς ἔπεισι. χωρῶ δ' ἐγὼ καὶ φύσιν πάντων. αὐτὴ γάρ, ὡς σὺ προσέταξας, καὶ φέρω ὑπὸ πάντων· ὁ ἐπιχθόνιός σου κόσμος πεπληρωμένος θεὸν οὐκ ἔχει. πάντα γάρ, ὃ φοβηθῶσιν οὐκ ἔχοντες, παρανομοῦσι καὶ κατ' ἐμῶν, ὦ κύριε, τενόντων πάσῃ πονηρᾷ τέχνῃ καταπίπτουσι. καταβρέχομαι δὲ πᾶσα διαφθειρομένων σωμάτων χυλοῖς. ἐντεῦθεν, κύριε, καὶ τοὺς οὐκ ἀξίους ἀναγκάζομαι χωρεῖν. χωρῆσαι θέλω μεθ' ὧν φέρω πάντων καὶ θεόν. χάρισαι τῇ γῇ κἂν οὐ σεαυτόν, οὐ γάρ σε χωρεῖν ὑπομένω, σαυτοῦ 〈γέ〉 τινα ἱερὰν ἀπόρροιαν. στοιχείων τιμιωτέραν τῶν ἄλλων τὴν γῆν μεταποίησον. μόνῃ γὰρ αὐχεῖν τῶν ἀπό σου πρέπει τὰ πάντα παρεχούσῃ." Τοσαῦτα μὲν τὰ στοιχεῖα εἶπεν· ὁ δὲ θεὸς ἱερᾶς ἐν τῷ λέγειν φωνῆς τὰ σύμπαντα πληρώσας, "Πορεύεσθε", εἶπεν, "ἱερὰ καὶ μεγάλου πατρὸς ἄξια τέκνα, καὶ κατὰ μηδένα τρόπον νεωτερίζειν ἐπιχειρεῖτε μηδὲ ἀργὸν τῆς ἐξ αὐτῶν ὑπηρεσίας τὸν σύμπαντά μου κόσμον καταλείπετε. ἑτέρα γὰρ ἐν ὑμῖν τις ἤδη τῆς ἐμῆς ἀπόρροια φύσεως, ὃς δὴ καὶ ὅσιος ἔσται τῶν πραττομένων ἐπόπτης καὶ ζώντων μὲν κριτὴς ἀμεθόδευτος, φρικτὸς δ' οὐ μόνον ἀλλὰ καὶ τιμωρὸς τῶν ὑπὸ γῆν τύραννος. καὶ ἑκάστῳ δὲ τῶν ἀνθρώπων ἀκολουθήσει διὰ γένους μισθὸς ἐπάξιος." Καὶ οὕτως ἐπαύσατο τῆς ἐντυχίας τὰ στοιχεῖα τοῦ δεσπότου κελεύσαντος καὶ ἐχεμυθίαν εἶχον· καὶ ἕκαστον αὐτῶν τῆς ἰδίας ἐξουσίας ἐκράτει καὶ ἐδέσποζε." Καὶ ἐκ τούτου εἶπεν Ὧρος· „Ὦ τεκοῦσα, πῶς οὖν τὴν ἔλθῃ γένεσις θεῶν· πλὴν ὅτι γε ὁ μόναρχος θεός, ὁ τῶν συμπάντων κοσμοποιητὴς καὶ τεχνίτης, [τὶ] τὸν μέγιστόν σου πρὸς ὀλίγον ἐχαρίσατο πατέρα Ὄσιριν καὶ τὴν μεγίστην θεὰν Ἶσιν, ἵνα τῶν πάντων δεομένῳ κόσμῳ βοηθοὶ γένωνται. Οὗτοι βίου τὸν βίον ἐπλήρωσαν· οὗτοι τὸ τῆς ἀλληλοφονίας ἔπαυσαν ἄγριον· τεμένη προγόνοις θεοῖς αὐτοὶ καὶ θυσίας καθιέρωσαν· νόμους οὗτοι καὶ τροφὰς θνητοῖς καὶ σκέπην ἐχαρίσαντο· 'οὗτοι τὰ κρυπτά', φησὶν Ἑρμῆς, 'τῶν ἐμῶν ἐπιγνώσονται γραμμάτων πάντα καὶ διακρινοῦσι καὶ τινὰ μὲν αὐτοὶ κατασχῶσιν, ἃ δὲ καὶ πρὸς εὐεργεσίας θνητῶν φθάνει, στήλαις καὶ ὀβελίσκοις χαράξουσιν'· οὗτοι πρῶτοι δείξαντες δικαστήρια εὐνομίας τὰ σύμπαντα καὶ δικαιοσύνης ἐπλήρωσαν· οὗτοι δεξιᾶς καὶ πίστεως ἀρχηγέται γενόμενοι καὶ τὸν μέγιστον θεὸν Ὅρκον εἰσηγάγοντο εἰς τὸν βίον· οὗτοι τοὺς παυσαμένους τοῦ ζῆν, ὡς δέον ἐστίν, ἐδίδαξαν περιστέλλειν· οὗτοι τὸ τοῦ θανάτου ζητήσαντες ἄγριον ἔγνωσαν, ὡς τοῦ ἔξωθεν πνεύματος φιλυποστρόφου τυγχάνοντος εἰς τὰ τῶν ἀνθρώπων πλάσματα, ἐὰν ὑστερήσῃ ποτέ, ἀνάκτησιν οὐκ ἔχουσαν ἐργάζεται λειποθυμίαν· οὗτοι τὸ περιέχον ὅτι

δαιμόνων ἐπληρώθη, παρὰ Ἑρμοῦ μαθόντες, κρυπταῖς στήλαις ἐχάραξαν· οὗτοι μόνοι τὰς κρυπτὰς νομοθεσίας τοῦ θεοῦ παρὰ Ἑρμοῦ μαθόντες τεχνῶν καὶ ἐπιστημῶν καὶ ἐπιτηδευμάτων ἁπάντων εἰσηγηταὶ τοῖς ἀνθρώποις ἐγένοντο καὶ νομοθέται· οὗτοι παρ' Ἑρμοῦ μαθόντες ὡς τὰ κάτω συμπαθεῖν τοῖς ἄνω ὑπὸ τοῦ δημιουργοῦ διετάγη, τὰς τι τῶν ὄντων· ἵνα φιλοσοφία μὲν καὶ μαγεία ψυχὴν τρέφῃ, σῴζῃ δ' ὅταν τι πάσχῃ ἰατρικὴ σῶμα. Ταῦτα πάντα ποιήσαντες, ὦ τέκνον, Ὄσιρίς τε κἀγώ, τὸν κόσμον πληρέστατον ἰδόντες ἀπῃτούμεθα λοιπὸν ὑπὸ τῶν τὸν οὐρανὸν κατοικούντων, ἀλλ' οὐκ ἦν ἀνελθεῖν, πρὶν ἐπικαλέσασθαι τὸν μόναρχον, ἵνα δὴ καὶ τῆς θεωρίας ταύτης πλῆρες τὸ περιέχον γένηται αὐτοί τε εὐπαράδεκτον εὐτυχήσωμεν τὴν ἀνάβασιν. ** χαίρει γὰρ ὕμνοις ὁ θεός." „Ὦ τεκοῦσα", εἶπεν Ὧρος, „κἀμοὶ χάρισαι τὴν τοῦ ὕμνου ἐπίγνωσιν, ὡς μὴ ἀμαθὴς ὑπάρχω". Καὶ εἶπεν Ἶσις· „Πρόσεχε, παῖ". Ἐν ταὐτῷ (p. 32 b Patr). „Σὺ δέ, ὦ παῖ μεγαλόψυχε, εἴ τι θέλεις ἕτερον, ἐπερώτα." Καὶ εἶπεν Ὧρος· „Ὦ πολυτίμητε μῆτερ, εἰδῆσαι θέλω, πῶς γίγνονται βασιλικαὶ ψυχα ί ; " Καὶ εἶπεν Ἶσις· „Ἡ γιγνομένη, τέκνον Ὧρε, περὶ τὰς βασιλικὰς ψυχὰς διαφορὰ τοιαύτη τίς ἐστιν. Ἐπεὶ γὰρ τόποι τέσσαρές εἰσιν ἐν τῷ παντὶ οἵτινες ἀπαραβάτῳ νόμῳ καὶ προστασίᾳ ὑποπίπτουσιν, ὅ τε οὐρανὸς καὶ 〈ὁ〉 αἰθὴρ καὶ ὁ ἀὴρ καὶ ἡ ἱερωτάτη γῆ, [καὶ] ἄνω μέν, ὦ τέκνον, ἐν οὐρανῷ θεοὶ κατοικοῦσιν, ὧν ἄρχει μετὰ καὶ τῶν ἄλλων πάντων ὁ τῶν ὅλων δημιουργός· ἐν δὲ τῷ αἰθέρι ἀστέρες, ὧν ἄρχει ὁ μέγας φωστὴρ ἥλιος· ἐν δὲ τῷ ἀέρι ψυχαὶ δαιμόνιαι, ὧν ἄρχει σελήνη· ἐπὶ δὲ τῆς γῆς ἄνθρωποι καὶ τὰ λοιπὰ ζῷα, ὧν ἄρχει ὁ κατὰ καιρὸν γενόμενος βασιλεύς. Γεννῶσι γάρ, ὦ τέκνον, βασιλεῖς οἱ θεοὶ ἐπαξίους τῆς τερεύει ἡ σελήνη καὶ κατὰ τάξιν καὶ κατὰ δύναμιν. Καὶ ὁ μὲν βασιλεὺς τῶν μὲν ἄλλων θεῶν ἐστιν ἔσχατος, πρῶτος δὲ ἀνθρώπων· καὶ μέχρις ὅτου ἐπὶ γῆς ἐστι, τῆς μὲν ἀληθοῦς θειότητος ἀπήλλακται, ἔχει δὲ ἐξαίρετόν τι παρ' ἀνθρώπους, ὃ ὅμοιόν ἐστι τῷ θεῷ. Ἡ γὰρ εἰς αὐτὸν καταπεμπομένη ψυχὴ ἐξ ἐκείνου ἐστὶ τοῦ χωρίου ὃ ὑπεράνω κεῖται ἐκείνων, ἀφ' ὧν εἰς τοὺς ἄλλους καταπέμπονται ἀνθρώπους. Καταπέμπονται δὲ ἐκεῖθεν εἰς τὸ βασιλεύειν διὰ δύο ταῦτα αἱ ψυχαί, ὦ τέκνον. Αἱ μὲν καλῶς καὶ ἀμέμπτως δραμοῦσαι τὸν ἴδιον αἰῶνα καὶ μέλλουσαι ἀποθεοῦσθαι, ἵνα κἀν τῷ βασιλεύειν τὴν τῶν θεῶν προγυμνασθῶσιν ἐξουσίαν· αἱ 〈δὲ〉 θεῖαί τινες ἤδη οὖσαι καὶ ἐπὶ μικρῷ τινι παραθεμιστεύσασαι τὸν ἔνθεον γνώμονα, ἵνα [μὴ] κόλασιν μὲν ἐν τῷ σεσωματίσθαι ὑπομένωσι, δι' ἀδοξίαν 〈δὲ〉 καὶ φύσιν μηθὲν ὅμοιον τοῖς ἄλλοις πάσχωσιν ἐνσωματισθεῖσαι, ἀλλ' ὅπερ εἶχον λελυμέναι, τοῦτο καὶ δεθεῖσαι ἔχωσιν. Αἱ μέντοι περὶ τὰ ἤθη τῶν βασιλευόντων γιγνόμεναι διαφοραὶ οὐκ ἐν τῇ τῆς ψυχῆς κρίσει κρίνονται, πᾶσαι γὰρ θεῖαι· ἀλλ' ἐν τῇ τῶν δορυφορησάντων αὐτὴν καταστάσει ἀγγέλων καὶ δαιμόνων. Αἱ γὰρ τοιαῦται καὶ ἐπὶ 〈τὰ〉 τοιαῦτα κατερχόμεναι δίχα καὶ δαίμονες, τέκνον Ὧρε, πολεμικοὶ ὦσι, τούτων περικρατεῖν τῆς γνώμης ἡ ψυχὴ ἔχει ἣ ἐπιλαθομένη τῶν ἑαυτῆς ἔργων, μᾶλλον δὲ μεμνημένη τούτων μέχρι τῶν τῆς ἑτέρας συνοδίας προσγεγονότων· ὅταν δὲ εἰρηνικοί, τότε καὶ αὐτὴ τὸν ἴδιον δρόμον εἰρηνοποιεῖται· ὅταν δὲ δικαστικοί, τότε καὶ αὐτὴ δικάζει· ὅταν δὲ μουσικοί, τότε καὶ αὐτὴ ᾄδει· ὅταν δὲ φιλαλήθεις, τότε καὶ αὐτὴ φιλοσοφεῖ. Ὡς γὰρ ἐξ ἀνάγκης αἱ ψυχαὶ αὗται τῆς τῶν καταγόντων περικρατοῦσι γνώμης, πίπτουσι γὰρ εἰς τὴν ἀνθρωπότητα τῆς μὲν ἰδίας φύσεως ἐπιλαθόμεναι καὶ παρόσον μακρὰν αὐτῆς ἀπέστησαν, μέμνηνται δὲ τῆς τῶν κατακλεικλεισάντων αὐτὰς διαθέσεως". „Καλῶς", εἶπεν Ὧρος, „ἅπαντά μοι, ὦ τεκοῦσα, πῶς δὲ εὐγενεῖς γίγνονται ψυχα ί , οὐδέπω μοι διηγήσω". „Ὃν τρόπον ἐπὶ γῆς, ὦ τέκνον Ὧρε, εἰσί τινες πολιτεῖαι διαφέρουσαι ἀλλήλων, οὕτως καὶ ἐπὶ τῶν ψυχῶν ἐστι. Καὶ αὗται γὰρ τόπους ἔχουσιν ὅθεν ὁρμῶσι, καὶ ἡ ἀπὸ τοῦ ἐνδοξοτέρου τόπου ὁρμηκυῖα εὐγενεστέρα ἐστὶ τῆς μὴ οὕτως ἐχούσης. Ὅνπερ γὰρ τρόπον ἐπ' ἀνθρώποις ὁ ἐλεύθερος εὐγενέστερος εἶναι δοκεῖ δούλου (τὸ γὰρ ἐν ταῖς ψυχαῖς ὑπερέχον καὶ βασιλικὸν δουλοποιεῖ τὸ ὑπερεχόμενον ἐξ ἀνάγκης), οὕτω δή, ὦ τέκνον, καὶ 〈ἐπὶ τῶν φυεῖς εἰσιν ἑαυταῖς, καθάπερ ἐξ ἑνὸς οὖσαι

χωρίου, ἐν ᾧ αὐτὰς διατυποῦται ὁ δημιουργός, καὶ οὔτε εἰσὶν ἄρρενες οὔτε θήλειαι. Ἡ γὰρ τοιαύτη διάθεσις ἐπὶ σωμάτων γίγνεται καὶ οὐκ ἐπὶ ἀσωμάτων. Ἡ δὲ διαφορὰ τοῦ τὰς μὲν βριμωδεστέρας εἶναι τὰς δὲ εὐαφεῖς ὁ ἀήρ ἐστι, τέκνον Ὥρε, ἐν ᾧ πάντα γίγνεται. Ἀὴρ δὲ ψυχῆς ἐστιν αὐτὸ τὸ σῶμα ὃ περιβέβληται, ὅπερ στοιχείων ἐστὶ φύραμα, γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός. Ἐπεὶ οὖν τὸ μὲν τῶν θηλειῶν σύγκριμα πλεονάζει μὲν τῷ ὑγρῷ καὶ ψυχρῷ, λείπεται δὲ τῷ ξηρῷ καὶ θερμῷ, παρὰ τοῦτο ἡ εἰς τοιοῦτον πλάσμα συγκλειομένη ψυχὴ δίυγρος γίγνεται καὶ τρυφερά, ὥσπερ ἐπὶ τῶν ἀρρένων τὸ ἐναντίον ἔστι γιγνόμενον εὑρεῖν. Ἐπὶ γὰρ τούτοις πλεονάζει μὲν τὸ ξηρὸν καὶ [τὸ] θερμόν, λείπεται δὲ τὸ ψυχρὸν καὶ ὑγρόν· διὰ τοῦτο αἱ ἐν τοιούτοις σώμασι ψυχαὶ τραχεῖαι καὶ ἐργατικώτεραί εἰσιν.“ „Πῶς γίγνονται αἱ ψυχαὶ συνετα ί , ὦ τεκοῦσα;“ Καὶ ἀπεκρίθη Ἶσις· „Τὸ ὁρατικόν, ὦ τέκνον, περιβέβληται χιτῶσιν. Ὅταν οὖτοι οἱ χιτῶνες πυκνοὶ ὦσι καὶ παχεῖς, ἀμβλυωπεῖ ὁ ὀφθαλμός, ἐὰν δὲ ἀραιοὶ καὶ λεπτοί, τότε ὀξυωπέστατα βλέπει. Οὕτως καὶ ἐπὶ τῆς ψυχῆς. Ἔχει γὰρ καὶ αὕτη ἴδια περιβόλαια ἀσώματα, καθὸ καὶ αὐτὴ ἀσώματός ἐστι. Τὰ δὲ περιβόλαια ταῦτα ἀέρες εἰσίν, οἱ ἐν ἡμῖν. Ὅταν οὖτοι ὦσι λεπτοὶ καὶ ἀραιοὶ καὶ διαυγεῖς, κρὸν οὐ βλέπει, ἀλλὰ ταῦτα ὅσα παρὰ ποσὶ κεῖται.“ Καὶ εἶπεν Ὧρος· „διὰ τίνα οὖν αἰτία ν , ὦ τεκοῦσα, οἱ ἔξω τῆς ἱερωτάτης ἡμῶν χώρας ἄνθρωποι ταῖς διανοίαις οὐκ ὄντως εἰσὶ συνετο ί , ὡς οἱ ἡμέτεροι“; Καὶ εἶπεν Ἶσις· „Ἡ γῆ μέσον τοῦ παντὸς ὑπτία κεῖται [καὶ κεῖται] ὥσπερ ἄνθρωπος οὐρανὸν βλέπουσα, μεμερισμένη δὲ καθ’ ὅσα μέρη ὁ ἄνθρωπος μελίζεται· ἐμβλέπει δ’ οὐρανῷ καθάπερ πατρὶ ἰδίῳ, ὅπως ταῖς ἐκείνου μεταβολαῖς καὶ αὐτὴ τὰ ἴδια συμμεταβάλλῃ. Καὶ πρὸς μὲν τῷ νότῳ τοῦ παντὸς κειμένην ἔχει τὴν κεφαλήν, πρὸς δὲ τῷ ἀπηλιώτῃ 〈τὸν〉 δεξιὸν ὦμον, 〈πρὸς δὲ τῷ λιβὶ τὸν εὐώνυμον〉 , ὑπὸ τὰς ἄρκτους τοὺς πόδας, 〈τὸν μὲν δεξιὸν ὑπὸ τὴν οὐράν,〉 τὸν δὲ εὐώνυμον ὑπὸ τὴν κεφαλὴν τῆς ἄρκτου· τοὺς δὲ μηροὺς ἐν τοῖς μετὰ τὴν ἄρκτον· τὰ δὲ μέσα ἐν τοῖς μέσοις. Καὶ τούτου σημεῖόν ἐστι τὸ τοὺς μὲν νοτιαίους τῶν ἀνθρώπων καὶ ἐπὶ τῇ κορυφῇ οἰκοῦντας εὐκορύφους καὶ καλλίτριχας, τοὺς δὲ ἀπηλιωτικοὺς πρὸς μάχην προχείρους εἶναι καὶ τοξικούς (αἰτία γὰρ τούτων ἡ δεξιὰ χείρ ἐστι)· τοὺς δ’ ἐν τῷ λιβὶ ἀσφαλεῖς εἶναι [καὶ] ὡς ἐπὶ τὸ πλεῖστον ἀριστερομάχους καὶ ὅσον ἄλλοι τῷ δεξιῷ μέρει ἐνεργοῦσιν αὐτοὺς τῷ εὐωνύμῳ προστιθεμένους· τοὺς δὲ ὑπὸ τὴν ἄρκτον λιμήρους εἶναι καὶ εὐπυγοτέρους, ὥστε τῇ τοῦ κάλλους τῶν μερῶν τούτων ὑπερβολῇ καὶ τοὺς ἐνταῦθα ἀνθρώπους καταβαίνειν πρὸς τὴν τῶν ἀρρένων ὁμιλίαν. Πάντα δὲ ταῦτα τὰ μέρη πρὸς τὰ ἄλλα ἀργὰ ὄντα ἀργοτέρους ἤνεγκε καὶ τοὺς ἐπ’ αὐτοῖς ἀνθρώπους. Ἐπειδὴ δὲ ἐν τῷ μέσῳ τῆς γῆς κεῖται ἡ τῶν προγόνων ἡμῶν ἱερωτάτη χώρα, τὸ δὲ μέσον τοῦ ἀνθρωπίνου σώματος μόνης τῆς καρδίας ἐστὶ σηκός, τῆς δὲ ψυχῆς ὁρμητήριόν ἐστι καρδία, παρὰ ταύτην τὴν αἰτίαν, ὦ τέκνον, 〈οἱ〉 ἐνταῦθα ἄνθρωποι τὰ μὲν ἄλλα ἔχουσιν οὐχ ἧττον ὅσα καὶ πάντες, ἐξαίρετον δὲ τῶν πάντων νοεροί εἰσι καὶ σώφρονες, ὡς ἂν ἐπὶ καρδίας γενόμενοι καὶ τραφέντες. Ἄλλως τε ὁ μὲν νότος, ὦ παῖ, δεκτικὸς ὢν τῶν ἐκ τοῦ περιέχοντος συνισταμένων νεφῶν ** (αὐτίκα γοῦν καὶ διὰ τὴν οὕτως αὐτῶν γενομένην ἐκεῖ κατακομιδὴν ἐκεῖθεν ῥεῖν λέγουσιν καὶ τὸν ἡμέτερον πο〈ταμὸν〉 λυομένης ἐκεῖ τῆς πάχνης)· ὅπου δ’ ἂν ἐμπέσῃ νεφέλη, τὸν ἐπικείμενον ἤχλυσεν ἀέρα καὶ τρόπον τινὰ καπνοῦ κατεκόμισε, καπνὸς δὲ ἡ ἀχλὺς οὐ μόνον ὀμμάτων ἐστὶν ἐμπόδιον, ἀλλὰ καὶ νοῦ. Ὁ δὲ ἀπηλιώτης, βούμενος καὶ ἐκθερμαινόμενος, ὁμοίως δὲ καὶ ὁ ἀντικείμενος τούτῳ λὶψ μετέχων τῶν αὐτῶν κατὰ δυσμὰς οὐδεμίαν εἰλικρινῆ ἐπίστασιν ποιοῦνται τῶν παρ’ αὐτοῖς γεννωμένων ἀνθρώπων. Ὁ δὲ βορέας τῇ συμφώνῳ ψυχρίᾳ ἀποπήσσει μετὰ τῶν σωμάτων καὶ τὸν νοῦν τῶν ὑπ’ αὐτὸν ἀνθρώπων. Τὸ δὲ μέσον τούτων εἰλικρινὲς ὂν καὶ ἀτάραχον καὶ αὐτὸ προέχει καὶ τοῖς ἐν αὐτῷ πᾶσι. τῇ γὰρ συνεχεῖ ἀμεριμνίᾳ γεννᾷ καὶ κοσμεῖ καὶ παιδεύει καὶ μόνον τοῖς τοιούτοις ἐρίζει καὶ νικᾷ καὶ ἐπισταμένως τὴν ἰδίαν νίκην ὥσπερ σατράπης ἀγαθὸς τοῖς νενικημένοις καὶ ἐπιδίδωσι.“ „Καὶ τοῦτό μοι, κυρία μῆτερ, ἔκθου· παρὰ ποίαν αἰτίαν ἔτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζώντων ἀνθρώπων ἐν ταῖς μακραῖς νόσοις καὶ ὁ λόγος καὶ αὐτὸς ὁ λογισμὸς καὶ αὐτὴ ἡ ψυχὴ ἔσ θ ’ ὅτε βλάπτετα ι ; “ Καὶ ἀπεκρίθη Ἶσις· „Τῶν ζώντων, ὦ τέκνον, τὰ μὲν ᾠκείωται πρὸς τὸ πῦρ, τὰ δὲ πρὸς τὸ ὕδωρ, τὰ δὲ πρὸς ἀέρα, τὰ δὲ πρὸς γῆν, τὰ δὲ πρὸς τούτων δύο ἢ τρία, τὰ δὲ καὶ πρὸς τὰ ὅλα. Πάλιν αὖ τὰ μὲν ἀπηλλοτρίωται τοῦ πυρός, τὰ δὲ τοῦ ὕδατος, τὰ δὲ τῆς γῆς, τὰ δὲ τοῦ ἀέρος, τὰ δὲ δύο τούτων, τὰ δὲ τριῶν, τὰ δὲ τῶν ὅλων. Οἷον ἀκρὶς μέν, ὦ τέκνον, καὶ πᾶσα μυῖα φεύγει τὸ πῦρ· ἀετὸς καὶ κίρκος καὶ ὅσα ὑψιπετέστερά ἐστιν τῶν ὀρνέων φεύγει τὸ ὕδωρ· ἰχθύες ἀέρα καὶ γῆν· ὄφις τὸν ἀέρα τὸν εἰλικρινῆ ἀποστρέφεται. Φιλοῦσι δὲ τὴν μὲν γῆν οἱ ὄφεις καὶ ὅσα ἕρπει· τὸ δὲ ὕδωρ τὰ νηκτὰ πάντα· τὸν δὲ ἀέρα τὰ περιβολή ἐστι τῶν σωμάτων. Πᾶσα οὖν ψυχὴ ἐν τῷ σώματι οὖσα βαρεῖται καὶ θλίβεται τοῖς τέτταρσι τούτοις. Καὶ γὰρ εἰκός ἐστι καὶ ταύτην τισὶ μὲν τούτων τέρπεσθαι, τισὶ δὲ ἄχθεσθαι. Διὰ τοῦτο οὖν οὐκ ἔχει αὕτη τὴν ἀκροτάτην εὐδαιμονίαν· ἀλλ’ ὡς ἂν φύσει θεία οὖσα, κἂν τούτοις οὖσα μάχεται καὶ νοεῖ, ἀλλ’ οὐχ ὅσα ἂν ἐνόησεν ἀσύνδετος οὖσα σώματι. Ἐὰν μέντοι καὶ ταῦτα σάλον λάβῃ καὶ ταραχὴν ἤτοι ἀπὸ νόσου ἢ φόβου, τότε καὶ αὕτη ὡσπερεὶ βυθῷ ἀνθέρικος ἐπικυμαίνεται καὶ οὐδὲν ἑσταμένον φέρει.“ Περὶ τῆς τῶν ψυχῶν διαγωγῆς μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον · χρησμό ς . Σῶμα λυθὲν ψυχήν τε λιπὸν καὶ 〈γαῖ〉 α γενηθὲν οὐκέτι πως βιότοιο παλίνδρομον οἶδε κέλευθον, ἀλλὰ τὸ μὲν λυθέν ἐστι κενὴ 〈κόνι〉 ς, ἣ δὲ πρὸς αἴθρην σκίδναται, ὁππόθεν ἦλθε, μετήορος εἰς αἰθέρ’ ἁπλοῦν. Ἄλλος δ’ ἐξ ἄλλου γεννώμενος ἠδ’ ἀναβλαστῶν ψυχοῦται γονίμου φύσεως ἀροτρεύμασι καινοῖς. Πλάτωνος ἐκ τοῦ Ἀξιόχου (p. 371 A —372 A). Εἰ δὲ καὶ ἕτερον βούλει λόγον ἀκοῦσαι, ὃν ἐμοὶ ἤγγειλε Γωβρύης, ἀνὴρ μάγος, [ὃς] ἔφη κατὰ τὴν Ξέρξου εἰς Δῆλον, ὅπως τηρήσειε τὴν νῆσον ἄσυλον ἐν ᾗ 〈οἱ〉 δύο θεοὶ ἐγένοντο, ἐκ τινῶν χαλκέων δέλτων, ἃς 〈ἐξ〉 Ὑπερβορέων ἐκόμισαν Ὦπις καὶ Ἑκάεργος, ἐκμεμαθηκέναι [τε] μετὰ τὴν τοῦ σώματος λύσιν τὴν ψυχὴν εἰς τὸν ἄδηλον χωρεῖν τόπον καὶ τὴν ὑπόγειον οἴκησιν, ἐν ᾗ βασίλεια Πλούτωνος οὐχ ἧττω τῶν Διός, ἅτε τῆς γῆς μὲν ἐχούσης τὰ μέσα τοῦ κόσμου, τοῦ πόλου δὲ ὄντος σφαιροειδοῦς· οὗ τὸ μὲν ἕτερον ἡμισφαίριον θεοὶ ἔλαχον οἱ οὐράνιοι, τὸ δὲ ἕτερον οἱ ὑπένερθεν, οἳ μὲν ἀδελφοὶ ὄντες, οἳ δὲ ἀδελφῶν παῖδες. Τὰ δὲ προπύλαια τῆς εἰς Πλούτωνος ὁδοῦ σιδηροῖς τείχεσι καὶ κλεισὶ διωχύρωται. Ταῦτα δὲ ἀνοίξαντα ποταμὸς Ἀχέρων ἐκδέχεται, μεθ’ ὃν Κωκυτός· οὓς χρὴ πορθμευθέντας ἀχθῆναι ἐπὶ Μίνω καὶ Ῥαδάμανθυν ἐν πεδίῳ ᾧ κλῄζεται ἀληθείας. Καθέζονται δὲ δικασταὶ ἀνακρίνοντες τῶν ἀφικνουμένων ἕκαστον, τίνα βίον βεβίωκε καὶ τίσιν ἐπιτηδεύμασιν ἐνῳκίσθη τῷ σώματι. Ψεύσασθαι δὲ ἀμήχανον. Οἷς μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐπέπνευσεν, εἰς τὸν τῶν εὐσεβῶν χῶρον λογίζονται, ἔνθα ἄφθονοι μὲν ὧραι παγκάρπου γονῆς βρύουσι, πηγαὶ δὲ ὑδάτων καθαρῶν, παντοῖοι δὲ λειμῶνες εὐάνθεσι ποικίλοις ἐαριζόμενοι, διατριβαὶ δὲ ποιητῶν καὶ θέατρα φιλοσόφων καὶ ἐγκύκλιοι χοροὶ καὶ μουσικὰ ἀκούσματα, λαῖσιν ἀκτῖσιν ἡλίου ἀνακιρνάμενος· καὶ ἐνταῦθα τοῖς μεμυημένοις ἐστί τις προεδρία· καὶ τὰς ὁσίους ἁγιστείας κἀκεῖ συντελοῦσιν. Πῶς οὖν οὐ σοὶ πρώτῳ μέτεστι τῆς τιμῆς, ὄντι γεννήτῃ τῶν θεῶν; καὶ γὰρ τοὺς περὶ Ἡρακλέα καὶ Διόνυσον κατιόντας εἰς Ἅιδην πρότερον ἐνθάδε λόγος μυηθῆναι καὶ τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσινίας ἐναύσασθαι. Ὅσοις δὲ τὸ ζῆν διὰ κακουργημάτων ἠλάθη, ἄγονται πρὸς Ἐρινύων εἰς ἔρεβος καὶ χάος διὰ ταρτάρου, ἔνθα χῶρος ἀσεβῶν καὶ Δαναίδων ὑδρεῖαι ἀτελεῖς καὶ Ταντάλου δῖψος καὶ Τιτυοῦ σπλάγχνα αἰωνίως ἐσθιόμενα καὶ γεννώμενα καὶ Σισύφου πέτρος ἀνήνυτος· οὗ τὰ τέρματα αὖθις ἄρχεται [τῶν] πόνων· ἔνθα θηρσὶ περιλιχμώμενοι καὶ δασὶν ἐπιμόνως πυρούμενοι Ποινῶν καὶ πᾶσαν αἰκίαν αἰκιζόμενοι ἀιδίοις τιμωρίαις τρύχονται. Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ (p. 10 Patrit., 71, 7 Parthey.). Οὐκ ἤκουσας ἐν τοῖς γενικοῖς, ὅτι ἀπὸ μιᾶς ψυχῆς, τῆς τοῦ παντός, πᾶσαι αἱ ψυχαί εἰσιν αὗται, 〈αἱ〉 ἐν τῷ παντὶ κόσμῳ κυλινδούμεναι, ὥσπερ ἀπονενεμημέναι; Τούτων τοίνυν τῶν ψυχῶν πολλαὶ αἱ μεταβολαί, τῶν μὲν εἰς τὸ εὐτυχέστερον, τῶν δ’ εἰς τὸ ἐναντίον. Αἱ μὲν γὰρ ἀνθρώπους, αἱ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνθρώπιναι ἀρχὴν ἀθανασίας ἴσχουσαι εἰς δαίμονας μεταβάλλουσιν, εἶθ' οὕτως εἰς τὸν τῶν θεῶν χορόν· χοροὶ δὲ δύο θεῶν, ὃ μὲν τῶν πλανωμένων, ὃ δὲ τῶν ἀπλανῶν. Καὶ αὕτη ψυχῆς ἡ τελειοτάτη δόξα. Ψυχὴ δὲ εἰς ἀνθρώπους ἐλθοῦσα ἐὰν κακὴ μείνῃ, οὔποτε τεύξεται ἀθανασίας, παλίσσυτος δὲ τὴν ὁδὸν ὑποστρέψει τὴν ἐπὶ τὰ ἑρπετά. Καὶ αὕτη καταδίκη ψυχῆς κακῆς. Κακία δὲ ψυχῆς ἀγνωσία. Ψυχὴ γὰρ μηδὲν ἐπιγνοῦσα τῶν ὄντων μηδὲ τὴν τούτων φύσιν μηδὲ τὸ ἀγαθόν, τυφλώττουσα δὲ ἐντινάσσεται τοῖς σωματικοῖς πάθεσι καὶ ἡ κακοδαίμων ἀγνοήσασα ἑαυτὴν δουλεύει σώμασιν ἀλλοκότοις καὶ μοχθηροῖς ὥσπερ φορτίον βαστάζουσα τὸ σῶμα καὶ οὐκέτ' ἄρχουσα ἀλλ' ἀρχομένη. Αὕτη κακία ψυχῆς. Τοῦ αὐτοῦ (p. 11 b Patrit., p. 79, 13 Parthey.). Ψυχὴ δὲ ἀνθρωπίνη 〈οὐ〉 πᾶσα μέν, ἡ δ' εὐσεβὴς δαιμονία τίς ἐστι καὶ θεία. Καὶ ἡ τοιαύτη καὶ μετὰ τὸ ἀπαλλαγῆναι τοῦ σώματος τὸν τῆς εὐσεβείας ἀγῶνα ἀγωνισαμένη (ἀγὼν δὲ εὐσεβείας τὸ γνῶναι τὸ θεῖον καὶ μηδένα ἀνθρώπων ἀδικῆσαι), ὅλη νοῦς γίγνεται. Ἡ δὲ ἀσεβὴς ψυχὴ μένει ἐπὶ τῆς ἰδίας οὐσίας ὑφ' ἑαυτῆς κολαζομένη καὶ γήινον σῶμα ζητοῦσα εἰσελθεῖν, [εἰς] ἀνθρώπινον δέ· ἄλλο γὰρ σῶμα οὐ χωρεῖ ἀνθρωπίνην ψυχήν, οὐδὲ θέμις ἐστὶν εἰς ἀλόγου ζῴου σῶμα ψυχὴν ἀνθρωπίνην καταπεσεῖν· θεοῦ γὰρ νόμος οὗτος φυλάσσειν ψυχὴν ἀνθρωπίνην ἀπὸ τῆς τοιαύτης ὕβρεως. Πορφυρίου ἐκ τῶν περὶ Στυγό ς . Τοῦ δὲ Ἀπολλοδώρου ἐν τῷ εἰκοστῷ τοῦ περὶ τῶν θεῶν συγγράμματος, ὅ ἐστι περὶ τοῦ Ἅιδου (fr. 10 ap. Müller. fr. h. Gr. I p. 429; I p. 391 Heyn.), τάδε περὶ τῆς Στυγὸς λεγόμενα εὕρομεν. „Ἀρκτέον γὰρ ἀπὸ τούτων, τῆς τε ἐκ τῶν ὀνομάτων παρεμφάσεως οὐ καταφρονητέον. Ἐκ γὰρ τοιούτων ὁρμώμενοι πιθανῶς καὶ τοὺς ἐν Ἅιδου νομιζομένους ποταμοὺς κατωνομάκασιν. Ἀχέροντα μὲν διὰ τὰ ἄχη, ὡς καὶ Μελανιππίδης ἐν Περσεφόνῃ (fr. 3 p. 1245 3 Bergk.)· καλεῖται δ' ἐν κόλποισι γαίας ἄχεα 〈βροτ〉 οἷσιν προχέων Ἀχέρων. Ἐπεὶ καὶ Λικύμνιός φησι (fr. 1 p. 1251 3 Bergk.)· μυρίαις παγαῖς δακρύων 〈Ἀχέρων〉 ἀχέων τε βρύει, καὶ πάλιν (fr. 2 ibid.)· Ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς λιποῦσα λίμνης ἦλθον ἄρσενας χοὰς Ἀχέροντος ὀξυπλῆγας ἠχούσας γόους, 〈 ἀπαίωνας ἀκτὰς 〉 τὰς τῶν νεκρῶν λέγων παιῶν' οὐκ ἐχούσας, ἄρσενας δὲ 〈 χοὰς 〉 τὰς οὐδὲν ἐκτρεφούσας. θήλεα μὲν γὰρ τὰ καρποφόρα, ἄρσενα δὲ τὰ ἄγονα ἔλεγον τῷ τὸν μὲν τὸ σπέρμα παρέχειν μόνον, τὴν δὲ καὶ ἐκτρέφειν· ὅθεν καὶ 'θῆλυς ἐέρση' (Hom. ε 467) ἡ πολύγονος καὶ τροφίμη. Διαπεραιοῦσθαι δὲ ὑπὸ τῶν ἀπογενομένων τὸν Ἀχέροντά φασιν εἰκότως· ὁ γὰρ μετηλλαχὼς πάντα τὰν τῷ ζῆν ἄχη σχεδὸν ὑπερῆρκε καὶ ἔστιν ἐν ἀπονίᾳ καὶ ἀλυπίᾳ πάσῃ. Γοργύραν δὲ τοῦ Ἀχέροντος γυναῖκα προσανέπλασαν ἀπὸ τοῦ γοργὰ φαίνεσθαι τοῖς πολλοῖς τὰ ἐν Ἅιδου· καθὸ δὴ καὶ αὐτοῦ τούτου τιθήνην ὁ Σώφρων Μορμολύκαν ὠνόμασεν." Ταῦτ' εἰπὼν περὶ τοῦ Ἀχέροντος Ἀπολλόδωρος ἐπάγει περὶ τῆς Στυγὸς αὐταῖς λέξεσι τάδε· „Στύγα δὲ δεινήν τινα καὶ φοβερὰν ὑποστησάμενοι δαίμονα, θεῶν ὅρκον, γεσθαι τὰ ἐν Ἅιδου, ὅρκον δὲ τῶν θεῶν δι' ἐναντιότητα· ἣ μὲν γὰρ τῶν ὄντων τε καὶ ζώντων φθαρτικὴν ἔχει δύναμιν ὅσον ἐφ' ἑαυτῇ, οἳ δὲ τῇ τε προαιρέσει καὶ τῷ τρόπῳ διεστήκασι." Τοσαῦτα περὶ τῆς Στυγὸς εἰπὼν ἐπάγει· „Κωκυτὸν δὲ ποταμὸν ἀνέπλασαν ἀπὸ τοῦ κωκύειν, ὅς ἐστι Στυγὸς καὶ στυγνάσεως ἀπορρώξ. Τοιούτου δέ ἐστι γένους καὶ ὁ Πυριφλεγέθων. Εἴρηται γὰρ ἀπὸ τοῦ πυρὶ φλέγεσθαι τοὺς τελευτῶντας, ὡς Ὅμηρός (λ 218—221) φησι· Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν, ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο δαμνᾷ, ἐπεί κεν πρῶτα λίπῃ λεύκ' ὀστέα θυμός, ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται. Ὑποτίθεται γὰρ τὰς ψυχὰς τοῖς εἰδώλοις τοῖς ἐν τοῖς κατόπτροις φαινομένοις ὁμοίας καὶ τοῖς διὰ τῶν ὑδάτων συνισταμένοις, ἃ καθάπαξ ἡμῖν ἐξείκασται καὶ τὰς κινήσεις μιμεῖται, στερεμνιώδη δ' ὑπόστασιν οὐδεμίαν ἔχει εἰς ἀντίληψιν καὶ ἁφήν· ὅθεν αὐτὰς 'βροτῶν εἴδωλα καμόντων' (λ 476) λέγει." Ἐν ταὐτ ῷ . Ἅπαντες δὲ ὕδωρ ἱστόρησαν τὴν Στύγα ἐπίγειον, φύσιν ἔχον ἀμύνεσθαι τοὺς κατ' αὐτοῦ ψευδῶς ὀμόσαι τολμήσαντας. Διαβόητον μὲν τοίνυν Στυγὸς ὕδωρ κατὰ τὴν Ἀρκαδίαν οἱ ἱστορικοὶ ἀναγεγράφασιν, ὧν ἐστι καὶ Ἡρόδοτος, ὃς ἐν τῇ ἕκτῃ (c. 74) τὰ κατὰ Κλεομένην ἀφηδὴ καὶ ἐς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νώνακριν πόλιν πρόθυμος ἦν τῶν Ἀρκάδων τοὺς προεστῶτας ἀγινεῖν, ἐξορκῶν τὸ Στυγὸς ὕδωρ.“ Καλλίμαχος δ’ ἐν τῷ Περὶ νυμφῶν συγγράμματι (fr. 100 b 2 p. 290 Schneid.) καὶ τὸ ἰδίωμα τοῦ ὕδατος ἀφηγεῖται λέγων οὕτω· „Στὺξ ἐν Νωνακρίνῃ τῆς Ἀρκαδίας ὕδωρ ἐστὶ τὸ διακόπτον πάντα τὰ ἀγγεῖα πλὴν τῶν κερατίνων.“ Ἐν ταὐτ ῷ . Ἐπειδὴ περὶ τοῦ Στυγὸς ὕδατος ὁ λόγος ἐστί, δηλῶσαί σοι βούλομαι καὶ ἑτέραν ἱστορίαν περὶ τοῦ αὐτοῦ. Φίλων γὰρ ὁ Ἡρακλεώτης ἐν τῷ Πρὸς Νύμφιν περὶ θαυμασίων ἐν Σκύθαις φησὶν ὄνους γίγνεσθαι κέρατα ἔχοντας, ταῦτα δὲ τὰ κέρατα δύνασθαι τοῦτο τὸ ὕδωρ διαφέρειν· καὶ Ἀλεξάνδρῳ τῷ Μακεδόνι ἐνεχθῆναι ὑπὸ Σωπάτρου κέρας τοιοῦτο, ὃ καὶ ἀνατεθῆναι ἐν Δελφοῖς, ἐφ’ οὗ καὶ ἐπιγεγράφθαι· Σοὶ τόδ’ Ἀλέξανδρος Μακεδὼν κέρας ἄνθετο, Παιάν, κάνθωνος Σκυθικοῦ, χρῆμά τι δαιμόνιον· ὃ Στυγὸς ἀχράντῳ Λουσηίδος οὐκ ἐδαμάσθη ῥεύματι, βάσταξεν δ’ ὕδατος ἠνορέην. Ἐν ταὐτ ῷ . Περὶ μὲν δὴ τῶν θεῶν εἰρήσθω τοσαῦτα. Λοιπὸν γησάμενοι συνάπτοιμεν ἂν τὸν λόγον ἐπὶ τὴν Στύγα, ἣν ἐπὶ τιμωρίᾳ καθ’ Ὅμηρον τῶν ἁμαρτανόντων τετάχθαι δαιμόνων ὑπειλήφαμεν. Πληρώσας γὰρ δὴ πάντα θεῶν καὶ τοῖς τόποις ἀφορίσας τὰς βασιλείας, πάλιν τῶν ψυχῶν ἃς ἀθανάτους εἶναι νενόμικε τόπους τρεῖς εἶναι ὑπείληφεν· ἕνα μὲν τὸν ἐπίγειον κατὰ τὴν οἰκουμένην ταύτην, καθ’ ἣν τὰ ζῷα καὶ οἱ ἄνθρωποι διατρίβουσιν· ἕτερον δὲ τοῖς δικαίοις ἀφωρισμένον παρὰ τὸν Ὠκεανόν, ὃν Ἠλύσιον καλεῖ πεδίον καὶ ζῶντας ἔτι εἰς αὐτόν φησιν ἐκπέμπεσθαι. δηλοῖ δὲ ἐπὶ τοῦ Μενελάου τὸ τοιοῦτο λέγων (δ 561—568)· Σοὶ δ’ οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε, Ἄργει ἐν ἱπποβότῳ θανέειν καὶ πότμον ἐπισπεῖν· ἀλλά ς’ Ἠλύσιον πεδίον καὶ πείρατα γαίης ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς· τῇ περ ῥηίστη βιοτὴ πέλει ἀνθρώποισιν, οὐ νιφετὸς οὔτ’ ἄρ χειμὼν πολὺς οὔτε ποτ’ ὄμβρος· ἀλλ’ αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν 〈ἀνθρώπουσ〉 . Τούτοις μὲν οὖν καὶ τὰ σώματα παρεῖναι. Τρίτον δὲ τόπον λέγει ὃν ψυχῶν τοῦ σώματος τούτου ἀπολυθεισῶν ὑπείληφεν εἶναι τὸν ἐν Ἅιδου, ταύτας δὲ εὐθὺς μὲν χωρεῖν εἰς Ἅιδου, διατρίβειν δὲ τὰς μὲν τῶν ἀτάφων ἔξω τοῦ χωρεῖν ἐντός, εἰ μὴ εἶεν κολάσεως ἄξιαι· εἰ δὲ μή, κἂν ταφῇ τὰ σώματα, ὁμοίως εἴργεσθαι τοῦ ἔνδον. Τὰς τοίνυν ἐκτὸς μνήμης μετέχειν τῶν αὐταῖς βεβιωμένων· τὰς δὲ τὸν ποταμὸν ὑπερβαινούσας ἐπιλανθάνεσθαι τῶν λογισμῶν τῶν περὶ τὰ ἀνθρώπινα μεθείσας. Διὸ καὶ τῶν ἀδίκων ἐκτὸς εἶναι τὰ κολαστήρια διὰ τοῦ λογισμοῦ καὶ τῆς μνήμης τῶν βεβιωμένων τὰς κολάσεις ἐχόντων. Φαντασίας γὰρ λαμβάνειν τῶν δεινῶν ὅσα ἐν τῷ βίῳ δεδράκασι καὶ κολάζεσθαι, τῆς ἁμαρτίας παρεστώσης αὐτοῖς κατὰ λογισμὸν καὶ τιμωρούσης διὰ τῶν ἀφωρισμένων ταῖς ἁμαρτίαις κολάσεων, ὅθεν τὰς μέν τινας τῶν ψυχῶν λίθους βαστάζειν δοκούσας καὶ ὑπὸ τοῦ θλίβεσθαι τιμωρεῖσθαι, τὰς δὲ δίψης καὶ λιμοῦ αἰωνίου φαντασίας λαμβανούσας, τὰς δ’ ἄλλου τινὸς ὧν ἐν τῷ θνητῷ βίῳ ἐπεφρίκεσαν. Εἶναι γὰρ καὶ κριτὴν ἐκτὸς τοῦ ποταμοῦ διατρίβοντα, Μίνω, ὃν κατ’ ἀξίαν τῶν ἁμαρτημάτων κολάζειν, τοῖς μὲν τὸν ἔξω τοῦ ποταμοῦ τόπον ἀφορίσαντα ἐπὶ τὴν δίκην, τοῖς δὲ περᾶσαι τὸν ποταμὸν ἐπιτρέψαντα, ὃς ἀνάπαυσις ἦν ταῖς ψυχαῖς τῶν ἀνηνύτων κακῶν διὰ τὴν λήθην. Τιμωρεῖσθαι δὲ ἐκτὸς ὄντα καὶ τὸν Ἡρακλέα τοὺς ἀδίκους, φαντασίας φοβερὰς ἐμποιοῦντα τοῦ βάλλοντος καὶ τοξεύοντος, ὥσπερ ζῶν ἠμύνετο, ἀμυνομένου καὶ ἐν Ἅιδου τοὺς ἀξίους κολάσεως· οὐ γὰρ δὴ καὶ οὗτος τῶν κολαζομένων ἐστίν, ὡς Ἀριστάρχῳ ἐδόκει, ἀλλὰ τῶν κολαζόντων. Τῶν δ’ ἐντὸς τοῦ ποταμοῦ καὶ ἀφῃρημένων τὸν λογισμὸν τὸν ἀνθρώπινον μόνος ὁ Τειρεσίας καὶ τοῦτον ἔχει παρόντα· καὶ τούτῳ φρενωθεῖεν τὰ ἀνθρώπινα, ἃ δὴ οἱ ἔξω καὶ μὴ πιόντες τοῦ αἵματος φρονοῦσι, κατάστασιν ἔχοντες τῆς ἐξ αἱμοποσίας τῶν θνητῶν ταῖς ψυχαῖς γιγνομένης γνωρίσεως. Τειρεσίας δὲ ἔχει μὲν λογισμὸν τῶν ἀνθρωπίνων, μαντεύεται δ’ οὐδ’ αὐτὸς περὶ τῶν εἱμαρμένων τοῖς ζῶσι πρὶν πιεῖν τοῦ αἵματος. Οἴεται γὰρ καὶ Ὅμηρος, [καθὰ καὶ πλεῖστοι τῶν μετ’ αὐτὸν ὑπέλαβον], ἐν τῷ αἵματι εἶναι τοῖς ἀνθρώποις τὴν περὶ τὰ θνητὰ φρόνησιν, ἐπεὶ καὶ τῶν μετ’ αὐτὸν πολλοὶ τοῦτο πιστοῦνται δεικνύντες ὅτι καὶ ὑπερθερμανθὲν ὑπὸ πυρετοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ χολῆς ἀφραίνειν ποιεῖ καὶ ἀνοηταίνειν. Ἐμπεδοκλῆς τε οὕτω φαίνεται ὡς ὀργάνου πρὸς σύνεσιν τοῦ αἵματος ὄντος λέγειν (v. 327 —329 Stein.)· αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀντιθορόντος, τῇ τε νόημα μάλιστα κυκλίσκεται ἀνθρώποισιν, αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα. Τῶν δὲ ὑπὲρ τὸν ποταμὸν διατριβουσῶν ψυχῶν πρῶται γυναῖκές εἰσι τεταγμέναι (λέγω δὲ πρώτας 〈τὰσ〉 πλησιαζούσας τοῖς ἔξω), ἐνδοτάτω δὲ αἱ τῶν ἀνδρῶν, καὶ λοιπὸν οἱ περὶ τὸν Ἅιδην θεοί. Διὸ καὶ πρῶται αἱ γυναῖκες πέμπονται, εἶθ' οἱ ἄνδρες καὶ τούτων οἱ τίμιοι ὕστεροι. Τὰ μὲν οὖν κατὰ τοὺς ἀνθρώπους οὕτως αὐτῷ διατέτακται· ὑποθέμενος δὲ τοὺς κοσμικοὺς θεούς, ὧν τὰ γένη διηριθμήκαμεν, οὐ πάντῃ ἀπαθεῖς, 〈θεοὺσ〉 καλέσας κατὰ παλαιὰν συνήθειαν [ὧν τὰ γένη ἐξεθήκαμεν], κατ' αὐτὸν μεγάλου δαίμονος ὄντος, ὃν καλεῖ Δία καὶ οἷον ἄρχοντος τῶν ἄχρις οὐρανοῦ φθανόντων, ὑποθέμενος οὖν τούτους, καθάπερ καὶ λέγονται, ἐμπαθεῖς καὶ διὰ τοῦτο καὶ ἐπιθυμίας μετέχοντας καὶ ὀργῆς καὶ μίσους καὶ ἔχθρας καὶ ὑφ' εἱμαρμένην ὄντας, εἰκότως καὶ ἁμαρτάνειν οἴεται καὶ ψεύδεσθαι καὶ ὀμνύναι καὶ εὐορκεῖν ἢ τοὐναντίον τινὰς πλημμελεῖν εἰς τοὺς ὅρκους. Διὸ καὶ τούτων κολάσεις ὑποτίθεται, οὐ μέντοι ἀναμεμιγμένας τοῖς ἀνθρωπίνοις κολαστηρίοις, ἀλλ' ἅτε μείζονας ὄντας, μείζονος καὶ τιμωρίας πειρᾶσθαι ἀδικήσαντας. Διὸ τῶν μὲν ἀνθρωπίνων ψυχῶν ἐν Ἅιδου τὰ κολαστήρια· τῶν δ' εἰρημένων θεῶν ὑπὸ τὸν Ἅιδην ἐν τῇ Κρόνου ἐπικρατείᾳ κατὰ τὸν Τάρταρον. Διὸ καὶ τῶν Τιτάνων χῶρος οὗτος κέκληται ἀπὸ τῶν ἐν αὐτῷ τίσιν διδόντων θεῶν παρὰ τοῖς τιμωροῖς θεοῖς. Ἔνθα ὑποτίθεται καὶ τὴν Στύγα αὐτήν τε τὴν δαίμονα καὶ τὴν πηγὴν τῶν ὑδάτων αὐτῆς. Τὸν γὰρ Κωκυτὸν καὶ τὸν Τιταρήσιον 〈Στυγὸσ〉 ἀπορροὴν εἶναι, ἀλλ' οὐ πηγήν. Εἶναι δὲ ταύτην ἐπὶ τιμωριῶν ἀπαραίτητον ἔχουσαν δύναμιν καὶ φοβερωτάτην· καὶ ὅλως ὅπερ ἡ Ἐρινὺς ταῖς ἀδίκοις ψυχαῖς, τοῦτο τὴν Στύγα τοῖς ἀδικήσασι δαίμοσιν. Ὅτι δ' οἱ ἄταφοι ἔξω τοῦ ποταμοῦ διατρίβουσιν εἴδωλον φέροντες τοῦ σώματος καὶ τῶν τοῦ ἀναρτημάτων σώματος, δηλοῖ τὰ τοιαῦτα (Ψ 65—67)· καὶ φωνήν· καὶ τοῖα περὶ χροΐ εἵματα ἕστο. Εἶτα λέγει (71)· θάπτε με, ὅττι τάχιστα πύλας Ἀίδαο περήσω. Εἴρηται δέ, ὅτι τὰ ἔνδον τοῦ ποταμοῦ Ἅιδα προσαγορεύει· καλεῖται δὲ καὶ τὰ ἔξω ποταμοῦ, ὡς ἐδείκνυμεν, [ἐν] Ἅιδου δόμοι· ἀλλ' αὕτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄιδος δῶ (Ψ 74). Τί οὖν πάσχουσι, φησίν· 〈τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,〉 οὐδέ μέ πως μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσι (Ψ 72. 73). Ὅτι δὲ ὑπερβᾶσαι τὸν ποταμὸν οὔτε γνωρίζουσι τοὺς ζῶντας, οὔτε ἐξουσίαν ἔχουσι τούτοις ἐπιφαίνεσθαι, ἐὰν μὴ πεμφθῶσιν, ἐπάγει (Ψ 75. 76)· καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι, οὐ γὰρ ἔτ' αὖτις νίσομαι ἐξ Ἀίδαο, ἐπήν με πυρὸς λελάχητε. Φαίνεται οὖν ἡ ἄταφος μεμνημένη τῶν κατὰ τὸν βίον καὶ γλιχομένη αὐτοῦ καὶ διὰ τοῦτ' ὀδυρομένη· οὕτω δεινὴ ἡ κόλασις τοῖς οὕτω δι' αἰῶνος κολαζομένοις· οὕτω καὶ Ἐλπήνωρ (λ 61)· ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος ὕπνος. Καὶ εἰπὼν ἃ πέπονθεν ἀξιοῖ ταφῆναι, ἱκετεύων καὶ Ἐν ταὐτ ῳ̃ . Τὰ μὲν οὖν ἀνθρώπεια καὶ ὅλως τοὺς ζῶντας ἀγνοοῦσιν, ἀλλήλους δὲ ἴσασιν. Εἰ γὰρ μὴ τοῦτο εἶχον, πῶς ἂν ἦλθον σὺν Ἀγαμέμνονι πάντες οἱ ἅμα ἀνῃρημένοι; Πῶς δὲ συνελάλει Πάτροκλος καὶ Αἴας καὶ Ἀντίλοχος; Πῶς δ' εἴργουσι τοὺς ἀτάφους μὴ πέραν τοῦ ποταμοῦ διελθεῖν; Λέγει δὲ (Ψ 72)· τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων. Συναποτέθειται δ' αὐτοῖς ἅμα τῇ μνήμῃ καὶ τὰ γνωρίσματα τῶν περὶ τὸ σῶμα οἰκείων, ὃ καὶ δῆλον ὅτι διὰ φαντασίας τὰ περὶ τὸ σῶμα δείκνυσι. Διὰ γὰρ μνήμης ἡ φαντασία, ὡς Πλάτων ἐν Φιλήβῳ (p. 39 A) φησί· μνήμης δὲ ἀφῃρημένης ἦρται καὶ τὸ φαντασιούμενον, οὗ συνεκλιπόντος καὶ τὰ πάθη τὰ περὶ τὸ σῶμα τῆς ψυχῆς συνεξῆρται. Τούτων δὲ ἐκλελοιπότων καὶ ἡ κόλασις τῆς ψυχῆς πέπαυται, νοερᾶς μόνον οὔσης περὶ αὐτὴν καταστάσεως καὶ παρὰ τῷ φρονίμῳ θεῷ διατριβούσης. Πρὸς δὲ τὰ εἰρημένα ἴσως ἄν τις ἀπορήσειε, πῶς, εἰ μὴ ἀλλήλας ἀγνοοῦσιν, ἔφη (κ 495)· ταὶ δὲ σκιαὶ ἀίσσουσι. Πρὸς ὃ ῥητέον, ὅτι σκιαὶ ἀίσσουσι πρὸς τούτους [πρὸς] βαλλομένη καπνῷ ὡμοίωται· ψυχὴ δ' ἠΰτε καπνὸς ᾤχετο τετριγυῖα (Ψ 100. 101). Εἰ δὴ τοῖς οἰκείοις ἐντυγχάνοντες οὔτε ὁρῶσιν αὐτοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὔτε προσδιαλέγονται, ἀνενέργητοι δέ εἰσιν αἰσθητικὴν ἐνέργειαν, πρὸς αὐτοὺς ἐοικότες εἶεν 〈ἂν〉 ταῖς σκιαῖς· ἡ γοῦν Ἀντίκλεια ἣ δ' ἀκέους' ἧσται σχεδὸν αἵματος, οὐδὲ ὃν υἱὸν ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτιμυθήσασθαι (λ 142. 143). Τὸ δ' αἷμα, ὡς ἔφημεν, ὁλκὸν Ὅμηρος ἡγεῖται τῆς φανταστικῆς καὶ μνημονικῆς ψυχῆς, ἧς καὶ ὁ λογισμός, συναγερμὸς ὢν μνήμης διὰ φαντασιῶν εἰς τὰ καθόλου κρίματα κεφαλαιουμένης. Ἄλλο δ' ἦν τὸ διανοητικόν, εἰς ὃ ἀνατρέχει 〈ἡ〉 ψυχὴ ἔσω τοῦ Ἀχέροντος γενομένη, ὃν Κωκυτὸς πληροῖ καὶ Πυριφλεγέθων, ἐκ πέτρας ῥέοντες καὶ Στυγείων φόβων ἀπόρροιαι (κ 512 sq.). Ἀποστέλλονται δὲ εἰς τοὺς ἀτμοὺς τοῦ αἵματος ὑπὸ Περσεφόνης· ἀδύνατον γὰρ ἐλθεῖν χωρὶς τοῦ πεμφθῆναι πρὸς τῶν ἐφεστώτων. Διὸ καὶ ἐπεύχεται ἰφθίμῳ τ' Ἀίδῃ καὶ ἐπαινῇ Περσεφονείῃ (λ 47). Ἡ δὲ ἀποστέλλει πρώτας τὰς γυναῖκας, ὡς ἂν πλησίον χομεν, διὰ τὸ μὴ νῦν περὶ τούτων εἶναι τὴν πρόθεσιν, χάριν δὲ καὶ τῆς κατὰ τὴν Στύγα ἐξηγήσεως ἀναγκαίως παρειλῆφθαι. Πορφυρίου ἐκ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν (p. 76 Holsten.). Ὥσπερ τὸ ἐπὶ γῆς εἶναι ψυχῇ ἐστι, οὐ τὸ γῆς ἐπιβαίνειν ὡς τὰ σώματα, τὸ δὲ προεστάναι σώματος ὃ γῆς ἐπιβαίνει, οὕτω καὶ ἐν Ἅιδου εἶναί ἐστι ψυχῇ, ὅταν προεστήκῃ εἰδώλου φύσιν μὲν ἔχοντος εἶναι ἐν τόπῳ, σκοτει 〈νὴν〉 δὲ τὴν ὑπόστασιν κεκτημένου· ὥστ' ἐπεὶ ὁ Ἅιδης ὑπόγειός ἐστι τόπος σκοτεινός, ἡ ψυχὴ καίπερ οὐκ ἀποσπωμένη τοῦ ὄντος ἐν Ἅιδου γίγνεται ἐφελκομένη τὸ εἴδωλον. Ἐξελθούσῃ γὰρ αὐτῇ τοῦ στερεοῦ σώματος τὸ πνεῦμα συνομαρτεῖ, ὃ ἐκ τῶν σφαιρῶν συνελέξατο. Ἐκ δὲ τῆς πρὸς τὸ σῶμα προσπαθείας τὸν λόγον ἔχουσα τὸν μερικὸν προβεβλημένον, καθ' ὃν σχέσιν ἔσχε πρὸς τὸ ποιὸν σῶμα ἐν τῷ βιοῦν, ἐκ τῆς προσπαθείας ἐναπομόργνυται τύπος τῆς φαντασίας εἰς τὸ πνεῦμα καὶ οὕτως ἐφέλκεται τὸ εἴδωλον. Ἐν Ἅιδου δὲ λέγεται, ὅτι τῆς ἀειδοῦς φύσεως ἐτύγχανε τὸ πνεῦμα καὶ σκοτεινῆς. Ἐπεὶ δὲ διήκει τὸ βαρὺ πνεῦμα καὶ ἔνυγρον ἄχρι τῶν ὑπογείων τόπων, οὕτω καὶ αὕτη λέγεται χωρεῖν ὑπὸ γῆν· οὐχ ὅτι ἡ ἄυλος οὐσία μεταβαίνει τόπους καὶ ἐν τόποις γίγνεται, ἀλλ' ὅτι τῶν πεφυκότων σωμάτων τόπους μεταβαίνειν καὶ εἰληχέναι τόπου σχέσεις ἀναδέχεται, δεχομένων αὐτὴν κατὰ τὰς ἐπιτηδειότητας τῶν τοιούτων σωμάτων ἐκ τῆς κατ' αὐτὴν ποιᾶς διαθέσεως· ὡς γὰρ ἂν διατεθῇ, εὑρίσκει σῶμα τάξει καὶ τοῖς οἰκείοις διωρισμένον. Διὸ καθαρώτερον μὲν διακειμένῃ σύμφυτον τὸ ἐγγὺς τοῦ ἀύλου σῶμα, ὅπερ ἐστὶ τὸ αἰθέριον· προελθούσῃ δὲ ἐκ λόγου εἰς φαντασίας προβολὴν σύμφυτον τὸ ἡλιοειδές· θηλυνθείσῃ δὲ καὶ παθαινομένῃ πρὸς τὸ εἶδος παράκειται τὸ σεληνοειδές· πεσούσης δὲ εἰς σώματα, ὅταν κατὰ τὸ αὐτῆς ἄμορφον στῇ εἶδος ἐξ ὑγρῶν ἀναθυμιάσεων συνεστηκότα, ἄγνοια ἕπεται τοῦ ὄντος τελεία καὶ σκότωσις καὶ νηπιότης. Καὶ μὴν καὶ ἐν τῇ ἐξόδῳ ἔτι κατὰ τὴν δίυγρον ἀναθυμίασιν τὸ πνεῦμα ἔχουσα τεθολωμένον, σκιὰν ἐφέλκεται καὶ βαρεῖται, χωρεῖν σπεύδοντος τοῦ τοιούτου πνεύματος εἰς μυχὸν τῆς γῆς φύσει, ἂν μὴ ἄλλη τις αὐτὸ αἰτία ἀνθέλκῃ. Ὥσπερ οὖν τὸ γεῶδες ὄστρεον περικειμένῃ ἀνάγκη ἐπὶ γῆς ἐνίσχεσθαι, οὕτω καὶ ὑγρὸν πνεῦμα ἐφελκομένῃ εἴδωλον περικεῖσθαι ἀνάγκη. Ὑγρὸν δὲ ἐφέλκεται, ὅταν συνεχῶς μελετήσῃ ὁμιλεῖν τῇ φύσει, ἧς ἐν ὑγρῷ τὸ ἔργον καὶ ὑπόγειον μᾶλλον. Ὅταν δὲ μελετήσῃ ἀφίστασθαι φύσεως, αὐγὴ ξηρὰ γίγνεται, ἄσκιος καὶ ἀνέφελος. Ὑγρότης γὰρ ἐν ἀέρι νέφος συνίστησι· ξηρότης δὲ ἀπὸ τῆς ἀτμίδος αὐγὴν ξηρὰν ὑφίστησιν. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 63 B. C). Ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δέ, εὖ ἴστε, παρ' ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς· καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην· τὸ μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. Ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλὰ εὐελπίς εἰμι, 〈εἶναί τι〉 τοῖς τετελευτηκόσι· καί, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς. Ἐν ταὐτῷ (p. 80 D —82 C). Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ

φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα τῇ ἐμῇ ψυχῇ ἰτέον, αὖτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; Πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης τε καὶ Σιμμία, ἀλλὰ πολλῷ μᾶλλον ὧδε ἔχει· ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος συνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτὸ καὶ συνηθροισμένη αὐτὴ εἰς αὑτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο, τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως· ἢ οὐ τοῦτ' ἂν εἴη ἡ μελέτη θανάτου; — Παντάπασί γε. — Οὐκοῦν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον, οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ, ὥσπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸ λοιπὸν μετὰ θεῶν διάγουσα; Οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; — Οὕτω νὴ Δι', ἔφη ὁ Κέβης. — Ἐὰν δέ γε, οἶμαι, μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα καὶ τοῦτο θεραπεύουσα καὶ ἐρῶσα καὶ γεγοητευμένη ὑπ' αὐτοῦ ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς ἀλλ' ἢ τὸ σωματοειδές, οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι καὶ πίοι καὶ φάγοι καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο, τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀειδές, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν, τοῦτο δὲ εἰθισμένη μισεῖν τε καὶ τρέμειν καὶ φεύγειν, οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; — Οὐδ' ὁπωστιοῦν, ἔφη. — Ἀλλὰ διειλημμένην γε οἶμαι ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ συνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην ἐνεποίησε ξύμφυτον; — Πάνυ γε. — Ἐμβριθὲς δέ γε, ὦ φίλε, τοῦτο οἴεσθαι χρὴ εἶναι καὶ βαρὺ καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀειδοῦς τε καὶ Ἅιδου, ὥσπερ λέγεται, περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους κυλινδουμένη, περὶ ἃ δὴ καὶ ὤφθη [καὶ] ἄττα ψυχῶν σκιοειδῆ φάσματα, οἷα περιέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι· διὸ καὶ ὁρῶνται. — Εἰκός γε, ὦ Σώκρατες. — Εἰκὸς μέντοι [γε], ὦ Κέβης· καὶ οὔ τί γε τὰς τῶν ἀγαθῶν ταύτας εἶναι, ἀλλὰ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα. Ἐνδοῦνται δέ, ὥσπερ εἰκός, εἰς τοιαῦτα ἤθη ὁποῖα ἄττ' 〈ἂν〉 καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. — Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; — Οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβουμένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι· ἢ οὐκ οἴει; — Πάνυ μὲν οὖν εἰκὸς λέγεις. — Τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας καὶ ἅρπαγας πάσας προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη· ἢ ποῖ ἂν ἄλλοσέ φαμεν τὰς τοιαύτας ἰέναι; — Ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. — Οὐκοῦν, ἦ δ' ὅς, δῆλα δὴ καὶ τὰ ἄλλα, οἷ ἂν ἕκαστα ἴοι κατὰ τὰς [τῶν] αὐτῶν ὁμοιότητας τῆς μελέτης; — Δῆλον δή, ἔφη· πῶς δ' οὔ; — Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσὶ καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες ἣν δὴ καλοῦσι σωφροσύνην καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν ἄνευ φιλοσοφίας τε καὶ νοῦ; — Πῇ δὴ εὐδαιμονέστατοι; — Ὅτι τούτους εἰκός ἐστιν εἰς τὸ τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικὸν καὶ ἥμερον γένος, ἤ που μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀνθρώπινον φιλομαθεῖ. Ἐν ταὐτῷ (p. 107 B —114 D). Ἀλλὰ τό γ' ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται, οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. Εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἔρμαιον 〈ἂν〉 ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι καὶ τῆς αὐτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δέ, ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς βελτίστην τε καὶ

φρονιμωτάτην γενέσθαι. Οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. Λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων ὥσπερ ζῶντα εἰλήχει, οὕτως ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἷ δεῖ τοὺς συλλεγέντας διαδικασαμένους εἰς Ἅιδου πορεύεσθαι μετὰ ἡγεμόνος ἐκείνου ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι· τυχόντας δὲ ἐκεῖ ὧν δεῖ τυχεῖν καὶ μείναντας ὃν χρὴ χρόνον ἄλλος δεῦρο πάλιν ἡγεμὼν κομίζει ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. Ἅιδου φέρειν, ἢ δ’ οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. Οὐδὲν γὰρ ἂν ἡγεμόνων ἔδει· οὐ γάρ πού τις ἂν ἁμάρτοι οὐδαμόσε μιᾶς οὔσης ὁδοῦ. Νῦν δὲ ἔοικε σχίσεις τε καὶ περιόδους πολλὰς ἔχειν· ἀπὸ τῶν θυσιῶν τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος λέγω. Ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί τε καὶ οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δ’ ἐπιθυμητικῶς τοῦ σώματος ἔχουσα, ὅπερ ἐν τῷ ἔμπροσθεν εἶπον, περὶ ἐκεῖνο πολὺν χρόνον ἐπτοημένη καὶ περὶ τὸν ὁρατὸν τόπον, ἄλλα ἀντιτείνασα καὶ πολλὰ παθοῦσα, βίᾳ καὶ μόλις ὑπὸ τοῦ προστεταγμένου δαίμονος οἴχεται ἀγομένη. Ἀφικομένην δὲ ὅθι περ ἄλλαι, τὴν μὲν ἀκάθαρτον καί τι πεποιηκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην ἢ ἄλλ’ ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑποκρύπτεται καὶ οὔτε ξυνέμπορος οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι· αὕτη δὲ πλανᾶται ἐν πάσῃ ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται, ὧν ἐλθόντων ὑπ’ ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν· ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα καὶ ξυνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα ᾤκησε τὸν αὐτῇ ἑκάστη τόπον προσήκοντα. Εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι· καὶ αὕτη οὔτε οἵα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπὸ [δέ] τινος πέπεισμαι. — Καὶ ὁ Σιμμίας, Πῶς ταῦτα, ἔφη, λέγεις, ὦ Σώκρατες; περὶ γάρ τοι γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα, οὐ μέντοι ταῦτα ἅ σε πείθει· ἡδέως οὖν 〈ἂν〉 ἀκούσαιμι. — Ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ Γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἅ τε ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην, καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ’ ἂν οἷός τε εἴην, ἅμα δέ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμός, ὦ Σιμμία, τῷ μήκει οὐκ ἐξαρκεῖν. Τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς οὐδέν με λέγειν κωλύει. — Ἀλλ’, ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρκεῖ. — Πέπεισμαι τοίνυν, ἦ δ’ ὅς, ἐγώ, ὡς πρῶτον μὲν γῆ ἐστιν ἐν μέσῳ τοῦ οὐρανοῦ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος πρὸς τὸ μὴ πεσεῖν μήτε ἄλλης ἀνάγκης μηδεμιᾶς τοιαύτης, ἀλλ’ ἱκανὴν εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ αὐτῷ πάντῃ καὶ τῆς γῆς αὐτῆς τὴν 〈ἰσορροπίαν〉· ἰσόρροπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν οὐχ ἕξει μᾶλλον οὐδ’ ἧττον οὐδαμόσε κλιθῆναι, ὁμοίως δ’ ἔχον ἀκλινὲς μένει. Πρῶτον μέν, ἦ δ’ ὅς, τοῦτο πέπεισμαι. — Καὶ ὀρθῶς γε, ἔφη ὁ Σιμμίας. — Ἔτι τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐτό· καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος ἐν μικρῷ τινι μορίῳ, ὥσπερ ἐπὶ τέλμα μύρμηκας ἢ βατράχους, περὶ τὴν θάλατταν οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖς τοιούτοις τόποις οἰκεῖν. Εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη, εἰς ἃ ξυνερρυηκέναι τό τε ὕδωρ καὶ τὴν ὁμίχλην καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπέρ ἐστι τὰ ἄστρα, ρεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. Ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς λεληθέναι καὶ οἴεσθαι ἄνω ἐπὶ γῆς οἰκεῖν, ὥσπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πελάγους οἰκῶν οἴοιτο ἐπὶ τῆς θαλάττης οἰκεῖν καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ ἄλλα ἄστρα τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι, διὰ δὲ βραδυτῆτά τε καὶ ἀσθένειαν μηδεπώποτε ἐπὶ τὰ ἄκρα τῆς θαλάττης ἀφιγμένος μηδὲ ἑωρακὼς εἴη, ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσον καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσι, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑωρακότος. Ταὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι· οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς

οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα χωροῦντα· τὸ δὲ εἶναι ταὐτόν, ὑπ' ἀσθενείας καὶ βραδυτῆτος οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον ἀέρα· ἐπεί, εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν ἀνακύψαντα, ὥσπερ [οἱ] ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν· καί, εἰ ἡ φύσις ἱκανὴ ἦν ἀνασχέσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθινὸν φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. Ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε διεφθαρμένα ἐστὶ καὶ καταβεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης· καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι, σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχ῾ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. — Ἀλλὰ μήν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν. — Λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὕτη ἰδεῖν, ἥ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασι διειλημμένη, ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα, οἷς δὴ οἱ γραφεῖς καταχρῶνται· ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ ὅση λευκὴ γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων συγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων 〈καὶ〉 καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. Καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς ὕδατός τε καὶ ἀέρος ἔκπλεα ὄντα, χρώματός τι εἶδος παρὰ τὸ εἶδος παρέχεται στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ, ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. Ἐν δὲ τοιαύτῃ οὔσῃ τοιαῦτα ἀνάλογον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τὴν τελειότητα καὶ τὴν διαφάνειαν καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι μένοι οὔτε διεφθαρμένοι ὥσπερ οἱ ἐνθάδε ὑπὸ σηπεδόνος καὶ ἅλμης ὑπὸ τῶν δεῦρο ξυνερρυηκότων, 〈ἃ〉 καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. Τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ καὶ τοῖς ἄλλοις αὖ τοῖς τοιούτοις. Ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, ὄντα πολλὰ πλήθει καὶ μεγάλα καὶ πολλαχοῦ τῆς γῆς ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων. Ζῷα δ' ἐπ' αὐτῆς εἶναι ἄλλα τε πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογαίᾳ οἰκοῦντας, τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν, τοὺς δὲ ἐν νήσοις ἃς περιρρεῖν [πρὸς] τὸν ἀέρα πρὸς τῇ ἠπείρῳ οὔσας, καὶ ἑνὶ λόγῳ, ὅπερ ἡμῖν τὸ ὕδωρ καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα, ὃ δὲ ἡμῖν ἀήρ, ἐκείνοις τὸν αἰθέρα. Τὰς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι καὶ χρόνον τε ζῆν πολὺ πλείω τῶν ἐνθάδε, καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει, ᾗπερ ἀήρ τε ὕδατος ἀφέστηκε καὶ αἰθὴρ ἀέρος πρὸς καθαρότητα. Καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι, ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν καὶ τοιαύτας συνουσίας γίγνεσθαι αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι πεφυκέναι καὶ τὰ περὶ τὴν γῆν· τόπους δὲ ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς κύκλῳ περὶ ὅλην πολλούς, τοὺς μὲν βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν, τοὺς δὲ βαθυτέρους ὄντας τὸ χάσμα αὐτοὺς ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου, ἔστι δ' οὓς καὶ βραχυτέρους τῷ βάθει τοῦ ἐνθάδε εἶναι καὶ πλατυτέρους· τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ, καὶ 〈κα〉 τὰ στενώτερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν· ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους ὥσπερ εἰς κρατῆρας, καὶ ἀεννάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν· πολὺ δὲ πῦρ καὶ πυρὸς μεγάλους ποταμούς, πολλὰ δὲ ὑγροῦ πηλοῦ καὶ καθαρωτέρου καὶ βορβορωδεστέρου, ὥσπερ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ, ὧν δὴ καὶ ἑκάστους τόπους πληροῦσθαι, ὡς ἂν

ἑκάστοις τύχῃ ἑκάστοτε περιρροὴ γιγνομένη. Ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω ὥσπερ αἰώραν τινὰ ἐνοῦσαν ἐν τῇ γῇ· ἔστι δὲ αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά. Ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει ὂν καὶ διαμπερὲς τετρημένον δι' ὅλης τῆς γῆς, τοῦτο ὅπερ Ὅμηρος εἶπε, λέγων αὐτό (Θ 14)· τῆλε μάλ' ἦχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον· ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. Εἰς γὰρ τοῦτο τὸ χάσμα συρρέουσί τε πάντες οἱ ποταμοὶ καὶ ἐκ τούτου πάλιν πάντες ἐκρέουσι· γίγνονται δ' ἕκαστοι τοιοῦτοι δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. Ἡ δὲ αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰσρεῖν πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο. Αἰωρεῖται δὲ καὶ κυμαίνει ἄνω καὶ κάτω, καὶ ὁ ἀὴρ καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸν ταὐτὸν ποιεῖ· ξυνέπεται γὰρ αὐτὸ καὶ ὅταν εἰς τὸ ἐπέκεινα τῆς γῆς ὁρμήσῃ καὶ ὅταν εἰς τὸ ἐπὶ τάδε, καὶ ὥσπερ ἐπὶ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ τὸ πνεῦμα ῥέον, 〈οὕτω καὶ ἐκεῖ ξυναιωρουμένων τῷ ὑγρῷ τὸ πνεῦμα〉 δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους παρέχεται καὶ εἰσιὸν καὶ ἐξιόν. Ὅταν δὲ οὖν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς κατ' ἐκεῖνα τὰ ῥεύματα τῆς γῆς εἰσρεῖ καὶ πληροῖ αὐτὰ ὥσπερ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν ἀπολίπῃ, δεῦρο δὴ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις, τὰ δὲ πληρωθέντα ῥεῖ διὰ τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα, εἰς οὓς ἑκάστοις ὁδοποιεῖται, θάλαττάν τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ· ἐντεῦθεν δὲ πάλιν κατὰ τῆς γῆς, τὰ μὲν μακροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους καὶ βραχυτέρους, πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει, τὰ μὲν πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον· πάντα δὲ ὑποκάτω εἰσρεῖ τῆς ἐκροῆς. Καὶ ἔνια μὲν καταντικρὺ ᾗ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος· ἔστι δὲ ἃ παντάπασι κύκλῳ περιελθόντα, ἢ ἅπαξ ἢ καὶ εἰς τὸ δυνατὸν κάτω καθέντα πάλιν ἐμβάλλει. Δυνατὸν δ' ἐστὶν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ' οὔ· ἄναντες γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος. Τὰ μὲν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τυγχάνει δὲ ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον τὰ περὶ κύκλῳ ὁ καλούμενος Ὠκεανός ἐστι, τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων Ἀχέρων, ὃς δι' ἐρήμων τε τόπων ῥεῖ ἄλλων καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων εἰς τὴν λίμνην ἀφικνεῖται τὴν Ἀχερουσιάδα οὗ αἱ τῶν τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται καί τινας εἱμαρμένους 〈χρόνους〉 μείνασαι, αἱ μὲν μακροτέρους, 〈αἱ δὲ βραχυτέρους,〉 πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζῴων γενέσεις. Τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν πυρὶ πολλῷ καιόμενον καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ· ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς καὶ πηλώδης, περιελιττόμενος δὲ τῇ γῇ ἄλλοσέ τε ἀφικνεῖται καὶ παρ' ἔσχατα τῆς Ἀχερουσίας λίμνης, οὐ συμμιγνύμενος τῷ ὕδατι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου· οὗτος δ' ἐστὶν ὃν ἐπονομάζουσι Πυριφλεγέθοντα, οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν ὅπῃ ἂν τύχωσι τῆς γῆς. Τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶτον δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα ἔχοντα ὅλον οἷον ὁ κυανός, ὃν δὴ ἐπονομάζουσι Στύγιον, καὶ τὴν λίμνην ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα· ὁ δ' ἐμπεσὼν ἐνταῦθα καὶ δεινὰς δυνάμεις λαβὼν ἐν τῷ ὕδατι, δὺς κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι καὶ ἀπαντᾷ ἐν τῇ Ἀχερουσίᾳ λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελθὼν ἐμβάλλει εἰς τὸν Τάρταρον ἐναντίως τῷ Πυριφλεγέθοντι· ὄνομα δὲ τούτῳ ἐστίν, ὡς οἱ ποιηταὶ λέγουσι, Κωκυτός. Τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως βιώσαντες καὶ οἱ μή. Καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην, καὶ ἐκεῖ οἰκοῦσί τε καὶ καθαιρόμενοι τῶν τε

ἀδικημάτων διδόντες δίκας ἀπολύονται, εἴ τίς τι ἠδίκησε, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ δ’ ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξεργασάμενοι, ἢ ἄλλ’ ὅσα τοιαῦτα τυγχάνει ὄντα, τούτους δὲ 〈ἡ〉 προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔποτε ἐκβαίνουσιν. Οἳ δ’ ἂν ἰάσιμα μὲν μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ’ ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν Τάρταρον Πυριφλεγέθοντα· ἐπειδὰν δὲ φερόμενοι γένωνται κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσιν, οἱ μὲν οὓς ἀπέκτειναν, οἱ δὲ οὓς ὕβρισαν, καλέσαντες δὲ ἱκετεύουσι καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην καὶ δέξασθαι, καὶ ἐὰν μὲν πείσωσιν, ἀποβαίνουσι καὶ λήγουσι τῶν κακῶν, εἰ δὲ μή, φέρονται αὖθις εἰς τὸν Τάρταρον καὶ ἐκεῖθεν πάλιν εἰς τοὺς ποταμούς· καὶ ταῦτα πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς ἠδίκησαν. αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. Οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι. Ἀλλὰ τούτων μὲν χρὴ ἕνεκα ὧν διεληλύθαμεν, ὦ Σιμμία, πᾶν ποιεῖν, ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον καὶ ἡ ἐλπὶς μεγάλη. Τὸ μὲν οὖν ταῦτα διισχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι ἢ ταῦτά ἐστιν ἢ τοιαῦτ’ ἄττα περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατος ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν μοι δοκεῖ καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως ἔχειν· καλὸς γὰρ ὁ Πορφυρίο υ . Ἡ δὲ τῆς ψυχῆς διαμονὴ καὶ ἀιδιότης ἐν τοῖς μάλιστα τῶν Πυθαγόρου δογμάτων γνώριμόν ἐστι πᾶσι καὶ περιβόητον, ὅνγε πρὸς τὸν εἰπόντα δόξαι κατὰ τοὺς ὕπνους ἰδεῖν τεθνεῶτα τὸν πατέρα, φασὶν εἰπεῖν, “οὐκ ἔδοξας, ἀλλ’ εἶδες”· τῶν δὲ παραγγελμάτων ἓν εἶναι ‘συνδεῖν ὁσημέραι τὸ στρωματόδεσμον‘, ὡς ἀποδημίαν οὖσαν τὴν τελευτὴν καὶ δεῖν ἀεὶ συνεσκευασμένους ἡμᾶς τὸν καιρὸν περιμένειν τῆς ἐκεῖ 〈σε〉 πορείας· τὸν δὲ ἀναιροῦντα δικαίως πρὸς τὸ ἀποθνῆσκον τοῦτον τὸν λόγον ἔχειν, ὃν ὁ γεννῶν ἔχει πρὸς τὸ γεννώμενον. Ἑκατέραν γὰρ εἶναι τῆς ψυχῆς μεταβολήν, τὴν μὲν εἰς σῶμα γένεσιν, τὴν δὲ ἀπὸ σώματος θάνατον προσαγορευομένην. Τοῦ αὐτο ῦ . Τὰ δὲ παρ’ Ὁμήρου περὶ τῆς Κίρκης λεγόμενα θαυμαστὴν ἔχει τῶν περὶ ψυχὴν θεωρίαν. Λέγεται γὰρ οὕτως (κ 239. 240)· οἳ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε καὶ δέμας· αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ. Ἔστι τοίνυν ὁ μῦθος αἴνιγμα τῶν περὶ ψυχῆς ὑπό τε Πυθαγόρου λεγομένων καὶ Πλάτωνο ς , ὡς ἄφθαρτος οὖσα τὴν φύσιν καὶ ἀίδιος, οὔ τι μὴν ἀπαθὴς οὐδὲ ἀμετάβλητος, ἐν ταῖς λεγομέναις φθοραῖς καὶ τελευταῖς μεταβολὴν ἴσχει καὶ μετακόσμησιν εἰς ἕτερα σωμάτων εἴδη, καθ’ ἡδονὴν διώκουσα τὸ πρόσφορον καὶ οἰκεῖον ὁμοιότητι τῶν καλῶν ἡ ψυχὴ καὶ δυσχεραίνουσα τὰς αἰσχρὰς καὶ παρανόμους ἡδονὰς δύνηται κρατεῖν καὶ προσέχειν αὐτῇ καὶ φυλάττειν, μὴ λάθῃ θηρίον γενομένη καὶ στέρξασα σώματος οὐκ εὐφυοῦς οὐδὲ καθαροῦ πρὸς ἀρετήν, φύσιν ἄμουσον καὶ ἄλογον καὶ τὸ ἐπιθυμοῦν καὶ θυμούμενον μᾶλλον ἢ τὸ φρόνιμον αὔξοντος καὶ τρέφοντος. Αὐτῆς γὰρ τῆς μετακοσμήσεως εἱμαρμένη καὶ φύσις ὑπὸ Ἐμπεδοκλέους (v. 402 Stein.) δαίμων ἀνηγόρευται, ‘σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι,‘ καὶ μεταμπίσχουσα τὰς ψυχάς. Ὅμηρος δὲ τὴν ἐν κύκλῳ περίοδον καὶ περιφορὰν παλιγγενεσίας Κίρκην προσηγόρευκεν, Ἡλίου παῖδα τοῦ πᾶσαν φθορὰν γενέσει καὶ γένεσιν αὖ πάλιν φθορᾷ συνάπτοντος ἀεὶ καὶ συνείροντος. Αἰαίη δὲ νῆσος ἡ δεχομένη τὸν ἀποθνήσκοντα μοῖρα καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χώρα τοῦ περιέχοντος, εἰς ἣν ἐμπεσοῦσαι πρῶτον αἱ ψυχαὶ πλανῶνται καὶ ξενοπαθοῦσι καὶ ὀλοφύρονται καὶ οὐκ ἴσασιν, ‘ὅπῃ ζόφος, οὐδ’ ὅπῃ ἠέλιος φαεσίμβροτος εἶς’ ὑπὸ γαῖαν‘ (κ 190. 191). Ποθοῦσαι δὲ καθ’ ἡδονὰς τὴν συνήθη καὶ σύντροφον ἐν σαρκὶ καὶ μετὰ σαρκὸς δίαιταν ἐμπίπτουσιν αὖθις εἰς τὸν κυκεῶνα τῆς γενέσεως μιγνύσης εἰς τὸ αὐτὸ καὶ κυκώσης ὡς ἀληθῶς ἀίδια καὶ θνητὰ καὶ φρόνιμα καὶ παθητὰ καὶ πολλῆς μὲν εὐτυχίας αἱ ψυχαὶ δέονται πολλῆς δὲ σωφροσύνης, ὅπως μὴ τοῖς κακίστοις ἐπισπόμεναι καὶ συνενδοῦσαι μέρεσιν ἢ πάθεσιν αὐτῶν κακοδαίμονα καὶ θηριώδη βίον ἀμείψωσιν. Ἡ γὰρ λεγομένη καὶ νομιζομένη τῶν ἐν Ἅιδου τρίοδος ἐνταῦθά που τέτακται περὶ τὰ τῆς ψυχῆς σχιζόμενα μέρη, τὸ λογιστικὸν καὶ θυμοειδὲς καὶ ἐπιθυμητικόν, ὧν ἕκαστον ἀρχὴν ἐξ ἑαυτοῦ καὶ ῥοπὴν ἐπὶ τὸν οἰκεῖον βίον ἐνδίδωσι. Καὶ οὐκέτι ταῦτα μῦθος οὐδὲ ποίησις, ἀλλὰ ἀλήθεια καὶ φυσικὸς λόγος. Ὧν μὲν γὰρ ἐν τῇ μεταβολῇ καὶ γενέσει τὸ ἐπιθυμητικὸν ἐξανθοῦν ἐπικρατεῖ καὶ δυναστεύει, τούτοις εἰς νωθῆ [καὶ] σώματα καὶ βίους θολεροὺς καὶ ἀκαθάρτους ὑπὸ φιληδονίας καὶ γαστριμαργίας φησὶ γενέσθαι τὴν μεταβολήν. Ὅταν δὲ φιλονεικίαις σκληραῖς καὶ φονικαῖς ὠμότησιν ἔκ τινος διαφορᾶς ἢ δυσμενείας ἐξηγριωμένον ἔχουσα παντάπασιν ἡ ψυχὴ τὸ θυμοειδὲς εἰς δευτέραν γένεσιν ἀφίκηται, πλήρης οὖσα προσφάτου πικρίας καὶ βαρυφρόνης, ἔρριψεν ἑαυτὴν εἰς λύκου φύσιν ἢ λέοντος, ὥσπερ ὄργανον ἀμυντικὸν τὸ σῶμα τῷ κρατοῦντι προϊεμένη πάθει καὶ περιαρμόσασα. Διὸ δεῖ μάλιστα περὶ τὸν θάνατον, ὥσπερ ἐν τελετῇ, καθαρεύοντα παντὸς ἀπέχειν πάθους φαύλου τὴν ψυχὴν καὶ πᾶσαν ἐπιθυμίαν χαλεπὴν κοιμήσαντα καὶ φθόνους καὶ δυσμενείας καὶ ὀργὰς ἀπωτάτω τιθέμενον τοῦ φρονοῦντος ἐκβαίνειν τοῦ σώματος. Οὕτως ὁ χρυσόρραπις ἐναργῶς τὸ καλόν, ἢ παντάπασιν εἴργει καὶ ἀπέχει τοῦ κυκεῶνος, ἢ πιοῦσαν ἐν ἀνθρωπίνῳ βίῳ καὶ ἧθει διαφυλάττει πλεῖστον χρόνον, ὡς ἀνυστόν ἐστι. Τοῦ αὐτο ῦ . Πάλιν αἰνιττόμενος, ὅτι ταῖς τῶν εὐσεβῶς βεβιωκότων ψυχαῖς μετὰ τὴν τελευτὴν οἰκεῖός ἐστι τόπος ὁ περὶ τὴν σελήνην, ὑπεδήλωσεν εἰπών (δ 563. 564) ἀλλά ς’ ἐς ἠλύσιον πεδίον καὶ πείρατα γαίης ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς, Ἠλύσιον μὲν πεδίον εἰκότως προσειπὼν τὴν τῆς σελήνης ἐπιφάνειαν ὑπὸ ἡλίου καταλαμπομένην, “ὅτ’ ἀέξεται ἁλίου αὐγαῖς”, ὥς φησι Τιμόθεος (fr. 3 p. 1269 B.)· πέρατα δὲ γῆς τὰ ἄκρα τῆς νυκτός, ἣν σκιὰν τῆς γῆς εἶναι λέγουσιν οἱ μαθηματικοὶ πολλάκις ἐπιψαύουσαν τῆς σελήνης, ὡς τοῦτο τῆς γῆς πέρας ἐχούσης οὗ τῇ σκιᾷ μακρότερον οὐκ ἐξικνεῖται. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 42 A—D). Πρῶτον μὲν [οὖν] αἴσθησιν ἀναγκαῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων σύμφυτον γίγνεσθαι, δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα, πρὸς δὲ τούτοις φόβον τε καὶ θυμὸν ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεστηκότα· ὧν εἰ μὲν κρατήσοιεν, δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. Καὶ ὃ μὲν εὖ τὸν προσήκοντα χρόνον βιούς, πάλιν εἰς τὴν τοῦ ξυννόμου δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβάλοι· μὴ παυόμενός τε ἐν τούτοις ἔτι κακίας τρόπον ὃν κακύνοιτο κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως εἴς τινα τοιαύτην ἀεὶ μεταβάλλοι θήρειον φύσιν, ἀλλάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπόμενος τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας, εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως. Πλάτωνος ἐκ τοῦ Γοργίου (p. 523 A —524 A). Ἄκουε δή, φησί, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ μῦθον, ὡς ἐγῷμαι, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν. Ὥσπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. Ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτ’ ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. Τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος

ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾖ μέλλοιεν τελευτᾶν. Κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο· ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷέν σφισιν ἄνθρωποι δικάζονται· ἀμπεχόμενοι γάρ, ἔφη, οἱ κρινόμενοι κρίνονται. Πολλοὶ οὖν, ἦ δ’ ὅς, ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες, μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν· οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττονται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὑτῶν ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. Ταῦτα δὲ αὐτοῖς πάντα ἔμπροσθεν γίγνεται, καὶ τὰ αὑτῶν ἀμφιάσματα καὶ τὰ τῶν κρινομένων. Πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προΐσασι. Τοῦτο μὲν δὴ καὶ εἴρηται τῷ Προμηθεῖ ὅπως ἂν παύσῃ αὐτῶν. Ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. Καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον πάντων τῶν συγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ. Ἐγὼ μὲν οὖν ἐγνωκὼς πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν· οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ’ εἰς Τάρταρον. Καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπόρρητόν τι ᾖ τῷ ἑτέρῳ, ἵνα ὡς δικαιοτάτη ᾖ κρίσις περὶ τῆς πορείας τοῖς ἀνθρώποις. Πλάτωνος Πολιτείας ι′ (p. 614 B —616 C). Ἀλλ’ οὐ μέντοι σοί, ἦν δ’ ἐγώ, Ἀλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ’ ἀλκίμου μὲν ἀνδρός, Ἠρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου· ὅς ποτε ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων δεκαταίων τῶν νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνῃρέθη, κομισθεὶς δ’ οἴκαδε, μέλλων θάπτεσθαι, δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω, ἀναβιοὺς δ’ ἔλεγεν ἃ ἐκεῖ ἴδοι. Ἔφη δέ· ἐπειδὴ οὖ ἐκβῆναι τὴν ψυχήν, πορεύεσθαι μετὰ πολλῶν καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε γῆς δύο εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα κατ’ ἀντικρύ. Δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι, οὓς ἐπειδὴ δικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν, τοὺς δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα πάντων ὧν ἔπραξαν. Ἑαυτοῦ δὲ προσελθόντος εἰπεῖν, ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ καὶ διακελεύοιντό οἱ ἀκούειν τε καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ. Ὁρᾶν δὴ ταύτῃ μὲν καθ’ ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχάς, ἐπειδὴ αὐταῖς δικασθείη, κατὰ δὲ τὼ ἑτέρω ἐκ μὲν τοῦ ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ κόνεως, ἐκ δὲ τοῦ ἑτέρου καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρανοῦ καθαράς. Καὶ τὰς ἀεὶ ἀφικνουμένας ὥσπερ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν, καὶ ἀσμένας εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανηγύρει κατασκηνοῦσθαι, καὶ ἀσπάζεσθαί τε ἀλλήλας ὅσαι γνώριμαι, καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων τὰ ἐκεῖ 〈καὶ〉 τὰς ἐκ τοῦ οὐρανοῦ τὰ παρ’ ἐκείναις. Διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν ὀδυρομένας τε καὶ κλαιούσας, ἀναμιμνησκομένας ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ (εἶναι δὲ τὴν πορείαν χιλίετιν), τὰς δ’ αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι καὶ θεὰς ἀμηχάνους τὸ κάλλος. Τὰ μὲν οὖν πολλά, ὦ Γλαύκων, πολλοῦ χρόνου διηγήσασθαι· τὸ δ’ οὖν κεφάλαιον ἔφη τόδε εἶναι, ὅσα πώποτέ τινα ἠδίκησαν καὶ ὅσους ἕκαστος, ὑπὲρ ἁπάντων δίκην δεδωκέναι ἐν μέρει, ὑπὲρ ἑκάστου δεκάκις· τοῦτο δὲ εἶναι κατὰ ἑκατονταετηρίδα ἑκάστην, ὡς βίου ὄντος τοσούτου τοῦ ἀνθρωπίνου, ἵνα δεκαπλάσιον τὸ ἔκτισμα τοῦ ἀδικήματος ἐκτίνοιεν· καὶ οἷον εἴ τινες πολλοῖς θανάτων ἦσαν αἴτιοι, ἢ πόλεις προδόντες ἢ στρατόπεδα καὶ εἰς δουλείας ἐμβεβληκότες, ἤ τινος ἄλλης κακουχίας μεταίτιοι, πάντων τούτων δεκαπλασίας ἀλγηδόνας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κομίσαιντο· καὶ αὖ εἴ τινας εὐεργεσίας εὐεργετηκότες καὶ δίκαιοι καὶ ὅσιοι γεγονότες εἶεν, κατὰ ταὐτὰ τὴν ἀξίαν κομίζοιντο. Τῶν δ' εὐθὺς γενομένων καὶ ὀλίγον χρόνον βιούντων πέρι ἄλλα ἔλεγεν οὐκ ἄξια μνήμης. Εἰς δὲ θεοὺς ἀσεβείας τε καὶ εὐσεβείας καὶ γονέας καὶ αὐτόχειρας φόνου μείζους ἔτι τοὺς μισθοὺς διηγεῖτο. ἀποκτείνας καὶ πρεσβύτερον ἀδελφόν, ἄλλα τε πολλὰ καὶ ἀνόσια εἰργασμένος, ὡς ἔλεγεν. Ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν· "οὐχ ἥκει", φάναι, "οὐδ' ἂν ἥξει δεῦρο". Ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων. Ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν μέλλοντες ἀνιέναι, καὶ τἆλλα πάντα πεπονθότες, ἐκεῖνον τότε κατείδομεν ἐξαίφνης καὶ ἄλλους σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους· ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων. Οὓς οἰομένους ἤδη ἀναβήσεσθαι οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο, ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροίη ἀνιέναι. Ἐνταῦθα δὴ ἄνδρες, ἔφη, ἄγριοι, διάπυροι ἰδεῖν, παρεστῶτες καὶ καταμανθάνοντες τὸ θέμα, τοὺς μὲν ἰδίᾳ λαβόντες ἦγον, τὸν δὲ Ἀρδιαῖον καὶ ἄλλους συμποδίσαντες χεῖράς τε καὶ πόδας καὶ κεφαλήν, καταβαλόντες καὶ ἐκδείραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάμπτοντες, καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες, ὧν ἕνεκά τι, καὶ ὅτι εἰς τὸν Τάρταρον ἐμπεσούμενοι ἄγοιντο. Ἔνθα δὴ φόβων πολλῶν καὶ παντοδαπῶν σφίσι γεγονότων τοῦτον ὑπερβάλλειν, μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα ὅτε ἀναβαίνοι, καὶ ἀσμενέστατα σιγήσαντος ἀναβῆναι. Καὶ τὰς τεταρταίους, ὅθεν καθορᾶν ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθύς, οἷον κίονα, μάλιστα τῇ Ἰριδι προσφερῆ, λαμπρότερον δὲ καὶ καθαρώτερον. Εἰς ὃ ἀφικέσθαι προελθόντες ἡμερησίαν ὁδόν, καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τὰ ἄκρα αὐτοῦ τῶν δεσμῶν τεταμένα. 〈 Ἰαμβλίχου ἐκ τοῦ περὶ ψυχῆ ς .〉 Πλωτῖνος δὲ καὶ οἱ πλεῖστοι τῶν Πλατωνικῶν ἀπόθεσιν τῶν παθῶν καὶ τῶν μορφωτικῶν διαγνώσεων, δόξης τε πάσης ὑπεροψίαν [τε] καὶ τῶν ἐνύλων διανοήσεων ἀπόστασιν, πλήρωσίν τε ἀπὸ νοῦ καὶ τοῦ ὄντος, ἀφομοίωσίν τε τοῦ κατανοουμένου πρὸς τὸ κατανοοῦν τὴν τελεωτάτην κάθαρσιν ὑπολαμβάνουσιν. Ἔνιοι δὲ καὶ τούτων πολλάκις ἀποφαίνονται περὶ τὴν ἄλογον ψυχὴν καὶ τὸν δοξαστικὸν λόγον ἐμφύεσθαι τὴν κάθαρσιν· τὸν δὲ λόγον αὐτὸν τὸν οὐσιώδη καὶ τὸν νοῦν τῆς ψυχῆς ἀεὶ ὑπερέχειν τοῦ κόσμου καὶ συνῆφθαι τοῖς νοητοῖς αὐτὸν καὶ οὐδέποτε δεῖσθαι τελειώσεως καὶ ἀπολύσεως τῶν περιττῶν. Ἀλλὰ δὴ τὸ μετὰ τοῦτο διελώμεθα, ὑπὸ τίνων ἕκαστα τούτων ἐπιτελεῖται, τὸ τῆς κρίσεως λέγω, τὸ τῆς δίκης ἔργον, τὸ τῆς καθάρσεω ς . Ὡς μὲν δὴ οἱ πλεῖστοι Πυθαγόρειοι καὶ Πλατωνικοὶ λέγουσιν, ὑπ' αὐτῶν τῶν μεριστῶν ψυχῶν· ὡς δὲ οἱ ἀκριβέστεροι ἐν αὐτοῖς, ὑπὸ τῶν καθολικωτέρων καὶ τελειοτέρων ψυχῶν καὶ τῆς μιᾶς καὶ ὅλης ψυχῆς καὶ τῆς τάξεως τοῦ παντὸς πάντων, ἡρώων φημὶ καὶ δαιμόνων καὶ ἀγγέλων καὶ θεῶν, ἐξηγουμένων αὐτῶν τῆς ὅλης συστάσεως. Τί ποτε οὖν αὐτῶν ἐστι τὸ τέλο ς , οὗ ἕνεκα πρώτως [αὐτῶν] ὑφεστήκασι; Κρίσεως μὲν ἄμικτος καθαρότης τῶν ἀγαθῶν, χωριστή τε αὐτῶν τῶν καλῶν τελεότης, ἀφεστηκυῖα τὸ παράπαν ἀπὸ τῶν ἀτελῶν, ὑπερβολή τε ἐξῃρημένη τῶν κρειττόνων αὐτὴ ἑαυτῇ, πρὸς ἣν οὐδὲν δύναται συντάττεσθαι τῶν χειρόνων οὐδέποτε. Καὶ ταῦτα τοῖς παλαιοτέροις ἀρέσκει τὰ κεφάλαια αὐτῆς, ἄλλοις δ' ἂν ἴσως εὐταξία καὶ διάστασις τοῦ χείρονος ἀπὸ τοῦ βελτίονος καὶ τὰ τοιαῦτα μᾶλλον ἂν δόξειεν εἶναι κυριώτερα τῆς ὠφελείας αὐτῆς αἴτια. Δίκης δ' ἂν εἴη τὸ τέλεον ἐν τῷ τὰ βελτίονα τῶν χειρόνων ἐπικρατεῖν καὶ ἐν τῷ τὸ κακὸν κολούειν καὶ ἀνατρέπειν καὶ ἀφανίζειν τὸ παράπαν καὶ ἐν τῷ τὴν ἀνάλογον καὶ κατ' ἀξίαν ἰσότητα τοῖς πᾶσιν ἀπεργάζεσθαι. Πρὸς δὴ ταῦτα δοκοῦντα τοῖς πρεσβυτέροις οἳ μὲν τὴν κατ' ἀριθμὸν ἰσότητα ἢ πολλαπλασίωσιν, οἳ δὲ τὸ ἀντιπάσχειν τὰ αὐτὰ ἅπερ οἱ δράσαντες προηδίκησαν, οἳ δὲ τὴν ἀπαλλαγὴν τῆς κακίας, οἳ δὲ ἄλλο τι τοιοῦτον ὑποτίθενται ἀπ' αὐτῆς τὸ λυσιτελοῦν, καὶ περὶ ταύτας τὰς αἱρέσεις ἐλίσσονται οἱ πολλοὶ Πλατωνικοὶ καὶ Πυθαγόρειο ι . Καὶ μὴν τῆς γε καθάρσεως ἀφαίρεσις τῶν ἀλλοτρίων, ἀπόδοσις τῆς τῶν μερῶν, δόσις ἀπὸ τῶν ὅλων εἰς τὰ

μεριστὰ δυνάμεως καὶ ζωῆς καὶ ἐνεργείας καὶ τὰ τοιαῦτα νοείσθω ὡς πάντων χρησιμώτατα. Οἳ δὲ οὐ πείθονται τοῖς ἀρχαιοτέροις ταῦτα προστησαμένοις αὐτῆς τὰ ὄντως συμφέροντα, λύσιν δὲ ἀπὸ σώματος καὶ ἀπαλλαγὴν τῶν καταδέσμων καὶ φθορᾶς ἐλευθέρωσιν καὶ γενέσεως ἄφεσιν καὶ τὰ τοιαῦτα σμικρὰ τέλη προΐστανται αὐτῆς, ὡς τὰ προέχοντα τῶν ὅλων, ἐν οἷς εἰσιν οἱ πολλοὶ Πλατωνικοὶ καὶ Πυθαγόρειο ι , ἄλλοι κατ' ἄλλας αἱρέσεις διεστηκότες. Ἔτι δὲ τὰ πέρατα τῶν τριῶν τούτων διελώμεθα, μέχρι πόσου δή τινος ἀποτελευτᾷ αὐτῶν ἕκαστον. Κρίνονται μὲν δὴ μέχρι τοῦδε αἱ ψυχαί, μέχρις ὅσου συντάττονται εἰς τὴν γένεσιν καὶ τοῦ παντὸς οὐκ ἀφίστανται καὶ συμμίγνυνταί πως πρὸς τὰ διαφέροντα· αἱ δὲ ἀφειμέναι ἀπόλυτοι καὶ ἀμιγεῖς καὶ ἀδέσποτοι παντελῶς καὶ αὐταὶ ἑαυτῶν οὖσαι καὶ πεπληρωμέναι τῶν θεῶν ὁμοῦ καὶ τῆς κρίσεως παντάπασιν ἀπελύθησαν. Οὐ μὴν ἔτι γε τοῖς ἀρχαιοτέροις περὶ τοῦδε συμφωνοῦσιν οἱ Πλατωνικοὶ καὶ Πυθαγόρειο ι , πάσας δὲ αὐτὰς ὑπάγουσιν ὑπὸ τὴν κρίσιν. Ὡσαύτως δὴ οὖν καὶ περὶ τῆς δίκης οἱ μὲν παλαιότεροι τὰς ἀχράντους ψυχὰς καὶ τὰς ὁμονοητικῶς συναφθείσας τοῖς θεοῖς ἐντεῦθεν ἤδη τοῖς θεοῖς ἐντιθέασι καὶ ἐκβαινούσας τῶν σωμάτων ἄνευ τῆς δίκης ἀνάγουσιν εἰς τοὺς θεούς· οἱ δὲ Πλατωνικοὶ πάσας μετὰ τὴν δίκην εἰς τὴν οὐσίαν ἀπὸ τῆς γενέσεως καθάρσεως εἶναι διατάττονται, ὥσπερ τινὲς Πλατωνικο ί , οἳ δὲ καὶ τούτων αὐτὴν ὑπερέχουσαν προτάττουσιν, ὥσπερ δὴ λέγει Πλωτῖνο ς . Ἐν ταὐτ ῷ . Περὶ τῆς ἐπικαρπίας τῶν ψυχῶν, ἣν κομίζονται εἰσαῦθις, ἐπειδὰν ἐξέλθωσι τοῦ σώματος * , ἰσαγγέλους δὲ καὶ ἀγγελικὰς ψυχὰς * , τὸ ὅλον δὴ τοῦτο οἱ πρεσβύτεροι * . Καὶ τηροῦσι μὲν αὐτὴν ἐπὶ τῆς οἰκείας τάξεως Πλούταρχος καὶ Πορφύριος καὶ οἱ παλαιότεροι · Πλωτῖνος δὲ πάντων τούτων αὐτὴν ἀφίστησιν. Οἱ δ' ἀρχαιότεροι παραπλησίαν τοῖς θεοῖς κατὰ νοῦν διάθεσιν ἀγαθοειδῆ καὶ προστασίαν τῶν τῇδε αὐτῇ ἀπονέμουσι καλῶς, Πορφύριος δὲ καὶ τοῦτο ἀπ' αὐτῆς ἀφαιρεῖ. Τῶν δὲ πρεσβυτέρων τινὲς ὑπερέχειν μὲν αὐτὴν λογισμοῦ φασι, τὰ δὲ ἔργα αὐτῆς οὕτω διηκριβωμένα ἀφορίζονται, ὡς οὐκ ἂν ἐξεύροι τῶν λογισμῶν ὁ καθαρὸς καὶ τελειότατος. Πορφύριος δὲ αὐτὰς ἀφαιρεῖ παντάπασιν ἀπὸ τῆς ἀδεσπότου ζωῆς, ὡς οὔσας συμφυεῖς τῇ γενέσει καὶ πρὸς ἐπικουρίαν δοθείσας τοῖς συνθέτοις ζῴοις. Ὁ δὲ παρὰ Πλάτωνι Τίμαιος ᾗπερ ἐσπάρησαν διαφερόντως ὑπὸ τοῦ δημιουργοῦ, ἄλλαι μὲν εἰς ἥλιον, ἄλλαι δὲ εἰς γῆν, τὸν ὅρον τῆς οἰκείας ἑκάστην πρόσθεν δημιουργικῆς καταβολῆς. Ἕνωσιν μὲν οὖν καὶ ταὐτότητα ἀδιάκριτον τῆς ψυχῆς πρὸς τὰς ἑαυτῆς ἀρχὰς πρεσβεύειν φαίνεται Νουμήνιος (fr. 51 p. 70 Theding.), σύμφυσιν δὲ καθ' ἑτέραν οὐσίαν οἱ πρεσβύτεροι διασῴζουσι. Καὶ ἀναλύσει μὲν ἐκεῖνοι, συντάξει δὲ οὗτοι προσεοίκασι· καὶ οἳ μὲν ἀδιορίστῳ συναφῇ, οἳ δὲ διωρισμένῃ χρῶνται. Οὐ μέντοι κρατεῖται ὁ διορισμὸς αὐτῶν ὑπὸ τοῦ κόσμου ἢ κατέχεται ὑπὸ τῆς φύσεως, ὥσπερ τινὲς τῶν Πλατωνικῶν ὑπειλήφασιν· ἀνεῖται δὲ πάντῃ ἀφ' ὅλων, ὥσπερ ἐπὶ τῶν ἀχωρίστων οὐσιῶν τουτὶ νοοῦμεν. Οἱ δὲ περὶ Πορφύριον ἄχρι τῶν ἀνθρωπίνων βίων ** · τὸ δ' ἀπὸ τούτου ψυχῶν ἄλλο εἶδος τὸ ἀλόγιστον ὑποτίθενται. Ἔτι τοίνυν Πορφύριος μὲν ἀφομοιοῖ τὴν ψυχὴν τοῖς πᾶσι, μένουσαν καθ' ἑαυτὴν ἥτις ἐστίν. Κατὰ δὲ τοὺς Πλατωνικοὺς ἐπιμελοῦνται τῶν ἀψύχων. Ἀπολυθεῖσαι δὲ τῆς γενέσεως κατὰ μὲν τοὺς παλαιοὺς συνδιοικοῦσι τοῖς θεοῖς τὰ ὅλα, κατὰ δὲ τοὺς Πλατωνικοὺς θεωροῦσιν αὐτῶν τὴν τάξιν· καὶ ἀγγέλοις ὡσαύτως κατ' ἐκείνους μὲν συνδημιουργοῦσι τὰ ὅλα, κατὰ δὲ τούτους συμπεριπολοῦσιν. Ἑρμοῦ λόγος Ἴσιδος πρὸς Ὧρον (p. 34 b Patrit.). "Θαυμαστῶς", εἶπεν Ὧρος, "ἕκαστά μοι διηγήσω, ὦ ποιίας τοῦ θεοῦ καὶ θαυμάζων διατελῶ· οὔπω δέ μοι ἀπήγγειλας ποῦ τῶν σωμάτων ἀπολυθεῖσαι χωροῦσιν αἱ ψυχα ί . Βούλομαι οὖν καὶ τῆς θεωρίας ταύτης μύστης γενόμενος εὐχαριστῆσαι σοὶ μόνῃ, ἀθάνατε μῆτερ." Καὶ εἶπεν Ἶσις· 'Πρόσεχε, παῖ· ἀναγκαιοτάτη γὰρ ζήτησις αὕτη· ἀλλ' ὧδε γὰρ ἐρεῖ λόγος ἐμός. Τὸ συνεστὸς καὶ μὴ ἀφανιζόμενον χῶρον ἔχει. Οὐ γάρ, ὦ θαυμαστὲ καὶ μεγάλου πατρὸς Ὀσίρεως μέγα τέκνον, ἀκρίτως καὶ ὁρμηδὸν τῶν σωμάτων προελθοῦσαι εἰς ἀέρα ἀναχύνονταί τε καὶ διασκεδάννυνται μετὰ τοῦ ἄλλου ἀπείρου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πνεύματος, ὥστε οὐκέτι δύνασθαι πάλιν τὰς αὐτὰς οὔσας εἰς σώματα παλινδρομῆσαι, ἀλλὰ μηδὲ εἰς ἐκεῖνον ἔτι τὸν χῶρον [εἶναι], ὅθεν ἦλθον τὸ πρότερον, ἀναστρέφειν· καθάπερ οὐδὲ τὸ λαμβανόμενον ἐκ τῶν κάτω ἀγγείων ὕδωρ ἔτι τοὺς αὐτοὺς τόπους ὅθεν ἐλήφθη ἐπέχειν ἐστὶ δυνατόν, ἀλλ' οὐδ' αὐτὸ παραυτίκα λαμβανόμενον καὶ χεόμενον τὴν ἰδίαν λαμβάνει χώραν, πλὴν ἀναμίγνυται τῷ παντὶ τοῦ ὕδατος χύματι. Ἀλλ' οὐκ ἔχει οὕτως, ὦ μεγαλόφρων Ὧρε. Μύστης δὲ ὥσπερ τῆς ἀθανάτου φύσεως καὐτὴ τυγχάνουσα καὶ ὠδευκυῖα διὰ τοῦ πεδίου τῆς Ἀληθείας διεξελεύσομαί σοι τῶν ὄντων τὸ καθ' ἕκαστον, ἐκεῖνό σοι φήσασα πρῶτον, ὡς δὴ τὸ ὕδωρ σῶμά ἐστιν ἄλογον, ἐκ πολλῶν συγκριμάτων παρατεθλιμμένον εἰς καὶ ἔργον τῶν τοῦ θεοῦ χειρῶν τε καὶ νοῦ, αὐτό θ' ἑαυτῷ εἰς νοῦν ὁδηγούμενον. Τὸ τοίνυν ἐξ ἑνὸς καὶ οὐκ ἐξ ἄλλου ἀδύνατον ἑτέρῳ ἀναμιγῆναι· ὅθεν δεῖ καὶ τὴν πρὸς τὸ σῶμα αὐτῆς σύνοδον ἁρμονίαν θεοῦ ὑπὸ ἀνάγκης γενομένην εἶναι. Ὅτι δὲ οὔτε εἰς ἕνα καὶ τὸν αὐτὸν τόπον χυδαίως, οὔτε εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλλὰ ἑκάστη ἐπὶ τὴν ἰδίαν ἀναπέμπεται χώραν, φανερὸν καὶ ἐξ ὧν ἔτι ἐν τῷ σώματι οὖσα καὶ τῷ πλάσματι πάσχει [γὰρ] παρὰ τὴν ἰδίαν φύσιν πεπαχυμμένη. Ἀλλὰ καὶ πρόσχες, ὦ περιπόθητε Ὧρε, τῷ λεγομένῳ ὁμοιώματι. Φέρε γὰρ εἰς ἓν καὶ τὸ αὐτὸ συσχετήριον ἐγκεκλεῖσθαι ἀνθρώπους τε καὶ ἀετοὺς καὶ περιστερὰς καὶ κύκνους καὶ ἱέρακας καὶ χελιδόνας καὶ στρουθοὺς καὶ μυίας καὶ ὄφεις καὶ λέοντας καὶ παρδάλεις καὶ λύκους καὶ κύνας καὶ λαγωοὺς καὶ βόας καὶ ποίμνια καί τινα τῶν τῆς κοινότητος ἐχομένων ζῴων, οἱονεὶ φώκας καὶ ἐνύδρεις καὶ χελώνας καὶ τοὺς ἡμετέρους κροκοδείλους· ἔπειτα τούτους, ὦ τέκνον, ὑπὸ μίαν ῥοπὴν ἀπολυθῆναι τοῦ συσχετηρίου, 〈οὐ〉 πάντως τραπήσονται ὁ μὲν ἄνθρωπος εἴς τε ἀγορὰς καὶ στέγας; ὁ δὲ ἀετὸς εἰς τὸν αἰθέρα, ὅπου καὶ φύσιν ἔχει διαιτᾶσθαι; αἱ δὲ περιστεραὶ εἰς τὸν πλησίον ἀέρα; οἱ δὲ ἱέρακες ὑπεράνω τούτων; αἱ δὲ χελιδόνες οὐχὶ ὅπου ἂν οἰκῶσιν ἄνθρωποι; οἱ δὲ στρουθοὶ περὶ τὰ καρποφόρα τῶν δένδρων; οἱ δὲ κύκνοι ὅπου ἔξεστιν αὐτοῖς ᾄδειν, αἱ δὲ μυῖαι περὶ αὐτὴν τὴν γῆν, τοσοῦτον αὐτῆς ἀπέχουσαι ὅσον ἀναβῆναι δύνανται ἀνθρώπων τῇ ὀσμῇ (ἀνθρωπόλιχνον γὰρ ἰδίως, ὦ τέκνον, ἐστὶν ἡ μυῖα καὶ χαμαιπετές); οἱ δὲ λέοντες καὶ παρδάμοὺς καὶ 〈οἱ〉 βόες 〈εἰσ〉 αὐλιστήρια καὶ πεδία; καὶ εἰς τὰς νομὰς τὰ ποίμνια; οἱ δὲ ὄφεις εἰς τὰ μύχια τῆς γῆς; 〈αἱ〉 φῶκαι δὲ καὶ χελῶναι μετὰ τῶν ὁμοίων εἰς βάθη καὶ νάματα, ὡς μὴ πεδιάδος γῆς στεροῖντο μηδὲ τοῦ συγγενοῦς ἀπολειφθεῖεν ὕδατος, ἑκάστου εἰς τὴν οἰκείαν χώραν ὑπὸ τοῦ ἔνδον κριτηρίου ἀνατρεπομένου; Οὕτως ἑκάστη ψυχὴ καὶ ἀνθρωπευομένη καὶ ἄλλως ἐπιγεΐζουσα οἶδεν ὅπου πορευτέον αὐτῇ ἐστι, πλὴν εἰ μή τις τῶν Τυφωνίων, ὦ τέκνον, παρελθὼν λέγοι, ὅτι δυνατὸν ταῦρον μὲν ἐν βυθῷ, ἐν δὲ ἀέρι χελώνην διαζῆν. Εἰ δὴ τοῦτο πάσχουσι σαρκὶ καὶ αἵματι βεβαπτισμέναι, ὡς μηδὲν παρὰ τάξιν πράσσειν κἂν κολάζωνται (κόλασις γὰρ αὐταῖς ἡ ἐνσωμάτωσις), πόσου πλέον βαπτισμοῦ καὶ κολάσεως ** καὶ ἐλευθερίας ἰδίας μετασχοῦσαι; Ἔχει δὲ ἡ διάταξις ἡ ἱερωτάτη οὕτως. Ἤδη ποτὲ ἄνω, μεγαλοφυέστατε παῖ, βλέπε ψυχῶν διατάξεις· τὸ ἀπ' οὐρανοῦ κορυφῆς μέχρι σελήνης θεοῖς καὶ ἄστροις καὶ τῇ ἄλλῃ προνοίᾳ σχολάζει· τὸ δὲ ἀπὸ σελήνης, ὦ τέκνον, ἐφ' ἡμᾶς ψυχῶν ἐστιν οἰκητήριον. Ἔχει μέντοι ἐν ἑαυτῷ ὁδὸν ὁ τοσοῦτος ἀήρ, ὃν ἄνεμον καλεῖν ἔθος ἐστὶν ἡμῖν, ἴδιον μέγεθος ἐν ᾧ κινεῖται πρὸς ἀνάψυξιν τῶν ἐπιγείων, ὃ δὴ καὶ ὕστερον ἐρῶ· κατ' οὐδένα μέντοι τρόπον πρὸς ἑαυτὸν κινούμενος ἐμπόδιον γίγνεται ψυχαῖς· κινουμένου γὰρ τούτου ἐξὸν ψυχαῖς Ῥέουσι γὰρ δι' αὐτοῦ ἀμιγῶς καὶ ἀκολλητί, ὡς δι' ἐλαίου ὕδωρ. Τὸ δὲ διάστημα τοῦτο, ὦ τέκνον Ὧρε, μοιρῶν μέν ἐστι γενικῶν τεσσάρων [εἰδικῶν δὲ χωρῶν ἑξήκοντα]. Ὧν ἡ μὲν ἀπὸ γῆς ἄνω χωρῶν ἐστι τεσσάρων, ὡς τὴν γῆν κατά τινας λόφους καὶ ἀκρωρείας ἀνατεῖναι καὶ φθάνειν ἄχρι τοσούτου· ὑπὲρ γὰρ ταύτας αὐτὴν ἀναβῆναι τὸ ὕψος οὐκ ἔχει φύσιν. Ἡ δ' ἀπὸ ταύτης δευτέρα ἐστὶ χωρῶν ὀκτώ [ἐν αἷς γίγνονται ἀνέμων κινήσεις] (πρόσεχε, παῖ, ἀρρήτων γὰρ ἐπακούεις μυστηρίων γῆς τε καὶ οὐρανοῦ καὶ παντὸς τοῦ μέσου ἱεροῦ πνεύματος), ὅπου ἡ τοῦ ἀνέμου κίνησις καὶ ἡ τῶν ὀρνέων πτῆσις· ὑπὲρ γὰρ ταύτης

οὔτε ἀὴρ κινεῖται οὔτε ζῷον βαστάζει. Ἔχει μέντοι παρὰ τῆς φύσεως ταύτην τὴν ἐξουσίαν ὁ ἀὴρ οὗτος, ὥστε καὶ ἐν ταῖς ἰδίαις ὀκτὼ χώραις καὶ ἐν ταῖς τῆς γῆς τέτταρσι περιπολεῖν μεθ' ὧν ἔχει ζῴων, τῆς γῆς εἰς τὰς αὐτοῦ ἐπαναβῆναι 〈μὴ〉 δυναμένης. Ἡ δὲ τρίτη χωρῶν ἐστιν ἑκκαίδεκα, ἀέρος λεπτοῦ καὶ καθαροῦ πλήρης. Ἡ δὲ τετάρτη ἐστὶ δύο καὶ τριάκοντα, ἐν αἷς ἐστι λεπτότατος καὶ εἰλικρινέστατος ἀὴρ καὶ διαυγής, διορίζων ἐφ' ἑαυτοῦ τοὺς ἄνω οὐρανούς, ἐκπύρους ὄντας τὴν φύσιν. Καὶ ἔστιν ἡ διάταξις αὕτη κατ' εὐθυτενῆ γραμμὴν ἄνωθεν κάτω ἀκολλητὶ τὴν φύσιν, ὡς εἶναι μοίρας γενικὰς μὲν τέσσαρας, διαστηματικὰς δὲ δώδεκα, χώρας δὲ ἑξήκοντα. Ἐν δὲ ταῖς χώραις ταύταις, ἑξήκοντα οὔσαις τὸν ἀριθμόν, οἰκοῦσιν αἱ ψυχαί, ἑκάστη πρὸς ἣν ἔχει φύσιν, μιᾶς μὲν καὶ τῆς αὐτῆς συστάσεως οὖσαι, οὐκέτι δὲ τιμῆς. Ὅσῳ γὰρ ἑκάστη τῶν χωρῶν ἀπὸ γῆς ὑπερβέβηκε τῆς ἑτέρας, τοσούτῳ καὶ 〈αἱ〉 ἐν αὐταῖς ψυχαὶ ἑτέρα τὴν ἑτέραν καθ' ὑπεροχὴν λείπει, ὦ τέκνον, χώρᾳ καὶ τύχῃ. Τίνες μὲν οὖν εἰς ἑκάτερα τούτων ἀναλύουσι ψυχαί, ἐντεῦθέν σοι πάλιν, ὦ μεγαλόδοξε Ὦρε, καταλέγειν ἄρξομαι, ἄνωθεν ἐπὶ τὰ πρόσγεια τὴν τάξιν ποιουμένη.‘ [περὶ ἐμψυχώσεως καὶ μετεμψυχώσεω ς]. (p. 35 b Patr.). ‘Τὸ μεταξὺ γῆς καὶ οὐρανοῦ κεχώρισται, τέκνον Ὦρε, πρὸς μέτρον καὶ ἁρμονίαν. Αἱ δὲ χῶραι αὗται ὑπὸ τῶν προγόνων καλοῦνται ὑφ' ὧν μὲν ζῶναι, ὑφ' ὧν δὲ στερεώματα, ὑπὸ δὲ ἑτέρων πτυχαί. Ἐν δὲ ταύταις φοιτῶσιν αἵ τε ἀπολελυμέναι τῶν σωμάτων ψυχαὶ αἵ τε μηδέπω ἐνσωματισθεῖσαι. Ἑκάστη δὲ τούτων, ὦ τέκνον, κατὰ τὴν ἀξίαν καὶ χώραν ἔχει· ὥστε τὰς μὲν θείας καὶ βασιλικὰς ἐν τῇ ὑπεράνω πάντων κατοικεῖν, τὰς δὲ ἐλαχίστας κατὰ τιμὴν καὶ τὰς ἄλλας ὅσαι εἰσὶ χαμαιπετεῖς ἐν τῇ ὑποκάτω πάντων, τὰς δὲ μέσας 〈ἐν〉 τῇ μέσῃ. Αἱ μὲν οὖν εἰς τὸ ἄρχειν καταπεμπόμεναι, ὦ τέκνον Ὦρε, ἐκ τῶν ὑπεράνω ζωνῶν καταπέμπονται, αἳ καὶ λυθεῖσαι εἰς τὰς αὐτὰς ᾗ καὶ ἔτι ὑπεράνω ἀνέρχονται, πλὴν εἰ μή τινές τι εἶεν 〈παρὰ〉 τὴν ἀξίαν τῆς ἑαυτῶν φύσεως καὶ τὴν τοῦ θείου νόμου παραγγελίαν πεπραχυῖαι· ἅσπερ ἡ ἄνω πρόνοια πρὸς μέτρον τῶν ἁμαρτημάτων εἰς τὰς ὑποκάτω χώρας ἐξορίζει, ὥσπερ καὶ τὰς ὑποδεεστέρας δυνάμει τε καὶ ἀξίᾳ ** ἐκ γὰρ κατωτέρων ἐπὶ μείζονας καὶ ὑψηλοτέρας ἀνάγει. Εἰσὶ γὰρ ἄνωθέν οἱ δορυφόροι 〈δύο〉 ὄντες τῆς καθόλου προνοίας, ὧν ὃ μὲν ψυχοταμίας, ὃ δὲ ψυχοπομπός· καὶ ὁ μὲν ψυχοταμίας ψυχῶν ** , ὁ δὲ ψυχοπομπὸς ἀποστολεύς τε καὶ διατάκτης τῶν ἐνσεσωματωμένων ψυχῶν. Καὶ ὃ μὲν τηρεῖ, ὃ δὲ προΐησι κατὰ γνώμην τοῦ θεοῦ. Τῷ οὖν λόγῳ τούτῳ, ὦ παῖ, καὶ τῇ ἄνω τῶν πραγμάτων ἐξαλλαγῇ καὶ ἐπὶ γῆς ἐστιν ἡ Φύσις. πλάστρια γὰρ οὖσα καὶ σκηνοποιὸς ἀγγείῳ εἰσβάλλει τὰς ψυχάς. Παρεστᾶσι δὲ δύο ἐνέργειαι καὶ αὐτῇ, μνήμη καὶ ἐμπειρία· καὶ ἡ μὲν μνήμη ἔργον ἔχει τοῦτο, ὅπως ἡ Φύσις τηρῇ καὶ περικρατῇ τοῦ τε ἑκάστου τύπου ἐξ ἀρχῆς καταβεβλημένου καὶ τοῦ φυράματος τοῦ ἄνω γίγνηται * · ἡ δὲ ἐμπειρία, ὅπως πρὸς ἀνάλογον ἑκάστης τῶν καταβαινουσῶν ψυχῶν εἰς τὸ σωματισθῆναι καὶ τὸ πλάσμα [ἐνεργῇ καὶ] γένηται, καὶ ταῖς μὲν ὀξέσι τῶν ψυχῶν ὀξέα γένηται καὶ τὰ σώματα, ταῖς δὲ βραδέσι βραδέα, ταῖς δὲ ἐνεργέσιν ἐνεργῇ καὶ ταῖς νωθραῖς νωθρὰ καὶ ταῖς δυναταῖς δυνατὰ καὶ ταῖς δολίαις δόλια, καὶ πτηνὰ μὲν ἐπτίλωσε, λογικὰ δὲ περισσαῖς καὶ ἀκριβεστέραις αἰσθήσεσιν ἐκόσμησε, τετραπόδων δὲ τὰ μὲν κέρασι, τὰ δὲ ὀδοῦσι, τὰ δὲ ὄνυξι καὶ ὁπλαῖς ἐκαρτέρωσε, τὰ δὲ ἑρπετὰ εὐχαίτοις σώμασι καὶ εὐυποχωρήτοις ἐμαλάκυνε, καὶ ὅπως μὴ ἡ τοῦ σώματος ὑγρότης τέλεον ἀσθενὴς διαμένῃ, ὧν μὲν τὰ στόματα καὶ τοῖς ὀδοῦσιν ἐχαράκωσεν ὧν δὲ τοὺς ὄγκους ὀξύνας δύναμιν περιέθηκεν (οὕτως τὰ μὲν τῇ τοῦ θανάτου εὐλαβείᾳ ἰσχυρότερα τῶν ἄλλων)· τὰ δὲ νηκτά, δειλὰ ὄντα, ἐνοικεῖν ἔδωκε στοιχείῳ, ἐν ᾧ τὸ φῶς οὐδετέραν ὧν ἔχει δυνάμεων ἐνεργεῖν ἰσχύει (ἐν γὰρ ὕδατι τὸ πῦρ οὔτε φαίνει οὔτε καίει)· ἕκαστον δὲ αὐτῶν ἢ φολίσιν ἢ ἀκάνθαις ἐν ὕδατι νηχόμενον φεύγει ὅπῃ ἂν θέλῃ, τὴν ἰδίαν περιβεβλημένον δειλίαν καὶ σκεπαστήριον ἔχον εἰς τὸ μὴ ὁρᾶσθαι τὸ ὕδωρ. Εἰς γὰρ ἕκαστον τῶν σωμάτων τούτων καθ' ὁμοιότητα ἐγκλείονται αἱ ψυχαί, ὥστε εἰς μὲν ἀνθρώπους χωρεῖν τὰς κριτικάς, εἰς δὲ πτηνὰ τὰς ἀπανθρώπους, εἰς δὲ τετράποδα 〈τὰσ〉 ἀκρίτους (νόμος γὰρ

ἐκείνοις ἐστὶν ἡ ἰσχύς), εἰς δὲ ἑρπετὰ τὰς δολίας (οὐδὲν γὰρ αὐτῶν ἐξ ἐναντίου ἐπεξέρχεται τοῖς ἀνθρώποις, λοχήσαντα δὲ καταβάλλει), εἰς δὲ [τὰ] νηκτὰ τὰς δειλὰς καὶ ὅσα τῶν λοιπῶν στοιχείων ἀπολαύειν ἀνάξια τυγχάνει. Γίγνεται μὲν οὖν καὶ ἐν ἑκάστῳ 〈εἴδει〉 εὑρεῖν ζῷον τῇ ἰδίᾳ φύσει μὴ καταχρώμενον.‘ τὸ κριτικὸν ὑπερβῆναι, τετράπουν δὲ τὴν ἀνάγκην παραλλάξαι, ἑρπετὸν δὲ τὸ δόλιον ἀπολέσαι, καὶ νηκτὸν τῆς δειλίας καταφρονῆσαι, καὶ πτηνὸν τῆς ἀπανθρωπίας ἐκπεσεῖν. Καὶ τὰ μὲν περὶ τῆς διαθέσεως τῶν ἄνω καὶ τῆς καταβάσεως αὐτῶν καὶ τῆς σωματουργίας τοσαῦτα. Συμβαίνει δέ, ὦ τέκνον, ἐν ἑκάστῳ εἴδει εὑρίσκεσθαι καὶ γένει τῶν προκειμένων βασιλικάς τινας ψυχάς, καταβαίνειν δὲ καὶ ἄλλας ἀλλοίους, τὰς μὲν διαπύρους, τὰς δὲ ψυχράς, τὰς δὲ ὑπερηφάνους, τὰς μὲν διαπύρους, τὰς ἐλευθερίους,〉 τὰς δὲ βαναύσους, τὰς δὲ ἐμπείρους, τὰς δὲ ἀπείρους, τὰς δὲ ἀργάς, τὰς δὲ ἐνεργεῖς, τὰς δὲ ἄλλοτε ἄλλας οὔσας. Συμβαίνει δὲ τοῦτο παρὰ τὴν τῶν τόπων θέσιν, ὅθεν εἰς τὸ ἐνσωματισθῆναι καθάλλονται αἱ ψυχαί. Αἱ μὲν γὰρ ἀπὸ βασιλικοῦ διαζώματος καταπηδῶσι τῆς ὁμοιοπαθοῦς βασιλικῆς τύχης. Πολλαὶ γάρ εἰσι βασιλεῖαι· αἳ μὲν γάρ εἰσι ψυχῶν, αἳ δὲ σωμάτων, αἳ δὲ τέχνης, αἳ δὲ ἐπιστήμης, αἳ δὲ αὖ τῶν καὶ τῶν‘. “Πῶς πάλιν;” εἶπεν Ὧρος. ‘Οἷον, ὦ τέκνον Ὧρε, ἀπογεγονότων ἤδη ψυχῶν μὲν Ὄσιρις, ὁ πατήρ σου· σωμάτων δὲ ὁ ἑκάστου ἔθνους ἡγεμών· βουλῆς δὲ ὁ πατὴρ πάντων καὶ καθηγητὴς ὁ τρισμέγιστος Ἑρμῆς· ἰατρικῆς δὲ ὁ Ἀσκληπιὸς ὁ Ἡφαίστου· ἰσχύος δὲ καὶ ῥώμης πάλιν Ὄσιρις, μεθ’ ὅν, ὦ τέκνον, αὐτὸς σύ· φιλοσοφίας δὲ Ἀρνεβεσχῆνις, ποιητικῆς δὲ πάλιν ὁ Ἀσκληπιὸς 〈ὁ〉 Ἰμούθης. Καθόλου γάρ, ὦ τέκνον, εὑρήσεις, ἐὰν ἐξετάζῃς, πολλοὺς καὶ πολλῶν ἄρχοντας καὶ πολλοὺς πολλῶν βασιλεύοντας. Ἀλλ’ ὁ μὲν πάντων κρατῶν, τέκνον, ἐκ τῆς ὑπεράνω χώρας ἐστίν, ὁ δὲ τῶν κατὰ μέρος ἐκείνην ἔσχε τάξιν, ἀφ’ οὗ τόπου ἐστίν· βασιλικωτέραν 〈μὲν ..... τοῦ βασιλικοῦ〉 διαζώματος τετευχότες· 〈οἱ δὲ ἀπὸ τοῦ πυρώδους〉 πυρὸς ἐργάται γίγνονται καὶ τροφεῖς· οἱ δὲ ἀπὸ τοῦ ὑγροῦ ἐν ὑγροῖς διαζῶσιν· οἱ δὲ ἀπὸ 〈τοῦ〉 ἐπιστημονικοῦ καὶ τεχνιτικοῦ περὶ ἐπιστήμας καταγίγνονται καὶ τέχνας· οἱ δὲ ἀπὸ 〈τοῦ〉 ἀργοῦ ἀργῶς καὶ ἐπιρρεμβῶς διαζῶσι. Πάντων γὰρ τῶν ἐπὶ γῆς, ὦ τέκνον, διὰ λόγου καὶ ἔργου πραγμάτων ἄνω εἰσὶν αἱ πηγαί, μέτρῳ καὶ σταθμῷ ἐπιχύνουσαι ἡμῖν τὰς οὐσίας, καὶ οὐκ ἔστιν ὃ μὴ ἄνωθεν καταβέβηκε καὶ πάλιν ἀνέρχεται ἵνα καταβῇ‘. “Πῶς πάλιν λέγεις τοῦτο, ὦ τεκοῦσα, παράδειξον”. Καὶ ἀπεκρίθη Ἶσις πάλιν· ‘Τῆς παλινδρομίας ἐναργὲς τοῦτο σημεῖον τοῖς ζῴοις ἐνέθηκεν ἡ ἱερωτάτη φύτούτου τοῦ ἐνεργήματος τεχνίτιδες ἐν ἡμῖν φῦσαι, αἳ ἐπειδὰν μύσωσι τὰ δεκτικὰ ἑαυτῶν τοῦ πνεύματος στόματα, τότε ἡμεῖς οὐκέτι ὦδέ ἐσμεν, ἀλλ’ ἀναβεβήκαμεν. Προσεπιγίγνεται δέ, ὦ παῖ μεγαλόδοξε, καὶ ἕτερά τινα ἡμῖν ἐκτὸς 〈τῆσ〉 τοῦ φυράματος συσταθμίας‘. “Τί δέ ἐστιν”, Ὧρος εἶπε, “τὸ φύραμα τοῦτο, ὦ τεκοῦσα”; Σύνοδός ἐστι καὶ κρᾶσις τῶν τεσσάρων στοιχείων, ἐξ ἧς κράσεως καὶ συνόδου ἀναθυμιᾶταί τις ἀτμός, ὃς περιειλεῖται μὲν τῇ ψυχῇ, διατρέχει δὲ ἐν 〈τῷ〉 σώματι, ἀμφοτέροις μεταδιδοὺς [τουτέστι τῷ σώματι καὶ τῇ ψυχῇ] τῆς ἰδίας ποιότητος· καὶ οὕτως αἱ διαφοραὶ τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ἐναλλοιώσεων γίνονται. Εἰ μὲν γὰρ κατὰ τὴν σωματικὴν διάπηξιν πλεονάσειε τὸ πῦ ρ , τὸ τηνικαῦτα ἡ ψυχὴ θερμὴ τὴν φύσιν ὑπάρχουσα καὶ ἕτερον θερμὸν προσλαβοῦσα, ἐκπυρωδεστέρα γενομένη, ποιεῖ τὸ ζῷον ἐνεργότερον καὶ θυμικόν, τὸ δὲ σῶμα ὀξὺ καὶ εὐκίνητον· εἰ δὲ πλεονάσειεν ὁ ἀήρ, τὸ τηνικαῦτα καὶ κοῦφον καὶ πηδητικὸν καὶ ἀνέδραστον γίνεται τὸ ζῷον καὶ ψυχῇ καὶ σώματι. Εἰ δὲ τὸ ὕδωρ πλεονάσειε, τὸ τηνικαῦτα καὶ τὸ ζῷον τῇ μὲν ψυχῇ γίγνεται εὔρουν τε καὶ εὐφυὲς καὶ εὐπερίχυτον ἱκανῶς τε τοῖς ἄλλοις ἐπιπεσεῖν καὶ κολληθῆναι δυνάμενον, διὰ τὸ πρὸς τὰ ἄλλα ἑνωτικὸν καὶ χον καὶ καταδῦσαν, ἐκεῖνο γίγνεται ᾧ ἐμίγη. τὰ μέντοι σώματα ὑπὸ πλαδαρότητος καὶ χαυνότητος εἰς περίσφιγξιν οὐκ ἄγεται, ἀλλὰ μικρᾷ τινι νόσου ἀφορμῇ λύεται, καὶ τοῦ ἰδίου συνδέσμου κατ’ ὀλίγον ἐκπίπτει. Εἰ δὲ τὸ γεῶδες πλεονάσειε, τὸ τηνικαῦτα ἀμβλεῖα μὲν τοῦ ζῴου ἡ ψυχὴ γίνεται, οὐκ ἔχουσα τὴν σωματικὴν ἀραιότητα

εὔλυτον οὐδὲ τὸ δι’ οὗ πηδήσεται, πεπαχυμμένων τῶν αἰσθητικῶν μερῶν, ἀλλὰ ἔνδον μένει παρ’ ἑαυτῇ ὑπὸ βάρους καὶ πυκνότητος πεδηθεῖσα, τὸ δὲ σῶμα στερεὸν μέν, ἀλλὰ ἀργὸν καὶ βαρὺ καὶ μετὰ βίας ὑπὸ τῆς προαιρέσεως μετακινούμενον. Εἰ δὲ σύμμετρος γένοιτο ἡ πάντων σύστασις, τότε τὸ ζῷον θερμὸν εἰς πρᾶξιν, κοῦφον δὲ εἰς κίνησιν, εὔκρατον δὲ εἰς ἀφήν, γενναῖον δὲ εἰς πῆξιν κατασκευάζεται. Ὅσα οὖν τῷδε τῷ λόγῳ κεκοινώνηκε πλείονος μὲν πυρὸς καὶ πνεύματος, ταῦτα ἀπωρνέωται καὶ ἄνω παρ’ ἐκείνοις πολιτεύεται τοῖς στοιχείοις, ἐξ ὧν καὶ ἐγένετο. Ὅσα δὲ πλείονος μὲν πυρός, ὀλίγου δὲ πνεύματος, ὕδατος δὲ καὶ γῆς ἴσης, ταῦτα ἀπηνθρώπιστα ι , καὶ τῷ ζῴῳ τὸ περισσὸν τοῦ θερμοῦ εἰς σύνεσιν ἐτράπη· ὁ γὰρ ἐν ἡμῖν νοῦς θερμόν τι χρῆμά ἐστιν, ὃ καίειν μὲν οὐκ οἶδε, διαδύνειν δὲ κατὰ πάντων [καὶ] ἐπίσταται. Ὅσα δὲ πλείονος ὕδατος ἴσων κεκοινώνηκε, ταῦτα ἀφηρπέτωται καὶ τῇ τοῦ πυρὸς στερήσει ἄτολμα γέγονε καὶ ἀπαρρησίαστα, τῇ δὲ τοῦ ὕδατος κοινωνίᾳ ψυχρὰ ἐγένετο, τῇ δὲ τῆς γῆς βαρέα καὶ νωθρά, τῇ δὲ τοῦ πνεύματος εὐκίνητα, εἰ 〈ἐν〉 προαιρέσει τὸ κινεῖσθαι. Ὅσα δὲ πλείονος μὲν ὑγροῦ, ὀλίγου δὲ ξηροῦ, ταῦτα ἀπιχθύωται καὶ τῇ μὲν τοῦ θερμοῦ καὶ ἀέρος στερήσει δειλά ἐστι καὶ αὐτά, τῇ δὲ τοῦ ὑγροῦ περιουσίᾳ καὶ τῇ τοῦ γεώδους παρουσίᾳ ἐν λελυμένῃ γῇ καὶ ὕδατι διὰ τὸ συγγενὲς κατοικεῖ. Καὶ πρὸς μὲν τὴν τοῦ ἑκάστου στοιχείου μοῖραν καὶ τῆς μοίρας τὴν περιοχὴν καὶ τὰ σώματα ἡλικιάζεται· καὶ πρὸς τὴν ὀλιγομετρίαν τὰ λοιπὰ ζῷα μεμετροποίηται, πρὸς ἐνέργειαν τὴν ἑκάστῳ τῶν στοιχείων οὐσιομετρίαν. Καὶ ἔτι, ὦ παῖ περιπόθητε, λέγω, ὅτι ἐκ ταύτης τῆς οὕτω συστάσεως ἡ κατὰ τὴν πρώτην σύνοδον γενομένη κρᾶσις καὶ ὁ ἐκ ταύτης ἀναθυμιώμενος ἀτμὸς ἐφ’ ὅσον τὴν ἰδίαν τηροῦσιν ἰδιότητα, ὥστε τὸ μὲν θερμὸν ἕτερον μὴ λαβεῖν θερμόν, μηδὲ τὸ ἀερῶδες πνεῦμα ἕτερον, μηδὲ τὸ ὑγρὸν ἑτέραν ὑγρασίαν, μηδὲ τὸ γεῶδες ἑτέραν πυκνότητα, τὸ τηνικαῦτα τὸ ζῷον ὑγιαίνε ι . Ἐπὰν γὰρ μὴ οὕτως μένῃ, ὦ τέκνον, ἐφ’ οἷς ἔσχεν ἐξ ἀρχῆς μέτροις, ἀλλ’ ἤτοι πλεονάσῃ ταῦτα, οὐκ ἐνεργείᾳ λέγω 〈τῇ〉 κατὰ περιοχὴν οὐδὲ τῇ κατ’ αὔξησιν γινομένῃ μεταβολῇ τοῦ γένους καὶ τῶν σωμάτων, ἀλλὰ τῇ ὡς προέφαμεν συστατικῇ τῶν στοιχείων κράσει, ὥστε τὸ μὲν θερμὸν ἐπὶ πλέον αὐξηθῆναι ἢ ἐπὶ πλέον ἐλαττωθῆναι, τὰ δὲ ἄλλα ὁμοίως, 〈τὸ〉 τηνικαῦτα [οὕτως] νοσεῖ τὸ ζῷον. Ἐπὰν γὰρ οὕτως διατεθῇ τό τε θερμὸν καὶ τὸ ἀερῶδες, ἃ δὴ σύσκηνά ἐστι τῆς ψυχῆς, τότε ἐν ἀλληγορίαις καὶ ἐκστάσεσι γίγνεται τὸ ζῷον· πεπύκνωται γὰρ τὰ στοιχεῖα, δι’ ὧν διαφθείρεται τὰ σώματα. Αὐτὸ μὲν γὰρ τὸ γεῶδές ἐστιν ἡ τοῦ σώματος πῆξις, τὸ δὲ ὑγρὸν ἡ ἐν τούτῳ ἐστὶν εἰς συμπαγίαν περίχυσις, τὸ δὲ ἀερῶδές ἐστι τὸ ἐν ἡμῖν κινητικόν, καὶ τούτων πάντων διεγερτικὸν τὸ πῦρ. Τοιγαροῦν ὁ ἐκ τῆς πρώτης συνόδου καὶ κράσεως τῶν στοιχείων γιγνόμενος ἀτμὸς καὶ ὡσανεὶ ἕξαψις καὶ ἀναθυμίασισ[, ὁποῖος ἂν ᾖ,] παραμιγεὶς τῇ ψυχῇ ἄγει αὐτὴν εἰς ἑαυτόν, ὡς ἂν ἔχῃ φύσεως, εἴτε σπουδαίως, εἴτε μή. Τῇ γὰρ ἐξ ἀρχῆς πρὸς αὐτὸν οἰκειότητι καὶ συντροφίᾳ ἐπιμένουσα ἡ ψυχὴ τὴν τάξιν διατηρεῖ. Ὅταν δὲ ἐπιπροσγένηται ἤτοι τῷ ὅλῳ συγκράματι ἢ καὶ μέρεσιν ἢ μέρει αὐτοῦ ἔξωθέν τις πλείων μοῖρα τοῦ προκαταβεβλημένου, τότε καὶ ὁ ἐντεῦθεν μεταλλοιούμενος ἀτμὸς μεταλλοιοῖ ἤτοι τὴν τῆς ψυχῆς διάθεσιν ἢ τὴν τοῦ σώματος. Τὸ γὰρ πῦρ καὶ τὸ πνεῦμα, χουσαν, ἀνατρέχει· τὸ δὲ ὑγρὸν καὶ τὸ γεῶδες, κατωφερῆ ὄντα, τῷ σώματι, ὁμοιέδρῳ ὄντι, ἐφιζάνει.

1.50 〈 Aetii (IV 8, 2 p. 394, 10 Diels.).〉 Ἐπίκουρος· τό 〈τε〉 μόριόν ἐστιν ἡ αἴσθησις, ἥτις ἐστὶ 〈ν ἡ〉 δύναμις, καὶ τὸ ἐπαίσθημα, ὅπερ ἐστὶ τὸ ἐνέργημα· ὥστε διχῶς παρ’ αὐτῷ λέγεσθαι αἴσθησιν μὲν τὴν δύναμιν, αἴσθησιν δὲ τὸ ἐνέργημα. 〈 Aetii (IV 8, 3 p. 394, 16 Diels.).〉 Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός· ἡ μὲν γὰρ δύναμις ψυχῆς, τὸ δὲ ὄργανον σώματος, ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν. Λέγει δὲ ἐν τῷ Φιλήβῳ (p. 34 A) ὧδε· “Τὸ δὲ ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δὲ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοιο ἄν; — 〈 Aetii (IV 8, 4—7 p. 394, 21 Diels.).〉 Κατὰ τοὺς Περιπατητικοὺς τετραχῶς· ἐξ

οὗ τὸ ἡγεμονικόν, δι' οὗ τὸ ὄργανον καὶ αἰσθητήριον, καθ' ὃ ἡ ἐνέργεια, καὶ 〈οὗ〉 ἕνεκα τὸ αἰσθητόν. Λεύκιππο ς , Δημόκριτος τὰς αἰσθήσεις καὶ τὰς νοήσεις ἑτεροιώσεις εἶναι τοῦ σώματος. Ἀριστοτέλης τὴν αἴσθησιν ἑτεροίωσιν αἰσθητοῦ καὶ μεσότητα· κοινὴν δὲ αἴσθησιν τὴν τῶν συνθέτων εἰδῶν κριτικήν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη 〈φαντασίας〉 , ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου εἰς ἕτερον οἷον σχήματος 〈καὶ〉 κινήσεως σώματος, ἐν μεθορίῳ τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου, μνήμης καὶ νοῦ μετέχουσα, διατείνουσα καὶ ἐπὶ τὰ ἄλογα τῶν ζῴων, καθὸ ποσὴν διανοίας ἀναλογίαν ἔχει· κοινὰ δ' ἐστὶν ὄψεως μὲν καὶ ἁφῆς σχῆμα, ὄψεως δὲ καὶ ἀκοῆς διάστημα, πασῶν δὲ κίνησις καὶ μέγεθος καὶ ἀριθμός. 〈Οἱ〉 Στωικοὶ τήνδε τὴν κοινὴν αἴσθησιν ἐντὸς ἀφὴν προσαγορεύουσι, καθ' ἣν καὶ ἡμῶν αὐτῶν ἀντιλαμβανόμεθα. 〈 Aetii (IV 10, 3 p. 399, 13 Diels.).〉 〈 Aetii (IV 10, 5. 6 p. 399, 19 Diels.).〉 Δημόκριτος πλείους μὲν εἶναι τὰς αἰσθήσεις τῶν αἰσθητῶν, τῷ δὲ μὴ ἀναλογίζειν τὰ αἰσθητὰ τῷ πλήθει λανθάνειν. Οἱ δ' ἄλλοι παρίσους. 〈 Aetii (IV 8, 8—14 p. 395, 20 Diels.).〉 Οἱ Στωικοὶ σωμάτων τὰς αἰσθήσεις. Οἱ ἀπὸ τῶν ἀρχαίων τῶν περὶ τὰ σώματα ἀσωμάτων λόγων ἅπερ ἤδη σχήματα προσαγορεύουσι. Λεύκιππο ς , Δημόκριτο ς , Ἐπίκουρος τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος. Οἱ ἄλλοι εἰδῶν ἢ σχημάτων ἑτεροιώσει 〈ἢ〉 ἐν ψυχῇ τυπώσει, ἀπορροίαις πάντως μᾶλλον ἢ εἰδώλοις. Οἱ Στωικοὶ πᾶσαν αἴσθησιν εἶναι συγκατάθεσιν καὶ κατάληψιν. Οἱ Ἀκαδημαικοὶ μὴ εἶναι τὰς αἰσθήσεις μήτε καταλήψεις μήτε συγκαταθέσεις. Οἱ Περιπατητικοὶ οὐκ ἄνευ μὲν 〈 Aetii (IV 9, 1—8 p. 396, 11 sqq. Diels.).〉 Πυθαγόρα ς , Ἐμπεδοκλῆ ς , Ξενοφάνη ς , Παρμενίδη ς , Ζήνω ν , Μέλισσο ς , Ἀναξαγόρα ς , Δημόκριτο ς , Μητρόδωρο ς , Πρωταγόρα ς , Πλάτων ψευδεῖς εἶναι τὰς αἰσθήσεις. Οἱ ἀπὸ τῆς Ἀκαδημίας ὑγιεῖς μέν, ὅτι δι' αὐτῶν οἷόν τε λαβεῖν ἀληθινὰς φαντασίας, οὐ μὴν ἀκριβεῖς. Ἀριστοτέλης τὴν αἴσθησιν μὴ πλανᾶσθαι περὶ τὸ ἴδιον, περὶ δὲ τὸ συμβεβηκός. Οἱ Στωικοὶ τὰς μὲν αἰσθήσεις ἀληθεῖς, τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς τὰς δὲ ψευδεῖς. Ἐπίκουρος πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ, τῶν δὲ δοξῶν τὰς μὲν ἀληθεῖς τὰς δὲ ψευδεῖς. Καὶ ἡ μὲν αἴσθησις μοναχῶς ψευδοποιεῖται κατὰ νοητά, ἡ δὲ φαντασία διχῶς [νοεῖται]· καὶ γὰρ αἰσθητῶν ἐστι φαντασία καὶ νοητῶν. Παρμενίδη ς , Ἐμπεδοκλῆ ς , Ἀναξαγόρα ς , Δημόκριτο ς , Ἐπίκουρο ς , Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου, τῶν αἰσθητῶν ἑκάστου ἑκάστῃ ἐναρμόττοντος. Οἱ Περιπατητικοὶ παρὰ τὰς δυνά- Οἱ μὲν ἄλλοι φύσει τὰ αἰσθητά, Λεύκιππος δέ, Δημόκριτος καὶ Διογένης νόμῳ, τοῦτο δ' ἐστὶ δόξῃ καὶ πάθεσι τοῖς ἡμετέροις· μηδὲν δ' εἶναι ἀληθὲς μηδὲ καταληπτὸν ἐκτὸς τῶν πρώτων στοιχείων, ἀτόμων καὶ κενοῦ· ταῦτα γὰρ εἶναι μόνα φύσει, τὰ δ' ἐκ τούτων, θέσει καὶ τάξει καὶ σχήματι διαφέροντα ἀλλήλων, συμβεβηκότα. 〈 Aetii (IV 9, 14 p. 398, 8 Diels.).〉 Παρμενίδη ς , Ἐμπεδοκλῆς ἐλλείψει τροφῆς τὴν ὄρεξιν. 〈 Aetii (IV 9, 9—13 p. 397, 19 sq. Diels.).〉 Οἱ τὰ ἄτομα καὶ οἱ τὰ ὁμοιομερῆ καὶ οἱ τὰ ἀμερῆ καὶ τὰ ἐλάχιστα πάντ' ἐν πᾶσι τὰ αἰσθητὰ ἀναμεμῖχθαι καὶ μηδὲν αὐτῶν εἰλικρινὲς ὑπάρχειν, παρὰ δὲ τὰς ἐπικρατείας ὀνομάζεσθαι τοῖον ἢ τοῖον καὶ παρὰ τὴν πολυαύγειαν. Πυθαγόρας καὶ Πλάτων καθαρὸν ἕκαστον εἶναι τῶν αἰσθητῶν ἐξ ἑκάστου στοιχείου προερχόμενον. Πρὸς μὲν οὖν τὴν ὅρασιν τὸ αἰθερῶδες πεφυκέναι, πρὸς δὲ τὴν ἀκοὴν τὸ πνευματικόν, πρὸς δὲ τὴν ὄσφρησιν τὸ πυρῶδες, πρὸς δὲ τὴν γεῦσιν τὸ ὑγρόν, πρὸς δὲ τὴν ἁφὴν τὸ γεῶδες. Ἐπίκουρος τῶν αἰσθητῶν 〈τὰσ〉 ἡδονὰς ἤδη καὶ τὰς λύπας. Οἱ Περιπατητικοὶ τῶν νοητῶν· οὐ γὰρ πᾶσι φαίνεται τὰ αὐτὰ ἡδέα τε καὶ λυπηρὰ καθάπερ Χρύσιππος τὸ μὲν γενικὸν ἡδὺ νοητόν, τὸ δὲ εἰδικὸν καὶ προσπῖπτον ἤδη αἰσθητόν. 〈 Aetii (IV 9, 15—20) p. 398, 10 sq. Diels.〉 Ἐμπεδοκλῆς τὰς ἡδονὰς γίνεσθαι τοῖς μὲν ὁμοίοις [τῶν ὁμοίων], κατὰ δὲ τὸ ἐλλεῖπον πρὸς τὴν ἀναπλήρωσιν, ὥστε τῷ ἐλλείποντι ἡ ὄρεξις τοῦ ὁμοίου· τὰς δ' ἀλγηδόνας τοῖς ἐναντίοις, ἠλλοτριῶσθαι γὰρ πρὸς ἄλληλα ὅσα διαφέρει κατά τε

τὴν σύγκρισιν καὶ τὴν τῶν στοιχείων κρᾶσιν. Ἀναξαγόρας πᾶσαν αἴσθησιν μετὰ πόνου. Οἱ ἄλλοι ἐπιγίγνεσθαι ἤτοι ἡδονὴν ἢ πόνον οὐδὲ συμπεφυκέναι. Οἱ Στωικοὶ τὸν σοφὸν αἰσθήσει καταληπτὸν ἀπὸ τοῦ εἴδους τεκμηριωδῶς· οἱ Ἀκαδημαικοὶ λόγῳ γνώριμον· Ἐπίκουρος σοφῷ μόνῳ τὸν σοφόν. Δημόκριτος τὰ νεκρὰ τῶν σωμάτων αἰσθάνεσθαι. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 60 B. C). Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικεν εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἐδύνατο, συνῆψεν εἰς ταὐτὸν αὐτῶν τὰς κορυφάς, καὶ διὰ ταῦτα ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον. Ὥσπερ οὖν καὶ αὐτῷ μοι ἔοικεν, ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει τὸ ἀλγεῖν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ. Πλάτωνος ἐκ τοῦ Θεαιτήτου (p. 152 C ; 153 D —154 B). Φαντασία ἄρα καὶ αἴσθησις ταὐτὸν ἔν τε θερμοῖς καὶ πᾶσι τοῖς τοιούτοις· οἷα γὰρ αἰσθάνεται ἕκαστος, τοιαῦτα ἑκάστῳ καὶ κινδυνεύει εἶναι ..... Ὑπόλαβε τοίνυν, ὦ ἄριστε, οὑτωσὶ καὶ τὰ ὄμματα πρῶτον· ὃ δὴ καλεῖς χρῶμα λευκόν, μὴ εἶναι αὐτὸ ἕτερόν τι ἔξω τῶν σῶν ὀμμάτων μηδ’ ἐν τοῖς ὄμμασι· μηδέ τιν’ αὐτῷ χώραν ἀποτάξῃς· ἤδη γὰρ ἂν εἴη τε ἄν που ἐν τάξει καὶ μένον καὶ οὐκ ἂν ἐν γενέσει γίγνοιτο. — Ἀλλὰ πῶς; — Ἑπόμεθα τῷ ἄρτι λόγῳ, μηδὲν αὐτὸ καθ’ αὑτὸ ἓν ὂν τιθέντες· καὶ ἡμῖν οὕτω μέλαν τε καὶ λευκὸν καὶ ὁτιοῦν ἄλλο χρῶμα ἐκ τῆς προσβολῆς τῶν ὀμμάτων πρὸς τὴν προσήκουσαν φορὰν φανεῖται γεγενημένον, καὶ ὃ δὴ ἕκαστον εἶναί φαμεν χρῶμα, οὔτε τὸ προσβάλλον οὔτε τὸ προσβαλλόμενον ἔσται, τοῦτο ἰσχυρῶς, ἢ πολὺ μᾶλλον, ὅτι οὐδὲ σοὶ ταὐτὸν διὰ τὸ μηδέποτε ὁμοίως αὐτὸν σεαυτῷ ἔχειν; — Τοῦτο μᾶλλον δοκεῖ μοι ἢ ἐκεῖνο. — Οὐκοῦν εἰ μὲν ᾧ παρεμετρούμεθα, ἢ οὗ ἐφαπτόμεθα, μέγα ἢ λευκὸν ἢ θερμὸν ἦν, οὐκ ἄν ποτε ἄλλῳ προσπεσὸν ἄλλο ἂν ἐγεγόνει, αὐτό γε μηδὲν μεταβάλλον· εἰ δὲ αὖ τὸ παραμετρούμενον ἢ τὸ ἐφαπτόμενον ἕκαστον ἦν τούτων, οὐκ ἂν αὖ ἄλλου προσελθόντος ἤ τι παθόντος αὐτὸ μηδὲν παθὸν ἄν ἄλλο ἐγένετο. Ἐν ταὐτῷ (p. 157 C). Μὴ τοίνυν ἀπολίπωμεν ὅσον ἐλλεῖπον αὐτοῦ. Λείπεται δὲ ἐνυπνίων τε πέρι καὶ νόσων τε τῶν ἄλλων καὶ μανίας, ὅσα τε παρακούειν ἢ παρορᾶν ἤ τι ἄλλο παραισθάνεσθαι λέγεται. Οἶσθα γάρ που ὅτι ἐν πᾶσι τούτοις ὁμολογουμένως ἐλέγχεσθαι δοκεῖ ὃν ἄρτι διῆμεν λόγον, ὥστε παντὸς μᾶλλον ἂν ἡμῖν ψευδεῖς αἰσθήσεις ἐν αὐτοῖς γιγνομένας, καὶ πολλοῦ δεῖ τὰ φαινόμενα ἑκάστῳ ταῦτα καὶ εἶναι, ἀλλὰ πᾶν τοὐναντίον οὐδὲν ὂν φαίνεται εἶναι. — Ἀληθέστατα λέγεις, ὦ Σώκρατες. — Τίς δὴ οὖν, ὦ παῖ, λείπεται λόγος τῷ τὴν αἴσθησιν ἐπιστήμην τιθεμένῳ καὶ τὰ φαινόμενα ἑκάστῳ ταῦτα εἶναι τούτῳ ᾧ Ἐν ταὐτῷ (p. 179 A. B. C). Μετρίως ἄρα ἡμῖν πρὸς τὸν διδάσκαλόν σου εἰρήσεται, ὅτι ἀνάγκη αὐτῷ ὁμολογεῖν σοφώτερόν τε ἄλλον ἄλλου εἶναι καὶ τὸν μὲν τοιοῦτον μέτρον εἶναι, ἐμοὶ δὲ τῷ ἀνεπιστήμονι μηδὲ ὁπωστιοῦν ἀνάγκην εἶναι μέτρῳ γίγνεσθαι ..... Πολλαχῇ οὖν, ὦ Θεόδωρε, καὶ ἄλλῃ ἂν τό γε τοιοῦτον ἁλοίη μὴ πᾶσαν πάντως ἀληθῆ δόξαν εἶναι· περὶ δὲ τὸ παρὸν ἑκάστῳ πάθος, ἐξ ὧν αἱ αἰσθήσεις καὶ αἱ κατὰ ταύτας δόξαι γίγνονται, χαλεπώτερον ἐλεῖν ὡς οὐκ ἀληθεῖς. Ἐν ταὐτῷ (p. 183 B). Οὐκοῦν, ὦ Θεόδωρε, τοῦ τε σοῦ ἑταίρου ἀπηλλάγμεθα, καὶ οὔπω συγχωροῦμεν αὐτῷ πάντ’ ἄνδρα πάντων χρημάτων μέτρον εἶναι. Πλάτωνος ἐν Τιμαίῳ (p. 37 B). Λόγος δὲ ὁ κατὰ ταὐτὸν γιγνόμενος, περί τε θάτερον ὢν καὶ περὶ τὸ ταὐτόν, ἐν τῷ κινουμένῳ ὑφ’ αὑτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δὲ αὖ περὶ τὸ λογιστικὸν ᾖ καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, νοῦς ἐπιστήμη τε ἐξ ἀνάγκης ἀποτελεῖται, τούτω δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίγνεσθον, ἄν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν

1.51 Σιμύλο υ . Πέντ’ εἰσὶν ἃς ἄνθρωπος αἰσθήσεις ἔχει· [ἀφὴν ὅρασιν ἀκοὴν γεῦσιν ὄσφρησιν] τούτων ἁπασῶν κυριωτάτη μία ἀκοή· φαγὼν γὰρ οὐδὲ εἷς ἔφυ σοφὸς οὐδ’ ἀψ 〈άμενος οὐδ’ ὀσφρ〉 όμενος οὐδ’ εἰσιδὼν τὸ λυσιτελές ..... ἐκ τοῦ δ’ ἀκούειν μανθάνειν τε τἀγαθὰ πολλοὶ

φρόνιμοι γεγόνασι· ταύτην γὰρ μίαν ὁ νοῦς ἑαυτῷ κατέλιπεν διδάσκαλον· ..... ὥσπερ δικαστὴν ἢ κριτὴν ἢ κύριον. 〈 Aetii (IV 10, 1. 2 p. 399, 3 Diels.).〉 Οἱ Στωικοὶ πέντε τὰς εἰδικὰς αἰσθήσεις· Ἀριστοτέλης ἕκτην μὲν οὐ λέγει, κοινὴν δὲ αἴσθησιν 〈τὴν〉 τῶν συνθέτων εἰδῶν κριτικήν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας, ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου πρὸς ἕτερον, οἱονεὶ σχήματος καὶ κινήσεως. 〈 Aetii (IV 10, 4 p. 399, 15 Diels.).〉 Δημόκριτος πλείους εἶναι αἰσθήσεις περὶ τὰ ἄλογα ζῷα καὶ περὶ τοὺς σοφοὺς καὶ περὶ τοὺς θεούς. 〈 Didymi (epit. phys. fr. 15 p. 455 Diels.).〉 Ἀριστοτέλου ς . Τὸ δὲ αἰσθητικόν, ὃ δὴ κοινῶς ἁπάντων τῶν ζώων ἴδιον (αἰσθήσει γὰρ διαφέρειν τὸ ζῷον τοῦ φυτοῦ), πενταπλοῦν ἐοικέναι. Τοῦτο γὰρ τὸ μὲν ὅρασιν, τὸ δ' ἀκοήν, τὸ δ' ὄσφρησιν, τὸ δὲ γεῦσιν, τὸ δ' ἁφήν. Ὑπάρχειν δέ τινα καὶ σύνθετον αἴσθησιν, ἐν ᾗ τό τε φανταστικὸν πᾶν γίγνεσθαι καὶ 〈τὸ〉 μνημονευτικὸν καὶ τὸ δοξαστικόν, ὅπερ οὖν οὐδ' ἄμοιρον τοῦ νοῦ τυγχάνειν. Αἰσθάνεσθαι δὲ ἡμᾶς παθούσης τι τῆς αἰσθήσεως. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 96 B). Ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ Ἐμπεδοκλῆς (v. 333. 334 Stein.). Γαίᾳ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀίδηλον.

1.52 〈 Aetii (IV 13, 1. 2 a p. 403, 2 Diels.).〉 Λεύκιππος Δημόκριτος Ἐπίκουρος κατὰ εἰδώλων εἴσκρισιν οἴονται τὸ ὁρατικὸν συμβαίνειν πάθος. [Καὶ κατά τινων ἀκτίνων ἔκκρισιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.] 〈 Aetii (IV 13, 6—12 p. 403, 22 Diels.).〉 Τιμαγόρα ς , εἷς τῶν παραχαραξάντων ἐν συχνοῖς τὴν Ἐπικούρειον αἵρεσιν, ἀντὶ τῶν εἰδώλων ταῖς ἀπορροίαις χρῆται. Στράτων χρώματά φησιν ἀπὸ τῶν σωμάτων φέρεσθαι συγχρῴζοντ' αὐτοῖς τὸν μεταξὺ ἀέρα. Ἀρίσταρχος σχήματα συνδιατυποῦντά πως αὐτοῖς τὸν ἀέρα. Ἵππαρχος ἀφ' ἑκατέρου φησὶ τῶν ὀφθαλμῶν Ἔνιοι καὶ Πυθαγόραν τῇ δόξῃ ταύτῃ συνεπιγράφουσιν, ἅτε δὴ βεβαιωτὴν τῶν μαθημάτων· καὶ πρὸς τούτῳ Παρμενίδην ἐμφαίνοντα τοῦτο διὰ τῶν ποιημάτων. Πλάτων συναύγειαν τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα, εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον, συντεινομένου τῷ πυρώδει τῆς ὄψεως. αὕτη λέγεται Πλάτωνι ἡ συναύγεια. Ἀλκμαίων κατὰ τὴν τοῦ διαφανοῦς ἀντίληψιν. 〈 Didymi (epit. phys. fr. 17 p. 456 Diels.).〉 Ἀριστοτέλου ς . Ὁρᾶν ἡμᾶς κατὰ κίνησιν τοῦ κατ' ἐνέργειαν διαφανοῦς· διαφανὲς δὲ οὐ μόνον εἶναι τὸν ἀέρα ἀλλὰ καὶ τὸ ὕδωρ καί τινα τῶν συνισταμένων ποθέν, οἷον ὕαλον καὶ κρύσταλλον καί τινας τῶν λαμπρῶν λίθων. Ἀκούειν δὲ κατ' ἐνέργειαν τοῦ μεταξὺ διηχοῦς· διηχὲς δ' εἶναι καὶ τὸν ἀέρα καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ καί τινα τῶν συγκριμάτων. 〈10—13 Aetii (IV 13, 2 b —5 p. 403, 7 Diels.).〉 Τῶν Ἀκαδημαικῶν τινες κατά τινων 〈ἀκτίνων〉 ἔκχυσιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν Ποσειδώνιος 〈αὐ〉γῶν αὐτὴν σύμφυσιν ὀνομάζει. Ἐμπεδοκλῆς καὶ πρὸς τὸ διὰ τῶν ἀκτίνων καὶ πρὸς τὸ διὰ τῶν εἰδώλων ἐκδοχὰς παρέχεται· πλείους δὲ πρὸς 〈τὸ〉 δεύτερον· τὰς γὰρ ἀπορροίας ἀποδέχεται. Ἑστιαῖος ὁ Περίνθιος τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε, προσαγορεύσας τὸ γιγνόμενον ἀκτινείδωλον. 〈 Aetii (IV 14, 1—4 p. 405, 3 sqq. Diels.).〉 Ἐμπεδοκλῆς κατ' ἀπορροίας τὰς συνισταμένας μὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, πιλουμένας δ' ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τοῦ κατόπτρου πυρώδους καὶ τὸν προκείμενον ἀέρα, εἰς ὃν φέρεται τὰ ῥεύματα, συμμεταφέροντος. Λεύκιππο ς , Δημόκριτο ς , Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ἐμφάσεις, ἅ τινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατ' ἀντιπεριστροφήν. 〈Οἱ〉 ἀπὸ Πυθαγόρου καὶ τῶν μαθηματικῶν κατ' ἀνάκλασιν τῆς ὄψεως. Φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκόν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ λείῳ πληχθεῖσαν ὑποστρέφειν αὐτὴν ἐφ' ἑαυτήν, ὅμοιόν τι πάσχουσαν τῇ ἐκτάσει τῆς χειρὸς καὶ τῇ

Σφαῖρο ς . ὁ Στωικὸς ὁρατὸν εἶναι τὸ σκότος, ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα εἰς αὐτὸ αὐγήν. [Οἱ Στωικοὶ ὁρατὸν εἶναι τὸ σκότος· ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα ἐπ’ αὐτὸ αὐγήν. Καὶ οὐ ψεύδεται ἡ ὅρασις, βλέπεται γὰρ ταῖς ἀληθείαις ὅτι ἔστι σκότος.] Χρύσιππος κατὰ συνέντασιν [τὰ ὄντα] τοῦ μεταξὺ ἀέρος ὁρᾶν ἡμᾶς, νυγέντος μὲν ὑπὸ τοῦ ὀπτικοῦ πνεύματος, ὅπερ ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῆς κόρης διήκει, κατὰ δὲ τὴν πρὸς τὸν περικείμενον ἀέρα ἐπιβολὴν ἐντείνοντος αὐτὸν κωνοειδῶς, ὅταν ᾖ ὁμογενὴς ὁ ἀήρ· προχέονται δ’ ἐκ τῆς ὄψεως ἀκτῖνες πύριναι, οὐχὶ μέλαιναι καὶ ὁμιχλώδεις· διόπερ ὁρατὸν εἶναι τὸ σκότος. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 45 B —46 B). Τῶν δὲ ὀργάνων πρῶτον μὲν φωσφόρα συνετεκτήναντο ὄμματα, τοιᾷδε ἐνδήσαντες αἰτίᾳ· τοῦ πυρὸς ὅσον τὸ μὲν καίειν οὐκ ἔσχε, τὸ δὲ παρέχειν φῶς ἥμερον, οἰκεῖον ἑκάστης ἡμέρας, σῶμα ἐμηχανήσαντο γίγνεσθαι. Τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς ἐποίτὸ μὲν ἄλλο ὅσον παχύτερον στέγειν πᾶν, τὸ τοιοῦτον δὲ μόνον αὐτὸ καθαρὸν διηθεῖν. Ὅταν οὖν μεθημερινὸν ᾖ φῶς περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότε ἐκπῖπτον ὅμοιον πρὸς ὅμοιον, συμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν συνέστη κατὰ τὴν τῶν ὀμμάτων εὐθυωρίαν, ὅπῃπερ ἂν ἀντερείδῃ τὸ προσπῖπτον ἔνδοθεν πρὸς ὃ τῶν ἔξω συνέπεσεν. Ὁμοιοπαθὲς δὴ δι’ ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἐφάπτηται, καὶ ὃ ἂν ἄλλο ἐκείνου, τούτων τὰς κινήσεις διαδιδὸν εἰς ἅπαν τὸ σῶμα μέχρι τῆς ψυχῆς αἴσθησιν παρέσχετο ταύτην, ᾗ δὴ ὁρᾶν φαμεν. Ἀπελθόντος δὲ εἰς νύκτα τοῦ ξυγγενοῦς πυρὸς ἀποτέτμηται· πρὸς γὰρ ἀνόμοιον ἐξιὸν ἀλλοιοῦταί τε αὐτὸ καὶ κατασβέννυται, ξυμφυὲς οὐκέτι τῷ πλησίον ἀέρι γιγνόμενον, ἅτε πῦρ οὐκ ἔχοντι. Παύεταί τε οὖν ὁρῶν, ἔτι τε ἐπαγωγὸν ὕπνου γίγνεται· σωτηρίαν γὰρ ἣν οἱ θεοὶ τῆς ὄψεως ἕνεκα ἐμηχανήσαντο, τὴν τῶν βλεφάρων φύσιν, ὅταν ταῦτα συμμύσῃ, καθείργνυσι τὴν τοῦ πυρὸς ἐντὸς δύναμιν, ἡ δὲ διαχεῖται καὶ ὁμαλύνει τὰς ἐντὸς κινήσεις, ὁμαλυνθεισῶν δὲ ἡσυχία γίγνεται, γενομένης δὲ πολλῆς μὲν ἡσυχίας βραχυόνειρος ὕπνος ξυμπίπτει, καταλειφθεισῶν δέ τινων κινήσεων μειζόνων, οἷαι καὶ ἐν οἵοις ἂν τόποις λίπωνται, τοιαῦτα καὶ τοσαῦτα παρέσχον τὰ ἀφομοιωθέντα ἐντὸς ἔξωθέν τε ἐγερθεῖσιν ἀπομνημονευόμενα φανλεπόν· ἐκ γὰρ τῆς ἐντὸς ἐκτός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις, ἑνός τε αὖ περὶ τὴν λειότητα ἑκάστοτε γενομένου καὶ πολλαχῇ μεταρρυθμισθέντος, πάντα τὰ τοιαῦτα ἐξ ἀνάγκης ἐμφαίνεται, τοῦ περὶ τὸ πρόσωπον πυρὸς τῷ περὶ τὴν ὄψιν πυρὶ περὶ τὸ λεῖον καὶ λαμπρὸν ξυμπαγεῖ γιγνομένῳ. 〈 Ἐν ταὐτῷ 〉 (p. 67 C — 68 D)· [εἰς τὸ περὶ χρωμάτω ν]. Ἔστι γένος ἡμῖν αἰσθητικόν, ὃ διελέσθαι δεῖ συχνὰ ἐν αὑτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀπορρέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν· ὄψεως δ’ ἐν τοῖς πρόσθεν αὐτὸ περὶ τῶν αἰτίων τῆς γενέσεως ἐρρήθη· τῇδ’ οὖν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ’ ἂν τὸν ἐπιεικῆ λόγῳ διεξελθεῖν, τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια ἐμπίπτοντά τε εἰς τὴν ὄψιν, τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δὲ ἴσα τῆς αὐτῆς ὄψεως μέρεσιν εἶναι. Τὰ μὲν οὖν ἴσα ἀναίσθητά τε δὴ διαφανῆ λέγομεν, τὰ δὲ μείζω καὶ ἐλάττω, τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίκαὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς καὶ ὅσα θερμαντικὰ ὄντα δριμέα ἐκαλέσαμεν ἀδελφὰ εἶναι, ταῦτα εἴη ἂν τά τε λευκὰ καὶ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει ταὐτά, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας αἰτίας. Οὕτως οὖν αὐτὰ προσρητέον· τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ’ ἐναντίον αὐτοῦ μέλαν, τὴν δὲ ὀξυτέραν φορὰν καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀφθαλμῶν, αὐτάς τε τῶν ὀμμάτων τὰς διεξόδους βίᾳ διωθοῦσαν, πῦρ μὲν ἀθρόον καὶ ὕδωρ, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν, καὶ τοῦ μὲν ἐκπηδῶντος πυρὸς οἷον ἀπ’ ἀστραπῆς, τοῦ δ’ εἰσιόντος καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκλήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν. Τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ χρῶμα ἔναιμον παρασχομένῃ τοὔνομα ἐρυθρὸν λέγομεν. Λαμπρὸν δὲ ἐρυθρῷ λευκῷ τε μιγνύμενον ξανθὸν γέγονε. Τὸ δὲ ὅσον μέτρον ὅσον οὔ, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχει τὸ λέγειν, ὧν μήτε τινὰ ἀνάγκην μήτε τὸν εἰκότα λόγον καὶ μεμιγμένοις καυθεῖσί τε μᾶλλον συγκραθῇ μέλαν. Πυρρὸν δὲ ξανθοῦ καὶ φαιοῦ κράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος, τὸ δὲ ὠχρὸν λευκοῦ ξανθῷ μιγνυμένου. Λαμπρῷ τε λευκὸν συνελθὸν καὶ ἐς μέλαν κατακορὲς ἐμπεσὸν κυανοῦν χρῶμα ἀποτελεῖται, κυανοῦ δὲ λευκῷ κεραννυμένου γλαυκόν, πυρροῦ δὲ μέλανι πράσινον. Τὰ δ' ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασῴζοι τὸν εἰκότα μῦθον. Εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον, ὅτι θεὸς μὲν τὰ πολλὰ εἰς ἓν [μὲν] συγκεραννύναι καὶ πάλιν ἐξ ἑνὸς εἰς πολλὰ διαλύειν ἱκανῶς ἐπιστάμενος ἅμα καὶ δυνατός, ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς οὔτ' ἔστι νῦν, οὔτ' εἰσαῦθίς ποτ' ἔσται.

Ἀριστομβρότου Περὶ ὄψιο ς . Ὄψις καὶ φάος καὶ ἀὴρ φυσικὰν ἔχει σύγκρασίν τε καὶ συγγένειαν ποτ' ἄλλαλα ** λαμπρῶς ὁρῆ· καὶ ἀὴρ πᾶς τῷ λαμπρῷ διορῆται. συμβέβακε δὲ καὶ τὰν ὄψιν καὶ τὸν ἀέρα εἶμεν ** ἀλλὰ τὰν μὲν ὄψιν μέλαιναν καὶ ὑγράν, τὸν δὲ ἀέρα μέλανα καὶ ἀραιόν· ἐνυπόκειται δὲ καὶ τᾷ ὄψι καὶ τῷ ἀέρι [καὶ] τὸ δυνάμι διαφανές, ἀλλὰ τᾷ μὲν ὄψι τὸ συγγενὲς φάος, τῷ δὲ ἀέρι τὸ ἀπὸ τῶ δείξαιτο κά τις ἐκ τῶνδε· πρᾶτον μὲν τῷ διαφανέα καὶ λαμπρὰν εἶμεν· πᾶν γὰρ τὸ διαφανὲς καὶ λαμπρὸν οὐκ ἄνευ τινὸς φάεος ** ἐκ τᾶς ὄψιος ἢ διά τινος παραθλίψιος ἢ καὶ παρατρίψιος.

1.53 〈 Aetii (IV 16, 1—4 p. 406, 16 Diels.).〉 Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίνεσθαι κατὰ τὴν πρόσπτωσιν πνεύματος τῷ χόνδρῳ, ὅνπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτός, κώδωνος δίκην αἰωρούμενον καὶ τυπτόμενον. Ἀλκμαίων ἀκούειν ἡμᾶς τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτός· τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος εἰσβολήν· πάντα γὰρ τὰ κοῖλα ἠχεῖ. Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου. Οἱ ἀπὸ Πλάτωνος πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικὰ καὶ γίγνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν. Πλάτωνος ἐν Τιμαίῳ (p. 67 A—C). Τὸ δὲ αἰσθητικὸν ἐν ἡμῖν μέρος ἐπιζητοῦσι τὸ περὶ ματα, λεκτέον. Ὅλως μὲν οὖν φωνὴν θῶμεν τὴν δι' ὤτων ὑπ' ἀέρος ἐγκεφάλου τε καὶ αἵματος μέχρι ψυχῆς πληγὴν διαδιδομένην, τὴν δὲ ὑπ' αὐτῆς κίνησιν ἀπὸ κεφαλῆς μὲν ἀρχομένην, τελευτῶσαν δὲ περὶ τὴν τοῦ ἥπατος ἕδραν ἀκοήν· ὅση δὲ αὐτῆς ταχεῖα, ὀξεῖαν, ὅση δὲ βραδυτέρα, βαρυτέραν· τὴν δὲ ὁμαλὴν λείαν· τὴν δὲ ἐναντίαν τραχεῖαν· μεγάλην δὲ τὴν πολλήν, ὅση δ' ἐναντία, σμικράν. Τὰ δὲ περὶ ξυμφωνίας αὐτῶν ἐν τοῖς ὕστερον λεχθησομένοις ἀνάγκη ῥηθῆναι.

1.54 〈 Aetii (IV 17, 1. 2 p. 407, 2 Diels.).〉 Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικόν· τούτῳ οὖν ὀσφραίνεσθαι ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύματος συνεισκρίνεσθαι τὴν ὀσμήν· ὅταν γοῦν ἡ ἀναπνοὴ βαρεῖα γένηται, κατὰ τραχύτητα μὴ συναισθάνεσθαι, ὡς ἐπὶ τῶν ῥευματιζομένων. 〈 Didymi (fr. phys. 17 p. 456 Diels.).〉 Ἀριστοτέλου ς . Ὀσφραίνεσθαι τοῦ μεταξὺ σώματος ἀναπιμπλαμένου τῶν ὀσφραντῶν. Πλάτωνος ἐκ τοῦ Τιμαίου οὐδενὶ συμβέβηκε συμμετρία πρὸς τό τινα ἔχειν ὀσμήν. Ἀλλ' ἡμῶν αἱ περὶ ταῦτα φλέβες πρὸς μὲν τὰ γῆς ὕδατός τε γένη στενώτεραι ξυνέστησαν, πρὸς δὲ τὰ πυρὸς ἀέρος τε εὐρύτεραι. Διὸ τούτων οὐδεὶς οὐδενὸς ὀσμῆς πώποτε ᾔσθετό τινος, ἀλλ' ἢ βρεχομένων ἢ σηπομένων ἢ τηκομένων ἢ θυμιωμένων γίγνονταί τινων· μεταβάλλοντος γὰρ ὕδατος εἰς ἀέρα ἀέρος τε εἰς ὕδωρ ἐν τῷ μεταξὺ τούτων γεγόνασιν, εἰσί τε ὀσμαὶ ξύμπασαι καπνὸς ἢ ὁμίχλη. Τούτων δὲ τὸ μὲν ἐξ ἀέρος εἰς ὕδωρ ἰὸν ὁμίχλη, τὸ δ' ἐξ ὕδατος εἰς ἀέρα καπνός. Ὅθεν λεπτότεραι μὲν ὕδατος, παχύτεραι δὲ ὀσμαὶ ξύμπασαι γεγόνασιν ἀέρος. Δηλοῦται δέ, ὁπόταν τινὸς ἀντιφραχθέντος περὶ τὴν ἀναπνοὴν ἄγῃ τις βίᾳ τὸ πνεῦμα εἰς

αὐτόν· τότε γὰρ ὀσμὴ μὲν οὐδεμία ξυνδιηθεῖται, τὸ δὲ πνεῦμα τῶν ὀσμῶν ἐρημωθὲν αὐτὸ μόνον ἔπεται. Δι' οὗν ταῦτα ἀνώνυμα τούτων ποικίλματα γέγονεν, οὐκ ἐκ πολλῶν οὐδὲ ἁπλῶν εἰδῶν ὄντα, ἀλλὰ διχῇ τό τε ἡδὺ καὶ τὸ λυπηρὸν αὐτόθι μόνω διαφανῆ λέγεσθον, τὸ μὲν τραχῦνόν τε καὶ βιαζόμενον τὸ κύτος ἅπαν, ὅσον ἡμῶν μεταξὺ κορυφῆς τοῦ τε ὀμφαλοῦ κεῖται, τὸ δὲ ταὐτὸν τοῦτο καταπραῦνον καὶ πάλιν ᾗ πέφυκεν ἀγαπητῶς

1.55 Didymi (epit. phys. fr. 17 p. 456 Diels.). Ἀριστοτέλους ς . Γεύεσθαι διὰ τοῦ μεταξὺ τῶν γευστῶν ὑγρῶν. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 65 C —66 D). Πρῶτον οὖν ὅσα τῶν χυμῶν πέρι λέγοντες ἐν τοῖς πρόσθεν ἀπελίπομεν, ἴδια ὄντα παθήματα περὶ τὴν γλῶτταν, ἐμφανιστέον εἰ δυνατόν. Φαίνεται δὲ καὶ ταῦτα, ὥσπερ οὖν καὶ τὰ πολλά, διὰ συγκρίσεών τέ τινων καὶ διακρίσεων γίγνεσθαι, πρὸς δὲ αὐταῖς κεχρῆσθαι μᾶλλόν τι τῶν ἄλλων τραχύτησί τε καὶ λειότησιν. Ὅσα μὲν γὰρ εἰσιόντα περὶ τὰ φλέβια, οἷόν περ δοκίμια τῆς γλώττης τεταμένα ἐπὶ τὴν καρδίαν, εἰς τὰ νοτερὰ τῆς σαρκὸς καὶ ἁπαλὰ ἐμπίπτοντα γήινα μέρη κατατηκόμενα ξυνάγει τὰ φλέβια καὶ ἀποξηραίνει, τραχύτερα μὲν ὄντα στρυφνά, ἧττον δὲ τραχύνοντα αὐστηρὰ φαίνεται. Τὰ δὲ τούτων τε ῥυπτικὰ καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα πέρα μὲν τοῦ μετρίου τοῦτο δρῶντα καὶ προσεπιλαμβανόμενα, ὥστε ἀποτήκειν αὐτῆς τῆς φύσεως, οἷον ἡ τῶν νίτρων δύναμις, πικρὰ πάνθ' οὕτως ὠνόμασται· τὰ δ' ὑποδεέστερα τῆς νιτρώδους ἕξεως ἐπὶ τὸ μέτριόν τε τῇ ῥύψει χρώμενα ἁλυκὰ ἄνευ πικρότητος τραχείας καὶ φίλα μᾶλλον ἡμῖν φαντάζεται. Τὰ δὲ τοῦ στόματος θερτὰς δυνάμεις δριμέα πάντα τὰ τοιαῦτα ἐλέχθη. Τῶν δὲ αὐτῶν προλελεπτυσμένων μὲν ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς στενὰς φλέβας ἐνδυομένων, καὶ τοῖς ἐνοῦσιν αὐτόθι μέρεσι γεώδεσι καὶ ὅσα ἀέρος ξυμμετρίαν ἔχοντα, ὥστε κινήσαντα περὶ ἄλληλα ποιεῖν κυκᾶσθαι, κυκώμενα δὲ περιπίπτειν τε, καὶ εἰς ἕτερα ἐνδυόμενα ἕτερα κοῖλα ἀπεργάζεσθαι, περιγιγνόμενα τοῖς εἰσιοῦσιν· ἃ δὴ νοτίδος περὶ ἀέρα κοίλης περιταθείσης, τοτὲ μὲν γεώδους, τοτὲ δὲ καθαρᾶς, νοτερὰ ἀγγεῖα ἀέρος ὕδατα κοῖλα περιφερῆ τε γενέσθαι, καὶ τὰ μὲν τῆς καθαρᾶς διαφανεῖς περιστῆναι, κληθείσας ὄνομα πομφόλυγας, τὰ δὲ τῆς γεώδους, ὁμοῦ κινουμένης τε καὶ ἀναιρουμένης, ζέσιν τε καὶ ζύμωσιν ἐπικληθῆναι· τὸ δὲ τούτων αἴτιον τῶν παθημάτων ὀξὺ προσρηθῆναι. Ξύμπασι δὲ περὶ ταῦτα εἰρημένοις πάθος ἐναντίον ἀπ' ἐναντίας ἐστὶ προφάσεως, ὁπόταν ἡ τῶν εἰσιόντων σύστασις ἐν ὑγροῖς, οἰκεία τῇ τῆς γλώττης ἕξει πεφυκυῖα, λειαίνῃ μὲν ἐπαλείφουσα τὰ τραχυθέντα, τὰ δὲ παρὰ φύσιν συνεστῶτα ἢ κεχυμένα τὰ μὲν συνάγῃ, τὰ δὲ χαλᾷ, καὶ πάνθ' ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν, ἡδὺ καὶ προσφιλὲς πάντῃ πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον, κέκληται γλυκύ. Καὶ Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 75 D. E). Τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν δύναμιν ὀδοῦσι καὶ γλώττῃ καὶ χείλεσιν ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίστων διεκόσμησαν οἱ διακοσμοῦντες, ᾗ νῦν διατέτακται, τὴν μὲν εἴσοδον τῶν ἀναγκαίων μηχανώμενοι χάριν, τὴν δ' ἔξοδον τῶν ἀρίστων· ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διδὸν τῷ σώματι, τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει κάλλιστον καὶ ἄριστον πάντων ναμάτων.

1.56 〈 Didymi (phys. fr. 17 p. 456 Diels.).〉 Ἀριστοτέλους ς . Ἅπτεσθαι δὲ διὰ τοῦ μεταξὺ σώματος τῆς σαρκὸς καὶ τοῦ ἁπτοῦ. τὸ δὴ τοιοῦτον 〈ἢ τὸν〉 ἀέρα ἢ τὸ ὕδωρ ὑπάρχειν, ἢ ἐκ τούτων τι κοινόν. Λανθάνειν δὲ ἐπί τε τῆς γεύσεως καὶ τῆς ἁφῆς διὰ τὸ μὴ διὰ μακροῦ γίγνεσθαι, καθάπερ ἐπὶ τῶν ὁρατῶν καὶ ἀκουστῶν καὶ ὀσφραντῶν. Τοῦ δὲ κινητικοῦ κατὰ τόπον ὃ δὴ προσείπομεν ὁρμητικόν, τὸ πρῶτον κινοῦν, καὶ ἐν ἡμῖν καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἀκίνητον

1.57 〈 Aetii (IV 19, 11 p. 407, 13 Diels.).〉 Πλάτων τὴν φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος ἀπὸ διανοίας καὶ πληγὴν ὑπ' ἀέρος δι' ὤτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένην. Λέγεται δὲ καὶ καταχρηστικῶς ἐπὶ τῶν ἀλόγων ζῴων φωνὴ καὶ τῶν ἀψύχων, ὡς χρεμετισμοὶ καὶ ψόφοι. Κυρίως δὲ φωνὴ ἔναρθρός ἐστιν, ἔστι γὰρ φωτίζουσα τὸ νοούμενον.

1.58

〈 Didymi (epit. phys. fr. 16 p. 456 Diels.).〉 Ἀριστοτέλου ς . Φαντασίαν δ’ εἶναι πάθος τι καὶ κίνησιν τῆς κατ’ ἐνέργειαν αἰσθήσεως. Ὠνομάσθαι δ’ ἀπὸ μιᾶς τῶν αἰσθήσεων τῆς ὁράσεως· τὸ 〈γὰρ〉 φαίνεσθαι παρὰ τὸ φάος ἔχειν τὴν ἐπίρρησιν. τοῦτο δ’ οἰκεῖον εἶναι τῆς ὄψεως, διατείνειν δὲ 〈εἰσ〉 πάσας τὰς αἰσθήσεις καὶ τὰς διανοητικὰς κινήσεις· καὶ γὰρ ταύτας ὁμωνύμως λέγεσθαι φαντασίας. Κριτήρια δ’ εἶναι τῆς τούτων γνώσεως τόν τε νοῦν καὶ τὴν αἴσθησιν, τὸν μὲν τῶν νοητῶν, τὴν δὲ τῶν αἰσθητῶν. Οὔτε γὰρ τὸ καθόλου δύναιτ’ ἂν αἴσθησις ἐπικρίνειν οὔτε τὸ καθ’ ἕκαστον νοῦς. Πάντα

1.59 Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 263 E —264 B). Τί δὲ δή; διάνοιά τε καὶ δόξα καὶ φαντασία, μῶν οὐκ ἤδη δῆλον ὅτι ταῦτά γε ψευδῆ τε καὶ ἀληθῆ πάνθ’ ἡμῶν ἐν ταῖς ψυχαῖς ἐγγίγνεται; Ὦδ’ εἴσει ῥᾷον, 〈ἂν〉 πρῶτον λάβῃς αὐτά, τί ποτ’ ἔστι καὶ τί διαφέρουσιν ἕκαστα ἀλλήλων. —Δίδου μόνον. —Οὐκοῦν διάνοια μὲν καὶ λόγος ταὐτόν· πλὴν ὁ μὲν ἐντὸς τῆς ψυχῆς πρὸς αὐτὴν διάλογος ἄνευ φωνῆς γιγνόμενος τοῦτ’ αὐτὸ ἡμῖν ἐπωνομάσθη διάνοια; —Πάνυ μὲν οὖν. —Τὸ δ’ ἀπ’ ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ φθόγγου κέκληται λόγος; —Ἀληθῆ. —Καὶ μὴν ἐν λόγοις γε αὐτὸ ἴσμεν ἐνόν. —Τὸ ποῖον; —Φάσιν τε καὶ ἀπόφασιν. —Ἴσμεν. —Ὅταν οὖν τοῦτο ἐν ψυχῇ κατὰ διάνοιαν ἐγγίγνηται μετὰ σιγῆς, πλὴν δόξης ἔχεις ὅ τι προσείπῃς αὐτό; — Καὶ πῶς; —Τί δ’ ὅταν δόξα μὴ καθ’ αὑτὴν ἀλλὰ δι’ αἰσθήσεως παρῇ τινι τὸ τοιοῦτον αὖ πάθος, οἷόν τε ὀρθῶς εἰπεῖν ἕτερόν τι πλὴν φαντασίαν; —Οὐδέν. — Οὐκοῦν ἐπείπερ λόγος ἀληθὴς ἦν καὶ ψευδής, τούτων δ’ ἐφάνη διάνοια μὲν αὐτῆς πρὸς ἑαυτὴν ψυχῆς διάλογος, δόξα δὲ διανοίας ἀποτελεύτησις, φαίνεται δὲ ὃ λέγομεν σύμμιξις αἰσθήσεως καὶ δόξης, ἀνάγκη δὴ καὶ τούτων τῶν λόγων συγγενῶν ὄντων, ψευδῆ τε αὐτῶν ἔνια καὶ ἐνίοτε εἶναι; —Πῶς δ’ οὔ; —Κατανοεῖς οὖν, ὅτι πρότερον Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 219 A). Ἤτοι τῆς διανοίας 〈ὄψις ἄρχεται〉 ὀξὺ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ. Πλάτωνος Πολιτείας γ′ (p. 412 E —413 A). Φαίνεταί μοι δόξα ἐξιέναι ἐκ διανοίας ἢ ἑκουσίως ἢ ἀκουσίως, ἑκουσίως μὲν ἡ ψευδὴς τοῦ μεταμανθάνοντος, ἀκουσίως δὲ πᾶσα ἡ ἀληθής. —Τὸ μὲν τῆς ἑκουσίου, ἔφη, μανθάνω, τὸ δὲ τῆς ἀκουσίου [οὐ] δέομαι μαθεῖν. —Τί δαί; οὐ καὶ σὺ ἡγῇ, ἔφην ἐγώ, τῶν μὲν ἀγαθῶν ἀκουσίως στέρεσθαι τοὺς ἀνθρώπους, τῶν δὲ κακῶν ἑκουσίως; ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δὲ ἀληθεύειν ἀγαθόν; ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν ἀληθεύειν δοκεῖ σοι εἶναι; —Ἀλλ’, ἦ δ’ ὅς, ὀρθῶς λέγεις, καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι.

1.60 Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 79 A —81 A). Πάλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώμενον αἰτίαις τοιοῦτον γέγονεν οἷόνπερ τὰ νῦν ἐστιν. Ὦδ’ οὖν. Ἐπειδὴ κενὸν οὐδέν ἐστιν, εἰς ὃ τῶν φερομένων δύναιτ’ ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ’ ἡμῶν ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον ὡς οὐκ εἰς κενόν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ· τὸ δ’ ὠθούμενον ἐξελαύνει τὸ πλησίον ἀεί, καὶ κατ’ αὐτὴν τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰσιὸν ἐκεῖσε καὶ ἀναπληροῦν αὐτὴν ξυνέπεται τῷ πνεύματι, καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται διὰ τὸ κενὸν μηδὲν εἶναι. Διὸ δὴ τῶν μὲν στηθῶν καὶ τοῦ πνεύμονος ἔξω μεθιὲν τὸ πνεῦμα πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν τῶν σαρκικῶν δυομένου καὶ περιελαυνομένου, γίγνεται πλῆρες· αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ καὶ διὰ τοῦ σώματος ἔξωθεν ἰὼν εἴσω τὴν ἀναπνοὴν περιωθεῖ κατὰ τὴν στόματος καὶ τὴν τῶν μυκτήρων δίοδον. Τὴν δ’ αἰτίαν τῆς ἀρχῆς αὐτῶν θετέον τήνδε. Πᾶν ζῷον αὐτοῦ τὰ ἐντὸς περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερμότατα ἔχει, οἷον ἐν αὐτῷ πηγήν τινα ἐνοῦσαν πυρός· ὃ δὴ καὶ προσεικάζομεν τῷ τοῦ κύρτου πλέγματι κατὰ μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν, τὰ δὲ ἄλλα, ὅσα ἔξωθεν, ἀέρος. Τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὐτοῦ χώραν ἔξω πρὸς τὸ ξυγγενὲς ὁμολογητέον ἰέναι. Δυοῖν δὲ ταῖν διεξόδοιν οὔσαιν, τῆς μὲν κατὰ τὸ σῶμα ἔξω, τῆς δὲ αὖ κατὰ στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θάτερα ὁρμήσῃ, θάτερα περιωθεῖ· τὸ δὲ περιωσθὲν εἰς τὸ πῦρ ἐμπῖπτον θερμαίνεται, τὸ δ’ ἐξιὸν ψύχεται. Μεταβαλλούσης δὲ τῆς θερμότητος καὶ

τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων γιγνομένων πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον μᾶλλον, πρὸς τὴν φοτέρων τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν γίγνεσθαι παρέχεται. Καὶ δὴ καὶ τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια καὶ τὰ τῆς πόσεως τά τε τῶν ῥιπτουμένων, ὅσα ἀφεθέντα μετέωρα καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ διωκτέον, καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς, ὀξεῖς τε καὶ βαρεῖς φαίνονται, τοτὲ μὲν ἀνάρμοστοι φερόμενοι δι' ἀνομοιότητα τῆς ἐν ἡμῖν ὑπ' αὐτῶν κινήσεως· τοτὲ δὲ ξύμφωνοι δι' ὁμοιότητα. Τὰς γὰρ τῶν προτέρων καὶ θαττόνων οἱ βραδύτεροι κινήσεις ἀποπαυομένας ἤδη τε εἰς ὅμοιον ἐληλυθυίας, αἷς ὕστερον αὐτοὶ προσφερόμενοι κινοῦσιν ἐκείνας, καταλαμβάνουσι, καταλαμβάνοντες δὲ οὐκ ἄλλην ἐπεμβάλλοντες ἀνετάραξαν κίνησιν, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς [καὶ] κατὰ 〈τὴν〉 τοῦ θάττονος, ἀπολεγούσης δὲ ὁμοιότητα προσάψαντες μίαν ἐξ ὀξείας καὶ βαρείας συνεκεράσαντο πάθην· ὅθεν ἡδονὴν μὲν τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι διὰ τὴν τῆς θείας ἁρμονίας κίνησιν ἐν θνηταῖς γενομένην φοραῖς παρέσχον. Καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα ῥεύματα, ἔτι τε τὰ τῶν κεραυνῶν πτώματα καὶ τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων, πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενί ποτε· τὸ δὲ κενὸν εἶναι μηδὲν περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, [τὰ] τὸ δὲ διακρινόμενα καὶ συγκρινόμενα πρὸς τὴν αὐτῶν διαμειβόμενα ἕδραν ἕκαστα ἰέναι πάντα, τούτοις τοῖς παθήμασι πρὸς πον φανήσεται ζητοῦντι. Καὶ δὴ καὶ τὸ τῆς ἀναπνοῆς (ὅθεν ὁ λόγος ὥρμησε) κατὰ ταὐτὰ καὶ διὰ τούτων γέγονεν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται, τέμνοντος μὲν τὰ σῖτα τοῦ πυρός, αἰωρουμένου δὲ ἐντὸς τῷ πνεύματι συνεπομένου, τὰς φλέβας δ' ἐκ τῆς κοιλίας τῇ συναιωρήσει πληροῦντος τῷ τὰ τετμημένα αὐτόθεν ἐπαντλεῖν καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα πᾶσι τοῖς ζῴοις τὰ τῆς τροφῆς νάματα οὕτως ἐπίρρυτα γεγονέναι. Νεότμητα δὲ καὶ ἀπὸ ξυγγενῶν ὄντα, τὰ μὲν καρπῶν, τὰ δὲ χλόης, ἃ ὁ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἶναι τροφήν, παντοδαπὰ μὲν χρώματα ἔχει διὰ τὴν σύμμιξιν, ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὰ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσις. Ὅθεν τοῦ κατὰ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διεληλύθαμεν, ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος, ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ

2.1 Ἀριστάρχου ἐκ Ταντάλου (1 N. p. 564). Καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή· ἴσον δ' ἐρευνᾶν, ἐξ ἴσου δὲ μὴ εἰδέναι. πλεῖον γὰρ οὐδὲν οἱ σοφοὶ τῶν μὴ σοφῶν εἰς ταῦτα γιγνώσκουσιν. Εἰ δ' ἄλλου λέγει ἄμεινον ἄλλος, τῷ λέγειν ὑπερφέρει. Εὐριπίδου Φιλοκτήτῃ (fr. 793 N.). Τί δῆτα θάκοις ἀρχικοῖς ἐνήμενοι σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων; οἱ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων. ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι, Ἀναξανδρίδου Κανηφόρῳ (Com. III p. 171). Ἅπαντες ἐσμὲν πρὸς τὰ θεῖ' ἀβέλτεροι, κοὐκ ἴσμεν οὐδέν. Σοφοκλέους (fr. 834 N.). Ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα κρυπτόντων θεῶν μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν. Φιλήμονος (Com. IV p. 43, fr. 26, 1. 2). Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή· πλεῖον γὰρ οὐδὲν ἄλλο τοῦ ζητεῖν ἔχεις. 〈 Τοῦ αὐτοῦ 〉 (ibid., 3. 4). Εἴτ' ἔστιν εἴτ' οὐκ ἔστι μὴ βούλου μαθεῖν· ὡς 〈δ'〉 ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου. 〈 Τοῦ αὐτοῦ 〉 (Com. IV p. 59, fr. 86). Τί ἐστιν, ὁ θεὸς οὐ θέλει σε μανθάνειν. Μενάνδρου Ὑποβολιμαίου (Com. IV p. 215, fr. 10). Δυσπαρακολούθητόν τι πρᾶγμ' ἐστὶν τύχη. Ἡσιόδου (Op. et Di. 42). Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι. Πινδάρου Παιάνων (fr. 39 B.). τέᾳ φρενί. Ἰοφῶντος Βακχῶν (fr. 2 p. 590 N.). Ἐπίσταμαι δὲ καὶ τάδ', οὖσά περ γυνή, ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν ζητεῖ, τοσούτῳ μᾶλλον ἧσσον εἴσεται. Σιμωνίδου (fr. 42 B. 3). Ῥεῖα θεοὶ κλέπτοισιν ἀνθρώπων νόον. Δημώνακτο ς . 〈Δημῶναξ〉 ἐξεταζόντων τινῶν, εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖθις εἰ σφαιροειδής, Ὑμεῖς, ἔφη, περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς αὐτῶν ἀκοσμησίας οὐ φροντίζετε; Δημοκρίτου (fr. 142 Mullach.). Μὴ πάντα ἐπίστασθαι προθύμεο, μὴ πάντων ἀμαθὴς γένῃ. Πλουτάρχου ἐκ τοῦ περὶ Ἴσιδος (c. 79 p. 382 F). Ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ

σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία θεοῦ, πλὴν Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 277 D). Χαλεπόν, ὦ δαιμόνιε, μὴ παραδείγμασι χρώμενον ἱκανῶς ἐνδείξασθαί τι τῶν μειζόνων. Κινδυνεύει γὰρ ἡμῶν ἕκαστος, οἷον ὄναρ εἰδὼς ἕκαστα, πάντα αὖ πάλιν ὥσπερ ὕπαρ ἀγνοεῖν. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 28 C). Τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν. Ἰαμβλίχου ἐκ τοῦ Περὶ ψυχῆ ς . Πόσῳ δὴ οὖν βέλτιον Ἡράκλειτος (fr. 429 Schleierm., 79 Bywat.) παίδων ἀθύρματα νενόμικεν εἶναι τὰ ἀνθρώπινα δοξάσματα. Διδύμου ἐκ τοῦ Περὶ αἱρέσεω ν . Ξενοφάνους πρώτου λόγος ἦλθεν εἰς τοὺς Ἕλληνας ἄξιος γραφῆς, ἅμα παιδιᾷ τάς τε τῶν ἄλλων τόλμας ἐπιπλήττοντος καὶ τὴν αὐτοῦ παριστάντος εὐλάβειαν, ὡς ἄρα θεὸς μὲν οἶδε τὴν ἀλήθειαν, δοκὸς δ' ἐπὶ πᾶσι τέτυκται (fr. XIII Brandis.). Ἡ μὲν γὰρ φιλοσοφία θήρα τῆς ἀληθείας ἀκμὴν ἔτι ζητεῖν ὥς που παρὰ θεοῖς ὄν, καὶ τῆς σοφίας οὐκ ἀνθρωπίνου χρήματος ὄντος· οὕτως ἔλεγε Σωκράτης καὶ Πύρρων. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 29 CD). Ἐὰν οὖν, ὦ Σώκρατες, πολλὰ πολλῶν εἰπόντων περὶ θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως, μὴ δυνατοὶ γιγνώμεθα πάντῃ πάντως αὐτοὺς ἑαυτοῖς ὁμολογουμένους λόγους καὶ ἀπηκριβωμένους ἀποδοῦναι, μὴ θαυμάσῃς· ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας, ἀγαπᾶν χρὴ μεμνημένους, ὡς ὁ λέγων ὑμεῖς τε οἱ κριταὶ φύσιν ἀνθρωπίνην ἔχομεν· ὥστε περὶ τούτων τὸν εἰκότα μῦθον ἀποδεχομένους πρέπει τούτου μηδὲν ἔτι πέρα ζητεῖν. Βίωνο ς . Βίων ἔλεγε γελοιοτάτους εἶναι τοὺς ἀστρονομοῦντας, οἳ [τοὺς πὰρ ποσὶ] τοὺς ἐν τοῖς αἰγιαλοῖς ἰχθῦς οὐ βλέποντες τοὺς ἐν τῷ οὐρανῷ φάσκουσιν εἰδέναι. Πινδάρο υ . Τοὺς φυσιολογοῦντας ἔφη Πίνδαρος (fr. 193 B.). Ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτω ν . Θαλῆν εἰς τὸν οὐρανὸν ὁρῶντα καὶ ἐμπεσόντα εἰς βόθρον ἡ θεράπαινα, Θρᾷττα οὖσα, δίκαια παθεῖν ἔφη, ὃς τὰ παρὰ ποσὶν ἀγνοῶν τὰ ἐν οὐρανῷ ἐσκόπει. Διογένου ς . Ἀστρολόγου δέ τινος κατ' ἀγορὰν ἐπιδεικνύντος ἔν τινι πινακίῳ καταγράφους τοὺς ἀστέρας, καὶ φάσκοντος ὅτι οὗτοί εἰσιν οἱ πλανώμενοι τῶν ἀστέρων, ἐπακούσας, „Μὴ ψεύδου", εἶπεν, „ὦ ἑταῖρε· οὐ γὰρ οὗτοί εἰσιν οἱ πλανώμενοι, ἀλλὰ οὗτοι", δείξας αὐτῷ τοὺς παρακαθεζομένους. Ἀρίστωνο ς . Ἀρίστων ἔφη τῶν ζητουμένων παρὰ τοῖς φιλοσόφοις τὰ μὲν εἶναι πρὸς ἡμᾶς, τὰ δὲ μηδὲν πρὸς ἡμᾶς, τὰ δ' ὑπὲρ ἡμᾶς. Πρὸς ἡμᾶς μὲν τὰ ἠθικά, μὴ πρὸς ἡμᾶς δὲ τὰ διαλεκτικά· μὴ γὰρ συμβάλλεσθαι πρὸς ἐπανόρθωσιν βίου· ὑπὲρ ἡμᾶς δὲ τὰ φυσικά· ἀδύνατα γὰρ ἐγνῶσθαι καὶ οὐδὲ παρέχειν χρείαν. Εὐσεβίο υ . Θεοὶ οἷοι ἔασιν οὐ χρὴ δίζησθαι· αὐτόθεν δὲ ἄριστον ἐθέλει κρατέειν. Ἑρμοῦ ἐκ τοῦ Πρὸς Τάτ (deest ap. Patric.). Θεὸν νοῆσαι μὲν χαλεπόν, φράσαι δὲ ἀδύνατον. Τὸ γὰρ ἀσώματον σώματι σημῆναι ἀδύνατον· καὶ τὸ τέλειον τῷ ἀτελεῖ καταλαβέσθαι οὐ δυνατόν· καὶ τὸ ἀίδιον τῷ ὀλιγοχρονίῳ συγγενέσθαι δύσκολον. Τὸ μὲν γὰρ ἀεί ἐστι, τὸ δὲ παρέρχεται· καὶ τὸ μὲν ἀληθείᾳ ἐστί, τὸ δὲ ὑπὸ φαντασίας σκιάζεται. Τὸ δὲ ἀσθενέστερον τοῦ ἰσχυροτέρου καὶ τὸ ἔλαττον τοῦ κρείττονος 〈οὐ〉 διέστηκε τοσοῦτον, ὅσον τὸ θνητὸν τοῦ θείου. Ἡ δὲ μέση τούτων διάστασις ἀμαυροῖ τὴν τοῦ καλοῦ θέαν. Ὀφθαλμοῖς μὲν γὰρ τὰ σώματα θεατά, γλώττῃ δὲ τὰ ὁρατὰ λεκτά· τὸ δὲ ἀσώματον καὶ ἀφανὲς καὶ ἀσχημάτιστον καὶ μηδὲ ἐξ ὕλης ὑποκείμενον ὑπὸ τῶν ἡμετέρων αἰσθήσεων καταληφθῆναι οὐ δύναται. Ἐννοοῦμαι, ὦ Τάτ, ἐννοοῦμαι, ὃ ἐξειπεῖν ἀδύνατον, τοῦτό ἐστιν ὁ θεός. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 48 B—D). Τὴν δὴ πρὸ τῆς οὐρανοῦ γενέσεως, πυρὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς φύσιν, θεατέον αὐτὴν καὶ τὰ πρὸ τούτου πάθη. Νῦν γὰρ οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν, ἀλλ' ὡς εἰδόσι πῦρ ὅ τί ποτέ ἐστι, καὶ ἕκαστον αὐτῶν λέγομεν ἀρχὰς αὐτὰ τιθέμενοι, στοιχεῖα τοῦ παντός, προσῆκον αὐτοῖς, οὐδ' 〈ἂν〉 ὡς ἐν συλλαβῆς εἴδεσι μόνον εἰκότως ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος ἀπεικασθῆναι. Νῦν των εἴτε ἀρχὴν εἴτε ἀρχὰς εἴτε ὅπη δοκεῖ, τούτων πέρι τὸ νῦν οὐ ῥητέον· δι' ἄλλο μὲν οὐδέν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα. Μήτε οὖν ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτε αὐτὸς αὖ πείθειν ἐμαυτὸν ἂν εἴην δυνατός, ὡς ὀρθῶς ἐγχειροῖμ' ἂν τοσοῦτον

ἐπιβαλλόμενος ἔργον. Τὸ δὲ κατ’ ἀρχὰς ῥηθὲν διαφυλάττων, τὴν τῶν εἰκότων λόγων δύναμιν, πειράσομαι μηδενὸς ἧττον εἰκότα, μᾶλλον δὲ καὶ ἔμπροσθεν ἀπ’ ἀρχῆς περὶ ἑκάστου καὶ ξυμπάντων λέγειν. Πλάτωνος ἐκ τοῦ Κριτίου ἢ Ἀτλαντικοῦ (p. 107 AB). Περὶ θεῶν γάρ, ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους δοκεῖν ἱκανῶς λέγειν ῥᾷον, ἢ περὶ θνητῶν πρὸς ἡμᾶς. Ἡ γὰρ ἀπειρία καὶ σφόδρα ἄγνοια τῶν ἀκουόντων, περὶ ὧν ἂν οὕτως ἔχωσι, πολλὴν εὐπορίαν παρέχεσθον τῷ μέλλοντι λέγειν τι περὶ αὐτῶν. Ξενοφῶντος ἐκ τῆς ἐπιστολῆς τῆς Πρὸς Αἰσχίνη ν . Συντυχών μοι Ἑρμογένης τά τε ἄλλα διεξῄει, καὶ περὶ σοῦ δὲ πυθομένῳ, ἥν τινα ἔχοις φιλοσοφίας ἐπιμέλειαν, ἀπεκρίνατο, τὴν αὐτὴν Σωκράτει. Ἐγὼ δὲ καὶ ἡνίκα Ἀθήνῃσι διέτριβον, τῆς γνώμης σε ἠγάσθην. Ὥσπερ οὖν ἠρξάμην σε θαυμάζων, οὕτω καὶ νῦν παρ’ ὁντινοῦν τῶν σοφίαν ἀσπασαμένων τεθαύμακα τὸ ἀμετάκλαστόν σου τῆς γνώμης (μέγιστον γάρ, ὡς ἐγῷμαι, τεκμήριον ἀρετῆς) ἁλόντος ὑπὸ τἀνδρὸς ἐκείνου, εἴπερ θνητοῦ καλεῖν τὸν Σωκράτους οἰόντε βίον. Ὅτι μὲν γὰρ τὰ θεῖα ὑπὲρ ἡμᾶς, παντὶ δῆλον· ἀπόχρη δὲ τὸ κρεῖττον τῆς δυνάμεως αὐτοὺς σέβειν. Οἷοι δ’ εἰσίν, οὔτε εὑρεῖν ῥᾴδιον οὔτε ζητεῖν θεμιτόν· οὐδὲ γὰρ δεσποτῶν φύσιν ἢ πρᾶξιν δούλους δεῖ εἰδέναι, οἷς οὐδὲν πλέον ὑπηρεσίας προσήκει. Πότε γάρ, ὦ Αἰσχίνη, Σωκράτους ἀκήκοέ τις οὐρανίων πέρι λέγοντος ἢ γραμμὰς εἰς ἐπανόρθωσιν παραινοῦντος μανθάνειν; Μουσικῆς 〈μὲν〉 γὰρ ἴσμεν αὐτὸν μέχρις ὥτων ξυνιέντα. Διετέλει δὲ ἑκάστοτε αὐτὸς λέγων τί καλὸν καὶ τί ἀνδρεία τε καὶ δικαιοσύνη καὶ αἱ ἄλλαι ἀρεταί. Ἀνθρώπινα γοῦν ταῦτα ἀγαθὰ ἐκάλει· τὰ δ’ ἄλλα ἢ ἀδύνατα ἀνθρώποις ἁλῶναι ἔφασκεν ἢ μύθων εἶναι συγγενῆ, μετὰ ὀφρύος σοφιστῶν 〈παίγνια〉 διεξιόντων. Καὶ οὐκ ἔλεγε μὲν ταῦτα, οὐκ ᾔδει δὲ πράττειν. Παυσάσθωσαν οὖν ἐλεγχόμενοι 〈ἢ〉 πρὸς τὸ εἰκὸς ἴτωσαν, οἷς Σωκράτης οὐκ ἤρεσκεν, ᾧ ζῶντι μὲν ὁ θεὸς σοφίαν ἐμαρτύρησεν· οἱ δὲ ἑ κτείναντες τῆς μετανοίας ἀποκάθαρσιν οὐχ εὗρον. Τὸ δὲ καλὸν ἄρα, Αἰγύπτου ἠράσθησαν, καὶ τῆς Πυθαγόρου τερατώδους σοφίας, ὧν τὸ μὲν περιττὸν καὶ τὸ μὴ μόνιμον ἐπὶ Σωκράτει ἤλεγξεν ἔρως τυραννίδος καὶ ἀντὶ λιτῆς διαίτης Σικελιῶτις γαστρὸς ἀμέτρου τράπεζα. Ξενοφῶντος ἐν α Σωκρατικῶν Ἀπομνημονευμάτων (I 1, 11—14). ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἐπεδείκνυεν. Ἐθαύμαζε δ’ εἰ μὴ φανερόν ἐστιν αὐτοῖς, ὅτι ταῦτα ἀδύνατόν ἐστιν ἀνθρώποις εὑρεῖν, εἴ γε καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ δεινὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ’ ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δ’ οὐκ ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μὲν οὔθ’ ἱερὸν οὔτε βωμὸν οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾶν, τοὺς δὲ καὶ λίθους καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δ’ ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ πάντα κινεῖσθαι, τοῖς δ’ Ἀρριανοῦ Ἐπικτητείου Πρὸς τὸν περὶ οὐσίας 〈διαλεγόμενον 〉 (fr. 175). Τί μοι μέλει, φησί, πότερον ἐξ ἀτόμων, ἢ ἐξ ἀμέτρων, ἢ ἐκ πυρὸς καὶ γῆς συνέστηκε τὰ ὄντα; οὐ γὰρ ἀρκεῖ μαθεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ κακοῦ, καὶ τὰ μέτρα τῶν ὀρέξεων καὶ ἐκκλίσεων, καὶ ἔτι ὁρμῶν καὶ ἀφορμῶν, καὶ τούτοις ὥσπερ κανόσι χρώμενον διοικεῖν τὰ τοῦ βίου, τὰ δ’ ὑπὲρ ἡμᾶς ταῦτα χαίρειν ἐᾶν, ἅ τινα τυχὸν μὲν ἀκατάληπτά ἐστι τῇ ἀνθρωπίνῃ γνώμῃ, εἰ δὲ καὶ τὰ μάλιστα θείη τις εἶναι καταληπτά, ἀλλ’ οὖν τί ὄφελος καταληφθέντων; οὐχὶ δὲ διακενῆς πράγματα ἔχειν φατέον τοὺς ταῦτα ὡς ἀναγκαῖα τῷ τοῦ φιλοσόφου λόγῳ προσνέμοντας; Μή τι οὖν καὶ τὸ ἐν Δελφοῖς παράγγελμα παρέλκον ἐστί, τὸ γνῶθι σαυτόν; — Τοῦτο δὲ μὲν οὔ φησι. — Τίς οὖν ἡ δύναμις αὐτοῦ; Εἰ χορευτῇ τις παρήγγελλε τὸ γνῶσοι δοκεῖ ζῷον, ἢ πρὸς κοινωνίαν; — 〈Πρὸς κοινωνίαν.〉 — Ὑπὸ τίνος; — Ὑπὸ τῆς φύσεως. — Τίνος οὔσης καὶ ποίας; — Διοικούσης τὰ ὅλα. — Καὶ πότερον 〈καταληπτοῦ〉 οὔσης ἢ μή; — Ταῦτα οὐκέτι ἀναγκαῖον

πολυπραγμονεῖν. Πορφυρίου ἐκ τοῦ Περὶ Στυγό ς . Ἔστι δὲ ἡ τοῦ ποιητοῦ δόξα οὐχ ὡς ἄν τις νομίσειεν εὔληπτος. Πάντες μὲν γὰρ οἱ παλαιοὶ τὰ περὶ τῶν θεῶν καὶ δαιμόνων δι' αἰνιγμῶν ἐσήμαναν, Ὅμηρος δὲ καὶ μᾶλλον τὰ περὶ τούτων ἀπέκρυψε, τῷ μὴ προηγουμένως περὶ αὐτῶν διαλέγεσθαι, καταχρῆσθαι δὲ τοῖς λεγομένοις εἰς παράστασιν ἄλλων. Τῶν οὖν ἀναπτύσσειν ἐπιχειρησάντων τὰ δι' ὑπονοίας παρ' αὐτῷ λεγόμενα ἱκανώτατα δοκῶν ὁ Πυθαγόρειος Κρόνιος τοῦτ' ἀπεργάσασθαι, ὅμως ἐν τοῖς πλείστοις ἄλλα τε ἐφαρμόζει ταῖς τεθείσαις ὑποθέσεσι, τὰ Ὁμήρου μὴ δυνάμενος, οὔ 〈τε τοῖσ〉 παρὰ τοῦ ποιητοῦ τὰς δόξας, τοῖς δὲ παρ' ἑαυτοῦ προσάγειν τὸν ποιητὴν πεφιλοτίμηται. Ξενοφῶντο ς . Δαίμονες οἱ τὰ μέγιστα διαπρασσόμενοι ἥκιστα ἀνθρώποισιν ἐπιφαίνονται. Ὁ γοῦν πάντα σείων καὶ ἀτρεμίζων ὡς μὲν μέγας τις καὶ δυνατός, φανερός· ὁποῖος δὲ τὴν μορφήν, ἀφανής. Οὐδὲ μὴν ὁ παμφαὴς δοκῶν εἶναι ἥλιος, οὐδ' οὗτος αὐτὸν ὡς ἔοικεν ὁρᾶν ἐπιτρέπει, ἀλλ' ἤν τις ἀναιδῶς αὐτὸν θεάσηται, τὴν ὄψιν ἀφαιρεῖται.

2.2 〈Περὶ διαλεκτικῆς.〉 PARS PRIOR. Πλάτωνος περὶ Πολιτείας (p. 533 BC). ψυχῆς ὄμμα κατορωρυγμένον ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω, ξυνερίθοις καὶ συμπεριαγωγοῖς χρωμένη αἷς διήλθομεν τέχναις· ἃς ἐπιστήμας μὲν πολλάκις προσείπομεν διὰ τὸ ἔθος, δέονται δὲ ὀνόματος ἄλλου, ἐνεργεστέρου μὲν ἢ δόξης, ἀμυδροτέρου δ' ἢ ἐπιστήμης. Διάνοιαν δὲ αὐτὴν ἔν γε τῷ πρόσθεν που ὡρισάμεθα. Ἐν ταὐτῷ (p. 534 E). Ἆρ' οὖν δοκεῖ σοι, ἔφην ἐγώ, ὥσπερ θριγκὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι, καὶ οὐκέτι ἄλλο τούτου ἀνωτέρω μάθημα ὀρθῶς ἂν ἐπιτίθεσθαι, ἀλλὰ ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων; Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 265 C —266 C). Τούτων δέ τινων ἐκ τύχης ῥηθέντων δυοῖν εἰδοῖν, εἰ αὐτοῖν τὴν δύναμιν τέχνην λαβεῖν δύναιτό τις, οὐκ ἄχαρι. — Τίνων δή; — Εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα, ἵνα ἕκαστον ὁριζόμενος δῆλον ποιῇ περὶ οὗ ἂν ἀεὶ διδάσκειν ἐθέλῃ. Ὥσπερ τὰ νῦν δὴ περὶ Ἔρωτος, ὅ ἐστιν, ὁρισθέν, εἴτε εὖ εἴτε κακῶς ἐλέχθη. Τὸ γοῦν σαφὲς καὶ τὸ αὐτὸ αὑτῷ ὁμολογούμενον διὰ ταῦτα ἔσχεν εἰπεῖν ὁ λόγος. — Τὸ δ' ἕτερον δὴ εἶδος τί λέγεις, ὦ Σώκρατες; — Τὸ πάλιν κατ' εἴδη δύνασθαι διατέμνειν, κατ' ἄρθρα, ᾗ πέφυκε, καὶ μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδὲν κακοῦ μαγείρου τρόπῳ χρώμενον· ἀλλὰ ὥσπερ ἄρτι τὼ λόγω τὸ μὲν ἄφρον τῆς διανοίας ἕν τι κοινῇ εἶδος ἐλαβέτην, ὥσπερ δὲ σώματι ἐξ ἑνὸς διπλᾶ καὶ ὁμώνυμα πέφυκε, σκαιά, τὰ δὲ δεξιὰ κληθέντα· οὕτω καὶ τὰ τῆς παροινίας ὡς ἡμῖν πεφυκὸς εἶδος ἡγησαμένω τὼ λόγω, ὁ μὲν ἐπ' ἀριστερᾷ τεμνόμενος μέρος, πάλιν τοῦτο τέμνων οὐκ ἀνῆκε, πρὶν ἐν αὐτοῖς ἐφευρὼν ὀνομαζόμενον σκαιόν τινα ἔρωτα ἐλοιδόρησε μάλ' ἐν δίκῃ· ὁ δ' εἰς τὸ ἐν δεξιᾷ τῆς μανίας ἀγαγὼν ἡμᾶς, ὁμώνυμον μὲν ἐκείνῳ, θεῖον δ' αὖ τινα ἔρωτα ἐφευρὼν καὶ προτεινόμενος ἐπῄνεσεν ὡς μεγίστων αἴτιον ἡμῖν ἀγαθῶν. — Ἀληθέστατα λέγεις. — Τούτων δὴ ἔγωγε αὐτός τε ἐραστής, ὦ Φαῖδρε, τῶν διαιρέσεων καὶ συναγωγῶν, ἵν' οἷός τε ὦ λέγειν τε καὶ φρονεῖν· ἐάν τέ τινα ἄλλον ἡγήσωμαι δυνατὸν εἰς ἓν καὶ ἐπὶ πολλὰ πεφυκόθ' ὁρᾶν, τοῦτον διώκω κατόπισθεν 'μετ' ἴχνιον ὥστε θεοῖο'. Καὶ μέντοι καὶ τοὺς δυναμένους αὐτὸ δρᾶν, εἰ μὲν ὀρθῶς ἢ μὴ προσαγορεύω, θεὸς οἶδε· καλῶ δὲ οὖν μέχρι τοῦδε διαλεκτικούς. Ἀρχύτου περὶ τοῦ ὄντος (Mullach. Ph. I p. 569). Παντᾷ μοι δοκέοντι ἁμαρτάνειν οἱ λέγοντες δύο λόγως περὶ παντὸς λεγέσθαι ἀντίως ἀλλάλοις καὶ ναμαρτέας ἀμφοτέρως. Ἐγὼ δὲ πρᾶτον τοῦτ' ἀδύνατον νομίζω, ἀμφοτέρων πιστῶν ἐόντων ἀντίως εἶμεν ἀλλάλοις, τὸ καλὸν τῷ καλῷ καὶ τὸ λευκὸν τῷ λευκῷ. Ἀλλὰ γὰρ οὐχ οὕτως ἔχει· ἀλλὰ ἔστι τὸ καλὸν καὶ 〈τὸ〉 αἰσχρὸν ἀντία, καὶ τὸ λευκὸν δέας, ἀλλὰ τὸν μὲν ἀλαθέα, τὸν δὲ ψεύσταν. Ὁ γὰρ τὰν ψυχὰν ἐπαινέων τῶ ἀνθρώπω καὶ 〈ὁ〉 τὸ σῶμα μεμφόμενος οὐχ ὑπὲρ τὠυτῶ λέγοντι· αἱ μὴ καὶ αἴ τι περὶ τᾶς γᾶς λέγοιεν καὶ τῶ οὐρανῶ, τὠυτόν. Ταῦτα γὰρ δύο ἐντί, ἀλλ' οὐχ ἕν. Ὀνομαστὶ δὲ θέλω καὶ τοῦτο δείξαι. Ὁ γὰρ λέγων περὶ Ἀθαναίων ὡς ἐντὶ κατὰ λόγον ἄνδρες ἀγαθοί, καὶ ὁ λέγων ὡς ἐντὶ περὶ χάριτας φαύλοι, οὐκ ἀντία λέγοντι· τὰ γὰρ ἀντία περὶ τὠυτῶ πράγματος ἀντικέαται ἀλλάλοις,

ταῦτα δὲ δύο ἐντὶ πράγματα. Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς πρὸς Δέξιππον περὶ διαλεκτικῆ ς . Θεὸς ἦν τις ὡς ἀληθῶς ὁ καταδείξας τὴν διαλεκτικὴν καὶ καταπέμψας τοῖς ἀνθρώποις· ὡς μὲν λέγουσί τινες, ὁ λόγιος Ἑρμῆς, ὁ φέρων ἐν ταῖν χεροῖν τὸ σύνθημα αὐτῆς 〈τὸ〉 τῶν εἰς ἀλλήλους ἀποβλεπόντων δρακόντων· ὡς δ' οἱ δεδοκιμασμένοι καὶ πρόκριτοι τῶν ἐν φιλοσοφίᾳ διατείνονται, ἡ τῶν Μουσῶν πρεσβυτάτη Καλλιόπη τὴν ἄπταιστον ἀσφάλειαν τοῦ λόγου καὶ ἀνέλεγκτον 'αἰδοῖ μειλιχίῃ' (Hom. θ 172) διαπρέπουσαν παρέσχηκεν. Ὡς δὲ τὰ ἔργα αὐτὰ δείκνυσιν, αὐτὸς ὁ ἐν Δελφοῖς θεὸς οὔτε ἀμφιβολία τε καὶ ὁμωνυμία ἐκρίθησαν καὶ διττὸν πᾶν ἀνερευνηθὲν φῶς ἐπιστήμης ἀνῆψεν· ὃ κατιδὼν καὶ Θεμιστοκλῆς καλῶς καὶ διερευνήσας δεόντως τὸ ξύλινον τεῖχος, αἴτιος ἀναμφισβητήτως κατέστη τῆς σωτηρίας τοῖς Ἕλλησιν. Ἀδελφὰ δὲ τούτων καὶ ὁ ἐν Βραγχίδαις θεὸς ἐκφαίνει τῆς διαλεκτικῆς ἔργα, περιφανῆ τὴν ἐπαγωγὴν παραδηλῶν, ὅταν λέγῃ· „οὔτ' ἂν ὠκυπέτης ἰὸς οὔτε λύρη οὔτε νηῦς οὔτ' ἄλλο οὐδὲν ἄνευ ἐπιστημονικῆς χρήσιος γένοιτ' ἄν κοτε ὠφέλιμον". Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς πρὸς Σώπατρον περὶ διαλεκτικῆ ς . Πάντες ἄνθρωποι χρῶνται τῷ διαλέγεσθαι, ἔμφυτον ἐκ νέων ἔχοντες τήνδε τὴν δύναμιν καὶ μέχρι τινός, οἳ μὲν μᾶλλον οἳ δὲ ἧττον αὐτῆς μετέχοντες. Τὸ δὴ τῶν θεῶν δῶρον οὐδένα τρόπον δεῖ προΐεσθαι· ἀλλὰ καὶ ἐν μελέταις καὶ ἐμπειρίαις καὶ τέχναις αὐτὸ κρατύνειν ἄξιον. Ὅρα γὰρ ὅτι καὶ παρ' ὅλον τὸν βίον διατελεῖ χρησιμώτατον ὂν διαφερόντως, ἐν μὲν ταῖς ἐντεύξεσι προσομιλοῦν τοῖς ἀνθρώποις κατὰ τὰς κοινὰς ἐννοίας καὶ δόξας· ἐν δὲ ταῖς εὑρέσεσι τῶν τεχνῶν τὰς πρώτας ἀρχὰς αὐτῶν ἀνευρίσκον· λογιζόμενον δὲ πρὸ τῶν ἔργων, ὅπως αὐτὰ χρὴ πράττειν· προγυμνασίᾳ δὲ καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας θαυμασίας οἵας μεθόδους παρεχόμενον. Εἰ δὲ δεῖ καὶ τὰ πρὸ τούτων ἐννοεῖν, οὐκ ἔστιν οὐδὲν μόριον φιλοσοφίας ἄνευ τοῦ κατὰ διαλεκτικὴν λόγου παραγιγνόοὔτε εἰπεῖν οὔτε ἀκοῦσαι δυνατὸν ἀπαλλαγέντας τῆς μεθόδου ταύτης· καὶ γὰρ αὐτὸ τὸ μὴ διδάσκειν διαλεκτικὴν διαλεκτικῶς ἐπιχειροῦντας δεῖ καταμανθάνειν. Εἴτε οὖν ἐπιτηδευτέον, εἴτε μή, διαλεκτικὴν ἀσκεῖν 〈ἄξιον〉· καὶ γάρ ἐστιν ἄτοπον, εἰ τὰ μὲν ἅπαντα λόγῳ κρίνομεν, αὐτὴν 〈δὲ〉 ἀφήσομεν τὴν ἀκριβεστάτην τοῦ λόγου θεωρίαν· καὶ λόγῳ προέχοντες τῶν ἄλλων ζῴων καὶ τοῦτο ἐξαίρετον ἀγαθὸν κεκτημένοι τῆς ἀνθρωπίνης φύσεως, εἰκῇ καὶ ὡς ἔτυχε τὰ κατ' αὐτὸν ἐνεργήσομεν· καὶ τὴν συμμεμιγμένην διάσκεψιν τοῦ λόγου πρὸς τὰ ὅλα πράγματα ἀγαπῶμεν, αὐτὴν δὲ τὴν ἑαυτοῦ γνῶσιν τοῦ λόγου, καθ' ἣν ἀφέμενος τῶν ἄλλων τὴν περὶ αὐτοῦ ἐπιστήμην κατεστήσατο σεμνοτάτην οὖσαν καὶ τιμιωτάτην, ὡς μαρτυρεῖ καὶ τὸ ἐν Πυθοῖ γράμμα, ἀποδοκιμάσομεν ὡς ἀπόβλητον. Ἐν τῷ αὐτ ῷ . Μετίωμεν δὴ οὖν ἐπὶ τὰς κατὰ φιλοσοφίαν διατριβάς. Πασῶν πρῶταί εἰσιν αἱ πρὸς ἀνάμνησιν ἀναγόμεναι· ταύτας τοῦ καλῶς ἐρωτᾶν ὁρῶμεν ἐκφαινομένας. Δεύτεραι δ' ἂν εἶεν αἱ μαιείας ἕνεκα προσαγόμεναι καὶ τὰ γεννηθέντα εἰς φῶς προάγουσαι καὶ διακρίνουσαι τίνα μὲν αὐτῶν ἀληθῆ, τίνα δὲ ψευδῆ. ἀλλὰ καὶ αὗται πᾶσαι διὰ τῆς διαλεκτικῆς τὸ κῦρος ἔχουσιν· ἐπειδὴ αὗταί εἰσιν αἱ διὰ τῶν ἐλέγχων καθάρσεις τῆς διανοίας, παρατιθεῖσαι τἀναντία δοξάσματα τῶν προσδιαλεγομένων καὶ συγκρούουσαι αὐτὰ πρὸς ἄλληλα. Ἄλλαι δὲ πείρας ἕνεκα καὶ γυμνασίας προσφερόμεναι τοῖς ἐπηκόοις, ἢ ὅσαι εἰς θέσιν ἐπιχειροῦσιν, ἢ εἴ τινες ἐξετάζουσι τὰς τῶν παλαιῶν ἀκροάσεις· ὧν οὐδεμία 〈δίχα〉 διαλεκτικῆς περαίνει τὸ ἑαυτῆς ἔργον. Ὅλως δὲ οὐχ οἷόν τε λόγον διδόναι καὶ λαμβάνειν δεόντως, εἰ μή τις κτήσαιτο ταύτην τὴν περὶ τὸν λόγον ἐπιστήμην. Εἰς τὸ ἐναντίον. Εὐριπίδου Ἱππολύτῳ (fr. 442 N.). Φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν. νῦν δ' εὐρύθμοισι στόμασι τἀληθέστατα κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν. Εὐριπίδου Ἀντιόπῃ (fr. 189 N.). Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός. Εὐήνου (fr. 1 B. p. 594 3). Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως, ὀρθῶς δ' ἀντιλέγειν οὐκέτι τοῦτ' ἐν ἔθει. καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός· „σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε."

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρκεσίλαος ὁ φιλόσοφος ἔφη, Τοὺς διαλεκτικοὺς ἐοικέναι τοῖς ψηφοπαίκταις, οἵ τινες χαριέντως παραλογίζονται. Ζήνωνο ς . Ζήνων τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς δικαίοις μέτροις οὐ πυρὸν οὐδ' ἄλλο τι τῶν σπουδαίων μετροῦσιν, ἀλλ' ἄχυρα καὶ κόπρια. Πυθαγόρο υ . Κενὸς ἐκείνου φιλοσόφου λόγος, ὑφ' οὗ μηδὲν ἀνθρώπου πάθος θεραπεύεται. Ὥσπερ γὰρ ἰατρικῆς οὐκ ὄφελος μὴ τὰς νόσους ἐκβαλλούσης ἀπὸ τῶν σωμάτων· οὕτως οὐδὲ φιλοσοφίας, εἰ μὴ τὸ τῆς ψυχῆς κακὸν ἐκβάλλοι. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτω ν . Ἀντισθένου ς . Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν· οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται. Κλεάνθου ς . Κλεάνθης ἐρωτώμενος διὰ τί παρὰ τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων ὅμως πλείους διέλαμψαν ἢ νῦν, Ὅτι, εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος. Ἐκ τῶν Σερήνου ἀπομνημονευμάτων · Ἀρκεσιλάο υ . Διαλεκτικὴν δὲ φεῦγε, συγκυκᾷ τἄνω κάτω. Ἀρίστωνο ς . Ἀρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν τῷ ἐν ταῖς ὁδοῖς πηλῷ· πρὸς οὐδὲν γὰρ οὐδ' ἐκεῖνον χρήσιμον ὄντα καταβάλλειν τοὺς βαδίζοντας. Θεοκρίτο υ . Θεόκριτος πρός τινα διαλεκτικὸν συντεταμένως αὐτῷ καὶ ἐριστικῶς ἀποκρινόμενον ἔφη, „Ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο“ (Hom. Σ 107). Καρνεάδο υ . τρέπειν. Κλειτομάχο υ . Κλειτόμαχος εἴκαζε τὴν διαλεκτικὴν τῇ σελήνῃ· καὶ γὰρ ταύτην οὐ παύεσθαι φθίνουσαν καὶ αὐξομένην. Ἀρίστωνο ς . Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν εἴκαζεν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν οὐδὲν μὲν χρησίμοις, λίαν δὲ τεχνικοῖς. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτω ν . Ὁ ἑλλέβορος ὁλοσχερέστερος μὲν ληφθεὶς καθαίρει, εἰς δὲ πάνυ σμικρὰ τριφθεὶς πνίγει· οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία. Πλάτωνος (Sophist. p. 231 A). Τὸν δὲ ἀσφαλῆ δεῖ πάντων μάλιστα περὶ τὰς ὁμοιότητας ποιεῖσθαι τὴν φυλακήν· ὀλισθηρότατον γὰρ τὸ γένος. Τοῦ αὐτοῦ (Phaedon. p. 92 D). Ἐγὼ δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι, καὶ ἄν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλ' ἐξαπατῶσι καὶ ἐν γεωμετρίᾳ καὶ ἐν 〈τοῖσ〉 ἄλλοις ἅπασι.

2.3 Πλάτωνος ἐκ τοῦ Ἀλκιβιάδου β′ (p. 145 E). Ποίαν οὖν οἴει πολιτείαν εἶναι τοξοτῶν τε ἀγαθῶν καὶ αὐλητῶν, ἔτι δὲ καὶ ἀθλητῶν τε καὶ τῶν ἄλλων τεχνιτῶν, ἀναμεμιγμένων ἐν τούτοις οἷς ἄρτι εἰρήκαμεν, τῶν τε αὐτὸ τὸ πολεμεῖν εἰδότων καὶ αὐτὸ τὸ ἀποκτιννύναι, πρὸς δὲ καὶ ἀνδρῶν ῥητορικῶν πολιτικὸν φύσημα φυσώντων, ἁπάντων δὲ τούτων ὄντων ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης καὶ τοῦ εἰδότος ὁπότε βέλτιστον ἐνὶ ἑκάστῳ τούτων χρήσασθαι καὶ πρὸς τίνα; —Φαύλην τινὰ ἔγωγε, ὦ Σώκρατες. Πλάτωνος ἐκ τοῦ Γοργίου (p. 452 E —453 A). Νῦν μοι δοκεῖς δηλῶσαι, ὦ Γοργία, ἐγγύτατα, τὴν ῥητορικὴν ἥντινα τέχνην ἡγῇ εἶναι, καὶ εἴ τι ἐγὼ συνίημι, λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορική, καὶ ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευτᾷ. ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι, ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν; — Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι. Πλάτωνος (Com. II p. 680 fr. inc. 4). ἂν γὰρ ἀποθάνῃ εἷς τις πονηρὸς, δύ' ἀνέφυσαν ῥήτορες· οὐδεὶς γὰρ ἡμῖν Ἰόλεως ἐν τῇ πόλει, ὅστις ἐπικαύσει τὰς κεφαλὰς τῶν ῥητόρων. 〈Incerti comici (=Plat. fr. inc. l. s. v. 5)〉 . Κεκολλόπευκας· τοιγαροῦν ῥήτωρ ἔσῃ. Τοῦ αὐτο ῦ . Ἰδών τινα Πλάτων φαῦλα μὲν πράττοντα, δίκας δὲ ὑπὲρ ἑτέρων λέγοντα, εἶπεν, Οὗτος νοῦν „ἐπὶ γλώσσῃ φέρει“.

2.4 〈 Ἡσιόδου (Theog. 85—92)〉 . Πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε. τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὔνεκα λαοῖς βλαπτομένοις ἀγορῇφι μετάτροπα ἔργα τελεῦσι, ῥηιδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν. ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὡς ἱλάσκονται αἰδοῖ μειλιχίῃ· μετὰ δὲ πρέπει ἀγρομένοισιν. Αἰσχύλου Προμηθέως (459—461). Φιλήμονος (Com. IV p. 42, fr. inc. sed. 25 ab). Ἆρ' ἔστι τοῖς νοσοῦσι χρήσιμος λόγος. ὡς σπληνίον πρὸς ἕλκος οἰκείως τεθὲν τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος. Εὐριπίδου (fr. 1049 N.). Καὶ τῶν παλαιῶν πόλλ' ἔπη

καλῶς ἔχει· λόγοι γὰρ ἐσθλοὶ φάρμακον φόβου βροτοῖς. Φιλητᾶ Παιγνίων (fr. 1 p. 41 ed. Bach.). Οὐ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης αἱρήσει κλήθρην, αἱρόμενος μακέλην· ἀλλ᾽ ἐπέων εἰδὼς κόσμον καὶ πολλὰ μογήσας, μύθων παντοίων οἶμον ἐπιστάμενος. Εὐριπίδου Ἡρακλέους (673—676). Οὐ παύσομαι τὰς Χάριτας Μούσαις συγκαταμιγνὺς ἀδίσταν συζυγίαν. μὴ ζῴην μετ᾽ ἀμουσίας. Εὐριπίδου Ἀνδρομέδας (fr. 148 N.). Ὦ τλῆμον, ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς ἔδωχ᾽ ὁ δαίμων· μέγα φρονοῦσι δ᾽ οἱ λόγοι. Εὐριπίδου Παλαμήδη (fr. 582 N.). Τὰ τῆς γε λήθης φάρμακ᾽ ὀρθώσας μόνος ἄφωνα καὶ φωνοῦντα συλλαβάς τε θεὶς ἐξεῦρον ἀνθρώποισι γράμματ᾽ εἰδέναι, ὥστ᾽ οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς τἀκεῖ κατ᾽ οἴκους πάντ᾽ ἐπίστασθαι καλῶς, παισίν τ᾽ ἀποθνῄσκοντα χρημάτων μέτρον γράψαντας εἰπεῖν, τὸν λαβόντα δ᾽ εἰδέναι. ἃ δ᾽ εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακά, δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν. Καλλιμάχου 〈αἰτίων〉 β′ (fr. 106 Bentl. p. 371 Schn.). Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσσα καρήατι τῆμος ἔδωκα ξανθὰ σὺν εὐόδμοις ἁβρὰ λίπη στεφάνοις, ἄπνοα πάντ᾽ ἐγένοντο παραχρῆμ᾽· ὅσσα τ᾽ ὀδόντων ἔνδοθι νειαίρην τ᾽ εἰς ἀχάριστον ἔδυ, καὶ τῶν οὐδὲν ἔμεινεν ἐς αὔριον· ὅσσα δ᾽ ἀκουαῖς Φιλήμονος ἐξ Ἀπόλιδος (Com. IV p. 6). Οὐχὶ μόνον οὗτος εὗρε πῶς λαλήσομεν αὐτοῖς, ἀπέχοντες πολὺν ἀπ᾽ ἀλλήλων χρόνον, οὐδ᾽ ὃν τρόπον μηδέποτε μηδὲ εἷς πάλιν ἐπιλήσεθ᾽ ἡμῶν μηδέν, ἐμβλέψας δέ που τὰκ τοῦ χρόνου τοῦ παντὸς εἴσετ᾽· ἀλλὰ καὶ ψυχῆς ἰατρὸν κατέλιπεν τὰ γράμματα. Ἰσοκράτους Εὐαγόρᾳ (73). Ἐγὼ δέ, ὦ Νικόκλεις, ἡγοῦμαι μὲν εἶναι καλὰ μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας· πολὺ μέντοι πλείονος ἀξίας 〈τὰσ〉 τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειεν. Δημοκρίτου (fr. mor. 222 Mullach.). Ἰσχυρὸν ἐς πειθὼ λόγος γίγνεται. Σωκράτου ς . Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων, ἐν δὲ τῷ ζῆν ὁ λόγος τοῦ πλούτου. Τοῦ αὐτο ῦ . Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα. Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 18 B—D). Ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν, εἴτε τις θεός, εἴτε καὶ θεῖος ἄνθρωπος, ὡς ὁ λόγος ἐν Αἰγύπτῳ Θεὺθ τινὰ τοῦτον γενέσθαι λέγων, ὃς πρῶτος τὰ φωνήενται ἐν τῷ ἀπείρῳ κατενόησεν, οὐχ ἓν ὄντα, ἀλλὰ πλείω· καὶ πάλιν ἕτερα, φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντά τινος, ἀριθμὸν δέ τινα καὶ τούτων εἶναι· τρίτον δὲ εἶδος γραμμάτων διεστήσατο τὰ νῦν λεγόμενα ἄφωνα ἡμῖν· τὸ μετὰ τοῦτο διῄρει τά τε ἄφθογγα καὶ ἄφωνα μέχρι καὶ ἑνὸς ἑκάστου καὶ τὰ φωνήεντα καὶ τὰ μέσα κατὰ τὸν 〈αὐτὸν〉 τρόπον, ἕως ἀριθμὸν αὐτῶν λαβὼν ἑνί τε ἑκάστῳ καὶ ξύμπασι στοιχεῖον ἐπωνόμασε. Καθορῶν δὲ ὡς οὐδεὶς ἡμῶν οὐδ᾽ ἂν ἓν αὐτὸ καθ᾽ αὑτὸ ἄνευ πάντων αὐτῶν μάθοι, τοῦτον τὸν δεσμὸν αὖ λογισάμενος ὡς ὄντα ἕνα καὶ πάντα ταῦτα ἕν πως ποιοῦντα, μίαν ἐπ᾽ αὐτοῖς ὡς οὖσαν γραμματικὴν Πλάτωνος ἐκ τοῦ Θεαιτήτου (p. 202 BC). Ὀνομάτων γὰρ συμπλοκὴν εἶναι λόγου οὐσίαν. Οὕτω δὴ τὰ μὲν στοιχεῖα ἄλογα καὶ ἄγνωστα εἶναι, αἰσθητὰ δέ· τὰς δὲ συλλαβὰς γνωστάς τε καὶ ῥητὰς καὶ ἀληθεῖ δόξῃ δοξαστάς. Ὅταν μὲν οὖν ἄνευ λόγου τὴν ἀληθῆ δόξαν τινός τις λάβῃ, ἀληθεύειν μὲν αὐτοῦ τὴν ψυχὴν περὶ αὐτό, γιγνώσκειν δ᾽ οὔ. Τὸν γὰρ μὴ δυνάμενον δοῦναί τε καὶ δέξασθαι λόγον, ἀνεπιστήμονα εἶναι περὶ τούτου· προσλαβόντα δὲ λόγον δυνατόν τε ταῦτα πάντα γεγονέναι καὶ τελέως πρὸς ἐπιστήμην ἔχειν. Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 261 D —p. 262 E). Φέρε δή, καθάπερ περὶ τῶν εἰδῶν καὶ τῶν γραμμάτων ἐλέγομεν, περὶ τῶν ὀνομάτων πάλιν ὡσαύτως ἐπισκεψώμεθα· φαίνεται γάρ πῃ ταύτῃ τὸ νῦν ζητούμενον. — Τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων ὑπακουστέον; — Εἴτε πάντα ἀλλήλοις ξυναρμόττει, εἴτε μηδέν, εἴτε τὰ μὲν ἐθέλει, τὰ δὲ μή. — Δῆλον τοῦτό γε, ὅτι τὰ μὲν ἐθέλει, τὰ δ᾽ οὔ. — Τὸ τοιόνδε λέγεις ἴσως, ὅτι τὰ μὲν ἐφεξῆς λεγόμενα καὶ δηλοῦντά τι ξυναρμόττει· τὰ δὲ τῇ συνεχείᾳ μηδὲν σημαίνοντα ἀναρμοστεῖ. — Πῶς τί τοῦτ᾽ εἶπας; — Ὅπερ ᾠήθην ὑπολαβόντα σὲ προσομολογεῖν· ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων διττὸν γένος. — Πῶς; — Τὸ μὲν ὀνόματα, τὸ δὲ ῥήματα κληθέν. — Εἰπὲ ἑκάτερον. — Τὸ μὲν ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα, ῥῆμά που λεγόμενον. — Ναί. — Τὸ δέ γε ἐπ᾽ αὐτοῖς τοῖς ἐκείνας πράττουσι σημεῖον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς φωνῆς ἐπιτηθὲν ὄνομα. — Κομιδῇ μὲν οὖν. — Οὐκοῦν ἐξ ὀνομάτων μὲν μόνων συνεχῶς λεγομένων οὐκ ἔστι ποτὲ λόγος, οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων. — Ταῦτ' οὐκ ἔμαθον. — Δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων ἄρτι ξυνωμολόγεις· ἐπεὶ τοῦτ' αὐτὸ ἐβουλόμην εἰπεῖν, ὅτι ξυνεχῶς ὧδε λεγόμενα ταῦτ' οὐκ ἔστι λόγος. — Πῶς; — Οἷον, βαδίζει, τρέχει, καθεύδει, καὶ τἆλλα ὅσα πράξεις σημαίνει ῥήματα, κἂν πάντα τις ἐφεξῆς αὐτὰ εἴπῃ, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται. — Πῶς γάρ; — Οὐκοῦν καὶ πάλιν ὅταν λέγηται, λέων, ἔλαφος, ἵππος, ὅσα τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη, καὶ κατὰ ταύτην δὴ τὴν συνέχειαν οὐδείς πω ξυνέστη λόγος. Οὐδεμίαν γὰρ οὔτε οὕτως οὔτ' ἐκείνως πρᾶξιν οὐδ' ἀπραξίαν, οὐδὲ οὐσίαν ὄντος οὐδὲ μὴ ὄντος δηλοῖ τὰ φωνηθέντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ· τότε δ' ἥρμοσέ τε καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκὴ σχεδὸν τῶν λόγων, ὁ πρῶτός τε καὶ σμικρότατος. — Πῶς ἄρ' ὧδε λέγεις; — Ὅταν εἴπῃ τις, ἄνθρωπος μανθάνει, λόγον εἶναι φὴς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον; — Ἔγωγε. — Δηλοῖ γὰρ ἤδη που τότε περὶ τῶν ὄντων ἢ γιγνομένων ἢ γεγονότων ἢ μελλόντων· καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαίνει συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι. Διὸ λέγειν τε αὐτόν, ἀλλ' οὐ μόνον ὀνομάζειν εἴπομεν· καὶ δὴ καὶ τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐπεφθεγξάμεθα λόγον. — Ὀρθῶς. — Οὕτω δὴ καθάπερ τὰ πράγματα τὰ μὲν ἀλλήλοις ἥρμοττε, τὰ δ' οὔ· καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα τὰ μὲν οὐχ ἁρμόττει, τὰ δὲ ἁρμόττοντα αὐτῶν λόγον ἀπειργάσατο. — Παντάπασι μὲν οὖν. Τοῦ αὐτοῦ ἐκ τοῦ Φαίδρου (p. 274 B —275 D). Οὐκοῦν τὸ μὲν τέχνης τε καὶ ἀτεχνίας λόγων πέρι ἱκανῶς ἐχέτω. — Τί μήν; — Τὸ δ' εὐπρεπείας 〈δὴ γραφῆς πέρι καὶ ἀπρεπείασ〉 , πῇ γιγνόμενον καλῶς ἂν ἔχοι, καὶ ὅπῃ ἀπρεπῶς, λοιπόν. ἦ γάρ; — Ναί. — Οἶσθ' οὖν ὅπῃ μάλιστα θεῷ χαριεῖ λόγων πέρι πράττων ἢ λέγων; — Οὐδαμῶς· σὺ δέ; — Ἀκοήν γ' ἔχω λέγειν τῶν προτέρων· τὸ δ' ἀληθὲς αὐτοὶ ἴσασιν. Εἰ δὲ τοῦτο εὕροιμεν αὐτοί, ἆρά γ' ἂν ἔθ' ἡμῖν μέλοι τι τῶν ἀνθρωπίνων δοξασμάτων; — Γελοῖον ἤρου· ἀλλ' ἃ φὴς ἀκηκοέναι, λέγε. — Ἤκουσα τοίνυν περὶ Ναύκρατιν τῆς Αἰγύπτου γενέσθαι τῶν ἐκεῖ παλαιῶν τινα θεῶν, οὗ καὶ τὸ ὄρνεον ἱερόν, ὃ δὴ καλοῦσιν Ἶβιν· αὐτῷ δὲ ὄνομα τῷ δαίμονι εἶναι Θεύθ. Τοῦτον δὴ πρῶτον ἀριθμόν τε καὶ λογισμὸν εὑρεῖν, καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, ἔτι δὲ πεττείας τε καὶ κυβείας, καὶ δὴ καὶ γράμματα. Βασιλέως δ' αὖ τότε ὄντος Αἰγύπτου ὅλης Θαμοῦ περὶ τὴν μεγάλην πόλιν τοῦ ἄνω τόπου, ἣν οἱ Ἕλληνες Αἰγυπτίας Θήβας καλοῦσι, καὶ τὸν θεὸν Ἄμμωνα, παρὰ τοῦτον ἐλθὼν ὁ Θεὺθ τὰς τέχνας ἐπέδειξε, καὶ ἔφη δεῖν διαδοθῆναι τοῖς ἄλλοις Αἰγυπτίοις. Ὁ δὲ ἤρετο ἣν δὴ ἑκάστη ἔχει ὠφέλειαν. Διεξιόντος δέ, ὅτι καλῶς ἢ μὴ καλῶς δοκοίη λέγειν, τὸ μὲν ἔψεγε, τὸ δ' ἐπῄνει. Πολλὰ μὲν δὴ περὶ ἑκάστης τῆς τέχνης ἐπ' ἀμφότερα Θαμοῦν τῷ Θεὺθ λέγεται ἀποφήνασθαι, ἃ λόγος πολὺς μὲν ἂν εἴη διελθεῖν· ἐπειδὴ δ' ἐπὶ τοῖς γράμμασιν ἦν, Τοῦτο δέ, ὦ βασιλεῦ, τὸ μάθημα, ἔφη ὁ Θεύθ, σοφωτέρους Αἰγυπτίους καὶ μνημονικωτέρους παρέξει, ἄλλος δὲ κρῖναι, τίν' ἔχει μοῖραν βλάβης τε καὶ ὠφελείας τοῖς μέλλουσι χρῆσθαι. Καὶ νῦν σὺ πατὴρ ὢν γραμμάτων δι' εὔνοιαν τοὐναντίον εἶπες ἢ δύναται. Τοῦτο γὰρ τῶν μαθόντων λήθην μὲν ἐν ψυχαῖς παρέξει, μνήμης ἀμελετησίᾳ, ἅτε διὰ πίστιν γραφῆς ἔξωθεν ὑπ' ἀλλοτρίων τύπων, οὐκ ἔνδοθεν αὐτοὺς ὑφ' αὑτῶν ἀναμιμνησκομένους. Οὐκοῦν οὐ μνήμης ἀλλ' ὑπομνήσεως φάρμακον εὗρες, σοφίας δὲ τοῖς μαθηταῖς δόξαν οὐκ ἀλήθειαν πορίζεις. πολυήκοοι γάρ σοι γενόμενοι ἄνευ διδαχῆς πολυγνώμονες εἶναι δόξουσιν, ἀγνώμονες ὡς ἐπὶ πλῆθος ὄντες καὶ χαλεποὶ ξυνεῖναι, δοξόσοφοι γεγονότες ἀντὶ σοφῶν. — Ὦ Σώκρατες, ῥᾳδίως σὺ Αἰγυπτίους καὶ ὁποδαποὺς ἂν ἐθέλῃς λόγους ποιεῖς. — Οἱ δέ γ', ὦ φίλε, ἐν τῷ τοῦ Διὸς τοῦ Δωδωναίου ἱερῷ δρυὸς λόγους ἔφησαν μαντικοὺς πρώτους γενέσθαι. Τοῖς μὲν οὖν τότε, ἅτε οὐκ οὖσι σοφοῖς, ὥσπερ ὑμεῖς οἱ νέοι, ἀπέχρη δρυὸς καὶ πέτρας ἀκούειν ὑπ' εὐηθείας, εἰ μόνον ἀληθῆ λέγοιεν· σοὶ δ' ἴσως διαφέρει, τίς ὁ λέγων καὶ ποδαπός. Οὐ γὰρ ἐκεῖνο μόνον σκοπεῖς, εἴτε οὕτως εἴτε ἄλλως ἔχει. — Ὀρθῶς ἐπέπληξας. Καί μοι δοκεῖ περὶ γραμμάτων ἔχειν ᾗπερ ὁ Θηβαῖος λέγει. —

Οὐκοῦν ὁ τέχνην οἰόμενος ἐν γράμμασι καταλείπειν, καὶ αὖ ὁ παραδεχόμενος, ὡς τι σαφὲς καὶ βέβαιον ἐκ γραμμάτων ἐσόμενον, πολλῆς ἂν εὐηθείας γέμοι· καὶ τῷ ὄντι τὴν Ἄμμωνος μαντείαν ἀγνοοῖ, πλέον τι οἰόμενος εἶναι λόγους γεγραμμένους καὶ τοῦ τὸν εἰδότα ὑπομνῆσαι περὶ ὧν ἂν ᾖ τὰ γεγραμμένα. — Ὀρθότατα. Τοῦ αὐτοῦ ἐκ τοῦ Φαίδρου (p. 275 DE). Δεινὸν γάρ που, ὦ Φαῖδρε, τοῦτ’ ἔχει γραφὴ καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ. Καὶ γὰρ τὰ ἐκείνης ἔκγονα ἕστηκεν μὲν ὡς ζῶντα· ἐὰν δὲ ἔρῃ τι, σεμνῶς πάνυ σιγᾷ. Ταὐτὸν δὲ καὶ οἱ λόγοι· δόξαις μὲν ἂν ὥς τι φρονοῦντας αὐτοὺς λέγειν· ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων βουλόμενος μαθεῖν, ἕν τι σημαίνει μόνον ταὐτὸν ἀεί. Ὅταν δὲ ἅπαξ γραφῇ, κυλινδεῖται μὲν πανταχοῦ πᾶς λόγος ὁμοίως παρὰ τοῖς ἐπαΐουσιν.

2.5 Πλάτωνος Νόμων δ′ (p. 719 C). Παλαιὸς μῦθος, ὦ νομοθέτα, ὑπό τε αὐτῶν ἡμῶν ἀεὶ λεγόμενός ἐστι καὶ τοῖς ἄλλοις πᾶσιν ξυνδεδογμένος, ὅτι ποιητὴς ὁπόταν ἐν τῷ τρίποδι τῆς Μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστίν, οἷον δὲ κρήνη τις τὸ ἐπιὸν ῥεῖν ἑτοίμως ἐᾷ· καὶ τῆς τέχνης οὔσης μιμήσεως ἀναγκάζεται, ἐναντίως ἀλλήλοις ἀνθρώπους ποιῶν διατιθεμένους, ἐναντία λέγειν αὐτῷ πολλάκις· οἶδε δὲ οὔτ’ εἰ ταῦτα οὔτ’ εἰ θάτερα ἀληθῆ τῶν λεγομένων. Τοῦ αὐτοῦ ἐκ τοῦ Φαίδρου (p. 245 A). Ὃς δ’ ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται, πεισθεὶς ἄρα ὡς ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις. Πλάτωνος ἐκ τοῦ Ἴωνος (p. 533 D —534 D). ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν· καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις, ὥστε δύνασθαι ταὐτὸν τοῦτο ποιεῖν, ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους· ὥστ’ ἐνίοτε ὁρμαθὸς πάνυ μακρὸς σιδηρίων καὶ δακτυλίων ἐξ ἀλλήλων ἤρτηται, πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. Οὕτω δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτή, διὰ δὲ τῶν ἐνθέων τούτων ἄλλος ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται. Πάντες γὰρ τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ οὐκ ἐκ τέχνης, ἀλλ’ ἔνθεοι ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα· καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως, ὥσπερ οἱ κορυβαντιῶντες οὐκ ἔμφρονες ὄντες 〈ὀρχοῦνται, οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες〉 τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ’ ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν, βακχεύουσι καὶ κατεχόμενοι ὥσπερ ἀρύτονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμενοι, ἔμφρονες δὲ οὔ, καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται, ὅπερ αὐτοὶ λέγουσι. Λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταί, ὅτι ἀπὸ κρηνῶν μελιρρύτων ἢ ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται. καὶ αὐτοὶ οὕτω πετόμενοι, καὶ ἀληθῆ λέγουσι. Κοῦφον γὰρ χρῆμα ποιητής ἐστι καὶ πτηνὸν καὶ ἱερὸν καὶ οὐ πρότερον οἷός τε ποιεῖν πρὶν ἂν ἔνθεος γένηται εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσαντο λέγειν, κἂν περὶ τῶν ἄλλων πάντων. Διὰ ταῦτα δὲ ὁ θεὸς ἐξαιρούμενος τούτων τὸν νοῦν τούτοις χρῆται ὑπηρέταις καὶ τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς οἱ ἀκούοντες εἰδῶμεν, ὅτι οὐχ οὗτοί εἰσιν οἱ ταῦτα λέγοντες, τὰ οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν, ἀλλὰ ὁ θεός ἐστιν αὐτὸς ὁ λέγων ταῦτα, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς.

2.6 Πλάτων τὰ πολλὰ ὧν τινες συγγράφουσι τοῖς Ἀδωνιακοῖς κήποις εἴκαζεν, οἳ τὴν χάριν ἐφήμερον ἔχοντες ῥᾳδίως μαραίνονται.

2.7 〈 Ἐκ τῆς Διδύμου ἐπιτομῆς 〉 . Ἦθος δέ ἐστι ποιότης τοῦ ἀλόγου μέρους τῆς ψυχῆς ὑποτακτικῶς ἔχειν ἐθιζομένου τῷ λόγῳ. Ἄλλως · Ἄλογον μέρος τῆς ψυχῆς εἰθισμένον ὑπακούειν τῷ λόγῳ· ἢ πάθος ἢ παθητικὸν μέρος τῆς ψυχῆς εἰθισμένον ὑπακούειν τῷ λογικῷ. Ἄλλως · Πάθος ἢ τὸ ὀρεκτικὸν μέρος τῆς ψυχῆς εἰθισμένον ὑπακούειν τοῦ λογικοῦ. Πάρεστι δὲ κἀκείνως ὁρίζεσθαι· ὁρμὴ ψυχῆς πρακτικὴ ἢ κίνησις τῆς ψυχῆς καθ’ ὁρμὴν ἢ ποιότης ἀλόγου μορίου ψυχῆς ἢ ψυχῆς τοῦ ἀλόγου μέρους ποιότης καθ’ ὑποτακτικὸν λόγον δυναμένη τῷ λογικῷ ἐπακολουθεῖν. Οὕτως μὲν οὖν οἱ κατὰ Πλάτωνα φιλοσοφοῦντες ὁρίζονται· οἱ δὲ κατὰ

Ζήνωνα τὸν Στωϊκὸν τροπικῶς· ἦθός ἐστι πηγὴ βίου, ἀφ' ἧς αἱ κατὰ μέρος πράξεις ῥέουσι. Πάθος δ' ἐστίν, ὡς μὲν Ἀριστοτέλη ς , ἄλογος ψυχῆς κίνησις πλεοναστική. Τὸ μὲν οὖν 'ἄλογον' κατὰ τοῦ μὴ ἔχοντος τὸν ἀρχικὸν λόγον τάττει, τὸν γὰρ ὑποτακτικὸν ἔχει, καθ' ὃν ὑπακούειν πέφυκε τοῦ λογικοῦ· τὸ δὲ 'πλεοναστικόν' κατὰ τοῦ πεφυκότος ἐπιδέχεσθαι πλεονασμόν, οὐ κατὰ τοῦ ἤδη πλεονάζοντος· ποτὲ μὲν γὰρ Οἱ μὲν οὖν Περιπατητικοὶ οὕτως· ὡς δ' ὁ Στωϊκὸς ὡρίσατο Ζήνω ν , πάθος ἐστὶν ὁρμὴ πλεονάζουσα. Οὐ λέγει 'πεφυκυῖα πλεονάζειν', ἀλλ' ἤδη ἐν πλεονασμῷ οὖσα· οὐ γὰρ δυνάμει, μᾶλλον δ' ἐνεργείᾳ. Ὡρίσατο δὲ κἀκείνως· πάθος ἐστὶ πτοία ψυχῆς, ἀπὸ τῆς τῶν πτηνῶν φορᾶς τὸ εὐκίνητον τοῦ παθητικοῦ παρεικάσας. Ἠθοποιία δ' ἐστὶν ἤθους ἐμποίησις. Ἠθικὴ δ' ἐστὶν ἀρετὴ μεσότης παθῶν, ἢ ἕξις ὁρίζουσα τοῦ πάθους τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν τῷ τῆς φρονήσεως λόγῳ· ἢ ἕξις προαιρετικὴ τοῦ καλοῦ περὶ ἡδονὰς καὶ λύπας. Ταῦτα μὲν οὖν αὐτάρκη περὶ τῶν ὅρω ν , πολλάκις γὰρ οἱ περὶ αὐτῶν λόγοι παρεμπεσοῦνται. Χωρητέον δὲ ἐπὶ τὴν διαίρεσιν τοῦ ἠθικοῦ τόπο υ , εὐθὺς ἀπ' αὐτοῦ τοῦ κατὰ διαφορὰν ἐνδεικνύμενον. Διαίρεσις ἠθικοῦ τόπο υ . Φίλων ἐγένετο Λαρισαῖος, φιλόσοφος Ἀκαδημιακός, ἀκουστὴς Κλειτομάχου, τῶν ἱκανὴν εἰσενεγκαμένων προκοπὴν ἐν τοῖς λοιποῖς. Οὗτος ὁ Φίλων τά τε ἄλλα πεπραγμάτευται δεξιῶς καὶ διαίρεσιν τοῦ κατὰ φιλοσοφίαν ὑφελέσθαι, οὕτως καὶ τοῦ φιλοσόφου. Κεῖται τοίνυν ἑκάτερον τούτων ἐν τῷ προσαγορευομένῳ προτρεπτικῷ λόγῳ, ἔστι γὰρ ὃ προτρεπτικὸς ὁ παρορμῶν ἐπὶ τὴν ἀρετήν. Τούτου δ' ὃ μὲν ἐνδείκνυται τὸ μεγαλωφελὲς αὐτῆς, ὃ δὲ τοὺς ἀνασκευάζοντας ἢ κατηγοροῦντας ἤ πως ἄλλως κακοηθιζομένους 〈εἰσ〉 τὴν φιλοσοφίαν ἀπελέγχει. Δεύτερος δὲ μετὰ τοῦτον ὁ 〈τῇ〉 πρὸς τὴν ἰατρικὴν ἀναλογίᾳ δευτέραν ἔχων τάξιν. Ὡς γὰρ ἰατροῦ μετὰ τὸ πεῖσαι παραδέξασθαι τὴν θεραπείαν τὸ προσάγειν ἐστὶ ταύτην [τοῦ μὲν θεραπευτικοῦ] τὰ μὲν ἐν τῷ προεκκομίσαι τὰ νοσοποιὰ τῶν αἰτίων, τὰ δ' ἐν τῷ τὰ παρασκευαστικὰ τῆς ὑγιείας ἐνθεῖναι, οὕτως αὖ κἀπὶ τῆς ἐπιστήμης ἔχει· μετὰ γὰρ τὰ προτρεπτικὰ πειρᾶται τὰ θεραπευτικὰ προσάγειν, ἐφ' ὃ καὶ τοῖς παρορμητικοῖς κέχρηται διμερῶς· τὸ μὲν γὰρ ὑπεξαιρετικὸν τῶν ψευδῶς γεγενημένων δοξῶν, δι' ἃς τὰ κριτήρια νοσοποιεῖται τῆς ψυχῆς, προσάγει λόγον, τὸ δὲ τῶν ὑγιῶς ἐχουσῶν ἐνθετικόν. Δεύτερος οὖν ὁ περὶ ἀγαθῶν καὶ κακῶν τόπος, ἐφ' ὃν καὶ δι' ὃν ἡ προτροπή. Τῷ δὲ τρίτῳ πάλιν ὁ τρίτος ἀναλογήσει. δ' ἦν ὑγίεια, καὶ τῇ φιλοσοφίᾳ περὶ τὴν εὐδαιμονίαν. Συνάπτεται δὲ τῷ περὶ τελῶν λόγῳ λόγος 〈ὁ〉 περὶ βίω ν . Ἐπί τε γὰρ τῆς ἰατρικῆς οὐκ ἀρκεῖ τὴν ὑγίειαν ἐμποιῆσαι, χρεία δὲ καὶ τοῦ παρασχεῖν παραγγέλματα περὶ τῆς ὑγιείας, οἷς προσέχοντες τὸν νοῦν τὴν εὐεξίαν τοῦ σώματος διαφυλάξουσι· καὶ δὴ κἀπὶ τοῦ βίου θεωρημάτων τινῶν ἐστι χρεία, δι' ὧν ἡ φυλακὴ γενήσεται τοῦ τέλους. Διττὸς δὲ καὶ ὁ περὶ βίων λόγος, ὃ μὲν ἴδιο ς , ὃ δὲ κοινός · ὧν τὸν μὲν ἴδιον ἐπισκοπεῖν δέον ἐστὶ τὰ πρὸς ἕκαστον, οἷον εἰ τῷ νοῦν ἔχοντι πολιτευτέον ἢ τοῖς ἡγεμονικοῖς συμβιωτέον, ἢ γαμητέον τῷ σοφῷ· τὸν δὲ κοινὸν 〈τὰ〉 πρὸς ἅπαντας, οἷόν ἐστι· τίς ἀρίστη πολιτεία; εἰ κοινὰς ποιητέον τὰς ἀρχὰς ἢ τιμητάς; Τοῦτον δὲ τὸν κοινὸν προσαγορευτέον μὲν πολιτικό ν , τακτέον δὲ καθ' αὐτὸν καίπερ ὄντα μέρος τοῦ περὶ βίων διά τε τὸ μέγεθος καὶ τὴν κοινότητα. Εἰ μὲν οὖν ἐνεδέχετο πάντας εἶναι σοφούς, οὐκ ἂν ἐδέησε πλειόνων ἔτι τόπων· οἱ γὰρ κατὰ λεπτὸν διαιρούμενοι παραφυάδες εἰσὶ τῶν προκειμένων. ἐπεὶ δὲ καὶ τῶν μέσως διακειμένων ἀνθρώπων πρόνοιαν ποιητέον, οὕς τινας ἐκ τῶν παραινετικῶν λόγων ὠφελεῖσθαι συμβαίνει, μὴ δυναμένους προσευκαιρεῖν τοῖς διεξοδικοῖς πλάτεσιν ἢ διὰ χρόνου στενοχωρίας ἢ διά τινας ἀναγκαίας ἀσχολίας, ἐπεισενεκτέον τὸν ὑποθετικὸν λόγο ν , δι' οὗ τὰς πρὸς τὴν ἀσφάλειαν καὶ τὴν ὀρθότητα τῆς ἑκάστου χρήσεως ὑποθήκας ἐν ἐπιτομαῖς ἔξουσιν. Οὕτως μὲν οὖν ἡ Φίλωνος ἔχει διαίρεσις. Ἐγὼ δ' εἰ μὲν ἀργοτέρως διεκείμην, ἀρκεσθεὶς ἂν αὐτῇ συνεῖρον κἄπειτα ποιότητα τὴν περὶ αὐτὴν καὶ ποσότητα, καὶ τούτοις ἐφεξῆς τὸ πρὸς τί, νομίζω προσεπιπονητέον [τε] εἶναι καὶ τὰ τῶν ἄλλων ἐπισκοπεῖν, καθάπερ οὐ πάντων, οὕτως τῶν περὶ ταῦτα διενεγκάντων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἔστιν οὖν Εὐδώρου τοῦ Ἀλεξανδρέως, Ἀκαδημιακοῦ φιλοσόφου, διαίρεσις τοῦ κατὰ φιλοσοφίαν λόγου, βιβλίον ἀξιόκτητον, ἐν ᾧ πᾶσαν ἐπεξελήλυθε προβληματικῶς τὴν ἐπιστήμην, ἧς ἐγὼ διαιρέσεως ἐκθήσομαι τὸ τῆς ἠθικῆς οἰκεῖον. Ἔχει δ' οὕτως. Τριμεροῦς ὄντος τοῦ κατὰ φιλοσοφίαν λόγου τὸ μέν ἐστιν αὐτοῦ ἠθικόν, τὸ δὲ φυσικόν, τὸ δὲ λογικόν. Τοῦ δ' ἠθικοῦ τὸ μὲν περὶ τὴν θεωρίαν τῆς καθ' ἕκαστον ἀξίας, 〈τὸ δὲ περὶ τὴν ὁρμήν〉, τὸ δὲ περὶ τὴν πρᾶξι ν. ⁋ Ταῦτ' ἐστὶν ἁδρομερῆ τῆς ἠθικῆς εἴδη, πρῶτον μὲν τὸ θεάσασθαι τὴν ἀξίαν τοῦ πράγματος ὅπερ αἱρεῖσθαι μέλλομεν, οὐδὲ γὰρ οἷόν τε γενέσθαι τὴν ὁρμὴν εὔλογον, εἰ μὴ μετὰ τὴν θεωρίαν· ἡ θεωρία δ' ἐστὶ περίσκεψις τοῦ πράγματος καὶ οἷον ἐπίκρισις κατὰ τὸν περὶ αὐτοῦ λογισμόν· δεύτερον δὲ τὸ τὴν ὁρμὴν τῷ περινοηθέντι καλῶς ἐπιβαλεῖν· τρίτον τὸ τὴν πρᾶξιν αὐτοῖς ἐπισυνάψαι. ⁋ Ταῦτ' ἐστὶ τὰ πρῶτα μέρη τοῦ ἠθικοῦ λόγου θεωρητικόν, ὁρμητικόν, πρακτικόν. τὴν τῶν τελῶν περιποίησιν. 〈καὶ τὸ μὲν περὶ τῶν τελῶν διαιρεῖται εἵς τε τὸ περὶ ἀγαθῶν καὶ κακῶν καὶ τὸ ..... τοῦ δὲ περὶ τῶν συμβαλλομένων εἰς τὴν τῶν τελῶν περιποίησιν〉 τὸ μέν ἐστι περὶ τῶν ἀρετῶν καὶ τῶν κακιῶ ν, τὸ δὲ περὶ τῶν κατὰ τὰς ἀρετὰς ποιῶν (ὅπερ καὶ καλεῖται χαρακτηριστικόν), τὸ δὲ περὶ τεχνῶ ν, τὸ δὲ περὶ ἐπιτηδευμάτω ν. Τοῦ μὲν περὶ ἀρετῶν τὸ μὲν ἴδιο ν, τὸ δὲ κοινόν· ἴδιον μέν, οἷον περὶ δικαιοσύνης, περὶ ἀνδρείας, σωφροσύνης, φρονήσεως, τῶν ἄλλων· κοινὸν δὲ τὸ προτρεπτικόν, τοῦτο γὰρ εἰς τὸ μόνως ἐνδείξασθαι τὴν ἀρετὴν καὶ τὴν κακίαν. Καὶ ὁ μὲν περὶ τὴν θεωρίαν τῆς καθ' ἕκαστον ἀξίας λόγος εἰς τοσούτους τόπους γενικοὺς τέμνεται· ὁ γὰρ περὶ ἀγαθῶν καὶ κακῶν πολλὰς περιέχει διαιρέσει ς, αὐτίκα τὸν περὶ τῶν λεγομένων προηγμένων, τὸν περὶ φιλίας· καὶ ἡδονῆς καὶ δόξης καὶ εὐφυΐας. Τῷ δὲ περὶ φιλίας τῆς εἰδικῆς ὁρμῆ ς, ὁ δὲ περὶ παθῶ ν. Ἤτοι γὰρ πᾶν πάθος ὁρμὴ πλεονάζουσα, ἢ τά γε πλεῖστα μεθ' ὁρμῆς καὶ [τὰ] ἀρρωστήματα. Τοῦ δὲ περὶ τῆς πράξεως λόγου ὃ μέν ἐστι περὶ τῶν οἰκειούντων πρός τινας πράξεις, ὃ δὲ περὶ τῶν ἀλλοτριούντων ἀπό τινων πράξεων, ὃ δὲ τῶν αἰτίων ἀποδοτικὸς τῶν ἐπιτελούντων τινὰς σχέσεις ἢ κινήσεις, ὃ δὲ περὶ τῆς ἀσκήσεω ς, ὃ δὲ περὶ τῆς ἰδίως καὶ ὁμωνύμως τῷ γένει λεγομένης πράξεω ς. Καὶ ὁ μὲν περὶ τῶν οἰκειούντων πρός τινας πράξεις διαιρεῖται εἵς τε τὸν ὑποθετικὸν καὶ τὸν προτρεπτικόν· ἔνιοι γὰρ καὶ τοῦτον ὑπὸ τόνδε τάττουσιν. Ὁ δὲ περὶ τῶν ἀποτρεπόντων καλεῖται παραμυθητικό ς, ὃς καλούμενός ἐστι πρὸς ἐνίων παθολογικός· τοῦ δὲ περὶ τῆς ὁμωνύμως λεγομένης πράξεως καὶ εἰδικῆς ὃ μέν ἐστι περὶ τῶν καθηκόντω ν, ὃ δὲ περὶ τῶν κατορθωμάτω ν. Ἐπεὶ δὲ τῶν καθηκόντων καὶ τῶν κατορθωμάτων ἃ μέν ἐστι καθ' ἑαυτά, ἃ δὲ κατὰ τὴν πρὸς τοὺς πλησίον σχέσιν, συνέστη τόπος ὁ περὶ τῶν χαρίτων ἐκ τοῦ λόγου τοῦ κατὰ τὴν πρὸς τοὺς πλησίον σχέσιν ὑπάρχων. Πάλιν δ' ἐπεὶ τῶν καθηκόντων καὶ τῶν κατορθωμάτων ἃ μὲν λέγεται σύνθετα, ἃ δὲ ἀσύνθετα, συνέστη κατὰ τὸν 〈περὶ〉 τῆς πράξεως λόγον, 〈ὑποθετικόν, προτρεπτικόν〉, παραμυθητικὸν 〈ἢ〉 παθολογικόν, 〈αἰτιολογικόν〉, περὶ ἀσκήσεως, περὶ καθηκόντων, περὶ κατορθωμάτων. περὶ χαρίτων, περὶ βίων, περὶ γάμου. Ὁ μὲν οὖν ἠθικὸς λόγος εἰς ταῦτα καὶ τοσαῦτα τέμνοιτ' ἄν· ἀρκτέον δὲ τῶν προβλημάτων, προτάττοντα τὰ γένη κατὰ τὴν ἐμοὶ φαινομένην διάταξι ν, ἥν τινα πείθομαι πρὸς τὸ σαφέστερον διῃρηκέναι. Περὶ τέλου ς. Τέλος λέγεται πολλαχῶς· ὡς τὸ πέρας, ᾧ ἀντιδιαιρεῖται ἀρχὴ καὶ μέσον· καὶ ὡς τὸ τέλεσμα 〈τὸ〉 φορικόν· ὡς τὸ ἀνάλωμα, καθὸ λέγεται αὐτοτελής τε καὶ εὐτελής· ὡς ὁ γάμος παρὰ τοῖς Δωριεῦσιν, ἤτοι παρὰ τὸ συμπέρασμα τῆς νεότητος, ἢ διὰ τὸ τελειοῦν τὸν ἄνδρα τῇ πρὸς τὴν γυναῖκα συνόδῳ, καθὸ τὴν γαμήλιον Ἥραν 〈ἢ〉 συζυγίαν καὶ τελείαν ἐπονομάζουσι· τέλος δὲ καὶ γνώσεως καὶ πράξεως καὶ ποιήματος τὸ ἀποβαῖνον, ὡς παρ' Εὐριπίδῃ (Bacch. 386—388) Ἀχαλίνων στομάτων ἀνόμου τ' ἀφροσύνας τὸ τέλος δυστυχία. Λακεδαιμονίων εἰ τύχοι. Παρὰ δ' Ὁμήρῳ ἐν τῷ τῆς Ἰλιάδος δεκάτῳ (470) Αἶψα δ' ἐπὶ Θρηικῶν ἀνδρῶν τέλος ἶξον ἰόντες· τοῦτο δ' ἐστὶν ἔναρχον τάγμα. Λέγεται δ' ὑπὸ μὲν τῶν Στωϊκῶν ὁρικῶς „τέλος ἐστὶν οὗ ἕνεκα πάντα πράττεται καθηκόντως,

αὐτὸ δὲ πράττεται οὐδενὸς ἕνεκα“· κἀκείνως „οὗ χάριν τἆλλα, αὐτὸ δ’ οὐδενὸς ἕνεκα“· καὶ πάλιν „ἐφ’ ὃ πάντα τὰ ἐν τῷ βίῳ πραττόμενα καθηκόντως τὴν ἀναφορὰν λαμβάνει, αὐτὸ δ’ ἐπ’ οὐδέν“. Ὑπὸ δὲ τῶν νεωτέρων Περιπατητικῶν τῶν ἀπὸ Κριτολάου „τὸ ἐκ πάντων τῶν ἀγαθῶν συμπεπληρωμένον“ (τοῦτο δὲ ἦν „τὸ ἐκ τῶν τριῶν γενῶν“), οὐκ ὀρθῶς. Οὐ γὰρ πάντα τἀγαθὰ μέρη γίνεται τοῦ τέλους· οὔτε γὰρ τὰ σωματικά, οὔτε τὰ ἀπὸ τῶν ἐκτός, τὰ δὲ τῆς ψυχικῆς ἀρετῆς ἐνεργήματα μόνης. Κρεῖττον οὖν ἦν εἰπεῖν ἀντὶ τοῦ „συμπληρούμενον“ „ἐνεργούμενον“, ἵνα τὸ χρηστικὸν τῆς ἀρετῆς ἐμφαίνηται. Τοῦτο δ’ οἱ κατ’ Ἐπίκουρον φιλοσοφοῦντες οὐ προσδέχονται λέγειν „ἐνεργούμενον“, διὰ τὸ παθητικὸν ὑποτίθεσθαι τὸ τέλος, οὐ πρακτικόν (ἡδονὴ γάρ)· ὅθεν καὶ τὴν ἔννοιαν ἀποδιδόασι τοῦ τέλους „τὸ οἰκείως διατιθέναι ἐξ ἑαυ- Τὸ μὲν οὖν ὄνομα τοῦ τέλους εὑρίσκεται καὶ παρ’ Ὁμήρῳ (ι 5)· Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι. Ἀλλ’ οὗτος μὲν δημοτελὲς εἰσήγαγε τὸ τέλος, Πλάτων δὲ διέστιξε πρῶτος τὸ κατ’ ἄνδρα καὶ βίον ἰδιάζον ἔν τε τῷ Τιμαίῳ (p. 90 D) κἀν τῷ Πρωταγόρᾳ (p. 354 D). Καὶ 〈σημειωτέον〉 γε τὴν τοῦ σκοποῦ διαφορὰν πρὸς τὸ τέλο ς . Καὶ ἔστι σκοπὸς μὲν τὸ προκείμενον εἰς τὸ τυχεῖν, οἷον ἀσπὶς τοξόταις· τέλος δ’ 〈ἡ〉 τοῦ προκειμένου τεῦξις. Βούλονται γὰρ ἐνέργημα ἡμέτερον εἶναι πρὸς τὸ τέλος. Ὑποτελὶς δ’ ἐστὶ τὸ πρῶτον οἰκεῖον τοῦ ζῴου πάθος, ἀφ’ οὗ κατήρξατο συναισθάνεσθαι τὸ ζῷον τῆς συστάσεως αὐτοῦ, οὔπω λογικὸν 〈ὂν〉 ἀλλ’ ἄλογον, κατὰ τοὺς φυσικοὺς καὶ σπερματικοὺς λόγους, ὥσπερ τὸ θρεπτικὸν καὶ τὸ αἰσθητικόν, καὶ τῶν τοιούτων ἕκαστον ῥίζης τόπον ἐπέχει, οὐδέ πω φυτοῦ· γενόμενον γὰρ τὸ ζῷον ᾠκειώθη τινὶ πάντως εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ἐστὶν ὑποτελίς, κεῖται δ’ ἔν τινι τῶν τριῶν · ἢ γὰρ ἐν ἡδονῇ ἢ ἐν ἀοχλησίᾳ ἢ ἐν τοῖς πρώτοις κατὰ φύσι ν . Πρῶτα δ’ ἐστὶ κατὰ φύσιν περὶ μὲν τὸ σῶμα ἕξις, κίνησις, σχέσις, ἐνέργεια, δύναμις, ὄρεξις, ὑγίεια, ἰσχύς, εὐεξία, εὐαιπονία, ἐπιμονή, μνήμη, τὰ τούτοις παραπλήσια, ὧν οὐδέπω τεχνοειδὲς οὐδέν, σύμφυτον δὲ μᾶλλον. Τὴν δ’ ὑποτελίδα τῶν ἀρχαίων οὐδεὶς ὠνόμασε καίτοι τὸ πρᾶγμα γιγνωσκόντων. Τὴν δ’ εὐδαιμονίαν συνωνυμεῖν τῷ τέλει λέγουσιν. Εὐδαιμονία δ’ ἐστὶ τὸ ἄριστον ἐν τῷ βίῳ, ἢ τὸ μέγιστον τῶν ἀγαθῶν, ἢ τὸ κράτιστον. Ταῦτα γάρ ἐστι τῶν περὶ αὐτῆς ἐννοημάτων ἁπλούστερα. Κἂν λέγῃ δέ τις μακαριότητα καὶ τὸ μακαρίως ζῆν, εἰς ταὐτὸ συνδραμεῖται τοῖς τελικοῖς. Προσδιαιρετέον οὖν. Τῶν περὶ τέλους διαλεχθέντων οἱ μὲν ψυχικὸν εἶναι διενοήθησαν, οἱ δὲ σωματικό ν , οἱ δὲ μικτὸν ἐξ ἀμφοῖν. Φράσω δὲ παραδείγματος χάριν· ὁ μὲν τοίνυν ἀρετὴν λέγων τουτέστιν ἐν ἀρετῇ κείμενον ψυχικὸν ὑπείληφεν· ὁ δ’ ἡδονὴν σωματικόν· ὁ δὲ τὸ καλῶς καὶ ἡδέως ζῆν κοινόν. Εἴποι δ’ ἄν τις αὖ κἀκείνως· οἱ μὲν λογικό ν , οἱ δ’ ἄλογο ν , οἱ μὲν διανοητικό ν , οἱ δὲ παθητικό ν . Πάντα δὲ τὴν ἐν τούτοις ὀνόμασιν ἔχοντα διαφορὰν εἰς ταὐτὸ συντρέχει. Ἐκ γὰρ σώματος καὶ ψυχῆς τἀνθρώπου συνεστῶτος, ἀνάγκη καὶ τὴν εὐζωΐαν αὐτοῦ περὶ ταῦτα καὶ διὰ τούτων συνίστασθαι. Λέγωμεν οὖν περὶ τῶν πρώτων εὐθύς, ὁποῖοι ἦσαν οἱ ἀπὸ τῶν ψυχικῶν ἀναγόμενοι. Ὅμηρο ς , δεδόσθω γὰρ τῇ ἀρχαιότητι προνομία, ψυχικὸν ἀπεφήνατο τὸ τῆς εὐδαιμονίας τέλος, καὶ ταῦτα διὰ τοῦ παρεισαγομένου προσώπου σοφωτάτου παρ’ αὐτῷ. πεποίηται γὰρ Ὀδυσγήσαιτο καλὴν φρόνησιν, τοῦτο δ’ ἂν ἐκδέξαιτο τὴν ἐπὶ τοῖς καλοῖς φρόνησιν. Ὁμήρῳ μὲν ἀρκέσει προμετρηθὲν τὸ τῆς τιμῆς διὰ τὴν ἀρχαιότητα, ἐπὶ δὲ τοὺς φιλοσόφους ἰτέον. Σωκράτη ς , Πλάτων ταὐτὰ τῷ Πυθαγόρ ᾳ , τέλος ὁμοίωσιν θεῷ. Σαφέστερον δ’ αὐτὸ διήρθρωσε Πλάτων προσθεὶς τὸ ‘κατὰ τὸ δυνατόν‘ (Theaet. p. 176 B), φρονήσει δ’ ἐστὶ μόνως δυνατόν, τοῦτο δ’ ἦν τὸ κατ’ ἀρετὴν 〈ζῆν〉 . Ἐν μὲν γὰρ θεῷ τὸ κοσμοποιὸν καὶ κοσμοδιοικητικόν· ἐν δὲ τῷ σοφῷ βίου κατάστασις καὶ ζωῆς διαγωγή· ὅπερ αἰνίξασθαι μὲν Ὅμηρον εἰπόντα (ε 193) κατ’ ἴχνια βαῖνε θεοῖο· Πυθαγόραν δὲ παρ’ αὐτὸν εἰπεῖν· Ἕπου θεῷ· δῆλον ὡς οὐχ ὁρατῷ καὶ προηγουμένῳ, νοητῷ δὲ καὶ τῆς κοσμικῆς εὐταξίας ἁρμονικῷ. Εἴρηται δὲ παρὰ Πλάτωνι κατὰ τὸ τῆς φιλοσοφίας τριμερές, ἐν Τιμαίῳ μὲν (p. 90 A—D) φυσικῶς (προσθήσω δὲ καὶ Πυθαγορικῶς), σημαίνοντος ἀφθόνως τὴν ἐκείνου προεπίνοιαν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν δὲ τῇ Πολιτείᾳ (IX p. 585 B sqq.; X p. 608 C sqq.) ἠθικῶς· ἐν δὲ τῷ Θεαιτήτῳ (p. 176 D—E) λογικῶς· περιπέφρασται δὲ κἀν τῷ τετάρτῳ περὶ Νόμων (p. 716 A sq.) ἐπὶ τῆς ἀκολουθίας τοῦ θεοῦ τέλους αὐτῷ πολλαχῶς. Καὶ τὴν μὲν ποικιλίαν τῆς φράσεως ἔχει διὰ τὸ λόγιον καὶ μεγαλήγορον, εἰς δὲ ταὐτὸ καὶ σύμφωνον τοῦ δόγματος συντελεῖ. Τοῦτο δ' ἐστὶ τὸ κατ' ἀρετὴν ζῆν. Τοῦτο δ' αὖ κτῆσις ἅμα καὶ χρῆσις τῆς τελείας ἀρετῆς. Ὅτι δὲ τέλος αὐτὴν ἡγεῖται, τέταχεν ἐν Τιμαίῳ (l. s.) 〈εἰπὼν〉 καὶ τοὔνομα· φράσω δὲ καὶ τἀκροτελεύτιον τῆς περιοχῆς· ἔχει δ' οὕτως· „ὁμοιώσαντα δὲ τέλος ἔχειν τοῦ προτεθέντος ἀνθρώποις ὑπὸ θεῶν ἀρίστου βίου πρός τε τὸν παρόντα καὶ τὸν μέλλοντα". Ἀριστοτέλης χρῆσιν ἀρετῆς τελείας ἐν 〈βίῳ τελείῳ〉 χορηγουμένην. Ἡ μὲν οὖν ' χρῆσίσ ' ἐστι πλέον ἕξις ἡ βελτίστη ψυχῆς· ' τελεία ' δὲ τριχῶς, καὶ γὰρ ᾗ σύνθετος ἐκ τῶν θεωρητικῶν καὶ πρακτικῶν καὶ ἠθικῶν (τρία γὰρ ὑποτίθεται γένη), ἢν ἂν εἴποις ἀρετὴν κατὰ σύνθεσιν· καὶ ᾗ ἐκ τῶν οἰκείων δυνάμεων συμπεπληρωμένη, φύσεως, λόγου, ἔθους (ταύτην κατ' ἀριθμὸν ἐρεῖ τις)· καὶ ᾗ κατὰ συμφωνίαν τοῦ λογικοῦ μέρους πρὸς τἄλογον τῆς ψυχῆς, περὶ ὧν ὑποβὰς διαρθρώσω. Πολλαχῶς δ' ἔξεστι τὴν εὐδαιμονίαν ὁρίζεσθαι κατ' αὐτόν· „ἐνέργειαν κατ' ἀρετὴν τελείαν ἐν βίῳ τελείῳ χορηγουμένην" καὶ „βίος καλὸς καὶ τέλειος χορηγούμενοσ"· καὶ τὸ πάντων σαφέστατον „χρῆσις ἀρετῆς τελείας ἐν βίῳ τελείῳ χορηγουμένη". ' 〈ἐν〉 βίῳ δὲ τελείῳ ' λέγει πρὸς τὴν διάστασιν τῆς χρήσεως τῶν ἀγαθῶν· ' χορηγουμένην ' δὲ χάριν τοῦ τὴν χρῆσιν ἐν ἀγαθοῖς γίγνεσθαι, μὴ ἐν κακοῖς. Τοῦτο μὲν οὖν τὸ τέλος · τὸ δ' αὐτὸ συνωνύμως εὐδαιμονία παρὰ Πλάτωνος (Gorg. p. 470 E) μετηγμένον. Σκοποὺς δ' ὑποτίθεται τῆς ἐφέσεως τῶν ἀνθρωἔργον· καὶ τὸ ἀγαθὸν [τὸ] καλόν, καθὸ ἐπαινετὸν ἤτοι παρέχον ἐπαινετούς· συμφέρον δὲ 〈τὸ〉 πρὸς τὸ ζῆν εὔχρηστον· συμπαρατείνοι δ' ἂν ἡ ἔννοια καὶ πρὸς τὸ εὖ ζῆν. Ταῦτα δ' ἐστὶ πρῶτα κατὰ φύσιν ψυχῆς καὶ σώματος, περὶ ὧν προείρηται (p. 47, 20—48, 3). Ἡδὺ δ' ἐστὶν οἰκεῖον ψυχῆς καὶ σώματος πάθος, εἰς τὸ κατὰ φύσιν ἐκ τοῦ παρὰ φύσιν ἀγωγόν, ὥσπερ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ (p. 64 D) ὡρίσατο. Ἀριστοτέλης ἐν τῷ δεκάτῳ τῶν Νικομαχείων (c. 2 init.) Εὔδοξον τὸν ἀστρόλογον οἴεται τέλος δογματίζειν τὴν ἡδονήν. Δημόκριτος καὶ Πλάτων κοινῶς ἐν τῇ ψυχῇ τὴν εὐδαιμονίαν τίθενται. Γέγραφε δ' ὃ μὲν οὕτως (fr. mor. 1 Mullach.)· „Εὐδαιμονίη ψυχῆς καὶ κακοδαιμονίη." „Εὐδαιμονίη οὐκ ἐν βοσκήμασι οἰκέει, οὐδὲ ἐν χρυσῷ· ψυχὴ οἰκητήριον δαίμονοσ". Τὴν δ' 〈εὐδαιμονίαν καὶ〉 εὐθυμίαν καὶ εὐεστὼ καὶ ἁρμονίαν, συμμετρίαν τε καὶ ἀταραξίαν καλεῖ· συνίστασθαι δ' αὐτὴν ἐκ τοῦ διορισμοῦ καὶ τῆς κρίτῳ κατὰ τοῦτο συνᾴδων γράφει (Tim. p. 90 A) περὶ τοῦ κυριωτάτου τῶν ἐν ἡμῖν δεῖν ὑπολαβεῖν „ὡς ἄρ' αὐτὸ δαίμονα ἡμῖν δέδωκεν ὁ θεόσ" καὶ ἐν αὐτῷ τὸ εὔδαιμον. Λέγει δὲ τοῦτ' ἐν τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἕξιν τινὰ ποιὰν καὶ διάθεσιν· τούτου δὲ τἀγαθοῦ τὰ μὲν πάθη κατάρχειν, ὅρον δὲ καὶ πέρας εἶναι τὸν λογισμόν. Ἀκούειν γοῦν πάρεστι (Leg. I p. 636 D)· „Δύο γὰρ αὗται φύσει πηγαὶ μεθεῖνται ῥεῖν (ἡδονὴ καὶ λύπη), ὧν ὁ μὲν ἀρυτόμενος 〈ὅθεν τε δεῖ καὶ ὅπῃ καὶ ὅπωσ〉 εὐδαιμονεῖ, ὁ δὲ μή, τοὐναντίον". Ἐν μὲν τοίνυν τῷ τὴν ἡδονὴν καὶ τὴν λύπην ὀνομάσαι τὴν ἀπὸ τῶν παθῶν συνίστησι τῆς εὐδαιμονίας ἀρχήν· ἐν δὲ τῷ τὸν ἀρυτόμενον ὅθεν τε δεῖ καὶ ὅπῃ καὶ ὅπως εὐδαιμονεῖν, τὸ τῷ λογιστικῷ διοριστικὸν εἴρηκε τῆς εὐδαιμονίας. Κατὰ τοῦτο μὲν οὖν ἀλλήλοις συμφέρονται· καθὰ δὲ Πλάτων ἐν μὲν τῇ εὐλογιστίᾳ τίθεται τὸ προηγούμενον ἀγαθὸν καὶ δι' αὐτὸ αἱρετόν, ἐν δὲ τῇ ἡδονῇ τὸ ἐπιγεννηματικόν, ὅπερ οἴεται καὐτὸς εἶναι χαράν τε καὶ ἀταραξίαν συνωνύμως, ἐξ ἐπακολουθήματος 〈ἀλλήλοις διαφέρονται〉 . Περὶ ἀγαθῶν καὶ κακῶ ν . Ἀγαθόν ἐστιν ἀφ' οὗ συμβαίνει τὸ ὠφελεῖσθαι· καὶ οὗ πάντ' ἐφίεται τὰ λόγον ἔχοντα προηγουμένως· καὶ καὶ τὸ ὀρεκτικὸν κατὰ φύσιν· καὶ τὸ κινητικὸν τῆς κατὰ φύσιν ἐχούσης ὀρέξεως, καὶ καθ' ὃ ἕκαστον εὖ ἔχει ὅσον ἐπὶ τῇ ἐκείνου παρουσίᾳ, ἢ ποιητικόν ἐστι τοῦ τοιούτου· καὶ ὃ ἤτοι δι' αὐτό ἐστιν αἱρετόν, ἢ τοῦ αἱρετοῦ ποιητικόν· καὶ ὃ ἤτοι εὐδαιμονία ἐστίν, ἢ συμβαλλόμενον πρὸς εὐδαιμονίαν· καὶ καθάπερ Στράτων, τὸ τελειοῦν τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύναμιν, δι' ἣν τῆς ἐνεργείας τυγχάνομεν· καὶ τὸ σωστικὸν τῆς ἑκάστου οὐσίας, καθ' ὃ κριθήσεται τῶν κατὰ μέρος τὰ μετέχοντα τῆς τοιαύτης δυνάμεως· καὶ πολλαχῶς ἄλλως. Πλάτων δὲ τοιαύτῃ χρῆται διαιρέσει, θήσω δὲ κατὰ λέξιν ἐκ τοῦ πρώτου τῶν Νόμων καὶ διὰ τὸ κάλλος τῆς φράσεως καὶ διὰ τὴν σαφήνειαν (p. 631 B—D)· „Διττὰ δ' ἀγαθά ἐστι, τὰ μὲν ἀνθρώπινα, τὰ δὲ θεῖα, ἥρτηται δ' ἐκ τῶν θείων θάτερα· καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα, παρίσταται καὶ τὰ ἐλάττονα· εἰ δὲ μή, στέρεται ἀμφοῖν. Ἔστι δὲ τὰ μὲν ἐλάττονα, ὧν ἡγεῖται μὲν ὑγίεια, κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχὺς εἴς τε δρόμον καὶ εἰς τὰς ἄλλας πάσας κινήσεις τῷ σώματι, τέταρτον δὲ δὴ πλοῦτος οὐ τυφλός, ἀλλ' ὀξὺ βλέπων, ἄν περ ἅμα ἕπηται φρονήσει. Ὃ δὴ πρῶτον αὖ τῶν θείων ἡγεμονοῦν ἐστιν ἀγαθῶν, ἡ φρόνησις· δεύτερον δὲ μετὰ νοῦ σώφρων ψυχῆς ἕξις· ἐκ δὲ τούτων μετ' ἀνδρείας κραθέντων τρίτον ἂν εἴη δικαιοσύνη, τέταρτον ἀνδρεία. Ταῦτα δὲ πάντα ἐκείνων ἔμπροσθεν τέτακται φύσει, καὶ δὴ καὶ τῷ νομοθέτῃ τακτέον οὕτως.“ Ἔτι καὶ τοῦτον ἐνδιαστελοῦμαι τὸν τρόπον· Πλάτων πολύφωνος ὤν, οὐχ ὥς τινες οἴονται πολύδοξος, πολλαχῶς διῄρηται τἀγαθόν. Διχῶς μὲν τῷ γένει· τῶν ἀγαθῶν τὰ μὲν θεῖα, τὰ δὲ ἀνθρώπινα· θεῖα μὲν τὰς περὶ τὴν ψυχὴν ἀρετὰς λέγων, ἀνθρώπινα δὲ τὰς περὶ τὸ σωματικὸν μέρος εὐεξίας καὶ τὰς ἀπὸ τῶν ἐκτὸς λεγομένων εὐπορίας. Τριχῶς δὲ τοῖς τόποις. Τῶν γὰρ ἀγαθῶν τὰς μὲν περὶ ψυχήν, τὰς δὲ περὶ σῶμα, τὰς δ' ἐν τοῖς ἐκτὸς ἀρετὰς εἴποις ἂν καὶ εὐεξίας καὶ εὐπορίας. Πενταχῶς δὲ τοῖς εἴδεσι. Πρῶτον μὲν γὰρ τἀγαθὸν τὴν ἰδέαν αὐτὴν ἀποφαίνεται, ὅπερ ἐστὶ θεῖον καὶ χωριστόν· δεύτερον δὲ τὸ ἐκ φρονήσεως καὶ ἡδονῆς σύνθετον, ὅπερ ἐνίοις δοκεῖ κατ' αὐτὸν εἶναι τέλος τῆς ἀνθρωπίνου ζωῆς· τρίτον αὐτὴν καθ' αὐτὴν τὴν φρόνησιν· τέταρτον τὸ ἐκ τῶν ἐπιστημῶν καὶ τεχνῶν σύνθετον· πέμπτον αὐτὴν καθ' αὐτὴν τὴν ἡδονήν. Ταύταις κέχρηται ταῖς διαστολαῖς ἐν τῷ πρώτῳ τῶν Νόμων μάλιστα κἀν τῷ Φιλήβῳ. Ἄλλως· Μόνον μὲν τὸ καλὸν ἀγαθόν· καθότι τῶν θερμόν· μετὰ δ' ἄλλων ἀγαθῶν τῶν τριῶν γενῶν, ὅσον μετείληφεν αὐτῆς τὰ δύο, τὰ σωματικὰ σὺν τοῖς ἐκτός. Ὡς γὰρ τῆς σελήνης ἀφώτιστος μὲν ἡ οὐσία καθ' αὑτήν, μεταλήψει δὲ τῆς ἡλιακῆς αὐγῆς φωτίζεται, οὕτως οὐδὲν ὃ μὴ μετέχει τῆς ἀρετῆς ἀγαθόν. Τοῖς γὰρ ἀνθρωπίνοις τὸ δύνασθαι ὠφελεῖν ἐκ τῶν θείων πάρεστιν. Ἀριστοτέλης τὴν μὲν τριάδα τῶν ἀγαθῶν καὐτὸς ὁμοίως Πλάτωνι κατὰ τοὺς τόπους. Ἔτι τῶν ἀγαθῶν τὰ μέν ἐστι δι' ἑαυτὰ αἱρετά, τὰ δὲ δι' ἕτερα. Δ ι ' ἑαυτὰ μὲν οὖν ἐστιν αἱρετ ά , ὅσα πρὸς τὴν αἵρεσιν αὐτῶν οὐ δι' ἄλλο τι κινεῖ ἢ προτρέπεται· τοιαῦτα δ' ἐστὶν ἥ τ' εὐδαιμονία, καὶ τὸ γένος τῶν ἀρετῶν, καὶ τὰ σωματικὰ τῶν 〈πρώτων〉 κατὰ φύσιν, ὑγίεια, εὐεξία, εὐαισθησία, κάλλος, τάχος, ἀρτιότης, ἰσχύς, τὰ παραπλήσια τούτοις, καὶ τῶν σωματικῶν ἡδονῶν αἱ μηδεμίαν βλάβην ἐπιφέρουσαι. Ταῦτα γὰρ ὁ νοῦν ἔχων ἕλοιτ' ἂν 〈δι'〉 αὐτά, κἂν μηδὲν ἄλλο κεχωρισμένον αὐτῶν περιποιῇ. Δ ι ' ἄλλα δ' ἐστὶν αἱρετὰ τὰ δι' ἕτερόν τι κεχωρισμένον αὐτῶν προκαλούμενα πρὸς τὴν αἵρεσιν, περίπατος, γυμνασία, μάθησις, ἀνάγνωσις, ἰατρεῖαι, θεραπεῖαι, τροφαί, σκέπαι. Τούτων γὰρ οὐδὲν δι' αὐτὸ ληπτόν, κατὰ δὲ τὴν ἀναφορὰν τὴν ἐφ' ἃ παρέχεται. Εἰ πᾶν τὸ καλὸν δ ι ' αὐτὸ αἱρετό ν ; Κατὰ μὲν Πλάτωνα πᾶν. Καὶ γὰρ ἀρετὴν πᾶσαν καὶ τὴν καθ' ἑκάστην ἕξιν σπουδαίαν καὶ τὴν ἐνέργειαν, ἥτις ἐστὶ πρᾶξις μετὰ λόγου. Ὠνομάσθαι γοῦν καλόν, ὅτι κλητικόν ἐστιν ἐφ' αὐτό. Τῷ δ' Ἀριστοτέλει δοκεῖ τὰς μὲν ἕξεις οὐκ εἶναι δι' αὐτὰς αἱρετάς, δι' ἄλλο γάρ τι, τὴν ἐνέργειαν. Πᾶσα γὰρ ἕξις διὰ ταύτην ὡς τὸ οὗ ἕνεκα, τοῦτο 〈δὲ〉 δι' αὐτὸ αἱρετὸν ὑπάρχει, ὡς χρῆσις καὶ τέλος τοῦ βίου. Καὶ τὴν εὐδαιμονίαν οὗτος μὲν ἀπὸ τῆς χρήσεως ἀναφωνεῖ, Πλάτων δὲ καὶ ἀπὸ τῆς κτήσεως. Ἀλλ' ὁ μὲν πρεσβύτερος ἐν τοῖς Νόμοις καὶ ἐν τῷ Τιμαίῳ καί τισιν ἄλλοις ταῦτα κατακεχώρικεν, ὁ δὲ νεώτερος ἐν τοῖς Ἠθικοῖς. Ζήνωνος καὶ τῶν λοιπῶν Στωικῶν δόγματα περὶ τοῦ ἠθικοῦ μέρους τῆς φιλοσοφία ς . Περὶ δὲ τῶν ἠθικῶν ἑξῆς ποιήσομαι τὸν ὑπομνηματισμὸν τὰ κεφάλαια τῶν ἀναγκαίων δογμάτων ἀναλαβών. Ἄρξομαι δ' ἐντεῦθεν· Ταῦτ' εἶναί φησιν ὁ Ζήνων, ὅσα οὐσίας μετέχει· τῶν δ' ὄντων τὰ μὲν ἀγαθ ά , τὰ δὲ κακ ά , τὰ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδιάφορα . Ἀγαθὰ μὲν τὰ τοιαῦτα· φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν καὶ πᾶν ὅ ἐστιν ἀρετὴ ἢ μετέχον ἀρετῆς· κακὰ δὲ τὰ τοιαῦτα· ἀφροσύνην, ἀκολασίαν, ἀδικίαν, δειλίαν καὶ πᾶν ὅ ἐστι κακία ἢ μετέχον κακίας· ἀδιάφορα δὲ τὰ τοιαῦτα· ζωὴν θάνατον, δόξαν ἀδοξίαν, ἡδονὴν πόνον, πλοῦτον πενίαν, ὑγίειαν νόσον, καὶ τὰ τούτοις ὅμοια. Τῶν δὲ ἀγαθῶν τὰ μὲν εἶναι ἀρετά ς , τὰ δ’ ο ὔ . Φρόνησιν μὲν οὖν καὶ σωφροσύνην 〈καὶ δικαιοσύνην〉 καὶ ἀνδρείαν 〈καὶ μεγαλοψυχίαν καὶ ῥώμην καὶ ἰσχὺν ψυχῆσ〉 ἀρετάς · χαρὰν δὲ καὶ εὐφροσύνην καὶ θάρρος καὶ βούλησιν καὶ τὰ παραπλήσια οὐκ εἶναι ἀρετάς. Τῶν δὲ ἀρετῶν τὰς μὲν ἐπιστήμας τινῶν καὶ τέχνα ς , τὰς δ’ οὔ. Φρόνησιν μὲν οὖν καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ ἀνδρείαν ἐπιστήμας εἶναι τινῶν καὶ τέχνας · μεγαλοψυχίαν δὲ καὶ ῥώμην καὶ ἰσχὺν ψυχῆς οὔ τ ’ ἐπιστήμας τινῶν εἶναι οὔτε τέχνα ς . Ἀνάλογον δὲ καὶ τῶν κακῶν τὰ μὲν εἶναι κακία ς , τὰ δ’ ο ὔ . Ἀφροσύνην μὲν οὖν καὶ ἀδικίαν καὶ δειλίαν καὶ μικροψυχίαν καὶ ἀδυναμίαν κακίας εἶναι· λύπην δὲ καὶ φόβον καὶ τὰ παραπλήσια οὐκ εἶναι κακίας. Τῶν δὲ κακιῶν τὰς μὲν εἶναι ἀγνοίας τινῶν καὶ ἀτεχνία ς , τὰς δ’ ο ὔ . Ἀφρο- Φρόνησιν δ’ εἶναι ἐπιστήμην ὧν ποιητέον καὶ οὐ ποιητέον καὶ οὐδετέρων, ἢ ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων φύσει πολιτικοῦ 〈λογικοῦ〉 ζῴου (καὶ ἐπὶ τῶν λοιπῶν δὲ ἀρετῶν οὕτως ἀκούειν παραγγέλλουσι)· σωφροσύνην δ’ εἶναι ἐπιστήμην αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων· δικαιοσύνην δὲ ἐπιστήμην ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ· ἀνδρείαν δὲ ἐπιστήμην δεινῶν καὶ ποιητέον καὶ οὐδετέρων· ἀκολασίαν δὲ ἄγνοιαν αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων· 〈 ἀδικίαν δὲ ἄγνοιαν μὴ ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ〉 · δειλίαν δὲ ἄγνοιαν δεινῶν καὶ οὐ δεινῶν καὶ οὐδετέρων. Παραπλησίως δὲ καὶ τὰς ἄλλας ἀρετὰς καὶ κακίας ὁρίζονται, τῶν εἰρημένων ἐχόμενοι. Κοινότερον δὲ τὴν ἀρετὴν διάθεσιν εἶναί φασι ψυχῆς σύμφωνον αὐτῇ περὶ ὅλον τὸν βίον. Τῶν δ’ ἀρετῶν τὰς μὲν εἶναι πρώτα ς , τὰς δὲ ταῖς πρώταις ὑποτεταγμένας · πρώτας δὲ τέτταρας εἶναι, φρόνησιν, σωφροσύνην, ἀνδρείαν, δικαιοσύνην. Καὶ τὴν μὲν φρόνησιν περὶ τὰ καθήκοντα γίνεσθαι· τὴν δὲ σωφροσύνην περὶ τὰς ὁρμὰς τοῦ ἀνθρώπου· τὴν δὲ ἀνδρείαν περὶ τὰς ὑπομονάς· τὴν δὲ δικαιοσύνην περὶ τὰς ἀπονεμήσεις. Τῶν δὲ ὑποτεταγμένων ταῖς ἀρεταῖς ταύταις τὰς μὲν τῇ φρονήσει ὑποτετάχθαι, τὰς δὲ τῇ σωφροσύνῃ, τὰς δὲ τῇ ἀνδρείᾳ, τὰς δὲ τῇ δικαιοσύνῃ. Τῇ μὲν οὖν φρονήσει ὑποτάττεσθαι εὐβουλίαν, εὐλογιστίαν, ἀγχίνοιαν, νουνέχειαν, 〈εὐστοχίαν,〉 εὐμηχανίαν· τῇ δὲ σωφροσύνῃ εὐταξίαν, κοσμιότητα, αἰδημοσύνην, ἐγκράτειαν· τῇ δὲ ἀνδρείᾳ καρτερίαν, θαρραλεότητα, μεγαλοψυχίαν, εὐψυχίαν, φιλοπονίαν· τῇ δὲ δικαιοσύνῃ εὐσέβειαν, χρηστότητα, εὐκοινωνησίαν, εὐσυναλλαξίαν. Εὐβουλίαν μὲν οὖν εἶναι λέγουσιν ἐπιστήνοιαν δὲ ἐπιστήμην εὑρετικὴν τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα· νουνέχειαν δὲ ἐπιστήμην 〈τῶν χειρόνων καὶ βελτιόνων· εὐστοχίαν δὲ ἐπιστήμην〉 ἐπιτευκτικὴν τοῦ ἐν ἑκάστῳ σκοποῦ· εὐμηχανίαν δὲ ἐπιστήμην εὑρετικὴν διεξόδου πραγμάτων· εὐταξίαν δὲ ἐπιστήμην τοῦ πότε πρακτέον, καὶ τί μετὰ τί, καὶ καθόλου τῆς τάξεως τῶν πράξεων· κοσμιότητα δὲ 〈ἐπιστήμην〉 πρεπουσῶν καὶ ἀπρεπῶν κινήσεων· αἰδημοσύνην δὲ ἐπιστήμην εὐλαβητικὴν ὀρθοῦ ψόγου· ἐγκράτειαν δὲ ἐπιστήμην ἀνυπέρβατον τῶν κατὰ τὸν ὀρθὸν λόγον φανέντων· καρτερίαν δὲ ἐπιστήμην ἐμμενητικὴν τοῖς ὀρθῶς κριθεῖσι· θαρραλεότητα δὲ ἐπιστήμην καθ’ ἣν οἴδαμεν ὅτι οὐδενὶ δεινῷ μὴ περιπέσωμεν· μεγαλοψυχίαν δὲ ἐπιστήμην ὑπεράνω ποιοῦσαν τῶν πεφυκότων ἐν σπουδαίοις τε γίνεσθαι καὶ φαύλοις· εὐψυχίαν δὲ ἐπιστήμην ψυχῆς παρεχομένης ἑαυτὴν ἀήττητον· φιλοπονίαν δὲ ἐπιστήμην ἐξεργαστικὴν τοῦ προκειμένου, οὐ κωλυομένην διὰ πόνον· εὐσέβειαν δὲ ἐπιστήμην θεῶν θεραπείας· χρηστότητα δὲ ἐπιστήμην εὐποιητικήν· εὐκοινωνησίαν δὲ ἐπιστήμην ἰσότητος ἐν κοινωνίᾳ· εὐσυναλλαξίαν δὲ ἐπιστήμην τοῦ συναλλάττειν ἀμέμπτως τοῖς πλησίον. Πασῶν δὲ τούτων τῶν ἀρετῶν τὸ τέλος εἶναι τὸ ἀκολούθως τῇ φύσει ζῆν· ἑκάστην δὲ τούτου διὰ τῶν ἰδίων παρέχεσθαι τυγχάνοντα τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνθρωπον. Ἔχειν γὰρ ἀφορμὰς παρὰ τῆς φύσεως καὶ πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν καὶ πρὸς τὴν τῶν ὁρμῶν εὐστάθειαν καὶ πρὸς τὰς ὑπομονὰς καὶ πρὸς τὰς ἀπονεμήσεις. Καὶ 〈κατὰ〉 τὸ σύμφωνον καὶ τὸ ἑαυτῆς ἑκάστη τῶν ἀρετῶν πράττουσα παρέχεται τὸν ἄνθρωπον ἀκολούθως τῇ φύσει ζῶντα. Ταύτας μὲν οὖν τὰς ῥηθείσας ἀρετὰς τελείας εἶναι λέγουσι περὶ τὸν βίον καὶ συνεστηκέναι ἐκ θεωρημάτων· ἄλλας δὲ ἐπιγίνεσθαι ταύταις, οὐκ ἔτι τέχνας οὔσας, ἀλλὰ δυνάμεις τινάς, ἐκ τῆς ἀσκήσεως περιγιγνομένας, οἷον τὴν ὑγίειαν τῆς ψυχῆς καὶ τὴν ἀρτιότητα καὶ τὴν ἰσχὺν αὐτῆς καὶ τὸ κάλλος. Ὥσπερ γὰρ τὴν τοῦ σώματος ὑγίειαν εὐκρασίαν εἶναι τῶν ἐν τῷ σώματι θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν, οὕτω καὶ τὴν τῆς ψυχῆς ὑγίειαν εὐκρασίαν εἶναι τῶν ἐν τῇ ψυχῇ δογμάτων. Καὶ ὁμοίως ὥσπερ ἰσχὺς τοῦ σώματος τόνος ἐστὶν καὶ τὸ τῆς ψυχῆς κάλλος ἐστὶ συμμετρία τοῦ λόγου καὶ τῶν μερῶν αὐτοῦ πρὸς 〈τὸ〉 ὅλον τε αὐτῆς καὶ πρὸς ἄλληλα. Πάσας δὲ τὰς ἀρετάς, ὅσαι ἐπιστῆμαί εἰσι καὶ τέχναι, κοινά τε θεωρήματα ἔχειν καὶ τέλος, ὡς εἴρηται (p. 62, 7), τὸ αὐτό, διὸ καὶ ἀχωρίστους εἶναι· τὸν γὰρ μίαν ἔχοντα πάσας ἔχειν, καὶ τὸν κατὰ μίαν πράττοντα κατὰ πάσας πράττειν. Διαφέρειν δ' ἀλλήλων τοῖς κεφαλαίοι ς . Φρονήσεως μὲν γὰρ εἶναι κεφάλαια τὸ μὲν θεωρεῖν καὶ πράττειν, ὃ ποιητέον, προηγουμένως, κατὰ δὲ τὸν δεύτερον λόγον τὸ θεωρεῖν καὶ ἃ δεῖ ἀπονέμειν 〈καὶ ἃ δεῖ αἱρεῖσθαι καὶ ἃ δεῖ ὑπομένειν〉 , χάριν τοῦ ἀδιαπτώτως πράττειν ὃ ποιητέον. τῆς δὲ σωφροσύνης ἴδιον κεφάλαιόν ἐστι τὸ παρέχεσθαι τὰς ὁρμὰς εὐσταθεῖς καὶ θεωρεῖν αὐτὰς προηγουμένως, κατὰ δὲ τὸν δεύτερον λόγον τὰ ὑπὸ τὰς ἄλλας ἀρετάς, ἕνεκα τοῦ ἀδιαπτώτως ἐν ταῖς ὁρμαῖς ἀναστρέφεσθαι· καὶ ὁμοίως τὴν ἀνδρείαν προηγουμένως μὲν πᾶν ὃ δεῖ ὑπομένειν, κατὰ δὲ τὸν δεύτερον λόγον τὰ ὑπὸ τὰς ἄλλας· καὶ τὴν δικαιοσύνην προηγουμένως μὲν τὸ κατ' ἀξίαν ἑκάστῳ σκοπεῖν, κατὰ δὲ τὸν δεύτερον λόγον καὶ τὰ λοιπά. Πάσας γὰρ τὰς ἀρετὰς τὰ πασῶν βλέπειν καὶ τὰ ὑποτεταγμένα ἀλλήλαις. Ὅμοιον γὰρ ἔλεσκοποῦ, ἤδη δ' ὁ μὲν διὰ τοῦ πατάξαι εἰς τὴν λευκὴν εἰ τύχοι γραμμήν, ὁ δὲ διὰ τοῦ εἰς τὴν μέλαιναν, ἄλλος 〈δὲ〉 διὰ τοῦ εἰς ἄλλο τι χρῶμα γραμμῆς. Καθάπερ γὰρ τούτους ὡς μὲν ἀνωτάτω τέλος ποιεῖσθαι τὸ τυχεῖν τοῦ σκοποῦ, ἤδη δ' ἄλλον κατ' ἄλλον τρόπον προτίθεσθαι τὴν τεῦξιν, τὸν αὐτὸν τρόπον καὶ τὰς ἀρετὰς πάσας ποιεῖσθαι μὲν τέλος τὸ εὐδαιμονεῖν, ὅ ἐστι κείμενον ἐν τῷ ζῆν ὁμολογουμένως τῇ φύσει, τούτου δ' ἄλλην κα τ ' ἄλλον τυγχάνειν. Διττῶς δέ φησιν ὁ Διογένης (ap. Thierry, de Dio- gene Babyl. p. 72) λέγεσθαι τὰ δ ι ' αὐτὰ αἱρετ ά , 〈τὰ〉 καὶ τελικῶς αἱρετά, ὡς ἔχει τὰ ἐν τῇ προειρημένῃ διαιρέσει κατατεταγμένα, τὰ δὲ ὅσα ἐν αὐτοῖς ἔχει τὴν αἰτίαν τοῦ αἱρετὰ εἶναι, ὅπερ παντὶ ἀγαθῷ ὑπάρχει. Ἀρετὰς δ' εἶναι πλείους φασὶ καὶ ἀχωρίστους ἀπ' ἀλλήλων, καὶ τὰς αὐτὰς τῷ ἡγεμονικῷ μέρει τῆς ψυχῆς καθ' ὑπόστασιν, καθ' ὃ δὴ καὶ σῶμα πᾶσαν ἀρετὴν εἶναί τε καὶ λέγεσθαι, τὴν γὰρ διάνοιαν καὶ τὴν ψυχὴν σῶμα εἶναι· τὸ γὰρ συμφυὲς πνεῦμα ἡμῖν ἔνθερμον ζῷον εἶναι, ἐπειδὴ ἡ αὐτὴ διανοί᾽ ἐστὶ κατὰ τὴν οὐσίαν. Κατὰ τοῦτο γάρ φασι καὶ τὴν φρόνησιν φρονεῖν, ἀκολουθεῖ γὰρ αὐτοῖς τὸ οὕτως λέγειν. Ἀρετῆς δὲ καὶ κακίας οὐδὲν εἶναι μεταξ ύ . Πάντας γὰρ ἀνθρώπους ἀφορμὰς ἔχειν ἐκ φύσεως πρὸς ἀρετήν, καὶ οἱονεὶ τὸν τῶν ἡμιαμβείων λόγον ἔχειν κατὰ τὸν Κλεάνθην· ὅθεν ἀτελεῖς μὲν ὄντας εἶναι φαύλους, τελειωθέντας δὲ σπουδαίους. Φασὶ δὲ καὶ πάντα ποιεῖν τὸν σοφὸν 〈κατὰ〉 πάσας τὰς ἀρετά ς . Πᾶσαν γὰρ πρᾶξιν τελείαν αὐτοῦ εἶναι, διὸ καὶ μηδεμιᾶς ἀπολελεῖφθαι ἀρετῆς. Ἀκολούθως γὰρ τούτοις δογματίζουσι καὶ ὅτι καὶ νουνεχόντως καὶ διαλεκτικῶς ποιεῖ καὶ συμποτικῶς καὶ ἐρωτικῶ ς . Τὸν δὲ ἐρωτικὸν καὶ διχῇ λέγεσθαι, τὸν μὲν κατὰ τὴν ἀρετὴν ποιὸν σπουδαῖον ὄντα, τὸν δὲ κατὰ τὴν κακίαν ἐν ψόγῳ, ὡς ἂν ἐρωτομανῆ βάνουσιν εἰς τὰς ἀρετάς, τὴν μὲν περὶ τὸ ἐν συμποσίῳ καθῆκον ἀναστρεφομένην ἐπιστήμην οὖσαν τοῦ πῶς δεῖ ἐξάγεσθαι τὰ συμπόσια καὶ τοῦ πῶς δεῖ συμπίνειν· τὴν δ' ἐπιστήμην νέων θήρας εὐφυῶν, προτρεπτικὴν οὖσαν ἐπὶ τὴν κατ' ἀρετήν, καὶ καθόλου ἐπιστήμην τοῦ καλῶς ἐρᾶν· διὸ καί φασιν ἐρασθήσεσθαι τὸν νοῦν ἔχοντα. Τὸ δὲ ἐρᾶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸ μόνον ἀδιάφορον εἶναι, ἐπειδὴ γίνεταί ποτε καὶ περὶ φαύλους. Τὸν δὲ ἔρωτα οὔτε ἐπιθυμίαν εἶναι οὔτε τινὸς φαύλου πράγματος, ἀλλ᾽ ἐπιβολὴν φιλοποιίας διὰ κάλλους ἔμφασιν. Λέγουσι δὲ καὶ πάν τ ᾽ εὖ ποιεῖν τὸν σοφό ν , ἃ ποιεῖ· δῆλον. Ὃν τρόπον γὰρ λέγομεν πάντ᾽ εὖ ποιεῖν τὸν αὐλητὴν ἢ κιθαρῳδόν, συνυπακουομένου τοῦ ὅτι τὰ μὲν κατὰ τὴν αὔλησιν, τὰ δὲ κατὰ τὴν κιθαρῳδίαν, τὸν αὐτὸν τρόπον πάντ᾽ εὖ ποιεῖν τὸν φρόνιμον, καὶ ὅσα ποιεῖ ναὶ [οὔ] μὰ Δία, καὶ ἃ μὴ ποιεῖ. Τῷ γὰρ κατὰ δὲ καὶ τὸν φαῦλον πάντα ὅσα ποιεῖ κακῶς ποιεῖν καὶ κατὰ πάσας τὰς κακίας. Φιλομουσίαν δὲ καὶ φιλογραμματίαν καὶ φιλιππίαν καὶ φιλοκυνηγίαν καὶ καθόλου ἐγκυκλίους λεγομένας τέχνας ἐπιτηδεύματα μὲν καλοῦσιν, ἐπιστήμας δ᾽ οὔ, ἔν 〈τε〉 ταῖς σπουδαίαις ἕξεσι ταῦτα καταλείπουσι, καὶ ἀκολούθως μόνον τὸν σοφὸν φιλόμουσον εἶναι λέγουσι καὶ φιλογράμματον, καὶ ἐπὶ τῶν ἄλλων κατὰ τὸ ἀνάλογον. Τό τε ἐπιτήδευμα τοῦτον ὑπογράφουσι τὸν τρόπον· ὁδὸν διὰ τέχνης ἢ μέρους ἄγουσαν ἐπὶ 〈τὰ〉 κατ᾽ ἀρετήν. Μόνον δέ φασι τὸν σοφὸν καὶ μάντιν ἀγαθὸν εἶναι καὶ ποιητὴν καὶ ῥήτορα καὶ διαλεκτικὸν καὶ κριτικό ν , οὐ πάντα δέ, διὰ τὸ προσδεῖσθαι ἔτι τινὰ τούτων καὶ θεωρημάτων τινῶν ἀναλήψεως. Εἶναι δὲ τὴν μαντικήν φασιν ἐπιστήμην θεωρητικὴν σημείων τῶν ἀπὸ θεῶν ἢ δαιμόνων πρὸς ἀνθρώπινον βίον συντεινόντων. Ὁμοίως δὲ καὶ τὰ εἴδη τῆς μαντικῆς. Λέγουσι δὲ καὶ ἱερέα μόνον εἶναι τὸν σοφόν, φαῦλον δὲ μηδένα. Τὸν γὰρ ἱερέα εἶναι δεῖν ἔμπειρον νόμων τῶν περὶ θυσίας καὶ εὐχὰς καὶ καθαρμοὺς καὶ ἱδρύσεις καὶ πάντα τὰ τοιαῦτα, πρὸς δὲ τούτοις καὶ ἁγιστείας τε καὶ εὐσεβείας δεῖσθαι καὶ ἐμπειρίας τῆς τῶν θεῶν θεραπείας, καὶ 〈τοῦ〉 ἐντὸς εἶναι τῆς φύσεως τῆς θείας. Μηδ᾽ ἓν 〈δέ τ〉 ι τούτων ὑπάρχειν τῷ φαύλῳ, διὸ καὶ πάντας εἶναι τοὺς ἄφρονας ἀσεβεῖς. Τὴν γὰρ ἀσέβειαν κακίαν οὖσαν, ἄγνοιαν εἶναι θεῶν θεραπείας, τὴν δ᾽ εὐσέβειαν, ὡς εἴπομεν (p. 62, 2), ἐπιστήμην θεῶν θεραπείας. Ὁμοίως δὲ μηδ᾽ ὁσίους εἶναί φασι τοὺς φαύλους. Τὴν γὰρ ὁσιότητα ὑπογράφεσθαι δικαιοσύνην πρὸς θεούς· τοὺς δὲ φαύλους παρεκβαίνειν πολλὰ τῶν πρὸς θεοὺς δικαίων, παρ᾽ ὃ καὶ ἀνοσίους εἶναι καὶ ἀκαθάρους καὶ ἀνάγνους καὶ μιαροὺς καὶ ἀνεορτάστους. Τὸ γὰρ ἑορτάζειν ἀστείου φασὶν εἶναι, τῆς ἑορτῆς οὔσης χρόνου τινὸς ἐν ᾧ χρὴ περὶ τὸ θεῖον γίγνεσθαι τιμῆς χάριν καὶ καθηκούσης ἐπισημασίας, ὅθεν καὶ τὸν ἑορτάζοντα συγκαθεικέναι δεῖ μετ᾽ εὐσεβείας εἰς τὴν τοιαύτην τάξιν. Ἔτι δὲ λέγουσι πάντα φαῦλον μαίνεσθα ι , ἄγνοιαν ἔχοντα αὐτοῦ καὶ τῶν καθ᾽ αὐτόν, ὅπερ ἐστὶ μανία. Τὴν δ᾽ ἄγνοιαν εἶναι ἐναντίαν κακίαν τῇ φρονήσει· ταύτην δὲ πρός τί πως ἔχουσαν ἀκαταστάτους καὶ πτοιώδεις παρεχομένην τὰς ὁρμὰς μανίαν εἶναι· διὸ καὶ ὑπογράφουσι τὴν μανίαν οὕτως· ἄγνοιαν πτοιώδη. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν πᾶσι τοῖς φροκαιρῷ · χαρὰν δὲ καὶ εὐφροσύνην καὶ φρονίμην περιπάτησιν οὔτε πᾶσι τοῖς φρονίμοις ὑπάρχειν οὔτε αἰε ί . Ἀνάλογον δὲ καὶ τῶν κακῶν τὰ μὲν πᾶσι τοῖς ἄφροσιν ὑπάρχειν καὶ αἰεί, τὰ δ᾽ ο ὔ . Κακίαν μὲν οὖν πᾶσαν καὶ ἄφρονα αἴσθησιν καὶ ἄφρονα ὁρμὴν καὶ τὰ παραπλήσια πᾶσι τοῖς ἄφροσιν ὑπάρχειν 〈καὶ〉 αἰεί · λύπην δὲ καὶ φόβον καὶ ἄφρονα ἀπόκρισιν οὔτε πᾶσι τοῖς ἄφροσιν ὑπάρχειν οὔ τ ᾽ ἐν παντὶ καιρ ῷ . Πάντα δὲ τἀγαθὰ ὠφέλιμα εἶναι καὶ εὔχρηστα καὶ συμφέροντα καὶ λυσιτελῆ καὶ σπουδαῖα καὶ πρέποντα καὶ καλὰ καὶ οἰκεῖα· τὰ δὲ κακὰ ἐκ τῶν ἐναντίων πάντα βλαβερὰ καὶ δύσχρηστα καὶ ἀσύμφορα καὶ ἀλυσιτελῆ καὶ φαῦλα καὶ ἀπρεπῆ καὶ αἰσχρὰ καὶ ἀνοίκεια. Τὸ δ᾽ ἀγαθὸν λέγεσθαί φασι πλεοναχῶ ς , τὸ μὲν πρῶτο ν , οἷον πηγῆς ἔχον χώραν, ὅπερ οὕτως ἀποδίπρώτως εἶναι αἴτιον)· τὸ 〈δὲ〉 δεύτερο ν , καθ᾽ ὃ συμβαίνει ὠφελεῖσθαι· κοινότερον δὲ καὶ διατεῖνον καὶ ἐπὶ τὰ προειρημένα, τὸ οἷον ὠφελεῖν. Ὁμοίως δὲ καὶ τὸ κακὸν κατὰ τὴν τοῦ ἀγαθοῦ ἀναλογίαν ὑπογράφεσθαι. Τὸ μὲν οὖν ἀφ᾽ οὗ συμβαίνει βλάπτεσθαι ἢ ὑφ᾽ οὗ· τὸ δὲ καθ᾽ ὃ συμβαίνει βλάπτεσθαι· κοινότερον δὲ τούτων τὸ οἷον βλάπτειν. Τῶν δ᾽ ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχή ν , τὰ δ᾽ ἐκτό ς , τὰ δ᾽ οὔτε περὶ ψυχὴν οὔ τ ᾽ ἐκτός. Περὶ ψυχὴν μὲν τὰς ἀρετὰς καὶ 〈τὰσ〉 σπουδαίας ἕξεις καὶ καθόλου τὰς ἐπαινετὰς ἐνεργείας· ἐκτὸς δὲ τούς τε φίλους καὶ τοὺς γνωρίμους καὶ τὰ παραπλήσια· οὔτε δὲ περὶ ψυχὴν

οὔ τ ’ ἐκτό ς , τοὺς σπουδαίους καὶ καθόλου 〈τοὺσ〉 τὰς ἀρετὰς ἔχοντας. Ὁμοίως δὲ καὶ τῶν κακῶν τὰ μὲν περὶ ψυχή ν , τὰ δ’ ἐκτό ς , τὰ δ’ οὔτε περὶ ψυχὴν οὔ τ ’ ἐκτός · περὶ ψυχὴν μὲν τάς τε κακίας σὺν ταῖς μοχθηραῖς ἕξεσι καὶ καθόλου τὰς ψεκτὰς ἐνεργείας· ἐκτὸς δὲ τοὺς ἐχθροὺς σὺν τοῖς εἴδεσιν· οὔτε 〈δὲ〉 περὶ ψυχὴν οὔ τ ’ ἐκτὸς τοὺς φαύλους καὶ πάντας τοὺς τὰς κακίας ἔχοντας. Τῶν δὲ περὶ ψυχὴν ἀγαθῶν τὰ μὲν εἶναι τηδεύματα, ὡς τὴν μαντικὴν καὶ τὰ παραπλήσια· οὔτε δὲ ἕξεις οὔτε διαθέσεις τὰς κατ’ ἀρετὰς ἐνεργείας, οἷον φρονίμευμα καὶ τὴν τῆς σωφροσύνης κτῆσιν καὶ τὰ παραπλήσια. Ὁμοίως δὲ καὶ τῶν περὶ ψυχὴν κακῶν τὰ μὲν εἶναι διαθέσει ς , τὰ δ’ ἕξεις μὲν διαθέσεις δ’ οὔ, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσει ς . Διαθέσεις μὲν τὰς κακίας πάσας, ἕξεις δὲ μόνον τὰς εὐκαταφορίας, οἷον τὴν φθονερίαν, τὴν ἐπιλυπίαν καὶ τὰ ὅμοια καὶ ἔτι τὰ νοσήματα καὶ ἀρρωστήματα, οἷον φιλαργυρίαν, οἰνοφλυγίαν καὶ τὰ παραπλήσια. Οὔτε 〈 δ ’〉 ἕξεις οὔτε διαθέσεις τὰς κατὰ κακίας ἐνεργείας, οἷον ἀφρόνευσιν, ἀδίκευσιν καὶ τὰ ταύταις παραπλήσια. Τῶν τε ἀγαθῶν τὰ μὲν εἶναι τελικ ά , τὰ δὲ ποιτησις τελικὰ μόνον ἐστὶν ἀγαθά· αἱ δ’ ἀρεταὶ πᾶσαι καὶ ποιητικά ἐστιν ἀγαθὰ καὶ τελικ ά , καὶ γὰρ ἀπογεννῶσι τὴν εὐδαιμονίαν καὶ συμπληροῦσι, μέρη αὐτῆς γινόμεναι. Ἀνάλογον δὲ καὶ τῶν κακῶν τὰ μέν ἐστι ποιητικὰ τῆς κακοδαιμονίας, τὰ δὲ τελικ ά , τὰ δὲ ἀμφοτέρως ἔχοντα. Ὁ μὲν οὖν ἄφρων ἄνθρωπος καὶ ὁ ἐχθρὸς ποιητικὰ μόνον ἐστὶ κακά· λύπη δὲ καὶ φόβος καὶ κλοπὴ καὶ ἄφρων ἐρώτησις καὶ τὰ ὅμοια τελικά 〈μόνον ἐστὶ κακά〉 · αἱ δὲ κακίαι καὶ ποιητικὰ καὶ τελικά ἐστι κακά· ἀπογεννῶσι γὰρ τὴν κακοδαιμονίαν καὶ συμπληροῦσι, μέρη αὐτῆς γινόμεναι. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι δ ι ’ αὐτὰ αἱρετ ά , τὰ δὲ ποιητικ ά . Ὁπόσα μὲν οὖν οὐδενὸς ἄλλου ἕνεκεν εἰς εὔλογον αἵρεσιν ἔρχεται, δ ι ’ αὐτὰ αἱρετά · ὁπόσα δὲ τῷ ἑτέρων τινῶν παρασκευαστικὰ γίνεσθαι, κατὰ τὸ ποιητικὸν λέγεσθαι. Καὶ πᾶν μὲν ἀγαθὸν αἱρετὸν εἶναι· ἀρεστὸν γὰρ καὶ δοκιμαστὸν καὶ ἐπαινετὸν ὑπάρχειν· πᾶν δὲ κακὸν φευκτό ν . Τὸ γὰρ ἀγαθὸν καθ’ ὃ μὲν αἵρεσιν εὔλογον κινεῖ, αἱρετόν ἐστι· καθ’ ὃ δὲ ἀνυπόπτως εἰς αἵρεσιν ἔρχεται, ἀρεστόν · 〈καθ’ ὃ δὲ ...., δοκιμαστόν 〉 · καθ’ ὃ δὲ πάλιν εὐλόγως ἄν τις περὶ αὐτοῦ Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι ἐν κινήσε ι , τὰ δὲ ἐν σχέσε ι . Ἐν κινήσει μὲν τὰ τοιαῦτα, χαράν, εὐφροσύνην, σώφρονα ὁμιλίαν· ἐν σχέσει δὲ τὰ τοιαῦτα, εὔτακτον ἡσυχίαν, μονὴν ἀτάραχον, προσοχὴν ἔπανδρον. Τῶν δὲ ἐν σχέσει τὰς μὲν καὶ ἐν ἕξει εἶναι, οἷον τὰς ἀρετάς· τὰς δ’ ἐν σχέσει μόνο ν , ὡς τὰ ῥηθέντα. Ἐν ἕξει δὲ οὐ μόνας εἶναι τὰς ἀρετάς, ἀλλὰ καὶ τὰς τέχνας τὰς ἐν τῷ σπουδαίῳ ἀνδρὶ ἀλλοιωθείσας ὑπὸ τῆς ἀρετῆς καὶ γενομένας ἀμεταπτώτους, οἱονεὶ γὰρ ἀρετὰς γίνεσθαι. Φασὶ δὲ καὶ τῶν ἐν ἕξει ἀγαθῶν εἶναι καὶ τὰ ἐπιτηδεύματα καλούμενα, οἷον φιλομουσίαν, φιλογραμματίαν, φιλογεωμετρίαν καὶ τὰ παραπλήσια. Εἶναι γὰρ ὁδόν τινα ἐκλεκτικὴν τῶν ἐν ταύταις ταῖς τέχναις οἰκείων πρὸς ἀρετήν, ἀναφέρουσαν αὐτὰ ἐπὶ τὸ τοῦ βίου τέλος. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι κα θ ’ ἑαυτ ά , τὰ δὲ πρός τί πως ἔχει ν . Κα θ ’ ἑαυτὰ μὲν ἐπιστήμη ν , δικαιοπραγίαν καὶ τὰ ὅμοια· πρός τι δὲ τιμή ν , εὔνοια ν , φιλία ν , 〈συμφωνίαν 〉 . Εἶναι δὲ τὴν ἐπιστήμην κατάληψιν ἀσφαλῆ καὶ ἀμετάπτωτον ὑπὸ λόγου· ἑτέρως δὲ ἐπιστήμην σύστημα ἐκ καταλήψεων τοιούτων, οἷον ἡ τῶν κατὰ μέρος, λογικὴ ἐν τῷ σπουδαίῳ δὲ ἕξιν φαντασιῶν δεκτικὴν ἀμετάπτωτον ὑπὸ λόγου, ἥν τινά φασιν ἐν τόνῳ καὶ δυνάμει κεῖσθαι. Φιλίαν δ’ εἶναι κοινωνίαν βίου· συμφωνίαν δὲ ὁμοδογματίαν περὶ τῶν κατὰ τὸν βίον. Τῆς δὲ φιλίας εἶναι γνωριμότητα μὲν φιλίαν ἐγνωσμένων· συνήθειαν δὲ φιλίαν συνειθισμένων· ἑταιρίαν δὲ φιλίαν καθ’ αἵρεσιν, ὡς ἂν ὁμηλίκων· ξενίαν δὲ φιλίαν ἀλλοδαπῶν. Εἶναι δὲ καὶ συγγενικήν τινα φιλίαν ἐκ συγγενῶν· καὶ ἐρωτικὴν ἐξ ἔρωτος. Ἀλυπίαν δὲ καὶ εὐταξίαν τὰς αὐτὰς εἶναι τῇ σωφροσύνῃ, νοῦν δὲ καὶ φρένας φρονήσει, μεταδοτικὴν δὲ καὶ ἐπιδοτικὴν χρηστότητι· τῷ μέντοι γε πρός τί πως ἔχειν ὠνομάσθησαν· ὅπερ καθήκει καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν παρατηρεῖν. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι ἄμικτ α , οἷον ἐπιστήμην, τὰ δὲ μεμιγμέν α , οἷον εὐτεκνία ν , εὐγηρία ν , εὐζωία ν . Ἔστι δ’ ἡ μὲν εὐτεκνία

κτῆσις τέκνων κατὰ φύσιν ἔχουσα σπουδαία, ἡ δὲ εὐγηρία χρῆσις σπουδαία γήρως κατὰ φύσιν ἔχουσα, καὶ ὁμοίως ἡ εὐζωί α . Φανερὸν δὲ αἰεὶ ἐπὶ τούτων, ὅτι καὶ τῶν κακῶν Διαφέρειν δὲ λέγουσιν αἱρετὸν καὶ ληπτό ν . Αἱρετὸν μὲν γὰρ εἶναι τὸ ὁρμῆς αὐτοτελοῦς κινητικόν, 〈 ληπτὸν δὲ ὃ εὐλογίστως ἐκλεγόμεθα〉 . Ὅσῳ δὲ διαφέρει τὸ αἱρετὸν τοῦ ληπτοῦ, τοσούτῳ καὶ τὸ 〈καθ'〉 αὖθ' αἱρετὸν τοῦ καθ' αὐτὸ ληπτοῦ, καὶ καθόλου τὸ ἀγαθὸν τοῦ ἀξίαν ἔχοντο ς . Τοῦ δὲ ἀνθρώπου ὄντος ζῴου λογικοῦ θνητοῦ, φύσει πολιτικοῦ, φασὶ καὶ τὴν ἀρετὴν πᾶσαν τὴν περὶ ἄνθρωπον καὶ τὴν εὐδαιμονίαν ζωὴν ἀκόλουθον ὑπάρχειν καὶ ὁμολογουμένην φύσε ι . Τὸ δὲ τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε· 'τὸ ὁμολογουμένως ζῆν'· τοῦτο δ' ἐστὶ καθ' ἕνα λόγον καὶ ἐξέφερον 'ὁμολογουμένως τῇ φύσει ζῆν' ὑπολαβόντες ἔλαττον εἶναι κατηγόρημα τὸ ὑπὸ τοῦ Ζήνωνος ῥηθέν. Κλεάνθης γὰρ πρῶτος διαδεξάμενος αὐτοῦ τὴν αἵρεσιν προσέθηκε 'τῇ φύσει' καὶ οὕτως ἀπέδωκε· 'τέλος ἐστὶ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν'. Ὅπερ ὁ Χρύσιππος σαφέστερον βουλόμενος ποιῆσαι, ἐξήνεγκε τὸν τρόπον τοῦτον· 'ζῆν κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων'. Διογένης δέ· 'εὐλογιστεῖν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ καὶ ἀπεκλογῇ'. Ἀρχέδημος δέ· 'πάντα τὰ καθήκοντα ἐπιτελοῦντας ζῆν'. Ἀντίπατρος δέ· 'ζῆν ἐκλεγομένους μὲν τὰ κατὰ φύσιν, ἀπεκλεγομένους δὲ τὰ παρὰ φύσιν διηνεκῶς'. Πολλάκις δὲ καὶ οὕτως ἀπεδίδου· 'πᾶν τὸ καθ' αὐτὸν ποιεῖν διηνεκῶς καὶ ἀπαραβάτως πρὸς τὸ τυγχάνειν τῶν προηγουμένων κατὰ φύσιν'. Τὸ δὲ τέλος λέγεσθαι τριχῶς ὑπὸ τῶν ἐκ τῆς αἱρέσεως ταύτης· τό τε γὰρ τελικὸν ἀγαθὸν λέγεσθαι τέλος ἐν τῇ φιλολόγῳ συνηθείᾳ, ὡς τὴν ὁμολογίαν λέγουσι τέλος εἶναι· λέγουσι δὲ καὶ τὸν σκοπὸν τέλος, οἷον τὸν ὁμολογούμενον βίον ἀναφορικῶς λέγοντες ἐπὶ τὸ παρακείμενον κατηγόρημα· κατὰ δὲ τὸ τρίτον σημαινόμενον λέγουσι τέλος τὸ ἔσχατον τῶν ὀρεκτῶν, ἐφ' ὃ πάντα τὰ Διαφέρειν δὲ τέλος καὶ σκοπὸν ἡγοῦνται· σκοπὸν μὲν γὰρ εἶναι τὸ ἐκκείμενον σῶμα, οὗ τυχεῖν ἐφίεσθαι *** τοὺς τῆς εὐδαιμονίας στοχαζομένους, διὰ τὸ πάντα μὲν σπουδαῖον εὐδαιμονεῖν, πάντα δὲ φαῦλον ἐκ τῶν ἐναντίων κακοδαιμονεῖν. Καὶ τῶν ἀγαθῶν τὰ μὲν ἀναγκαῖα εἶναι πρὸς εὐδαιμονία ν , τὰ δὲ μ ή . Καὶ ἀναγκαῖα μὲν τάς τε ἀρετὰς πάσας καὶ τὰς ἐνεργείας τὰς χρηστικὰς αὐτῶν· οὐκ ἀναγκαῖα δὲ χαράν τε καὶ εὐφροσύνην καὶ τὰ ἐπιτηδεύματα. Παραπλησίως δὲ καὶ τῶν κακῶν τὰ μὲν ἀναγκαῖα ὡς ἂν κακὰ πρὸς κακοδαιμονίαν εἶναι, τὰ δ' οὐκ ἀναγκαῖα · ἀναγκαῖα μὲν τάς τε κακίας πάσας καὶ τὰς ἐνεργείας τὰς ἐπ' αὐτῶν· οὐκ ἀναγκαῖα δὲ τά τε πάθη πάντα καὶ τὰ ἀρρωστήματα καὶ τὰ τούτοις παραπλήσια. Τέλος δέ φασιν εἶναι τὸ εὐδαιμονεῖ ν , οὗ ἕνεκα πάντα πράττεται, αὐτὸ δὲ πράττεται μὲν οὐδενὸς δὲ ἕνεκα· τοῦτο δὲ ὑπάρχειν ἐν τῷ κατ' ἀρετὴν ζῆν, ἐν τῷ ὁμολογουμένως ζῆν, ἔτι, ταὐτοῦ ὄντος, ἐν τῷ κατὰ φύσιν ζῆν. Τὴν δὲ εὐδαιμονίαν ὁ Ζήνων ὡρίσατο τὸν τρόπον τοῦτον· εὐδαιμονία δ' ἐστὶν εὔροια βίου. Κέχρηται δὲ καὶ Κλεάνθης τῷ ὅρῳ τούτῳ ἐν τοῖς ἑαυτοῦ συγγράμμασι καὶ ὁ Χρύσιππος καὶ οἱ ἀπὸ τούτων πάντες, τὴν εὐδαιμονίαν εἶναι λέγοντες οὐχ ἑτέραν τοῦ εὐδαίμονος βίου, καίτοι γε λέγοντες, τὴν μὲν εὐδαιμονίαν σκοπὸν ἐκκεῖσθαι, τέλος δ' εἶναι τὸ τυχεῖν τῆς εὐδαιμονίας, ὅπερ ταυτὸν καλὸν κἀγαθόν' καὶ 'ἡ ἀρετὴ καὶ τὸ μέτοχον ἀρετῆς'· καὶ ὅτι πᾶν ἀγαθὸν καλόν, ὁμοίως δὲ καὶ πᾶν αἰσχρὸν κακόν· δι' ὃ καὶ τὸ Στωικὸν τέλος ἶσον δύνασθαι τῷ κατ' ἀρετὴν βίῳ. Διαφέρειν δὲ λέγουσι τὸ αἱρετὸν καὶ τὸ αἱρετέο ν . Αἱρετὸν μὲν εἶναι 〈ἀγαθὸν〉 πᾶν, αἱρετέον δὲ ὠφέλημα πᾶν, ὃ θεωρεῖται παρὰ τὸ ἔχειν τὸ ἀγαθόν. Δι' ὃ αἱρούμεθα μὲν τὸ αἱρετέο ν , οἷον τὸ φρονεῖν, ὃ θεωρεῖται παρὰ τὸ ἔχειν φρόνησιν· τὸ δὲ αἱρετὸν οὐχ αἱρούμεθα, ἀλλ' εἰ ἄρα, ἔχειν αὐτὸ αἱρούμεθα. Ὁμοίως δὲ καὶ τὰ μὲν ἀγαθὰ πάντα ἐστὶν ὑπομενετὰ καὶ ἐμμενετὰ καὶ ἀνάλογον ἐπὶ τῶν ἄλλων ἀρετῶν ἐστιν, εἰ καὶ μὴ κατωνόμασται· τὰ δὲ ὠφελήματα πάντα ὑπομενετέα καὶ ἐμμενετέ α . Καὶ κατὰ τὸν αὐτὸν Διεληλυθότες δ' ἱκανῶς περὶ ἀγαθῶν καὶ κακῶν καὶ αἱρετῶν καὶ φευκτῶν καὶ περὶ τέλους καὶ εὐδαιμονίας, ἀναγκαῖον ἡγησάμεθα καὶ τὰ περὶ τῶν ἀδιαφόρων λεγόμενα κατὰ τὴν οἰκείαν τάξιν ἐπελθεῖν. Ἀδιάφορα δ' εἶναι λέγουσι τὰ μεταξὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἀγαθῶν καὶ τῶν κακῶν, διχῶς τὸ ἀδιάφορον νοεῖσθαι φάμενοι, καθ' ἕνα μὲν τρόπον τὸ μήτε ἀγαθὸν μήτε κακὸν καὶ τὸ μήτε αἱρετὸν μήτε φευκτόν· καθ' ἕτερον δὲ τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικόν, καθ' ὃ καὶ λέγεσθαί τινα καθάπαξ ἀδιάφορα εἶναι, οἷον τὸ 〈ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττάς, ἢ τὸ〉 προτεῖναι τὸν δάκτυλον ὠδὶ ἢ ὠδί, ἢ τὸ ἀνελέσθαι τι τῶν ἐμποδών, κάρφος ἢ φύλλον. Κατὰ τὸ πρότερον δὴ λεκτέον τὰ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγεσθαι κατὰ τοὺς ἀπὸ τῆς αἱρέσεως ταύτης, οὐ μὴν πρὸς ἐκλογὴν καὶ ἀπεκλογήν· δι' ὃ καὶ τὰ μὲν ἀξίαν ἐκλεκτικὴν ἔχειν, τὰ δ' ἀπαξίαν ἀπεκλεκτικήν, συμβλητικὴν δ' οὐδαμῶς πρὸς τὸν εὐδαίμονα βίον. Καὶ τὰ μὲν εἶναι κατὰ φύσι ν , τὰ δὲ παρὰ φύσι ν , τὰ δὲ οὔτε παρὰ φύσιν οὔτε κατὰ φύσι ν . φύσιν δὲ τὰ τοιαῦτα· νόσον, ἀσθένειαν, πήρωσιν καὶ τὰ τοιαῦτα· οὔτε δὲ παρὰ φύσιν οὔτε κατὰ φύσιν · ψυχῆς κατάστασιν καὶ σώματος, καθ' ἣν ἡ μέν ἐστι φαντασιῶν ψευδῶν δεκτική, τὸ δὲ τραυμάτων καὶ πηρώσεων δεκτικόν, καὶ τὰ τούτοις ὅμοια. Ποιεῖσθαι δὲ λέγουσι τὸν περὶ τούτων λόγον 〈ἀπὸ〉 τῶν πρώτων κατὰ φύσιν καὶ παρὰ φύσι ν . Τὸ γὰρ διαφέρον καὶ τὸ ἀδιάφορον τῶν πρός τι λεγομένων εἶναι. Διότι κἄν, φασί, λέγωμεν ἀδιάφορα τὰ σωματικὰ καὶ τὰ ἐκτός, πρὸς τὸ εὐσχημόνως ζῆν (ἐν ᾧπέρ ἐστι τὸ εὐδαιμόνως) ἀδιάφορά φαμεν αὐτὰ εἶναι, οὐ μὰ Δία πρὸς τὸ κατὰ φύσιν ἔχειν οὐδὲ πρὸς ὁρμὴν καὶ ἀφορμήν. Ἔτι δὲ τῶν ἀδιαφόρων τὰ μὲν πλείω ἀξίαν ἔχειν, τὰ δ' ἐλάττω · καὶ τὰ μὲν κα θ ' αὑτ ά , τὰ δὲ ποιητικά · καὶ τὰ μὲν προηγμέν α , τὰ δ' ἀποπροηγμέν α , τὰ δ' οὐδετέρως ἔχοντα. Προηγμένα μέν, ὅσα ἀδιάφορα ὄντα πολλὴν ἔχει ἀξίαν, ὡς ἐν ἀδιαφόροις· ἀποπροηγμένα δέ, ὅσα πολλὴν ἔχει ἀπαξίαν ὁμοίως· οὔτε δὲ προηγμένα οὔτε ἀποπροηγμέν α , ὅσα μήτε πολλὴν ἔχει 〈ἀξίαν μήτε〉 ἀπαξίαν. Τῶν δὲ προηγμένων τὰ μὲν εἶναι περὶ ψυχή ν , τὰ δὲ περὶ σῶμ α , τὰ δ' ἐκτό ς . Περὶ ψυχὴν μὲν εἶναι τὰ τοιαῦτα· εὐφυίαν, προκοπήν, μνήμην, ὀξύτητα διανοίας, ἕξιν καθ' ἣν ἐπίμονοί εἰσιν ἐπὶ τῶν καθηκόντων καὶ τέχνας ὅσαι δύνανται συνεργεῖν ἐπιπλεῖον πρὸς τὸν κατὰ φύσιν βίον· περὶ σῶμα δ' εἶναι προηγμένα ὑγίειαν, εὐαισθησίαν καὶ τὰ παραπλήσια τούτοις· τῶν δ' ἐκτὸς γονεῖς, τέκνα, κτῆσιν σύμμετρον, ἀποδοχὴν παρὰ ἀνθρώπων. Τῶν δ' ἀποπροηγμένων περὶ ψυχὴν μὲν εἶναι τὰ ἐναντία τοῖς εἰρημένοις· περὶ σῶμα δὲ καὶ ἐκτὸς τὰ ὁμοίως ἀντιτιθέμενα τοῖς εἰρημένοις περί τε σῶμα καὶ τοῖς ἐκτὸς προηγμένοις. Οὔτε δὲ προηγμένα οὔτ' ἀποπροηγμένα περὶ ψυχὴν 〈μὲν〉 φαντασίαν καὶ συγκατάθεσιν καὶ ὅσα τοιαῦτα· περὶ δὲ σῶμα λευκότητα καὶ μελανότητα καὶ χαροπότητα καὶ ἡδονὴν πᾶσαν καὶ πόνον καὶ εἴ τι ἄλλο τοιοῦτο. Τῶν δ' ἐκτὸς οὔτε προηγμένα 〈οὔτε ἀποπροηγμένα〉 εἶναι τὰ τοιαῦτα, ὅσα εὐτελῆ ὄντα καὶ μηδὲν χρήσιμον προσφερόμενα μικρὰν παντελῶς ἔχει τὴν ἀφ' αὑτῶν χρείαν. Τῆς δὲ ψυχῆς οὔσης κυριωτέρας τοῦ σώματος καὶ πρὸς τὸ κατὰ φύσιν ζῆν φασὶ τὰ περὶ τὴν ψυχὴν κατὰ φύσιν ὄντα καὶ προηγμένα πλείονα τὴν ἀξίαν ἔχειν τῶν περὶ σῶμα καὶ τῶν ἐκτό ς , οἷον εὐφυίαν ψυχῆς πρὸς ἀρετὴν ὑπεράγειν τῆς τοῦ σώματος εὐφυίας καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων ἔχειν. Ἔτι δὲ τῶν ἀδιαφόρων φασὶ τὰ μὲν εἶναι ὁρμῆς κινητικ ά , τὰ δὲ ἀφορμῆ ς , τὰ δὲ οὔτε ὁρμῆς οὔτε ἀφορμῆ ς . Ὁρμῆς μὲν οὖν κινητικά, ἅπερ ἐλέγομεν εἶναι κατὰ φύσιν· ἀφορμῆς δὲ ὅσα παρὰ φύσιν· οὔτε δὲ ὁρμῆς οὔτε ἀφορμῆς τὰ μηδετέρως ἔχοντα, οἷά ἐστι τὸ περιττὰς ἢ ἀρτίας ἔχειν τὰς τρίχας. Τῶν δὲ κατὰ φύσιν ἀδιαφόρων ὄντων τὰ μέν ἐστι πρῶτα κατὰ φύσι ν , τὰ δὲ κατὰ μετοχή ν . Πρῶτα μέν ἐστι κατὰ φύσιν κίνησις ἢ σχέσις κατὰ τοὺς σπερματικοὺς λόγους γινομένη, οἷον 〈ἀρτιότης καὶ〉 ὑγίεια καὶ αἴσθησις (λέγω δὲ τὴν κατάληψιν) καὶ ἰσχύς. Κατὰ μετοχὴν δέ, ὅσα μετέχει κινήσεως καὶ σχέσεως κατὰ τοὺς σπερματικοὺς λόγους, οἷον χεὶρ ἀρτία καὶ σῶμα ὑγιεινὸν καὶ αἰσθήσεις μὴ πεπηρωμέναι. Ὁμοίως δὲ καὶ τῶν παρὰ φύσιν κατὰ τὸ ἀνάλογον. Πάντα δὲ 〈τὰ〉 κατὰ φύσιν ληπτὰ εἶναι καὶ πάντα ἑαυτὰ ἢ ἐπὶ τὸ ἀντέχεσθαι αὐτῶν, οἷον ὑγίειαν, εὐαισθησίαν, ἀπονίαν καὶ κάλλος σώματος. Ποιητικὰ 〈δὲ〉 , ὅσα ἐστὶν ὁρμῆς κινητικὰ ἀνετικῶς ἐφ' ἕτερα καὶ μὴ προτρεπτικῶς 〈ἐφ' ἑαυτά〉 , οἷον πλοῦτον, δόξαν καὶ τὰ τούτοις ὅμοια. Παραπλησίως δὲ καὶ τῶν παρὰ

φύσιν τὰ μὲν εἶναι κα θ ’ αὑτὰ ἄληπτ α , τὰ δὲ τῷ ποιητικὰ εἶναι τῶν κα θ ’ αὑτὰ ἀλήπτων. Πάντα δὲ τὰ κατὰ φύσιν ἀξίαν ἔχειν καὶ πάντα τὰ παρὰ φύσιν ἀπαξία ν . Τὴν δὲ ἀξίαν λέγεσθαι τριχῶ ς , τήν τε δόσιν καὶ τιμὴν κα θ ’ αὐτὸ καὶ τὴν ἀμοιβὴν τοῦ δοκιμαστοῦ· καὶ τὴν τρίτη ν , ἣν ὁ Ἀντίπατρος ἐκλεκτικὴν προσαγορεύει, καθ’ ἣν διδόντων τῶν πραγμάτων τάδε τινὰ μᾶλλον ἀντὶ τῶνδε αἱρούμεθα, οἷον τοῖς ἐπὶ τῆς τριττῆς ἀξίας εἰρημένοις. Τὴν δὲ δόσιν φησὶν ὁ Διογένης κρίσιν εἶναι, ἐφ’ ὅσον κατὰ φύσιν ἐστὶν ἢ ἐφ’ ὅσον χρείαν τῇ φύσει παρέχεται. Τὸ δὲ δοκιμαστό ν , οὐχ ὡς λέγεται τὰ πράγματα δοκιμαστὰ παραλαμβάνεσθαι, ἀλλ’ ὡς δοκιμαστήν φαμεν εἶναι τὸν τὰ πράγματα δοκιμάζοντα· τῆς οὖν ἀμοιβῆς τὸν τοιοῦτόν φησι δοκιμαστὴν εἶναι. Καὶ ταύτας μὲν τὰς δύο ἀξίας καθ’ ἃς λέγομέν τινα τῇ ἀξίᾳ προῆχθαι, τρίτην δέ φησιν εἶναι, καθ’ ἥν φαμεν ἀξίωμά τινα ἔχειν καὶ ἀξίαν, ἥπερ περὶ ἀδιάφορα οὐ γίνεται, ἀλλὰ περὶ μόνα τὰ σπουδαῖα. Χρῆσθαι δ’ ἡμᾶς φησιν ἐνίοτε τῷ ὀνόματι τῆς ἀξίας ἀντὶ τοῦ ἐπιβάλλοντος · ὡς ἐν τῷ τῆς δικαιοσύνης ὅρῳ παρείληπται, ὅταν λέγηται εἶναι ἕξις ἀπονεμητικὴ τοῦ κατ’ ἀξίαν ἑκάστῳ· ἔστι γὰρ οἷον τοῦ ἐπιβάλλοντος ἑκάστῳ. Τῶν δ’ ἀξίαν ἐχόντων τὰ μὲν ἔχειν πολλὴν ἀξία ν , τὰ δὲ βραχεῖα ν . Ὁμοίως δὲ καὶ τῶν ἀπαξίαν ἐχόντων ἃ μὲν ἔχειν πολλὴν ἀπαξία ν , ἃ δὲ βραχεῖα ν . Τὰ μὲν 〈οὖν〉 πολλὴν ἔχοντα ἀξίαν προηγμένα λέγεσθαι, τὰ δὲ πολλὴν ἀπαξίαν ἀποπροηγμέν α , Ζήνωνος ταύτας τὰς ὀνομασίας θεμένου πρώτου τοῖς ματα κατὰ τὴν ἀναλογίαν ταὐτά. Οὐδὲν δὲ τῶν ἀγαθῶν εἶναι προηγμένον διὰ τὸ τὴν μεγίστην ἀξίαν αὐτὰ ἔχειν. Τὸ δὲ προηγμένο ν , τὴν δευτέραν χώραν καὶ ἀξίαν ἔχον, συνεγγίζειν πως τῇ τῶν ἀγαθῶν φύσει· οὐδὲ γὰρ ἐν αὐλῇ τῶν προηγμένων εἶναι τὸν βασιλέα, ἀλλὰ τοὺς μετ’ αὐτὸν τεταγμένους. Προηγμένα δὲ λέγεσθαι, οὐ τῷ πρὸς εὐδαιμονίαν τινὰ συμβάλλεσθαι συνεργεῖν τε πρὸς αὐτήν, ἀλλὰ τῷ ἀναγκαῖον εἶναι τούτων τὴν ἐκλογὴν ποιεῖσθαι παρὰ τὰ ἀποπροηγμένα. Ἀκόλουθος δ’ ἐστὶ τῷ λόγῳ τῷ περὶ τῶν προηγμένων ὁ περὶ τοῦ καθήκοντος τόπος. Ὁρίζεται δὲ τὸ καθῆκον· ‘τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ πραχθὲν εὔλογον ἀπολογίαν ἔχει‘· παρὰ τὸ καθῆκον δὲ τὸ ἐναντίως. Τοῦτο διατείνει καὶ εἰς τὰ ἄλογα τῶν ζῴων, ἐνεργεῖ γάρ τι κἀκεῖνα ἀκολούθως τῇ ἑαυτῶν φύσει· ἐπὶ 〈δὲ〉 τῶν λογικῶν ζῴων οὕτως ἀποδίδοται· ‘τὸ ἀκόλουθον ἐν βίῳ‘. Τῶν δὲ καθηκόντων τὰ μὲν εἶναί φασι τέλει α , ἃ δὴ καὶ κατορθώματα λέγεσθαι. Κατορθώματα δ’ εἶναι τὰ κατ’ ἀρετὴν ἐνεργήματα, οἷον τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν. Οὐκ εἶναι δὲ κατορθώματα τὰ μὴ οὕτως ἔχοντα, ἃ δὴ οὐδὲ τέλεια καθήκοντα προσαγορεύουσιν, ἀλλὰ μέσ α , οἷον τὸ γαμεῖν, τὸ πρεσβεύειν, τὸ διαλέγεσθαι, τὰ τούτοις ὅμοια. Τῶν δὲ κατορθωμάτων τὰ μὲν εἶναι ὧν χρ ή , τὰ δ’ οὔ. Ὧν χρὴ μὲν εἶναι κατηγορούμενα ὠφελήματα, οἷον τὸ φρονεῖν, τὸ σωφρονεῖν· οὐκ εἶναι δὲ ὧν χρὴ τὰ μὴ οὕτως ἔχοντα. Ὁμοίως δὲ καὶ τῶν παρὰ τὸ καθῆκον τὴν αὐτὴν γίνεσθαι τεχνολογίαν. Πᾶν δὲ τὸ παρὰ τὸ καθῆκον ἐν λογικῷ 〈ζῴῳ〉 γινόμενον ἁμάρτημα εἶναι· τὸ δὲ καθῆκον τελειωθὲν κατόρθωμα γίνεσθαι. Παραμετρεῖσθαι δὲ τὸ μέσον καθῆκον ἀδιαφόροις τισί, ἐκλεγομένοις δὲ παρὰ φύσιν καὶ κατὰ φύσιν, τοιαύτην δ’ εὐθηνίαν προσφερομένοις, ὥστ’ εἰ μὴ λαμβάνοιμεν αὐτὰ ἢ διωθοίμεθα ἀπεριστάτως, μὴ ἂν εὐδαιμονεῖν. Τὸ δὲ κινοῦν τὴν ὁρμὴν οὐδὲν ἕτερον εἶναι λέγουσιν ἀλλ’ ἢ φαντασίαν ὁρμητικὴν τοῦ καθήκοντος αὐτόθεν, τὴν δὲ ὁρμὴν εἶναι φορὰν ψυχῆς ἐπί τι κατὰ τὸ γένος. γιγνομένην ὁρμὴν καὶ τὴν ἐν τοῖς ἀλόγοις ζῴοις· οὐ κατωνομασμέναι δ’ εἰσίν. ἡ γὰρ ὄρεξις οὐκ ἔστι λογικὴ ὁρμή, ἀλλὰ λογικῆς ὁρμῆς εἶδος. Τὴν δὲ λογικὴν ὁρμὴν δεόντως ἄν τις ἀφορίζοιτο, λέγων εἶναι φορὰν διανοίας ἐπί τι τῶν ἐν τῷ πράττειν· ταύτῃ δ’ ἀντιτίθεσθαι ἀφορμή ν , φοράν τινα 〈διανοίας ἀπό τινος τῶν ἐν τῷ μὴ πράττειν〉 . Ἰδίως δὲ καὶ τὴν ὅρουσιν ὁρμὴν λέγουσι τῆς πρακτικῆς ὁρμῆς οὖσαν εἶδος. εἶναι δὲ τὴν ὅρουσιν φορὰν διανοίας ἐπί τι μέλλον. Ὥστε μέχρι μὲν τούτων τετραχῶς ὁρμὴν λέγεσθαι, διχῶς δ ’ ἀφορμήν · προστεθείσης δὲ καὶ τῆς ἕξεως τῆς ὁρμητικῆ ς , ἣν δὴ καὶ ἰδίως ὁρμὴν λέγουσιν, ἀφ’ ἧς συμβαίνει ὁρμᾶν, 〈ὁρμὴν〉 πενταχῶ ς . Τῆς δὲ πρακτικῆς ὁρμῆς εἴδη πλείονα εἶναι, ἐν οἷς

καὶ ταῦτα· πρόθεσιν, ἐπιβολήν, παρασκευήν, ἐγχείρησιν, 〈αἵρεσιν,〉 προαίρεσιν, βούλησιν, θέλησιν. Πρόθεσιν μὲν οὖν εἶναι λέγουσι σημείωσιν ἐπιτελέσεως· ἐπιβολὴν δὲ ὁρμὴν πρὸ ὁρμῆς· παρασκευὴν δὲ πρᾶξιν πρὸ πράξεως· ἐγχείρησιν δὲ ὁρμὴν ἐπί τινος ἐν χερσὶν ἤδη ὄντος· αἵρεσιν δὲ βούλησιν ἐξ ἀναλογισμοῦ· προαίρεσιν δὲ αἵρεσιν πρὸ αἱρέσεως· βού- Πάσας δὲ τὰς ὁρμὰς συγκαταθέσεις εἶναι, τὰς δὲ πρακτικὰς καὶ τὸ κινητικὸν περιέχειν. Ἤδη δὲ ἄλλῳ μὲν εἶναι συγκαταθέσει ς , ἐπ' ἄλλο δὲ ὁρμάς · καὶ συγκαταθέσεις μὲν ἀξιώμασί τισιν, ὁρμὰς δὲ ἐπὶ κατηγορήματα, τὰ περιεχόμενά πως ἐν τοῖς ἀξιώμασιν, οἷς συγκατατίθεσθαι. Ἐπεὶ δ' ἐν εἴδει τὸ πάθος τῆς ὁρμῆς ἐστι, λέγωμεν ἑξῆς περὶ παθῶν. Πάθος δ' εἶναί φασιν ὁρμὴν πλεονάζουσαν καὶ ἀπειθῆ τῷ αἱροῦντι λόγῳ ἢ κίνησιν ψυχῆς 〈ἄλογον〉 παρὰ φύσιν (εἶναι δὲ πάθη πάντα τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς), διὸ καὶ πᾶσαν πτοίαν πάθος εἶναι, 〈καὶ〉 πάλιν 〈πᾶν〉 πάθος πτοίαν. Τοῦ δὲ πάθους τοιούτου ὄντος ὑποληπτέον, τὰ μὲν πρῶτα εἶναι καὶ ἀρχηγά, τὰ δ' εἰς ταῦτα τὴν ἀναφορὰν ἔχειν. Πρῶτα δ' εἶναι τῷ γένει ταῦτα τὰ τέσσαρα, ἐπιθυμία ν , φόβο ν , λύπη ν , ἡδονή ν . Ἐπιθυμίαν μὲν οὖν καὶ φόβον προηγεῖσθα ι , τὴν μὲν πρὸς τὸ φαινόμενον ἀγαθόν, τὸν δὲ πρὸς τὸ φαινόμενον κακόν. Ἐπιγίγνεσθαι δὲ τούτοις ἡδονὴν καὶ λύπη ν , ἡδονὴν μὲν ὅταν τυγχάνωμεν ὧν ἐπεθυμοῦμεν ἢ ἐκφύγωμεν ἃ ἐφοβούμεθα· λύπην δέ, ὅταν ἀποτυγχάνωμεν ὧν ἐπεθυμοῦμεν ἢ περιπέσωμεν οἷς ἐφοβούμεθα. Ἐπὶ πάντων δὲ τῶν τῆς ψυχῆς παθῶν, ἐπεὶ δόξας αὐτὰ λέγουσιν εἶναι, παραλαμβάνεσθαι τὴν δόξαν ἀντὶ τῆς ἀσθενοῦς ὑπολήψεως, τὸ δὲ πρόσφατον ἀντὶ τοῦ κινητικοῦ συστολῆς ἀλόγου 〈ἢ〉 ἐπάρσεως. Τὸ δὲ ‘ ἄλογον ‘ καὶ τὸ ‘ παρὰ φύσιν ‘ οὐ κοινῶς, ἀλλὰ τὸ μὲν ‘ ἄλογον ‘ ἴσον τῷ ἀπειθὲς τῷ λόγῳ. Πᾶν γὰρ πάθος βιαστικόν ἐστι, ὡς πολλάκις ὁρῶντας τοὺς ἐν τοῖς πάθεσιν ὄντας ὅτι συμφέρει τόδε οὐ ποιεῖν, ὑπὸ τῆς σφοδρότητος ἐκφερομένους, καθάπερ ὑπό τινος ἀπειθοῦς ἵππου, ἀνάγεσθαι πρὸς τὸ ποιεῖν αὐτό, παρ' ὃ καὶ πολλάκις τινὰς ἐξομολογεῖσθαι λέγοντας τὸ θρυλούμενον τοῦτο (Eurip. fr. 837 Nauck.)· Γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται· γνώμην γὰρ λέγει νῦν τὴν εἴδησιν καὶ γνῶσιν τῶν ὀρθῶν πραγμάτων. Καὶ τὸ ‘ παρὰ φύσιν ‘ δ' εἴληπται ἐν τῇ τοῦ πάθους ὑπογραφῇ, ὡς συμβαίνοντος παρὰ τὸν ὀρθὸν καὶ κατὰ φύσιν λόγον. Πάντες δ' οἱ ἐν τοῖς πάθεσιν ὄντες ἀποστρέφονται τὸν λόγον, οὐ παραπλησίως δὲ τοῖς ἐξηπατημένοις ἐν ὀτῳοῦν, ἀλλ' ἰδιαζόντως. Οἱ μὲν γὰρ τοῖς πάθεσιν εἶναι τῆς ψυχῆς, ὅμως οὐκ ἀφίστανται τούτων, ἀλλ' ἄγονται ὑπὸ τῶν παθῶν εἰς τὸ ὑπὸ τῆς τούτων κρατεῖσθαι τυραννίδος. Τὴν μὲν οὖν ἐπιθυμίαν λέγουσιν ὄρεξιν εἶναι ἀπειθῆ λόγῳ· αἴτιον δ' αὐτῆς τὸ δοξάζειν ἀγαθὸν ἐπιφέρεσθαι, οὗ παρόντος εὖ ἀπαλλάξομεν, τῆς δόξης αὐτῆς ἐχούσης τὸ ἀτάκτως κινητικὸν 〈πρόσφατον τοῦ ὄντως αὐτὸ ὀρεκτὸν εἶναι〉 . Φόβον δ' εἶναι ἔκκλισιν ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτοῦ τὸ δοξάζειν κακὸν ἐπιφέρεσθαι, τῆς δόξης τὸ κινητικὸν [καὶ] πρόσφατον ἐχούσης τοῦ ὄντως αὐτὸ φευκτὸν εἶναι. Λύπην δ' εἶναι συστολὴν ψυχῆς ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτῆς τὸ δοξάζειν πρόσφατον κακὸν παρεῖναι, ἐφ' ᾧ καθήκει 〈συστέλλεσθαι. Ἡδονὴν δ' εἶναι ἔπαρσιν ψυχῆς ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτῆς τὸ δοξάζειν πρόσφατον ἀγαθὸν παρεῖναι, ἐφ' ᾧ καθήκει〉 ἐπαίρεσθαι. κότος καὶ πικρίαι καὶ τὰ τοιαῦτα,) ἔρωτες σφοδροὶ καὶ πόθοι καὶ ἵμεροι καὶ φιληδονίαι καὶ φιλοπλουτίαι καὶ φιλοδοξίαι καὶ τὰ ὅμοια· ὑπὸ δὲ τὴν ἡδονὴν ἐπιχαιρεκακίαι καὶ ἀσμενισμοὶ καὶ γοητεῖαι καὶ τὰ ὅμοια· ὑπὸ δὲ τὸν φόβον ὄκνοι καὶ ἀγωνίαι καὶ ἔκπληξις καὶ αἰσχύναι καὶ θόρυβοι καὶ δεισιδαιμονίαι καὶ δέος καὶ δείματα· ὑπὸ δὲ τὴν λύπην φθόνος, ζῆλος, ζηλοτυπία, ἔλεος, πένθος, ἄχθος, ἄχος, ἀνία, ὀδύνη, ἄση. Ὀργὴ μὲν οὖν ἐστιν ἐπιθυμία τιμωρήσασθαι τὸν δοκοῦντα ἠδικηκέναι παρὰ τὸ προσῆκον· θυμὸς δὲ ὀργὴ ἐναρχομένη· χόλος δὲ ὀργὴ διοιδοῦσα· μῆνις δὲ ὀργὴ εἰς παλαίωσιν ἀποτεθειμένη ἢ ἐναποκειμένη· κότος δὲ ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν· πικρία δὲ ὀργὴ παραχρῆμα ἐκρηγνυμένη· ἔρως δὲ ἐπιβολὴ φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον· πόθος δὲ ἐπιθυμία κατ' ἔρωτα ἀπόντος· ἵμερος δὲ ἐπιθυμία φίλου ἀπόντος ὁμιλίας· φιληδονία δὲ ἐπιθυμία ἡδονῶν· φιλοπλουτία δὲ πλούτου·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φιλοδοξία δὲ δόξης. Ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπ’ ἀλλοτρίοις κακοῖς· ἀσμενισμὸς δὲ ἡδονὴ ἐπὶ ἀπροσδοκήτοις· γοητεία φόβος διαπτώσεως καὶ ἑτέρως φόβος ἥττης· ἔκπληξις δὲ φόβος ἐξ ἀσυνήθους φαντασίας· αἰσχύνη δὲ φόβος ἀδοξίας· θόρυβος δὲ φόβος μετὰ φωνῆς κατεπείγων· δεισιδαιμονία δὲ φόβος θεῶν ἢ δαιμόνων· δέος δὲ φόβος δεινοῦ· δεῖμα δὲ φόβος ἐκ λόγου. Φθόνος δὲ λύπη ἐπ’ ἀλλοτρίοις ἀγαθοῖς· ζῆλος δὲ λύπη ἐπὶ τῷ ἕτερον ἐπιτυγχάνειν ὧν αὐτὸς ἐπιθυμεῖ, αὐτὸν δὲ μή· λέγεσθαι δὲ καὶ ἑτέρως ζῆλον, μακαρισμὸν ἐνδεοῦς καὶ ἔτι ἄλλως μίμησιν ὡς ἂν κρείττονος· ζηλοτυπίαν δὲ λύπην ἐπὶ τῷ 〈καὶ〉 ἕτερον ἐπιτυγχάνειν ὧν αὐτὸς ἐπεθύμει· ἔλεον δὲ λύπην ἐπὶ τῷ δοκοῦντι ἀναξίως κακοπαθεῖν· πένθος δὲ λύπην ἐπὶ θανάτῳ ἀώρῳ· ἄχθος δὲ λύπην βαρύνουσαν· ἄχος δὲ λύπην ἀφωνίαν ἐμποιοῦσαν· ἀνίαν δὲ λύπην κατὰ διαλογισμόν· ὀδύνην δὲ λύπην εἰσδύνουσαν καὶ καθικνουμένην· ἄσην δὲ λύπην μετὰ ῥιπτασμοῦ. Τούτων δὲ τῶν παθῶν τὰ μὲν ἐμφαίνειν τὸ ἐφ’ ᾧ γίγνεται, οἷον ἔλεον, φθόνον, ἐπιχαιρεκακίαν, αἰσχύνην· Εὐεμπτωσίαν δ’ εἶναι εὐκαταφορίαν εἰς πάθος, ὥς τι τῶν παρὰ φύσιν ἔργων, οἷον ἐπιλυπίαν, ὀργιλότητα, φθονερίαν, ἀκροχολίαν καὶ τὰ ὅμοια. Γίγνεσθαι δὲ εὐεμπτωσίας καὶ εἰς ἄλλα ἔργα τῶν παρὰ φύσιν, οἷον εἰς κλοπὰς καὶ μοιχείας καὶ ὕβρεις, καθ’ ἃς κλέπται τε καὶ μοιχοὶ καὶ ὑβρισταὶ λέγονται. Νόσημα δ’ εἶναι δόξαν ἐπιθυμίας ἐρρυηκυῖαν εἰς ἕξιν καὶ ἐνεσκιρωμένην, καθ’ ἣν ὑπολαμβάνουσι τὰ μὴ αἱρετὰ σφόδρα αἱρετὰ εἶναι, οἷον φιλογυνίαν, φιλοινίαν, φιλαργυρίαν· εἶναι δέ τινα καὶ ἐναντία 〈τούτοις〉 τοῖς νοσήμασι κατὰ προσκοπὴν γινόμενα, οἷον μισογυνίαν, μισοινίαν, μισανθρωπίαν. Τὰ δὲ νοσήματα μετ’ ἀσθενείας συμβαίνοντα ἀρρωστήματα καλεῖσθαι. Κατόρθωμα δ’ εἶναι λέγουσι καθῆκον πάντας ἐπέχον τοὺς ἀριθμούς, ἢ καθάπερ προείπομεν (p. 85, 19), τέλειον καθῆκον· ἁμάρτημά τε τὸ παρὰ τὸν ὀρθὸν λόγον πραττόμενον, ἢ ἐν ᾧ παραλέλειπταί τι καθῆκον ὑπὸ λογικοῦ ζῴου. Τά τε ἀγαθὰ πάντα τῶν σπουδαίων εἶναι πάντας ὁμονοεῖν ἀλλήλοις διὰ τὸ συμφωνεῖν ἐν τοῖς κατὰ τὸν βίον· τοὺς δὲ φαύλους διαφωνοῦντας πρὸς ἀλλήλους ἐχθροὺς εἶναι καὶ κακοποιητικοὺς ἀλλήλων καὶ πολεμίους. Τό τε δίκαιόν φασι φύσει εἶναι καὶ μὴ θέσει. Ἑπόμενον δὲ τούτοις ὑπάρχειν καὶ τὸ πολιτεύεσθαι τὸν σοφὸν καὶ μάλιστ’ ἐν ταῖς τοιαύταις πολιτείαις ταῖς ἐμφαινούσαις τινὰ προκοπὴν πρὸς τὰς τελείας πολιτείας· καὶ τὸ νομοθετεῖν δὲ καὶ τὸ παιδεύειν ἀνθρώπους, ἔτι δὲ συγγράφειν τὰ δυνάμενα ὠφελεῖν τοὺς ἐντυγχάνοντας τοῖς γράμμασιν οἰκεῖον εἶναι τοῖς σπουδαίοις καὶ τὸ συγκαταβαίνειν καὶ εἰς γάμον καὶ εἰς τεκνογονίαν καὶ αὐτοῦ χάριν καὶ τῆς πατρίδος καὶ ὑπομένειν περὶ ταύτη ς , ἐὰν ᾖ μετρία, καὶ πόνους καὶ θάνατον. Παρακεῖσθαι δὲ τούτοις φαῦλ α , τό τε δημοκοπεῖν καὶ τὸ σοφιστεύειν καὶ τὸ συγγράφειν ἐπιβλαβῆ τοῖς ἐντυγχάνουσιν, ἅπερ εἰς σπουδαίους οὐκ ἂν πέσοι. Τριχῶς δὲ λεγομένης τῆς φιλία ς , καθ’ ἕνα μὲν τρόπον τῆς κοινῆς ἕνεκ’ ὠφελείας, καθ’ ἣν φίλοι εἶναι λέγονται, ταύτην μὲν οὔ φασι τῶν ἀγαθῶν εἶναι, διὰ τὸ μηδὲν ἐκ διεστηκότων ἀγαθὸν εἶναι κατ’ αὐτούς· τὴν δὲ κατὰ τὸ δεύτερον σημαινόμενον λεγομένην φιλίαν, κατάσχεσιν οὖσαν φιλικὴν πρὸς τῶν πέλας, τῶν Εἶναι δὲ καὶ θάτερον τρόπον κοινὰ τὰ ἀγαθ ά . Πάντα γὰρ τὸν ὁντινοῦν ὠφελοῦντα ἴσην ὠφέλειαν ἀπολαμβάνειν νομίζουσι παρ’ αὐτὸ τοῦτο, μηδένα δὲ φαῦλον μήτε ὠφελεῖσθαι μήτε ὠφελεῖν. Εἶναι γὰρ τὸ ὠφελεῖν ἴσχειν κατ’ ἀρετὴν καὶ τὸ ὠφελεῖσθαι κινεῖσθαι κατ’ ἀρετήν. Οἰκονομικὸν δ’ εἶναι μόνον λέγουσι τὸν σπουδαῖον καὶ ἀγαθὸν οἰκονόμο ν , ἔτι δὲ χρηματιστικό ν . Τὴν μὲν γὰρ οἰκονομικὴν εἶναι θεωρητικὴν ἕξιν καὶ πρακτικὴν τῶν οἴκῳ συμφερόντων· τὴν δ’ οἰκονομίαν διάταξιν περὶ ἀναλωμάτων καὶ ἔργων καὶ κτήσεως ἐπιμέλειαν καὶ τῶν κατ’ ἀγρὸν ἐργαζομένων· τὴν δὲ χρηματιστικὴν ἐμπειρίαν περιποιήσεως χρημάτων ἀφ’ ὧν δέον καὶ ἕξιν ὁμολογουμένως ἀναστρέφεσθαι ποιοῦσαν ἐν συναγωγῇ χρημάτων καὶ τηρήσει καὶ ἀναλώσει πρὸς εὐπορίαν· τὸ δὲ χρηματίζεσθαί τινες μὲν μέσον εἶπον εἶναι, τινὲς δὲ ἀστεῖον. Φαῦλον δὲ μηδένα προστάτην ἀγαθὸν οἴκου γίνεσθαι, μηδὲ δύνασθαι οἰκίαν εὖ οἰκονουμένην παρασχεῖν. Μόνον δὲ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σπουδαῖον ἄνδρα χρηματιστικὸν εἶναι, γινώσκοντα ἀφ' ὧν χρηματιστέον καὶ πότε καὶ πῶς καὶ μέχρι πότε. Φασὶ 〈δὲ〉 μηδὲ συγγνώμην ἔχειν 〈μηδενὶ τὸν των ἁμαρτανόντων παρὰ τὴν ἰδίαν κακίαν· διὸ καὶ δεόντως λέγεσθαι τὸ μηδὲ συγγνώμην ἔχειν τοῖς ἁμαρτάνουσιν. Οὐκ ἐπιεικῆ δέ φασιν εἶναι τὸν ἀγαθὸν ἄνδρα, τὸν γὰρ ἐπιεικῆ παραιτητικὸν εἶναι τῆς κατ' ἀξίαν κολάσεως καὶ τοῦ αὐτοῦ εἶναι ἐπιεικῆ τε εἶναι καὶ ὑπολαμβάνειν τὰς ἐκ τοῦ νόμου τεταγμένας κολάσεις τοῖς ἀδικοῦσι σκληροτέρας εἶναι καὶ τὸ ἡγεῖσθαι παρὰ τὴν ἀξίαν ἀπονέμειν τὰς κολάσεις τὸν νομοθέτην. Τόν τε νόμον σπουδαῖον εἶναί φασι, λόγον ὀρθὸν ὄντα προστακτικὸν μὲν ὧν ποιητέον, ἀπαγορευτικὸν δὲ ὧν οὐ ποιητέον. Τοῦ δὲ νόμου ἀστείου ὄντος καὶ ὁ νόμιμος ἀστεῖος ἂν 〈εἴη〉· νόμιμον μὲν γὰρ εἶναι ἄνδρα καὶ ἀκολουθητικὸν τῷ νόμῳ καὶ πρακτικὸν τῶν ὑπ' αὐτοῦ προσταττομένων· νομικὸν δὲ τὸν ἐξηγητικὸν τοῦ νόμου. Μηδένα δὲ τῶν φαύλων μήτε νόμιμον εἶναι μήτε νομικόν. Ἔτι δὲ τῶν ἐνεργημάτων φασὶ τὰ μὲν εἶναι κατορθώματ α , τὰ δὲ ἁμαρτήματ α , τὰ δ' οὐδέτερ α . Κατορθώματα μὲν τὰ τοιαῦτα· φρονεῖν, σωφρονεῖν, δικαιοπραγεῖν, χαίρειν, εὐεργετεῖν, εὐφραίνεσθαι, φρονίμως περιπατεῖν, πάνθ' ὅσα κατὰ τὸν ὀρθὸν λόγον πράττεται· τήματα τὰ τοιαῦτα· λέγειν, ἐρωτᾶν, ἀποκρίνεσθαι, περιπατεῖν, ἀποδημεῖν καὶ τὰ τούτοις παραπλήσια. Πάντα δὲ τὰ κατορθώματα δικαιοπραγήματα εἶναι καὶ εὐνομήματα καὶ εὐτακτήματα καὶ εὐεπιτηδεύματα καὶ εὐτυχήματα καὶ εὐδαιμονήματα καὶ εὐκαιρήματα καὶ εὐσχημονήματα· οὐκ ἔτι μέντοι γε φρονιμεύματα, ἀλλὰ μόνα τὰ ἀπὸ φρονήσεως καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων ἀρετῶν, εἰ καὶ μὴ ὠνόμασται, οἷον σωφρονήματα μὲν τὰ ἀπὸ σωφροσύνης, δικαιώματα δὲ τὰ ἀπὸ δικαιοσύνης. Τὰ δὲ ἁμαρτήματα ἐκ τῶν ἀντικειμένων ἀδικοπραγήματα καὶ ἀνομήματα καὶ ἀτακτήματα. Διαφέρειν δὲ λέγουσιν, ὥσπερ αἱρετὸν καὶ αἱρετέο ν , οὕτω καὶ ὀρεκτὸν καὶ ὀρεκτέον καὶ βουλητὸν καὶ βουλητέον καὶ ἀποδεκτὸν καὶ ἀποδεκτέον. Αἱρετὰ μὲν γὰρ εἶναι καὶ βουλητὰ καὶ ὀρεκτὰ 〈καὶ ἀποδεκτὰ τἀγαθά· τὰ δ' ὠφελήματα αἱρετέα καὶ βουλητέα καὶ ὀρεκτέα〉 καὶ ἀποδεκτέα, κατηγορήματα ὄντα, παρακείμενα δ' ἀγαθοῖς. Αἱρεῖσθαι μὲν γὰρ ἡμᾶς τὰ αἱρετέα καὶ βούλεσθαι τὰ βουλητέα καὶ ὀρέγεσθαι τὰ ὀρεκτέα. Κατηγίνονται, ὥσπερ καὶ αἱ ὁρμαί· ἔχειν μέντοι αἱρούμεθα καὶ βουλόμεθα καὶ ὁμοίως ὀρεγόμεθα τἀγαθά, διὸ καὶ αἱρετὰ καὶ βουλητὰ καὶ ὀρεκτὰ τἀγαθά ἐστι. Τὴν γὰρ φρόνησιν αἱρούμεθα ἔχειν καὶ τὴν σωφροσύνην, οὐ μὰ Δία τὸ φρονεῖν καὶ σωφρονεῖν, ἀσώματα ὄντα καὶ κατηγορήματα. Λέγουσι δὲ ὁμοίως καὶ τἀγαθὰ πάντα εἶναι ὑπομενετὰ καὶ ἐμμενετὰ καὶ ἀνάλογον ἐπὶ τῶν ἄλλων ἀρετῶν, εἰ καὶ μὴ κατωνόμασται· τὰ δὲ ὠφελήματα πάντα ὑπομενετέα καὶ ἐμμενετέα καὶ τὰ ὅμοια. Ὡσαύτως δὲ διαφέρειν ὑπολαμβάνουσι καὶ τὰ εὐλαβητὰ καὶ τὰ εὐλαβητέα καὶ ἀνυπομενετὰ καὶ ἀνυπομενετέ α . Τῶν δ' ἄλλων τῶν κατὰ τὰς κακίας ὁ αὐτὸς λόγος. Πάντα δὲ τὸν καλὸν καὶ ἀγαθὸν ἄνδρα τέλειον εἶναι λέγουσι διὰ τὸ μηδεμιᾶς ἀπολείπεσθαι ἀρετῆς· τὸν δὲ φαῦλον τοὐναντίον ἀτελῆ διὰ τὸ μηδεμιᾶς μετέχειν ἀρετῆς. Δι' ὃ καὶ πάντως εὐδαιμονεῖν ἀεὶ τῶν ἀνθρώπων τοὺς ἀγαθούς, τοὺς δὲ φαύλους κακοδαιμονεῖ ν . καὶ 〈ἐκείνων〉 τὴν εὐδαιμονίαν μὴ διαφέρειν τῆς θείας εὐδαιμονίας, μηδὲ τὴν ἀμεριαίαν ὁ Χρύσιππός τὴν τοῦ Διὸς εὐδαιμονίαν τῆς τῶν σοφῶν ἀνδρῶν. Ἀρέσκει γὰρ τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωικοῖς φιλοσόφοις δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίω ν , τὸ δὲ τῶν φαύλων · καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις· ὅθεν τὸ μὲν ἀεὶ κατορθοῦν ἐν ἅπασιν οἷς προστίθεται, τὸ δὲ ἁμαρτάνειν. Καὶ τὸν μὲν σπουδαῖον ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενον ἐν τοῖς πραττομένοις ὑπ' αὐτοῦ πάντ' εὖ ποιεῖν, καθάπερ φρονίμως καὶ σωφρόνως καὶ κατὰ τὰς ἄλλας ἀρετάς· τὸν δὲ φαῦλον κατὰ τοὐναντίον κακῶς. Καὶ τὸν μὲν σπουδαῖον μέγαν εἶναι καὶ ἁδρὸν καὶ ὑψηλὸν καὶ ἰσχυρόν. Μέγαν μέν, ὅτι δύναται ἐφικνεῖσθαι τῶν κατὰ προαίρεσιν ὄντων αὐτῷ καὶ προκειμένων· ἁδρὸν δέ, ὅτι ἐστὶν ηὐξημένος πάντοθεν· ὑψηλὸν δ', ὅτι μετείληφε τοῦ ἐπιβάλλοντος ὕψους ἀνδρὶ γενναίῳ καὶ σοφῷ· καὶ ἰσχυρὸν δ', ὅτι τὴν ἐπιβάλλουσαν ἰσχὺν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιπεποίηται, ἀήττητος ὢν καὶ ἀκαταγώνιστος. Παρ' ὃ καὶ οὔτε ἀναγκάζεται ὑπό τινος οὔτε ἀναγκάζει τινά, οὔτε κωλύεται οὔτε κωλύει, οὔτε βιάζεται ὑπό τινος οὔτ' αὐτὸς βιάζει τινά, οὔτε δεσπόζει οὔτε δεσπόζεται, οὔτε κακοποιεῖ τινα οὔτ' αὐτὸς κακοποιεῖται, οὔτε κακοῖς περιπίπτει 〈οὔτ' μων δ' ἐστὶ μάλιστα καὶ εὐτυχὴς καὶ μακάριος καὶ ὄλβιος καὶ εὐσεβὴς καὶ θεοφιλὴς καὶ ἀξιωματικός, βασιλικός τε καὶ στρατηγικὸς καὶ πολιτικὸς καὶ οἰκονομικὸς καὶ χρηματιστικός. Τοὺς δὲ φαύλους ἅπαντα τούτοις ἐναντία ἔχειν. Καθόλου δὲ τοῖς μὲν σπουδαίοις πάντα τἀγαθὰ ὑπάρχειν, τοῖς δὲ φαύλοις πάντα τὰ κακά. Οὐ νομιστέον δὲ λέγειν αὐτοὺς οὕτως, ὡς εἴ τινά ἐστιν ἀγαθά, ἐκεῖνα ὑπάρχει τοῖς σπουδαίοις, ὁμοίως δὲ καὶ ἐπὶ τῶν κακῶν· ἀλλά τοι τοὺς μὲν τοσαῦτα ἔχειν ἀγαθὰ ὥστε μηδὲν ἐλλείπειν εἰς τὸ τέλειον αὐτοῖς εἶναι τὸν βίον 〈καὶ εὐδαίμονα〉, τοὺς δὲ τοσαῦτα κακά, ὥστε τὸν βίον ἀτελῆ εἶναι καὶ κακοδαίμονα. Τὴν δ' ἀρετὴν πολλοῖς ὀνόμασι προσαγορεύουσιν. Ἀγαθόν τε γὰρ λέγουσιν αὐτήν, ὅτι ἄγει ἡμᾶς ἐπὶ τὸν ὀρθὸν βίον· καὶ ἀρεστό ν , ὅτι δοκιμαστόν ἐστιν ἀνυπόπτως· καὶ πολλοῦ ἄξιο ν , 〈ὅτι〉 ἀνυπέρβλητον ἔχει τὴν ἀξίαν· καὶ σπουδαῖο ν , ἄξιον γὰρ εἶναι πολλῆς σπουδῆς· καὶ ἐπαινετό ν , εὐλόγως γὰρ ἄν τις αὐτὴν ἐπαινοίη· καὶ καλό ν , ὅτι πρὸς ἑαυτὴν καλεῖν πέφυκε τοὺς ὀρεγομένους αὐτῆς· καὶ συμφέρο ν , φέρειν γὰρ τοιαῦτα ἃ συντείνει πρὸς τὸ εὖ ζῆν· καὶ χρήσιμο ν , ὅτι ἐν τῇ χρείᾳ ὠφέλιμόν ἐστι· καὶ αἱρετό ν , συμβαίνειν γὰρ ἀπ' αὐτῆς ἃ εὐλόγως ἔστιν αἱρεῖσθαι· καὶ ἀναγκαῖο ν , ὅτι παροῦσά τε ὠφελεῖ καὶ μὴ παρούσης οὐκ ἔστιν ὠφελεῖσθαι· καὶ λυσιτελέ ς , τὰς γὰρ ἀπ' αὐτῆς ὠφελείας νούσης· καὶ αὔταρκε ς , ἐξαρκεῖν γὰρ τῷ ἔχοντι· καὶ ἀνενδεέ ς , ὅτι ἐνδείας ἀπαλλάττει πάσης· καὶ ἀποχρῶν διὰ τὸ ἐν τῇ χρήσει ἱκανὸν εἶναι καὶ διατείνειν εἰς πᾶσαν τὴν κατὰ τὸν βίον χρείαν. Τῶν τε ἀγαθῶν μηδενὸς μετέχειν τοὺς φαύλου ς , ἐπειδὴ τὸ ἀγαθὸν ἀρετή ἐστιν ἢ τὸ μετέχον ἀρετῆς· τά τε παρακείμενα τοῖς ἀγαθοῖς, ἅπερ ἐστὶν ὧν χρή, ὠφελήματα ὄντα, μόνοις τοῖς σπουδαίοις συμβαίνειν· καθάπερ καὶ τὰ παρακείμενα τοῖς κακοῖ ς , ἅπερ ἐστὶν ὧν οὐ χρή, μόνοις τοῖς κακοῖς· βλάμματα γὰρ εἶναι, καὶ διὰ τοῦτο τοὺς μὲν ἀγαθοὺς ἀβλαβεῖς πάντας εἶναι κατ' ἀμφότερα, οὔτε βλάπτειν οἵους τε ὄντας οὔτε βλάπτεσθαι, τοὺς δὲ φαύλους κατὰ τοὐναντίον. Τὸν δὲ κατ' ἀλήθειαν πλοῦτον ἀγαθὸν εἶναι λέγουσι, καὶ τὴν κατ' ἀλήθειαν πενίαν κακόν. Καὶ τὴν μὲν κατ' ἀλήθειαν ἐλευθερίαν ἀγαθόν, τὴν δὲ κατ' ἀλήθειαν δουλείαν κακόν. Δι' ὃ δὴ καὶ τὸν σπουδαῖον εἶναι μόνον πλούσιον καὶ ἐλεύθερο ν , τὸν δὲ φαῦλον τοὐναντίον πένητα, τῶν εἰς τὸ πλουτεῖν ἀφορμῶν ὑστερημένον καὶ δοῦλον διὰ τὴν ὑποπτωτικὴν ἐν αὐτῷ διάθεσιν. Τὰ δ' ἀγαθὰ πάντα κοινὰ εἶναι τῶν σπουδαίω ν , τῶν δὲ φαύλων τὰ κακά. Δι' ὃ καὶ τὸν ὠφελοῦντά τινα καὶ αὐτὸν ὠφελεῖσθαι, τὸν δὲ βλάπτοντα καὶ ἑαυτὸν βλάπτειν. Πάντας δὲ τοὺς σπουδαίους ὠφελεῖν ἀλλήλους, οὔτε φίλους ὄντας ἀλλήλων πάντως οὔτε εὔνους 〈οὔτε〉 εὐδοκίμους οὔτε ἀποδεχομένους παρὰ τὸ μήτε καὶ δοκιμαστικῶς καὶ ἀποδεκτικῶς· τοὺς δὲ ἄφρονας ἐν τοῖς ἐναντίοις τούτων ὑπάρχειν. Τοῦ δὲ νόμου ὄντος σπουδαίου, καθάπερ εἴπομεν (p. 96, 10—12), ἐπειδὴ λόγος ὀρθός ἐστι προστακτικὸς μὲν ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον, μόνον τὸν σοφὸν εἶναι λέγουσι νόμιμο ν , πρακτικὸν ὄντα τῶν ὑπὸ τοῦ νόμου προσταττομένων καὶ μόνον ἐξηγητικὸν τούτου, δι' ὃ καὶ νομικὸν εἶναι· τοὺς δ' ἠλιθίους ἐναντίως ἔχειν. Ἀστείοις δ' ἔτι καὶ τὴν ἀρχικὴν κατανέμουσιν ἐπιστασίαν καὶ τὰ ταύτης εἴδη, βασιλείαν, στρατηγίαν, ναυαρχίαν καὶ τὰς ταύταις παραπλησίους. Κατὰ τοῦτο δὴ καὶ μόνος ὁ σπουδαῖος ἄρχει καὶ εἰ μὴ πάντως κατ' ἐνέργειαν, κατὰ διάθεσιν δὲ καὶ πάντως. Καὶ πειθαρχικὸς μόνος ὁ σπουδαῖός ἐστιν, ἀκολουθητικὸς ὢν ἄρχοντι. Τῶν δ' ἀφρόνων οὐδεὶς τοιοῦτος· οὔτε γὰρ ἄρχειν οὔτ' ἄρχεσθαι οἷός 〈τ'〉 ἐστιν ὁ ἄφρων, αὐθάδης τις ὢν καὶ ἀνάγωγος. Πάντα τε εὖ ποιεῖ ὁ νοῦν ἔχω ν , καὶ γὰρ φρονίμως καὶ ἐγκρατῶς καὶ κοσμίως καὶ εὐτάκτως ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενος συνεχῶς. ὁ δὲ φαῦλο ς , ἄπειρος ὢν τῆς ὀρθῆς χρήσεως, πάντα κακῶς ποιεῖ καθ' ἣν ἔχει διάθεσιν ἐνεργῶν, εὐμετάπτωτος ὢν καὶ παρ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕκαστα μεταμελείᾳ συνεχόμενος. Εἶναι δὲ τὴν μεταμέλειαν κακοδαιμονικόν τι πάθος ψυχῆς καὶ στασιῶδες· ἐφ' ὅσον γὰρ ἄχθεται τοῖς συμβεβηκόσιν ὁ ἐν ταῖς μεταμελείαις ὤν, ἐπὶ τοσοῦτον ἀγανακτεῖ πρὸς ἑαυτὸν ὡς αἴτιον γεγονότα τούτων· δι' ὃ καὶ ἄτιμον εἶναι πάντα φαῦλο ν , μήτε τιμῆς ἄξιον ὄντα μήτε τίμιον ὑπάρχοντα. Τὴν γὰρ τιμὴν εἶναι γέρως ἀξίωσιν, τὸ δὲ γέρας ἆθλον ἀρετῆς εὐεργετικῆς. Τὸ οὖν ἀρετῆς ἀμέτοχον ἄτιμον δικαίως λέγεσθαι. Λέγουσι δὲ καὶ φυγάδα πάντα φαῦλον εἶναι, καθ' ὅσον στέρεται νόμου καὶ πολιτείας κατὰ φύσιν ἐπιβαλλούσης. Τὸν γὰρ νόμον εἶναι, καθάπερ εἴπομεν (p. 96, 10), σπουδαῖον, ὁμοίως δὲ καὶ τὴν πόλι ν . Ἱκανῶς δὲ καὶ Κλεάνθης περὶ τὸ σπουδαῖον εἶναι τὴν πόλιν λόγον ἠρώτησε τοιοῦτον· Πόλις μὲν 〈εἰ〉 ἔστιν οἰκητήριον κατασκεύασμα, εἰς ὃ καταφεύγοντας ἔστι δίκην δοῦναι καὶ λαβεῖν, οὐκ ἀστεῖον δὴ πόλις ἐστίν; ἀλλὰ μὴν τοιοῦτόν ἐστιν ἡ πόλις οἰκητήριον· ἀστεῖον ἄρ' ἔστιν ἡ πόλις. Τριχῶς δὲ λεγομένης τῆς πόλεω ς , τῆς τε κατὰ τὸ οἰκητήριον καὶ τῆς κατὰ τὸ σύστημα τῶν ἀνθρώπων καὶ τρίτον τῆς κατ' ἀμφότερα τούτων, κατὰ δύο σημαινόμενα λέγεσθαι τὴν πόλιν ἀστείαν, κατά τε τὸ σύστημα τῶν ἀνθρώπων καὶ κατὰ τὸ συναμφότερον διὰ 〈τὴν εἰσ〉 τοὺς ἐνοικοῦντας ἀναφοράν. Φασὶ δὲ καὶ ἄγροικον εἶναι πάντα φαῦλον · τὴν θηριώδη καὶ βλαπτικὸν ἄνθρωπον. Τὸν δ' αὐτὸν τοῦτον καὶ ἀνήμερον ὑπάρχειν καὶ τυραννικό ν , οὕτως διακείμενον ὥστε δεσποτικὰ ποιεῖν, ἔτι δὲ ὠμὰ καὶ βίαια καὶ παράνομα καιρῶν ἐπιλαβόμενον. Εἶναι δὲ καὶ ἀχάριστο ν , οὔτε πρὸς ἀνταπόδοσιν χάριτος οἰκείως ἔχοντα οὔτε πρὸς μετάδοσιν διὰ τὸ μήτε κοινῶς τι ποιεῖν μήτε φιλικῶς μήτ' ἀμελετήτως. Μηδὲ φιλόλογον εἶναι τὸν φαῦλον μηδὲ φιλήκοο ν , παρὰ τὸ μηδ' ἀρχὴν παρεσκευάσθαι πρὸς τὴν τῶν ὀρθῶν λόγων παραδοχὴν διὰ τὴν ὑπείκουσαν ἐκ τῆς διαστροφῆς ἀφροσύνην, παρὰ τὸ μήτε προτετράφθαι τινὰ τῶν φαύλων μήτε προτρέπειν πρὸς ἀρετήν· τὸν γὰρ προτετραμμένον ἢ προτρέποντα ἑτέρους ἕτοιμον εἶναι δεῖ πρὸς τὸ φιλοσοφεῖν, τὸν δ' ἕτοιμον ἀνεμποδίστως ἔχειν, μηδένα 〈δὲ〉 τῶν ἀφρόνων εἶναι τοιοῦτον. Οὐ γὰρ τὸν προθύμως ἀκούοντα καὶ ὑπομνηματιζόμενον τὰ λεγόμενα ὑπὸ τῶν φιλοσόφων ἕτοιμον εἶναι πρὸς τὸ φιλοσοφεῖν, ἀλλὰ τὸν ἑτοίμως ἔχοντα πρὸς τὸ τὰ διὰ τῆς φιλοσοφίας παραγγελλόμενα μεταφέρειν ἐπὶ τὰ ἔργα καὶ κατ' αὐτὰ βιοῦν. Οὐδένα δὲ τῶν φαύλων τοιοῦτον εἶναι, προκατειλημμένον τοῖς τῆς κακίας δόγμασιν. Εἰ γὰρ προετέτραπτό τις τῶν φαύλων καὶ ἀπὸ τῆς κακίας ἂν ἐτέτραπτο. Οὐδεὶς κατὰ γὰρ 〈ἀρετῆσ〉 παραγγέλματα βιοῦν μηδένα τῶν ἀφρόνων. Μηδ' εἶναι φιλόλογον, λογόφιλον δὲ μᾶλλον, μέχρι λαλιᾶς ἐπιπολαίου προβαίνοντα, μηκέτι δὲ καὶ τοῖς ἔργοις ἐκβεβαιούμενον τὸν τῆς ἀρετῆς λόγον. Μηδὲ γὰρ φιλόπονόν τινα τῶν φαύλων εἶναι· τὴν γὰρ φιλοπονίαν διάθεσιν ἐξεργαστικὴν εἶναι τῶν ἐπιβαλλόντων ἀνυπόπτως διὰ πόνον, οὐδένα δὲ τῶν φαύλων ἀνυπόπτως ἔχειν πρὸς τὸν πόνον. Μηδὲ γὰρ τὴν κατ' ἀξίαν ποιεῖσθαι δόσιν τῆς ἀρετῆς τῶν φαύλων τινά, σπουδαῖον μὲν γὰρ εἶναι τὴν δόσιν, ἐπιστήμην οὖσαν, καθ' ἣν ἀξιόλογόν τι ἡγούμεθα περιποιεῖσθαι. Τῶν δὲ σπουδαίων μηδὲν εἰς φαύλους πίπτειν, ὥστε μηδὲ τὴν ἀξίαν τῆς ἀρετῆς δόσιν ποιεῖσθαί τινα τῶν φαύλων. Εἰ γὰρ τὴν κατ' ἀξίαν τις ἐποιεῖτο δόσιν τῶν ἀφρόνων τῆς ἀρετῆς, ἐφ' ὅσον ἐτίμα ταύτην, ἀπῳκονομεῖτο ἂν τὴν κακίαν. Πᾶς δέ τις ἄφρων σύνεστιν ἡδέως τῇ ἑαυτοῦ κακίᾳ. Σκοπεῖν γὰρ δεῖ μὴ τὸν ἐξώφορον αὐτῶν λόγον, φαῦλον ὄντα, ἀλλὰ τὸν τῶν πράξεων. Ἐκ τούτων γὰρ ἀπελέγχονται [καὶ] μὴ περὶ τὰ καλὰ καὶ σπουδαῖα παρωρμημένοι, ἀλλὰ περὶ τὰς ἀνδραποδώδεις ἀμέτρους ἀπολαύσεις. Ἀρέσκει δὲ καὶ πᾶν ἁμάρτημα ἀσέβημα εἶναι. Τὸ γὰρ παρὰ τὴν βούλησίν τι πράττεσθαι τοῦ θεοῦ, ἀσεβείας εἶναι τεκμήριον. Τῶν γὰρ θεῶν οἰκειουμένων μὲν τῇ καὶ τοῖς ἀπὸ ταύτης συντελουμένοις, τοῦ δ' ἁμαρτήματος ὄντος ἐνεργήματος κατὰ κακίαν, κατεφαίνετο πᾶν ἁμάρτημα ἀπαρεστὸν θεοῖς ὑπάρχον (τοῦτο δ' ἐστὶν ἀσέβημα)· [καὶ] καθ' ἕκαστον γὰρ ἁμάρτημα ὁ φαῦλος ἀπαρεστόν τι ποιεῖ θεοῖς. Ἔτι δὲ ἐπεὶ πᾶς φαῦλος ὅσα ποιεῖ κατὰ κακίαν ποιεῖ, καθάπερ ὁ σπουδαῖος κατ' ἀρετήν, καὶ ὁ μίαν ἔχων κακίαν πάσας ἔχει. Ἐν δὲ ταύταις ὁρᾶσθαι

καὶ τὴν ἀσέβεια ν , οὐ τὴν τεταγμένην κατὰ τὴν ἐνέργειαν, ἀλλὰ τὴν τῇ εὐσεβείᾳ ἐναντίαν ἕξιν. Τὸ δὲ κατὰ ἀσέβειαν πεπραγμένον ἀσέβημα εἶναι, πᾶν 〈οὖν〉 ἁμάρτημα ἀσέβημα εἶναι. Ἔτι δ’ ἀρέσκει αὐτοῖς καὶ πάντ’ εἶναι τὸν ἄφρονα θεοῖς ἐχθρόν · τὴν γὰρ ἔχθραν ἀσυμφωνίαν εἶναι 〈περὶ〉 τῶν κατὰ τὸν βίον καὶ διχόνοιαν, ὥσπερ καὶ τὴν φιλίαν συμφωνίαν καὶ ὁμόνοιαν. Διαφωνοῦσι δ’ οἱ φαῦλοι πρὸς τοὺς θεοὺς περὶ τῶν κατὰ τὸν βίον, διόπερ πᾶς ἄφρων θεοῖς ἐχθρός ἐστιν. Ἔτι εἰ πάντες τοὺς ἐναντίους αὐτοῖς ἐχθροὺς εἶναι νομίζουσι, τῷ δὲ σπουδαίῳ ὁ φαῦλός ἐστιν ἐναντίος καὶ σπουδαῖός ἐστιν ὁ θεός, ὁ φαῦλος θεοῖς ἐστιν ἐχθρός. Ἴσά τε πάντα λέγουσιν εἶναι τὰ ἁμαρτήματ α , οὐκέτι δ’ ὅμοια. Καθάπερ γὰρ ἀπὸ μιᾶς τινος πηγῆς τῆς κακίας φέρεσθαι πέφυκε, τῆς κρίσεως οὔσης ἐν πᾶσι τοῖς ἁμαρτήμασι τῆς αὐτῆς· παρὰ δὲ τὴν ἔξωθεν αἰτίαν, τῶν ἐφ’ οἷς αἱ κρίσεις ἀποτελοῦνται μέσων διαλλαττόννύκτ’ 〈ἀεὶ〉 εἶναι ψεῦδός ἐστι, καθάπερ τὸ ἱπποκένταυρον ζῆν· καὶ οὐ μᾶλλον εἰπεῖν ἔστι ψεῦδος εἶναι θάτερον θατέρου· ἀλλ’ οὐχὶ τὸ ψευδὲς ἐπίσης ψευδές ἐστιν, οὐχὶ δὲ καὶ οἱ διεψευσμένοι ἐπίσης εἰσὶ διεψευσμένοι. Καὶ ἁμαρτάνειν δὲ μᾶλλον καὶ ἧττον οὐκ ἔστι, πᾶσαν γὰρ ἁμαρτίαν κατὰ διάψευσιν πράττεσθαι. Ἔτι οὐχὶ κατόρθωμα μὲν μεῖζον καὶ ἔλαττον οὐ γίγνεσθαι, ἁμάρτημα δὲ μεῖζον καὶ ἔλαττον γίγνεσθαι· πάντα γάρ ἐστι τέλεια, διόπερ οὔτ’ ἐλλείπειν οὔθ’ ὑπερέχειν δύναιτ’ ἂν ἀλλήλων. Ἴσα τοίνυν ἐστὶ πάντα τὰ ἁμαρτήματα. Περὶ δὲ εὐφυοῦ ς , ἔτι δὲ εὐγενοῦς οἳ μὲν τῶν ἐκ τῆς αἱρέσεως ἐπηνέχθησαν ἐπὶ τὸ λέγειν πάντα σοφὸν τοιοῦτον εἶναι, οἳ δ’ οὔ. Οἳ μὲν γὰρ οἴονται οὐ μόνον εὐφυεῖς γίγνεσθαι πρὸς ἀρετὴν ἐκ φύσεως, ἀλλὰ καί τινας ἐκ κατασκευῆς, καὶ τὸ ἐν ταῖς παροιμίαις λεγόμενον τοῦτο ἀπεδέξαντο (frg. trg. adesp. n. 227 N.) μελέτη χρονισθεῖς’ εἰς φύσιν καθίσταται. πρὸς ἀρετήν, ἢ ἕξιν καθ’ ἣν εὐανάληπτοι ἀρετῆς εἰσί τινες· τὴν δ’ εὐγένειαν ἕξιν ἐκ γένους ἢ ἐκ κατασκευῆς οἰκείαν πρὸς ἀρετήν. Τὸν δὲ σπουδαῖο ν , ὁμιλητικὸν ὄντα καὶ ἐπιδέξιον καὶ προτρεπτικὸν καὶ θηρευτικὸν διὰ τῆς ὁμιλίας εἰς εὔνοιαν καὶ φιλίαν, ὡς δυνατὸν εὐάρμοστον εἶναι πρὸς πλῆθος ἀνθρώπων, παρ’ ὃ καὶ ἐπαφρόδιτον εἶναι καὶ ἐπίχαριν καὶ πιθανόν, ἔτι δὲ αἰμύλον καὶ εὔστοχον καὶ εὔκαιρον καὶ ἀγχίνουν καὶ ἀφελῆ καὶ ἀπερίεργον καὶ ἁπλοῦν καὶ ἄπλαστον · τὸν δὲ φαῦλον ἔνοχον πᾶσι τοῖς ἐναντίοι ς . Τὸ δ’ εἰρωνεύεσθαι φαύλων εἶναί φασιν, οὐδένα γὰρ ἐλεύθερον καὶ σπουδαῖον εἰρωνεύεσθαι· ὁμοίως δὲ καὶ τὸ σαρκάζει ν , ὅ ἐστιν εἰρωνεύεσθαι μετ’ ἐπισυρμοῦ τινος. Ἐν μόνοις τε τοῖς σοφοῖς ἀπολείπουσι φιλία ν , ἐπεὶ ἐν μόνοις τούτοις ὁμόνοια γίνεται περὶ τῶν κατὰ τὸν βίον· τὴν δ’ ὁμόνοιαν εἶναι κοινῶν ἀγαθῶν ἐπιστήμην. Φιλίαν γὰρ ἀληθινὴν καὶ μὴ ψευδώνυμον ἀδύνατον χωρὶς πίστεως καὶ βεβαιότητος ὑπάρχειν· ἐν δὲ τοῖς φαύλοις, ἀπίστοις καὶ ἀβεβαίοις οὖσι καὶ δόγματα πολεμικὰ κεκτημένοις, οὐκ εἶναι φιλίαν, ἑτέρας δέ τινας ἐπιπλοκὰς καὶ συνδέσεις ἔξωθεν ἀνάγκαις καὶ δόξαις κατεχομένας γίνεσθαι. Φασὶ δὲ καὶ τὸ ἀγαπᾶν καὶ τὸ ἀσπάζεσθαι καὶ τὸ φιλεῖν μόνων εἶναι σπουδαίων. Καὶ μόνον εἶναι τὸν σοφὸν βασιλέα τε καὶ βασιλικόν, τῶν δὲ φαύλων μηδένα· τὴν γὰρ βασιλείαν ἀρχὴν συμφερόντων. Οὐχ οἷον δὲ μεθυσθήσεσθαι τὸν νοῦν ἔχοντα· τὴν γὰρ μέθην ἁμαρτητικὸν περιέχειν, λήρησιν εἶναι 〈γὰρ〉 παρὰ τὸν οἶνον, ἐν μηδενὶ δὲ τὸν σπουδαῖον ἁμαρτάνειν, δι’ ὃ πάντα κατ’ ἀρετὴν ποιεῖν καὶ τὸν ἀπὸ ταύτης ὀρθὸν λόγον. Τρεῖς δὲ προηγουμένους εἶναι βίους, τόν τε βασιλικὸν καὶ τὸν πολιτικὸν καὶ τρίτον τὸν ἐπιστημονικόν· ὁμοίως δὲ καὶ χρηματισμοὺς τρεῖς προηγουμένους, τόν τε ἀπὸ τῆς βασιλεία ς , καθ’ ὃν ἢ αὐτὸς βασιλεύσει ἢ μοναρχικῶν χρημάτων εὐπορήσει· δεύτερον δὲ τὸν ἀπὸ τῆς πολιτεία ς , πολιτεύσεσθαι γὰρ κατὰ τὸν προηγούμενον λόγον· καὶ γὰρ γαμήσειν καὶ παιδοποιήσεσθαι, ἀκολουθεῖν 〈γὰρ〉 ταῦτα τῇ τοῦ λογικοῦ ζῴου καὶ κοινωνικοῦ καὶ φιλαλλήλου 〈φύσει〉 . Χρηματιεῖσθαι οὖν καὶ ἀπὸ τῆς πολιτείας καὶ ἀπὸ τῶν φίλων, τῶν ἐν ὑπεροχαῖς ὄντων. Περὶ δὲ τοῦ σοφιστεύσειν καὶ ἀπὸ σοφιστείας εὐπορήσειν χρημάτων διέστησαν οἱ ἀπὸ τῆς αἱρέσεως κατὰ τὸ σημαινόμενον. Τὸ μὲν γὰρ χρηματιεῖσθαι ἀπὸ τῶν κατὰ τὴν παιδείαν καὶ μισθούς ποτε λήψεσθαι παρὰ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φιλομαθούντων διωμολογήσαντο· περὶ δὲ τὸ σημαινόμενον ἐγένετό τις ἐν αὐτοῖς ἀμφισβήτησις, τῶν μὲν αὐτὸ τοῦτο λεγόντων σοφιστεύειν, τὸ ἐπὶ μισθῷ μεταδιδόναι τῶν τῆς φιλοσοφίας δογμάτων, τῶν δ' ὑποτοπησάντων ἐν τῷ σοφιστεύειν περιέχεσθαί τι φαῦλον, οἱονεὶ λόγους καπηλεύειν, οὐ φαμένων δεῖν ἀπὸ παιδείας παρὰ τῶν ἐπιτυχόντων χρηματίζεσθαι, καταδεέστερον γὰρ εἶναι τὸν τρόπον τοῦτον τοῦ χρηματισμοῦ τοῦ τῆς φιλοσοφίας ἀξιώματος. Φασὶ δέ ποτε καὶ τὴν ἐξαγωγὴν τὴν ἐκ τοῦ βίου τοῖς σπουδαίοις καθηκόντως 〈γίγνεσθαι〉 κατὰ πολλοὺς τρόπους, τοῖς 〈δὲ〉 φαύλοις μονὴν 〈τὴν〉 ἐν τῷ ζῆν καὶ οἳ μὴ μέλλοιεν ἔσεσθαι σοφοί· οὔτε γὰρ τὴν ἀρετὴν κατέχειν ἐν τῷ ζῆν οὔτε τὴν κακίαν ἐκβάλλειν· τοῖς δὲ καθήκουσι καὶ τοῖς παρὰ τὸ καθῆκον 〈παρα〉 μετρεῖσθαι τήν τε ζωὴν καὶ τὸν θάνατον. Λέγουσι δὲ καὶ τὸν σοφὸν ἀνύβριστον εἶναι· οὔθ' ὑβρίζεσθαι γὰρ οὔθ' ὑβρίζειν διὰ τὸ τὴν ὕβριν ἀδικίαν εἶναι καταισχύνουσαν καὶ βλάβην· μήτε δὲ ἀδικεῖσθαι μήτε βλάπτεσθαι τὸν σπουδαῖον (ἀδικητικῶς μέντοι γέ τινας αὐτῷ προσφέρεσθαι καὶ ὑβριστικῶς) καὶ κατὰ τοῦτο δικαιοπραγεῖν. Πρὸς τούτῳ μηδὲ 〈τὴ〉 ν τυχοῦσαν ἀδικίαν εἶναι τὴν ὕβριν, ἀλλὰ καταισχύνουσαν καὶ ὑβριστικὴν οὖσαν. Ἀπερίπτωτον δ' ὑπάρχειν τὸν νοῦν ἔχοντα τούἀγαθὸν καὶ τὴν θείαν ἀρετήν, δι' ὃ καὶ πάσης ἀπηλλάχθαι κακίας καὶ βλάβης. Καὶ βασιλεύσειν τέ ποτε τὸν νοῦν 〈ἔχοντα〉 καὶ βασιλεῖ συμβιώσεσθαι καὶ εὐφυΐαν ἐμφαίνοντι καὶ φιλομάθειαν. Ἔφαμεν (p. 94, 8—11 et 15) δ' ὅτι καὶ πολιτεύεσθαι κατὰ τὸν προηγούμενον λόγον οἷόν ἐστι, μὴ πολιτεύεσθαι δὲ ἐάν τι 〈κωλύῃ〉 καὶ μάλιστ' ἂν μηδὲν ὠφελεῖν μέλλῃ τὴν πατρίδα, κινδύνους δὲ παρακολουθεῖν ὑπολαμβάνῃ μεγάλους καὶ χαλεποὺς ἐκ τῆς πολιτείας. Λέγεσθαι δὲ μὴ ψεύδεσθαι τὸν σοφό ν , ἀλλ' ἐν πᾶσιν ἀληθεύειν· οὐ γὰρ ἐν τῷ λέγειν τι ψεῦδος τὸ ψεύδεσθαι ὑπάρχειν, ἀλλ' ἐν τῷ διαψευστῶς τὸ ψεῦδος λέγειν καὶ ἐπὶ ἀπάτῃ τῶν πλησίον. Τῷ μέντοι ψεύδει ποτὲ συγχρήσεσθαι νομίζουσιν αὐτὸν κατὰ πολλοὺς τρόπους ἄνευ συγκαταθέσεως· καὶ γὰρ κατὰ στρατηγίαν 〈κατὰ〉 τῶν ἀντιπάλων καὶ κατὰ τὴν τοῦ συμφέροντος προόρασιν καὶ κατ' ἄλλας οἰκονομίας τοῦ βίου πολλάς. Ψεῦδος δ ' ὑπολαμβάνειν οὐδέποτέ φασι τὸν σοφόν, οὐδὲ τὸ παράπαν ἀκαταλήπτῳ τινὶ συγκατατίθεσθαι, διὰ τὸ μηδὲ δοξάζειν αὐτόν, μηδ' ἀγνοεῖν μηδέν. Τὴν γὰρ ἄγνοιαν μεταπτωτικὴν εἶναι συγκατάθεσιν καὶ ἀσθενῆ. Μηδὲν δ' ὑπολαμβάνειν ἀσθενῶς, ἀλλὰ μᾶλλον ἀσφαλῶς καὶ βεβαίως, διὸ καὶ μηδὲ δοξάζειν τὸν σοφόν. Διττὰς γὰρ εἶναι δόξας, τὴν μὲν ἀκαταλήπτῳ συγκατάθεσιν, τὴν δὲ ὑπόληψιν ἀσθενῆ· ταύτας 〈δ'〉 ἀλλοτρίους εἶναι τῆς τοῦ σοφοῦ διαθέσεως· δι' ὃ καὶ τὸ προπίπτειν πρὸ καταλήψεως 〈καὶ〉 συγκατατίθεσθαι κατὰ τὸν προπετῆ φαῦλον εἶναι καὶ μὴ πίπτειν εἰς τὸν εὐφυῆ καὶ τέλειον ἄνδρα καὶ σπουδαῖον. Οὐδὲ λανθάνειν δὲ αὐτόν τι, τὴν γὰρ λῆσιν εἶναι ψεύδους ὑπόληψιν ἀποφαντικὴν πράγματος. Τούτοις δ' ἀκολούθως οὐκ ἀπιστεῖ ν , τὴν γὰρ ἀπιστίαν εἶναι ψεύδους ὑπόληψιν· τὴν δὲ πίστιν ἀστεῖον ὑπάρχειν, εἶναι γὰρ κατάληψιν ἰσχυράν, βεβαιοῦσαν τὸ ὑπολαμβανόμενον· Ὁμοίως δὲ καὶ τὴν ἐπιστήμην ἀμετάπτωτον ὑπὸ λόγου· διὰ ταῦτά φασι μήτε ἐπίστασθαί τι τὸν φαῦλον μήτε πιστεύειν. Ἐχομένως δὲ τούτων οὔτε πλεονεκτεῖσθαι τὸν σοφὸν οὔτε βουκολεῖσθαι οὔτε διαιτᾶσθαι οὔτε παραριθμεῖν οὔτε ὑφ' ἑτέρου παραριθμεῖσθαι· ταῦτα γὰρ πάντα τὴν ἀπάτην περιέχειν καὶ τοῖς κατὰ τὸν τόπον ψεύδεσι πρόσθεσιν. Οὐδένα δὲ τῶν ἀστείων οὔθ' ὁδοῦ διαμαρτάνειν οὔτ' οἰκίας οὔτε σκοποῦ· ἀλλ' οὐδὲ γὰρ τὴν ὑπόνοιαν ἀκαταλήπτῳ εἶναι τῷ γένει συγκατάθεσιν· οὐδὲ μετανοεῖν δ' ὑπολαμβάνουσι τὸν νοῦν ἔχοντα, καὶ γὰρ τὴν μετάνοιαν ἔχεσθαι ψευδοῦς συγκαταθέσεως, 〈ὡσ〉 ἂν προδιαπεπτωκότος. Οὐδὲ μεταβάλλεσθαι δὲ κατ' οὐδένα τρόπον, οὐδὲ μετατίθεσθαι, οὐδὲ σφάλλεσθαι· ταῦτα γὰρ εἶναι πάντα τῶν τοῖς δόγμασι μεταπιπτόντων, ὅπερ ἀλλότριον εἶναι τοῦ νοῦν ἔχοντος· οὐδὲ δοκεῖν αὐτῷ τι φασὶ παραπλησίως τοῖς εἰρημένοις. Γίνεσθαι δὲ καὶ διαλεληθότα τινὰ σοφὸν νομίζουσι κατὰ τοὺς πρώτους χρόνους οὔτε ὀρεγόμενόν τινος οὔτε νομίζειν βουλόμενον ἔν τινι τῶν ἐν τῷ βούλεσθαι εἰδικῶν ὄντων,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τὸ μὴ κρίνοντι αὐτῷ παρεῖναι ὧν χρή. Οὐ μόνον δ’ ἐπὶ τῆς φρονήσεως ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν τὰς τοιαύτας ἔσεσθαι διαλήψεις. [Ἐκ] πάντων τε τῶν ἁμαρτημάτων ἴσων ὄντων καὶ τῶν κατορθωμάτων, καὶ τοὺς ἄφρονας ἐπίσης πάντας ἄφρονας εἶναι, τὴν αὐτὴν καὶ ἴσην ἔχοντας διάθεσιν. Ἴσων δὲ ὄντων τῶν ἁμαρτημάτων, εἶναί τινας ἐν αὐτοῖς διαφορά ς , καθ’ ὅσον τὰ μὲν αὐτῶν ἀπὸ σκληρᾶς καὶ δυσιάτου διαθέσεως γίνεται, τὰ δ’ οὔ. Καὶ τῶν σπουδαίων δὲ ἄλλους ἄλλων προτρεπτικωτέρους γίγνεσθαι καὶ πειστικωτέρου ς , ἔτι δὲ καὶ ἀγχινουστέρους κατὰ τὰ μέσα τὰ ἐμπεριλαμβανόμενα τῶν ἐπιτάσεων συμβαινουσῶν. Εὐτεκνεῖν δὲ μόνον τὸν ἀστεῖον, οὔ τι μὴν πάντα ἀστεῖα τέκνα ἔχοντα, δεῖν γὰρ τὸν εὐτεκνοῦντα χρήσασθαι αὐτοῖς ὡς τοιούτοις. Εὐγηρεῖν τε μόνον καὶ εὐθανατεῖν τὸν σπουδαῖον· εὐγηρεῖν γὰρ εἶναι τὸ μετὰ ποιοῦ γήρως διεξάγειν κατ’ ἀρετήν, εὐθανατεῖν δὲ τὸ μετὰ ποιοῦ θανάτου κατ’ ἀρετὴν τελευτᾶν. Καὶ τά τε ὑγιεινὰ καὶ νοσερὰ πρὸς ἄνθρωπον λέγεσθαι καὶ ὡς τρόφιμ α , καὶ τὰ λυτικὰ καὶ στατικὰ καὶ τὰ τούτοις παραπλήσια. Ὑγιεινὰ μὲν γὰρ εἶναι τὰ εὐφυῶς ἔχοντα πρὸς τὸ περιποιεῖν ὑγίειαν ἢ συνέχειν· νοσερὰ δὲ τὰ ἐναντίως ἔχοντα τούτοις. Παραπλήσιον δ’ εἶναι καὶ τὸν ἐπὶ τῶν ἄλλων λόγον. Καὶ μαντικὸν δὲ μόνον εἶναι τὸν σπουδαῖο ν , ὡς ἂν ἐπιστήμην ἔχοντα διαγνωστικὴν σημείων τῶν ἐκ θεῶν ἢ δαιμόνων πρὸς ἀνθρώπινον βίον τεινόντων. Δι’ ὃ καὶ τὰ εἴδη τῆς μαντικῆς εἶναι περὶ αὐτόν, τό τε ὀνειροκριτικὸν καὶ τὸ οἰωνοσκοπικὸν καὶ θυτικὸν καὶ εἴ τινα ἄλλα τούτοις ἐστὶ παραπλήσια. Αὐστηρόν τε λέγεσθαι τὸν σπουδαῖον καθ’ ὅσον οὔτε προσφέρει τινὶ οὔτε προσίεται τὸν πρὸς χάριν λόγον. Κυνιεῖν τε τὸν σοφὸν λέγουσιν, Ἶσον 〈ὂν〉 τῷ ἐπιμένειν τῷ κυνισμῷ, οὐ μὴν σοφὸν ὄντα ἐνάρξεσθαι τοῦ κυνισμοῦ. Τὸν δὲ ἔρωτά φασιν ἐπιβολὴν εἶναι φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον νέων ὡραίων· δι’ ὃ καὶ ἐρωτικὸν εἶναι τὸν σοφὸν καὶ ἐρασθήσεσθαι τῶν ἀξιεράστων, εὐγενῶν ὄντων καὶ εὐφυῶν. Λέγουσι δὲ μήτε παρὰ τὴν ὄρεξιν μήτε παρὰ τὴν ὁρμὴν μήτε παρὰ τὴν ἐπιβολὴν γίνεσθαί τι περὶ τὸν σπουδαῖο ν , διὰ τὸ με θ ’ ὑπεξαιρέσεως πάντα ποιεῖν τὰ τοιαῦτα καὶ μηδὲν αὐτῷ τῶν ἐναντιουμένων ἀπρόληπτον προσπίπτειν. Εἶναι δὲ καὶ πρᾶο ν , τῆς πραότητος οὔσης ἕξεως καθ’ ἣν πράως ἔχουσι πρὸς τὸ ποιεῖν τὰ ἐπιβάλλοντα ἐν πᾶσι καὶ μὴ ἐκφέρεσθαι εἰς ὀργὴν ἐν μηδενί. Καὶ ἡσύχιον δὲ καὶ κόσμιον εἶναι, τῆς κοσμιότητος οὔσης ἐπιστήμης κινήσεων πρεπουσῶν, ἡσυχιότητος δὲ εὐταξίας περὶ τὰς κατὰ φύσιν κινήσεις καὶ μονὰς ψυχῆς καὶ σώματος, τῶν ἐναντίων τούτοις ἐπὶ πάντων φαύλων γιγνομένων. Ἀδιάβολον δ’ εἶναι πάντα τὸν καλὸν κἀγαθό ν , ἀπαράδεκτον ὄντα διαβολῆς, ὅθεν καὶ ἀδιάβολον εἶναι κατά τε τοῦτον τὸν τρόπον καὶ τῷ μὴ διαβάλλειν ἕτερον. Εἶναι δὲ τὴν διαβολὴν διάστασιν φαινομένων φίλων ψευδεῖ λόγῳ· τοῦτο δὲ μὴ γίνεσθαι περὶ τοὺς ἀγαθοὺς ἄνδρας, μόνους δὲ τοὺς φαύλους καὶ διαβάλλεσθαι καὶ διαβάλλειν, δι’ ὃ καὶ τοὺς μὲν κατ’ ἀλήθειαν φίλους μήτε διαβάλλειν μήτε διαβάλλεσθαι, τοὺς δὲ δοκοῦντας καὶ οὔσης. Ἐπὶ γὰρ τοῦ ἀναβάλλεσθαι τὸν Ἡσίοδον ταῦτ’ εἰρηκέναι (Op. et Di. 408)· Μήδ’ ἀναβάλλεσθαι ἔς τ’ αὔριον ἔς τ’ ἔννηφι· καὶ (ibid. 411), Αἰεὶ δ’ ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει· τῆς [δ’] ἀναβολῆς ἔκπτωσίν τινα τῶν προσηκόντων ἔργων ἐμποιούσης. Ταῦτα μὲν ἐπὶ τοσοῦτον. Περὶ γὰρ πάντων τῶν παραδόξων δογμάτων ἐν πολλοῖς μὲν καὶ ἄλλοις ὁ Χρύσιππος διελέχθη· καὶ γὰρ ἐν τῷ Περὶ δογμάτων καὶ ἐν τῇ Ὑπογραφῇ τοῦ λόγου καὶ ἐν ἄλλοις πολλοῖς τῶν κατὰ μέρος συγγραμμάτων. Ἐγὼ δ’ ὁπόσα προὐθέμην ἐπελθεῖν ἐν κεφαλαίοις τῶν ἠθικῶν δογμάτων 〈τῶν〉 κατὰ τὴν τῶν Στωικῶν φιλοσόφων αἵρεσιν διεληλυθὼς ἱκανῶς ἤδη τοῦτον τὸν ὑπομνηματισμὸν αὐτόθι καταπαύσω. Ἀριστοτέλους καὶ τῶν λοιπῶν Περιπατητικῶν περὶ τῶν ἠθικῶ ν . Τὸ μὲν οὖν ἦθος τοὔνομα λαβεῖν φησιν ἀπὸ τοῦ τούτων τὰς τελειότητας περιποιεῖσθαι τοῖς ἔθεσι καὶ ταῖς ὀρθαῖς ἀγωγαῖς· δι’ ὃ καὶ τὴν ἠθικὴν ἐθικὴν εἶναι καὶ περὶ μόνα τὰ ζῷα γίνεσθαι καὶ μάλιστα περὶ ἄνθρωπον. Τὰ μὲν γὰρ λοιπὰ ἐθισθέντα οὐ λόγῳ ἀλλὰ τῇ ἀνάγκῃ γίνεσθαι ποιὰ ἄττα, τὸν δ’ ἄνθρωπον τῷ λόγῳ πλαττόμενον ἐκ τοῦ ἐθισμο ῦ , 〈τοῦ ἀλόγου〉 μέρους τῆς ψυχῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διακειμένου κατὰ τὸν λόγον. Ἄλογον δὲ λέγεσθαι ψυχῆς μέρος οὐ τὸ καθάπαξ ἄλογον, ἀλλὰ τὸ οἷόν τε πείθεσθαι λόγῳ, ὁποῖόν ἐστι τὸ παθητικόν, τοῦτο 〈δὲ〉 καὶ τῆς ἀρετῆς δεκτικόν. Τῆς γὰρ ψυχῆς τὸ μὲν εἶναι λογικό ν , τὸ δ' ἄλογον · λογικὸν μὲν τὸ κριτικόν, ἄλογον δὲ τὸ ὁρμητικόν. Τοῦ δὲ λογικοῦ τὸ μὲν περὶ τὰ ἀίδια καὶ τὰ θεῖα θεωρητικὸν ἐπιστημονικὸν καλεῖσθαι· τὸ δὲ περὶ τὰ ἀνθρώπινα καὶ τὰ 〈φθαρτὰ〉 πρακτικὸν βουλευτικό ν . Καὶ τοῦ ἀλόγου τὸ μὲν ὀρεκτικὸν τῶν ἐφ' ἡμῖν ἐπιθυμητικόν · τὸ δὲ πρὸς τοὺς πλησίον οἷον ἀμυντικὸν θυεῖναι μὲν ἐπιστήμην, προαιρετικὴν δὲ τῶν καλῶν ὑπάρχειν 〈ἕξιν〉 . Ἐκ τριῶν δὲ συμβεβηκέναι τὴν ἀρετὴν τελειοῦσθαι, φύσεω ς , ἔθου ς , λόγο υ . Τὸν γὰρ ἄνθρωπον διαφέροντα κατά τε σῶμα καὶ ψυχὴν τῶν ἄλλων ζῴων διὰ τὸ μεταξὺ τῶν ἀθανάτων ὄντα καὶ τῶν θνητῶν κοινωνίαν ἐξῆφθαι πρὸς ἄμφω, πρὸς μὲν τὰ λογικὰ τῷ κατὰ τὴν ψυχὴν θείῳ, πρὸς δὲ τὰ ἄλογα τῷ κατὰ τὸ σῶμα θνητῷ, κατὰ λόγον ἀμφοῖν τῆς τελειότητος ἐφίεσθαι. Καὶ πρῶτον μὲν ὀρέγεσθαι τοῦ εἶναι, φύσει γὰρ ᾠκειῶσθαι πρὸς ἑαυτόν, δι' ὃ καὶ προσηκόντως ἀσμενίζειν μὲν ἐν τοῖς κατὰ φύσι ν , δυσχεραίνειν δὲ ἐπὶ τοῖς παρὰ φύσι ν . Τήν τε γὰρ ὑγίειαν περιποιεῖσθαι σπουδάζειν καὶ τῆς ἡδονῆς ἔφεσιν ἔχειν καὶ τοῦ ζῆν ἀντιποιεῖσθαι τῷ ταῦτα μὲν εἶναι κατὰ φύσιν καὶ 〈δι'〉 αὔθ' αἱρετὰ καὶ ἀγαθά. Κατὰ δὲ τἀναντία τὴν νόσον καὶ τὴν ἀλγηδόνα καὶ τὴν φθορὰν διακρούεσθαι καὶ παρακλίνειν τῷ παρὰ φύσιν τὴν πρόνοιαν τῆς σωτηρίας τὴν ἀρχὴν γίγνεσθαι τῆς ὁρμῆς καὶ τοῦ καθήκοντος καὶ τῆς ἀρετῆς. Εἰ μὲν γὰρ περὶ τὰς τῶν εἰρημένων αἱρέσεις καὶ φυγὰς μηδεμία συνέβαινε πλάνη καθάπαξ, ἀλλὰ τῶν μὲν ἀγαθῶν ἐπήβολοι, τῶν δὲ κακῶν ἄμοιροι διετελοῦμεν ὄντες, οὐδέποτ' ἂν τὴν ὀρθὴν καὶ ἄπταιστον ἐν τούτοις ἐπεζητήσαμεν ἐκλογήν. Ἐπεὶ δὲ πολλάκις δι' ἄγνοιαν περὶ τὰς αἱρέσεις καὶ φυγὰς ἠπατώμεθα καὶ τὰ μὲν ἀγαθὰ παρεπέμπομεν, τοῖς κακοῖς δ' ὡς ἀγαθοῖς ἐνετυγχάνομεν, ἀναγκαίως τὴν τῆς ἐπικρίσεως βέβαιον εἴδησιν ἐπεζητήσαμεν, ἣν καὶ συνῳδὸν εὑρόμενοι τῇ φύσει διὰ τὸ τῆς ἐνεργείας μεγαλοπρεπὲς ἀρετὴν προσηγορεύσαμεν καὶ δαιμονίως θαυμάσαντες ἐτιμήσαμεν πρὸ τῶν ἄλλων ἁπάντων. Τὰς γὰρ πράξεις ἀπό τε τῆς τῶν κατὰ φύσιν ἐκλογῆς καὶ τῆς ἀπεκλογῆς τῶν παρὰ φύσιν τὰς ἀρχὰς ἔχειν συμβέβηκε καὶ τὰ λεγόμενα καθήκοντα · δι' ὃ καὶ τάς τε κατορθώσεις καὶ τὰς ἁμαρτίας ἐν τούτοις καὶ περὶ ταῦτα γίνεσθαι. Σχεδὸν γὰρ τὴν ὅλην τῆς αἱρέσεως ὑπογραφὴν ἀπὸ τούτων ὡρμῆσθαι, καθάπερ ἐπιδείξω διὰ βραχυτάτων. Ὅτι γὰρ οὐ μόνον αἱρετὰ τὰ τέκνα τοῖς γειναμένοις ἐστὶ διὰ τὰς χρείας, ἀλλὰ καὶ δι' ἑαυτά, γνώριμον ἐκ τῆς θήκας τελευτᾶν μέλλοντας τίθεσθαι καὶ τῶν ἔτι κυοφορουμένων φροντίζειν, ἐπιτρόπους ἀπολείποντας καὶ κηδεμόνας καὶ τοῖς φιλτάτοις παρατιθεμένους καὶ παρακαλοῦντας ἐπικουρεῖν αὐτοῖς καί τινας μὴν ἀποθνῄσκουσι τοῖς τέκνοις συναποθνῄσκειν. Τῶν δὲ τέκνων οὕτως ἀγαπωμένων κατὰ τὸ 〈δι'〉 αὔθ' αἱρετόν, ἀναγκαῖον καὶ τοὺς γονεῖς καὶ τοὺς ἀδελφοὺς καὶ τὴν τοῦ λέχους κοινωνὸν καὶ τοὺς συγγενεῖς καὶ τοὺς ἄλλους οἰκείους καὶ πολίτας ὡς δι' αὐτοὺς φιλίας τυγχάνειν· ἔχειν γὰρ ἐκ φύσεως ἡμᾶς καὶ πρὸς τούτους τινὰς οἰκειότητας· φιλάλληλον γὰρ εἶναι καὶ κοινωνικὸν ζῷον τὸν ἄνθρωπον. Εἰ δὲ τῶν φιλιῶν τὰς μὲν εἶναι πόρρω συμβέβηκε, τὰς δὲ προσεχεῖς ἡμῖν, οὐδὲν πρὸς ἔπος· πᾶσαν γὰρ δι' αὐτὴν αἱρετὴν ὑπάρχειν καὶ μὴ μόνον διὰ 〈τὰσ〉 χρείας. Εἰ δ' ἡ πρὸς τοὺς πολίτας φιλία δι' αὐτὴν αἱρετή, ἀναγκαῖον εἶναι καὶ τὴν πρὸς ὁμοεθνεῖς καὶ ὁμοφύλους, ὥστε καὶ ὑπὸ θηρίου καταδυναστευόμενον, εἰ δύναιτο; τίνα δ' οὐκ ἂν ὁδὸν πλανωμένῳ μηνύσειν; τίνα δ' οὐκ 〈ἂν〉 ἐπαρκέσειν ὑπ' ἐνδείας ἀπολλυμένῳ; τίνα δ' οὐκ ἂν ἐπ' ἐρημίας ἀνύδρου νάματι περιτυχόντα γνωρίσμασι διαδηλώσειν τοῖς τὴν αὐτὴν ὁδὸν βαδίζουσι; τίνα δ' οὐ τῆς μετὰ τὸν βίον εὐφημίας πολὺν ποιεῖσθαι λόγον; τίνα δ' οὐκ ἀποστυγεῖν τὰς τοιαύτας φωνάς, ὡς παρὰ τὴν ἀνθρωπίνην οὔσας φύσιν, „Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί (fr. trag. adesp. n. 430, 1 N.)“ „Οὐδὲν μέλει μοι, τἀμὰ γὰρ καλῶς ἔχει (fr. trag. adesp. n. 430, 2 N.).“ Φανερὸν οὖν ὅτι πρὸς πάντας ἐστὶν ἡμῖν εὔνοια φυσικὴ καὶ φιλία, τὸ δι' αὔθ' αἱρετὸν

ἐμφαίνουσα καὶ τὸ κατὰ λόγον· „ἓν“ γὰρ „ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι (Pindar. Nem. VI 1, 1. 2)“, τῆς φύσεως. Ἐπεὶ δὲ κοινή τις ἡμῖν ὑπάρχει φιλανθρωπία, πολὺ μᾶλλον πρὸς τοὺς ἐν συνηθείᾳ φίλους τὸ δι’ αὕθ’ αἱρετὸν φανερώτερον· εἰ δ’ ὁ φίλος δι’ αὐτὸν αἱρετός, καὶ ἡ φιλία καὶ ἡ εὔνοια καὶ ἡ παρὰ πάντων τῶν τοῦ βίου κοινωνούντων καὶ 〈ἡ〉 παρὰ τῶν πλείστων ἀνθρώπων· ὥστε καὶ τὸν ἔπαινον εἶναι δι’ αὐτὸν αἱρετόν, οἰκειοῦσθαι γὰρ ἡμᾶς πρὸς τοὺς ἐπαινοῦντας. Εἰ δ’ ὁ ἔπαινος δι’ ἑαυτὸν αἱρετός, καὶ ἡ εὐδοξία · καὶ γὰρ οὐδὲν ἕτερον τὴν εὐδοξίαν κατὰ τὴν ὑπογραφὴν παρειλήφαμεν, εἰ μὴ τὸν παρὰ τῶν πολλῶν ἔπαινον. Ὥστε ταύτῃ μὲν τὰ γινόμενα τῶν ἀγαθῶν ἔξωθεν ὅτι δι’ αὕθ’ αἱρετὰ πέφυκεν ἐπιδεδεῖχθαι σαφῶς· πῶς οὖν οὐ πολὺ μᾶλλον τὰ περὶ ἡμᾶς καὶ ἐν ἡμῖ ν ; λέγω δὴ τὰ περὶ σῶμά τε καὶ ψυχήν. Εἰ γὰρ ὁ ἄνθρωπος δι’ αὐτὸν αἱρετός, καὶ τὰ μέρη τοῦ ἀνθρώπου δι’ αὐτὰ ἂν εἴη αἱρετά. Μέρη δ’ ἐστὶν ἀνθρώπου ὁλοσχερέστατα σῶμα καὶ ψυχ ή . Ὥστε καὶ τὸ σῶμα δι’ αὐτὸ ἂν αἱρετὸν εἴη. Πῶς γὰρ τὸ μὲν τοῦ πλησίον σῶμα δι’ αὐτὸ αἱρετόν ἐστιν ἡμῖν, τὸ δ’ ἡμέτερον οὐκέτι; Ἢ πῶς ὁ μὲν πλησίον ἄνθρωπος δι’ αὐτόν ἐστιν αἱρετός, οὐχὶ δὲ καὶ ἕκαστος ἡμῶν αὑτῷ δι’ αὐτὸν αἱρετός; Ἢ πῶς τοῦτο μέν, οὐχὶ δὲ καὶ τὰ μέρη τὰ τοῦ σώματος καὶ αἱ τῶν μερῶν ἀρεταὶ καὶ αἱ τοῦ ὅλου σώματος ἂν εἶεν αἱρεταί; Ὥστε δι’ αὐτὰ αἱρετὰ ἡμῖν εἶναι τὴν ὑγίεια ν , τὴν ἰσχύ ν , τὸ κάλλο ς , τὴν ποδώκεια ν , τὸ εἶδος, κἂν εἰ μηδεμία μέλλοι δυσχρηστία τὸ παράπαν ἐπακολουθεῖν διὰ τὴν τοιαύτην εἰδέχθειαν. Ὥστε καὶ δίχα τῆς δυσχρηστίας εὔλογον φυγὴν φαίνεσθαι τοῦ αἴσχους. Εἰ δὲ δι’ αὐτὸ φευκτόν ἐστι τὸ αἶσχος, καὶ τὸ κάλλος οὐ μόνον διὰ τὴν χρείαν αἱρετὸν ἀλλὰ καὶ δι’ αὐτό· ὅτι γὰρ ἐξ αὐτοῦ προσκλητικόν 〈τι〉 ἔχει τὸ κάλλος, ἐμφανές· πάντας γοῦν φυσικῶς οἰκειοῦσθαι τοῖς καλοῖς χωρὶς πάσης χρείας, καὶ γὰρ πρὸς τὸ εὖ ποιεῖν αὐτοὺς καὶ εὐεργετεῖν ἑτοίμως ἔχειν, ὅθεν δὴ καὶ δοκεῖν εὐνοίας εἶναι παρασκευαστικόν· ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον τὸ μὲν κάλλος τῶν δι’ αὐτὰ αἱρετῶν ὑπάρχειν, τὸ δὲ αἶσχος τῶν δι’ αὐτὰ φευκτῶν. Τὸν δ’ αὐτὸν λόγον καὶ ἐπὶ ὑγιείας εἶναι καὶ νόσου καὶ ἰσχύος καὶ ἀσθενείας καὶ ποδωκείας καὶ βραδυτῆτος καὶ αἰσθήσεως καὶ πηρώσεως. Ὥστ’ εἰ καὶ τὰ σωματικὰ τῶν ἀγαθῶν δέδεικται δι’ αὕθ’ αἱρετὰ καὶ τἀναντία τούτων κακὰ δι’ αὐτὰ φευκτά, καὶ τὰ τῆς ψυχῆς ἀναγκαῖον μέρη δι’ αὕθ’ αἱρετὰ ὑπάρχειν καὶ τὰς ἀρετὰς αὐτῶν καὶ 〈τὰσ〉 τῆς ὅλης ψυχῆς. Τὴν γὰρ εἴσοδον ἡ ἀρετὴ λαβοῦσα, καθάπερ ὑπεδείξαμεν (p. 118 sq.), ἀπὸ τῶν σωματικῶν καὶ τῶν ἔξωθεν ἀγαθῶν καὶ πρὸς ἑαυτὴν ἐπιστρέψασα καὶ θεασαμένη, διότι καὶ αὐτὴν τῶν κατὰ φύσιν πολὺ μᾶλλον τῶν τοῦ σώματος ἀρετῶν, ᾠκειώθη πρὸς ἑαυτὴν ὡς πρὸς δι’ αὐτὴν αἱρετὴν καὶ μᾶλλον γε πρὸς ἑαυτὴν ἢ πρὸς τὰς τοῦ σώματος ἀρετάς· Οὐ μὴν ἀλλὰ καὶ ἀπὸ τῶν προεφωδευμένων τοῦτ’ ἄν τις ἐπιλογίσαιτο. Εἰ γὰρ ἡ τοῦ σώματος ὑγίεια αἱρετὴ δι’ αὐτήν, καὶ πολὺ μᾶλλον ἡ τῆς ψυχῆς · 〈ὑγίεια δὲ ψυχῆσ〉 σωφροσύνη τῆς σφοδρότητος ἀπολύουσα τῶν παθῶν ἡμᾶς. Καὶ εἰ ἡ ἰσχὺς ἡ σωματικὴ τῶν ἀγαθῶν ἐστί, πολὺ μᾶλλον ἡ ψυχικὴ δι’ αὐτὴν ἂν εἴη αἱρετὴ καὶ ἀγαθόν· ψυχῆς δέ ἐστιν ἰσχὺς ἀνδρεία καὶ καρτερία, εὐρώστους τὰς ψυχὰς κατασκευάζουσα· διόπερ ἂν εἴη καὶ ἡ ἀνδρεία δι’ αὐτὴν αἱρετὴ καὶ ἡ καρτερία. Κατὰ τὸ ἀνάλογον εἰ τὸ κάλλος τὸ σωματικὸν δι’ αὐτὸ αἱρετόν, καὶ τὸ τῆς ψυχῆς κάλλος εἴη ἂν δι’ αὐτὸ αἱρετόν, κάλλος δὲ ψυχῆς ἐστιν ἡ δικαιοσύνη· „τὸ“ γὰρ „μηθὲν ἀδικεῖν καὶ καλοὺς ἡμᾶς ποιεῖ“ (Menandr. frg. fab. inc. 34 Com. IV p. 244). [Ὅτι τὰ τρία γένη τῶν ἀγαθῶ ν , τὰ περὶ σῶμ α , τὰ περὶ ψυχή ν , τὰ ἐκτό ς , ἀναλογίαν πρὸς ἄλληλα ἔχε ι , καίτοι διαφέροντ α.] Τὸν παραπλήσιον δ’ εἶναι λόγον καὶ ἐπὶ τῶν ἀρετῶν, διὰ τὸ δοκεῖν τὰ τρία γένη τῶν ἀγαθῶν ἐκ πλείστης περιστέλλειν γὰρ τὰ πολλὰ τῶν ἁμαρτημάτων καὶ τοῦτον. Ὅπερ δ’ ἐν τῷ σώματι ἰσχύν, τοῦτ’ ἐν τῇ ψυχῇ [τὴν] ἀνδρείαν, ἐν δὲ τοῖς ἐκτὸς [τὴν] ἀρχήν· ὅπερ δ’ ἐν τῷ σώματι εὐαισθησίαν, τοῦτ’ ἐν 〈τῇ〉 ψυχῇ φρόνησιν, ἐν δὲ τοῖς ἐκτὸς εὐτυχίαν· ὅ τι δ’ ἐν 〈τῷ〉 σώματι κάλλος, τοῦτ’ ἐν 〈τῇ〉 ψυχῇ δικαιοσύνην, ἐν δὲ τοῖς ἐκτὸς [τὴν] φιλίαν· ὥστε τρία γένη τῶν ἀγαθῶν δι’ αὕθ’ αἱρετὰ ὑπάρχειν, τά τε περὶ 〈τὴν〉 ψυχὴν καὶ τὰ περὶ τὸ σῶμα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὰ ἐκτός· καὶ μακρῷ αἱρετώτερα τὰ περὶ ψυχὴν τῶν ἄλλων, ἐπειδὴ καὶ ἡγεμονικώτερον καὶ αἱρετώτερον ψυχὴ σώματος. Δῆλον οὖν ὅτι τῶν τοῦ σώματος ἀρετῶν καὶ τῶν ἐκτὸς αἱ τῆς ψυχῆς ὑπάρχουσιν αἱρετώτεραι, ὑπεροχὴν ὁμοίως φερόμεναι· στοχάζονται 〈δὲ〉 καὶ τῶν ἄλλων πρῶτον μὲν ὡς δι' αὕθ' αἱρετῶν, ἔπειθ' ὡς χρησίμων πρός τε τὸν πολιτικὸν καὶ τὸν κοινωνικὸν βίον καὶ δὴ καὶ πρὸς τὸν θεωρητικό ν . Παραμετρεῖσθαι γὰρ τὸν βίον ταῖς πολιτικαῖς καὶ ταῖς κοινωνικαῖς πράξεσι καὶ ταῖς θεωρητικαῖς. Οὐ γὰρ φίλαυτον εἶναι τὴν ἀρετὴν κατὰ τὴν αἵρεσιν ταύτην, ἀλλὰ κοινωνικὴν καὶ πολιτικήν· ἐπειδὴ 23—26) τὴν ἀρετήν, δῆλον ὡς καὶ πρὸς τὴν τῆς ἀληθείας ἐπιστήμην ἀναγκαίως ᾠκείωται φυσικῶς αὐτή. Τούτοις δ' ἀκολούθως καὶ τὰς μονὰς τὰς ἐν τῷ ζῆν παραμετρεῖσθαι ταῖς κοινωνικαῖς καὶ πολιτικαῖς καὶ θεωρητικαῖς πράξεσι καὶ τὰς ἀφόδους ἐκ τῶν ἐναντίων· ὥστε κακῶς τοῖς σοφοῖς εὔλογον ἐξαγωγὴν ἐκ τοῦ ζῆν θεωρεῖσθαι καὶ τοῖς φαύλοις εὔλογον ἐν τῷ ζῆν μονήν· τοῖς γὰρ ἐκτελεῖν δυναμένοις τὰς κοινωνικὰς καὶ πολιτικὰς πράξεις καὶ θεωρητικὰς καὶ τῶν σπουδαίων καὶ τῶν φαύλων εὔλογον ἐν τῷ ζῆν εἶναι μονήν, τοῖς δὲ μὴ δυναμένοις εὔλογον ἐκ τοῦ ζῆν ἀπαλλαγήν. Ἐπεὶ δὴ μεγάλη τῆς ἀρετῆς ἐστιν ὑπεροχὴ κατά τε τὸ ποιητικὸν καὶ κατὰ τὸ δι' αὕθ' αἱρετὸν παρὰ τὰ σωματικὰ καὶ τὰ ἔξωθεν ἀγαθά, κατὰ τὸν λόγον οὐκ εἶναι συμπλήρωμα τὸ τέλος ἐκ τῶν σωματικῶν καὶ ἐκ τῶν ἔξωθεν ἀγαθῶν οὐδὲ τὸ τυγχάνειν ἁπάντων, ἀλλὰ μᾶλλον τὸ κατ' ἀρετὴν ζῆν ἐν τοῖς περὶ σῶμα καὶ τοῖς ἔξωθεν ἀγαθοῖς ἢ πᾶσιν ἢ τοῖς πλείστοις καὶ κυριωτάτοις. Ὅθεν ἐνέργειαν εἶναι τὴν εὐδαιμονίαν κατ' ἀρετὴν ἐν πράξεσι χορηγουμέναις κατ' εὐχήν· τὰ δὲ περὶ σῶμα καὶ τὰ ἔξωθεν ἀγαθὰ ποιητικὰ λέγεσθαι τῆς εὐδαιμονίας τῷ συμβάλλεσθαί τι παρόντα· τοὺς δὲ νομίζοντας αὐτὰ συμπληροῦν τὴν εὐδαιμονίαν ἀγνοεῖν, ὅτι ἡ μὲν εὐδαιμονία εἶναι καθ' ἑαυτὸ οὔθ' ὅλως ἐνέργειαν. Τούτων δὴ τοῦτον τὸν λόγον ἐχόντων ἥ τε εὐεργεσία συστήσεται καὶ ἡ χάρις καὶ ἡ εὐχαριστία καὶ φιλανθρωπία καὶ φιλοτεκνία καὶ φιλαδελφία καὶ πρὸς ταύταις τό τε φιλόπατρι καὶ φιλόπατορ καὶ φιλοίκειον καὶ κατὰ τὸ προσῆκον ἥ τ' εὐκοινωνησία καὶ ἡ εὔνοια καὶ ἡ φιλία καὶ ἡ ἰσότης καὶ ἡ δικαιοσύνη καὶ πᾶς ὁ τῶν ἀρετῶν θεῖος χορός, οὗ τοὺς κατολιγωρήσαντας ἁμαρτάνειν φανερῶς περί τε τὰς αἱρέσεις τῶν ἀγαθῶν καὶ τὰς φυγὰς τῶν κακῶν καὶ περὶ τὴν κτῆσιν καὶ περὶ τὴν χρῆσιν τῶν ἀγαθῶν, ὁμολογουμένως τε διασφάλλεσθαι περὶ μὲν τὴν αἵρεσιν παρὰ τὴν κρίσιν, περὶ δὲ τὴν κτῆσιν παρὰ τὸν τρόπον, περὶ δὲ τὴν χρῆσιν παρὰ τὴν ἀμαθίαν. Περὶ μὲν οὖν τὴν αἵρεσιν ἁμαρτάνειν, ὅταν τὸ μηδ' ὅλως ὂν ἀγαθὸν αἱρῶνται, ἢ τὸ ἧττον σφοδρότερον ἢ δεῖ. τοῦτο δὲ περὶ τοὺς πλείστους ὑπάρχειν τὸ μὲν ἡδὺ τοῦ συμφέροντος, τὸ δὲ συμφέρον τοῦ καλοῦ προκρίνοντας καὶ ταῖς ὁρμαῖς ἀμέτρως προεκφοιτῶντας. Περὶ δὲ τὴν κτῆσι ν , ὅταν μήτε ὅθεν μήθ' ὅπως μήτε ἐφ' ὅσον χρὴ περιποιεῖσθαι ταῦτα προδιαλάβωσι. Περὶ δὲ τὴν χρῆσι ν , ἐπεὶ πᾶσα χρῆσις ἢ πρὸς αὐτὴν ἔχει τὴν ἀναφορὰν ἢ πρὸς ἕτερον, ἐν μὲν 〈τῇ〉 πρὸς ἑαυτήν, ὅταν μὴ προσφέρωνται τοῖς πράγμασι συμμέτρως· ἐν δὲ τῇ πρὸς ἕτερον, ὅταν τὸ κατ' ἀξίαν μὴ φυλάττωσι τοῦ πρέποντος. Εἰ πάντως κατορθοῦσιν οἱ σπουδαῖοι, καθηγεμόνα τῶν πράξεων ἔχοντες τὴν ἀρετήν. Πάσαις γοῦν ὡς ἔοικε ταῖς ἀρεταῖς κοινὸν ὑπάρχειν τό τε κρίνειν καὶ τὸ προαιρεῖσθαι καὶ 〈τὸ〉 πράττειν. Οὔτε γὰρ ἄκριτον οὔτ' ἀπροαίρετον οὔτ' ἄπρακτον εἶναι τὴν ἀρετήν, ἀλλὰ τὴν μὲν φρόνησιν ἐξάρχειν ὥσπερ ἡγεμονικὴν οὖσαν καὶ τῶν ὑφ' ἑαυτὴν καὶ τῶν ὑπὸ τὰς ἄλλας αἱρετῶν καὶ φευκτῶν καὶ πρακτῶν καὶ οὐ πρακτῶν καὶ τῶν μᾶλλον καὶ ἧττον· τῶν δ' ἄλλων ἑκάστην ἀποτέμνεσθαι μόνα τὰ καθ' ἑαυτήν. [Περὶ ἀρετῆ ς.] Ἀρετὴν δ' ὠνομάσθαι τὴν ἀρίστην διάθεσιν ἢ καθ' ἣν ἄριστα διάκειται τὸ ἔχον. Τοῦτο δ' ἐκ τῆς ἐπαγωγῆς δῆλον· σκυτοτόμου γὰρ ἀρετὴν λέγεσθαι καθ' ἣν ἀποτελεῖν ἄριστον ὑπόδημα δύναται, καὶ οἰκοδόμου καθ' ἣν ἄριστα διάκειται πρὸς οἰκοδόμησιν οἰκίας καλῆς. Ὅτι μὲν τὸ ἄριστα διατιθέναι ἐστὶν ἀρετῆς, ὁμολογούμενόν ἐστι. Δύο δ' ὥσπερ ἀρχὰς τῶν ἀρετῶν ὑπάρχειν, τὸν λόγον καὶ τὸ πάθος · ταῦτα δὲ ὁτὲ μὲν ἀλλήλοις ὁμονοητικῶς συμφωνεῖν, ὁτὲ δὲ στασιαστικῶς

διαφωνεῖν· τὴν δ' ἀντίταξιν αὐτῶν γίνεσθαι δι' ἡδονὰς καὶ λύπας. Τὴν μὲν οὖν τοῦ λόγου νίκην ἀπὸ τοῦ κράτους παρωνύμως ἐγκράτειαν ἐπωνυμίαν ἔχειν, τὴν δὲ τοῦ ἀλόγου διὰ τὸ τῆς ὁρμῆς ἀπειθὲς ἀκρασίαν · τὴν δ' ἀμφοῖν ἁρμονίαν καὶ συμφωνίαν ἀρετή ν , τοῦ μὲν ἄγοντος ἐφ' ὃ δεῖ, τοῦ δ' ἑπομένου πειθηνίως. [Περὶ αἱρετῶν καὶ φευκτῶ ν.] ἐπωνυμίαν ταύτην, οὕτως καὶ τὸ αἱρετὸν κατὰ τὴν αἵρεσιν. Τὸ δὲ αἱρετὸν καὶ ἀγαθὸν ταὐτὸν ἐδόκει τοῖς ἀρχαίοις εἶναι. Τὸ γοῦν ἀγαθὸν ὑπογράφοντες οὕτως ἀφωρίζοντο· 'ἀγαθόν ἐστιν οὗ πάντ' ἐφίεται'. Τῶν δ' ἀγαθῶν ἔλεγον τὰ μὲν δ ι ' ἡμᾶς αἱρετὰ ὑπάρχειν, τὰ δὲ διὰ τοὺς πλησίον · τῶν δὲ δ ι ' ἡμᾶς τὰ μὲν καλ ά , τὰ δ' ἀναγκαῖ α . Καλὰ μὲν τάς τε ἀρετὰς καὶ τὰς ἐνεργείας τὰς ἀπ' αὐτῶν, φρόνησίν τε καὶ τὸ φρονεῖν καὶ δικαιοσύνην καὶ τὸ δικαιοπραγεῖν καὶ κατὰ τὸ ἀνάλογον ἐπὶ τῶν ἄλλων· ἀναγκαῖα δὲ τό τε ζῆν καὶ τὰ πρὸς τοῦτο συντείνοντα καὶ τὴν τῶν ποιητικῶν ἔχοντα χώραν, οἷον τό τε σῶμα καὶ τὰ τούτου μέρη καὶ τὰς χρήσεις αὐτῶν, καὶ τῶν ἐκτὸς λεγομένων εὐγένειαν, πλοῦτον, δόξαν, εἰρήνην, ἐλευθερίαν, φιλίαν, τούτων γὰρ ἕκαστον συμβάλλεσθαί τι πρὸς τὴν τῆς ἀρετῆς χρῆσιν. [Ἐκ τίνων ἡ εὐδαιμονί α.] Τὴν δ' εὐδαιμονίαν ἐκ τῶν καλῶν γίνεσθαι καὶ προηγουμένων πράξεων · διὸ καὶ δ ι ' ὅλων εἶναι καλή ν , καθάπερ καὶ τὴν ἐν τοῖς αὐλοῖς ἐνέργειαν δι' ὅλων ἔντεχνον. Οὐ γὰρ ἐκβιβάζειν τὴν παράληψιν τῶν ὑλικῶν τῆς εἰλικρινείας τοῦ καλοῦ τὴν εὐδαιμονίαν, ὡς οὐδὲ τὴν τῆς ἰατρικῆς ἔντεχνον δι' ὅλων ἐνέργειαν τὴν τῶν ὀργάνων χρῆσιν. Πᾶσαν μὲν γὰρ πρᾶξιν ἐνέργειαν εἶναί τινα ψυχῆς. Ἐπεὶ δ' ὁ πράττων συγχρῆταί τισι πρὸς τὴν τελείωσιν τῆς προθέσεως, μέρη ταῦτα οὐ χρὴ νομίζειν τῆς ἐνεργείας, καίτοι γε ἐπιζητούσης ἑκατέρας τῶν εἰρημένων 〈τεχνῶν〉 ἑκάτερον, οὐ μὴν ὡς μέρος, ὡς δὲ ποιητικὸν τῆς τέχνης. Τὰ γὰρ ὧν ἄνευ πράττειν ὁτιοῦν ἀδύνατον, μέρη τῆς ἐνεργείας λέγειν οὐκ ὀρθόν. Τὸ μὲν γὰρ μέρος ἐπινοεῖσθαι κατὰ τὸ συμπληρωτικὸν εἶναι τοῦ ὅλου, τὰ δ' ὧν οὐκ ἄνευ κατὰ τὸ ποιητικόν, τῷ φέρειν καὶ συνεργεῖν εἰς τὸ τέλος. [Πόσα μέρη τοῦ ἀγαθοῦ · καὶ περὶ σκοπο ῦ.] Διαιρεῖσθαι δὲ τἀγαθὸν εἵς τε τὸ καλὸν καὶ εἰς τὸ συμφέρον καὶ εἰς τὸ ἡδύ · καὶ τῶν μὲν κατὰ μέρος πράξεων τούτους εἶναι σκοπούς· τὸ δ' ἐκ πάντων αὐτῶν εὐδαιμονίαν. Εὐδαιμονίαν δ' εἶναι 'χρῆσιν ἀρετῆς τελείας ἐν βίῳ τελείῳ χορηγουμένην' ἢ 'ζωῆς τελείας ἐνέργειαν κατ' ἀρετήν' ἢ 'χρῆσιν ἀρετῆς ἐν τοῖς κατὰ φύσιν ἀνεμπόδιστον'. Τὸ δ' αὐτὸ καὶ τέλος ὑπάρχειν. Εἰ δὲ τὸ μὲν εὐδαιμονεῖν τέλο ς , ἡ δ' εὐδαιμονία λέγεται τομεν, αὐτὸ δὲ οὐδενός', ἢ 'τὸ ἔσχατον τῶν ὀρεκτῶν', ἢ 'τὸ κατ' ἀρετὴν ζῆν ἐν ἀγαθοῖς τοῖς περὶ σῶμα καὶ τοῖς ἔξωθεν ἢ πᾶσιν ἢ τοῖς πλείστοις καὶ κυριωτάτοις'. Τοῦτο δὲ μέγιστον ὂν τῶν ἀγαθῶν καὶ τελειότατον ἐκ τῶν ἄλλων ἁπάντων ὑπηρετεῖσθαι. Τὰ μὲν γὰρ συμβαλλόμενα πρὸς αὐτὸ τῶν ἀγαθῶν ὁμολογουμένως χρὴ λέγειν, τὰ δ' ἐναντιούμενα 〈αὐτῷ τῶν κακῶ ν , τὰ δὲ μήτε συμβαλλόμενα μήτε ἐναντιούμενα〉 οὔτε τῶν ἀγαθῶν οὔτε 〈τῶν〉 κακῶν, ἀλλὰ τῶν ἀδιαφόρω ν . Οὐ πᾶσαν δὲ καλὴν πρᾶξιν εὐδαιμονικὴν ὑπάρχειν. ' Τελείασ ' δ' εἶπον ἀρετῆς χρῆσιν τὴν εὐδαιμονίαν, ὅτι τῶν ἀρετῶν τὰς μὲν ἔλεγον εἶναι τελεία ς , τὰς δὲ ἀτελεῖς · τελείας μὲν τήν τε δικαιοσύνην καὶ τὴν καλοκἀγαθίαν· ἀτελεῖς δὲ τὴν εὐφυΐαν καὶ τὴν προκοπήν· τῷ δὲ τελείῳ τὸ τέλειον ἁρμόττειν. Τέλος οὖν εἶναι τῆς τοιαύτης ἀρετῆς ἐνέργειαν, ἧς οὐθὲν ἄπεστι μέρος. Καὶ τὸ ' ἐν βίῳ δὲ τελείῳ ' προσέθεσαν ἐνδείξασθαι βουληθέντες, ὅτι περὶ τοὺς ἤδη προήκοντας ἄνδρας ἡ εὐδαιμονία γίγνεται· τὸ γὰρ μειράκιον ἀτελὲς καὶ ὁ τούτου βίος, δι' ἀτελεῖ χρόνῳ, ἀλλ' ἐν τῷ τελείῳ. Τέλειον δ' εἶναι τοῦτον, ὅσον ὥρισεν ἡμῖν 〈τὸ〉 πλεῖστον ὁ θεός· 'ὥρισε' δὲ κατὰ πλάτος, καθάπερ καὶ τὸ τοῦ σώματος μέγεθος. Ὡς οὖν ἕνα στίχον μὴ ἂν συστήσειν ὑπόκρισιν μηδὲ μίαν χειρὸς ἔκτασιν ὄρχησιν, μηδὲ μίαν χελιδόνα ποιήσειν ἔαρ, οὕτως μηδὲ βραχὺν χρόνον εὐδαιμονίαν. Τελείαν γὰρ εἶναι δεῖν τὴν εὐδαιμονίαν ἐκ τελείου συνεστῶσαν ἀνδρὸς καὶ χρόνου καὶ δαίμονος. ' Χορηγουμένην ' δὲ τὴν τῆς ἀρετῆς ἐνέργειαν διὰ τὸ πάντως ἀναγκαῖον ἐν τοῖς κατὰ φύσιν ἀγαθοῖς ὑπάρχειν, ἐπεὶ καὶ ἐν κακοῖς ἀρετῇ χρήσαιτ' ἂν καλῶς ὁ σπουδαῖος, οὐ μήν γε μακάριος ἔσται καὶ ἐν αἰκίαις ἀποδείξαιτ' ἂν τὸ

γενναῖον, οὐ μήν 〈γ'〉 εὐδαιμονήσει. Αἴτιον δ' ὅτι ἡ μὲν ἀρετὴ καλῶν μόνον ἐστὶν ἀπεργαστικὴ καθ' ἑαυτήν, ἡ δ' εὐδαιμονία καὶ καλῶν κἀγαθῶν. Οὐ γὰρ ἐγκαρτερεῖν βούλεται τοῖς δεινοῖς, ἀλλὰ τῶν ἀγαθῶν ἀπολαύειν πρὸς τῷ καὶ σῴζειν τὸ ἐν κοινωνίᾳ δίκαιον καὶ μήτε ἀποστερεῖν ἑαυτὴν τῶν ἐν τῇ θεωρίᾳ καλῶν μήτε τῶν κατὰ τὸν βίον ἀναγκαίων. Ἥδιστον γάρ τι καὶ κάλλιστον εἶναι τὴν εὐδαιμονίαν, οὔτε δ' ἐπιτείνεσθαι καθάπερ τέχνην ὀργάνων πλήθει καὶ παρασκευῇ· οὔτε τὴν αὐτὴν εἶναι θεοῦ καὶ ἀνθρώπου, τύχης ἄδηλον. Τὸ γὰρ τοῦ Σόλωνος εὖ ἔχειν· τέλος ὅρα μακροῦ βίου. Μαρτυρεῖν δὲ τούτῳ καὶ τὸν βίον, εὐδαιμονίζοντα τοὺς ἀνθρώπους ἡνίκ' ἂν θνήσκωσι. Τὸν 〈δ'〉 ἀφαιρεθέντα τὴν εὐδαιμονίαν οὐκ εἶναι κακοδαίμονα, καθάπερ τὸν μηδ' ὅλως ἔχοντα ταύτην, ἀλλ' ἔσθ' ὅτε μέσον. Βιοῦν γάρ ποτε καὶ σοφὸν καὶ μὴ σοφὸν τὸν μέσον λεγόμενον βίον, τὸν μήτε εὐδαίμονα μήτε κακοδαίμονα. Περὶ δὲ τοὺς κοιμωμένους οὐκ εἶναι τὴν εὐδαιμονίαν ἢ οὐκ ἐντελεχείᾳ γε. Τὴν γὰρ ἐνέργειαν τῆς ψυχῆς περὶ τὴν ἐγρήγορσιν εἶναι, ταύτῃ δὲ προστίθεσθαι τὸ 'κατὰ φύσιν', διὰ τὸ μὴ πᾶσαν τὴν ἐγρήγορσιν τῶν σπουδαίων τελείας εἶναι χρῆσιν ἀρετῆς, ἀλλὰ τὴν κατὰ φύσιν. Ταύτην δ' εἶναι τὴν τοῦ μὴ μαινομένου μηδ' ἐξεστηκότος, ἐπεὶ τήν τε μανίαν καὶ τὴν ἔκστασιν ὡς τὸν ὕπνον ἐξιστάνειν αὐτὸν ταύτης τῆς χρήσεως, τάχα δὲ καὶ τῆς τοῦ λόγου καὶ ποιεῖν θηρίον. Οἷς γὰρ λογικόν ἐστι τὸ ζῆν, τούτοις καὶ τὸ εὐδαιμονεῖν ὑπάρχειν· οὐκ αἰεὶ δὲ οὐδὲ τούτοις, ἀλλ' ὁπότε χορηγούμενον ἔχοιεν τὸ ζῆν. Ὡς δὲ τὴν εὐδαιμονίαν λέγεσθαι χρῆσιν ἀρετῆς, οὕτως καὶ τὴν κακοδαιμονίαν χρῆσιν κακίας· οὐ μὴν ὡς τὴν κακίαν αὐτάρκη πρὸς κακοδαιμονίαν, οὕτως καὶ τὴν ἀρετήν, πρὸς εὐδαιμονίαν. Ὡς δὲ τὸν σπουδαῖον τἀγαθὰ ἔχειν καὶ αὐτῷ συμφέρειν καὶ τοῖς ἄλλοις. Φευκτὸν δὲ τὸν βίον γίνεσθαι τοῖς μὲν ἀγαθοῖς ἐν ταῖς ἄγαν ἀτυχίαις, τοῖς δὲ κακοῖς καὶ ἐν ταῖς ἄγαν εὐτυχίαις. Πλεῖον γὰρ ἁμαρτάνειν· δι' ὃ καὶ μηδὲ κυρίως εὐτυχεῖς εἶναι [καὶ] τοὺς φαύλους. [Ποσαχῶς λέγεται τὸ ἀγαθό ν.] Ἐπεὶ δ' ἡμῖν εὐδαιμονία τὸ μέγιστον ἀγαθόν, διαιρετέον ποσαχῶς λέγεται τὸ ἀγαθό ν . Τριχῶς δή φασι λέγεσθαι τό τε γὰρ πᾶσι τοῖς οὖσι σωτηρίας αἴτιον καὶ τὸ κατηγορούμενον παντὸς ἀγαθοῦ καὶ τὸ δι' αὕθ' αἱρετόν· ὧν τὸ μὲν θεῖον εἶναι τὸ πρῶτον, τὸ δὲ γένος τῶν ἀγαθῶν 〈τὸ δεύτερον〉 , τὸ δὲ 〈τρίτον τὸ〉 τέλος, ἐφ' ὃ πάντα ἀναφέρομεν, ὅπερ ἐστὶν εὐδαιμονία. Καὶ τὸ δ ι ' αὖ θ ' αἱρετὸν δὲ τριχῶς λέγεσθαι· ἢ οὗ χάριν τινὰ πράττομεν ὡς ἐσχάτου· ἢ οὗ χάριν πάντα· ἢ τρίτον ὃ μέρος γίγνεται τούτων. Τῶν δὲ δι' αὕθ' αἱρετῶν τὰ μὲν εἶναι τελικ ά , τὰ δὲ ποιητικ ά . Τελικὰ μὲν τὰς κατ' ἀρετὴν προηγουμένας πράξεις· ποιητικὰ δὲ τὰ ὑλικὰ τῶν ἀρετῶν. Τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι τίμι α , τὰ δὲ ἐπαινετ ά , τὰ δὲ δυνάμει ς , τὰ δὲ ὠφέλιμ α . Τίμια μὲν οἷον θεόν, ἄρχοντα, πατέρα· ἐπαινετὰ δὲ οἷον δικαιοσύνην, φρόνησιν· δυνάμεις δὲ οἷον πλοῦτον, ἀρχήν, ἐξουσίαν· ὠφέλιμα δὲ τὰ ποιητικὰ τούτων καὶ φυλακτικά, οἷον ὑγιείας Ἔτι τῶν [αἱρετῶν καὶ] ἀγαθῶν τὰ μὲν κα θ ' ἑαυτὰ εἶναι αἱρετά, τὰ δὲ δ ι ' ἕτερ α . Τὰ μὲν γὰρ τίμια καὶ ἐπαινετὰ καὶ τὰς δυνάμεις καθ' αὑτά· (καὶ γὰρ τὰς δυνάμεις ὑπάρχειν τῶν καθ' αὑτὰ ἀγαθῶν, οἷον πλοῦτον καὶ ἀρχάς, οἷς 〈εὖ〉 ἂν χρήσαιτο καὶ ἂν ζητήσειεν ὁ ἀγαθὸς ἀνήρ· καὶ οἷς δύναται εὖ χρῆσθαι ἀγαθὸς [καὶ] καθ' αὑτὰ ἀγαθὰ πεφυκέναι, ὥσπερ ὑγιεινά, ἃ καὶ ζητήσειεν ἂν ὁ ἰατρὸς καὶ δύναιτο χρῆσθαι·) τὰ δὲ ὠφέλιμα δι' ἕτερα· τῷ γὰρ ποιεῖν ἕτερα καὶ σῴζειν τῶν αἱρετῶν ὑπάρχειν. Ἄλλη διαίρεσις· τῶν καθ' αὑτὰ ἀγαθῶν τὰ μὲν εἶναι τέλ η , τὰ δὲ οὐ τέλη · οἷον δικαιοσύνην μὲν καὶ ἀρετὴν καὶ ὑγίειαν τέλη καὶ ἁπλῶς ὅσα ἐκ τῶν καθ' ἕκαστα γενομένων κεκεφαλαιωμένα ὑπάρχειν, ὥσπερ τὴν ὑγίειαν, οὐ μὴν τό γε ὑγιεινὸν οὐδὲ τὴν θεραπείαν τοῦ κάμνοντος. Εὐφυΐαν δὲ καὶ ἀναμνήσεις καὶ μαθήσεις οὐ τέλη. Ἄλλη διαίρεσις· τῶν τελῶν τὰ μὲν παντὶ ἀγαθὰ εἶναι, τὰ δ' οὐ παντ ί . Τὴν μὲν ἀρετὴν καὶ φρόνησιν ὅσον ἀφώρισται τὸ εἶναι ἀγαθὰ τῇ τοῦ ἀγαθοῦ ἀνδρὸς χρήσει. Φαίνεσθαι δὲ ταῦτα καὶ ζητεῖν καὶ χρωμένους ὠφελεῖν. Οἷς δὲ τὸν ἀγαθὸν εὖ χρῆσθαι, τούτοις τὸν κακὸν κακῶς· ὥσπερ οἷς ἂν εὖ τὸν μουσικόν, τούτοις τὸν ἄμουσον κακῶς. Ἅμα δὲ κακῶς χρώμενον βλάπτεσθαι, καθάπερ ἵππον ἀγαθὸν ὄντα τὸν μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱππικὸν ὠφελεῖν, βλάπτειν δὲ τὸν ἄφιππον οὐ μετρίως. Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ περὶ σῶμ α , τὰ δ’ ἐκτό ς . Περὶ ψυχὴν μέν, οἷον εὐφυΐαν τε καὶ τέχνην καὶ ἀρετὴν καὶ σοφίαν καὶ φρόνησιν καὶ ἡδονήν· περὶ σῶμα δὲ ὑγίειαν καὶ εὐαισθησίαν καὶ κάλλος καὶ ἰσχὺν καὶ ἀρτιότητα καὶ πάντα τὰ μόρια σὺν ταῖς δυνάμεσι καὶ ἐνεργείαις· ἐκτὸς δὲ πλοῦτον καὶ δόξαν καὶ εὐγένειαν καὶ δυναστείαν καὶ φίλους καὶ συγγενεῖς καὶ πατρίδα. Τῶν δὲ περὶ ψυχὴν ἀγαθῶν τὰ μὲν αἰεὶ φύσει παρεῖνα ι , καθάπερ [γὰρ] ὀξύτητα καὶ μνήμην, τό τε ὅλον εὐφυΐαν· τὰ δ’ ἐξ ἐπιμελείας παραγίνεσθα ι , ὡς τάς τε προπαιδεύσεις καὶ διαίτας ἐλευθερίους· τὰ δ’ ἐκ τελειότητος ὑπάρχει ν , οἷον φρόνησιν, δικαιοσύνην, τελευταῖον δὲ σοφίαν. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι καὶ κτήσασθαι καὶ ἀποβαλεῖ ν , ὡς πλοῦτον· τὰ δὲ κτήσασθαι μὲν εὐγένειαν. Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι δ ι ’ αὖ θ ’ αἱρετὰ μόνον, ὡς ἡδονὴν καὶ ἀοχλησίαν· τὰ δὲ ποιητικὰ μόνον, ὡς πλοῦτον· τὰ δὲ 〈καὶ〉 ποιητικὰ καὶ δ ι ’ αὖ θ ’ αἱρετ ά , ὡς ἀρετήν, φίλους, ὑγίειαν. Καὶ ἄλλως δὲ πολλαχῶς διαιρεῖσθαι τἀγαθά, διὰ τὸ μὴ ἓν εἶναι γένος αὐτῶν, ἀλλὰ κατὰ τὰς δέκα λέγεσθαι κατηγορίας· ἐν ὁμωνυμίᾳ γὰρ ἐκφέρεσθαι τἀγαθόν, τά τε τοιαῦτα πάντα ὄνομα κοινὸν ἔχειν μόνον, τὸν δὲ κατὰ τοὔνομα λόγον ἕτερον. [Περὶ τῆς ἠθικῆς ἀρετῆ ς , ὅτι μεσότητε ς.] Τούτων δὲ δὴ διωρισμένων, ἐπελθεῖν ἀκριβέστερον ἀναγκαῖον τὰ περὶ τῆς ἠθικῆς ἀρετῆς λεγόμενα. Ταύτην γὰρ ὑπολαμβάνουσι περὶ τὸ ἄλογον μέρος γίνεσθαι τῆς ψυχῆς, ἐπειδὴ διμερῆ πρὸς τὴν παροῦσαν θεωρίαν ὑπέθεντο τὴν ψυχήν, τὸ μὲν λόγον ἔχουσαν, τὸ δ’ ἄλογον. Καὶ περὶ μὲν τὸ λογικὸν τὴν καλοκἀγαθίαν γίνεσθαι καὶ τὴν φρόνησιν καὶ τὴν ἀγχίνοιαν καὶ σοφίαν καὶ εὐμάθειαν καὶ μνήμην καὶ τὰς ὁμοίας· περὶ δὲ τὸ ἄλογον σωφροσύνην καὶ δικαιοσύνην καὶ ἀνδρείαν καὶ τὰς ἄλλας τὰς ἠθικὰς καλουμένας ἀρετά ς . ἀφανῶν τὴν ἐκ τῶν φανερῶν παρέχεσθαι πίστιν. Αὐτίκα γὰρ ὑπὸ τῶν γυμνασίων πλειόνων τε γινομένων καὶ ἐλαττόνων φθείρεσθαι τὴν ἰσχύν· καὶ ἐπὶ τῶν ποτῶν καὶ σιτίων ὡσαύτως· πλειόνων γὰρ προσφερομένων ἢ ἐλαττόνων φθείρεσθαι τὴν ὑγίειαν, συμμέτρων δὲ τῶν εἰρημένων ὄντων σῴζεσθαι τήν τε ἰσχὺν καὶ τὴν ὑγίειαν· παραπλησίως οὖν ἔχειν καὶ ἐπὶ τῆς σωφροσύνης καὶ ἀνδρείας καὶ τῶν ἄλλων ἀρετῶν. Τὸν μὲν γὰρ τοιοῦτον ὄντα τὴν φύσιν, ὥστε μηδὲ τὸν κεραυνὸν φοβεῖσθαι, μαινόμενον, ἀλλ’ οὐκ ἀνδρεῖον εἶναι· τὸν δ’ ἔμπαλιν πάντα φοβούμενον, ὥστε καὶ τὴν σκιάν, ἀγεννῆ καὶ δειλόν· ἀνδρεῖον δ’ ὁμολογουμένως τὸν μήτε πάντα μήτε μηδὲν φοβούμενον. Ταῦτ’ ἄρα καὶ αὔξειν καὶ φθείρειν τὴν ἀρετήν, ὥστε τοὺς μὲν μετρίους φόβους αὔξειν τὴν ἀνδρείαν, τοὺς δὲ μείζονας ἢ ἐλάττονας φθείρειν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν τὰς μὲν οὔσας κατὰ ταύτας ὑπερβολὰς καὶ ἐλλείψεις φθείρειν αὐτάς, τὰς δὲ μετριότητας αὔξειν. Οὐ μόνον δὲ τούτοις ἀφορίζεσθαι τὴν ἀρετήν, ἀλλὰ καὶ ἡδονῇ καὶ λύπ ῃ . Διὰ γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττειν ἡμᾶς, διὰ δὲ τὴν λύπην ἀπέχεσθαι τῶν καλῶν· οὐκ εἶναι δὲ λαβεῖν οὔτ’ ἀρετὴν οὔτε κακίαν ἄνευ λύπης καὶ ἡδονῆς. Τὴν οὖν ἀρετὴν περὶ ἡδονὰς καὶ λύπας καῖον ἡγοῦντο τὰ περὶ ψυχὴν γινόμενα προσλαβεῖν τῷ λόγῳ. ταῦτα δή φασιν ὑπάρχειν ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων· πάθ η , δυνάμει ς , ἕξει ς . Πάθη δ’ εἶναι ὀργήν, φόβον, μῖσος, πόθον, ζῆλον, ἔλεον, τὰ παραπλήσια τούτοις, οἷς καὶ παρακολουθεῖν ἡδονὴν καὶ λύπην· δυνάμεις 〈δε〉 , καθ’ ἃς παθητικοὶ τούτων εἶναι λεγόμεθα, οἷον καθ’ ἃς ὀργιζόμεθα, φοβούμεθα, ζηλοῦμεν, τῶν τοιούτων ὁτιοῦν πεπόνθαμεν· ἕξεις δέ, καθ’ ἃς πρὸς ταῦτά πως ἔχομεν καὶ ἀφ’ ὧν ἡ τούτων ἐνέργεια εὖ ἢ κακῶς ἀποτελεῖται. Δι’ ὃ εἰ μὲν οὕτως τις ὀργίζοιτο ῥᾳδίως, ὥστε ἐπὶ παντὶ καὶ πάντως, τὴν ἕξιν ἂν ἔχων φανείη τὴν τῆς ὀργιλότητος· εἰ δὲ οὕτως, ὥστε μηθὲν μηδὲ ἐφ’ ὁτῳοῦν, τὴν τῆς ῥᾳθυμίας· ἀμφοτέρας δ’ εἶναι ψεκτάς, ἐπαινουμένην δὲ ἕξιν ὑπάρχειν τὴν πραότητα, καθ’ ἣν ὅτε δεῖ καὶ ὡς δεῖ καὶ ᾧ δεῖ ὀργιζόμεθα. Διόπερ ἕξεις εἶναι τὰς ἀρετάς, ἀφ’ ὧν τὰς ἐν τοῖς πάθεσιν ἐνεργείας ἐπαινεῖσθαι συμβέβηκεν. Ἐπεὶ οὖν ἡ ἀρετὴ τῶν πρακτῶν, πᾶσαν δὲ πρᾶξιν ἐν συνεχείᾳ θεωρεῖσθαι συμβέβηκε, παντὸς δὲ συνεχοῦς ὥσπερ ἐν τοῖς μεγέθεσιν εἶναί τινα ὑπερβολὴν καὶ ἔλλειψιν καὶ μεσότητα καὶ ταῦτα ἢ πρὸς ἄλληλα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπάρχειν ἢ πρὸς ἡμᾶς, ἐν πᾶσι δὴ τὸ μέσον τὸ πρὸς ἡμᾶς βέλτιστον, τοῦτο γάρ ἐστιν ὡς ἡ ἐπιστήμη κελεύει καὶ ὁ λόγος· ἔχειν· τὰ δ' ἐναντία πως καὶ ἀλλήλοις ἀντικεῖσθαι καὶ τῷ μέσῳ· ἐναντία δ' εἶναι τήν τ' ἔλλειψιν καὶ τὴν ὑπερβολήν, τὸ δὲ μέσον πρὸς ἑκάτερον ἔχειν, ὅπερ τὸ ἴσον πρὸς τὸ ἄνισον πέπονθε, τοῦ μὲν ἐλάττονος πλεῖον ὄν, τοῦ δὲ πλείονος ἔλαττον.) Τὸ οὖν πρὸς ἡμᾶς μέσον ἄριστο ν , οἷον, φησὶν ὁ Θεόφραστος, ἐν ταῖς ἐντυχίαις ὁδὶ μὲν πολλὰ διελθὼν καὶ μακρῶς ἀδολεσχήσας, ὁδὶ δ' ὀλίγα καὶ οὐδὲ τἀναγκαῖα, οὗτος δὲ αὐτὰ ἃ ἔδει μόνα τὸν καιρὸν ἔλαβεν. Αὕτη 〈ἡ〉 μεσότης πρὸς ἡμᾶς 〈ἀρίστη〉 , αὕτη γὰρ ὑφ' ἡμῶν ὥρισται τῷ λόγῳ. Διὸ ἔστιν ἡ ἀρετὴ 'ἕξις προαιρετική, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένῃ λόγῳ καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειεν' (Arist. Eth. Ni. II 6 p. 1106 b 36—p. 1107 a 2)· εἶτα παραθέμενος τινὰς συζυγίας, ἀκολούθως τῷ ὑφηγητῇ (Arist. l. s. 7 p. 1107 a 28 sqq.) σκοπῶν ἔπειτα καθ' ἕκαστα ἐπάγειν ἐπειράθη τὸν τρόπον τοῦτον· ἐλήφθησαν δὲ παραδειγμάτων χάριν αἵδε· σωφροσύν η , ἀκολασία, ἀναισθησία· πραότη ς , ὀργιλότης, ἀναλγησία· ἀνδρεί α , θρασύνότης· μεγαλοπρέπει α , μικροπρέπεια, σαλακωνία. Τούτων δὴ τῶν ἕξεων αἱ μὲν τῷ ὑπερβάλλειν ἢ ἐλλείπειν περὶ πάθη φαῦλαί εἰσιν, αἱ δὲ σπουδαῖαι, τῷ μεσότητες εἶναι δηλονότι. Σώφρονά τε γὰρ εἶναι οὔτε τὸν καθάπαξ ἀνεπιθύμητον οὔτε τὸν ἐπιθυμητικόν· (τὸν μὲν γὰρ λίθου δίκην μηδὲ τῶν κατὰ φύσιν ὀρέγεσθαι, τὸν δὲ τῷ ὑπερβάλλειν ταῖς ἐπιθυμίαις ἀκόλαστον εἶναι)· τὸν δὲ μέσον τούτων, ὧν δεῖ καὶ ὁπότε καὶ ὁπόσον ἐπιθυμοῦντα καὶ τῷ λόγῳ κατὰ τὸ προσῆκον ὁρίζοντα καθάπερ κανόνι σώφρονα λέγεσθαί τε καὶ κατὰ φύσιν εἶναι. πρᾶόν τε 〈οὔτε τὸν ἀνάλγητον καὶ μηδενὶ μηδέποτε ὀργιζόμενον〉 οὔτε τὸν ἐπὶ παντὶ ὀργιζόμενον, κἂν μικρότατον ᾖ, ἀλλὰ τὸν τὴν μέσην ἔχοντα ἕξιν. ἀνδρεῖόν τε οὔτε τὸν μηδὲν φοβούμενον, κἂν ᾖ θεὸς ὁ ἐπιών, οὔτε τὸν πάντα καὶ τὸ δὴ λεγόμενον τὴν σκιάν ..., δίκαιόν τε οὔτε τὸν τὸ πλεῖον ἑαυτῷ νέμοντα οὔτε τὸν τὸ ἔλαττον, ἀλλὰ τὸν τὸ ἴσον· τὸ δ' ἴσον τὸ κατὰ τὸ ἀνάλογον, οὐ κατ' ἀριθμόν· 〈 ἐλευθέριόν 〉 τε οὔτε τὸν προετικὸν ὅπως ἔτυχεν οὔτε τὸν τὸν τὸ δέον ἐφ' ἑκάστου λαμβάνοντα καὶ εἰς τὸ κατ' ἀξίαν. μεγαλοπρεπῆ τε οὔτε τὸν πάντοτε καὶ ἔνθα μὴ δεῖ λαμπρὸν οὔτε τὸν μηδαμοῦ, ἀλλὰ τὸν κατὰ καιρὸν ἁρμόττοντα εἰς ἕκαστον. Τοιοῦτο μὲν τὸ τῶν ἠθικῶν ἀρετῶν εἶδος παθητικὸν καὶ κατὰ μεσότητα θεωρούμενον, ὃ δὴ καὶ τὴν ἀντακολουθίαν ἔχει 〈τῇ φρονήσει〉 , πλὴν οὐχ ὁμοίως ἀλλ' ἡ μὲν φρόνησις ταῖς ἠθικαῖς κατὰ τὸ ἴδιον, αὗται δ' ἐκείνῃ κατὰ συμβεβηκός. ὁ μὲν γὰρ δίκαιός ἐστι καὶ φρόνιμος, ὁ γὰρ τοιόσδε αὐτὸν λόγος εἰδοποιεῖ· οὐ μὴν ὁ φρόνιμος καὶ δίκαιος κατὰ τὸ ἴδιον, ἀλλ' ὅτι τῶν καλῶν κἀγαθῶν κοινῶς πρακτικός, φαύλου δ' οὐδενός. [Περὶ παθῶν ψυχῆ ς]. Τῶν δὲ παθῶν καὶ ὁρμῶν τὰ μὲν εἶναι ἀστεῖ α , τὰ δὲ φαῦλ α , τὰ δὲ μέσ α . Ἀστεῖα μὲν φιλίαν, χάριν, νέμεσιν, αἰδῶ, θάρσος, ἔλεον· φαῦλα δὲ φθόνον, ἐπιχαιρεκακίαν, ὕβριν· μέσα δὲ λύπην, φόβον, ὀργήν, ἡδονήν, ἐπιθυμίαν. Τούτων δὲ τὰ μὲν αἱρετέον καθάπαξ, τὰ δὲ ὁριστέο ν . Πᾶν δὲ πάθος περὶ ἡδονὴν συνίστασθαι καὶ λύπη ν , δι' ὃ καὶ περὶ ταύτας τὰς ἠθικὰς ἀρετὰς ὑπάρχειν. Φιλαργυρίαν δὲ καὶ φιληδονίαν καὶ ἐρωτομανίαν καὶ τὰ τοιαῦτα ἕξεις εἶναι ἀλλοίας περὶ τὰς κακίας. Ἔρωτα δ' εἶναι τὸν μὲν φιλίας, τὸν δὲ συνουσίας, τὸν δὲ ἀμφοῖν· δι' ὃ καὶ τὸν μὲν σπουδαῖο ν , τὸν δὲ φαῦ- [Περὶ φιλία ς]. Τῆς φιλίας δ' εἶναι διαφορὰς τέσσαρα ς , ἑταιρικήν, συγγενικήν, ξενικήν, ἐρωτικήν· εἰ δὲ καὶ τὴν εὐεργετικὴν καὶ θαυμαστικὴν συγκαταριθμητέον, λόγου δεῖν. Ἀρχὴν δὲ τῆς μὲν ἑταιρικῆς εἶναι τὴν συνήθειαν, τῆς δὲ συγγενικῆς τὴν φύσιν, τῆς δὲ ξενικῆς τὴν χρείαν, τῆς δὲ ἐρωτικῆς τὸ πάθος, τῆς δ' εὐεργετικῆς τὴν χάριν, τῆς δὲ θαυμαστικῆς τὴν δύναμιν. Πασῶν δὲ συλλήβδην εἶναι τέλη τρία, τὸ καλόν, τὸ συμφέρον, τὸ ἡδύ. Πάντα γὰρ τὸν ὁπωσοῦν πρὸς φιλίαν ἰόντα δι' ἕν τι τούτων ἢ διὰ πάντα τὴν φιλίαν αἱρεῖσθαι. Πρώτην μὲν οὖν, ὡς προέφην (p. 118, 11sq.), εἶναι τὴν πρὸς ἑαυτὸν φιλίαν, δευτέραν δὲ τὴν πρὸς τοὺς γειναμένους· ἐφεξῆς δὲ τὰς πρὸς τοὺς ἄλλους οἰκείους καὶ ὀθνείους· διὸ καὶ ἐν μὲν τῇ πρὸς ἑαυτὸν εὐλαβεῖσθαι δεῖ τὴν ὑπερβολήν, ἐν δὲ ταῖς πρὸς τοὺς ἄλλους τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλλειψιν· Τὸ μὲν γὰρ φιλαυτίας, τὸ δὲ φειδωλίας ἔχει διαβολήν. [Περὶ χάριτο ς]. Χάριν δὲ λέγεσθαι τριχῶ ς , τὴν μὲν ὑπουργίαν ὠφελίμου αὐτοῦ ἐκείνου ἕνεκα, τὴν δ’ ἄμειψιν ὑπουργίας ὠφελίμου, τὴν δὲ μνήμην ὑπουργίας τοιαύτης. Διὰ τοῦτο δὲ καὶ τὰς δαίμονας τρεῖς ὁ βίος κατεφήμισε. Λέγεσθαι δὲ χάριν καὶ τὴν ἐν ὄψει ἢ ἐν λόγοις, καθ’ ἣν τὸν μὲν εὔχαριν ὀνομάζεσθαι, τὸν δ’ ἐπίχαριν. Βίον δ’ αἱρήσεσθαι τὸν σπουδαῖον τὸν μετ’ ἀρετῆς, πρὸς τὸ δημοτικὸν τραπήσεσθαι σχῆμα διαγωγῆς ἢ τὸ θεωρητικὸν ἢ μέσον 〈τὸ〉 παιδευτικόν. Προαιρήσεσθαι μὲν γὰρ καὶ πράττειν καὶ θεωρεῖν τὰ καλά. Κωλυόμενον δὲ περὶ ἅμφω γίνεσθαι διὰ καιρούς, θατέρῳ χρήσεσθαι, προτιμῶντα μὲν τὸν θεωρητικὸν βίον, διὰ δὲ τὸ κοινωνικὸν ἐπὶ τὰς πολιτικὰς ὁρμῶντα πράξεις. Δι’ ὃ καὶ γαμήσειν καὶ παιδοποιήσεσθαι καὶ πολιτεύσεσθαι καὶ ἐρασθήσεσθαι τὸν σώφρονα ἔρωτα καὶ μεθυσθήσεσθαι κατὰ συμπεριφοράς, κἂν εἰ μὴ προηγουμένως. καὶ καθόλου τὴν ἀρετὴν ἀσκοῦντα καὶ μενεῖν ἐν τῷ βίῳ, καὶ πάλιν, εἰ δέοι ποτὲ δι’ ἀνάγκας, ἀπαλλαγήσεσθαι, ταφῆς προνοήσαντα κατὰ νόμον καὶ τὸ πάτριον ἔθος καὶ τῶν ἄλλων, ὅσα τοῖς κατοιχομένοις ἐπιτελεῖν ὅσιον. Βίων δὲ τριττὰς ἰδέας εἶναι, πρακτικόν, θεωρητικόν, σύνθετον ἐξ ἀμφοῖν. Τὸν μὲν γὰρ ἀπολαυστικὸν ἧττονα ἢ κατ’ ἄνθρωπον εἶναι, προκρίνεσθαι δὲ τῶν ἄλλων τὸν θεωρητικόν. Πολιτεύσεσθαί τε τὸν σπουδαῖον προηγουμένως, μὴ κατὰ περίστασιν· τὸν γὰρ πρακτικὸν βίον τὸν αὐτὸν εἶναι τῷ πολιτικῷ. Βίον δὲ κράτιστον μὲν τὸν κατ’ ἀρετὴν ἐν τοῖς κατὰ φύσιν· δεύτερον δὲ τὸν κατὰ τὴν μέσην ἕξι ν , τὰ πλεῖστα καὶ κυριώτατα τῶν κατὰ φύσιν ἔχοντα· τούτους μὲν οὖν αἱρετούς, φευκτὸν δὲ τὸν κατὰ κακίαν. Διαφέρειν δὲ τὸν εὐδαίμονα βίον τοῦ καλο ῦ , καθ’ ὅσον ὃ μὲν ἐν τοῖς κατὰ φύσιν εἶναι βούλεται διὰ παντός, ὃ δὲ καὶ ἐν τοῖς παρὰ φύσιν· καὶ πρὸς ὃν μὲν οὐκ αὐτάρκης ἡ ἀρετή, πρὸς ὃν δὲ αὐτάρκης. Μέσον δέ τινα βίον εἶναι τὸν κατὰ τὴν μέσην ἕξιν, ἐν ᾧ καὶ τὰ καθήκοντα ἀποδίδοσθαι· τὰ μὲν γὰρ κατορθώματα ἐν τῷ κατ’ ἀρετὴν εἶναι βίῳ, τὰ δ’ ἁμαρτήματα ἐν τῷ κατὰ κακίαν, τὰ δὲ καθήκοντα ἐν τῷ μέσῳ καλουμένῳ βίῳ. Τεθεωρημένων δὲ τούτων καὶ ταῦτα διαλάβωμεν· εἶναι μὲν γὰρ τὴν ἠθικὴν ἀρετὴν κοινῶς ἕξιν προαιρετικὴν τῶν μέσων ἡδονῶν τε καὶ λυπῶν, στοχαστικὴν τοῦ καλοῦ ᾗ καλόν, τὴν δὲ κακίαν ὑπεναντίαν εἶναι ταύτῃ· κοινὴν δὲ δοξαστικῆς καὶ ἠθικῆς ἕξιν θεωρητικὴν καὶ προαιρετικὴν καὶ πρακτικὴν τῶν ἐν ταῖς πράξεσι καλῶν· τὴν δὲ διανοητικὴν καὶ τοῦ ἐπιστημονικοῦ ** κοινὴν ἀκρότητα λογικῆς κατασκευῆς εἶναι θεωρητικὴν καὶ πρακτικήν· σοφίαν δὲ ἐπιστήμην τῶν πρώτων αἰτίων· φρόνησιν δὲ ἕξιν βουλευτικὴν καὶ πρακτικὴν ἀγαθῶν καὶ σίας· ἐλευθεριότητα δὲ μεσότητα ἀσωτίας καὶ ἀνελευθερίας· μεγαλοψυχίαν δὲ μεσότητα χαυνότητος καὶ μικροψυχίας· μεγαλοπρέπειαν δὲ 〈μεσότητα σαλακωνείας καὶ μικροπρεπείας· νέμεσιν δὲ〉 μεσότητα φθονερίας καὶ ἐπιχαιρεκακίας· σεμνότητα δὲ μεσότητα αὐθαδείας καὶ ἀρεσκείας· αἰδῶ δὲ μεσότητα ἀναισχυντίας καὶ καταπλήξεως· εὐτραπελίαν δὲ 〈μεσότητα〉 βωμολοχίας καὶ ἀγροικίας· φιλίαν δὲ μεσότητα κολακείας καὶ ἔχθρας· ἀλήθειαν δὲ μεσότητα εἰρωνείας καὶ ἀλαζονείας· δικαιοσύνην δὲ μεσότητα ὑπεροχῆς καὶ ἐλλείψεως καὶ πολλοῦ καὶ ὀλίγου. Πολλῶν δὲ καὶ ἄλλων οὐσῶν ἀρετῶν, τῶν μὲν καθ’ αὐτάς, τῶν δ’ ἐν εἴδεσι τῶν εἰρημένων (οἷον ὑπὸ μὲν τὴν δικαιοσύνην εὐσεβείας, ὁσιότητος, χρηστότητος, εὐκοινωνησίας, εὐσυναλλαξίας· ὑπὸ δὲ τὴν σωφροσύνην εὐκοσμίας, εὐταξίας, αὐταρκείας· 〈ὑπὸ δὲ τὴν ἀνδρείαν θεοὺς καὶ κατοιχομένους τηρητικήν, μεταξὺ ἀνοσιότητος οὖσαν καὶ ἀνωνύμου τινός· χρηστότητα δὲ ἕξιν ἑκουσίως εὐποιητικὴν ἀνθρώπων, αὐτῶν ἐκείνων χάριν, μεταξὺ πονηρίας οὖσαν καὶ ἀνωνύμου· εὐκοινωνησίαν δὲ ἕξιν ἀμέμπτους ἐν κοινωνίᾳ παρεχομένην, μεταξὺ ἀκοινωνησίας οὖσαν καὶ ἀνωνύμου· εὐσυναλλαξίαν δὲ ἕξιν εὐλαβητικὴν τῆς ἐν τοῖς συμβολαίοις ἀδικίας, μεταξὺ ἀσυναλλαξίας οὖσαν καὶ ἀνωνύμου, (τὴν δὲ ἀνώνυμον κατὰ τὸ ἀκριβοδίκαιον εἶναί πως)· εὐκοσμίαν δὲ ἕξιν περί τε κινήσεις καὶ σχέσεις τηρητικὴν τοῦ πρέποντος, μεταξὺ οὖσαν ἀκοσμίας καὶ ἀνωνύμου· εὐταξίαν δὲ ἕξιν στοχαστικὴν τοῦ περὶ τάξιν καλοῦ, μεταξὺ ἀταξίας

οὖσαν καὶ ἀνωνύμου· αὐτάρκειαν δὲ ἔξιν ἀρκουμένην τοῖς τυχοῦσι μετὰ ἐλευθεριότητος, μεταξὺ πτωχείας οὖσαν καὶ πολυτελείας· εὐψυχίαν δὲ ἕξιν ἀήττητον ἐν δεινῶν ὑπομοναῖς, μεταξὺ ἀψυχίας καὶ ἀρειμανιότητος· φιλοπονίαν δὲ ἕξιν ἀνένδοτον πόνοις ἐξεργαστικὴν τοῦ καλοῦ, μεταξὺ μαλακίας τε καὶ ματαιοπονίας. Τὴν δὲ ἐκ πασῶν τῶν ἠθικῶν ἀρετὴν συνεστηκυῖαν λέγεσθαι μὲν καλοκἀγαθία ν , τελείαν δ’ ἀρετὴν εἶναι, τά τε ἀγαθὰ ὠφέλιμα καὶ καλὰ ποιοῦσαν τά τε καλὰ δι’ αὐτὰ αἱρουμένην. Διωρισμένων δ’ ἱκανῶς τῶν περὶ τὰς ἀρετὰς καὶ σχεδὸν τῶν πλείστων ἀνειλημμένων κεφαλαίων τοῦ ἠθικοῦ τόπου, ἀναγκαῖον ἐφεξῆς καὶ περὶ τοῦ οἰκονομικοῦ τε καὶ πολιτικοῦ διελθεῖν, ἐπειδὴ φύσει πολιτικὸν ζῷον ἄνθρωπος. Πολιτεία δὲ πρώτη σύνοδος ἀνδρὸς καὶ γυναικὸς κατὰ νόμον ἐπὶ τέκνων γεννήσει καὶ βίου κοινωνίᾳ. Τοῦτο δὲ προσονομάζεται μὲν οἶκο ς , ἀρχὴ δὲ πόλεώς ἐστι· περὶ οὗ δὴ καὶ λεκτέον. Μικρὰ γάρ τις ἔοικεν εἶναι πόλις ὁ οἶκος, εἴ γε κατ’ εὐχὴν αὐξομένου τοῦ γάμου καὶ τῶν παίδων ἐπιδιδόντων καὶ συνδυαζομένων ἀλλήλοις ἕτερος οἶκος ὑφίσταται καὶ τρίτος οὕτω καὶ τέταρτος, ἐκ δὲ τούτων κώμη καὶ πόλις. Πλειόνων γὰρ γενομένων κωμῶν πόλις ἀπετελέσθη. Διὸ καὶ τὰ σπέρματα καθάπερ τῆς γενέσεως τῇ πόλει παρέσχεν ὁ οἶκος, οὕτω καὶ τῆς πολιτείας. Καὶ γὰρ βασιλείας ὑπογραφὴν εἶναι περὶ τὸν οἶκον καὶ ἀριστοκρατίας καὶ δημοκρατίας. Γονέων μὲν γὰρ πρὸς τέκνα κοινωνίας τὸ σχῆμα βασιλικόν· ἀνδρῶν δὲ πρὸς γυναῖκας ἀριστοκρατικόν· παίδων δὲ πρὸς ἀλλήλους δημοκρατικόν. Συνέρχεσθαι γὰρ τῷ θήλει τὸ ἄρρεν κατὰ πόθον τεκνώσεως καὶ τῆς τοῦ γένους διαμονῆς· ἐφίεσθαι γὰρ ἀδύνατον διαζῆν, ᾧ τὸ ἄρχεσθαι συμφέρειν,) εἴτε καὶ νόμῳ δοῦλον, ἐκ τῆς ἐπὶ τὸ αὐτὸ συνόδου καὶ τῆς πάντων πρὸς ἓν συμφέρον προμηθείας, οἶκον συνίστασθαι. Τούτου δὲ τὴν ἀρχὴν κατὰ φύσιν ἔχειν τὸν ἄνδρα. Τὸ γὰρ βουλευτικὸν ἐν γυναικὶ μὲν χεῖρον, ἐν παισὶ δ’ οὐδέπω, περὶ δούλους 〈δ’〉 οὐδ’ ὅλως· τὴν δ’ οἰκονομικὴν φρόνησιν, διοικητικὴν οὖσαν αὐτοῦ τε 〈οἴκου〉 καὶ τῶν κατ’ οἶκον, οἰκείαν ἀνδρὸς ὑπάρχειν. Ταύτης δὲ τὸ μὲν εἶναι πατρικόν, τὸ δὲ γαμικόν, τὸ δὲ δεσποτικόν, τὸ δὲ χρηματιστικόν. Δεῖν γάρ, ὥσπερ στρατιᾷ μὲν παρασκευῆς, πόλει δὲ προσόδων, τέχνῃ δ’ ὀργάνων, οὕτω καὶ οἴκῳ τῶν ἀναγκαίων. Διττὰ δὲ ταῦτα, πρός τε τὸ κοινότερον ζῆν καὶ πρὸς τὸ εὖ. Τούτων γὰρ πρῶτον ἔχειν δεῖν πρόνοιαν τὸν οἰκονομικόν, ἢ τὰς προσόδους αὔξοντα διὰ πορισμῶν ἐλευθερίων ἢ τὰ δαπανήματα συστέλλοντα· μέγιστον γὰρ δὴ τοῦτο τὸ κεφάλαιον τῆς οἰκονομικῆς. Διὸ καὶ πολλῶν ἔμπειρον 〈δεῖν〉 εἶναι τὸν οἰκονομικόν, γεωργίας, προβατείας, μεταλλείας, ἵνα τοὺς λυσιτελεστάτους καρποὺς ἅμα καὶ δικαιοτάτους διαγινώσκῃ. Τῆς δὲ χρηματιστικῆς τὴν μὲν εἶναι κρείττω, τὴν δὲ χείρω· κρείττω μὲν τὴν φύσει γιγνομένην, χείρω δὲ τὴν διὰ καπηλικῆς. 〈Καὶ ταῦτα Εἶτα ὅτι ἡ τελειοτάτη κοινωνία πόλις ἐστὶ καὶ ὅτι πολίτης ἐστὶν ᾧ μέτεστι πολιτικῆς ἀρχῆς. Πόλις δὲ τὸ ἐκ τῶν τοιούτων πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς. Τοῦ δὲ πλήθους ὅρον εἶναι τοιοῦτον, ὥστε μήτε τὴν πόλιν ἀσυμπαθῆ μήτ’ εὐκαταφρόνητον ὑπάρχειν, παρεσκευάσθαι δὲ καὶ τὰ πρὸς τὴν ζωὴν ἀνενδεῶς καὶ τὰ πρὸς τοὺς ἔξωθεν ἐπιόντας ἱκανῶς. Εἶναι γὰρ τῆς φρονήσεως τὸ μὲν οἰκονομικόν, τὸ δὲ νομοθετικόν, τὸ δὲ πολιτικόν, τὸ δὲ στρατηγικόν. Οἰκονομικὸν μέν, ὡς εἶπον (p. 149, 8—10), τὸ διοικητικὸν αὐτοῦ τε 〈οἴκου〉 καὶ τῶν περὶ οἶκον, νομοθετικὸν δὲ … 〈πολιτικὸν δὲ …, στρατηγικὸν δὲ〉 τὸ περὶ τὴν θεωρίαν καὶ διοίκησιν τῶν στρατοπέδῳ συμφερόντων. Ἄρχειν δ’ ἀναγκαῖον τῶν πόλεων ἢ ἕνα ἢ ὀλίγους ἢ πάντα ς . Τούτων δ’ ἕκαστον ὀρθῶς ἢ φαύλως ἔχειν. Ὀρθῶς μέν, ὅταν οἱ ἄρχοντες τοῦ κοινῇ συμφέροντος στοχάζωνται· φαύλως δέ, ὅταν τοῦ ἰδίου. Τὸ δὲ φαῦλον παρέκβασιν εἶναι τοῦ ὀρθοῦ. Βασιλείαν μὲν οὖν καὶ ἀριστοκρατίαν καὶ δημοκρατίαν ἐφίεσθαι τοῦ ὀρθοῦ· τυραννεσθαι δέ τινα καὶ μικτὴν ἐκ τῶν ὀρθῶν πολιτείαν ἀρίστην. Μεταβάλλειν δὲ τὰς πολιτείας πολλάκις πρὸς τὸ ἄμεινον καὶ τὸ χεῖρον. Καθόλου δ’ ἀρίστην εἶναι πολιτείαν τὴν κατ’ ἀρετὴν διακεκοσμημένην, χειρίστην δὲ τὴν κατὰ κακίαν. Ἄρχειν δὲ καὶ βουλεύειν καὶ δικάζειν ἐν μὲν ταῖς δημοκρατίαις ἐκ πάντων, ἢ αἱρέσει ἢ κλήρῳ· ἐν δὲ ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀλιγαρχίαις ἐκ τῶν εὐπόρων· ἐν δὲ ταῖς ἀριστοκρατίαις ἐκ τῶν ἀρίστων. Στάσεις δ' ἐν ταῖς πόλεσι γίνεσθαι τὰς μὲν κατὰ λόγον, τὰς δὲ κατὰ πάθος. Κατὰ λόγον μέν, ὅταν οἱ ἴσοι ὄντες 〈ἄνισα, οἱ δὲ ἄνισοι ὄντες〉 ἴσα ἔχειν ἀναγκάζωνται· κατὰ πάθος δὲ διὰ τιμὴν ἢ φιλαρχίαν ἢ κέρδος ἢ εὐπορίαν. Καταλύεσθαι δὲ τὰς πολιτείας διὰ δύο αἰτίας, ἢ βίᾳ ἢ ἀπάτῃ. Μονιμωτέρας δὲ γίνεσθαι τοῦ κοινῇ συμφέροντος ἐπιμελουμένας. Δικαστήρια δὲ καὶ βουλευτήρια καὶ ἐκκλησίας καὶ ἀρχὰς διωρίσθαι ταῖς πολιτείαις οἰκείως. Κοινοτάτας δ' ἀρχὰς εἶναι ἱερωσύνην θεῶν, στρατηγίαν, ναυαρχίαν, ἀγορανομίαν, γυμνασιαρχίαν, γυναικονομίαν, παιδονομίαν, ἀστυνομίαν, ταμιείαν, νομοφυλακίαν, πρακτορείαν. Τούτων δ' εἶναι τὰς μὲν κατὰ πόλεις, τὰς δὲ κατὰ πόλεμον, τὰς δὲ περὶ τοὺς λιμένας καὶ τὰς ἐμπορίας. Πολιτικοῦ δ' ἀνδρὸς ἔργον εἶναι καὶ τὸ διορθῶσαι τἀναγκαῖ α , τὸ δὲ πρὸς τὰ σπουδαῖ α . Δημιουργοὺς μὲν γὰρ καὶ θῆτας καὶ γεωργοὺς καὶ ἐμπόρους πρὸς τὸ ἀναγκαῖον, ὑπηρέτας γὰρ εἶναι τοῖς πολιτικοῖς τούτους· τὸ δὲ μάχιμον πᾶν καὶ βουλευτικὸν κυριώτερον εἶναι διὰ τὸ ἀρετῆς ἐπιμελεῖσθαι καὶ περὶ τὰ καλὰ σπουδάζειν. Τούτων δὲ τὸ μὲν πρεσβύτερον προβουλεύειν, τὸ δὲ γεραρώτερον θεραπεύειν τὸ θεῖον, τὸ δὲ νέον ἁπάντων προπολεμεῖν. Ταύτην δ' ἀρχαίαν εἶναι πάνυ τὴν διάταξιν, Αἰγυπτίων πρώτων καταστησαμένων. Πολιτικὸν δὲ καὶ τῶν ἄλλων οὐχ ἧττον καὶ τὸ τὰ ἱερὰ τῶν θεῶν ἐν τοῖς ἐπιφανεστάτοις ἱδρῦσθαι τόποις· καὶ τὸ τῆς τῶν ἰδιωτῶν χώρας τὸ μὲν ἕτερον πρὸς ταῖς ἐσχατιαῖς διατετάχθαι, τὸ δ' ἕτερον πρὸς τῇ πόλει, ἵνα δύο κλήρων ἑνὶ ἑκάστῳ νεμηθέντων, ἀμφότερα τὰ μέρη τῆς χώρας εὐσύνοπτα ὑπάρχῃ. Χρήσιμον δὲ καὶ τὸ νομοθετεῖν συσσίτια ποιεῖσθαι καὶ τὸ περὶ τῆς κοινῆς παιδείας τῶν τέκνων σπουδάζειν· καὶ τὸ πρὸς τὴν ῥώμην τῶν σωμάτων καὶ τελειότητα δεῖν μήτε νεωτέρων ἄγαν μήτε πρεσβυτέρων τοὺς γάμους ποιεῖσθαι, ἀτελῆ γὰρ γίγνεσθαι κατ' ἀμφοτέρας τὰς ἡλικίας καὶ τελείως ἀσθενῆ τὰ ἔκγονα. Καὶ τὸ νομοθετεῖν δὲ μηθὲν ἐκτρέφειν πεπηρωμένον μηδ' ἐκτιθέναι τέλειον μηδ' ἐξαμβλοῦν συμφορώτατον δήπου. Καὶ τῶν μὲν πολιτικῶν τὰ κεφάλαια

2.8 Φιλήμονος (Com. IV p. 54, fr. 57). Ὅσα διὰ τοὺς πράττοντας αὐτοὺς γίγνεται, οὐδενὶ πρόσεστιν οὐδὲ κοινωνεῖ τύχη. Εὐριπίδου Πελιάσιν (fr. 609 N.). Οὐκ ἔστι τὰ θεῶν ἄδικ'· ἐν ἀνθρώποισι δὲ κακῶς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει. Μενάνδρου (Com. IV p. 254, fr. 74). Εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεί, οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη τύχης. Εὐριπίδου Πειρίθῳ (fr. 601 N.). Ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ ἔρριψεν ὅστις τόνδ' ἐκαίνισεν λόγον, ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη. Μενάνδρου (Com. IV p. 247, fr. 43). Ἀδύνατον ὡς ἔστιν τι σῶμα τῆς τύχης· ὁ μὴ φέρων δὲ κατὰ φύσιν τὰ πράγματα τύχην προσηγόρευσε τὸν ἑαυτοῦ τρόπον. Φιλήμονος Παγκρατιαστῇ (Com. IV p. 16, fr. 1). Καὐτόν τι πράττειν· οὐ μὲν οὖν τὰς ἐλπίδας συλλαμβάνεσθαι· ῥᾷον ἡ τύχη πονεῖ, ἐὰν μεθ' ἑτέρου τοῦτο, μὴ μόνη, ποιῇ. Μενάνδρου (= Ῥαπιζο μ . Com. IV p. 189, fr. 2). Ἀτύχημα κἀδίκημα διαφορὰν ἔχει· τὸ μὲν διὰ τύχην γίγνεται, τὸ δ' αἱρέσει. Εὐριπίδου Ὀρέστῃ (251. 252). Σὺ νῦν διάφερε τῶν κακῶν, ἔξεστι γὰρ καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε. Μενάνδρου Ῥαπιζομένῃ (Com. IV p. 197, fr. 1, v.1. 2). Ὁ μὴ δεχόμενος τῶν θεῶν τὸ σύμφορον αὐτῶν διδόντων ἕνεκα τοῦ ζῆν οὐ βούλεται. 〈Anonymi (=Menander fr. s. s., v. 3. 4)〉 . τὸ δ' ἀτυχεῖν ἢ τὸ μὴ Αἰσχύλου (fr. 380 N.). Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων. 〈Euripidis (fr. 1015 N.)〉 . Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα. Τοῦ αὐτοῦ (=Ῥαδαμάνθ. fr. 660 N.). Ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου· ὃ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν, τῷ δ' οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις· ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ· οἳ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν ζητοῦσιν· οὕτω βίοτος ἀνθρώπων πλάνη. Ἐγὼ 〈δὲ〉 τούτων οὐδενὸς χρῄζω τυχεῖν, δόξαν δὲ βουλοίμην ἂν εὐκλείας ἔχειν. Ὁμήρου Ὀδυσσείας (λ' 110—112). Εἰ μέν κε ἀσινέας ἐάας, νόστου τε μέδηαι, καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε· εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον. Ὁμήρου Ἰλιάδος (Ι 410—416). Μήτηρ γάρ

τέ μέ φησι, θεὰ Θέτις ἀργυρόπεζα, διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε. Εἰ μέν κ’ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι, ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται. Δημοσθένους ἐν τῷ ὑπὲρ τοῦ στεφάνου (XVIII 208 p. 297). Ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον ἅπασι πέπρακται· τῇ τύχῃ δ’, ἣν ὁ δαίμων ἔνειμεν ἑκάστῳ, ταύτῃ κέχρηνται. Δημοκρίτου (fr. eth. 14 ap. Mullach. p. 167). Ἄνθρωποι Τύχης εἴδωλον ἐπλάσαντο, πρόφασιν ἰδίης ἀβουλίης. Βαιὰ γὰρ φρονήσι τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίῳ εὐξύνετος ὀξυδερκίη κατιθύνει. Ἀναξιμένου ς . Τὸ γὰρ δυσλόγιστον τοῦ βίου τοῖς ἀνθρώποις τύχην προσαγορεύειν εἰώθαμεν. Εἰ γὰρ ταῖς γνώμαις πάντα κατωρθοῦμεν, ὄνομα τῆς τύχης οὐκ ἂν ἦν. Ἐπανδρίδο υ . Φρόνιμος ὁ δι’ ἑαυτὸν εὖ πρήσσων, ὁ δὲ διὰ τὴν Τοῦ αὐτο ῦ . Φρόνησις εὐτυχίην ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιέει. Θουκυδίδου δημηγορίας Ἀθηναίων (I 75, 4). Πᾶσι δὲ ἀνεπίφθονον τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι. Διογένου ς . Διογένης ἔφη νομίζειν ὁρᾶν τὴν Τύχην ἐνορούουσαν αὐτῷ καὶ λέγουσαν (Θ 299) Τοῦτον δ’ οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 9). Νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὐκ ἔστιν, ἐὰν μὴ αὐτὴ θελήσῃ. Χώλωσις σκέλους ἐστὶν ἐμπόδιον, 〈προαιρέσεως δὲ οὔ. Καὶ τοῦτο ἐφ’ ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον,〉 σὸν δ’ οὔ. 〈 Τοῦ αὐτοῦ 〉 (c. 8). Μὴ ζήτει τὰ γιγνόμενα γίγνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε ὡς τὰ γιγνόμενα γίγνεται καὶ εὐροήσεις. Κρίτωνος Πυθαγορείου ἐκ τοῦ Περὶ φρονήσιος (fr. 3 ap. Mullach, phil. Gr. II p. 25). μάν, μήτε μὰν πάλιν ἀπροαιρέτως. Ἀρχὰν γὰρ αὐτῷ ἐνεφύτευσε τοιαύταν, ἅ τις καὶ τὸ δυνατὸν ἅμα περιέχει καὶ τὸ προαιρετόν, ἵνα τᾶς μὲν δυνάμιος καὶ κατοχᾶς τῶν ἀγαθῶν αὐτὸς αἴτιος ἔῃ, τᾶς δ’ ἐπὶ ταῦτα παρορμάσιος καὶ κατ’ ὀρθὸν λόγον ὀπαδήσιος ὁ θεός. Καὶ διὰ τοῦτο ἀναθρῴσκοντα αὐτὸν ἐποίησεν εἰς [τὸν] ὠρανὸν καὶ αὐτὸ νοατὸν καὶ ὄψιν αὐτῷ ἐνέφυσε τοιαύταν, τὸν προσαγορευόμενον νόον, ᾧ τὸν θεὸν ὀψεῖται. Οὔτε γὰρ ἄνευ θεῶ τὸ ἄριστον καὶ τὸ κάλλιστον ἦν εὑρὲν οὔτ’ ἄνευ νόω ἰδὲν τὸν θεὸν αὐτόν, ἐπειδὴ πᾶν τὸ θνατὸν φύσιν ἔχει μετὰ ἀφροσύνας συγγενέος ῥιζοῦσθαι· καὶ ταύταν οὐχ ὁ θεός ἐστιν ὁ δωρούμενος, ἀλλ’ ἃ τᾶς γενέσιος οὐσία καὶ τᾶς αὐτῶν ψυχᾶς ἃ προαίρεσις. Ἐκ τοῦ Πλουτάρχου εἰ ἡ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος (fr. XV, 3). Ὁ δὲ Νέστωρ οὐκ ἀβέλτερος; ὕπνου φθονῶν τοῖς τὰς ναῦς φυλάσσουσι καὶ διακελευόμενος, οὕτω νῦν φίλα τέκνα φυλάσσετε, μηδέ τιν’ ὕπνος αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν (K 192. 193); Οὐ γενησόμεθα, φησί τις, οὐδ’ ἂν καθεύδωμεν, εἰ πεπρωμένον ἐστὶ μὴ ἁλῶναι τὸν ναύσταθμον. Τίς οὐκ ἂν εἴποι ἅπαντα ταῦτα, συγκαθείμαρται δὲ ἑκάστῳ τὸ διὰ τούτων καὶ τὸ ἐν τούτοις καὶ 〈τὸ〉 οὕτω καὶ τὸ μὴ ἄλλως συντελεῖσθαι δίχα τούτων; Οὐ γὰρ ἔστι φυλακὴ καθευδόντων οὐδὲ νίκη φευγόντων οὐδὲ θερίσαι μὴ σπειράντων τὴν ἀγαθὴν γῆν καὶ καθαρὰν οὐδὲ γεννῆσαι μὴ συγγενόμενον γυναικὶ ἡλικίαν ἐχούσῃ καὶ σώματος φύσιν γόνιμον οὐδὲ ἄγρας τυχεῖν ἐν ἀθήροις χωρίοις. Αἰσχίνου (C. F. Hermann. Aesch. Socr. reliqu. p. 26) Ἀνθρώπῳ δέ τοι οὐκ ἄπορον καλὸν κἀγαθὸν εἶναι. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 17). Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος, οἷον ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχύ, βραχέος· ἂν μακρόν, μακροῦ· ἂν πτωχὸν ὑποκρίνασθαί 〈σε〉 θέλῃ, τοῦτον ἵνα καλῶς ὑποκρίνῃ· ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. Σὸν γάρ ἐστι τὸ δοθὲν πρόσωπον ὑποκρίνασθαι καλῶς, ἐκλέξασθαι δὲ τὸ πρόσωπον ἄλλου. Ἐπικούρου (sent. select. XVI p. 74 Usener.) Βραχεῖα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ μέγιστα καὶ κυριώτατα λογισμὸς διῴκηκε κατὰ τὸν βίου συνεχῆ χρόνον. Σωκράτου ς . Σωκράτης ἔφη μεγίστην μὲν ἀρχὴν εἶναι τὴν βασιλείαν, ἀρίστην δὲ τὸ ἑαυτοῦ ἄρχειν. Ῥούφου ἐκ τῶν Ἐπικτήτου Περὶ φιλίας (=Epictet. fr. 169 Schw.). ᾧ δὴ καὶ αὐτὸς εὐδαίμων ἐστὶ τὴν χρῆσιν τῶν φαντασιῶν. Τοῦτο γὰρ ὀρθῶς γιγνόμενον ἐλευθερία ἐστίν, εὔροια, εὐθυμία, εὐστάθεια, τοῦτο δὲ καὶ δίκη ἐστὶ καὶ νόμος καὶ σωφροσύνη καὶ ξύμπασα ἀρετή. Τὰ δ’ ἄλλα πάντα οὐκ ἐφ’ ἡμῖν ἐποιήσατο. Οὐκοῦν καὶ ἡμᾶς συμψήφους χρὴ τῷ θεῷ γενέσθαι καὶ ταύτῃ

διελόντας τὰ πράγματα, τῶν μὲν ἐφ' ἡμῖν πάντα τρόπον ἀντιποιεῖσθαι, τὰ δὲ μὴ ἐφ' ἡμῖν ἐπιτρέψαι τῷ κόσμῳ, καὶ εἴτε τῶν παίδων δέοιτο, εἴτε τῆς πατρίδος, εἴτε τοῦ σώματος, εἴτε ὁτουοῦν, ἀσμένους παραχωρεῖν. Ἑρμοῦ (p. 42 Patric.). Ἔστι τοίνυν οὐσία καὶ λόγος καὶ νόημα καὶ διάνοια. Φέρεται δ' ἐπὶ τὴν διάνοιαν καὶ δόξα καὶ αἴσθησις. Ἴεται δ' ὁ λόγος ἐπὶ τὴν οὐσίαν, τὸ δὲ νόημα δι' αὐτοῦ ἵεται. Ἐπιπλέκεται δὲ τὸ νόημα τῇ διανοίᾳ, ἐλθόντα δὲ δι' ἀλλήλων μία ἰδέα ἐγένοντο, αὕτη δέ ἐστιν ἡ τῆς ψυχῆς. Φέρεται δ' ἐπὶ τὴν αὐτῆς διάνοιαν δόξα καὶ αἴσθησις· ταῦτα δὲ ἐπὶ τοῦ αὐτοῦ οὐ μένει, ἔνθεν καὶ ὑπερβάλλει καὶ ἐλλείπει καὶ ἑαυτῷ διαφέρεται· χεῖρον μὲν γίνεται, ὅταν ἀποσπασθῇ τῆς διανοίας· ὅταν δὲ ἀκολουθῇ καὶ πείθηται, κοινωνεῖ τῷ νοηματικῷ λόγῳ διὰ τῶν μαθημάτων. Τὸ δὲ αἱρεῖσθαι ἔχομεν, τὸ γὰρ αἱρεῖσθαι τὸ κρεῖττον ἐφ' ἡμῖν ἐστίν, ὁμοίως δὲ καὶ τὸ χεῖρον ἀκουσίως· ἐχομένη γὰρ αἵρεσις τῶν κακῶν πλησιάζει τῇ σωματικῇ φύσει, διά 〈τε〉 τοῦτο τῷ ἑλομένῳ εἱμαρμένη δυναστεύει. Ἐπεὶ τοίνυν ἡ ἐν ἡμῖν ἀσώματος οὐσία αὐτεξούσιός ἐστιν ὥσπερ ὁ νοηματικὸς λόγος, αὕτη δ' ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, διὰ τοῦτο εἱμαρμένη ταύτης οὐχ ἅπτεται, παραθεῖσα δὲ τὸν πρῶτον ἀπὸ τοῦ πρώτου θεοῦ διανοητικὸν λόγον, προίησι καὶ ὅλον τὸν λόγον ὃν συνέταξε φύσις τοῖς γιγνομένοις· τούτοις ψυχὴ κοινωνήσασα κοινωνεῖται ταῖς τούτων εἱμαρμέναις, ἀμέτοχος οὖσα τῆς τῶν γινομένων φύσεως. Ἐκ τοῦ Πλουτάρχου Περὶ φιλίας (fr. XVII p. 550=827). Ὅθεν οὐ δεῖ παντάπασι ταπεινοῦν τὴν φύσιν ὡς μηδὲν ἰσχυρὸν μηδὲ μόνιμον μηδὲ ὑπὲρ τὴν τύχην ἔχουσαν, ἀλλὰ τοὐναντίον εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου σαθρόν τε καὶ ἐπίκηρον ὃ δέχεται τὴν τύχην, τῆς δὲ βελτίονος μερίδος αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυνθέντα, δόξαι τε χρησταὶ καὶ μαθήματα καὶ λόγοι τελευτῶντες εἰς ἀρετὴν ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν καὶ ἀδιάφθορον, ἀνεκπλήκτους πρὸς τὸ μέλλον εἶναι καὶ θαρραλέους καὶ πρὸς τὴν τύχην λέγοντας, 〈ἃ〉 Σωκράτης, δοκῶν πρὸς τοὺς κατηγόρους λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν Ἄνυτος καὶ Μέλητος δύνανται, βλάψαι δὲ οὐ δύνανται. Καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιβαλεῖν, ἀφελέσθαι χρήματα, διαβαλεῖν πρὸς δῆμον ἢ τύραννον· κακὸν δὲ καὶ δειλὸν καὶ ταπεινόφρονα καὶ ἀγεννῆ καὶ φθονερὸν οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον 〈καὶ γενναῖον καὶ ἐλευθέριον〉, οὐδὲ παρελέσθαι τὴν διάθεσιν τῶν καλῶν. Πλάτωνος (Meno p. 99 A). Τὰ ἀπὸ τύχης γιγνόμενα οὐκ ἀνθρωπίνῃ ἡγεμονίᾳ γίγνεται, ᾧ δ' ἄνθρωπος ἡγεμών ἐστιν ἐπὶ τὸ ὀρθόν, δύο ταῦτα ἡγεῖται, δόξα ἀληθὴς καὶ ἐπιστήμη. 〈 Τοῦ αὐτοῦ (ibid. p. 97 E —98 A)〉. Αἱ δόξαι αἱ ἀληθεῖς, ὅσον μὲν ἂν χρόνον παραμένωσι, καλὸν τὸ χρῆμα καὶ πάντα τἀγαθὰ ἀπεργάζονται· πολὺν δὲ χρόνον οὐκ ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύουσιν ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου· ὥστε οὐ πολλοῦ ἄξιαί εἰσιν, ἕως ἄν τις αὐτὰς δήσῃ αἰτίας λογισμῷ. Ἐπειδὰν δὲ δεθῶσι, πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα μόνιμοι. Καὶ διὰ ταῦτα δὴ τιμιώτερον ἐπιστήμη ὀρθῆς δόξης ἐστὶ καὶ διαφέρει δεσμῷ. Τοῦ αὐτοῦ (Rep. VI p. 506 C). Τί δέ; οὐκ ᾔσθησαι τὰς ἄνευ ἐπιστήμης δόξας ὡς ἄπασαι αἰσχραί, ὧν αἱ βέλτισται τυφλαί; Ἢ δοκοῦσί τι τυφλῶν διαφέρειν ὁδὸν ὀρθῶς πορευομένων οἱ ἄνευ νοῦ ἀληθές τι δοξάζοντες; 〈 Τοῦ αὐτοῦ 〉 (Rep. VII p. 534 B—D) Ὃς ἂν μὴ ἔχῃ διορίσασθαι τῷ λόγῳ ἀπὸ τῶν ἄλλων ἁπάντων ἀφελὼν τὴν τοῦ ἀγαθοῦ ἰδέαν καὶ ὥσπερ ἐν κατ' οὐσίαν προθυμούμενος ἐλέγχειν, ἐν πᾶσι τούτοις ἀπτῶτι τῷ λόγῳ διαπορεύηται, οὔτε αὐτὸ τὸ ἀγαθὸν φήσει εἰδέναι τὸν οὕτως ἔχοντα οὔτε ἄλλο ἀγαθὸν οὐδέν, ἀλλ' εἴ πῃ αὐτοῦ εἰδώλου τινὸς ἐφάπτεται, δόξῃ οὐκ ἐπιστήμῃ ἐφάπτεσθαι καὶ τὸν νῦν βίον ὀνειροπολοῦντα καὶ ὑπνώττοντα, πρὶν ἐνθάδε ἐξέγρεσθαι, εἰς ᾅδου πρότερον ἀφικόμενον τελέως ἐπικαταδαρθεῖν. Τοῦ αὐτοῦ (Politic. p. 309 C). Τὴν τῶν καλῶν καὶ δικαίων πέρι 〈καὶ〉 ἀγαθῶν καὶ τῶν τούτοις ἐναντίων ὄντων οὖσαν ἀληθῆ δόξαν μετὰ βεβαιώσεως, ὁπόταν ἐν ψυχαῖς ἐγγίγνηται, θείαν φημὶ ἐν δαιμονίῳ γίγνεσθαι γένει. 〈 Τοῦ αὐτοῦ (Rep. I p. 340 E)〉. Ἐπιλιπούσης γὰρ ἐπιστήμης ὁ ἁμαρτάνων ἁμαρτάνει, ἐν ᾧ 〈οὐκ〉 ἔστι δημιουργός.

Πορφυρίου περὶ τοῦ ἐ φ ’ ἡμῖ ν . Ἐν ταῖς πρῴην ἡμῖν γεγονυίαις, Χρυσαόριε, πρὸς ἀλλήλους διαλέξεσι τὸν περὶ τῆς αἱρέσεως τῶν βίων ἀνακινήσαντες λόγον, ἣν ταῖς ἔξω ψυχαῖς ἀπονείμας ὁ Πλάτων κινδυνεύει τὸ ἐφ’ ἡμῖν καὶ ὅλως τὸ αὐτεξούσιον λεγόμενον ἀναιρεῖν, εἴγε ἐκ τῶν προβεβιωμένων κατὰ τὴν προτέραν περίοδον καὶ ὧν ἠγάπησαν ἢ ἐμίσησαν ἢ ἐφ’ οἷς ἥσθησαν σχεῖν τινας πιθανότητας· ἃ δὲ μετὰ τὸ ἐλέσθαι καὶ μέλλειν τοὺς κατὰ μέρος ἀνθρώπους ἀποφαίνειν, διὰ τῆς αὐτῶν εἰς τὰ σώματα εἰσκρίσεως παθεῖν αὐτὰς ἔφη, χαλεπὰ ἡμῖν ἐφαίνετο, ποτὲ μὲν λέγοντος (Rep. X p. 617 E)· „ὁ πρῶτος αἱρείσθω βίον ᾧ συνέσται ἐξ ἀνάγκης“, ποτὲ δὲ (ibid. p. 620 D —621 A), ὅτι ὃν εἰλήχαμεν δαίμονα ἀναπόδραστός τις ἡμῖν φρουρός. Τὴν γὰρ Λάχεσιν, ἥτις τῆς Ἀνάγκης ἐστὶ θυγάτηρ, τῷ λαχόντι καὶ ἑλομένῳ τινὰ βίον συμπέμπειν φύλακά τε τοῦ βίου καὶ ἐκ παντὸς ἀποπληρωτὴν τοῦ αἱρεθέντος· ὁ δὲ παραλαβὼν αὐτὸν καὶ πρὸς Κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρα καὶ τὴν ἐπιστροφὴν τοῦ ἀτράκτου ἀγαγὼν καὶ μετὰ ταῦτα πρὸς τὴν Ἄτροπον, τὴν τὰ ἐπικλωσθέντα ποιοῦσαν ἀμετάτροπα, ἐντεῦθεν ἤδη ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς Ἀνάγκης ἄγει θρόνον καὶ δι’ ἐκείνου διεξελθεῖν ποιήσας ἅμα τοῖς ἄλλοις, ἀπάγει εἰς τὸ τῆς Λήθης πεδίον παρὰ τὸν Ἀμέλητα ποταμόν, ἀφ’ οὗ μέτρον μὲν ἀναγκαῖον εἶναι πιεῖν, τοὺς δὲ πιόντας πάντων ἐκλανθάνεσθαι. Οὕτω δὲ τούτων ἐπικεκλωσμένων καὶ κατηναγκασμένων καὶ ἐπικεκυρωμένων ὑπὸ Μοιρῶν τε καὶ Λήθης καὶ Ἀνάγκης, ἑπομένου καὶ παραφυλάττοντος τὴν εἱμαρμένην τοῦ δαίμονος, τίνος ἂν εἴημεν κύριοι ἢ πῶς ἔτι „ἡ ἀρετὴ ἀδέσποτος, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει“ (Rep. X p. 617 E); Ἐπεὶ τοίνυν τὰ τοῦ Πλάτωνος εἰς τὰς χεῖρας λαβὼν μακρὰν ἡμᾶς ἀπεσφάλθαι τῆς τοῦ φιλοσόφου γνώμης κατεῖδον, ἐθαυμάσαμεν τοὺς ἀπορήσαντας. Βίους γὰρ αὐτοὺς μόνον λέγειν ἡγησάμενοι καὶ καθάπερ οἱ τὰ περὶ βίων πραγματευσάμενοι μέμνηνται γεωργικοῦ τινος βίου καὶ πάλιν πολιτικοῦ καὶ ἄλλου στρατιωτικοῦ, οὕτω καὶ τὸν Πλάτωνα πολλῶν καὶ διαφόρων ἐν ἀνθρώποις θεωρουμένων βίων καὶ τούτων τῆς αἱρέσεως ἐφ’ ἡμῖν ἐν πολλοῖς οὔσης καὶ πάλιν τῆς ἐξ αὐτῶν μεταθέσεως, εἰκότως θαυμάζουσι πῶς ὁ τούτων ἑλόμενός τινα κατηνάγκασται ἐκ παντὸς τοῦτον ἀποπλῆσαι μόνον. Οἱ μὲν γὰρ ἀπὸ τῆς Στοᾶς βίον λέγεσθαι ὑπολαμβάνουσι καθ’ ἕν τι σημαινόμενον λογικῆς ζωῆς, διέξοδον αὐτῷ ἀποδιδόντες ἐξ ἐνεργειῶν καὶ σχέσεων καὶ ποιήσεων καὶ παθημάτων συνεστῶσαν, ὁ δὲ Πλάτων καὶ τὰς τῶν ἀλόγων ζωὰς λέγει βίους (l. s. p. 620 A B). Βίος γὰρ κατ’ αὐτὸν καὶ ἡ τοῦ κύκνου ζωὴ καὶ πάλιν ἄλλος βίος ὁ λέοντος, καθ’ ὃ λέων, καὶ ἄλλος ὁ ἀηδόνος· βίος δὲ καὶ ὁ ἀνθρώπειος καὶ τούτου ὁ μέν τις γυναικεῖος, ὁ δὲ ἀνδρεῖος· λέγει γὰρ εἶναι παντοδαπὰ τῶν βίων τὰ παραδείγματα. Ἓν μὲν οὖν τοιοῦτον παρ’ αὐτῷ σημαινόμενον βίου, ἕτερον δὲ (l. s. p. 618 A) ὃ παρίστησι συμβεβηκός τι τούτων καὶ δεύτερόν τινα χαρακτῆρα ἐπὶ προηγουμένῳ τῷ ῥηθέντι βίῳ. Προηγούμενος μὲν γὰρ βίος κυνὶ ὁ κατὰ τὴν κυνὸς ζωήν· ἐπισυμβαίνει δὲ τῷ τοιούτῳ βίῳ ἢ τῶν θηρευτικῶν κυνῶν ἢ τῶν ἰχνευτικῶν ἢ τῶν περὶ τράπεζαν ἢ τῶν οἰκοφυλάκων, καὶ δεύτερος ἂν εἴη οὗτος βίος. Ἀλλὰ τοῖς μὲν ἀλόγοις, ἀφῃρημένοις τοῦ αὐτεξουσίου, ἢ διὰ φύσεως ὁ χαρακτὴρ οὗτος ἐπισυνίσταται ἢ διὰ κατατάξεως τοῦ κτησαμένου· ἐπὶ δὲ τῶν ἀνθρώπων τὸ μὲν ἢ ἐκ προγόνων γενέσθαι ἀγαθῶν ἢ κάλλους τυχεῖν σωματικοῦ διὰ φύσεως ἐπορίσθη ἢ τύχης, πλὴν ὅτι τούτων οὐδὲν ἦν ἐφ’ ἡμῖν δῆλον. Τὰς δέ γε τῶν τεχνῶν ἀναλήψεις καὶ τὰς τῶν ἐπιτηδευμάτων ἐπιστημῶν τε καὶ 〈τὰσ〉 τῶν πολιτικῶν βίων ἀρχῶν τε διώξεις καὶ ὅσα τοιαῦτα, ἐκ τοῦ ἐφ’ ἡμῖν ἠρτῆσθαι συμβέβηκεν, εἰ καί τινα δυσεπίτευκτα, τῷ καὶ τῆς ἔξωθεν προσδεῖσθαι συλλήψεως, δι’ οὗ εἰς τὸ τυχεῖν δύσκολα καὶ ἀποθέσθαι οὐ ῥᾴδια, ὥσπερ ἀρχὰς καὶ τυραννίδας καὶ δημαγωγίας. Πάντα μὲν οὖν τὰ τοιαῦτα ἠρτῆσθαι συμβέβηκεν 〈ἐκ〉 τῆς προαιρέσεως, ἡ δὲ τεῦξις αὐτῶν οὐ πάντως ἐφ’ ἡμῖν, ἀφ’ οὗ δ’ ἄν τινος τύχωμεν, τῇ τάξει αὐτοῦ ἔπεσθαι ἀνάγκη. Δέδοται μέντοι ἐπὶ πάντων σχεδὸν τῶν ἐχόντων μεσότητα καὶ μὴ ἤδη εἰς κακίαν ἀνηγμένων τὸ χρήσασθαι τοῖς βίοις οὗ τις μέτεισιν, ἢ κακῶς ἢ καλῶς. Καὶ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τυραννίδας τινὲς προαχθέντες ἥπιοι καὶ πρᾶοι γεγόνασι καὶ βασιλείαις πονηρῶς ἐχρήσαντο. Τούτων 〈δὲ〉 οὕτως ἐχόντων ἡ μὲν αἵρεσις τῶν βίων ταῖς ἔξω ψυχαῖς προηγουμένως τῶν πρώτων ἐστί, κἄπειτα αἱρεθέντος ἥ τε Ἀνάγκη τὸ ἀπαραίτητον ἐκύρωσεν, ὅ τε δαίμων ἐπηκολούθησεν, ὡς ἂν δὴ τοῦ βίου προστάτης ὢν καὶ ἐπόπτης ἕκαστος ἑκάστου, συναναγκάσων ἐμμένειν τὰς ψυχὰς τῷ αἱρεθέντι καὶ μὴ προβλέπειν, αἵ τε Μοῖραι τὸν τοιοῦτον ἐπένησαν ἑκάστῳ βίον, 〈οἷον〉 τά [τε] γιγνόμενα διὰ παντὸς μαρτυρεῖ τοῦ χρόνου. Οὔτε γὰρ ἀνήρ, κἂν σφόδρα δι' ἀσέλγειαν μαλακίζηται καὶ πάντ' αὐτῷ ἡ προαίρεσις μετασχηματίζῃ τὰ ἔξωθεν 〈εἰσ〉 τὰ τῆς θηλείας συνήθη, γυνή ποτ' ἂν γένοιτο, οὔτε γυνὴ τὰ ἀνδρῶν ἐγχειροῦσα δρᾶν, ἀνήρ ποτ' ἂν γένοιτο. Ζῶσι μὲν οὖν τοῦτον τὸν βίον αἱ ψυχαὶ μετ' ἀνάγκης, διὰ λήθης αὐτὸν διεξάγουσαι καὶ ὅτι ἐπ' καθ' ἑαυτὴν καὶ μὴ ἐν σώματι [δεδεμένην] πεπεδημένην, πρὸς δὲ τὰ τοῦ ζῴου καὶ συναμφοτέρου 〈πρὸσ〉 αὐτεξούσια ἔργα λελυμένου. Σὺν γὰρ τούτῳ διεξάγει τὸν ἀνθρώπειον βίον ἕκαστος ἡμῶν, σὺν τῷ ἔχειν πρὸς τὰ τοῦ συναμφοτέρου αὐτεξούσια ἔργα τὴν ὁρμὴν προσήκουσαν. Ἐν ταὐτ ῷ . Διοικεῖται γὰρ τὸ ζῷον ἕκαστον κατὰ τὴν τῇδε προσήκουσαν αὐτῷ διάζησιν. Ἔχει δὲ ὁ βίος ὁ τοῦ ἀνθρώπου τὸ κατάλληλον τῷ ἀνθρώπῳ αὐτεξούσιον ἐφ' ἑαυτῷ. Διὸ κἂν ἄγηται ὑπὸ προθυμιῶν φυσικῶν πρός τινα τῶν ἐνταῦθα ἐν αἱρέσει πιπτόντων βίων, ἀλλ' ἐφ' αὑτῷ ἔχει τὸ μὴ ἐμπεσεῖν, κἂν πάντως ἐμπέσῃ. Ὅσα γὰρ τῇ πιθανῇ φαντασίᾳ συγκατατιθέμεθα διὰ τὸ πιθανόν, ἀλλ' ἐφ' ἡμῖν καὶ τὸ μὴ συγκατατίθεσθαι, ὅ τι μὴ ἡ φαντασία σύρει ἡμᾶς καὶ νευροσπαστεῖ πρὸς αὐτήν. Ἐν ταὐτ ῷ . Τὸ γὰρ ὅλον βούλημα τοιοῦτ' ἔοικεν εἶναι τὸ τοῦ Πλάτωνος· ἔχειν μὲν τὸ αὐτεξούσιον τὰς ψυχάς, πρὶν εἰς σώματα καὶ βίους διαφόρους ἐμπεσεῖν, εἰς τὸ 〈τοῦτον〉 ἢ τοῦτον ἑλέσθαι τὸν βίον, ὃν μετὰ ποιᾶς ζωῆς καὶ σώματος οἰκείου τῇ ζωῇ ἐκτελέσειν μέλλει (καὶ γὰρ λέοντος βίον ἐπ' αὐταῖς εἶναι ἑλέσθαι καὶ ἀνδρός)· κἀκεῖνο μὲν καὶ ἀντὶ ψυχῶν ἀπολύτων γεγονυῖαι ψυχαὶ ζῴων, τὸ αὐτεξούσιον φέρουσιν οἰκεῖον τῇ τοῦ ζῴου κατασκευῇ καὶ ἐφ' ὧν μὲν εἶναι πολύνουν καὶ πολυκίνητον ὡς ἐπ' ἀνθρώπου, ἐφ' ὧν δὲ ὀλιγοκίνητον καὶ μονότροπον ὡς ἐπὶ τῶν ἄλλων σχεδὸν πάντων ζῴων. Ἐξηρτῆσθαι δὲ τὸ αὐτεξούσιον τοῦτο τῆς κατασκευῆς, κινούμενον μὲν ἐξ ἑαυτοῦ, φερόμενον δὲ κατὰ τὰς ἐκ τῆς κατασκευῆς γιγνομένας προθυμίας. Ἐν ταὐτ ῷ . Πανταχοῦ δὲ τὰς ὑπερβολὰς φεύγειν προσήκει, διώκειν δὲ τὸ μέσον, ἂν μὴ ἤδη τὸ ἐφ' ἡμῖν πάθεσι κακίας ἀνηκέστοις δεδεμένον δουλεύῃ καὶ ὑποτεταγμένον ᾖ τούτοις. Ἀρέσκει καὶ τὸ μὴ ἀτάκτως κληροῦσθαι τὰς ψυχὰς τοὺς βίους καὶ λαμβάνειν αὐτούς, ἀλλὰ τάξει καὶ ὡς ἄγει αὐτὰς ἡ περίοδος. Ἡ μὲν γὰρ πρώτη παυσαμένη ἐν τῇ πρώτῃ περιόδῳ πρώτη ἥξει, ἡ δὲ δευτέρα 〈δευτέρα〉 ἐν τῇ δευτέρᾳ κληρωσομένη· στρεφομένας γὰρ ὑπὸ τοῦ παντὸς καὶ καταληγούσας τῇ τούτου φορᾷ περιάγεσθαι ὡς εἰς τάξιν, κλήρων σημαινόντων τὸ πρῶτον καὶ τὸ δεύτερον. Διὸ καὶ τῆς Λαχέσεως οἱ κλῆροι λαμβάνονται τῷ προφήτῃ (Plat. Rep. X p. 617 D), ἥτις ἀπὸ τοῦ λαγχάνειν καὶ κληροῦσθαι κέκληται. Λάχεσιν δὲ τὴν τοῦ παντὸς περιστροφὴν πολλοὶ εἶναι εἰρήκασιν. Ἀρέσκει καὶ τὸ χραίνεσθαι τὸ μὲν ἐπὶ ταῖς ψυχαῖς αὐτεξούσιον ὑπὸ τῆς ἐγγινομένης ἐνταῦθα προβιοτῆς, τὸ ὁ Πλάτων λέγει. Ἀρέσκει καὶ τὸ τοιαύτην εἶναι τὴν εἱμαρμένην, ἐοικυῖαν ταῖς τῶν νόμων διαγορεύσεσι, νόμον οὖσαν καὶ αὐτὴν καὶ, θεῶν ψήφισμα παλαιόν, ἀΐδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις, φησὶν Ἐμπεδοκλῆς (v. 369. 370 Stein.). Οἵ τε γὰρ νόμοι, οὐκ ἀναγκάζοντες, διαγορεύουσιν, ὡς ἐὰν λῃστεύσῃς, τάδε πείσῃ· ἐὰν δὲ ἀριστεύσῃς, τῶνδε τεύξῃ· οἵ τε καθ' εἱμαρμένην θεσμοί, ἐὰν βίον ἕλῃ ἀνδρός, οὕτως ζήσῃ, οὐ μὴν ἔτι καὶ ἑλοῦ ἐκ παντὸς ἀναγκάζουσι· καὶ ἐὰν 〈ἐν〉 ἀνδράσι γενόμενος βίον ἕλῃ στρατιώτου, τάδε σε παθεῖν καὶ δρᾶσαι ἀνάγκη, οὐ μὴν ἔτι βίον σε ἀνάγκη ἑλέσθαι στρατιώτου καὶ τάδε παθεῖν 〈καὶ δρᾶσαι〉 ἐξ ἀνάγκης. Δι' ὃ κεῖται μὲν τὰ παραδείγματα καὶ τῶν πρώτων καὶ δευτέρων· ἐπὶ δὲ ταῖς ψυχαῖς ἐστι, τούς τε πρώτους ἑλέσθαι βίους καὶ ζῆσαι, φέρε, βίον ἀνθρώπου, τῶν τε δευτέρων ἑλέσθαι βίον τινά· ἑλομένῳ δὲ καὶ ζῶντι κατὰ τοῦτον, ἀνάγκη

τἀκόλουθα καὶ δρᾶσαι καὶ παθεῖν. Εἰ μέντοι ἐνδέχεται καταμαντευσάμενον τῆς Πλάτωνος γνώμης, ἐπιτυχῶς στοχάσασθαι, πόθεν ταῦτα λαβὼν Πλάτων περὶ αὐτῶν διελέχθη ὡς τοῖς γιγνομένοις ὄντων διακῷ ἄστρα διαθέσεως, 〈ὡσ〉 ἀκολούθους τῇ τοῦ ὡροσκόπου ἀνατολῇ. Ἀναγκάζειν μὲν τὴν ποιὰν διάθεσιν τῶν σχηματισμῶν ποιοὺς εἶναι τοὺς βίους ταῖς διὰ τῆς ὡροσκοπούσης μοίρας ἰούσαις ψυχαῖς εἰς τὴν γένεσιν, πὼς ἐχόντων τότε τῶν σχηματισμῶν, μὴ συντίθεσθαι αὐτὸν τοῖς Αἰγυπτίοις· τῶν δὲ ψυχῶν κατὰ τὰς ἐνούσας διαθέσεις ἐπὶ τοὺς ὡροσκόπους φερομένων καὶ βίους, 〈οὓσ〉 σημαίνουσιν οἱ σχηματισμοί, βλεπουσῶν ὥσπερ ἐν πίνακι [γεγραμμένα] ἐν τῇ οὐρανίᾳ γῇ γεγραμμένους, τὰς ἑλομένας διὰ μὲν τὸ αὐτεξούσιον δύνασθαι καὶ μὴ βιῶναι οὕτως, ἑλομένας δὲ τὰ ἐν τῇ στροφῇ κατὰ στιγμὴν τοῦ χρόνου τῆς ἀναφορᾶς τοῦ ὡροσκόπου ἐναλλαττόμενα ἀνάγκῃ ἐκτελεῖν τὰ γεγραμμένα. Διὰ τί οὖν ἐν τῇ αὐτῇ ἀναφορᾷ φέρε καὶ κύων γεννᾶται καὶ ἀνὴρ καὶ γυνὴ καὶ πολλοὶ ἄνδρες καὶ πάντων οὔτε ὁ πρῶτος βίος ὁ αὐτὸς οὔτε ὁ δεύτερος; Πρῶτον μὲν οὖν εἴποιμ' ἂν οὐχ οὕτως ταχυτέραν ταῖς ψυχαῖς πορείαν πάσαις, ὡς μὴ φθάσαι τὴν ἀναφορὰν τοῦ ὡροσκόπου τὴν ἐκείνων εἴσοδον· προλαμβανούσης δὲ ἀεὶ τῆς φορᾶς καὶ ἑκάστης κατὰ κλῆρον διαφορᾶς ἄλλο παράδειγμα βίου φερούσης, ἀνάγκη μηδέποτε συντρέχειν πάντῃ τοὺς δοκοῦντας ἐν τῇ 〈αὐτῇ〉 ὥρᾳ εἰς τὸν κόσμον τινας τῶν δευτέρων βίων, οὐχ ὁμοίως προσέχειν πάσας ποιεῖ τοῖς γεγραμμένοις. Ἤδη οὖν ἡ μὲν ἑλομένη κυνὸς βίον ἔρχεται ἐπὶ τόνδε τὸν ὡροσκόπον· ἡ δὲ ἀνθρώπου κατὰ τὴν παράκλισιν τῆς στιγμῆς ἐπὶ τόνδε· φέρει δ' αὐτὴν ἡ Δίκη κατὰ τῆς ἠθοποιίας ἰδιότητα ἐπί τινα μοῖραν τῆς περιφορᾶς, ἣ βίον ἔχει γεγραμμένον πρόσφορον ταῖς αὐτῆς προθυμίαις. Ἡ δὲ Δίκη Τύχη λέγεται, αἰτία οὖσα ἄδηλος ἀνθρωπείῳ λογισμῷ. Ζῳδίων δὲ ὄντων δώδεκα, δι' ὧν ἡ ὁδὸς ταῖς ψυχαῖς πεπίστευται τοῖς Αἰγυπτίοις γίγνεσθαι τῇδε πανταχοῦ σχεδόν, αἱ μὲν πρῶται τοῦ ζῳδιακοῦ μοῖραι, ὡς ἂν ἀγαθῷ νενεμημέναι τῷ κυρίῳ τοῦ ζῳδίου, παρεδόθησαν εἶναι ἀμφιλαφεῖς· αἱ δὲ τελευταῖαι ἐπὶ πάντων τοῖς κακοποιοῖς λεγομένοις ἀστράσιν ἀπενεμήθησαν. Ἐντεῦθεν οὖν ἡ τῶν πρώτων κλήρων εὐμοιρία ἀποδοχῆς ἠξίωται καὶ ἡ τῶν ὑστέρων ἐστενοχωρεῖσθαι λέγεται. Σημαίνειν μὲν οὖν τὰ ποιὰ σχήματα τοὺς βίους τίθεται Πλάτων· ἀναγκάζειν δὲ οὐκέτι, ἀλλὰ τὰς ἑλομένας ζῆν καὶ καθὰ σημαίνει ἐξ ἀνάγκης ἔχειν τὸν εἱρμὸν τῶν γεγραμμένων. Αἰτία τοίνυν ἑλομένων ἢ γυναικὸς ἢ ἀνδρὸς βίον ἢ ἄλλου τινὸς ζῴου τῆς εἰς τὸν ὡροσκόπον φορᾶς· αἰτία δὲ καὶ τῆς ἐνεχθείσης εἰς τόνδε τὸν ὡροσκόπον τὸ ἑλέσθαι τὸν δεύτερον βίον, ὃν γεγραμμένον δεικνύει ἡ κατὰ τὸν ὡροσκόπον τεταγμένη φαίνειν τὸν κλῆρον εἴποι, τὴν δὲ τῆς ἐκ γαστρὸς ἐκτροπῆς ὡροσκοπίαν τοῦ δευτέρου βίου καὶ ἐπὶ τῷ προαιρεθέντι ἐνδεικνύναι τὴν αἵρεσιν. Ἀλλ' ὅτι μὲν ἐκ τῶν παρ' Αἰγυπτίοις παραδεδομένων ἡ τοῦ μύθου πλάσις ἐσκευώρηται, συγχωρήσειεν ἄν τις· εἰ δὲ κατ' αὐτὰ τὰ νοήματα κατὰ μέρος τῷ Πλάτωνι διεσκευάσθη, χαλεπὸν τὸ ἀποφήνασθαι. Ἐπεὶ δὲ καὶ Ὁμήρου τυγχάνεις ὢν ἐραστής τε καὶ ἐπαινέτης, ὅρα μοι μὴ καὶ αὐτὸς πρὸ τοῦ Πλάτωνος τὸ διττὸν οἶδε τῶν βίων, τὸν μέν τινα ἀκίνητον, ὃν ἑλέσθαι ἡ ψυχὴ ἢ μὴ ἑλέσθαι δύναται, ὅταν δὲ ἕληται ἀφύκτως ἔχουσα ** μεταβάλλειν, ἢ δι' ἀρετῆς αὐτὸν διοικεῖ ἢ κακίας· τούτου γὰρ μεμνημένος φησί (Ζ 488. 489)· Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται. Τοῦτο μὲν οὖν περὶ τοῦ πρώτου καὶ ἀπαραβάτου εἴη ἂν λέγων βίου· περὶ δὲ τοῦ δευτέρου, ὅτι ἐστὶν ἐφ' ἡμῖν, τί οὖν φησὶν Ὅμηρος (α 32—34); οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται. ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι. Διὰ τί οὖν „οἱ δὲ καὶ αὐτοί"; Δηλοῖ γὰρ ὅτι καὶ ἀπὸ θεῶν τι ἔρχεται εἰς αὐτούς, εἰ καὶ τὸ πλέον δι' αὐτούς· ἢ ὅτι τὰ παραδείγματα τῶν βίων παρὰ θεῶν, οὐδὲ αὐτοὺς ἔξω τῆς αἰτίας τοῦ εἰς κακὰ ἐμπίπτειν; ἀλλ' ἀπολύεται αὐτούς, τῷ αὐτεξουσίους ποιῆσαι τὰς ψυχὰς καὶ αὐταῖς ἐπιτρέψαι ἑλέσθαι βίους, οἱ δὲ ἐξ ἐπιδρομῆς καὶ ἀμαθίας „σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν". Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς πρὸς Μακεδόνιον περὶ εἱμαρμένη ς . Οὐσία

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστὶν ἄϋλος ἡ τῆς ψυχῆς καθ' ἑαυτήν, ἀσώματος, ἀγέννητος πάντῃ καὶ ἀνώλεθρος, παρ' ἑαυτῆς ἔχουσα τὸ εἶναι καὶ τὸ ζῆν, αὐτοκίνητος παντελῶς καὶ ἀρχὴ τῆς φύσεως καὶ τῶν ὅλων κινήσεων. Αὕτη δὴ οὖν καθ' ὅσον ἐστὶ τοιαύτη, καὶ τὴν αὐτεξούσιον καὶ τὴν ἀπόλυτον περιείληφεν ἐν ἑαυτῇ ζωήν. 〈Καὶ〉 καθ' ὅσον μὲν δίδωσιν ἑαυτὴν εἰς τὰ γιγνόμενα καὶ ὑπὸ τὴν τοῦ παντὸς φορὰν ἑαυτὴν ὑποτάττει, κατὰ τοσοῦτον καὶ ὑπὸ τὴν εἱμαρμένην ἄγεται καὶ δουλεύει ταῖς τῆς φύσεως ἀνάγκαις· καθ' ὅσον δὲ αὖ τὴν νοερὰν ἑαυτῆς καὶ τῷ ὄντι ἄφετον ἀπὸ πάντων καὶ αὐθαίρετον ἐνέργειαν ἐνεργεῖ, κατὰ τοσοῦτον τὰ ἑαυτῆς ἑκουσίως πράττει καὶ τοῦ θείου καὶ ἀγαθοῦ καὶ νοητοῦ μετ' ἀληθείας ἐφάπτεται. Ἐν ταὐτ ῷ . Τὸν κατὰ νοῦν ἄρα βίον καὶ τὸν ἐχόμενον τῶν θεῶν διαζῆν μελετητέον· οὗτος γὰρ ἡμῖν μόνος ἀποδίδωσι τὴν ἀδέσποτον τῆς ψυχῆς ἐξουσίαν, ἀπολύει τε ἡμᾶς τῶν ἀναγκαίων δεσμῶν καὶ ποιεῖ ζῆν οὐκ ἀνθρώπινόν τινα βίον, ἀλλὰ τὸν θεῖον καὶ τῇ βουλήσει τῶν θεῶν ἀγαθῶν ἀποπληρούμενον. Τοῦ αὐτο ῦ . Καὶ γὰρ ἤδη τὸ ὅλον εἰπεῖν, αἱ μὲν κινήσεις αἱ περὶ τὸν κόσμον τῆς πεπρωμένης πρὸς τὰς ἀΰλους καὶ νοερὰς πρὸς τὴν νοητὴν καὶ ἄχραντον εὐταξίαν ἀπείκασται· τὰ δ' αἴτια τὰ δεύτερα τοῖς προηγουμένοις αἰτίοις συνήρτηται καὶ τὸ ἐν γενέσει πλῆθος πρὸς τὴν ἀμέριστον οὐσίαν καὶ πάντα οὕτω τὰ τῆς εἱμαρμένης συνῆπται πρὸς τὴν προηγουμένην πρόνοιαν. Κατ' αὐτὴν τὴν οὐσίαν ἄρα ἐπιπλέκεται ἡ εἱμαρμένη τῇ προνοίᾳ καὶ τῷ εἶναι τὴν πρόνοιάν ἐστιν ἡ εἱμαρμένη καὶ ἀπ' αὐτῆς καὶ περὶ αὐτὴν ὑφέστηκε. Τούτων δὲ οὕτως ἐχόντων καὶ ἡ τῶν ἀνθρώπων ἀρχὴ τοῦ πράττειν ἔχει μὲν συμφωνίαν πρὸς ἀμφοτέρας ταύτας τὰς τοῦ παντὸς ἀρχάς· ἔστι δὲ καὶ ἀφειμένη ἀπὸ τῆς φύσεως καὶ ἀπόλυτος ἀπὸ τῆς τοῦ παντὸς κινήσεως ἐν ἡμῖν τῶν πράξεων ἀρχή. Διὰ τοῦτο οὐκ ἔνεστιν ἐν τῇ τοῦ παντός. Διότι μὲν γὰρ 〈οὐκ〉 ἀπὸ τῆς φύσεως παράγεται οὐδὲ ἀπὸ τῆς τοῦ παντὸς κινήσεως, πρεσβυτέρα καὶ οὐκ ἀπὸ τοῦ παντὸς ἐνδιδομένη, προτέτακται· διότι γε μὴν ἀφ' ὅλων τῶν τοῦ κόσμου μερίδων καὶ ἀπὸ πάντων στοιχείων μοίρας τινὰς κατενείματο καὶ ταύταις πάσαις χρῆται, περιέχεται αὐτὴ καὶ ἐν τῇ τῆς εἱμαρμένης διατάξει, συντελεῖ τε εἰς αὐτὴν καὶ συμπληροῖ τὴν ἐν αὐτῇ κατασκευὴν καὶ χρῆται αὐτῇ δεόντως. Καὶ καθ' ὅσον μὲν λόγον καθαρὸν αὐθυπόστατον καὶ αὐτοκίνητον ἀφ' ἑαυτοῦ τε ἐνεργοῦντα καὶ τέλειον ἡ ψυχὴ συνείληφεν ἐν ἑαυτῇ, κατὰ τοσοῦτον ἀπόλυτός ἐστι πάντων τῶν ἔξωθεν· καθ' ὅσον γε μὴν καὶ ζωὰς ἄλλας προβάλλει ῥεπούσας εἰς τὴν γένεσιν καὶ ἐπικοινωνεῖ τῷ σώματι, κατὰ τοσοῦτον ἔχει Ἐν ταὐτ ῷ . Εἰ δέ τις ταὐτόματον καὶ τὴν τύχην ἐπεισάγων ἀναιρεῖν οἴεται τὴν τάξιν, μαθέτω ὡς οὐδέν ἐστιν ἐν τῷ παντὶ ἄτακτον οὐδ' ἐπεισοδιῶδες οὐδὲ ἄνευ αἰτίας οὐδὲ ἀόριστον οὐδὲ εἰκῇ οὐδ' ἀπὸ τοῦ μηδενὸς ἐπεισιὸν οὐδὲ κατὰ συμβεβηκός. Οὔκουν ἀναιρεῖται ἡ τάξις καὶ συνέχεια τῶν αἰτιῶν καὶ ἡ τῶν ἀρχῶν ἕνωσις καὶ ἡ δι' ὅλων διατείνουσα τῶν πρώτων ἐπικράτεια. Βέλτιον οὖν ἀφορίζεσθαι· ἡ τύχη τῶν πλειόνων τάξεων ἢ καὶ ἄλλων δή τινων [ἥ] ἐστιν ἔφορος καὶ συναγωγὸς αἰτία, πρεσβυτέρα τῶν συνιόντων, ἣν τότε μὲν θεὸν ἐπικαλοῦμεν, 〈τότε δὲ δαίμονα〉 παρειλήφαμεν. Ἡνίκα μὲν γὰρ ἂν τὰ κρείττονα αἴτια τῶν συνι 〈όντων〉 ᾖ, θεός ἐστιν αὐτῶν ἔφορος, ὁπόταν δὲ τὰ ἐν τῇ φύσει, δαίμων. Ἀεὶ οὖν μετ' αἰτίας πάντα ἐπιτελεῖται καὶ οὐδ' ὁτιοῦν ἄτακτον ἐν τοῖς γιγνομένοις ἐπεισέρχεται. Ἐν ταὐτ ῷ . Διὰ τί οὖν παρ' ἀξίαν αἱ διανομαὶ ἀποδίδονται; ἢ τοῦτο οὐδὲ τὴν ἀρχὴν ἀμφισβητεῖν ὅσιον; οὐ γὰρ ἐπ' ἄλλῳ τινὶ κεῖται, ἐπ' αὐτῷ δὲ τῷ ἀνθρώπῳ καὶ τῇ τοῦ ἀνθρώπου αἱρέσει τἀγαθά, καὶ ταῦτα ἐν τῇ προαιρέσει μόνον κυριώτατα δὴ ἀφώρισται, τὰ δ' ἀπορούμενα παρὰ τοῖς πολλοῖς δι' ἄγνοιαν ἀμφισβητεῖται. Οὐκ ἄλλη οὖν ἐπικαρπία τῆς ἀρετῆς ἐστιν ἢ αὐτὴ ἑαυτῆς. Οὐ μὴν οὐδὲ αὐτὸν πάσης συντυχίας ἡ μεγαλοψυχία ἀπεργάζεται. Οὐδὲ γὰρ παρὰ φύσιν γίγνεται· ἐξαρκεῖ γὰρ ἡ τῆς ψυχῆς ἀκρότης καὶ τελειότης τὴν ἀρίστην φύσιν συμπληρῶσαι τοῦ ἀνθρώπου. Καὶ μὴν τά γε ἐναντία εἶναι δοκοῦντα γυμνάζει καὶ συνέχει καὶ συναύξει τὴν ἀρετὴν καὶ οὐχ οἷόν ἐστι χωρὶς αὐτῶν καλοὺς κἀγαθοὺς γίγνεσθαι. Καὶ αὕτη τοίνυν ἡ διάθεσις τοῦ σπουδαίου τὸ καλὸν προτιμᾷ τε διαφερόντως καὶ τὴν τοῦ

λόγου τελειότητα μόνην ἐν μακαρίᾳ ζωῇ τίθεται, τὰ δὲ ἄλλα ἐν οὐδενὸς μέρει περιορᾷ καὶ ἀτιμάζει. 〈 Ἐν ταὐτῷ 〉 Ἐπεὶ τοίνυν ἐν ψυχῇ μέν ἐστιν ὁ ἄνθρωπος, ἡ δὲ ψυχὴ νοερά τε ἐστὶ καὶ ἀθάνατος, καὶ τὸ καλὸν ἄρα αὐτῆς καὶ τὸ ἀγαθὸν καὶ τὸ τέλος ἐνυπάρχει τῇ θείᾳ ζωῇ, τῶν δὲ θνητοειδῶν οὐδὲν κύριον ἢ συμβάλλεσθαί τι πρὸς τὴν τελείαν ζωήν ἐστιν, ἢ παραιρεῖν αὐτῆς τὴν εὐδαιμονίαν. Ὅλως γὰρ ἐν νοερᾷ μὲν ζωῇ τὸ μακάριον ἡμῖν ὑπάρχει· ταύτην δὲ οὐδὲν τῶν μέσων οὔτε ἐπιδιδόναι ποιεῖ οὔτ' ἐστὶν ἀφαιρεῖσθαι. Μάτην ἄρα αἱ τύχαι καὶ τὰ ἄνισα δῶρα τῆς τύχης διατεθρύληται παρὰ τοῖς ἀνθρώποις.

2.9 Δημοκρίτου (fr. mor. 12 ap. Mullach. p. 166). κίνδυνος γὰρ ἀποπνιγῆναι· μηχανὴ ὢν εὑρέθη, νήχεσθαι διδάσκειν. Τοῦ αὐτοῦ (fr. mor. 11 p. 166 Mullach.). Ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ ποτῆται ποδηγετέειν μηδὲ ὀχέειν εὐπόρως. Οὐ δίκαιον 〈ὢν〉 ἐν κακοῖσι τὰ τοιάδε κρίνειν, ἀλλ' ἐν ἀγαθοῖσι· τοῖσι δὲ ἀγαθοῖσι οἷόν τε χρῆσθαι καὶ πρὸς τὰ κακά, ᾧ τινι βουλομένῳ ἂν εἴη. 〈 Τοῦ αὐτοῦ (fr. mor. 118 p. 183 Mullach.).〉 Ὁ μὲν εὔθυμος ἐς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται καὶ νηκηέρδῃ, τούτῳ πάντα τὰ τοιάδε ἀτερπέα· ὅταν τ' εὖ ἀναμνησθῇ, καὶ δέδοικε καὶ ἑωυτὸν κακίζει. 〈 Τοῦ αὐτοῦ (fr. mor. 13 p. 167 Mullach.).〉 Οἱ θεοὶ τοῖσι ἀνθρώποισι διδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν, πλὴν ὁκόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα. Τάδε δ' οὔτε πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωρέονται, ἀλλ' αὐτοὶ τοῖσδεσι ἐμπελάζουσι διὰ νόου τυφλότητα καὶ ἀγνωμοσύνην. 〈 Τοῦ αὐτοῦ (fr. mor. 15 p. 167 Mullach.).〉 Τύχη μεγαλόδωρος, ἀλλ' ἀβέβαιος, φύσις δὲ αὐτάρκης· διόπερ νικᾷ τῷ ἥσσονι καὶ βεβαίῳ τὸ μέζον τῆς ἐλπίδος. Εὐσεβίου (fr. 63 III p. 17 Mullach.). Θεοῦ ἐξ ἀρχῆς φήναντος τῷ γένει τῶν ἀνθρώπων κατὰ τὰ φατιζόμενα ὄψεϊ ἐοῦσαι διαφανέες ὁδοὶ διφάσιαι προκέαται βίου ψυχῇσι ἀνθρώπων, ἀδαμαντίνῃ αἱμασιῇ παχυτάτῃ καὶ ἐς πολλὸν ὕψος ἀνηκούσῃ [κατὰ τὰ ὑπὸ τοῦ ἐξ ἀρχῆς φήναντος] ἀπ' ἀλληλέων τὰ πρῶτα διειργόκακίην ἐστὶ παραπέμπουσα. Φατίζονται δὲ εἶναι τοιαίδε. Ἡ μὲν τῆς ἀρετῆς τὰ πρῶτα οὐκ εὐήλατά κως παρέχειν δοκέει οἷά τε μέντοι εὐτυκέι πόνῳ ἀνυσθῆναι, ἀλλὰ καὶ τοὺς κατηγεομένους ἔχει καὶ παραπέμψαντας 〈ἂν〉 ἀκινδύνως· τὸ δὲ μετὰ τοῦτό ἐστιν ὁδὸς ἰθέη τε καὶ εὐρέη μέχρι τῆς ἐπὶ τὴν ἀκρόπολιν αὐτοῦ τοῦ καλοῦ· ἐπ' ἣν ἀνελθὼν ἐν τοῖσι καλλίστοισι ἔσεαι καὶ 〈ἐν〉 θέῃ ἄλλων τε μυρίων ἀγαθῶν [καὶ] τῶν εὐδαιμονεστάτων, ἀτὰρ δὴ καὶ φωτός, παντὸς τοῦ λοιποῦ κάλλει μυρίῳ προήκοντος καὶ αὐγοειδεστάτου. Πέριξ δὲ καὶ ἐπὶ πᾶσαν γῆν ἀναπεπταμένην αἱ πόλιες ἔασι καὶ οἱ τὴν γῆν κατοικέοντες καὶ ἐργαζόμενοι, περὶ τῶν, ὡς ἕκαστα ἔχει, ὁ ἐπὶ συμβουλίῃ τῶν ψυχέων προπεμφθεὶς ἐρέει λόγος. Καὶ ἥδε μὲν ὧδέ κως ἔχει· ἡ δὲ ἐπὶ τὴν κακίην ἄγουσα ἔστιν οἵη τὰ μὲν κατ' ἀρχὰς ὀλίγου πάγχυ καὶ τούτου οὐ γνησίου, ἀπατηλοῦ δὲ καὶ ἐπὶ παραγωγῇ τῶν προσιόντων γεῦσαί τευ ἡδέος· ὥστε τοῦ συμψήσοντος καὶ παρασυρέοντος τοὺς κατενεχθέντας ἐς αὐτὸν ποταμοῦ κάτω βορβόρῳ καὶ λίθοις ῥέοντος, ὥστε πολλοὺς εὐθὺς οὕτω διαφθείρεσθαι. Οἱ δὲ λοιποὶ τύχῃ, οὔ τἄρ' οἰκείῃ προμηθείῃ, ἐπὶ τὰς αὐτόθι ἐούσας πόλιας διασκεδαννύαται ἄλλοι ἄλλοσε καὶ ἐπὶ πᾶσαν, πολλὴν ἐοῦσαν, τὴν χώρην, περὶ τῶν δὴ καὶ αὐτῶν ὁ προειρημένος ἄγγελος ἀπηγήσεται. Τουτέων ἐουσέων τῶν ὁδῶν τοιουτέων, ἄγει ὁ προειρημένος καὶ ἔστιν ἐν μέσῳ θεοῦ μεγάλου κῆρυξ 〈καὶ〉 σύμβουλος λόγος, 〈ὅσ〉 ψυχῇσι τῇσι μελλούσῃσι κατιέναι τοιάδε προφωνέει· „ψυχαὶ ἀνθρώπων, φύσιν ἔχουσαι θνηταί τε εἶναι καὶ ἀθάνατοι καὶ ζωῇ μὲν τῇ ἐπὶ γῆς νομιζομένῃ θανάτῳ ἐγκυρέουσαι, θανάτῳ δὲ τῷ δοκέοντι αὐτόθι ζωὴν ἀπολαμβάνουσαι, ἐπεὰν χρόνου τοῦ τεταγμένου ὑμῖν ἀνυσθέντος αὖτις ἀπολυθῆτε σώματος, τοῦ ἐν τῷ αὐτόθι θανάτῳ ὑποδεξαμένου ὑμέας, διαδέξονται αὖτις ὑμέας τρόπον τῆς ἐπὶ γῆς ζωῆς βίοι οἱ ὀφειλόμενοι· καὶ διὰ τοῦτο παραινέω, θεοῦ μεγάλου Ἑρμέω καὶ θεῶν τῶν λοιπῶν προφήτης τε καὶ σύμβουλος λόγος, καὶ ἀπειθεούσῃσι μὲν προλέγω θνητὰ κακά, πειθομένῃσι δὲ ἀγαθὰ τάτης κιβδήλου τε καὶ εὐδιασκεδάστου τεῦ ἡδονῆς ἕνεκα κακὰ μεγάλα καὶ τὰ παραμενέοντα τὸν

πάντα χρόνον αἱρέεσθαι καὶ βίῳ τῷ βραχυτάτῳ βίον βλάψαι τὸν μετὰ ταῦτα μακρότατον, οὐδ' αὖ πόνον ὀλίγον καταδεισάσας ἀγαθὰ μεγάλα καὶ τὰ παραμενέοντα τὸν πάντα χρόνον καὶ εὐδαιμονίην βιοτῆς μηκίστης τῆς μετὰ ταῦτα προΐεσθαι.“ Ἱεροκλέους ἐκ τοῦ Τίνα τρόπον θεοῖς χρηστέο ν . Πολὺ δέ μοι δοκεῖ συμβάλλεσθαι πρὸς τὸ καλῶς χρῆσθαι θεοῖς καὶ τὸ διειληφέναι, ὡς οὐδενός ποτε κακοῦ γίγνεται θεὸς αἴτιος, ἀλλὰ ταῦτα μὲν ἐκ τῆς κακίας ἁπαντᾷ μόνης, οἱ δὲ θεοὶ τὸ ἐφ' ἑαυτοῖς ἀγαθῶν τέ εἰσιν αἴτιοι καὶ τῶν εὐχρήστων, ἡμεῖς δέ ἐσμεν οἱ τὰς εὐεργεσίας αὐτῶν οὐ προσιέμενοι, περιβάλλοντες δ' ἑαυτοὺς κακοῖς αὐθαιρέτοις. Ἤδη καιρὸν ἔχειν μοι τὸ ποιητικὸν ἐκεῖνο δοκεῖ κατὰ τὸν τόπον τοῦτον, ὡς δὴ οἱ ‘βροτοὶ‘ τοὺς ‘θεοὺς αἰτιόωνται‘ (Od. α 32) ὡς ἐξ αὐτῶν ἐπιπεμπομένων τῶν κακῶν, οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν (α′ 33. 34). ἐπείτοιγε ὡς ὁ θεὸς οὐδαμῇ οὐδαμῶς κακῶν αἴτιός ἐστιν, ἐκ πολλῶν 〈ἂν〉 νοήσειέ τις, πρὸς δὲ τὸ παρὸν ἀποχρήσειεν ἂν ἴσως ὁ Πλάτωνος ἐκεῖνος λόγος (Rep. I p. 335 D). Οὐ γὰρ θερμοῦ φησι τὸ ψύχειν ἀλλὰ τοὐναντίου, οὐδὲ ψυχροῦ τὸ θερμαίνειν ἀλλὰ τοὐναντίου· οὕτως οὖν οὐδὲ ἀγαθοποιοῦ τὸ κακοποιεῖν, ἀλλὰ τοὐναντίου. Καὶ μὴν ἀγαθὸς ὁ θεός, πεπληρωμένος εὐθὺς ἀπ' ἀρχῆς ταῖς ἁπάσαις ἀρεταῖς, ὥστ' οὐκ ἂν κακοποιητικὸς ὁ θεὸς εἴη, οὐδέ τινι κακῶν αἴτιος, πάντα δὲ τοὐναντίον παρέχων ἀγαθὰ τοῖς λαβεῖν βουλομένοις ἅπασι, χαριζόμενος δὲ σὺν τοῖς ἀγαθοῖς καὶ τῶν μέσων, ὅσα κατὰ φύσιν ἡμῖν ἐστι [τὰ] ποιητικά τε τῶν κατὰ φύσιν. Ἓν δὲ καὶ μόνον αἴτιον τῶν κακῶν 〈ἡ κακία〉 . Ταῦτα χρὴ διειληφέναι, ὡς τῶν μὲν ἀγαθῶν αἰτίων ὄντων τῶν θεῶν, τῶν δὲ κακῶν τῆς κακίας. Τίνα οὖν ἡμῖν τοῦ κακῶς πάσχειν αἴτια; Ἐπεὶ δὲ τῶν μέσων ἐστί τινα παρὰ φύσιν καὶ δύσχρηστα ἢ νὴ Δία ποιητικὰ τῶν τοιούτων, ἄξιον καὶ περὶ τούτων τὴν νυνὶ διάληψιν ἔχειν, οἷον νόσου λέγω, πηρώσεως, θανάτου, πενίας, δόξης καὶ τῶν παραπλησίων. Πολλὰ τοίνυν πέφυκεν αὐτῶν περαίνειν καὶ ἡ κακία, καὶ 〈δὴ〉 δι' ἀκρασίαν καὶ λαγνείαν πολλαὶ μὲν γίνονται νόσοι, πολλαὶ δὲ πηρώσεις· διά τε ἀδικίαν πολλοὶ μὲν ἐχειροκοπήθησαν καὶ ἄλλας τοιαύτας ἀνεδέξαντο λώβας, πολλοὶ δὲ καὶ ὅλως ἀπέθανον. Ἐμποδίζεται δὲ πυκνὰ καὶ ἡ φιλάνθρωπος ἰατρικὴ παρὰ τὴν ἑαυτῆς πρόθεσιν ὑπὸ τῆς κακίας. Ἄπρακτα γὰρ γίνεται τὰ βοηθήματα τῆς τέχνης δι' ἀπείθειαν καὶ ἀκρασίαν καὶ φυγοπονίαν τῶν νοσούντων· καὶ μὴν πολλοὺς μὲν ἀπειργάσατο πτωχοὺς καὶ ἀπόρους ἀσωτία καὶ πολυτέλεια, πολλοὺς δὲ ἀδόξους αἰσχροκέρδεια καὶ μικροπρέπεια. Μετά γε μὴν τὴν κακίαν δευτέρα τῶν τοιούτων πρόφασις ἡ ὕλη. Τὰ μὲν γὰρ μετέωρα καὶ ὑπὲρ ἡμᾶς, ὡς ἂν ἐκ τῆς εἰλικρινεστάτης οὐσίας γεγονότα, δι' ὁμαλοῦ πορεύεται, πάντων ἐν αὐτοῖς κατὰ τοὺς τῆς φύσεως λόγους περαινομένων· τὰ δ' ἐπίγεια καθάπερ ὑποστάθμην καὶ ἰλὺν ἔχοντα τῶν ὅλων τὴν οὐσίαν *** Μουσωνίου (apomn. I c. 1 p. 141 Peerlkamp.). Πάντες, ἔφη, φύσει πεφύκαμεν οὕτως, ὥστε ζῆν ἀναμαρτήτως καὶ καλῶς, οὐχ ὁ μὲν ἡμῶν ὁ δ' οὔ· καὶ τούτου μέγα τεκμήριον ὅτι πᾶσιν ὁμοίως οἱ νομοθέται καὶ προστάττουσιν ἃ χρὴ ποιεῖν καὶ ἀπαγορεύουσιν ἃ μὴ χρή, οὐχ ὑπεξαιρούμενοι οὐδένα τῶν ἀπειθούντων ἢ τῶν ἁμαρτανόντων, ὥστε ἀτιμώρητον εἶναι οὐ νέον, οὐ πρεσβύτην, οὐκ ἰσχυρόν, οὐκ ἀσθενῆ, οὐχ ὁντιναοῦν. Καίτοι ἐχρῆν, εἰ ὅλον ἐπείσακτον τὸ τῆς ἀρετῆς ἦν, καὶ μηδὲν αὐτοῦ φύσει ἡμῖν μετῆν, ὥσπερ οὐδ' ἐν τοῖς ὑπὸ τὰς ἄλλας τέχνας οὖσιν ἔργοις οὐδεὶς ἀπαιτεῖται εἶναι ἀναμάρτητος, μὴ μεμαθηκὼς τὴν τέχνην, οὕτως μηδ' ἐν τοῖς κατὰ τὸν βίον μηδένα ἀπαιτεῖσθαι εἶναι ἀναρμάρτητον, ὅστις ἀρετὴν μὴ ἐξέμαθεν, ἐπείπερ ἀρετὴ μόνη ποιεῖ μὴ ἁμαρτάνειν ἐν βίῳ. Νῦν δὲ ἐν μὲν θεραπείᾳ καμνόντων οὐδεὶς ἀναμάρτητον ἀξιοῖ εἶναι ἄλλον ἢ τὸν ἰατρὸν καὶ ἐν χρήσει λύρας οὐδένα ἄλλον ἢ τὸν μουσικόν, 〈καὶ〉 ἐν χρήσει πηδαλίων οὐδένα ἄλλον ἢ τὸν κυβερνήτην· ἐν δὲ τῷ βίῳ οὐκέτι μόνον ἀναμάρτητον εἶναι τὸν φιλόσοφον ἀξιοῦσιν, ὃς δοκεῖ μόνος ἐπιμελεῖσθαι ἀρετῆς, ἀλλ' ὁμοίως ἅπαντας καὶ τοὺς μηδεμίαν ἐπιμέλειαν ταύτης πεποιημένους. Δῆλον οὖν, ὡς οὐδὲν ἕτερον τούτου αἴτιον ἢ τὸ πρὸς ἀρετὴν γεγονέναι τὸν ἄνθρωπον. Καὶ μὴν κἀκεῖνο μέγα τεκμήριον τοῦ μετεῖναι ἀρετῆς

φύσει ἡμῖν, τὸ πάντας οὕτως διαλέγεσθαι περὶ ἑαυτῶν, ὡς ἐχόντων ἀρετὴν καὶ ὄντων ἀγαθῶν. Οὐδεὶς γάρ ἐστι τῶν πολλῶν, ὃς ἐρωτώμενος πότερον ἄφρων ἢ φρόνιμος τυγχάνει ὤν, ἄφρων ὁμολογήσει εἶναι· οὐδ' αὖ ἐρωτώμενος πότερον ἄδικος ἢ δίκαιος τυπότερα σώφρων ἢ ἀκόλαστος, εἶθ' ἅπας ἀποκρίνεται ἐρωτηθείς, ὅτι σώφρων. Καὶ ἁπλῶς ἂν ἐρωτᾶται τις πότερον ἀγαθὸς εἴη ἢ φαῦλος, φαίη ἂν ἀγαθός, καὶ ταῦτ' οὐκ ἂν ἔχων εἰπεῖν οὔτε διδάσκαλον αὐτοῦ καλοκἀγαθίας, οὔτε μάθησιν ἀρετῆς ἢ ἄσκησιν τίνα τυγχάνει πεποιημένος. Τοῦτ' οὖν τίνος ἄλλου τεκμήριόν ἐστιν, ἢ τοῦ φυσικὴν εἶναι ὑποβολὴν τῇ τοῦ ἀνθρώπου ψυχῇ πρὸς καλοκἀγαθίαν καὶ σπέρμα ἀρετῆς ἑκάστῳ ἡμῶν ἐνεῖναι. Διὰ δὲ τὸ πάντως ἀγαθοὺς ὑπάρχειν προσήκειν ἡμῖν, οἱ μὲν ἀπατώμεθα ὡς καὶ δὴ ὄντες ἀγαθοί, οἱ δὲ αἰσχυνόμεθα ὁμολογεῖν 〈ὡσ〉 οὐκ ἐσμέν. Ἐπεὶ διὰ τί, πρὸς θεῶν, γράμματα μὲν ἢ μουσικὴν ἢ παλαιστρικὴν οὐδεὶς μὴ μαθὼν εἰδέναι φησίν, οὐδὲ ἔχειν τὰς τέχνας ταύτας προσποιεῖται, μὴ καὶ διδάσκαλον παρ' ὃν ἐφοίτα ἔχων εἰπεῖν, ἀρετὴν δὲ ἔχειν πᾶς ὑπισχνεῖται; ὅτι ἐκείνων μὲν οὐδενὸς φύσει τῷ ἀνθρώπῳ μέτεστιν, οὐδὲ ἥκει 〈τισ〉 εἰς τὸν βίον ἔχων ὑποβολὰς ***

2.10 deest.

2.11 deest.

2.12 deest.

2.13 deest.

2.14 deest.

2.15 Ἀστυδάμαντος Ἀλκμαίωνος (1 N. p. 603). 〈Οὐ〉 τοῦ δοκεῖν μοι, τῆς δ' ἀληθείας μέλει. Εὐριπίδου Ἱκέτισιν (901; 907. 908). Αἰσχύλου Ἕπτα ἐπὶ Θήβας (598—600). 〈Οὐ〉 γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλω βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος, ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. 〈Εὐ〉 ήνου (fr. 3 B. p. 595 3). Ἡγοῦμαι σοφίης εἶναι μέρος οὐκ ἐλάχιστον ὀρθῶς γιγνώσκειν, οἷος ἕκαστος ἀνήρ. Σοφοκλέους Οἰδίποδος (Colon. 1143. 1144). Οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις. Poetae incert i . Ὁ βίος ἔστ' ἀλαζονείας δεόμενος. Ἐπιχάρμου (fr. inc. 39 * , p. 266 Lorenz.). Πρὸς 〈δὲ〉 τοὺς πέλας πορεύου λαμπρὸν ἱμάτιον ἔχων, καὶ φρονεῖν πολλοῖσι δόξεις τυχὸν ἴσως 〈οὐδὲν φρονῶν〉 . Φωκυλίδου (fr. 9 B. p. 447 3). Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες, σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες. Εὐριπίδου (Com. IV p. 693, fr. adesp. 360) Πᾶς ὁ καθ' ἑαυτὸν τεχνολογῶν θαυμάζεται, διακρινόμενος δὲ πρὸς ἑτέρους ἐλέγχεται, Φιλήμονος Ἀδελφοῖς (Com. IV p. 5, fr. 2). Οὐκ ἂν λαλῇ τις μικρόν, ἐστὶ κόσμιος, οὐδ' ἂν πορεύηταί τις εἰς τὴν γῆν βλέπων· ὁ δ' ἥλικον μὲν ἡ φύσις φέρει λαλῶν, μηθὲν ποιῶν δ' ἄσχημον, οὗτος κόσμιος. Εὐριπίδου Φοίνικι (fr. 806 N.). 〈Οἱ〉 πεῖραν οὐ δεδωκότες μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί. Εὐριπίδου Ἀντιόπῃ (fr. 205 N.). Ὃς δ' εὐγλωσσίᾳ νικᾷ, σοφὸς μέν, ἀλλ' ἐγὼ τὰ πράγματα κρείττω νομίζω τῶν λόγων ἀεί ποτε. Εὐριπίδου (Electr. 383—390). 〈Οὐ〉 μὴ φρονήσεθ', οἳ κενῶν δοξασμάτων πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς κρινεῖτε καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς; οἱ γὰρ τοιοίδε τὰς πόλεις οἰκοῦσιν εὖ καὶ δώμαθ', αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν ἀγάλματ' ἀγορᾶς εἰσιν. οὐδὲ γὰρ δόρυ μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει· ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ. ίωνος (=Com. IV p. 48, Philem. fr. 40 C). Ἐκ τῶν λόγων μὴ κρίνε, Κλεινοφῶν, σοφὸν τὰ δ' ἔργ' ἔχουσι φαῦλα, κοὐ φρονοῦσιν εὖ, Εὐριπίδου Παλαμήδῃ (fr. 587 N.). Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει αἴσχρ' ἐστί, τούτου τὸ σοφὸν οὐκ αἰνῶ ποτέ. Σοφοκλέους (Electr. 624. 625). Σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς τοὖργον, τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται. Εὐριπίδου Θυέστῃ (fr. 398 N.). 〈Οὐ〉 πώποτ' ἔργου μᾶλλον εἱλόμην λόγους. 〈 Poetae incert i . 〉 Τῷ λόγῳ μὲν εὖ διέρχῃ πάντα, τῷ δ' ἔργῳ κακῶς. Μενάνδρου (Com. IV p. 324, fr. 463). Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν, ἀλλ' αὐτὰ κοσμεῖ τὴν

τέχνην τὰ πράγματα. Εὐριπίδου Πελιάσιν (fr. 613 N.). Φθείρου· τὸ γὰρ δρᾶν οὐκ ἔχων, λόγους ἔχεις. Μενάνδρου (Com. IV p. 324, fr. 464). Τί δ' ὄφελος 〈εὖ〉 λαλοῦντος, ἂν κακῶς φρονῇ. Εὐριπίδου Μηδείας (579—583). Ἢ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν· ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει· γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν, Μενάνδρου (Com. IV p. 324, fr. 465). Ὁ μὲν λόγος 〈σου〉 συνέσεως πολλῆς γέμει· τὰ δ' ἔργα σύνεσιν οὐκ ἔχοντα φαίνεται. Ποσειδίππου (Com. IV p. 526, fr. 7). Οὐκ ἔργον ἐστὶν εὖ λέγειν, ἀλλ' εὖ φρονεῖν· πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν. Εὐριπίδου (fr. 809 N.). Ἤδη δὲ πολλῶν ᾐρέθην κρίτης λόγων, καὶ πόλλ' ἀμιλληθέντα μαρτύρων ὕπο τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι. κἀγὼ μὲν οὕτω χὥστις ἔστ' ἀνὴρ σοφὸς λογίζομαι τἀληθές, εἰς ἀνδρὸς φύσιν βλέπων δίαιτάν θ' ἥντιν' ἡμερεύεται. 〈 Incerti tragici (fr. adesp. 222 N.).〉 Καὶ τῷδε δηλώσαιμ' ἄν, εἰ βούλοιο σύ, τἀληθές, ὡς ἔγωγε καὐτὸς ἄχθομαι, ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται, τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο. Μενάνδρου (Com. IV p. 324, fr. 467). Ὁ μὲν λόγος σου, παῖ, κατ' ὀρθὸν εὐδρομεῖ, τὸ δ' ἔργον ἄλλην οἶμον ἐκπορεύεται. Σοφοκλέους Ἐριφύλῃ (fr. 193 N.). Γλῶσς' ἐν κενοῖσιν ἀνδράσιν τιμὴν ἔχει, Μενάνδρου (Com. IV p. 324, fr. 466). 〈Ὁ〉 μὴ φρονῶν μέν, πολλὰ δ' ἐφ' ἑκάστου λαλῶν, δείκνυσιν αὐτοῖς τὸν τρόπον τοῖς ῥήμασι. Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου (p. 261 D). Ὅτι ὁ λόγος ἐὰν μὴ τῷ τρόπῳ σύμφωνος ᾖ, ἀλλότριος γίνεται καὶ οὐ τοῦ λέγοντος, ὥσπερ ἐκεῖνος ὃν Θερσίτης ἔλεγε τοῖς Ἀχαιοῖς, ὅν κεν ἐγὼ δήσας ἀγάγω (B 231)· οὗτος γὰρ Ἀχιλλέως καὶ Αἴαντος ἦν· ὁ κυφὸς δὲ αὐτὸν οὐδὲν προσήκοντα ὑπεβάλετο. Μύσωνο ς . Μύσων ὁ Χηνεὺς ἔφη δεῖν οὐκ ἐκ τῶν λόγων τὰ〈ς πράξεισ〉 κρίνειν, ἀλλ' ἐκ τῶν πράξεων τοὺς λόγους. Θεοφράστο υ . 〈Οὐ〉 τὸν βίον ἐκ τῆς τοῦ λόγου δεινότητος πιστοῦμεν, ἀλλὰ τὸν λόγον ἐκ τῆς περὶ τὸν βίον εὐταξίας. Δημοσθένους (II § 12 p. 21, 19). Ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὸ ἔργον, μάταιόν τι φαίνεται καὶ κενόν. Δημοκρίτου (fr. mor. 103 Mullach.). Πολλοὶ δρῶντες τὰ αἴσχιστα λόγους τοὺς ἀρίστους 〈 Ἀ〉πολλώνιος Γλαύκ〈ῳ 〉 . 〈Κ〉αλὸν μάζα καὶ τρίβων, μὴ κατ' ἐπιτήδευμα δοξοκοπικὸν καλούμενα, ἀλλ' ὅταν τὰ πράγματα ἄγῃ πρὸς αὐτά, σεμνῶς φορούμενα. Πυθαγόρο υ . Ἐπιδείκνυσο μὴ ἐν τοῖς λόγοις ἃ φρονεῖς, ἀλλ' ἐν τοῖς ἔργοις ἃ ποιεῖς. Δημοκρίτου (fr. mor. 105 Mullach.). Ἔργα καὶ πρήξιας ἀρετῆς, οὐ λόγους ζηλοῦν χρεών. Σωκράτου ς . Σωκράτης ἐρωτηθείς, τίνων μάλιστα ὁ λόγος ἰσχύει, „ὧν ἡ πρᾶξις", εἶπε, „συνακολουθεῖ τῷ λόγῳ." 〈 Εὐ〉ξιθέο υ . 〈Εὐ〉ξίθεος ὁ Ἀθηναῖος τοὺς χρηστοὺς μὲν ἐν τοῖς 〈λόγοισ〉 , ἀχρήστους δὲ κατὰ τὸν βίον ὁμοίους ἔφη εἶναι τοῖς ἀγαθοῖς ἐνυπνίοις. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 46). Τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιἰδιώταις ἐπιδείκνυε, ἀλλὰ τὰ ἀπ' αὐτῶν πραχθέντα ἔργα. Δημοκρίτου (fr. mor. 104 Mullach.). Οὔτε λόγος ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει, οὔτε πρῆξις ἀγαθὴ λόγου βλασφημίῃ λυμαίνεται. Δημοσθένους Ὀλυνθιακῶν (III § 15 p. 32, 17). Τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι. Φαλάριδος (Ep. 35 p. 417 Hercher.). Οὐδὲ τοῦτο συνιείς, ὅτι λόγος ἔργου σκιὰ παρὰ τοῖς σοφοῖς πεπίστευται. Διογένου ς . Διογένης λόγον τινὰ διεξῄει περὶ σωφροσύνης καὶ ἐγκρατείας καὶ ὡς ἐπῄνουν αὐτὸν οἱ Ἀθηναῖοι, ὃ δὲ „κάκιστα ἀπόλοισθε" εἶπε, „τοῖς ἔργοις μοι ἀντιλέγοντες." Πολυαίνο υ . Ὅταν μὲν γὰρ τῇ σεμνότητι τῶν λόγων καὶ ἡ πεῖρα τῶν ἔργων ἕπηται, τοῦτό τοι χρὴ καλεῖν δόγμα φιλοσόφου ὅταν δὲ ὁ μὲν λόγος ἐπαγγέλληται μεγάλα, ὁ δὲ βίος πράττῃ μηδὲ τοὐλάχιστον, ἆρα οὐ κόμπος ταῦτα καὶ τερατεία σοφιστοῦ καὶ μειρακίων ἀκοὰς ἐκπλήττειν ἐσπουδακότος; Ἐν ταὐτῷ περὶ Δημοσθένου ς . Λυκίου ἐκ τῶν Μουσωνίο υ , Πότερον ἰσχυρότερον ἔθος ἢ λόγος (apomn. III c. 6 p. 239 Peerlkamp.). Αὖθις ἐνέπεσεν ἡμῖν ζήτησις, πότερον ἀνυσιμώτερον πρὸς κτῆσιν ἀρετῆς ἔθος ἢ λόγος 〈εἴη〉 , εἰ ὁ μὲν λόγος διδάσκοι ὀρθῶς τί εἴη ποιητέον, τὸ δὲ ἔθος γίνοιτο κατὰ τοιοῦτον λόγον πράττειν ἐθιζομένων. Τῷ δὲ Μουσωνίῳ τὸ ἔθος ἐδόκει εἶναι ἀνυσιμώτερον, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνηγορῶν τῇ ἑαυτοῦ δόξῃ ἤρετο τῶν παρόντων τινὰ οὕτως· Δυοῖν ὄντοιν ἰατροῖν, τοῦ μὲν ἱκανοῦ λέγειν καὶ περὶ τῶν ἰατρικῶν ὡς ὅτι ἐμπειρότατα, περὶ δὲ θεραπείαν τῶν καμνόντων μηδὲν τετριμμένου, τοῦ δ' εἰπεῖν μὲν ἀδυνάτου, θεραπεύειν δ' εἰθισμένου κατὰ τὸν λόγον τὸν ἰατρικόν, πότερον, ἔφη, μᾶλλον ἕλοιο ἂν παρεῖναί σοι νοσοῦντι; Ὁ δ' ἀπεκρίνατο, τὸν θεραπεύειν εἰθισμένον. Καὶ ὁ Μουσώνιος· Τί δέ; δυοῖν ἀνδροῖν τοῦ μὲν πεπλευκότος πολλάκις καὶ κυβερνήσαντος ἤδη πλοῖα ἱκανά, τοῦ δὲ ὀλιγάκις μὲν πεπλευκότος, κυβερνήσαντος δὲ μηδέποτε· ἐὰν οὗτος ὁ μὴ κυβερνήσας ἱκανώτατα λέγῃ ὃν τρόπον χρὴ κυβερνᾶν, ὁ δ' ἕτερος ἐνδεῶς καὶ παντάπασιν ἀσθενῶς, ποτέρῳ ἂν πλέων χρήσαιο κυβερνήτῃ; Καὶ ὃς εἶπεν, ὅτι τῷ κυβερνήσαντι πολλάκις. Πάλιν ὁ Μουσώνιος· Μουσικοῖν δὲ δυοῖν, τοῦ μὲν τοὺς λόγους ἐπισταμένου τοὺς μουσικοὺς καὶ λέγοντος αὐτοὺς πιθανώτατα, ᾄδειν δὲ ἢ κιθαρίζειν ἢ λυρίζειν ἀδυνατοῦντος, τοῦ δὲ περὶ μὲν τοὺς λόγους ὄντος ἥττονος, κιθαρίζοντος δὲ καλῶς καὶ λυρίζοντος, ἔτι δὲ ᾄδοντος· ποτέρῳ ἂν ἐπιτρέψαις ἔργον μουσικόν, ἢ πότερον ἂν ἐθέλοις γενέσθαι διδάσκαλον τῶν μουσικῶν παιδὸς οὐκ εἰδότος; Ὁ δὲ ἀπεκρίνατο, ὅτι τὸν ἐν τοῖς 〈ἔργοισ〉 ἱκανόν. Τί οὖν, εἶπεν ὁ Μουσώνιος, ταῦτα μὲν ταύτῃ ἔχει· περὶ δὲ σωφροσύνης ἢ ἐγκρατείας τοῦ ἃ χρὴ δύνασθαι λέγειν οὐ πολὺ κρεῖττον τὸ ἐγκρατῆ γενέσθαι καὶ σώφρονα περὶ τὰ πραττόμενα πάντα; Συνεχώρει κἀνταῦθα ὁ νεανίσκος, ἧττον καὶ φαυλότερον εἶναι τοῦ σωφρονεῖν ἔργῳ τὸ λέγειν περὶ σωφροσύνης ἱκανῶς. Ὅθεν ὁ Μουσώνιος συνάπτων τοῖς προειρημένοις, πῶς οὖν ἐπὶ τούτοις, ἔφη, τὸ τὸν ἑκάστου λόγον ἐπίστασθαι πράγματος κρεῖττον ἂν εἴη τοῦ ἐθίζεσθαι καὶ πράττειν τὰ πράγματα κατὰ τὴν ὑφήγησιν τὴν τοῦ λόγου; ἐπείπερ τὸ μὲν ἔθος πρὸς τὸ δύνασθαι πράττειν ἄγει, τὸ δ' ἐπίστασθαι λόγον τοῦ πράγματος πρὸς τὸ δύνασθαι λέγειν. Συνεργεῖ μὲν γὰρ καὶ τῇ πράξει ὁ λόγος διδάσκων ὅπως πρακτέον καὶ ἔστι τῇ τάξει πρότερος τοῦ ἔθους· οὐ γὰρ ἐθισθῆναί τι καλὸν οἷόν τε μὴ κατὰ λόγον ἐθιζόμενον· δυνάμει μέντοι τὸ ἔθος προτερεῖ τοῦ λόγου, ὅτι ἐστὶ κυριώτερον ἐπὶ τὰς πράξεις ἄγειν τὸν ἄνθρωπον ἤπερ ὁ λόγος. Ἐκ τοῦ Θεοδώρου τῶν Τέλητος ἐπιτομῆ ς , Περὶ τοῦ δοκεῖν καὶ τοῦ εἶνα ι . —Πότερον οὖν διὰ τὸ δοκεῖν ἀγαθοὶ ὑποκριταὶ εἶναι 〈εὖ〉 ὑποκρίνονται ἢ διὰ τὸ εἶναι; —〈Διὰ τὸ εἶναι. —〉 Κιθαρίζουσι δὲ 〈εὖ〉 πότερον διὰ τὸ δοκεῖν ἀγαθοὶ κιθαρισταὶ 〈εἶναι〉 ἢ διὰ τὸ εἶναι; —Διὰ τὸ εἶναι. —Τὰ δ' ἄλλα πάντα ἁπλῶς διὰ τὸ δοκεῖν ἀγαθοὶ 〈εἶναι〉 εὖ πράττουσιν ἢ διὰ τὸ εἶναι; —Διὰ τὸ εἶναι. —Δι' ὃ δ' εὖ βιοῦσι κρεῖττον ἢ δι' ὃ μή· ὥστε κρεῖττον φαίνοιτ' ἂν τὸ ἀγαθὸν εἶναι τοῦ δοκεῖν· ὁ γὰρ δίκαιος ἀγαθός, οὐχ ὁ δοκῶν δίκαιος εἶναι. Καὶ τί πότε ἐπὶ τῶν ἄλλων ἀγαθῶν, ὅσα δοκοῦσιν ἄνθρωποι; μᾶλλον ἂν βούλοιο εἶναι ἐν αὐτοῖς 〈ἢ δοκεῖν εἶναι〉 καὶ ἔχειν αὐτὰ μᾶλλον ἢ δοκεῖν ἔχειν; εὐθέως, ὁρᾶν ἂν βούλοιο, ἢ δοκεῖν ὁρᾶν; ὑγιαίνειν μᾶλλον ἢ δοκεῖν; ἰσχύειν μᾶλλον ἢ δοκεῖν; εὔπορος εἶναι, φίλους ἔχειν μᾶλλον ἢ δοκεῖν; ἐπὶ τῶν ψυχικῶν πάλιν, φρονεῖν μᾶλλον ἢ δοκεῖν; ἄλυπος εἶναι μᾶλλον ἢ δοκεῖν; θαρσαλέος εἶναι, ἄφοβος εἶναι, ἀνδρεῖος εἶναι μᾶλλον ἢ δοκεῖν; ἐπὶ τῆς δικαιοσύνης δὲ οὐκέτι δίκαιος εἶναι μᾶλλον ἢ δοκεῖν; —Ἀλλὰ καὶ ἀνδρεῖος ἂν μᾶλλον βουλοίμην δοκεῖν ἢ εἶναι. —Ἦ οὐχ ὁ ἀνδρεῖος καὶ ἄφοβος καὶ ἄλυπος, οὐχ ὁ δοκῶν; διὰ τί δὲ βούλει ἀνδρεῖος δοκεῖν εἶναι; —Τιμήσουσί με. — Καὶ γὰρ πρωτοστάτην σὲ καταστήσουσι καὶ μονομαχεῖν κελεύσουσι καὶ ἵνα λάχῃς μηχανήσονται καὶ λαχόντος ἐπιχαρήσονται καθάπερ τῷ Αἴαντι· εἶτα τί οἴει πείσεσθαι, δειλὸς μὲν ὤν, κινδυνεύων δέ; καὶ ἐὰν αἰχμάλωτος γένῃ δοκῶν ἀνδρεῖος εἶναι πέδας ἕξεις μεγάλας καὶ χειροπέδας, καὶ οὐθείς σοι μὴ πιστεύσει, ἀλλὰ καὶ κατακεκλεισμένος ἔσῃ, κἂν βασανίζωσί σε πολλὰς λήψῃ, καὶ λέγων τὴν ἀλήεἶναι καὶ καρτερικός· σὺ δὲ ἐκεῖνο μὲν προφέρῃ, ταῦτα δὲ ἀποκρύπτεις, ὥσπερ οἱ ῥήτορες. Πλάτωνος ἐκ τῆς πρὸς Ἀριστόδωρον ἐπιστολῆς (ep. 10 p. 358 C). Ἀκούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τέ σε νῦν καὶ γεγονέναι διὰ παντός, τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον· τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ ὑγιές, τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φιλοσοφίαν, τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας σοφίας τε καὶ δεινότητας κομψότητας οἶμαι προσαγορεύων ὀρθῶς ὀνομάζειν. Αἰσχίνου περὶ Δημοσθένους (III 173. 174 p. 78) Πλεῖστον δὲ ἐκ πολιτείας εἰληφὼς ἀργύριον ἐλάχιστα περιεποιήσατο. Νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ. Ἔσται δὲ οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου περιεγένετο· καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ἡμετέρων κινδύνων. Πρὸς δὲ εὐγνωμοσύνην καὶ λόγων δύναμιν πῶς πέφυκε; δεινὸς λέγειν, κακὸς βιῶναι. Οὕτω γὰρ κέχρηται καὶ τῷ αὐτοῦ σώματι καὶ παιδοποιίᾳ, ὥστ' 〈ἐμὲ〉 μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται. Ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. Ἔπειτα τί συμβαί-

2.16 Ὅτι οἱ ἄλλοις ἐπιβουλεύοντες ἑαυτοὺς λανθάνουσι καταβλάπτοντες. deest.

2.17 deest.

2.18 deest.

2.19 deest.

2.20 deest.

2.21 deest.

2.22 deest.

2.23 deest.

2.24 deest.

2.25 deest.

2.26 deest.

2.27 deest.

2.28 deest.

2.29 deest.

2.30 deest.

2.31 Εὐριπίδου Ἑκάβῃ (600—602). Ἔχει γέ 〈τοί〉 τι καὶ τὸ θρεφθῆναι καλῶς δίδαξιν ἐσθλοῦ· τοῦτο δ' ἤν τις εὖ μάθῃ, οἶδεν τό γ' αἰσχρὸν κανόνι τοῦ καλοῦ μαθών. Τοῦ αὐτοῦ (fr. 926 N.). Παῖς ὢν φυλάττου πραγμάτων αἰσχρῶν ἄπο· ὡς ἢν τραφῇ τις μὴ κακῶς, αἰσχύνεται πόλλ' ἐξαμάρτῃ, τὴν ἁμαρτίαν ἔχει εἰς γῆρας αὐτοῖς τοῖς τρόποισιν ἔμφυτον. Τοῦ αὐτοῦ Ἱκετίδων (911—917). Τὸ γὰρ τραφῆναι μὴ κακῶς αἰδῶ φέρει· αἰσχύνεται γὰρ τἀγάθ' ἀσκήσας ἀνὴρ κακὸς κεκλῆσθαι πᾶς τις· ἡ δ' εὐανδρία διδακτόν, εἴπερ καὶ βρέφη διδάσκεται λέγειν τ' ἀκούειν θ' ὧν μάθησις ἐν λόγῳ. ἃ δ' ἂν μάθῃ τις ταῦτα σῴζεσθαι φιλεῖ εἰς γῆρας· οὕτω παῖδας εὖ παιδεύετε. Τοῦ αὐτοῦ Πελιάσιν (fr. 612 N.). Ὁ γὰρ ξυνών, κακὸς μὲν ἦν τύχῃ γεγώς, τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται, χρηστοὺς δ' ὁ χρηστός· ἀλλὰ τὰς ὁμιλίας ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε. Σοφοκλέους (fr. 736 N.). Ἐπεὶ πέπρακται πᾶν τὸ τοῦ θεοῦ καλῶς, χωρῶμεν ἤδη, παῖδες, ἐς τὰ τῶν σοφῶν διδασκαλεῖα μουσικῆς. παιδεύματα προσλαμβάνειν γὰρ δεῖ καθ' ἡμέραν ἀεί, ἕως 〈τ'〉 ἂν ἐξῇ μανθάνειν βελτίονα. ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις. ταῦτ' οὖν φυλαξώμεσθα καὶ μοχθητέον, ὦ παῖδες, ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν δοκῶμεν εἶναι, κἀποδημοῦντος πατρός ..... Ἐμπεδοκλέους (v. 74 Stein.). Ἀλλ' ἄγε, μύθων κλῦθι, μάθησις γὰρ φρένας αὔξει. Σοφοκλέους Αἴαντος (964. 965). Οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν ἔχοντες οὐκ ἴσασι πρίν τις ἐκβάλῃ. Εὐριπίδου Ἱππολύτου (916—920). Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην, τί δὴ τέχνας μὲν μυρίας διδάσκετε καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε, ἓν δ' οὐκ ἐπίστασθ', οὐδ' ἐθηράσασθέ πω, φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς; Ἀντιφάνους

(Com. III p. 156, fr. 73). Τὸ γὰρ πεπαιδεῦσθαι, μόνον ἄν τις τοῦτ’ ἔχῃ, ἐλεεῖν δὲ πάντως. Παροιμία (trag. fr. adesp. n. 227 N.). Μελέτη χρονισθεῖς’ εἰς φύσιν καθίσταται. Ἀλέξιδος (Com. III p. 522, fr. 47). Ὦ παῖ, μέγιστος ἔρανός ἐστί μοι τὸ σὲ θρέψαι κατὰ τρόπον· ὃν γὰρ αὐτὸς ἀπέλαβον παρὰ τοῦ πατρός, δεῖ τοῦτον ἀποδοῦναί με σοί. Ἀριστοφάνους Νεφελῶν (961—1008). Λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν, ὡς διέκειτο, ὅτ’ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη ’νενόμιστο. πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύξαντος μηδέν’ ἀκοῦσαι εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ τοὺς κωμήτας γυμνοὺς ἀθρόους, κεἰ κριμνώδη κατανίφοι. εἶτ’ αὖ προμαθεῖν ᾄσμ’ ἐδίδασκεν τὼ μηρὼ 〈μὴ〉 ξυνέχοντας, ἢ Παλλάδα περσέπτολιν δεινάν, ἢ Τηλέπορόν τι βόημα ἐντειναμένους τὴν ἁρμονίαν ἣν οἱ πατέρες παρέδωκαν. εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ’ ἢ κάμψειέν τινα καμπήν, οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλάς, ὡς τὰς Μούσας βασανίζων. ἐν παιδοτρίβου δὲ καθίζοντας τὸν μηρὸν ἔδει προβαλέσθαι τοὺς παῖδας, ὅπως τοῖς ἔξωθεν μηδὲν δείξειαν ἀπηνές· εἶτ’ αὖ πάλιν αὖθις ἀνισταμένους συμψῆσαι καὶ προνοῆσαι εἴδωλον τοῖσιν ἐρασταῖσιν τῆς ἥβης μὴ καταλείπειν. ἠλείψατο δ’ ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς ὑπένερθεν τότ’ ἄν, ὥστε τοῖς αἰδοίοισι δρόσος καὶ χνοῦς ὥσπερ μήλοισιν ἐπήνθει. οὐδ’ ἂν μαλακὴν φυρασάμενος 〈τὴν〉 φωνὴν πρὸς τὸν οὐδ’ ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ’ ἴσχειν τὼ πόδ’ ἐναλλάξ. — Ἀρχαῖα γε καὶ Διιπολιώδη καὶ τεττίγων ἀνάμεστα, καὶ Κηκείδου καὶ Βουφονίων. —Ἀλλ’ οὖν ταῦτ’ ἐστὶν ἐκεῖνα ἐξ ὧν ἄνδρας Μαραθωνομάχους ἡμὴ παίδευσις ἔθρεψε. σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι· ὥστε μ’ ἀπάγχεσθ’, ὅταν, ὀρχεῖσθαι Παναθηναίους δέον αὐτούς, τὴν ἀσπίδα τῆς αἰδοῦς προέχων ἀμελῇ τῆς Τριτογενείης. πρὸς ταῦτ’, ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ· κἀπιστήσῃ μισεῖν ἀγορὰν καὶ βαλανείων ἀπέχεσθαι, καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι, κἂν σκώπτῃ τίς σε φλέγεσθαι· καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασθαι προσιοῦσιν, καὶ 〈μὴ〉 περὶ τοὺς σαυτοῦ γονέας σκαιουργεῖν, ἄλλο τε μηδὲν αἰσχρὸν ποιεῖν, ὅτι τῆς Αἰδοῦς μέλλεις τἄγαλμ’ ἀναπλάττειν· μηδ’ εἰς ὀρχηστρίδος εἰσᾴττειν, ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς μήλῳ βληθῇς ὑπὸ πορνιδίου τῆς εὐκλείας ἀποθραυσθείς· μηδ’ ἀντειπεῖν τῷ πατρὶ μηδέν, μηδ’ Ἰαπετὸν καλέσαντα μνησικακῆσαι τὴν ἡλικίαν ἐξ ἧς ἐνεοττοτροφήθης. — Εἰ ταῦτ’, ὦ μειράκιον, πείσῃ τούτῳ, νὴ τὸν Διόνυσον τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις καί σε καλοῦσιν βλιτομάμμαν. — Ἀλλ’ οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασίοις διατρίψεις, οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ’, οἷά περ οἱ νῦν, οὐδ’ ἑλκόμενος περὶ πραγματίου γλισχαντιλογεξεπιτρίπτου· ἀλλ’ εἰς Ἀκαδήμειαν κατιὼν ὑπὸ ταῖς μορίαις ἀποθρέξει στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου σμίλακος ὄζων καὶ ἀπραγμοσύνης καὶ λεύκης φυλλοβολούσης ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ. Μενάνδρου (Com. IV p. 326, fr. 473). [Μανθάνειν] ὅτου δ’ ἂν ἔργου τυγχάνῃς ἄπειρος ὤν, τὸ πυνθάνεσθαι τῶν κατειδότων καλόν. Εὐριπίδου Ῥήσῳ (206). Σοφοῦ παρ’ ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν. Μενάνδρου (Com. IV p. 326, fr. 474). Πολὺ κρεῖττόν ἐστιν ἓν καλῶς μεμαθηκέναι, ἢ πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα. Σοφοκλέους Φθιωτίδων (fr. 627 N.). Νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ, καὶ πόλλ’ ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά. 〈Tragici incerti (fr. adesp. 228 N.)〉 Ἀεί τι βούλου χρήσιμον προσμανθάνειν. Φιλήμονος (Com. IV p. 34, fr. 6). Ἤκουσα τούτων αὐτός· οὐδὲ φύεται αὐτόματον ἀνθρώποισιν, ὦ βέλτιστε, νοῦς, ὥσπερ ἐν ἀγρῷ θύμ’· ἐκ δὲ τοῦ λέγειν τι καὶ ἑτέρων ἀκούειν καὶ θεωρῆσαί 〈τί που〉 Μενάνδρου (Com. IV p. 326, fr. 475). Ὅταν λέγῃς μὲν πολλά, μανθάνῃς δὲ μή, τὸ σὸν διδάξας τοὐμὸν οὐ μαθὼν ἔσῃ. Τοῦ αὐτοῦ Καρχηδονίῳ (Com. IV p. 146, fr. 3). Ἔργον ἐκ πολλοῦ χρόνου ἄνοιαν ἡμέρᾳ μεταστῆσαι μιᾷ. Τοῦ αὐτοῦ Φιλαδέλφοις (Com. IV p. 219, fr. 3). Οὐ ῥᾴδιον ἄνοιαν ἐν μικρῷ μεταστῆσαι χρόνῳ. Εὐριπίδου Μελεάγρῳ (fr. 529 N.). Ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ σκληρὰς διαίτας, οἱ γόνοι βελτίονες. Ξενοκράτης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νέον φιλοσοφεῖν βουλόμενον ἥρετο, εἰ γεγεωμέτρηκε· τοῦ δὲ ἀποφήσαντος, ἀλλ᾽ εἰ ἠστρονόμηκε· καὶ τοῦτο ἀπειπόντος, ἀλλ᾽ εἰ τὰ τῶν ποιητῶν ἀνέγνωκεν· ὁ δὲ καὶ τοῦτο ἔξαρνος ἦν· ἄλλως δὲ εἰ γράμματα οἶδεν· 〈οὐδὲ〉 ταῦτα ἔφη ἐκεῖνος εἰδέναι. „Πόκος τοίνυν“, εἶπεν ὁ Ξενοκράτης, „ὑπὸ γναφέως οὐ πλύνεται“. Αἰσχίνου Σωκρατικοῦ (Hermann., Aesch. rel. p. 10). Οὗτός ἐστι Μιλτιάδης ὁ Στησαγόρου, ὃς παῖς μὲν ὢν ἤσκει Ὀλύμπια καὶ κρείττων ἦν τοὺς πόνους πονῶν ἢ παιδοτρίβης ἐπιτάττων· ἐκεῖ δὲ μείζους παῖδας αὐτοῦ καὶ πρεσβυτέρους κατεμαχέσατο καὶ ἀγωνιζόμενος ὑπὲρ τοῦ τούτῳ οὐδὲν πώποτε ἠναντιώθη. Ταῦτα μὲν παιδὶ ὄντι αὐτῷ ἐπιτετήδευται· ἐπεὶ δὲ μειράκιον ἤρχετο γίγνεσθαι, σιωπᾶν καλὸν ἡγήσατο εἶναι· σεσιώπηται αὐτῷ μᾶλλον ἢ τοῖς χαλκοῖς ἀνδριᾶσι. Τοῦ σώματος αὐτῷ καλὸν ἐδόκει εἶναι ἐπιμελεῖσθαι· ἐπιμεμέληται τούτου, ὥστ᾽ ἔτι καὶ νῦν τῶν ἡλικιωτῶν ἄριστα ἔχει τὸ σῶμα. Εὐριπίδου κω μ̃ (fr. 927 N.). Ὅστις νέος ὢν Μουσῶν ἀμελεῖ, τόν τε παρελθόντ᾽ ἀπόλωλε χρόνον, καὶ τὸν μέλλοντα τέθνηκε. 〈 Comici incert i . 〉 Φύσιν ἔχειν ἄριστόν ἐστι· δεύτερον δὲ 〈μανθάνειν.〉 Πλάτωνος Νόμων ζ′ (p. 794 DE). Ἀγνοεῖται παρὰ τοῖς πᾶσιν ὀλίγου. —Τὸ ποῖον; — Ὡς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ διαφέροντά ἐστιν ἡμῶν φύσει πρὸς τὰς χρείας εἰς ἑκάστας τῶν πράξεων τὰ περὶ τὰς χεῖρας· ἐπεὶ τά γε περὶ πόδας τε καὶ 〈τὰ〉 κάτω τῶν μελῶν, οὐδὲν διαφέροντα εἰς τοὺς πόνους φαίνεται· τὰ δὲ κατὰ χεῖρας ἀνοίᾳ τροφῶν καὶ μητέρων οἷον χωλοὶ γεγόναμεν ἕκαστοι. τῆς φύσεως γὰρ ἑκατέρων τῶν μελῶν σχεδὸν ἰσορροπούσης, αὐτοὶ διὰ τὰ ἔθη διάφορα αὐτὰ πεποιήκαμεν οὐκ ὀρθῶς χρώμενοι. Κράντωρ ἔλεγε μήτε δύνασθαί τινα τὰ μεγάλα πρὸ τῶν μικρῶν μυηθῆναι, μήτ᾽ ἂν ἐπὶ φιλοσοφίαν ἐλθεῖν Ἀρκεσίλαος ὁρῶν τινα νεανίσκον φιλοσόφων λόγων κατακούοντα πρὶν παιδευθῆναι, οὐδὲ τοὺς τῆς Δήμητρος, ἔφη, καρποὺς καλλίστους καὶ τροφιμωτάτους ὄντας εὐθὺς ἐκ γενετῆς τοῖς παισὶν ἁρμόζειν, τὸ δὲ γάλα τῶν τιτθῶν. Δημοσθένης ὁ ῥήτωρ ἔφη τὴν μὲν ῥίζαν τῆς παιδείας εἶναι πικράν, τοὺς δὲ καρποὺς γλυκεῖς. Ἀριστοτέλης ὁ Περιπατητικὸς ἐρωτηθεὶς ὑπό τινος, τί μάλιστα δεῖ ἀσκεῖν τοὺς νέους, εἶπε· „παιδείαν“. Θεοφράστο υ . Ἀναγκαιοτάτη δ᾽ ἐπὶ γυναικῶν ἡ τῶν γραμμάτων δοκεῖ παίδευσις εἶναι καὶ αὐτὴ μέχρι χρησίμου πρὸς οἰκονομίαν· τὸ δ᾽ ἐξακριβούμενον ἐπὶ πλέον ἀργοτέρας τε ποιεῖ πρὸς τἆλλα καὶ λάλους καὶ περιέργους. Ἰαμβλίχου ἐκ τοῦ Περὶ ψυχῆ ς . Ἡ γὰρ συνακολουθοῦσα παντὶ τῷ βουλήματι τοῦ διδάσκοντος τῶν μανθανόντων, αὕτη πασῶν ἐστι μουσικωτάτη τε καὶ ἀρίστη ἀκρόασις. Ἀντισθένης ὁ Σωκρατικὸς φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, ποῖος στέφανος κάλλιστός ἐστιν, εἶπεν, „ὁ ἀπὸ παιδείας“. Ὁ αὐτὸς (apophth. 32 Winckelm.) ἐρωτηθείς, τί ἀναγκαιότατον εἴη μάθημα, „τὸ ἀπομαθεῖν, εἶπε, τὰ κακά“. Ἀριστοτέλης ἔφη τὴν παιδείαν εὐτυχοῦσι μὲν κόσμον εἶναι, πταίσασι δὲ καταφυγὴν ἐλευθέριον. Πλάτωνος (Legg. V p. 728 CD). Τοῦ αὐτο ῦ . (Menex. p. 246 E —247 A .) Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ᾽ οὐ σοφία φαίνεται. Αἰλιανοῦ (Var. hist. frg. 4 ed. Teubner.). Σωκράτης ὁ γενναῖος ᾐτιᾶτο τῶν πατέρων ἐκείνους, ὅσοι 〈μὴ〉 παιδεύσαντες αὐτῶν τοὺς υἱεῖς, εἶτα ἀπορούμενοι ἦγον ἐπὶ τὰς ἀρχὰς τοὺς νεανίσκους καὶ ἔκρινον αὐτοὺς ἀχαριστίας, ὅτι οὐ τρέφονται ὑπ᾽ αὐτῶν· εἶπε γὰρ ἀδύνατον ἀξιοῦν τοὺς πατέρας, μὴ γὰρ οἵους τε εἶναι τοὺς μὴ μαθόντας τὰ δίκαια ποιεῖν αὐτά. Ἀντιφῶντος (fr. 134 Blass.). Πρῶτον, οἶμαι, τῶν ἐν ἀνθρώποις ἐστὶ παίδευσις· ὅταν γάρ τις πράγματος κἂν ὁτουοῦν τὴν ἀρχὴν ὀρθῶς ποιήσηται, εἰκὸς καὶ τὴν τελευτὴν ὀρθῶς γίγνεσθαι· καὶ γὰρ τῇ γῇ οἷον ἄν τις τὸ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ ἔκφορα δεῖ προσδοκᾶν· καὶ ἐν νέῳ σώματι ὅταν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο καὶ θάλλει διὰ παντὸς τοῦ βίου, καὶ αὐτὸ οὔτε ὄμβρος οὔτε ἀνομβρία ἀφαιρεῖται. Τοῦ αὐτοῦ (fr. 135 Blass.). Ἀναρχίας δ᾽ οὐδὲν κάκιον ἀνθρώποις· ταῦτα γινώσκοντες οἱ πρόσθεν ἄνθρωποι ἀπὸ τῆς ἀρχῆς εἴθιζον τοὺς παῖδας ἄρχεσθαι καὶ τὸ κελευόμενον ποιεῖν, ἵνα μὴ ἐξανδρούμενοι εἰς μεγάλην μεταβολὴν ἰόντες ἐκπλήσσοιντο. Οἵῳ τις ἂν τὸ πλεῖστον τῆς ἡμέρας συνῇ, τοιοῦτον ἀνάγκη γενέσθαι καὶ

αὐτὸν τοὺς τρόπους. Πλάτωνος Πολιτείας ζ (p. 537 B). Κόποι καὶ ὕπνοι μαθήμασι πολέμιοι. Ἐν ταὐτῷ (Rep. VII p. 537 C). Τά τε χύδην μαθήματα ἐν τῇ παιδείᾳ γενόμενα τούτοις συνακτέον εἰς σύνοψιν οἰκειότητός τε ἀλλήλων τῶν μαθημάτων καὶ τῆς τοῦ ὄντος φύσεως. Σωκράτου ς . Πανήγυρίς ἐστι ψυχῆς ἡ παιδεία· πολλὰ γάρ ἐστιν ἐν αὐτῇ [ψυχῆς] θεάματα καὶ ἀκούσματα. Τοῦ αὐτο ῦ . Τοῖς μὲν σταδιοδρομοῦσιν ἐπὶ τῷ τέρματι τὸ βραβεῖον τῆς νίκης, τοῖς δὲ φιλοπονήσασιν ἐπὶ τοῦ γήρως τὸ πρωτεῖον τῆς φρονήσεως ἀπόκειται. Τοῦ αὐτο ῦ . Οὗτος ἰδὼν πλούσιον ἀπαίδευτον, ἔφη· „ἰδοῦ καὶ τὸ χρυσοῦν ἀνδράποδον“. Ἀριστοτέλου ς . Οὗτος ἐρωτηθείς, τί τῶν ζῴων κάλλιστον, ἔφη· „ἄνθρωπος τὴν ψυχὴν παιδείᾳ κεκοσμημένος“. Ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος, ὅτι βαρβαρίζει, 〈 Demosthenis (XIII 14 p. 169).〉 Οὐ μικρὸν ὠφελεῖ τὸ τὰ βέλτιστα ἀκούειν ὑμᾶς συνεθίζειν. Τοῦ αὐτοῦ ([Ps.] Demosth. LXI p. 1413, 27—1414, 2). Ἅπασα φύσις βελτίων γίγνεται παιδείαν προσλαβοῦσα τὴν προσήκουσαν, πολὺ δὲ μάλιστα ὅσοις ἐξ ἀρχῆς εὐφυέστερον τῶν ἄλλων ἔχειν ὑπῆρξε· τοῖς μὲν γὰρ αὐτῶν μόνον βελτίοσι γίγνεσθαι, τοῖς δὲ καὶ τῶν ἄλλων συμβαίνει διενεγκεῖν. Θουκυδίδου (I 84, 4). Κράτιστον δὲ εἶναι ἐν τοῖς ἀναγκαίοις παιδεύεσθαι. Εὐκλείδο υ . Οὗτοι γὰρ τῶν ἀνθρώπων κάλλιστα μανθάνουσιν, οἵ τινες καὶ τὰ κάλλιστα μιμοῦνται. Δημώνακτος Ὑψαίου καὶ Σωκράτου ς . Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι κοσμεῖν δεῖ. Σωκράτης ἐρωτηθείς, πῶς ἄν τις ἄγοι καλῶς τοὺς ἰδίους παῖδας, εἶπε· „νέους μὲν ὄντας παιδεύσας, ἄνδρας δὲ γενομένους διδάξας συμπεριφέρεσθαι τοῖς ἀποβαίνουσι καὶ τὴν οὐσίαν διανείμας αὐτοῖς, ἵνα μὴ διὰ τοῦτο ἐχθροὶ γένωνται“. Ἰσοκράτους πρὸς Δημόνικον (§ 12 p. 4 C). Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ Δημοκρίτου (fr. mor. 134 Mullach.). Πάντων κάκιστον ἡ εὐπετείη παιδεῦσαι τὴν νεότητα, αὕτη γάρ ἐστι ἣ τίκτει τὰς ἡδονὰς ταύτας, ἐκ τῶν ἡ κακότης γίνεται. Τοῦ αὐτοῦ (fr. mor. 235 Mullach.). Ζηλωτικῶς ὁμῆ πονέειν παῖδες ἀνιέντες, οὔτε γράμματ’ ἂν μάθοιεν οὔτε μουσικὴν οὔτε ἀγωνίην, οὐδ’, ὅπερ μάλιστα τὴν ἀρετὴν ξυνέχει, τὸ αἰδέεσθαι· μάλα γὰρ ἐκ τούτου φιλέει γίνεσθαι ἡ αἰδώς. Τοῦ αὐτοῦ (fr. mor. 132 Mullach). Ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον. Τοῦ αὐτοῦ (fr. mor. 135 Mullach.). Κρέσσων ἐπ’ ἀρετὴν φανέεται προτροπῇ χρώμενος καὶ λόγου πειθοῖ ἤπερ νόμῳ καὶ ἀνάγκῃ. Λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι πλημμελές· διόπερ ξυνέσι τε καὶ ἐπιστήμῃ ὀρθοπρηγέων τις ἀνδρήιος ἅμα καὶ εὐθύγνωμος Πλάτωνος ἐκ τοῦ Θεάγους (p. 121 BC). Πάντα τὰ φυτὰ κινδυνεύει τὸν αὐτὸν τρόπον ἔχειν καὶ τὰ ἐκ τῆς γῆς φυόμενα καὶ τὰ ζῷα, τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ γὰρ ἐν τοῖς φυτοῖς ῥᾷστον ἡμῖν τοῦτο γίγνεται, ὅσοι τὴν γῆν γεωργοῦμεν, τὸ παρασκευάσασθαι πάντα τὰ πρὸ τοῦ φυτεύειν καὶ αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ τὸ φυτευθὲν βιῷ, μετὰ τοῦτο θεραπεία τοῦ φύντος καὶ πολλὴ καὶ χαλεπὴ καὶ δύσκολος γίγνεται. οὕτως δὲ ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν ἀνθρώπων· ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμάτων τεκμαίρομαι καὶ ἐς τὰ ἄλλα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ υἱέος τούτου, εἴτε φυτείαν εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάντων ῥᾴστη γέγονεν, ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἐν φόβῳ περὶ αὐτοῦ δεδιότι. Διογένου ς . Ὅταν ἄλλου τινὸς φροντίζῃς, τότε ἀμελεῖς σαυτοῦ. Πλάτων παρεκελεύετο τοῖς μαθηταῖς τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώττης σιγήν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδῶ. Κλεάνθης ἑταίρου ἀπιέναι μέλλοντος καὶ ἐρωτῶντος πῶς ἂν ἥκιστα ἁμαρτάνοι, εἶπεν· „εἰ παρ’ ἕκαστα ὧν πράττοις δοκοίης με παρεῖναι“. Ὁ αὐτὸς ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ Δημοκρίτου (fr. mor. 133 Mullach.). Ἡ φύσις καὶ ἡ διδαχὴ παραπλήσιόν ἐστι· καὶ γὰρ ἡ διδαχὴ μεταρρυσμοῖ τὸν ἄνθρωπον, μεταρρυσμοῦσα δὲ 〈καὶ〉 φύσις ποιέει. Τοῦ αὐτοῦ (fr. mor. 236 Mullach.). Τὰ μὲν καλὰ ἔργματα τοῖσι πόνοισι ἡ μάθησις ἐξεργάζεται, τὰ δ’ αἰσχρὰ ἄνευ πόνων αὐτόματα 〈ἡ ἀμαθίη〉 καρποῦται· καὶ γὰρ ὧν οὐκ ἐθέλοντα πολλάκις ἐξέργει τοιοῦτον εἶναι· οὕτω μεγάλης τε τῆς φυτικῆς ἐστι. Μητροδώρο υ . Νέος ἐν πολυτελέσι βρώμασι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ποτοῖς ἔτι δὲ ἀφροδισίοις ἀναστρεφόμενος λέληθεν ἑαυτὸν ἐν τῷ θέρει τὴν χλαῖναν κατατρίβων. Ἀντισθένους (apophth. 48 p. 65 Winckelm.). Δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἄνδρας γενήσεσθαι τὸ μὲν σῶμα γυμνασίοις ἀσκεῖν, τὴν δὲ ψυχὴν παιδεύσει. Δημοσθένης Φιλιππικῶν (XIII 25 p. 173, 22). φρονεῖν. Ὁποῖα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. Ξενοφῶντος (Cyneg. 13, 4). Κράτιστον μέν ἐστι παρὰ τῆς ἑαυτοῦ φύσεως τὸ ἀγαθὸν διδάσκεσθαι· δεύτερον δὲ παρὰ τῶν ἀληθῶς ἀγαθῶν. Δημοκρίτου (fr. mor. 131 Mullach.). Οὔτε τέχνη οὔτε σοφίη ἐφικτόν, ἢν μὴ μάθῃ τις. Τοῦ αὐτοῦ (fr. mor. 139 Mullach.). Ἔστι κου νέων ξύνεσις καὶ γερόντων ἀξυνεσίη· χρόνος γὰρ οὐ διδάσκει φρονέειν, ἀλλ' ὡραίη τροφὴ καὶ φύσις. Τοῦ αὐτοῦ (fr. mor. 143 Mullach). Ὁ ἀντιλογεόμενος καὶ πολλὰ λεσχηνευόμενος ἀφυὴς ἐς μάθησιν. Διογένης ἄτοπον ἔφησεν εἶναι ἐπὶ μὲν τὸν λύχνον ἐπιχεῖν ἔλαιον, ἵνα ἐπὶ τῆς τραπέζης ὁρῶμεν, ὅπως δὲ τῇ διανοίᾳ φρονιμώτεροι γενόμενοι κατανοήσομεν τὰ τῷ βίῳ βέλτιστα, μηδὲν ἐθέλειν ἀναλίσκειν. Ὁ αὐτὸς ἐρωτηθείς, τί ἡ γῆ βαστάζει βαρύτατον, Ἀντισθένης (apophth. 49 Winckelm.) ἐρωτηθεὶς ὑπό τινος, τί διδάξει τὸν υἱόν, εἶπεν, „εἰ μὲν θεοῖς μέλλει συμβιοῦν, φιλόσοφον, εἰ δὲ ἀνθρώποις, ῥήτορα". Σόλων ἐπετίμα τινὶ κυβεύοντι· τοῦ δὲ λέγοντος περὶ μικροῦ παίζειν, „ἀλλὰ τὸ ἔθος οὐ μικρόν", ἔφη. Ὑπερίδης (fr. 209 Blass.) ὁ ῥήτωρ ἔλεγε μὴ δύνασθαι καλῶς ζῆν, μὴ μαθόντα 〈τὰ〉 καλὰ τὰ ἐν τῷ βίῳ. Σωκράτης ἐρωτηθείς, τί ἐπιστήμη, ἔφη· „ἐπιμέλεια ψυχῆσ"· πόθεν δὲ μάλιστα κακοὶ γίνονται, „ἐξ ἀγωγῆς κακῆς καὶ ὁμιλίας πονηρᾶσ" ἔφη. Πλάτων εἶπε τὴν παιδείαν τοῖς ἀνθρώποις δεύτερον ἥλιον εἶναι. Ζήνων ἐρωτηθείς, πῶς ἄν τις νέος ἐλάχιστα ἁμαρτάνοι, „εἰ πρὸ ὀφθαλμῶν ἔχει", ἔφη, „οὓς μάλιστα τιμᾷ καὶ αἰσχύνεται". Ἐκ τῆς Περὶ φιλίας ἐπιστολῆς (Plut. fr. 18, 15). Ἡ παιδεία κἂν μηδὲν ἕτερον ἀγαθὸν ἔχῃ, τό γε συμφοιτᾶν αὐτὴν νυκτὸς καὶ ἡμέρας ἐκσῴζει κακίας, οἷς ἂν ᾖ τις αἰδώς· καὶ πολλοὶ σφᾶς αὐτοὺς καὶ ἄλλους ** Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτω ν . Τὸ κύμινον, φασί, δεῖ σπείρειν βλασφημοῦντας, οὕτω γὰρ καλὸν φύεσθαι· καὶ τοὺς νέους χρὴ παιδεύειν ἐπισκώπτοντας, οὕτω γὰρ χρήσιμοι ἔσονται. Πλάτωνος (Legg. VII p. 791 BC). Πᾶσα ψυχὴ δείμασι συνοῦσα ἐκ νέων μᾶλλον ἂν διὰ φόβων ἐθίζοιτο γίγνεσθαι· τοῦτο δέ που πᾶς ἂν φαίη τίας ἀνδρίας ἂν φαῖμεν ἐκ νέων εὐθὺς ἐπιτήδευμα εἶναι, τὸ νικᾶν τὰ προσπίπτοντα ἡμῖν δείματά τε καὶ φόβους. Ἐκ τῶν Ἀριστωνύμου τομαρίων καὶ Σωκράτου ς . Ταῖς μὲν πόλεσι τὰ τείχη, ταῖς δὲ ψυχαῖς ὁ ἐκ παιδείας νοῦς κόσμον καὶ ἀσφάλειαν παρέχει. Φιλόξενος ὁ μουσικὸς ἐρωτηθείς, τί μάλιστα συνεργεῖ παιδείᾳ, εἶπε, „χρόνοσ". Διογένης ἔλεγε τὴν τῶν παίδων ἀγωγὴν ἐοικέναι τοῖς τῶν κεραμέων πλάσμασιν· ὡς γὰρ ἐκεῖνοι ἁπαλὸν μὲν τὸν πηλὸν ὄντα ὅπως θέλουσι σχηματίζουσι καὶ ῥυθμίζουσιν, ὀπτηθέντα δὲ οὐκέτι δύνανται πλάσσειν, οὕτω καὶ τοὺς ἐν νεότητι μὴ διὰ πόνων παιδαγωγηθέντας, τελείους γενομένους ἀμεταπλάστους γίνεσθαι. Μόνιμος ὁ Κυνικὸς φιλόσοφος ἔφη, κρεῖττον εἶναι τυφλὸν 〈εἶναι〉 ἢ ἀπαίδευτον· τὸν μὲν γὰρ εἰς τὸν βόθρον, τὸν δὲ εἰς τὸ βάραθρον ἐμπίπτειν. Ἐκ τῶν Δίωνος Χρειῶ ν . Ἀθηναίοις ἐρομένοις, ὅπως λῷον 〈ἂν〉 αὐτοῖς γίγνοιτο, ἔχρησεν ἡ Πυθία· εἰ τὸ κάλλιστον εἰς τὸ δεξιὸν οὖς τῶν παίδων ἐντιθέναι βούλοιντο· οἱ δὲ τρήσαντες αὐτὸ χρυσίον ἐνέβαλλον, ἀγνοήσαντες, ὅτι τὸν φιλόσοφον λόγον ἐμήνυσε. Δημοκρίτου (fr. mor. 234 Mullach.). Φαύλων ὁμιλίη ξυνεχὴς ἕξιν κακίης συναέξει. Πλάτωνος Νόμων α′ (p. 641 BC). Ἦ τοῦτο οὕτως ἐρωτηθέντες εἴποιμεν 〈ἄν〉, ὡς ἑνὸς μὲν οὐ χαλεπὸν εἰπεῖν, ὅτι παιδευθέντες μὲν εὖ γίγνοιντ' ἂν ἄνδρες ἀγαθοί, γενόμενοι δὲ τοιοῦτοι τά τε ἄλλα ἂν πράττοιεν καλῶς, ἔτι δὲ κἂν νικῷεν τοὺς πολεμίους μαχόμενοι. παιδεία μὲν οὖν φέρει καὶ νίκην, νίκη δὲ ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι, μυρίων ἄλλων κακῶν δι' ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν οὐδεπώποτε γέγονε Καδμεία, νῖκαι δὲ ἀνθρώποις πολλαὶ δὴ τοιαῦται γεγόνασί τε καὶ ἔσονται. Διογένου ς . Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ· καὶ γὰρ τιμὴν ἔχει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυτέλειαν. Ἰσοκράτους πρὸς Δημόνικον (§ 40 p. 10 E). Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. 〈 Τοῦ αὐτοῦ (§ 19 p. 5 E).〉 Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπεται, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατος. 〈 Τοῦ αὐτοῦ (§ 52 p. 13 B).〉 Ὥσπερ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλ- 〈 Τοῦ αὐτοῦ (§ 22 p. 6 D).〉 Μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. Δημοκρίτου (fr. mor. 136 Mullach.). Κρέσσονές εἰσι αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθέων πλοῦτος. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτω ν . Κυβερνήτης μὲν οὔτε ἐν μεγάλῳ πλοίῳ οὔτε ἐν μικρῷ ναυτιάσει, οἱ δὲ ἄπειροι ἐν ἀμφοῖν· οὕτως ὁ μὲν πεπαιδευμένος καὶ ἐν πλούτῳ καὶ ἐν πενίᾳ οὐ ταράττεται, ὁ δ' ἀπαίδευτος ἐν ἀμφοῖν. Πυθαγόρο υ . Ἀπαιδευσία πάντων τῶν παθῶν μήτηρ· τὸ δὲ πεπαιδεῦσθαι οὐκ ἐν πολυμαθείας λόγων ἀναλήψει, ἐν ἀπαλλάξει δὲ τῶν φύσει παθῶν θεωρεῖται. Βίων ἔλεγε κατὰ Ἡσίοδον τρία γένη εἶναι μαθητῶν, χρυσοῦν, ἀργυροῦν, χαλκοῦν· χρυσοῦν μὲν τὸ τῶν διδόντων καὶ [μὴ] μανθανόντων· ἀργυροῦν δὲ τὸ τῶν διδόντων καὶ 〈μὴ〉 μανθανόντων· χαλκοῦν δὲ τὸ τῶν μανθανόντων μέν, οὐ διδόντων δέ. Σωκράτης παρῄνει τοῖς νέοις πολλάκις ἐσοπτρίζεσθαι καὶ τοὺς μὲν εὐπρεπεῖς ὅμοιον ποιεῖν τῷ εἴδει καὶ 〈τὸν〉 τρόπον, τοὺς δὲ ἀμόρφους περιστέλλειν τὸ δυσ- Ὁ αὐτὸς ἐρωτηθείς, τί ἥδιστον ἐν τῷ βίῳ, ἔφη· „παιδεία καὶ ἀρετὴ καὶ ἱστορία τῶν ἀγνοουμένων". Πιττακὸς συνεβούλευε πρὸς τὸ γῆρας ἐφόδιον παρατίθεσθαι παιδείαν· γηροκομικωτάτη γὰρ αὕτη καὶ εὐκόλως ποιοῦσα ὑποφέρειν τὰς τοῦ γήρως δυσκολίας. Σωκράτης Ξενοφῶντα νέον 〈ὄντα〉 ὁρῶν εὐφυῆ ἠρώτησεν, εἰ οἶδεν ὅπου τῆς ἀγορᾶς οἱ ἰχθύες εἶεν, τοῦ δὲ εἰπόντος, ναί, ἐξῆς ἤρετο, τί δὲ τὰ λάχανα; ὡς δ' εἶπε καὶ τοῦτο καὶ τὰ ἄλλα, ἐπὶ πᾶσιν ἤρετο, εἰ οἶδεν ὅπου οἱ καλοὶ κἀγαθοὶ διατρίβουσι· σιωπῶντος δὲ ἐπιπλήξας αὐτὸν κατέλιπεν· ὁ δὲ διατραπεὶς ἀπ' ἐκείνου ἥρξατο φιλοσοφεῖν. Σωκράτης πρός τινα πάντα εἰδέναι φάσκοντα καὶ πολυμάθειαν ὑπισχνούμενον (ἐτύγχανε δὲ εἰς Ἀκαδήμειαν συγκατιὼν αὐτῷ) ἐπιστὰς χωρίῳ πεφυτευμένῳ, ἤρετο αὐτόν „οὐ δοκεῖ σοι ὁ γεωργὸς ἀμελῆσαι μὴ καταφυτεύσας πᾶσαν τὴν γῆν, ἀλλὰ διαλείμματα μεταξὺ τῶν δένδρων καταλιπών;"· τοῦ δὲ εἰπόντος „καὶ μὴν εἰ μὴ τοῦτο ἐποίησεν, οὐδὲν ἂν τούτων ἔτι ἐβίω, ἀλλ' ὑπ' ἀλλήλων ἀπώλετο", „εἶτα", ἔφη, „σὺ ἐν τῇ σαυτοῦ ψυχῇ οὐδὲ μικρὸν τόπον παραλιπών, ἄλλα δ' ἐπ' ἄλλοις μαθήματα σωρεύων, οἴει τινὰ καρπὸν ἐξ αὐτῶν δρέψασθαι"; Τοῦ αὐτο ῦ . Ἡ παιδεία καθάπερ εὐδαίμων χώρα πάντα τὰ ἀγαθὰ φέρει. Τῷ μὲν Ὀρέστῃ μαινομένῳ τὴν Ἠλέκτραν ὁ μῦθος, τῇ δὲ τῶν νέων ὁρμῇ τὴν εὐβουλίαν ὁ κατὰ φιλοσοφίαν Ἐν τῷ βίῳ, καθάπερ ἐν ὁδῷ μακρᾷ, δεῖ που καὶ ἀνάπαυσιν εὐσχήμονα εἶναι. 〈 Πλάτωνος (Rep. II p. 370 C).〉 Πλείω τε ἕκαστα γίγνεται καὶ ῥᾷον καὶ κάλλιον, ὅταν εἷς ἓν κατὰ φύσιν καὶ ἐν καιρῷ σχολὴν τῶν ἄλλων ἄγων πράττῃ. 〈 Τοῦ αὐτοῦ (Leg. VIII p. 846 DE).〉 Δύο ἐπιτηδεύματα ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι σχεδὸν οὐδεμία φύσις ἱκανὴ τῶν ἀνθρωπείων· οὐδ' αὖ τὴν μὲν αὐτὸς ἱκανὸς ἀσκεῖν, τὴν δὲ ἄλλον ἀσκοῦντα ἐπιτροπεύειν. 〈 Τοῦ αὐτοῦ (Leg. VII p. 812 E).〉 Τὰ γὰρ ἐναντία ἄλληλα ταράττοντα δυσμάθειαν παρέχει. 〈 Τοῦ αὐτοῦ (Rep. III p. 394 E).〉 Πολλὰ ὁ αὐτὸς μιμεῖσθαι 〈εὖ〉 ὥσπερ ἓν οὐ δυνατός. 〈 Τοῦ αὐτοῦ (Sophist. p. 218 C).〉 Ὅσα δ' αὖ τῶν μεγάλων δεῖ διαπονεῖσθαι καλῶς, περὶ τούτων δέδοκται πᾶσι καὶ πάλαι τὸ πρότερον ἐν σμικροῖς καὶ ῥᾴοσιν αὐτὰ δεῖν μελετᾶν, πρὶν ἐν αὐτοῖς τοῖς μεγίστοις. 〈 Τοῦ αὐτοῦ (Polit. p. 286 A).〉 Ῥᾴων δ' ἐν τοῖς ἐλάττοσι μελέτη παντὸς πέρι μᾶλλον ἢ περὶ τὰ μείζω. 〈 Τοῦ αὐτοῦ (Theaet. p. 187 E).〉 Κρεῖττον γάρ που σμικρὸν εὖ, ἢ πολὺ μὴ ἱκανῶς Πλάτωνος Νόμων ζ′ (p. 791 D —792 D). Ἡ μὲν τρυφὴ δύσκολα καὶ ἀκράχολα καὶ σφόδρα ἀπὸ σμικρῶν κινούμενα τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν νέων ἤθη ἀπεργάζεται, τὸ δὲ τούτου ἐναντίον ἥ τε σφοδρὰ καὶ ἀγρία δούλωσις ταπεινούς τε καὶ ἀνελευθέρους καὶ μισανθρώπους ποιοῦσα ἀνεπιτηδείους ξυνοίκους ἀποτελεῖ .... τοῖς δὲ παιδίοις τὸ δήλωμα ὧν ἐρᾷ καὶ μισεῖ κλαυθμοναὶ καὶ βοαί, σημεῖα οὐδαμῶς εὐτυχῆ· ἔστι δὲ ὁ χρόνος οὗτος τριῶν οὐκ ἐλάττων ἐτῶν, μόριον οὐ σμικρὸν τοῦ βίου διαγαγεῖν χεῖρον ἢ μὴ χεῖρον. —Ὀρθῶς λέγεις. —Ὁ δὴ δύσκολος οὐδαμῶς τε ἵλεως ἆρ' οὐ δοκεῖ σφῷν θρηνώδης τε εἶναι καὶ ὀδυρμῶν ὡς ἐπὶ τὸ πολὺ πλήρης μᾶλλον ἢ χρεών ἐστι τὸν ἀγαθόν; ... ὁ μὲν γὰρ ἐμὸς λόγος οὔθ' ἡδονάς φησι δεῖν διώκειν τὸν ὀρθὸν βίον οὔτ' αὖ τὸ παράπαν φεύγειν τὰς λύπας, ἀλλ' αὐτὸ ἀσπάζεσθαι τὸ μέσον, ὃ νῦν δὴ προσεῖπον ὡς ἵλεων ὀνομάσας. 〈 Τοῦ αὐτοῦ (Leg. VII p. 819 A).〉 Οὐδαμοῦ γὰρ δεινὸν ἀπειρία τῶν πάντων οὐδὲ μέγιστον κακῶν, ἀλλ' ἡ πολυπειρία καὶ πολυμάθεια μετὰ κακῆς ἀγωγῆς γίγνεται πολὺ τούτων μείζων ζημία. Πλάτων λέγοντός ποτε Ἰσοκράτους, ὡς δίκαια ποιεῖ πολὺν μισθὸν τοὺς μαθητὰς εἰσπραττόμενος, τοὺς μὲν γὰρ εὐφυεῖς ὠφελοῦν, περὶ δὲ τοὺς ἀφυεῖς πονεῖν, „τοὐναντίον“ ἔφη, „ποιεῖς, Ἰσόκρατες· περὶ μὲν γὰρ τοὺς εὐφυεῖς οὐ πονεῖς, τοὺς δὲ ἀφυεῖς οὐκ ὠφελεῖσ“. Τοῦ αὐτοῦ ἐκ τοῦ Εὐθύφρονος (p. 2 D). Ὀρθῶς γάρ ἐστι τῶν νέων πρῶτον ἐπιμεληθῆναι, καὶ τῶν ἄλλων. 〈 Τοῦ αὐτοῦ (Rep. VI p. 504 D).〉 Οὐχ ἧττον μανθάνοντι πονητέον ἢ γυμναζομένῳ. 〈 Τοῦ αὐτοῦ (Phileb. p. 52 R).〉 Τὰς τῶν μαθημάτων ἡδονὰς ἀμίκτους τε εἶναι λύπαις ῥητέον καὶ οὐδαμῶς πολλῶν ἀνθρώπων, ἀλλὰ τῶν σφόδρα ὀλίγων. Πολιτείας ς′ (p. 491 D—E). Παντὸς σπέρματος πέρι ἢ φυτοῦ εἴτ' ἐγγείων εἴτε τῶν ζῴων ἴσμεν, ὅτι τὸ μὴ τυχὸν τροφῆς ἧς προσήκει μηδὲ ὥρας μηδὲ τόπου, ὅσῳ ἂν ἐρρωμενέστερον ᾖ, τοσούτῳ πλειόνων ἐνδεῖ τῶν πρεπόντων· ἀγαθῷ γάρ που κακὸν ἐναντιώτερον ἢ τῷ μὴ ἀγαθῷ. —Πῶς δ' οὔ; —Ἔχει δή, οἶμαι, λόγον τὴν ἀρίστην φύσιν ἐν ἀλλοτριωτέρᾳ οὖσαν τροφῇ κακίον' ἀπαλλάττειν τῆς φαύλης. —Ἔχει. —Οὐκοῦν, καὶ τὰς ψυχὰς φῶμεν οὕτω τὰς εὐφυεστάτας κακῆς παιδαγωγίας τυχούσας διαφερόντως κακὰς γίγνεσθαι; ἢ οἴει τὰ μεγάλα ἀδικήματα καὶ τὴν ἄκρατον πονηρίαν ἐκ φαύλης, ἀλλ' οὐκ ἐκ νεανικῆς φύσεως τροφῇ διολομένης γίγνεσθαι, ἀσθενῆ δὲ φύσιν μεγάλων οὔτε ἀγαθῶν οὔτε κακῶν ποτε αἰτίαν ἔσεσθαι; Ἐν ταὐτῷ (p. 495 A). Ὁρᾷς οὖν ὅτι οὐ καλῶς ἐλέγομεν, ὡς ἄρα καὶ αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη, ὅταν ἐν κακῇ τροφῇ γένηται, αἴτια τρόπον τινὰ τοῦ ἐκπεσεῖν ἐκ τοῦ ἐπιτηδεύματος καὶ τὰ λεγόμενα ἀγαθὰ πλοῦτοί τε καὶ πᾶσα ἡ τοιαύτη παρασκευή. Νόμων ς′ (p. 765 E —766 A). καὶ ἀγρίων 〈καὶ ἀνθρώπων〉· ἄνθρωπος δέ, ὥς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς θειότατον ἡμερώτατόν τε ζῷον γίγνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα φύει γῆ. Ἐκ τοῦ Τιμαίου (p. 26 B). Ὡς δή τοι, τὸ λεγόμενον, τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον. 〈 Νόμων α′ (p. 643 B).〉 Λέγω δὴ καί φημι τὸν ὁτιοῦν ἀγαθὸν ἄνδρα μέλλοντα ἔσεσθαι, τοῦτο αὐτὸ ἐκ παίδων εὐθὺς μελετᾶν δεῖν παίζοντά τε καὶ σπουδάζοντα ἐν τοῖς τοῦ πράγματος ἑκάστοις προσήκουσι. Πολιτείας ζ′ (p. 536 D). Σόλωνι γὰρ οὐ πειστέον, ὡς γηράσκων τις πολλὰ δυνατὸς μανθάνειν, ἀλλ' ἧττον ἢ τρέχειν, νέων δὲ πάντες οἱ μεγάλοι καὶ οἱ πολλοὶ πόνοι. 〈 Ἐν ταὐτῷ (II p. 377 AB).〉 Ἀρχὴ παντὸς ἔργου μέγιστον, ἄλλως τε δὴ καὶ νέῳ καὶ ἁπαλῷ ὁτῳοῦν· μάλιστα γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται τύπος, ὃν ἄν τις βούληται ἐνσημήνασθαι ἑκάστῳ. 〈 Ἐν ταὐτῷ (IV p. 425 BC).〉 Κινδυνεύει γοῦν ἐκ τῆς παιδείας, ὅποι ἄν τις ὁρμήσῃ, τοιαῦτα καὶ τὰ ἑπόμενα εἶναι. ἢ οὐκ ἀεὶ τὸ ὅμοιον τὸ Πολιτείας ζ′ (p. 536 E). Μὴ τοίνυν βίᾳ, ὦ ἄριστε, εἶπον τοὺς παῖδας ἐν τοῖς μαθήμασιν ἀλλὰ παίζοντας τρέφε, ἵνα καὶ μᾶλλον οἷός τ' ᾖς καθορᾶν, ἐφ' ᾧ ἕκαστος πέφυκε. 〈 Ἐν ταὐτῷ (VII p. 535 B).〉 Πολὺ γάρ τοι μᾶλλον ἀποδειλιῶσιν αἱ ψυχαὶ ἐν ἰσχυροῖς μαθήμασιν ἢ ἐν γυμνασίοις· οἰκειότερος γὰρ ὁ πόνος αὐταῖς, ἴδιος ἀλλ' οὐ κοινὸς ὢν μετὰ τοῦ σώματος. 〈 Ἐν ταὐτῷ (III p. 394 E).〉 Εἷς ἕκαστος ἓν μὲν ἂν ἐπιτήδευμα καλῶς ἐπιτηδεύοι, πολλὰ δὲ οὔ· ἀλλ' εἰ τοῦτ' ἐπιχειροῖ, πολλῶν ἐφαπτόμενος πάντων ἀποτυγχάνοι ἄν, ὥστ' εἶναί που ἐλλόγιμος. Νόμων ζ′ (p. 808 D). Ἄνευ

ποιμένος δὲ οὔτε πρόβατα οὔτε ἄλλο οὐδέν πω βιωτέον, οὐδὲ δὴ παῖδας ἄνευ τινῶν παιδαγωγῶν οὐδὲ δούλους ἄνευ δεσποτῶν. ὁ δὲ παῖς πάντων θηρίων ἐστὶ δυσμεταχειριστότατον· ὅσῳ γὰρ μάλιστα ἔχει πηγὴν τοῦ φρονεῖν μήπω κατηρτυμένην, ἐπίβουλον καὶ δριμὺ καὶ ὑβριστότατον θηρίον γίγνεται· διὸ πολλοῖς αὐτὸ οἷον χαλινοῖς τισι δεῖ δεσμεύειν. 〈 Ἐν ταὐτῷ (VII p. 788 C —789 A).〉 Οὐκοῦν ὅτι μὲν σώματα καὶ ψυχὰς τήν γε ὀρθὴν πάντως δεῖ τροφὴν φαίνεσθαι δυναμένην ὡς κάλλιστα καὶ ἄριστα ἐργάζεσθαι, τοῦτο μὲν ὀρθῶς εἴρηταί που. — Τί μήν; — Σώματα δὲ κάλλιστα, οἶμαι, τό γε ἁπλούστατον, ὡς ὀρθότατα δεῖ νέων ὄντων εὐθὺς φύεσθαι τῶν παίδων. — Πάνυ μὲν οὖν. — Τί δέ; τόδε οὐκ ἐννοοῦμεν, ὡς ἡ πρώτη βλάστη παντὸς ζῴου πολὺ μεγίστη καὶ πλείστη τά γ' ἀνθρώπινα μήκη διπλάσια ἀπὸ πέντε ἐτῶν ἐν τοῖς λοιποῖς εἴκοσιν ἔτεσιν αὐξανόμενα; — Ἀληθῆ. — Τί οὖν; πολλὴ αὔξη ὅταν ἐπιρρέῃ πόνων χωρὶς πολλῶν καὶ συμμέτρων, οὐκ ἴσμεν ὅτι μυρία κακὰ ἐν τοῖς σώμασιν ἀποτελεῖ; — Καὶ πάνυ γε. — Οὐκοῦν τότε δεῖται πλείστων πόνων, ὅταν ἡ πλείστη τροφὴ προσγίγνηται τοῖς σώμασιν. 〈 Ἐν ταὐτῷ (VII p. 817 E —818 C).〉 Ἔτι δὴ τοίνυν τοῖς ἐλευθέροις ἔστι τρία μαθήματα, λογισμοὶ μὲν καὶ τὰ περὶ ἀριθμοὺς ἓν μάθημα, μετρητικὴ δὲ μήκους καὶ ἐπιπέδου καὶ βάθους ὡς ἓν αὖ δεύτερον, τρίτον δὲ τῆς τῶν ἄστρων περιόδου πρὸς ἄλληλα ὡς πέφυκε πορεύεσθαι. ταῦτα δὲ ξύμπαντα, οὐχ ὡς ἀκριβείας ἐχόμενα δεῖ διαπονεῖν τοὺς πολλούς, ἀλλά τινας ὀλίγους· οἷς δέ, προϊόντες ἐπὶ τῷ τέλει φράσομεν. οὕτω γὰρ πρέπον ἂν εἴη· τῷ δὲ πλήθει ὅσα αὐτῶν ἀναγκαῖα ... ἀλλ' ἔοικεν ὁ τὸν θεὸν πρῶτος παροιμιασάμενος εἰς ταῦτα ἀποβλέψας εἰπεῖν, ὡς οὐδὲ θεὸς ἀνάγκῃ μή ποτε φανῇ μαχόμενος, ὅσαι θεῖαί γε, οἶμαι, τῶν ἀναγκῶν εἰσιν· ἐπεὶ τῶν γε ἀνθρωπίνων, εἰς ἃς οἱ πολλοὶ βλέποντες λέγουσι τὸ τοιοῦτον, οὗτος πάντων 〈τῶν〉 λόγων εὐηθέστατός ἐστι μακρῷ. — Τίνες οὖν, ὦ ξένε, αἱ μὴ τοιαῦται ἀνάγκαι τῶν μαθημάτων, θεῖαι δέ; — Δοκῶ μέν, ἃς μή τις πράξας μηδὲ αὖ μαθὼν οὐκ ἄν ποτε γένοιτο ἐν ἀνθρώποις θεὸς οὐδὲ δαίμων οὐδὲ ἥρως. Πολιτείας β′ (p. 376 E —377 D). Τίς οὖν ἡ παιδεία; ἢ χαλεπὸν εὑρεῖν βελτίω τῆς ὑπὸ τοῦ πολλοῦ χρόνου εὑρημένης; ἔστι δέ που ἡ μὲν ἐπὶ τοῖς σώμασι γυμναστική, ἡ δὲ ἐπὶ τῇ ψυχῇ μουσική. — Ἔστι γάρ. — Ἆρ' οὖν οὐ μουσικῇ πρότερον ἀρχόμεθα παιδεύοντες ἢ γυμναστικῇ; — Πῶς δ' οὔ; — Μουσικῆς δ', εἶπον, τίθης λόγους ἢ οὔ; — Ἔγωγε. — Λόγων δὲ διττὸν εἶδος, τὸ μὲν ἀληθές, ψεῦδος δὲ θάτερον; — Ναί. — Παιδευτέον δ' ἐν ἀμφοτέροις, πρότερον δὲ ἐν τοῖς ψευδέσιν; — Οὐ μανθάνω, ἔφη, πῶς λέγεις. — Οὐ μανθάνεις, ἦν δ' ἐγώ, ὅτι πρῶτον τοῖς παιδίοις μύθους λέγομεν; τοῦτο δέ που ὡς τὸ ὅλον εἰπεῖν ψεῦδος, ἔνι δὲ καὶ ἀληθές. πρότερον δὲ μύθοις πρὸς τὰ παιδία ἢ γυμνασίοις χρώμεθα. — Ἔστι ταῦτα. — Τοῦτο δὴ ἔλεγον, ὅτι μουσικῆς πρότερον ἁπτέον ἢ γυμναστικῆς. — Ὀρθῶς, ἔφη. — Οὐκοῦν οἶσθα ὅτι ἀρχὴ παντὸς ἔργου μέγιστον, ἄλλως τε δὴ καὶ νέῳ καὶ ἁπαλῷ ὁτῳοῦν· μάλιστα γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται τύπος ὃν ἄν τις βούληται ἐνσημήνασθαι ἑκάστῳ. — Κομιδῇ μὲν οὖν. — Ἆρ' οὖν ῥᾳδίως οὕτω παρήσομεν τοὺς ἐπιτυχόντας ὑπὸ τῶν ἐπιτυχόντων μύθους πλασθέντας ἀκούειν τοὺς παῖδας καὶ λαμβάνειν ἐν ταῖς ψυχαῖς ὡς ἐπὶ τὸ πολὺ ἐναντίας δόξας ἐκείναις, ἃς ἐπειδὰν τελειωθῶσιν ἔχειν οἰησόμεθα δεῖν αὐτούς; — Οὐδ' ὁπωστιοῦν παρήσομεν. — Πρῶτον δὴ ἡμῖν, ὡς ἔοικεν, ἐπιστατητέον τοῖς μυθοποιοῖς, καὶ ὃν μὲν ἂν καλὸν μῦθον ποιήσωσιν, ἐγκριτέον, ὃν δ' ἂν μή, ἀποκριτέον· τοὺς δ' ἐγκριθέντας πείσομεν τὰς τροφούς τε καὶ μητέρας λέγειν τοῖς παισὶ καὶ πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ μᾶλλον ἢ τὰ σώματα ταῖς χερσίν· ὧν δὲ νῦν λέγουσι, τοὺς πολλοὺς ἐκβλητέον. 〈 Ἐν ταὐτῷ (II p. 378 C—E).〉 Ἀλλ' εἴ πως μέλλομεν πείσειν, 〈ὡσ〉 οὐδεὶς πώποτε πολίτης ἕτερος ἑτέρῳ ἀπήχθετο οὐδ' ἔστι τοῦτο ὅσιον, ρουσι καὶ γραυσὶ καὶ πρεσβυτέροις γιγνομένοις καὶ τοὺς ποιητὰς ἐγγὺς τούτων ἀναγκαστέον λογοποιεῖν. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος καὶ Ἡφαίστου ῥίψεις ὑπὸ πατρὸς μέλλοντος τῇ μητρὶ τυπτομένῃ ἀμύνειν, καὶ θεομαχίας ὅσας Ὅμηρος πεποίηκεν οὐ παραδεκτέον εἰς τὴν πόλιν, οὔτε ἐν ὑπονοίαις πεποιημένας οὔτε ἄνευ ὑπονοιῶν.

ὁ γὰρ νέος οὐχ οἷός τε κρίνειν ὅ τί τε ὑπόνοια καὶ μή, ἀλλ’ 〈ἃ〉 ἂν τηλικοῦτος ὢν λάβῃ ἐν ταῖς δόξαις, δυσέκνιπτά τε καὶ ἀμετάστατα φιλεῖ γίγνεσθαι. ὧν δὴ ἴσως ἕνεκα περὶ παντὸς ποιητέον ἃ πρῶτον ἀκούουσιν, ὅ τι κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν ἀκούειν. — Ἔχει γάρ, ἔφη, λόγον. Πολιτείας γ′ (p. 403 C). Μετὰ μουσικὴν γυμναστικῇ θρεπτέοι οἱ νεανίαι. — Τί μήν; — Δεῖ μὲν δὴ καὶ ταύτῃ ἀκριβῶς τρέφεσθαι ἐκ παίδων διὰ βίου· ἔχει δέ πως, ὡς ἐγᾦμαι, ὧδε· σκόπει δὲ καὶ σύ. ἐμοὶ μὲν γὰρ οὐ φαίνεται, ὃ ἂν χρηστὸν ᾖ σῶμα, τῇ αὐτοῦ ἀρετῇ ψυχὴν ἀγαθὴν ἐμποιεῖν, ἀλλὰ τοὐναντίον ψυχὴ ἀγαθὴ τῇ αὐτῆς ἀρετῇ σῶμα παρέχειν ὡς οἷόν τε βέλτιστον· σοὶ δὲ πῶς φαίνεται; — Καὶ ἐμοὶ οὕτως, ἔφη. — Οὐκοῦν εἰ τὴν διάνοιαν ἱκανῶς θεραπεύσαντες παραδοῖμεν αὐτῇ τὰ περὶ τὸ σῶμα ἀκριβολογεῖσθαι .... Ἐν ταὐτῷ (III p. 395 CD). Οὐδὲν δὲ δέοι ἂν αὐτοὺς ἄλλο πράττειν οὐδὲ μιμεῖσθαι ἢ τὰ τούτοις προσήκοντα εὐθὺς ἐκ παίδων ἀνδρείους, σώφρονας, ὁσίους, ἐλευθέρους καὶ τὰ τοιαῦτα πάντα, τὰ δὲ ἀνελεύθερα μήτε ποιεῖν μήτε δεινοὺς εἶναι μιμήσασθαι, μηδ’ ἄλλο μηδὲν τῶν αἰσχρῶν, ἵνα μὴ ἐκ τῆς μιμήσεως τοῦ εἶναι ἀπολαύωσιν. ἢ οὐκ ᾔσθησαι, ὅτι αἱ μιμήσεις, νοιαν; — Καὶ μάλα, ἦ δ’ ὅς. Πολιτείας ζ′ (p. 536 DE). Τὰ μὲν τοίνυν λογισμῶν τε καὶ γεωμετριῶν καὶ πάσης τῆς προπαιδείας, ἣν τῆς διαλεκτικῆς δεῖ προπαιδευθῆναι, παισὶν οὖσι χρὴ προβάλλειν, οὐχ ὡς ἐπάναγκες μαθεῖν τὸ σχῆμα τῆς διδαχῆς ποιουμένους. — Τί δή; — Ὅτι, ἦν δ’ ἐγώ, οὐδὲν μάθημα μετὰ δουλείας τὸν ἐλεύθερον χρὴ μανθάνειν. οἱ μὲν γὰρ τοῦ σώματος πόνοι βίᾳ πονούμενοι χεῖρον οὐδὲν τὸ σῶμα ἀπεργάζονται, ψυχῇ δὲ βίαιον οὐδὲν ἔμμονον μάθημα. — Ἀληθῆ, ἔφη. — Μὴ τοίνυν βίᾳ, εἶπον, ὦ ἄριστε, τοὺς παῖδας ἐν τοῖς μαθήμασιν ἀλλὰ παίζοντας τρέφε, ἵνα καὶ μᾶλλον οἷός τ’ ᾖς καθορᾶν, ἐφ’ ᾧ ἕκαστος πέφυκε. Ξενοκράτη ς , ὁπότε τις αὐτῷ σχολάζειν ἤθελεν οὐδενὸς τῶν ἐγκυκλίων μαθημάτων μετειληφώς, „ἄπιθι“, εἶπε, „λαβὰς οὐκ ἔχεις πρὸς φιλοσοφίαν· δεῖ γὰρ προμεμαλάχθαι διὰ τούτων τὴν ψυχήν“. Ἰσοκράτης τοῖς μαθηταῖς παρεκελεύετο μὴ πραγματολογεῖν ἀλλὰ 〈τὰ〉 πράγματα παρέχειν τοῖς ἀκροωμένοις. Ἀγησίλαος ἐρωτηθείς, τίνα χρὴ τοὺς ἐλευθέρους παῖδας ἐκμανθάνειν, „ἃ αἰσχρόν“, ἔφη, „γέροντας μὴ εἰδέναι“. Ἐκ τῶν Σερήνο υ . Παρ’ Εὐκλείδῃ τις ἀρξάμενος γεωμετρεῖν, ὡς τὸ πρῶτον θεώρημα ἔμαθεν, ἤρετο τὸν Εὐκλείδην· „τί δέ μοι πλέον ἔσται ταῦτα μαθόντι;“, καὶ ὁ Εὐκλείδης τὸν παῖδα καλέσας „δόσ“, ἔφη, „αὐτῷ τριώβολον, ἐπειδὴ δεῖ αὐτῷ ἐξ ὧν μανθάνει κερδαίνειν“. Μέναιχμον τὸν γεωμέτρην Ἀλέξανδρος ἠξίου συντόμως αὐτῷ παραδοῦναι τὴν γεωμετρίαν· ὁ δέ „ὦ βασιλεῦ“, εἶπε, „κατὰ μὲν τὴν χώραν ὁδοί εἰσιν ἰδιωτικαὶ καὶ Ἐκ τῶν Σερήνο υ . Ἡράκλειτος (fr. 16 Bywater.) μὲν ἔλεγε πολυμάθειαν νοῦν μὴ ἐμποιεῖν· Ἀνάξαρχος δὲ πολυμάθειαν κάρτα μὲν ὠφελεῖν, κάρτα δὲ βλάπτειν. Ἰαμβλίχου Εὐσταθίῳ περὶ μουσικῆ ς . .... 〈ἔ〉 ν ἐκεῖνο εἰδότας, ὡς αἵ τε μεγάλαι φύσεις τὰ μεγάλα κακὰ γεννῶσι διαφθαρεῖσαι καὶ τὰ κράτιστα ἐπιτηδεύματα πάντως ἐστὶ βλαβερώτατα ἐπὶ τὸ κακὸν ῥέψαντα. Γεωμέτρης τις τὸν Διογένην ἀπαίδευτον καὶ ἀμαθῆ ἐκάλει· ὁ δέ „συγγίνωσκέ μοι“, ἔφη, „μὴ μαθόντι ἃ μηδὲ Χείρων τὸν Ἀχιλλέα ἐδίδαξε [τουτέστι γεωμετρεῖν]“. Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεω ν . Ἔφασκον δὲ καὶ τὰς μαθήσεις πάσας τῶν τε ἐπιστημῶν καὶ τῶν τεχνῶν τὰς μὲν ἑκουσίους ὀρθάς τε εἶναι καὶ εἰς τέλος ἀφικνεῖσθαι, τὰς δὲ ἀκουσίους φαύλους τε καὶ ἀτελεῖς γίνεσθαι. Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ παιδεύσεως ἠθικῆς (fr. 8, phil. II p. 120 Mull.). Φιλοσοφίαν φαντὶ ὄρεξιν εἶμεν τῶ ἀναλαμβάνεν ἢ συνέχεν αὔταυτον ἐν ἀρετᾷ πρακτικᾷ καττὰν ἔφεσιν τᾶς σοφίας δι’ αὐταύταν· ταύτας δ’ ἀρχὰν μὲν τὰν φύσιν προειδέμεν, μέσα δὲ τὰν ἄσκησιν, τέρμα δὲ τὰν εἴδησιν φέρεν. Εὐτυχὲς μὲν ὦν εἶμεν φῦναι εὖ, τραφῆμέν τε καὶ ἀχθῆμεν καττὸν ὀρθὸν νόμον καθομόλογά τε τᾷ φύσι ἔθεα· δεῖ δ’ σώφρονας γενέσθαι· καλὸν δὲ τὸ αὐτὸν αὑτῷ ποτιτάσσεν τὰ ἄριστα, μηδὲ ποτιδέεσθαι ἀνάγκας, εὐπειθέα δ’ εἶμεν τοῖς ὑφαγεομένοις τὰ ἄριστα ποτὶ πρᾶξιν καὶ εἴδησιν· ταὶ γὰρ εὐφυΐαι καὶ ταὶ καλαὶ τροφαὶ πολλάκις φθάνοντι τὰς διδασκαλίας ἐς ὀρθότατα ἄγοισαι, ἀποδέοντι δὲ μόνον λόγω ἀγεμόνος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν ἐντίθητι ἐπιστάμα. Δύο μὲν ὦν ἔντι βίοι ἀντίπαλοι, τοὶ τῶν πρατήων ἀντιποιεύμενοι, πρακτικός τε καὶ φιλόσοφος· πολὺ δὲ κάρρων δοκέει εἶμεν ὁ ἐξ ἀμφοτέρων κεκραμένος ποτὶ καιρὼς τὼς ἁρμόσδοντας συντεταγμένος καθ' ἑκατέραν διέξοδον. Γεγόναμες γὰρ ποτ' ἐνέργειαν νοεράν, ἃν καλέομες πρᾶξιν· τᾶς δὲ διανοίας ἁ μὲν πρακτικὰ ἐπὶ τὰν πολιτικὰν φέρεται, ἁ δὲ ἐπισταμονικὰ ἐπὶ τὰν θέαν τῶν συμπάντων, αὐτὸς δ' ὁ καθόλω νόος ταύτας τὰς δύο δυνάμιας ἀμπέχων ἐπὶ τὰν εὐδαιμονίαν, τὰν φαμὲς ἐνέργειαν ἀρετᾶς ἐν εὐτυχίᾳ εἶμεν, οὔτε πρακτικὰν ἔασαν μόνον ὥστε καὶ μὴ τὰν ἐπιστάμαν περιέχεν, οὔτε θεωρητικὰν ὡς ἄπρακτον εἶμεν· ἁ γὰρ τέλῃος διάνοια ποτὶ δύο ἀρχὰς ἐπικρατέας ῥέπει, ποθ' ἃς καὶ ὁ ἄνθρωπος πέφυκε, τάν τε κοινανικὰν καὶ τὰν εἰδημονικάν· καὶ γὰρ αἱ κατὰ τοίας ἀντιλήψιας δοκέοντι ἀντιθλίβεν ἀλλάλας ταὶ ἀγωγαί (ταὶ μὲν γὰρ πολιτικαὶ ἀφέλκοισαι τᾶς θεωρίας, ταὶ δὲ θεωρητικαὶ ἀπὸ τᾶς πολιτείας μετάγοισαι ἐς τις ἐκ νέω ὁρμαθεὶς αὐτὸς ἁρμόσδηται ἐς τὰς ἀρχὰς τᾶν ἀρετᾶν καὶ τὸν θεῖον νόμον τᾶς τῶ κόσμω ἁρμονίας, εὕροον βίον διεξαξεῖ· αἱ δέ κα αὐτὸς καθ' αὐτὸν πλαζόμενος τύχῃ ἀγεμόνων καρρόνων, ἀπευθύνεν τὸν δρόμον δυνασεῖται ποτὶ μακαριότατα, ὥσπερ τοὶ ἀτυχέοντες ἐν πλόῳ ἀνύοντι τὰν θάλασσαν διὰ τᾶς κυβερνατικᾶς 〈τᾶσ〉 εὐπλοίας ἐφιέμενοι, ὅπερ ἐν βίῳ τᾶς εὐδαιμονίας. Αἱ δὲ μήτ' αὐτὸς νοέοι τὰ ποτίφορα, μήτ' ἐπιτρόπων τύχοι ἐμφρόνων, οὐδὲν ὄφελος χοραγίας ἀφθόνω· ἀφροσύνα γάρ, αἱ καὶ ἐς τἆλλα εὐτυχεῖ, κακοδαίμων ἐσαιεί ἐστιν. Ἐπεὶ δ' ἐν ἅπαντι πρᾶτον ἀνάγκα σκοπᾶν μὲν τὸ τέλος (τοῦτο γὰρ ποιέοντι κυβερνᾶται μὲν λιμένα [νεὼς] ἐς ὃν καταχθήσονται προτιθέμενοι, ἀνίοχοι δὲ τέρμα δρόμω, τοξόται δὲ καὶ σφενδονᾶται σκοπόν, ποθ' ὃν παντᾷ ἁρμόσδονται), ἀνάγκα καὶ τᾷ ἀρετᾷ προκέεσθαί τινα ὥσπερ τέχνᾳ τῶ βίω σκοπὸν ἢ πρόθεσιν, ταῦτα γὰρ ὀνυμαίνω καθ' ἑκατέρων· τοῦτο δὲ φαμὶ εἶμεν ἑλέσθαι ἰσχύοντι τοὶ μὴ ἐκδαλότατα ὀρέοντες αὐτάν· τίνοντι δὲ δίκας ἀφροσύνας τοὶ ἄδονᾷ τὸ ἄριστον διδόντες, κολάσδονται τοὶ τὰν ἀναλγησίαν πάντων προτιμέοντες, καθόλω δ' εἰπέν, ἄγχονται ἐν κακᾷ ζάλᾳ τοὶ ἐν εὐπαθείᾳ σωμάτων ἢ ἐν ψυχᾶς ἀλόγῳ κατασκευᾷ ἀπολιπόντες τὰν εὐδαίμονα ζωάν. Οὐδὲ πολλὸν ἀπὸ τούτων εὐτυχέστεροί ἐντι τοὶ ἐξαίροντες μὲν τὸ καλόν, ὡς καττούτω τί μὴ λέγεν, ὁμότιμον δὲ αὐτῷ τὰν ἄδονὰν καὶ τὰν ἀναλγησίαν καὶ τὰς εὐπαθείας τὰς πράτας καὶ φυσικὰς καὶ ἀλόγως ὁρμὰς ἢ σώματος ἢ ψυχᾶς ἀντέχοντες· ἑκάτερα γὰρ ἀδικέοντι, τὰν μὲν ψυχικὰν ἀκρότατα καὶ τὰ ἔργα αὐτᾶς κατάγοντες ἐς ἰσότατα ποττὰν τοῦ σώματος τελῃότατα, τὰν δὲ σωματικὰν εὐεξίαν ἐς ὕψος ἀντικαθιστάντες τᾷ ψυχικᾷ ἄδονᾷ· ἐνεμεσήθη δὲ καὶ ἁ φύσις καὶ τὸ θεῖον τᾷ τούτων διακράσι· οὐ γὰρ φυλάσσοντι τὰν ἀξίαν τῶ κάρρονος ποττὸ χεῖρον. Ἀλλ' ἁμές γε λέγομες σῶμα μὲν εἶμεν ψυχᾶς ὄργανον, νόον δὲ ἀγεμόνα τᾶς τε ἄλλας ψυχᾶς καὶ τῶ σκάνεος αὐτᾶς, τὰν δ' ἐς τἆλλα εὐτυχίαν φυσικὰν ὀργανικὰν τᾷ νοερᾷ ἐνεργείᾳ εἶμεν, αἵ κα παντελὴς δυνάμι τε καὶ χρόνῳ καὶ χορα- Ἱερωνύμου (fr. 16 ap. Hiller. in Satura Saupp. p. 103). Δεῦρο δὴ καὶ σκεψώμεθα περὶ τῆς τῶν παίδων ἀγωγῆς, τίνα τρόπον διειλήφασιν οἱ πατέρες· οὐ γὰρ μόνον ἐν τοῖς πρότερον, ἀλλὰ καὶ ἐν τούτοις εὑρήσομεν αὐτοὺς οὐ μικρὰ διαφωνοῦντας· οἵτινες πρῶτον μὲν βαρβάροις παραβαλόντες 〈τοὺς παῖδας〉 παιδαγωγοῖς καὶ τούτων ἀκούειν κελεύσαντες, ἱκανῶς ἐπιμελεῖσθαι νομίζουσιν, ὥσπερ τοῦ κατὰ πόδας ἀκολουθήσοντος, ἀλλ' οὐ τοῦ καλῶς ἡγησομένου δεομένων τῶν παιδίων καὶ τοῦ φυλάττοντος καθάπερ συβώτου μὴ πλανηθῇ, ἀλλ' οὐχὶ … διὸ καὶ τὸν ἐκ τῶν ἐργατῶν ἀποδοκιμασθέντα, τοῦτον ἐπὶ παιδαγωγίᾳ κατατάττουσι, τὰ φύσει τιμιώτατα τοῖς εὐτελεστάτοις διδόντες· ὅθεν καὶ Περικλῆς, οἰκέτου ποτὲ πεσόντος ἀπὸ ἐλαίας καὶ τὸ σκέλος συντρίψαντος· „νέος ἄρα", ἔφη, „παιδαγωγὸς πέφηνεν", οὐκ ἀπιθάνως τῆς ὑπουργίας τὴν ἀτιμίαν σκώψας. Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς Σωπάτρῳ Περὶ παίδων ἀγωγῆ ς . Παντὸς ζῴου καὶ φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμητέλος ἐπιθεῖναι τὸ πρόσφορον, καὶ τῆς τῶν παίδων τοίνυν εὐεξίας ἡ πρώτη βελτίστη τῆς φύσεως πρόοδος ὁδῷ 〈τε〉 πρόεισιν ἐπὶ τὴν τελειότητα τεταγμένως, ἐφ' ἥνπερ αὐτὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προχωρεῖν ἄξιον· ταύτην τοίνυν ἡ ὀρθὴ παιδεία δεόντως προοδηγεῖ, σπέρματα τῶν ἀρετῶν ἤδη προκαταβαλλομένη καὶ ἐν ἁπαλαῖς ἔτι καὶ ἀβάτοις ψυχαῖς θαυμαστὴν οἰκείωσιν ἐμποιοῦσα πρὸς τὴν τῶν καλῶν ἐπιτήδευσιν. Πρῶτον μὲν οὖν διὰ τῶν αἰσθήσεων ἐν πατρὶ καὶ μητρὶ καὶ παιδαγωγῷ καὶ διδασκάλῳ προτείνει παράδειγμα τῶν καλῶν ἔργων, ἵνα οἱ θεώμενοι παῖδες αὐτὰ ζηλῶσι τὴν πρὸς αὐτοὺς ἀφομοίωσιν· ἔπειτα τοῖς ἔθεσιν ἄγει καλῶς καὶ ἐμποιεῖ τὰ σπουδαῖα ἤθη, μήπω δυναμένων αὐτῶν λόγῳ λαμβάνειν, διά [τε] τῆς συνηθείας τῶν καλῶν τρέπουσα αὐτῶν τὰς ψυχὰς πρὸς τὸ βέλτιον, ἐπὶ δὲ τούτοις συμφωνίαν ἡδονῆς καὶ λύπης πρὸς τὰ καλὰ 〈καὶ αἰσχρὰ〉 ἔργα παρασκευάζει, ὥστε μὴ μόνον πράττειν τὰ καλὰ ἔργα, ἀλλὰ καὶ χαίρειν ἐπ' αὐτοῖς συμμέτρως, μηδὲ ἀποφεύγειν μόνον τὰ αἰσχρά, ἀλλὰ καὶ δυσχεραίνειν αὐτὰ ἐγκαιρότατα· προάγουσι δὲ αὐτοῖς ἐνταῦθα, ὃ χρὴ προηγεῖσθαι παντὸς [τοῦ] ὀρθοῦ βίου, τὴν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνην καὶ ἐπὶ τοῖς καλοῖς φιλοτιμίαν ἐντίθησι, δι' ὧν ἀπάγονται μὲν πάντων τῶν αἰσχρῶν καὶ εὐλάβειάν τινα πρὸς αὐτὰ κτῶνται, ἐφίενται δὲ τῶν ἀγαθῶν καὶ πρὸς αὐτὰ σύντονον ὁρμὴν προσλαμβάνουσι· μετὰ δὴ ταῦτα προστάγματά τινα νουθετητικά, μικρὰ μὲν ὄντα τοῖς ῥήμασι, μεγάλην δέ τινα δύναμιν τοῖς τηλικούτοις παρεχόμενα, οἷον τὸ „δεῖ" καί ποτε „οὐ δεῖ" καὶ τὸ „μέχρι πόσου;" καὶ „ποῖόν τι τὸ ἄριστόν ἐστι [μέτρον];" καί „τίς τὰ τοιαῦτα;" συμμετρίαν στόν ἐστι τὰ οἰκεῖα παραγγέλματα καὶ νουθετήματα 〈τὰ〉 φέροντα πρὸς ἑκάστην ἀρετὴν παραδιδόναι δεόντως, τὰ μὲν ἐν κοιναῖς γνώμαις, τὰ δ' ἐν ἔργων ἀσκήσει, τὰ δ' ἐν τῇ τῶν λόγων μελέτῃ, τὰ δ' ἐν ταῖς ὑποθήκαις περὶ τῶν πρακτέων ἢ μὴ πρακτέων, τὰ δ' ἐν ταῖς τῆς ζωῆς κατασκευαῖς. Ἐπειδὰν δὲ τούτων ἕνεκα ἱκανῶς ἔχωσι, τοῖς λόγοις αὐτοὺς παιδευτέον, ἀρχομένους ἀπὸ τῶν ἁπλουστέρων καὶ γνωριμωτέρων, ἔπειτα προϊόντας ὁσημέραι καὶ κατὰ βραχὺ πρὸς τοὺς τῆς αἰτίας ἀπολογισμούς· καὶ ἐπὶ τούτων τὸ μὲν δι' εὐκρινείας ἐπιστημονικῆς τελέως φυλακτέον ἔτι ἀτελέσι διανοίαις παρακατατίθεσθαι, τὸ δ' ὡς ἔπος εἰπεῖν … καὶ διὰ πειθοῦς ἐμμελοῦς [καὶ] προσαγόμενον τὴν διάνοιαν τῶν ἀκουόντων καταβλητέον εἰς αὐτοὺς ὡς οἷόν τ' ἐστὶ μάλιστα· γεγυμνασμένων δ' αὐτῶν ἱκανῶς ἐν τούτοις ἐπὶ τῷ τέλει τῆς εἰς ἀρετὴν ἀγωγῆς οἱ ὅροι τῶν ἀρετῶν ἀφοριζέσθωσαν καὶ τῆς αἰτίας ἡ ἀκροτάτη παραδιδόσθω θεωρία, τελειότης τε τῶν λογισμῶν καὶ ἀναμάρτητος καὶ ἀνέλεγκτος ἐπιστήμη 〈καὶ〉 βεβαιότης ἐντιθέσθω τῆς γνώσεως, ἀλήθεια· ἡ γὰρ εἰς τοῦτο ἀγωγὴ [τῆς παιδείας] τέλος ἔχει τῆς τῶν παίδων ἀγωγῆς τὸ κράτιστον. Μουσωνίου ἐκ τοῦ Εἰ παραπλησίως παιδευτέον τὰς θυγατέρας τοῖς υἱοῖς (apomn. III c. 7 p. 242 Peerlkamp.). Λόγου δέ ποτέ τινος ἐμπεσόντος, εἰ τὴν αὐτὴν παιδείαν παιδευτέον τοὺς υἱέας καὶ τὰς θυγατέρας· Ἵππους μέν, ἔφη, καὶ κύνας ὁμοῦ οὐδὲν διαφερόντως παιδεύουσιν οἵ τε ἱππικοὶ καὶ οἱ κυνηγετικοὶ τοὺς ἄρρενας τῶν τὰ ἵππων ἔργα ἀποτελεῖν καλῶς, οὐ διάφορον τῶν ἀρρένων διδασκαλίαν διδασκομένας ἰδεῖν ἔστιν· ἀνθρώπους δὲ τοὺς ἄρρενας ἐξαίρετόν τι ἄρα δεήσει ἔχειν ἐν τῇ παιδείᾳ καὶ τροφῇ παρὰ τὰς θηλείας, ὥσπερ οὐχὶ τὰς αὐτὰς παραγίνεσθαι δέον ἀρετὰς ἀμφοῖν ὁμοίως ἀνδρὶ καὶ γυναικί, ἢ ἐπὶ τὰς αὐτὰς ἀρετὰς μὴ διὰ τῶν αὐτῶν παιδευμάτων ἀλλὰ δι' ἑτέρων οἷόν τε ὂν ἐλθεῖν. Ὅτι δὲ οὐκ ἄλλαι ἀρεταὶ ἀνδρός, ἄλλαι δὲ γυναικός, ῥᾴδιον μαθεῖν. Αὐτίκα, φρονεῖν δεῖ μὲν τὸν ἄνδρα, δεῖ δὲ καὶ τὴν γυναῖκα· ἢ τί ὄφελος εἴη ἂν ἄφρονος ἀνδρὸς ἢ γυναικός; Εἶτα 〈δεῖ〉 δικαίως βιοῦν οὐδέτερον ἧττον θατέρου· ἀλλ' ὅ τε ἀνὴρ οὐκ ἂν εἴη πολίτης ἀγαθὸς ἄδικος ὤν, ἥ τε γυνὴ οὐκ ἂν οἰκονομοίη χρηστῶς, ἢ μὴ δίκαιος ἀλλ' ἄδικος οὖσα πρῶτον ἀδικήσει τὸν ἄνδρα, ὥσπερ τὴν Ἐριφύλην φασί. Σωφρονεῖν μὲν αὖ καλὸν τὴν γυναῖκα, καλὸν δ' ὁμοίως καὶ τὸν ἄνδρα· τὸ γοῦν μοιχεύειν τῷ μοιχεύεσθαι ἐπίσης κολάζουσιν οἱ νόμοι. Καὶ λιχνεῖαι καὶ οἰνοφλυγίαι καὶ ἄλλα παραπλήσια κακά, ἀκολαστήματα ὄντα καὶ καταισχύνοντα μεγάλως τοὺς ἐνεχομένους αὐτοῖς, ἀποφαίνει τὴν σωφροσύνην ἀναγκαιοτάτην οὖσαν ἀνθρώπῳ παντί, τῷ τε θήλει καὶ τῷ ἄρρενι· διὰ γὰρ σωφροσύνης μόνης ἐκφεύγομεν ἀκολασίαν, ἄλλως δ' οὐδαμῶς. Τὴν ἀνδρείαν φαίη τις ἂν ἴσως μόνοις προσήκειν τοῖς ἀνδράσιν·

ἔχει δὲ οὐδὲ τοῦτο ταύτῃ. Δεῖ γὰρ ἀνδρίζεσθαι καὶ τὴν γυναῖκα 〈καὶ〉 καθαρεύειν δειλίας τήν γε ἀρίστην, ὡς μήθ' ὑπὸ πόνου μήθ' ὑπὸ φόβου κάμπτεσθαι· εἰ δὲ μή, πῶς ἔτι σωφρονήσει, ἐάν μείζοσι ζῴοις ἑαυτῶν ὑπὲρ τῶν νεοττῶν διαμάχονται. Πῶς οὖν οὐκ ἂν ἀνδρείας αἱ γυναῖκες δέοιντο; Ὅτι δὲ καὶ ἀλκῆς τῆς δι' ὅπλων μέτεστιν αὐταῖς, ἐδήλωσε τὸ Ἀμαζόνων γένος, ἔθνη πολλὰ δι' ὅπλων καταστρεψάμενον· ὥστ' εἴ τι ἐνδεῖ πρὸς τοῦτο ταῖς ἄλλαις γυναιξίν, ἀνασκησία μᾶλλον ἢ τὸ μὴ πεφυκέναι 〈πρὸς ἀνδρείαν αἰτία ἂν εἴη. Εἰ μὲν οὖν τὰς αὐτὰς εἶναι πέφυκεν〉 ἀρετὰς ἀνδρὸς καὶ γυναικός, ἀνάγκη πᾶσα καὶ τροφὴν καὶ παιδείαν τὴν αὐτὴν προσήκειν ἀμφοῖν. Παντὶ γὰρ δὴ ζῴῳ καὶ φυτῷ τὴν ἐπιμέλειαν τὴν προσαγομένην ὀρθῶς ἐμποιεῖν χρὴ τὴν ἐκείνῳ προσήκουσαν ἀρετήν. Ἢ εἰ μὲν ἔδει αὐλεῖν δύνασθαι παραπλησίως ἄνδρα καὶ γυναῖκα καὶ εἰ τοῦθ' ἑκατέρῳ αὐτοῖν ἀναγκαῖον ἦν πρὸς τὸν βίον, ἀμφοτέρους ἂν ἐπ' ἴσον τὴν αὐλητικὴν τέχνην ἐξεδιδάσκομεν, καὶ εἰ κιθαρίζειν ἔδει ἑκάτερον, ...· ἀμφοτέρους δὲ εἰ δεῖ γενέσθαι ἀγαθοὺς τὴν ἀνθρώπῳ προσήκουσαν ἀρετὴν καὶ φρονεῖν ὁμοίως δύνασθαι καὶ σωφρονεῖν καὶ ἀνδρείας μετέχειν καὶ δικαιοσύνης μηδὲν ἧττον θατέρου θάτερον, οὐκ ἄρ' ὁμοίως ἑκάτερον παιδεύσομεν; οὐδὲ τὴν τέχνην, ἀφ' ἧς γένοιτ' ἂν ἄνθρωπος ἀγαθός, ἐπ' ἴσον ἀμφοτέρους διδάξομεν; Ἀλλὰ χρὴ οὕτω ποιεῖν καὶ οὐχ ἑτέρως. Τί οὖν καὶ ταλασίαν, φησί τις ἴσως, ἀξιοῖς σὺ παραπλησίως ἐκμανθάνειν ταῖς γυναιξὶν τοὺς ἄνδρας καὶ γυμναστικὴν μετέρχεσθαι τοῖς ἀνδράσιν ὁμοίως τὰς γυναῖκας; Τοῦτο μὲν οὐκέτι ἀξιώσω ἐγώ· φημὶ δὲ ὅτι οὔσης ἐν τῷ γένει 〈τῷ〉 ἀνθρωπίνῳ τῆς μὲν ἰσχυροτέρας φύσεως τῆς τῶν ἀρρένων, τῆς δ' ἀσθενεστέρας τῆς τῶν θηλειῶν, ἑκατέρᾳ φύσει τῶν ἔργων ἀπονεμητέον τὰ προσφορώτατα καὶ τὰ μὲν βαρύτερα τοῖς ἰσχυροτέροις ἀποδοτέον, τὰ δὲ ἐλαφρότερα τοῖς ἀσθενεστέροις· διὰ τοῦτο ταλασία μὲν ταῖς γυναιξὶ μᾶλλον πρέποι ἂν ἢπερ ἀνδράσιν, ὥσπερ 〈καὶ〉 οἰκουρία· γυμναστικὴ δὲ ἀνδράσι μᾶλλον ἢ γυναιξίν, ὥσπερ καὶ θυραυλία· ἐνίοτε μέντοι καὶ ἄνδρες τινὲς τῶν ἐλαφροτέρων ἔργων ἔνια καὶ δοκούντων γυναικείων μεταχειρίσαιντ' ἂν εἰκότως, καὶ γυναῖκες αὖ τῶν σκληροτέρων καὶ δοκούντων μᾶλλον προσήκειν ἀνδράσιν ἐργάσαιντ' ἄν, ὅταν ἢ τὰ τοῦ σώματος οὕτως ὑφηγῆται ἢ τὰ τῆς χρείας ἢ τὰ τοῦ καιροῦ. Πάντα μὲν γὰρ ἴσως ἐν κοινῷ κεῖται τὰ ἀνθρώπεια ἔργα [καὶ ἔστι κοινὰ ἀνδρῶν καὶ γυναικῶν] καὶ οὐδὲν ἀποτακτὸν ἐξ ἀνάγκης τῷ ἑτέρῳ· ἔνια δὲ δὴ ἐπιτηδειότερα τὰ μὲν τῇδε τῇ φύσει, τὰ δὲ τῇδε· δι' ὃ τὰ μὲν ἀνδρεῖα καλεῖται, τὰ δὲ γυναικεῖα· ὅσα μέντοι τὴν ἀναφορὰν ἔχει εἰς ἀρετήν, ταῦτα φαίη τις ἂν ὀρθῶς ἐπ' ἴσον ἑκατέρᾳ προσήκειν φύσει, εἴγε καὶ τὰς ἀρετὰς προσήκειν φαμὲν οὐδὲν τοῖς ἑτέροις μᾶλλον ἢ τοῖς ἑτέροις. Ὅθεν εἰκότως οἶμαι καὶ παιδευτέον ὅσα πρὸς ἀρετὴν παραπλησίως τό τε θῆλυ καὶ τὸ ἄρρεν· καὶ ἀρξαμένους ἀπὸ νηπίων εὐθὺς διδακτέον, ὅτι τοῦτο μὲν ἀγαθόν, τοῦτο δὲ κακὸν [κακὸν ταὐτὸν ἀμφοῖν], καὶ τοῦτο μὲν ὠφέλιμον, τοῦτο δὲ βλαβερόν, καὶ τόδε τοῖς μανθάνουσιν ὁμοίως κόραις καὶ κόροις καὶ οὐδὲν διαφορώτερον τοῖς ἑτέροις· εἶτα δὲ ἐμποιητέον αἰδῶ πρὸς ἅπαν αἰσχρόν. ὧν ἐγγενομένων ἀνάγκη σώφρονας εἶναι καὶ ἄνδρα καὶ γυναῖκα. Καὶ μὴν τὸν παιδευόμενον ὀρθῶς, ὅστις ἂν ᾖ, εἴτε ἄρρην εἴτε θήλεια, ἐθιστέον μὲν ἀνέχεσθαι πόνου, ἐθιστέον δὲ μὴ φοβεῖσθαι θάνατον, ἐθιστέον δὲ μὴ ταπεινοῦσθαι πρὸς συμφορὰν μηδεμίαν· δι' ὅσων ἄν τις εἴη ἀνδρεῖος. Ἀνδρείας δὲ μικρῷ πρότερον ἐδείχθη δεῖν μετεῖναι καὶ γυναιξίν. Ἔτι τοίνυν πλεονεξίαν μὲν φεύγειν, ἰσότητα δὲ τιμᾶν καὶ εὐποιεῖν μὲν θέλειν, κακοποιεῖν δὲ μὴ θέλειν ἄνθρωπον ὄντα ἀνθρώπους, ἔστι μὲν δίδαγμα κάλλιστον καὶ δικαίους ἐπιτελεῖ τοὺς μανθάνοντας· τί δὲ μᾶλλον ἄνδρα μεμαθηκέναι χρὴ ταῦτα ἢ γυναῖκα; εἰ γὰρ νὴ Δία πρέπει δικαίας εἶναι γυναῖκας, καὶ ταὐτὰ δεῖ μεμαθηκέναι ἄμφω τά γε κυριώτατα καὶ μέγιστα. Εἰ γάρ τί που μικρὸν ὁ μὲν εἴσεται, ἡ δὲ οὔ, ἢ ἀνάπαλιν ἡ μὲν εἴσεται, ὁ δὲ οὔ, τεχνίτου τινὸς ἐχόμενον, οὔπω τοῦτο διάφορον ἀποφαίνει τὴν ἑκατέρου παιδείαν· μόνον περὶ μηδενὸς τῶν μεγίστων ἕτερος ἕτερα μεμαθηκέτω, ἀλλὰ ταὐτά. Ἂν δέ τις ἐρωτᾷ με, τίς ἐπιστήμη τῆς παιδείας ταύτης ἐπιστατεῖ, λέξω πρὸς αὐτόν, ὅτι φιλοσοφίας ἄνευ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὥσπερ ἀνὴρ οὐκ ἂν οὐδείς, οὕτως οὐδ' ἂν γυνὴ παιδευθείη ὀρθῶς. Καὶ οὐ τοῦτο βούλομαι λέγειν, ὅτι τρανότητα περὶ λόγους καὶ δεινότητά τινα περιττὴν χρὴ προσεῖναι ταῖς γυναιξίν, ᾗπερ φιλοσοφήσουσιν αἱ γυναῖκες (οὐδὲ γὰρ ἐπ' ἀνδρῶν ἐγὼ πάνυ τι τοῦτο ἐπαινῶ), ἀλλ' ὅτι ἤθους χρηστότητα καὶ καλοκαγαθίαν τρόπου κτητέον ταῖς γυναιξίν· ἐπειδὴ καὶ φιλοσοφία καλοκαγαθίας ἐστὶν Θεοφράστο υ . Δοκεῖ γὰρ ἡ παιδεία, καὶ τοῦτο πάντες ὁμολογοῦσιν, ἡμεροῦν τὰς ψυχάς, ἀφαιροῦσα τὸ θηριῶδες καὶ ἄγνωμον, ὅθεν καὶ τὰ ἤθη κοινότερα καὶ ὑγρότερα γίνεται. Τοῖς μὲν γὰρ πολλοῖς οὐκ ἄν τις ἴσως ἐπιτιμῴη διὰ τὸ μὴ ἔχειν ἐξουσίαν …· ὅσοι δὲ τραφέντες ἐλευθερίως καὶ χορηγίαν ἔχοντες ἱκανὴν ὥστ' εἰς ὁποιονοῦν βίον ἐλθεῖν, ἄσκεπτοι περὶ τοῦ ἀρίστου τυγχάνουσι, τούτοις ἤδη δίκαιον ἐγκαλεῖν. Ἄτοπον γὰρ ὥστ' ἀληθῶς, εἰ αἱρέσεως αὐτοῖς διδομένης πόλιν μὲν ἂν ἕλοιντο τὴν ἐνδοξοτάτην καὶ φίλους καὶ οἰκείους τοὺς ἀρίστους, βίον δὲ ἑξὸν ἑλέσθαι τὸν ἄριστον, κατολιγωρήσαντες τούτου, πρὸς τὸ τυχὸν τὰ ἑαυτῶν ἀποδιδοίησαν, μηδὲ εἰς αὐτὸ τὸ κρίνειν καὶ σκοπεῖν ἐλθόντες. Ἀλλ' ὁδὸν μὲν βαδίζειν εἰ δέοι, ἄλλων πύθοιντ' ἂν πολλάκις καὶ ἀναζητήσαιεν ἡγεμόνα μεθ' οὗ ποιήσαιντο τὴν κομιδὴν ἀσφαλῶς, ὑπὲρ δὲ τοῦ βίου παντός, τὸ λεγόμενον δὴ τοῦτο, κυβεύοντες, οὐδενὶ κοινωσάμενοι πρὸς τὸν χείριστον, ἂν οὕτω τύχῃ, προσπίπτουσι. Καὶ μὴν καὶ πολλῷ γ' ἐπισφαλεστέρα τῆς διαιρέσεως ἡ ἐκτροπὴ τῷ μὴ τὴν ὀρθὴν βαδίζοντι· καὶ γὰρ αἱ βλάβαι μεγάλαι καὶ ἡ ἀναστροφὴ χαλεπή, μᾶλλον δὲ σχεδὸν ἀδύνατος· οὔτε γὰρ ὁ χρόνος δίδωσιν ἐξουσίαν μεταθέσεως, οὔθ' ἡ φύσις δύναται μεταμανθάνειν τὸ βέλτιον ὅταν ἐντραφῇ τοῖς χείροσιν, ἀλλὰ προαιρεῖται 〈μὲν〉 καὶ ἕτερά γε προκρίνει βελτίω, καταζῇ δ' ὅμως ἐν τοῖς εἰωθόσιν· ἀλλ' ὅπερ πολλάκις λέγεται, τοῦτο ἀληθὲς ἔοικεν εἶναι, διότι πάντες ἥκιστα περὶ ἑαυτῶν βουλεύονται. Μουσωνίου ἐκ τοῦ Ὅτι οὐ δεῖ πολλαῖς ἀποδείξεσι πρὸς ἓν πρᾶγμα χρήσασθαι (apomn. III c. 5 p. 234 Peerlkamp.). ἀκούειν τοὺς νέους παρὰ τῶν φιλοσόφων πρὸς κατάληψιν ὧν μανθάνουσιν, ἔφη ὁ Μουσώνιος, οὐχὶ πολλὰς ἐφ' ἑκάστου πράγματος ζητεῖν ἀποδείξεις προσήκειν, ἀλλ' ἀνυσίμους καὶ ἐναργεῖς. Οὔτε γὰρ ἰατρὸς ἐκεῖνος, ἔφη, ἐπαινετὸς ὁ φάρμακα πολλὰ προσφέρων τοῖς νοσοῦσιν, ἀλλ' ὁ δι' ὀλίγων ὧν προσφέρει λόγου ἀξίως ὠφελῶν· οὔτε φιλόσοφος ὁ διὰ πολλῶν ἀποδείξεων διδάσκων τοὺς ἀκούοντας, ἀλλ' ὁ δι' ὀλίγων ἐπάγων αὐτοὺς ἐφ' ὃ μέντοι βούλεται· καὶ ὁ ἀκουστὴς ὅσῳπερ ἂν ᾖ συνετώτερος, τοσούτῳ μειόνων δεήσεται τῶν ἀποδείξεων καὶ τοσούτῳ θᾶττον συναινέσει τῷ κεφαλαίῳ τοῦ λόγου, ὄντι γε ὑγιεῖ. Ὅστις δὲ πανταχοῦ δεῖται ἀποδείξεως καὶ ὅπου σαφῆ τὰ πράγματά ἐστιν, ἢ διὰ πολλῶν ἀποδείκνυσθαι βούλεται αὐτῷ τὰ δι' ὀλίγων δυνάμενα, παντάπασιν ἄτοπος καὶ δυσμαθής. Θεοὺς μὲν οὖν εἰκὸς οὐδεμιᾶς ἀποδείξεως δεῖσθαι πρὸς οὐδέν, ὅτι μήτε ἀσαφὲς μήτε ἄδηλόν ἐστιν αὐτοῖς μηδέν, πρὸς 〈οἷα〉 μόνα δεῖ τῶν ἀποδείξεων· τοὺς δὲ ἀνθρώπους ἀνάγκη τὰ μὴ φανερὰ μηδ' αὐτόθεν γνώριμα διὰ τῶν φανερῶν καὶ προδήλων ζητεῖν ἀνευρίσκειν, ὅπερ ἔργον ἀποδείξεώς ἐστιν. Οἷον, ὅτι ἡδονὴ οὐκ ἔστιν ἀγαθόν, αὐτόθεν μὲν οὐ δοκεῖ εἶναι γνώριμον, ἐπείπερ ἔργῳ προσκαλεῖται ἡμᾶς, ὡς ἀγαθὸν οὖσα, ἡ ἡδονή· λαβόντος δέ τινος λῆμμα γνώριμον, τὸ πᾶν ἀγαθὸν αἱρετὸν εἶναι καὶ προσλαβόντος ἕτερον γνώριμον τούτῳ, τὸ τινὰς ἡδονὰς οὐχ αἱρετὰς εἶναι, ἀποδεικνύομεν τὸ μὴ ἀγαθὸν εἶναι τὴν ἡδονήν, διὰ τῶν γνωρίμων τὸ μὴ γνώριμον. Πάλιν ὡς ὁ πόνος οὐκ ἔστι κακόν, αὐτόθεν μὲν οὐ φαίνεται πιθανόν· τοὐναντίον γὰρ τούτου δοκεῖ πιθανώτερον, τὸ κακὸν εἶναι τὸν πόνον· τεθέντος δὲ φανεροῦ λήμματος, τοῦ πᾶν τὸ κακὸν φευκτὸν εἶναι καὶ προστεθέντος αὐτῷ φανερωτέρου, τοῦ πόνους πολλοὺς οὐκ εἶναι φευκτούς, περαίνεται τὸ μὴ κακὸν εἶναι τὸν πόνον. Τοιούτου δ' ὄντος τοῦ γένους τοῦ τῆς ἀποδείξεως, ἐπειδὴ τῶν ἀνθρώπων οἱ μὲν ὀξύτεροι οἱ δ' ἀμβλύτεροί εἰσι καὶ οἱ μὲν ἐν ἔθεσι κρείττοσιν, οἱ δὲ ἐν χείροσι τεθραμμένοι, οἱ μὲν ἤθους ἢ φύσεως· ὄντες χείρονος, πλειόνων δέοιντ' ἂν ἀποδείξεων καὶ πραγματείας μείζονος, ὥστε δέξασθαι ταυτὶ τὰ δόγματα καὶ τυπωθῆναι κατὰ ταῦτα, καθάπερ οἶμαι καὶ τὰ πονηρὰ τῶν σωμάτων, ὁπόταν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέλλῃ καλῶς ἕξειν, πάνυ πολλῆς ἐπιμελείας δεῖται· ὅσοι δὲ τῶν νέων εὐφυέστεροι καὶ ἀγωγῆς μετεσχηκότες κρείττονος, οὗτοι ῥᾷόν τε καὶ θᾶττον καὶ δι' ὀλίγων ἀποδείξεων συναινοῖεν ἂν τοῖς λεγομένοις ὀρθῶς καὶ ἀκολουθοῖεν. Ὅτι δ' οὕτως ἔχει ταῦτα, γνοίημεν ἂν ῥᾳδίως, εἰ νοήσαιμεν μειράκιον ἢ νεανίαν, τὸν μὲν ἐν τρυφῇ πάσῃ τεθραμμένον καὶ τό τε σῶμα τεθηλυμμένον καὶ τὴν ψυχὴν ἐκλελυμένον ὑπὸ ἐθῶν ἀγόντων εἰς μαλακίαν, ἔτι δὲ νωθῆ παρεχόμενον καὶ δυσμαθῆ τὴν φύσιν· τὸν δ' αὖ Λακωνικῶς πως ἠγμένον καὶ τρυφᾶν οὐκ εἰθισμένον καὶ καρτερεῖν μεμελετηκότα καὶ τῶν λεγομένων ὀρθῶς εὐήκοον ὄντα· εἶτα τοὺς δύο τούτους νεανίας εἰ θείημεν ἀκούοντας φιλοσόφου λέγοντος περὶ θανάτου, περὶ πόνου, περὶ πενίας, περὶ τῶν ὁμοίων, ὡς οὐ κακῶν ὄντων· πάλιν δ' αὖ περὶ ζωῆς, περὶ ἡδονῆς, περὶ πλούτου, περὶ τῶν παραπλησίων τούτοις, ὡς οὐκ ἀγαθά ἐστιν, ἆρά γε ὁμοίως ἄμφω προσήσονται τοὺς λόγους καὶ παραπλησίως ἑκάτερος 〈ἂν〉 πίθοιτο τοῖς λεγομένοις; Οὐκ ἔστιν εἰπεῖν. Ἀλλ' ὁ μὲν μόγις καὶ βραδέως καὶ ὥσπερ μοχλευόμενος ὑπὸ μυρίων λόγων τάχ' ἂν ἐπινεύσειεν, ὁ νωθέστερος· ὁ δ' αὖ ταχέως καὶ ἑτοίμως δέξεται τὰ λεγόμενα ὡς οἰκεῖα καὶ προσήκοντα αὐτῷ, μήτε ἀποδείξεων δεόμενος πολλῶν, μήτε πραγματείας μείζονος. Ἦ οὐ τοιοῦτος παῖς ἐκεῖνος ὁ Λάκων; ὃς Κλεάνθην τὸν φιλόσοφον ἠρώτησεν, εἰ ἀγαθὸν ὁ πόνος ἐστίν· οὕτω γὰρ ἐκεῖνος φαίνεται φύσει πεφυκὼς καλῶς καὶ τεθραμμένος εὖ πρὸς ἀρετήν, ὥστε ἔγγιον εἶναι νομίζειν τὸν πόνον τῆς τἀγαθοῦ φύσεως ἢ τῆς τοῦ κακοῦ· ὅς γε ὡς ὁμολογουμένου τοῦ μὴ κακὸν ὑπάρχειν αὐτόν, εἰ ἀγαθὸν τυγχάνει ὤν, ἐπυνθάνετο. Ὅθεν καὶ ὁ Κλεάνθης ἀγασθεὶς τοῦ παιδὸς εἶπεν ἄρα πρὸς αὐτόν· Αἵματος εἰς ἀγαθοῖο, φίλον τέκος, οἶ' ἀγορεύεις (Od. δ 611). Πῶς οὖν ὁ τοιοῦτος οὐ ῥᾳδίως ἐπείσθη ἂν μήτε πενίαν μήτε θάνατον δεδιέναι μήτ' ἄλλο μηδὲν τῶν δοκούντων φοβερῶν, μηδ' αὖ διώκειν πλοῦτον ἢ ζωὴν ἢ ἡδονήν; Ἵνα δὲ ἐπὶ τὴν ἀρχὴν ἐπανέλθω τοῦ λόγου, φημὶ δεῖν τὸν διδάσκαλον τὸν φιλόσοφον μὴ λόγων πλῆθος μηδ' ἀποδείξεων ζητεῖν διεξιέναι πρὸς τοὺς μανθάνοντας, ἀλλὰ καιρίως περὶ ἑκάστου λέγειν καὶ 〈ἃ〉 καθικνεῖται τῆς διανοίας τοῦ ἀκούοντος καὶ *** στικὰ εἶναι λέγειν καὶ ἀνατραπῆναι μὴ ῥᾴδια· καὶ μάλιστά γε τῷ παρέχειν αὐτὸν περί τε τῶν χρησιμωτάτων λέγοντα καὶ ὁμολογούμενα οἷς λέγει πράττοντα, τούτῳ μεταχειριζόμενον τοὺς ἀκούοντας· τὸν δὲ μαθητὴν ἐντετάσθαι πρὸς τὰ λεγόμενα καὶ σκοπεῖν μὲν ὅπως μὴ λάθῃ ψεῦδός τι παραδεξάμενος· τῶν ἑαυτῷ εἶναι καὶ ἀληθῆ, τούτοις ἐπακολουθεῖν ἐν τῷ βίῳ. Οὕτω γὰρ μόνως ἔσται τις ἐκ φιλοσοφίας ὠφελημένος, ἂν οἷς παραδέδεκται λόγοις οὗσιν ὑγιέσι τὰ ἔργα παρέχηται συνῳδά. Μουσωνίου ἐκ τοῦ Ὅτι καὶ γυναιξὶ φιλοσοφητέον (apomn. III c. 8 p. 249 Peerlkamp.). Ἐπεὶ δ' ἐπύθετό τις αὐτοῦ, εἰ καὶ γυναιξὶ φιλοσοφητέον. οὕτω πως ἤρξατο διδάσκειν ὡς φιλοσοφητέον αὐταῖς. Λόγον μέν, ἔφη, τὸν αὐτὸν εἰλήφασι παρὰ θεῶν αἱ γυναῖκες τοῖς ἀνδράσιν, ᾧ τε χρώμεθα πρὸς ἀλλήλους καὶ καθ' ὃν διανοούμεθα περὶ ἑκάστου πράγματος, 〈εἰ〉 ἀγαθὸν ἢ κακόν ἐστι καὶ καλὸν ἢ αἰσχρόν. Ὁμοίως δὲ καὶ αἰσθήσεις τὰς αὐτὰς ἔχει τὸ θῆλυ τῷ ἄρρενι, ὁρᾶν, ἀκούειν, ὀσφραίνεσθαι καὶ τὰ ἄλλα. Ὁμοίως δὲ καὶ μέρη σώματος τὰ αὐτὰ ὑπάρχει ἑκατέρῳ καὶ οὐδὲν θατέρῳ πλέον. Ἔτι δὲ ὄρεξις καὶ οἰκείωσις φύσει πρὸς ἀρετὴν οὐ μόνον γίνεται τοῖς ἀνδράσιν, ἀλλὰ καὶ γυναιξίν· οὐδὲν γὰρ ἧττον αὗταί γε τῶν ἀνδρῶν τοῖς μὲν καλοῖς καὶ δικαίοις ἔργοις ἀρέσκεσθαι πεφύκασι, τὰ δ' ἐναντία τούτων προβάλλεσθαι. Τούτων δὲ ταύτῃ ἐχόντων, διὰ τί [πρότερον] τοῖς μὲν ἀνδράσι προσήκοι ἂν ζητεῖν καὶ σκοπεῖν ὅπως βιώσονται καλῶς, ὅπερ τὸ φιλοσοφεῖν ἐστι, γυναιξὶ δὲ οὔ; πότερον, ὅτι ἄνδρας μὲν προσήκει ἀγαθοὺς εἶναι, γυναῖκας δὲ οὔ; Σκοπῶμεν δὲ καὶ καθ' ἓν ἕκαστον τῶν προσηκόντων γυναικὶ τῇ ἐσομένῃ ἀγαθῇ· φανεῖται γὰρ ἀπὸ φιλοσοφίας τούτων ἕκαστον μάλιστ' ἂν αὐτῇ περιγινόμενον. Αὐτίκα ἐγώ φημι τῇ φιλοσοφούσῃ ὑπάρξαι ἂν μάλιστα· εἴγε ἕκαστον μὲν τούτων μέρος τοῦ βίου ἐστίν, ἐπιστήμη δὲ περὶ βίον οὐχ ἑτέρα τις ἢ φιλοσοφία ἐστὶ καὶ ὁ φιλόσοφος, ὥσπερ ἔλεγε Σωκράτης, τοῦτο διατελεῖ σκοπῶν, Ὅττι τοι ἐν μεγάροισι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακόν τ’ ἀγαθόν τε τέτυκται (Od. δ 392). Ἀλλὰ δεῖ δὴ καὶ σώφρονα εἶναι τὴν γυναῖκα· οἵαν καθαρεύειν μὲν ἀφροδισίων παρανόμων, καθαρεύειν δὲ τῆς περὶ τὰς ἄλλας ἡδονὰς ἀκρασίας, μὴ δουλεύειν ἐπιθυμίαις, μηδὲ φιλόνεικον εἶναι, μὴ πολυτελῆ, μὴ καλλωπίστριαν. Ταῦτα μὲν ἔργα τῆς σώφρονός ἐστι· καὶ ἔτι πρὸς τούτοις ἐκεῖνα· κρατεῖν μὲν ὀργῆς, μὴ κρατεῖσθαι δ’ ὑπὸ λύπης, κρείττονα δὲ πάθους παντὸς εἶναι. Ταῦτα δ’ ὁ φιλόσοφος παρεγγυᾷ λόγος· ὁ δὲ μαθὼν αὐτὰ καὶ ἀσκήσας ἐμοὶ μὲν δοκεῖ γενέσθαι ἂν κοσμιώτατος, εἴτ’ ἀνὴρ εἴη εἴτε γύνη. Τί οὖν; ταῦτα μὲν ταύτῃ ἔχει· δικαία δ’ οὐκ ἂν εἴη γυνὴ φιλοσοφοῦσα, οὐδ’ ἄμεμπτος βίου κοινωνός, οὐδ’ ὁμονοίας ἀγαθὴ συνεργός, οὐδὲ ἀνδρός γε καὶ τέκνων ἐπιμελὴς κηδεμών, οὐδὲ φιλοκερδείας ἢ πλεονεξίας πάντῃ καθαρά; Καὶ τίς ἂν μᾶλλον τῆς φιλοσόφου τοιαύτη γένοιτο, ἥν γε ἀνάγκη πᾶσα, εἴπερ εἴη τῷ ὄντι φιλόσοφος, τὸ μὲν ἀδικεῖν τοῦ ἀδικεῖσθαι χεῖρον νομίζειν, ὅσῳπερ αἴσχιον, τὸ δὲ ἐλαττοῦσθαι τοῦ πλεονεκτεῖν κρεῖττον ὑπολαμβάνειν, τὸ δὲ καὶ τέκνα μᾶλλον ἀγαπᾶν ἢ τὸ ζῆν; Τῆς δὲ ἐχούσης οὕτω τίς ἂν εἴη γυνὴ δικαιοτέρα; Καὶ μὴν καὶ ἀνδρειοτέραν εἶναι προσήκει γυναῖκα τῆς ἀπαιδεύτου τὴν πεπαιδευμένην καὶ τὴν φιλόσοφον τῆς ἰδιώτιδος· ὡς Ὑπάρχει γὰρ αὐτῇ μεμελετηκέναι μέγα φρονεῖν, καὶ τὸν μὲν θάνατον ἡγεῖσθαι μὴ κακόν, τὴν δὲ ζωὴν μὴ ἀγαθόν· ὡσαύτως δὲ καὶ τὸν μὲν πόνον μὴ ἐκτρέπεσθαι, τὴν δὲ ἀπονίαν μὴ διώκειν ἐξ ἅπαντος. Ὅθεν εἰκὸς εἶναι τὴν γυναῖκα ταύτην καὶ αὐτουργικὴν καὶ κακόπαθον, οἵαν ἃ μὲν ἂν τέκῃ τρέφειν μαστῷ τῷ ἑαυτῆς, τῷ δὲ ἀνδρὶ ὑπηρετεῖν χερσὶ ταῖς ἑαυτῆς· ἃ δὲ δουλικὰ νομίζουσιν ἔνιοι, ταῦτα ἀόκνως ποιεῖν. Ἆρ’ οὐκ ἂν ἡ τοιαύτη γυνὴ μέγα μὲν ὄφελος εἴη τῷ γεγαμηκότι, κόσμος δὲ τοῖς προσήκουσι γένει, παράδειγμα δὲ χρηστὸν ταῖς ἐπισταμέναις αὐτήν; Ἀλλὰ νὴ Δία, φασί τινες, ὅτι αὐθάδεις ὡς ἐπὶ πολὺ καὶ θρασείας εἶναι ἀνάγκη τὰς προσιούσας τοῖς φιλοσόφοις γυναῖκας, ὅταν ἀφέμεναι τοῦ οἰκουρεῖν ἐν μέσοις ἀναστρέφωνται τοῖς ἀνδράσι καὶ μελετῶσι λόγους καὶ σοφίζωνται καὶ ἀναλύωσι συλλογισμούς, δέον οἴκοι καθημένας ταλασιουργεῖν. Ἐγὼ δὲ οὐχ ὅπως τὰς γυναῖκας τὰς φιλοσοφούσας, ἀλλ’ οὐδὲ τοὺς ἄνδρας ἀξιώσαιμ’ ἄν, ἀφεμένους τῶν προσηκόντων ἔργων, εἶναι περὶ λόγους μόνον· ἀλλὰ καὶ ὅσους μεταχειρίζονται λόγους, τῶν ἔργων φημὶ δεῖν ἕνεκα μεταχειρίζεσθαι αὐτούς. Ὥσπερ γὰρ ἰατρικοῦ λόγου ὄφελος οὐδέν, ἐὰν μὴ πρὸς ὑγίειαν φέρῃ σώματος ἀνθρωπίνου, οὕτως οὐδ’ εἴ τινα φιλόσοφος ἔχει ἢ διδάσκει λόγον, οὐδὲν ὄφελος αὐτοῦ, ἐὰν μὴ φέρῃ πρὸς ἀρετὴν ψυχῆς ἀνθρωπίνης. Πρὸ παντὸς δὲ σκοπεῖν τὸν λόγον χρή, ᾧ ἕπεσθαι τὰς φιλοσοφούσας ἀξιοῦμεν, εἰ δύναται θρασείας ποιεῖν ὁ τὴν αἰδῶ μέγιστον ἀποφαίνων ἀγαθόν· εἰ ζῆν ἰταμώτερον ἐθίζει ὁ καταστολὴν πλείστην ὑφηγούμενος· εἰ μὴ διδάσκει σωφρονεῖν ὁ κακὸν ἀποδεικνὺς ἔσχατον γεῖν ὁ τῶν φιλοσόφων λόγος παρακαλεῖ τὴν γυναῖκα. Ξενοφῶντος ἐν δ ’ Σωκρατικῶν ἀπομνημονευμάτων (IV 7, 2—10 fin.). Γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός 〈τισ〉 γένοιτο, εἴ ποτε δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν ἢ παραδοῦναι ἢ διανεῖμαι ἢ ἔργον ἀποδείξασθαι. οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν, ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει ἅμα τήν τε γῆν ὁπόση ἐστὶν εἰδέναι καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι. τὸ δὲ μέχρι τῶν δυσξυνέτων διαγραμμάτων γεωμετρίαν μανθάνειν ἀπεδοκίμαζεν. ὅ τι μὲν γὰρ ὠφελοίη ταῦτα, οὐκ ἔφη ὁρᾶν· καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν. ἔφη δὲ ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν καὶ ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν. ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι καὶ ταύτης μέντοι μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν ἕνεκα πορείας τε καὶ πλοῦ καὶ φυλακῆς, καὶ ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ’ ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας. καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν παρά τε νυκτοθηρῶν καὶ κυβερνητῶν καὶ ἄλλων πολλῶν οἷς ἐπιμελὲς ταῦτα εἰδέναι. τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ καὶ τὰ 〈μὴ〉 ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα καὶ τοὺς πλάνητάς τε καὶ ἀσταθμήτους ἀστέρας γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς γῆς

καὶ τὰς περιόδους καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. ὠφέλειαν οὐδεμίαν οὐδ' ἐν τούτοις ἔφη ὁρᾶν· καίτοι οὐδὲ τούτων γε ἀνήκοος ἦν· ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίον καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν. ὅλως δὲ τῶν οὐρανίων, ᾗ ἕκαστα ὁ θεὸς μηχανᾶται, φρονιστὴν γίγνεσθαι ἀπέτρεπεν· οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι οὔτε χαρίζεσθαι θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἠβουλήθησαν. κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν θεῶν μηχανὰς ἐξηγεῖσθαι. ἐκεῖνος γὰρ λέγων μὲν τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον ἠγνόει, ὅτι τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν, καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι τὰ χρώματα μελάντερα ἔχουσιν, ὑπὸ δὲ τοῦ πυρὸς οὔ· ἠγνόει δὲ καὶ ὅτι τῶν ἐκ τῆς γῆς φυομένων ἄνευ ἡλίου αὐγῆς οὐδὲν δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλλυται· φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι καὶ τοῦτο ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει οὔτε πολὺν χρόνον ἀντέχει, ὁ δὲ ἥλιος πάντα τὸν χρόνον πάντων λαμπρότατος ὢν διαμένει. ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν· καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν, μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεσκόπει καὶ συνδιεξῄει τοῖς συνοῦσι. προύτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς συνόντας παρά τε τῶν εἰδότων μανθάνοντας ὅσα ἐνδέχοιτο καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου, τί βρῶμα ἢ τί πῶμα ἢ ποῖος πόνος 〈ἂν〉 διάγοι. τοῦ γὰρ οὕτω προσέχοντος ἑαυτῷ ἔργον ἔφη εἶναι εὑρεῖν ἰατρὸν τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον διαγιγνώσκοντα ἑαυτοῦ. εἰ δέ τις μᾶλλον ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν ὠφελεῖσθαι βούλοιτο, συνεβούλευε μαντικῆς ἐπιμελεῖσθαι. τὸν γὰρ εἰδότα, δι' ὧν 〈οἱ〉 θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνουσιν, οὐδέποτε ἔρημον ἔφη γίγνεσθαι συμβουλῆς θεῶν. Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἀγησίλαον ἐπιστολῆς (7 p. 790 ap. Herch. Epistol. Gr.). Ἀπέστειλάς μοι δεόμενος παρὰ σὲ ἰέναι, φάσκων ἐθέλειν περὶ τοῦ υἱέος συμβουλεύεσθαι, ὅπῃ τε καὶ ὅπως σῴζων τὰ Λακωνικὰ ἔθη καὶ ξενικῶν παιδευμάτων κοινωνήσει· κάμνω δὲ οὐ μετρίως κἀγώ· καὶ γὰρ τῆς ἡλικίας, ὥσπερ οἶσθα, πόρρω ἥκω καὶ οἱ ἰατροὶ εὐθυμίας πέρι φροντίζουσιν, ὡς ἐμοῦ βουλευομένου ἄλλο τι ἢ ζωὴν δικαίαν αἱρουμένου θάνατόν τε μέχρι μὴ αἰσχρός ἐστι τιμῶντος· ἀλλ' εἰ μὲν σῳζοίμεθα, ἅπερ ἐπέστειλα [διὰ στόματος] καὶ συγγινομένων ἀκούσῃ ἡμῶν· εἰ δέ τι 〈τῶν〉 εἰωθότων γένοιτο κακόν, τότε σοι δίδαγμα ἔστω ἡ ἐπιστολὴ φράζουσα ὑπὲρ ὧν μαθεῖν ἐβουλήθης. Νόμος μὲν 〈ὁ〉 πρὸς τὸ εἰκὸς ἄγων, ὦ Ἀγησίλαε, ἀνθρώπου δόγμα πάντως· παντὸς δὲ ἀμείνων ὃν Λυκοῦργος εὗρε· νόθα δὲ ἐπὶ νόθοις θηρεύειν κενὸς ὁ πόνος. Μηθὲν οὖν ἀνθρώπινον παίδευμα τῷ παιδὶ πρόσφερε, ἴθι δὲ ἐπὶ τὸν δεύτερον μὲν ἀναγεγραμμένον, πρῶτον δὲ καὶ μόνον ἐν θεοῖς κείμενον, ὅς ἐστι δέ, ὦ γενναῖε, φήσεις, ἔστι τοῦτον λαβεῖν; Παρὰ φιλοσόφων ἀνδρῶν, οὓς θείους λέγων ὅσι' ἂν εἴποιμι. Τούτων γὰρ νόμος οὐδεὶς ἄρχει γραφεὶς ὑπὸ φαύλων ἀνδρῶν δόξῃ ψευδεῖ ἐπικεχρωσμένος, τὸ δὲ ξυγγενὲς τῆς φύσεως ἄγει πρὸς τὰ κρείττω μαθήματα· 〈οὐδὲ〉 φεύξῃ φωραθεὶς παρανόμων δίκην· οὐ γὰρ ἀνθρωπίνων νόμων ἐραστὴς ἁλώσῃ, οὐδὲ ξενικῶν ἔσῃ ἐπαινέτης, θείων δὲ καὶ αἰωνίων παντὸς πάντῃ ἀξιομαθητοτέρων εἶναι νομιζομένων. Ὁδὸς μὲν οὖν ὧδέ σοι δεδηλώσθω· δύναμαι δέ σοι ἀφηγήσασθαι, ὅσα ἀρετῆς ἔρωτα ἐμβάλλει, τὰ δὲ μείζω καὶ πλείω κρειττόνων ἂν εἴη. Τροφὴ μὲν οὖν ἔστω σώματος ἥπερ ἐν Λάκωσι· ψυχῆς δὲ νέας καὶ ἀρτιφυοῦς λόγοι ὁδὰς ἔχοντες ἀνδρῶν ἐπ' ἀρετῇ τὸν βίον διενηνοχότων· παιδιαὶ δὲ ἄκοσμοι ἢ μῦθοι γραῶν ἐμβάλλοντες φρόνημα ταπεινὸν ἀπίτωσαν· τὸ δὲ πλέον ἔστω σὺν ἀνδράσι σώφροσιν, ἔνθα ὅμοια ὄψεται ἴσα τε ἀκούσεται. Πέφυκε δὲ πάντων μὲν ζῴων κρατεῖν τὸ ἔθος, παντὸς δὲ μᾶλλον ἀνθρώπου. Κινδυνεύομεν δέ, ὦ Ἀγησίλαε, μιμηταὶ εἶναι τῶν λεγομένων τε καὶ δρωμένων. Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 227 D —230 E). Δύο μὲν εἴδη κακίας περὶ ψυχὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥητέον. — Ποῖα; — Τὸ μὲν οἷον νόσον ἐν σώματι, τὸ δ' οἷον αἶσχος ἐγγιγνόμενον. — Οὐκ ἔμαθον. — Νόσον ἴσως καὶ στάσιν οὐ ταὐτὸν νενόμικας. — Οὐδ' αὖ πρὸς τοῦτο ἔχω τί χρή με δέ; ἐν ψυχῇ δόξας ἐπιθυμίαις καὶ θυμὸν ἡδοναῖς καὶ λόγον λύπαις καὶ πάντ' ἀλλήλοις ταῦτα τῶν φλαύρως ἐχόντων οὐκ ᾐσθήμεθα διαφερόμενα; — Καὶ σφόδρα γε. — Ξυγγενῆ γε μὴν ἐξ ἀνάγκης ξύμπαντα γέγονε. — Πῶς γὰρ οὔ; — Στάσιν ἄρα καὶ νόσον τῆς ψυχῆς πονηρίαν λέγοντες ὀρθῶς ἐροῦμεν. — Ὀρθότατα μὲν οὖν. — Τί δ'; ὅσα κινήσεως μετασχόντα καὶ σκοπόν τινα θέμενον πειρώμενα τούτου τυγχάνειν καὶ καθ' ἑκάστην ὁρμὴν παράφορα αὐτοῦ γίγνεται καὶ ἀποτυγχάνει, πότερον αὐτὰ φήσομεν ὑπὸ συμμετρίας τῆς πρὸς ἄλληλα ἢ τοὐναντίον ὑπὸ ἀμετρίας αὐτὰ πάσχειν; — Δῆλον ὡς ὑπὸ ἀμετρίας. — Ἀλλὰ μὴν ψυχήν γε ἴσμεν ἅπασαν πᾶν ἀγνοοῦσαν. — Σφόδρα γε. — Τό γε μὴν ἀγνοεῖν ἔστιν ἐπ' ἀλήθειαν ὁρμωμένης ψυχῆς, παραφόρου ξυνέσεως γιγνομένης, οὐδὲν ἄλλο πλὴν παραφροσύνη. — Πάνυ μὲν οὖν. — Ψυχὴν ἄρα ἀνόητον αἰσχρὰν καὶ ἄμετρον θετέον. — Ἔοικεν. — Ἔστι δὴ δύο ταῦτα, ὡς φαίνεται, κακῶν ἐν αὐτῇ γένη, τὸ μὲν πονηρία καλούμενον ὑπὸ τῶν πολλῶν, νόσος αὐτῆς σαφέστατα ὄν. — Ναί. — Τὸ δέ γε ἄγνοιαν μὲν καλοῦσι, κακίαν δὲ αὐτὸ ἐν ψυχῇ μόνον γιγνόμενον οὐκ ἐθέλουσιν ὁμολογεῖν. — Κομιδῇ συγχωρητέον, ὃ δὴ νῦν λέξαντος ἡμφεγνόησά σου, τὸ δύο εἶναι γένη κακίας ἐν ψυχῇ, καὶ δειλίαν μὲν καὶ ἀκολασίαν καὶ ἀδικίαν ξύμπαντα ἡγητέον παθήματε ταὐτὼ δύο τέχνα τινὲ ἐγενέσθην; — Τίνε τούτω; — Περὶ μὲν αἶσχος γυμναστική, περὶ δὲ νόσον ἰατρική. — Φαίνεται. — Οὐκοῦν καὶ περὶ μὲν ὕβριν καὶ ἀδικίαν καὶ δειλίαν ἡ κολαστικὴ πέφυκε τεχνῶν μάλιστα δὴ πασῶν προσήκουσα δίκη; — Τὸ γοῦν εἰκός, ὡς εἰπεῖν κατὰ τὴν ἀνθρωπίνην δόξαν. — Τί δέ; περὶ ξύμπασαν ἄγνοιαν μῶν ἄλλην τινὰ ἢ διδασκαλικὴν ὀρθότερον εἴποι τις ἄν; — Οὐδεμίαν. — Φέρε δή· διδασκαλικῆς δὲ ἆρα ἓν μόνον γένος φατέον ἢ πλείω, δύο δέ τινε αὐτῆς εἶναι μεγίστω; σκόπει. — Σκοπῶ. — Καί μοι δοκοῦμεν τῇδε ἄν πῃ τάχιστα εὑρεῖν. — Πῇ; — Τὴν ἄγνοιαν ἰδόντες εἴ πῃ κατὰ μέσον αὖτη τομὴν ἔχει τινά. διπλῆ γὰρ αὕτη γιγνομένη δῆλον ὅτι καὶ τὴν διδασκαλικὴν δύο ἀναγκάζει μόρια ἔχειν, ἓν ἐφ' ἑνὶ τῶν αὐτῆς ἑκατέρῳ. — Τί οὖν; καταφανές πῃ σοι τὸ νῦν ζητούμενον; — Ἀγνοίας δ' οὖν μέγα τί μοι δοκῶ καὶ χαλεπὸν ἀφοριζόμενον ὁρᾶν εἶδος, πᾶσι τοῖς ἄλλοις αὐτῆς ἀντισταθμοῦν μέρεσι. — Ποῖον δή; — Τὸ μὴ κατειδότα τι δοκεῖν εἰδέναι· δι' οὗ κινδυνεύει πάντα ὅσα διανοίᾳ σφαλλόμεθα γίγνεσθαι πᾶσιν. — Ἀληθῆ. — Καὶ δὴ καὶ τούτῳ γε οἶμαι μόνῳ τῆς ἀγνοίας ἀμαθίαν τοὔνομα προσρηθῆναι. — Πάνυ γε. — Τί δὲ δὴ 〈τῷ〉 τῆς διδασκαλικῆς ἄρα μέρει τῷ τοῦτο ἀπαλλάττοντι λεκτέον; — Οἶμαι μέν, ὦ ξένε, τὸ μὲν ἄλλο δημιουργικὰς διδασκαλίας, τοῦτο δὲ ἐνθάδε γε παιδείαν ὑφ' ἡμῶν κεκλῆσθαι. — Καὶ γὰρ σχεδόν, ὦ Θεαίτητε, ἐν πᾶσιν Ἕλλησιν. ἀλλὰ γὰρ ἡμῖν καὶ τοῦτο ἐπισκεπτέον, εἰ ἄτομόν ἐστιν ἤδη πᾶν ἤ τινα ἔχει διαίρεσιν ἀξίαν ἐπωνυμίας. — Οὐκοῦν χρὴ σκοπεῖν. — Δοκεῖ τοίνυν μοι κατὰ τοῦτο ἔτι πῃ σχίζεσθαι. — Κατὰ τί; — Τῆς ἐν τοῖς λόγοις διδασκαλικῆς ἡ μὲν τραχυτέρα τις ἔοικεν ὁδὸς εἶναι, τὸ δὲ ἕτερον μόριον αὐτῆς λειότερον. — Τὸ ποῖον δὴ τούτων ἑκάτερον λέγωμεν; — 〈Τὸ μὲν〉 ἀρχαιοπρεπές τι πάτριον, ᾧ πρὸς τοὺς υἱεῖς μάλιστ' ἐχρῶντό τε καὶ ἔτι πολλοὶ χρῶνται τὰ νῦν, ὅταν αὐτοῖς ἐξαμαρτάνωσί τι, τὰ μὲν χαλεπαίνοντες, τὰ δὲ μαλθακωτέρως παραμυθούμενοι· τὸ δ' οὖν ξύμπαν αὐτὸ ὀρθότατα εἴποι τις ἂν νουθετητικήν. — Ἔστιν οὕτω. — Τὸ δέ γε εἴξασί τινες αὖ λόγον ἑαυτοῖς δόντες ἡγήσασθαι πᾶσαν ἀκούσιον ἀμαθίαν εἶναι, καὶ μαθεῖν οὐδέν ποτ' ἂν ἐθέλειν τὸν οἰόμενον 〈σοφὸν εἶναι〉 τούτων 〈ὧν〉 οἴοιτο πέρι δεινὸς εἶναι, μετὰ δὲ πολλοῦ πόνου τὸ νουθετητικὸν εἶδος τῆς παιδείας σμικρὸν ἀνύτειν. — Ὀρθῶς γε νομίζοντες. — Τῷ τοι ταύτης τῆς δόξης ἐπὶ ἐκβολὴν ἄλλῳ τρόπῳ στέλλονται. — Τίνι δή; — Διερωτῶσιν ὧν ἂν οἴηταί τίς τι πέρι λέγειν λέγων μηδέν· εἶθ' ἅτε πλανωμένων τὰς δόξας ῥᾳδίως ἐξετάζουσι, καὶ συνάγουσι δὴ τοῖς λόγοις εἰς ταὐτόν τε τιθέασι παρ' ἀλλήλας, τιθέντες δ' ἐπιδεικνύουσιν αὐτὰς αὑταῖς ἅμα περὶ τῶν αὐτῶν πρὸς τὰ αὐτὰ κατὰ ταὐτὰ ἐναντίας· οἱ δὲ ὁρῶντες ἑαυτοῖς μὲν

χαλεπαίνουσι, πρὸς δὲ τοὺς ἄλλους ἡμεροῦνται καὶ τούτῳ δὴ τῷ τρόπῳ τῶν περὶ αὐτοὺς μεγάλων καὶ σκληρῶν δοξῶν ἀπαλλάττονται πασῶν ἀπαλλαγῶν ἀκούειν τε ἡδίστην καὶ τῷ πάσχοντι βεβαιότατα γιγνομένην. νομίζοντες γάρ, ὦ παῖ φίλε, οἱ καθαίροντες αὐτούς, ὥσπερ οἱ περὶ τὰ σώματα ἰατροὶ νενομίκασι μὴ πρότερον ἂν τῆς προσφερομένης τροφῆς ἀπολαύειν δύνασθαι σῶμα, πρὶν 〈ἂν〉 τὰ ἐμποδίζοντα ἐντός τις ἐκβάλῃ, ταὐτὸν καὶ περὶ ψυχῆς διενοήθησαν ἐκεῖνοι, μὴ πρότερον αὐτὴν ἔξειν τῶν προσφερομένων μαθημάτων ὄνησιν, πρὶν ἂν ἐλέγχων τις τὸν ἐλεγχόμενον εἰς αἰσχύνην καταστήσας, τὰς τοῖς μαθήμασιν ἐμποδίους δόξας ἐξελών, καθαρὸν ἀποφήνῃ καὶ ταῦτα ἡγούμενον, ἅπερ οἶδεν, εἰδέναι μόνα, πλείω δὲ μή. — Βελτίστη γοῦν καὶ σωφρονεστάτη τῶν ἕξεων αὕτη. — Διὰ ταῦτα δὴ πάντα ἡμῖν, ὦ Θεαίτητε, καὶ τὸν ἔλεγχον λεκτέον ὡς ἄρα μεγίστη καὶ κυριωτάτη τῶν καθάρσεών ἐστι, καὶ τὸν ἀνέλεγκτον αὖ νομιστέον, ἂν καὶ τυγχάνῃ βασιλεὺς ὁ μέγας ὤν, τὰ μέγιστα ἀκάθαρτον ὄντα, ἀπαίδευτόν τε καὶ αἰσχρὸν γεγονέναι ταῦτα, ἃ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι. Ξενοφῶντος (Cyneg. XII 14—17). Παίδευσις γὰρ καλὴ διδάσκει χρῆσθαι νόμοις καὶ λέγειν περὶ τῶν δικαίων καὶ ἀκούειν. οἱ μὲν οὖν παρασχόντες ἑαυτοὺς ἐπὶ τὸ μοχθεῖν τε καὶ διδάσκεσθαι αὐτοὶ μὲν μαθήσεις καὶ ἐπιπόνους μελέτας ἔχουσι, σωτηρίαν δὲ ταῖς αὑτῶν πόλεσιν· οἱ δὲ μὴ θέλοντες διὰ τὸ ἐπίπονον διδάσκεσθαι, ἀλλ᾽ ἐν ἡδοναῖς ἀκαίροις διάγειν, φύσει οὗτοι κάκιστοι· οὔτε γὰρ νόμοις οὔτε λόγοις ἀγαθοῖς πείθονται· οὐ γὰρ εὑρίσκουσι διὰ τὸ μὴ πονεῖν οἷον χρὴ τὸν ἀγαθὸν εἶναι· ὥστε οὔτε θεοσεβεῖς δύναιντ᾽ ἂν εἶναι οὔτε σοφοί. τῷ τε ἀπαιδεύτῳ χρώμενοι πολλὰ ἐπιτιμῶσι τοῖς πεπαιδευμένοις. διὰ μὲν οὖν τούτων οὐδὲν ἂν καλῶς ἔχοι· διὰ δὲ τῶν ἀμεινόνων ἅπασαι 〈αἱ〉 ὠφέλειαι τοῖς ἀνθρώ-

2.32 deest.

2.33 Εὐριπίδου (fr. 809 N.). Ὅστις δ᾽ ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ, οὐ πώποτ᾽ ἠρώτησα, γιγνώσκων ὅτι τοιοῦτός ἐστιν, οἷσπερ ἥδεται ξυνών. Εὐριπίδου Βελλεροφόντῃ (fr. 298 N.). Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε, κακῷ κακὸς δὲ συντέτηκεν ἡδοναῖς· φιλεῖ δὲ θούμφυλον ἀνθρώπους ἄγειν. Εὐριπίδου Πελιάσιν (fr. 612 N.). 〈Ὁ〉 γὰρ ξυνὼν κακὸς 〈μὲν〉 ἢν τύχῃ γεγὼς τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται, χρηστοὺς δ᾽ ὁ χρηστός· ἀλλὰ τὰς ὁμιλίας ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε. Μενάνδρου (Com. IV p. 324, fr. inc. 468). Ἡ τῶν ὁμοίων αἵρεσις μάλιστά πως τὴν τοῦ βίου σύγκρασιν ὁμόνοιαν ποιεῖ. Εὐριπίδου Ἀντιγόνῃ (fr. 160 N.). Νέοι νέοισι συννοσοῦσι τἄφρονα. Μενάνδρου Περικειρομένῃ (Com. IV p. 185, fr. 1). 〈Οὗ〉 τω ποθεινόν ἐστιν ὁμότροπος φίλος. Μενάνδρου (Com. l. s. s. fr. 2). Οὐδείς ἐστί μοι ἀλλότριος, ἂν ᾖ χρηστός· ἡ φύσις μία πάντων, τὸ δ᾽ οἰκεῖον συνίστησιν τρόπος. Ὁμήρου (ρ 218). Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. Δημοκρίτου (fr. mor. 153 Mullach.). Ὁμοφροσύνη φιλίην ποιέει. Διογένης ἐρωτηθείς, τί ἐστι φίλος, „μία ψυχή, 〈ἔφη,〉 ἐν δυσὶ σώμασι κειμένη“. 〈 Θουκυδίδου (III 10).〉 Εἰδότες οὔτε φιλίαν ἰδιώταις βεβαίαν γιγνομένην οὔτε κοινωνίαν πόλεσιν, εἰ μὴ μετὰ ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. Ἀριστοτέλους ς . Ὥσπερ ὁ οἶνος κίρναται τοῖς τῶν πινόντων τρόποις, Πυθαγόρας ἐρωτηθείς, τί ἐστι φίλος, ἀπεκρίνατο· „Ἄλλος ἐγώ“. Τὴν φιλίαν ἔφη ἰσότητα εἶναι. Ἰάμβλιχος Μακεδονίῳ περὶ Ὁμονοία ς . Ἡ ὁμόνοια, καθάπερ αὐτὸ τὸ ὄνομα βούλεται ἐνδείκνυσθαι, συναγωγὴν ὁμοίου τοῦ νοῦ κοινωνίαν τε καὶ ἕνωσιν ἐν ἑαυτῇ συνείληφεν· ἀφορμηθεῖσα δὴ οὖν ἐντεῦθεν ἐπὶ πόλεις καὶ οἴκους, κοινούς τε συλλόγους πάντας καὶ ἰδίους [οἴκους], φύσεις τε καὶ συγγενείας πάσας ἐπιπορεύεται, κοινάς τε καὶ ἰδίας ὡσαύτως· ἔτι δὲ περιέχει καὶ τὴν ἑνὸς ἑκάστου πρὸς ἑαυτὸν ὁμογνωμοσύνην· ὑφ᾽ ἑνὸς μὲν γάρ τις νοήματος καὶ μιᾶς γνώμης κυβερνώμενος ὁμονοεῖ πρὸς ἑαυτόν, διχογνωμονῶν δὲ πρὸς ἑαυτὸν καὶ ἀνόμοια λογιζόμενος διαστασιάζει· καὶ ὁ μὲν ἐπὶ τῆς ἀεὶ αὐτῆς ἐπιμένων διανοήσεως ὁμοφροσύνης ἐστὶ πλήρης· ὁ δὲ ἄστατος τοῖς λογισμοῖς καὶ ἄλλοτε ἐπ᾽ ἄλλην

δόξην φερόμενος ἀστάθμητός ἐστι καὶ πολέμιος πρὸς ἑαυτόν. 〈 Πλάτωνος (Leg. VIII p. 837 B).〉 Φιλία ἡ μὲν ἀπὸ ἐναντίων δεινὴ καὶ ἀγρία καὶ τὸ κοινὸν οὐ πολλάκις ἔχουσα ἐν ἡμῖν, ἡ δ' ἐκ τῶν ὁμοίων ἥμερός τε καὶ κοινὴ διὰ βίου. Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 255 B). 〈Οὐ〉 γὰρ δή ποτε εἵμαρται κακὸν κακῷ φίλον οὐδ'

2.34 deest.

2.35 deest.

2.36 deest.

2.37 deest.

2.38 deest.

2.39 deest.

2.40 deest.

2.41 deest.

2.42 deest.

2.43 deest.

2.44 deest.

2.45 deest.

2.46 Μενάνδρου (Com. IV p. 325, fr. inc. 470). Ἀχάριστος ἄνθρωπος μὴ νομιζέσθω φίλος· μήθ' ὃς πονηρός, κατεχέτω χρηστοῦ τόπον. Σοφοκλέους Οἰδίποδος (Tyr. 611. 612). Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω καὶ τὸν παρ' αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ. Τοῦ αὐτοῦ Αἴαντος (522—524). Χάρις χάριν γάρ ἐστιν ἡ τίκτους' ἀεί. Ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος, οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ. 〈 Τοῦ αὐτοῦ (Ai. 1267).〉 Χάρις διαρρεῖ καὶ προδοῦς' ἁλίσκεται. Ἀναξανδρίδου (Com. III p. 200, fr. inc. 15). Οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν. Σοφοκλέους (fr. 735 N.). Ἀμνήμονος γὰρ ἀνδρὸς ὄλλυται χάρις. Θεοκρίτου (V 38). Μενάνδρου (Com. IV p. 325, fr. inc. 471). Οὐχὶ τὴν αὐτὴν ἔχει διάνοιαν αἰτῶν εἷς ἕκαστος καὶ λαβών. Τοῦ αὐτοῦ (Com. IV p. 325, fr. inc. 472, v. 1). Ἀεὶ δ' ὁ σωθείς ἐστιν ἀχάριστος φύσει. Τοῦ αὐτοῦ (l. s. fr. inc. 472, v. 2. 3). Ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις, ἣν δεόμενος τότ' ἀθάνατον σχήσειν ἔφη. Εὐριπίδου Πελιάσιν (fr. 611 N.). Ἐν τοῖσι μὲν δεινοῖσιν ὡς φίλοι φίλων· ὅταν δὲ πράξως' εὖ, διωθοῦνται χάριν, αὐτοὶ δι' αὐτοὺς εὐτυχεῖν ἡγούμενοι. Φιλήμονος (Com. IV p. 239, Menandr. fr. inc. 20). Ὅταν τις ἡμῶν ἀμέριμνον ἔχῃ βίον, οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαίμονα· ἐπὴν δὲ λύπαις περιπέσῃ καὶ πράγμασιν, εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν. Θεόγνιδος (v. 955. 956). Δείλους εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ χήρωσις κτεάνων καὶ χάρις οὐδεμία. Διογένης ἐρωτηθείς, τί τάχιστα γηράσκει Αἰλιανοῦ (Var. hist. IX 18). Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς δρυσί, λέγων ὅτι καὶ ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι καὶ δέονται αὐτῶν, εἰ ὕει, στέγην τὴν ἐκ τῶν κλάδων ποθοῦντες· ὅταν δὲ οὔσης εὐδίας παρίωσι, τίλλουσιν αὐτὰς καὶ περικλῶσι. καὶ αὐτὸς οὖν ἔλεγεν ὑπὸ τοῦ δήμου τὰ αὐτὰ πάσχειν. Ἐκ τῆς περὶ φιλίας Ἐπιστολῆς (Plu- tarch. fragm. XVIII, 16 Dübn.). Ὡς μέντοι λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον· ... ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰς αὐτοὺς ἑτέρων ἀνακοπῇ πρὸς εὐεργεσίαν. Ἰαμβλίχου Σωπάτρ ῳ . Φευκτὴ μὲν οὖν ἐστιν ἡ ἀχαριστία δι' ἑαυτήν· ἀχθεσθείη δ' ἄν τις πρὸς αὐτὴν δικαιότερον, ἐπειδὴ κωλύει τἀγαθὸν προϊέναι καὶ ἐκφαίνεσθαι, τήν τε χώραν αὐτῶν παντελῶς ἀνατρέπει καὶ κατακλείει πως εἰς στενὸν τὰς ἔξω διαφαινομένας τῶν καλῶν ἐνεργείας, ἀποστερεῖ δὲ καὶ τὸ κοινὸν τῆς θείας βοηθείας πάσης· διὰ τοῦτ' ἔστι πάνδεινον. παντὶ 〈δ'〉 ἀνδρὶ παρακελεύομαι πρῶτον, λόγον ὀρθὸν κατέχειν εὐεργεσιῶν μετὰ φιλίας· δεύτερον, εὐχαρίστως τὰς εὐεργεσίας

παραλαμβάνειν καὶ προκαλεῖσθαι τὰς μείζονας εὐποιΐας διὰ τῆς εὐχαριστίας. Θεμιστοκλῆ ς , διαβαλλόντων αὐτὸν ἐπ’ ἐκκλησίας τινῶν ὡς εἶδεν τοὺς πολλοὺς ἡδέως ἀκούοντας, „κοπιᾶν“, ἔφη, „μοι δοκεῖτε, ἄνδρες Ἀθηναῖοι, εὐεργετούμενοι“· κόπος γὰρ ὡς ἀληθῶς εὐεργεσίας κόρος, δι’ ὃν συμβαίνει καινότητος ἐπιθυμεῖν. Ἐκ τῶν Ὑψαίου ὑποθηκῶν περὶ τοῦ εὐεργετεῖ ν . Οὐδένα μισήσεις ὡς ἀχάριστον, ἐὰν ὡς ἀληθῶς χαρίζῃ. Τοὺς μηδεμίαν ὧν ἂν εὖ πάθωσιν ὑπὸ σοῦ χάριν ἐκτίνοντας ἄλλοι λεγέτωσαν ἀχαρίστους, σὺ δ’ ἀνοήτους, ὅτι τοῦ καλλίστου τῶν ἀγαθῶν οὐ συνιᾶσιν. Εἰκότως οἱ νομοθέται μόνης ἀχαριστίας δίκας οὐχ ὁρίζουσιν, ὡς τοῦ μὲν εὖ ποιοῦντος τὴν μεγίστην ἀμοιβὴν ἐν οἷς ἔτυχεν εὖ ποιῶν ἀπειληφότος, τοῦ δὲ ἀχαρίστου τὴν ἀξίαν τίνοντος δίκην ἐν ᾧ λανθάνει τῷ μεγίστῳ κακῷ συνεχόμενος, ἀχαριστίᾳ. Ἀπολλώνιος Ἡρωδιαν ῷ . Μὴ φεῦγε διὰ τοὺς ἀσημάντους χρήσιμος εἶναι τοῖς ἀγαθοῖς· ἱκανοὶ γὰρ οὗτοι καὶ τὰς ὑπὲρ ἐκείνων χάριτας ἀποδοῦναι. Ἀπολλώνιος Νουμηνί ῳ . Οὐ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν. Ξενοφῶντος Κύρου παιδείᾳ (I 2, 7). … δικάζονται δὲ [οὐχ] ἥκιστα ἀχαριστίας· καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδοῦναι, μὴ ἀποδιδόντα δέ, καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν καὶ περὶ πατρίδα καὶ περὶ γονέας καὶ περὶ φίλους· ἔπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ 〈ἡ〉 ἀναισχυντία, καὶ γὰρ αὕτη δοκεῖ

3.1 Σοφοκλῆς ἐν Ἐριφύλῃ (fr. 195 N. 2). Ἀρετῆς βέβαιαι δ’ εἰσὶν αἱ κτήσεις μόναι. Εὐριπίδου ἐξ Ἀνδρομάχης (761—764). Εὐριπίδου Οἰδίποδος (fr. 542 N. 2). Οὔ τοι νόμισμα λευκὸς ἄργυρος μόνον καὶ χρυσός ἐστιν, ἀλλὰ χάρετὴ βροτοῖς νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών. Εὐριπίδου Τημενίδαις (fr. 734 N. 2). Ἀρετὴ δέ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται, ζῇ δ’ οὐκέτ’ ὄντος σώματος· κακοῖσι δὲ ἅπαντα φροῦδα συνθανόνθ’ ὑπὸ χθονός. Εὐριπίδου (Suppl. 914—919). Αἰσχύνεται δὲ τἀγάθ’ ἀσκήσας ἀνὴρ κακὸς κεκλῆσθαι πᾶς τις· ἡ δ’ εὐανδρία διδακτόν, εἴπερ καὶ βρέφος διδάσκεται λέγειν ἀκούειν θ’, ὧν μάθησιν οὐκ ἔχει. ἃ δ’ ἂν μάθῃ τις, ταῦτα σῴζεσθαι φιλεῖ (Eur. fr. 1029 N. 2) Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον. οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων οὔτ’ ἀσφαλείας οὔτε θωπείας ὄχλου. ἀρετὴ δ’ ὅσῳ περ μᾶλλον ἂν χρῆσθαι θέλῃς, τοσῷδε μᾶλλον αὔξεται τελουμένη. Σοφοκλῆς Αἴαντι (1352). Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει. Θεόγνιδος (315—318). Πολλοί 〈τοι〉 πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται, ἀλλ’ ἡμεῖς τούτοις οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί, χρήματα δ’ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει. Φιλιππίδου Ἀνανεούσης (fr. 3 com. IV Ἐπιχάρμου (fr. inc. * 20 p. 260 Lor.). Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν χρὴ τὸν ἄνδρα τὸν σοφόν. Πυθαγόρου (Aur. carm. 9—16 ed. Nauck.). Κρατεῖν δὲ ἐθίζεο τῶνδε, γαστρὸς 〈μὲν〉 πρώτιστα καὶ ὕπνου λαγνείης τε καὶ θυμοῦ· πρήξεις δ’ αἰσχρόν ποτε μήτε μετ’ ἄλλου μήτ’ αὐτός· πάντων δὲ μάλιστ’ αἰσχύνεο σαυτόν. εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε. μήτ’ ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε· ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασιν, χρήματα δ’ ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ’ ὀλέσθαι. Βακχυλίδου (fr. 19 p. l. 4 III p. 575). Εἷς ὅρος, μία βροτοῖσιν ἐστὶν εὐτυχίας ὁδός, θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον. Εὐριπίδου (fr. 1030 N. 2). Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν. Μενάνδρου (fab. inc. fr. 44 com. IV p. 248). Κἂν σφόδρα σαφῶς εἰδῇς 〈τι〉 , τὸν κρύπτοντά σε μηδέποτ’ ἐλέγξῃς· δύσκολον πρᾶγμ’ ἐστὶ γάρ, ἃ λανθάνειν τις βούλεται, ταῦτ’ εἰδέναι. Ἰσοκράτους πρὸς Δημόνικον (§ 7 p. 3 c). Ἡ δὲ τῆς ἀρετῆς κτῆσις οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δ’ εὐγενείας ἐστί, τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον ψόγον τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. Ἐκ τοῦ Ἰσοκράτους Παναθηναϊκοῦ μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας,

σφᾶς δ’ αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας· ἔτι τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ’ ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως, ἧς μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέγιστον, 〈τοὺσ〉 μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν μηδ’ ἐξισταμένους αὑτῶν μηδ’ ὑπερηφάνους γιγνομένους ἀλλ’ ἐμμένοντας τῇ τάξει τῶν εὖ φρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὑτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. τοὺς δὲ μὴ μόνον πρὸς ἓν τούτων ἀλλὰ πρὸς Ἓκ τῶν Ἰαμβλίχου πρὸς Σώπατρον περὶ ἀρετῆς. Ψυχῆς μὲν οὖν ἂν εἴη ἀρετὴ τελεότης καὶ εὐμετρία τῆς ζωῆς, λόγου τε καὶ νοῦ καὶ διανοήσεως ἡ ἀκροτάτη καὶ καθαρωτάτη ἐνέργεια. τὰ δ’ ἔργα τῆς ἀρετῆς ἀγαθοειδῆ, κάλλιστα, νοερά, σπουδαῖα, πλήρη μεσότητος, εὐκαιρίας μετέχοντα, προηγούμενα, τέλους ἀρίστου στοχαζόμενα, χαρίεντα ὅτι μάλιστα θεωρείσθω. Ἰσοκράτους. Ἰσοκράτης εἶπεν, ὅτι τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα δεῖ τῶν μὲν προγεγενημένων μεμνῆσθαι, τὰ δὲ ἐνεστῶτα Ἀριστοτέλους. Ἀριστοτέλης εἶπεν, ἐπειδὴ μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεθα, δεῖ βούλεσθαι ὡς γίνεται. Χίλωνος. Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διὰ παντός. Βίαντος. Βραδέως ἐγχείρει τοῖς πραττομένοις, ἐγχειρήσας δὲ πρᾶττε βεβαίως. Θεοβούλου. Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου. Σωκράτους. Σωκράτης παρῄνει ὡς ἥκιστα τοῖς δυνάσταις ἢ ὡς Πλάτωνος (de re publ. X p. 618 B). Μάλιστα ἐπιμελεῖσθαι χρή, ὅπως ἕκαστος ἡμῶν τῶν ἄλλων μαθημάτων ἀμελήσας τούτου τοῦ μαθήματος καὶ μιμητὴς καὶ μαθητὴς ἔσται, ἐάν ποθεν οἷός τ’ ᾖ μαθεῖν καὶ ἐξευρεῖν τίς αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον χρηστὸν καὶ πονηρὸν διαγινώσκοντα, τὰ βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι. Ἰσαίου (Isaei orat. ed. Schoem. p. 168 fr. III). Ἡγοῦμαι μεγίστην εἶναι τῶν λειτουργιῶν τὸ καθ’ ἡμέραν βίον κόσμιον καὶ σώφρονα παρέχειν. Ἰσοκράτους πρὸς Δημόνικον (§ 21 p. 6 c; § 46 p. 12 b; § 16 p. 5 b). Ὑφ’ ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς δι’ ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι’ ὧν εὐπορήσεις, τῇ δ’ ὀργῇ παραπλὴν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς καὶ σαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. Μάλιστα δ’ ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι, τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. Τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου. τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ Δημοκρίτου (fr. mor. 128 Mullach.). Ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιέεσθαι. ψυχὴ μὲν γὰρ τελεωτάτη σκήνεος μοχθηρίην ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησι. Ἀντισθένους (apophth. 6 Winckelm.). Οὔτε συμπόσιον χωρὶς ὁμιλίας οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει. Πυθαγόρου. Πυθαγόρας ἔφη, ὅτι χρὴ βίον αἱρεῖσθαι τὸν ἄριστον, ἡδὺν γὰρ αὐτὸν ἡ συνήθεια ποιήσει. πλοῦτος ἀσθενὴς ἄγκυρα, δόξα ἔτι ἀσθενεστέρα· τὸ σῶμα ὁμοίως, αἱ ἀρχαί, αἱ τιμαί, πάντα ταῦτα ἀσθενῆ καὶ ἀδύνατα. τίνες οὖν ἄγκυραι δυναταί; φρόνησις, μεγαλοψυχία, ἀνδρεία· ταύτας οὐδεὶς χειμὼν σαλεύει. οὗτος θεοῦ νόμος, ἀρετὴν εἶναι τὸ ἰσχυρὸν καὶ βέβαιον, τὰ δ’ ἄλλα λῆρον. Πυθαγόρου γνῶμαι. Ἀνανεούσθω σοι ὁ περὶ τῶν ἀγαθῶν λόγος καθ’ Ἄγρυπνος ἔσο κατὰ νοῦν· συγγενὴς γὰρ τοῦ ἀληθινοῦ θανάτου ὁ περὶ τοῦτον ὕπνος. Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοοῦ ποιεῖν. Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους τοὺς Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαῤῥεῖν ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην. Ἰσχύειν τῇ ψυχῇ αἱροῦ μᾶλλον ἢ τῷ σώματι. Πέπεισο μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις. Πρᾶττε μεγάλα μὴ ὑπισχνούμενος μεγάλα. Τέκνα μάθε τίκτειν οὐ τὰ γηροβοσκήσοντα τὸ σῶμα, Τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν. Χαλεπὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν. Ψυχῆς πᾶν πάθος εἰς σωτηρίαν αὐτῆς πολεμιώτατον. Ὧν ἡ τύχη κυρία καὶ δοῦναι καὶ ἀφελέσθαι, οὐ δεήσῃ οὐδενός. Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων· καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά σοι Ὧν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει. Δημοκρίτου (fr. mor. 189 Mullach.). Νόμῳ καὶ ἄρχοντι καὶ σοφωτέρῳ εἴκειν κόσμιον. Δημοκρίτου (fr. mor. 8 Mullach.). Ὅρος συμφόρων καὶ ἀσυμφόρων τέρψις καὶ ἀτερπίη. (Democr. fr. mor. 2 Mullach.) Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ' ἂν εἴη, εἴ Μουσωνίου (rel. p. 254 Peerlk.). Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην [βιῶσαι]. Ἰαμβλίχου ἐκ τῆς πρὸς Σώπατρον ἐπιστολῆς περὶ ἀρετῆς. Οὐκοῦν καὶ διὰ νοῦ καθαροῦ καὶ ἀπολυομένου πάσης σωματοειδοῦς διαμορφώσεως ἡ θέα τῆς ἀρετῆς περιγίγνεται· τὸ δ' ὁποῖον τί ἐστιν ὧδε ἄν τις καταμάθοι· κάλλος καὶ συμμετρία καὶ ἀλήθεια, ταυτότης τε ἀμετάστατος καὶ ἁπλότης, ἐξῃρημένη τε ἀπὸ τῶν ἄλλων ὑπεροχή, τελειότης τε ἀνυπέρβλητος καὶ ἀκρότης τῶν ὄντων, καθαρότης τε ὑπεραίρουσα πάντα καὶ ἄμικτος. εἰ δὲ ἅπαντα τὰ τοιαῦτα, ἓν δεῖγμα αὐτοῦ παρέχεται ἱκανόν. ὁπότε δὴ οὖν τὸ νοητὸν εἶδος κατίδοις τῆς ἀρετῆς, θεώρει τοῦτο λοιπὸν ἀφ' ἑαυτοῦ περὶ πᾶσαν ζωὴν ἀμερίστως μεριζόμενον τρόπον τινὰ τοιοῦτον, ὡς πληθυομένων τῶν μεταλαμβανόντων μένειν αὐτὸ ἕν, καὶ πάντῃ μεριζομένων 〈τῶν〉 περὶ αὐτὸ ἀμέριστον αὐτὸ ὑπάρχειν, καὶ γιγνομένων καὶ ἀπολλυμένων ἐκείνων ἀγέννητον αὐτὸ εἶναι καὶ ἄφθαρτον, καὶ εἰς ἀνομοιότητα προχωρούντων τὸ αὐτὸ ἀεὶ διαμένειν μήτε κινούμενον ἀπὸ τῆς προόδου τῶν τοῖς διεστηκόσι παρουσίαν μήτε αὐτοῖς συναφαιρούμενον ἢ συναυξανόμενον ἤ τινα ἄλλην ἀπ' αὐτῶν δεχόμενον ἀλλοίωσιν. καίτοι οὕτως αὐτὸ κατόψει τὸ αὐτὸ ὅλον ἐν πᾶσι παρὸν μετὰ τοῦ μένειν ἑκάστου τὴν οὐσίαν τῶν μετεχόντων καὶ κατὰ τὴν οἰκείαν ὑπόστασιν ἕκαστον βέλτιστον γίγνεσθαι. κατὰ δὴ τοῦτον τὸν λόγον καὶ τοὺς ἀνθρώπους διακοσμεῖ τοῖς καλλίστοις ὅροις, νοεραῖς μὲν ἐνεργείαις ἀκροτάταις, λόγοις δὲ τῆς ψυχῆς τελειοτάτοις, ζωῆς δὲ δυνάμεσιν ὑπερεχούσαις πᾶσαν γένεσιν. Ἐκ τῶν Ἰαμβλίχου (protr. 2 p. 8, 17 Pist.). Ψυχῇ ζῶντας ἡμᾶς τῇ ταύτης ἀρετῇ ῥητέον εὖ ζῆν, ὡς ὀφθαλμοῖς ὁρῶντας τῇ τούτων ἀρετῇ καλῶς ὁρᾶν. Ἰαμβλίχου ἐκ τῶν προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων (2 p. 8, 20 Pist.). Καθάπερ εἰς ἄσυλον τέμενος τὴν ἀρετὴν ὁρμητέον, ὅπως πρὸς μηδεμίαν ἀγεννῆ τύχης ὕβριν ὦμεν ἔκδοτοι. Φωκίωνος. Οὔτε ἐξ ἱεροῦ βωμὸν οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως Πλάτωνος Πολιτείας γ' (p. 388 E). Ἀλλὰ μὴν οὐδὲ φιλογέλωτα δεῖ εἶναι. σχεδὸν γὰρ ὅταν τις ἐφιῇ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτον. Δοκεῖ μοι, ἔφη. Οὔτε ἄρα ἀνθρώπους ἀξίους λόγου κρατουμένους ὑπὸ γέλωτος ἄν τις ποιῇ, ἀποδεκτέον, πολὺ δὲ ἧττον, ἐὰν θεούς. (trag. adesp. fr. 521 N. 2) ..... θάλλουσα λυπῇ τοὺς ἄγαν ὑπέρφρονας. Διογένους. Πυνθανομένου τινός, πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένοιτο ‘εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις‘ ἔφη ‘καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα‘. Πλάτωνος ἐν Πολιτείᾳ πέμπτῃ (p. 452 D). Ὅτι μάταιος ὃς γελοῖον ἄλλο τι ἡγεῖται ἢ τὸ κακόν, καὶ καλοῦ αὖ σπουδάζει εἰς ἄλλον τινὰ σκοπὸν στησάμενος ἢ τὸν τοῦ ἀγαθοῦ. Τοῦ αὐτοῦ (rei p. 6IX p. 571 B). Τῶν μὴ ἀναγκαίων ἡδονῶν τε καὶ ἐπιθυμιῶν δοκοῦσί τινες ἐμοὶ εἶναι παράνομοι, αἳ κινδυνεύουσιν ἐγγίνεσθαι μὲν ἐν παντί, κολαζόμεναι δὲ ὑπὸ τῶν τυγχανόντων βελτιόνων ἐπιθυμιῶν μετὰ λόγου ἐνίων μὲν ἀνθρώπων ἢ παντάπασιν ἀπαλλάττεσθαι ἢ ὀλίγαι λείπεσθαι καὶ ἀσθενεῖς, τῶν δὲ ἰσχυρότεραι καὶ πλείους. Λέγεις δὴ τίνας, ἔφη, ταύτας; Τὰς περὶ τὸν ὕπνον, ἦν δ' ἐγώ, ἐγειρομένας, ὅταν τὸ μὲν ἄλλο τῆς ψυχῆς εὕδῃ, ὅσον λογιστικὸν καὶ ἥμερον καὶ ἄρχον ἐκείνου, τὸ δὲ θηριῶδές τε καὶ ἄγριον, ἢ σίτου ἢ μέθης πλησθέν, σκιρτᾷ τε καὶ ἀπωσάμενον τὸν ὕπνον ζητῇ ἰέναι καὶ ἀποπιμπλάναι τὰ αὐτοῦ ἤθη· οἶσθ' ὅτι πάντα ἐν τῷ τοιούτῳ τολμᾷ ποιεῖν, ὡς ἀπὸ πάσης λελυμένον τε καὶ ἀπηλλαγμένον αἰσχύνης καὶ φρονήσεως· μητρί τε γὰρ ἐπιθυμεῖν μίγνυσθαι, ὡς οἴεται, οὐδὲν ὀκνεῖ, ἄλλῳ τε ὁτῳοῦν ἀνθρώπων καὶ θεῶν καὶ θηρίων, μιαιφονεῖν τε

ὁτιοῦν, βρώματός τε ἀπέχεσθαι μηδενός· καὶ ἑνὶ λόγῳ οὔτε ἀνοίας οὐδὲν ἐλλείπει οὔτ' ὑγιεινῶς τις ἔχῃ αὐτὸς αὑτοῦ καὶ σωφρόνως, καὶ εἰς τὸν ὕπνον ἴῃ τὸ λογιστικὸν μὲν ἐγείρας αὑτοῦ καὶ ἑστιάσας λόγων καλῶν καὶ σκέψεων, εἰς σύννοιαν αὐτὸς αὑτῷ ἀφικόμενος, τὸ ἐπιθυμητικὸν δὲ μήτ' ἐνδείᾳ δοὺς μήτε πλησμονῇ, ὅπως ἂν κοιμηθῇ καὶ μὴ παρέχῃ θόρυβον τῷ βελτίστῳ χαῖρον ἢ λυπούμενον, ἀλλ' ἐᾷ αὐτὸ καθ' ἑαυτὸ μόνον καθαρὸν σκοπεῖν καὶ ὀρέγεσθαι τοῦ αἰσθάνεσθαι ὃ μὴ οἶδεν ἤ τι τῶν γεγονότων ἢ ὄντων ἢ καὶ μελλόντων, ὡσαύτως δὲ καὶ τὸ θυμοειδὲς πραῦνας καὶ μή τισιν εἰς ὀργὴν ἐλθὼν κεκινημένῳ τῷ θυμῷ καθεύδῃ, ἀλλ' ἡσυχάσας μὲν τὼ δύο εἴδη, τὸ τρίτον 〈δὲ κινήσασ〉, ἐν ᾧ τὸ φρονεῖν ἐγγίνεται, οὕτως ἀναπαύηται, οἶσθ' ὅτι τῆς 〈τ'〉 ἀληθείας ἐν τῷ τοιούτῳ μάλιστα ἅπτεται καὶ ἥκιστα παράνομοι τότε αἱ ὄψεις φαντάζονται τῶν ἐνυπνίων. Παντελῶς μὲν οὖν, ἔφη, οὕτω. Ταῦτα μέν τοι ἐπὶ πλέον ἐξήχθημεν εἰπεῖν· ὃ δὲ βουλόμεθα γνῶναι, τόδ' ἐστίν, ὡς ἄρα δεινόν τι καὶ ἄγριον καὶ ἄνομον ἐπιθυμιῶν εἶδος ἑκάστῳ ἔνεστι, καὶ πάνυ δοκοῦσιν ἡμῶν ἐνίοις μετρίοις εἶναι· τοῦτο δὲ ἄρα ἐν τοῖς ὕπνοις γίνεται ἔνδηλον. Τοῦ αὐτοῦ ἐκ τοῦ Κλειτοφῶντος (p. 407 E—408 B). Καὶ ὅταν λέγῃς, ὡς ὅτῳ τις μὴ ἐπίσταται χρῆσθαι, σταται ὀφθαλμοῖς χρῆσθαι μηδὲ ὠσὶ μηδὲ ξύμπαντι τῷ σώματι, τούτῳ μήτε ἀκούειν μήθ' ὁρᾶν μήτε ἄλλην χρείαν μηδεμίαν [μὴ] χρῆσθαι τῷ σώματι κρεῖττον ἢ ὁπῃοῦν χρῆσθαι. καὶ δὴ 〈καὶ〉 περὶ τέχνην ὡσαύτως· ὅστις γὰρ δὴ μὴ ἐπίσταται τῇ ἑαυτοῦ λύρᾳ χρῆσθαι, δῆλον ὡς οὐδὲ τῇ τοῦ γείτονος, οὐδὲ ὅστις μὴ τῇ τῶν ἄλλων, οὐδὲ τῇ ἑαυτοῦ, οὐδὲ ἄλλῳ τῶν ὀργάνων, οὐδὲ κτημάτων οὐδενί. καὶ τελευτᾷ δὴ καλῶς ὁ λόγος οὗτός σοι, ὡς ὅστις ψυχῇ μὴ ἐπίσταται χρῆσθαι, τούτῳ τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ καὶ μὴ ζῆν κρεῖττον ἢ ζῆν πράττοντι καθ' αὑτόν· εἰ δέ τις ἀνάγκη ζῆν, δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν βίον. Τοῦ αὐτοῦ Ἀλκιβιάδου (p. 146 C). Οὐκοῦν φαμὲν πάλιν τοὺς πολλοὺς διημαρτηκέναι τοῦ βελτίστου, ὡς τὰ πολλά γε, οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότας; — Φαμὲν γάρ. — Λυσιτελεῖ ἄρα τοῖς πολλοῖς μήτε εἰδέναι μηδὲν μήτε οἴεσθαι εἰδέναι, εἴπερ γε μῶν κτῆμα, ἐάν τις ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτό, ἆρ' οὐχὶ τῷ ὄντι ὀρθῶς ἐφαινόμην λέγων; — Καὶ εἰ μὴ τότε, ἀλλὰ νῦν μοι δοκεῖ, ὦ Σώκρατες. δεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλλουσαν ὀρθῶς βιώσεσθαι ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι, ἀτεχνῶς ὥσπερ ἀσθενοῦντα ἰατροῦ ἤ τινος κυβερνήτου τὸν ἀσφαλῶς μέλλοντα πλεῖν. Πλάτωνος ἐκ τοῦ Κλειτοφῶντος (p. 408 B). Τούτοις δὴ τοῖς λόγοις παγκάλως λεγομένοις, ὡς διδακτὸν ἀρετὴ καὶ πάντων ἑαυτοῦ δεῖ μάλιστα ἐπιμελεῖσθαι, σχεδὸν οὔτ' ἀντεῖπον πώποτε οὔτ' οἶμαι μή ποτε ὕστερον ἀντείπω. Εὐριπίδου Αἰγεῖ (fr. 11 N. 2). Ἔστι καὶ πταίσαντ' ἀρετὰν Μενάνδρου Γεωργῷ (fr. 3 com. 6IV p. 96). Οὗτος κράτιστός ἐστ' ἀνήρ, ὦ Γοργία, ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται βροτῶν. Εὐριπίδου Ἀντιόπῃ (fr. 202 N. 2). Ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι σοφόν, ταράσσων μηδὲν ὧν πόλις νοσεῖ. (Eur. El. 294—96) Ἔνεστι δ' οἶκτος ἀμαθίᾳ μὲν οὐδαμοῦ, σοφοῖσι δ' ἀνδρῶν. καὶ γὰρ οὐδ' ἀζήμιον γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφόν. Θεόγνιδος (963—968). Μή ποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνέως, ὀργὴν καὶ θυμὸν καὶ τρόπον ὅντιν' ἔχει. πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες κρύπτους' ἐνθέμενοι θυμὸν ἐφημέριον. τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου. καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην. Σωτάδου. Τῆς τύχης σκοπεῖν δεῖ τὸ μέγιστον ὡς ἔλαττον· καὶ τὸ μὴ παρὸν μὴ θέλειν, οὐδὲ γὰρ σόν ἐστιν. ἀμφότερα μένειν οὐκ οἶδεν· ἔστηκε γὰρ οὐδέν. ἂν πλούσιος ὢν καθ' ἡμέραν σκοπῇς τὸ πλεῖον, ἐς τοσοῦτον εἶ πενιχρός, ἐς ὅσον εἶ περισσός. ὡς πένης θέλει σχεῖν καὶ πλούσιος πλέον σχεῖν, ἴσον ἔχουσιν αὐτῶν αἱ ψυχαὶ τὸ μεριμνᾶν. Λύπη σε μακρὰν προφεύξεται ἀγαθὰ φρονοῦντα. Μιμοῦ τὸ καλόν, καὶ μενεῖς ἐν βροτοῖς ἄριστος. Νόμος ἐστὶ θεός, τοῦτον ἀεὶ πάντοτε τίμα. Ξένος ὀφείλεις εἶναι τῶν οὐ καλῶς φρονούντων. Οὖ καλῶς βιοῖς, παράμενε, κεὐτυχεῖς τὰ πάντα. Παρατήρει τὰ πάντων καλά, καὶ ταῦτα σὺ μιμοῦ. Ῥῆσιν δ' ἀγαθὴν δεδομένην 〈εὖ〉 φύλασσε σαυτῷ.

Ὑγιαίνειν εὔχου τοῖς θεοῖς, ἐφ’ ὅσον ἔχεις ζῆν. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 67 E). Τῷ ὄντι ἄρα, ἔφη, ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνῄσκειν μελετῶσι, καὶ 〈τὸ〉 τεθνάναι ἥκιστα αὐτοῖς ἀνθρώπων φοβερόν. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (§ 59 p. 39 b). Μὴ τὴν κακίαν οἴεσθε μᾶλλον τῆς ἀρετῆς ὠφελεῖν, τὸ δ’ ὄνομα ἀτυχέστερον ἔχειν· ἀλλ’ οἵων περ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι. Λίνου ἐκ τῶν περὶ φύσεως κόσμου (fragm. phil. gr. I p. 156 Mull.). Φράζεο δὴ σπουδὴν ἐντυνάμενος δι’ ἀκουῆς κῆρας ἀπωσάμενος πολυπήμονας, αἵ τε βεβήλων ὄχλον ἀιστῶσαι ἄταις περὶ πάντα πεδῶσι παντοίαις, 〈δολερῶν〉 μορφῶν ἀπατήματ’ ἔχουσαι· τὰς μὲν ἀπὸ ψυχῆς εἴργειν φυλακαῖσι νόοιο. οὗτος γάρ σε καθαρμὸς ὄντως δικαίως ὁσιώσει, εἴ περ ἀληθείῃ μισεῖς ὀλοὸν γένος αὐτῶν. νηδὺν μὲν πρώτιστ’ αἰσχρῶν δώτειραν ἁπάντων, ἣν ἐπιθυμία ἡνιοχεῖ μάργοισι χαλινοῖς .... (auctoris ignoti) Ἐκ μὲν τῆς μαντικῆς πρόνοιαν ἔφασαν δεῖν ἐπιζητεῖν, ἐκ δὲ τῆς ἰατρικῆς τῆς τε προνοίας ἐπανόρθωσιν· ταῦτα γὰρ εἶναι πέρατα τῆς ἰατρικῆς ἐπιστήμης· ἐκ δὲ τῆς μουσικῆς αἴσθησιν ἀκριβῆ τε καὶ ἐπιστημονικήν, ἐκ δὲ τῶν μαθηματικῶν ὀνομαζομένων συλλογισμόν τε καὶ ἀπόδειξιν τῶν δι’ αὐτῶν νοημάτων. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (§ 61 Σωκράτους. Μόνῳ τῷ λόγῳ καθάπερ ἐπιτρόπῳ σώφρονι παρακαταθετέον τὸν βίον καὶ τὴν νεότητα. Καὶ ὑποδήματα καὶ βίος ἁρμόζων ἀλυπότερος. 〈Κλεινίου〉 Πυθαγορείου Ταραντίνου (fr. 6 II p. 24 Mullach.). δὲ καθ’ ἑαυτὸ ἕκαστον οὐκ ἀρετᾶς μέρος ἐντί, ἀλλ’ αἴτιον ἀρετᾶς. ὅσοι μὲν ὧν ἔχοντι τὸ νοατικὸν καὶ γνωστικὸν μέρος αὐτᾶς, δεινοί τε καὶ συνετοὶ ὀνυμαίνονται· ὅσοι δὲ τὸ ἠθικόν τε καὶ προαιρετικόν, χρήσιμοί τε καὶ ἐπιεικέες .... Κλεινίου Πυθαγορείου Ταραντίνου ἐκ τοῦ Περὶ ὁσιότητος καὶ εὐσεβείας (fr. 6 1. c. Mull.). Ὁπόσας δεῖ τὰς αἰτίας ἀναιρέν, δι’ ἃς ἀδικὲν πέφυκεν ἄνθρωπος. αὗται δὲ τρεῖς τυγχάνοντι· φιλαδονία μὲν ἐν ταῖς ἀπολαύσεσι ταῖς διὰ σώματος, πλεονεξία δὲ ἐπιθυμίαν· φόβον μὲν δὴ τῶν νόμων, αἰσχύναν δὲ τῶν θεῶν, ἐπιθυμίαν δὲ τῶν λόγων. διδάσκεν ὧν δεῖ τὼς νέως ἐξ ἀρχᾶς τάν τε τῶν θεῶν τιμὰν καὶ τὰν τῶν νόμων· ἐκ τῶνδε κα φανερὸν [ἂν] εἴη, ὅτι πᾶν ἔργον ἀνθρώπινον καὶ βίος 〈ὅσ〉 ὁσιότατός. τε καὶ εὐσεβείας μεθέξει, καὶ ὀρθοπλοιεῖ. Μουσωνίου (rel. p. 254 Peerlk.). Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην [βιῶσαι]. Πλάτωνος Πολιτείας ε′ (p. 450 E). Ἐν γὰρ φρονίμοις τε καὶ φίλοις περὶ τῶν μεγίστων τἀληθῆ εἰδότα λέγειν ἀσφαλὲς καὶ θαῤῥαλέον, ἀπιστοῦντα δὲ καὶ ζητοῦντα ἅμα τοὺς λόγους ποιεῖσθαι, ὃ δὴ ἐγὼ δρῶ, φοβερόν τε καὶ σφαλερὸν οὔ τι γέλωτα ὀφλεῖν. Ξενοφῶντος ἐν β′ Ἀπομνημονευμάτων (II 6, 39). Ὅσαι δ’ ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας μαθήσει τε καὶ μελέτῃ αὐξανομένας. Εὐριπίδου Ἡρακλείδαις (inc. fab. fr. 853 N. 2). Τρεῖς εἰσὶν ἀρεταί, τὰς χρεών ς’ ἀσκεῖν, τέκνον· θεούς τε τιμᾶν τούς τε θρέψαντας γονεῖς νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί. Ἐκ τῆς Ξενοφῶντος Σωκράτους ἀπολογίας (28. 29). Παρὼν δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ὢν ἰσχυρῶς αὐτοῦ ἄλλως δ’ εὐήθης, εἶπεν· Ἀλλὰ τοῦτο ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω 〈ὅτι ὁρῶ〉 σε ἀδίκως ἀποθνῄσκοντα. τὸν δὲ λέγεται καταψήσαντα αὐτοῦ τὴν κεφαλὴν εἰπεῖν· σὺ δέ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλ’ ὁ μὲν ἀνὴρ ὅδε γε κυδρός, ὡς μέγα τι καὶ καλὸν διαπεπραγμένος, εἰ ἀπέκτονέ με οὕτως, ὅτι τῶν μεγίστων αὐτὸν ὑπὸ τῆς πόλεως ὁρῶν ἀξιούμενον, οὐκ ἔφην χρῆναι τὸν υἱὸν περὶ βύρσας παιδεύειν. ὦ μοχθηρὸς οὗτος, ἔφη, ὃς οὐκ ἔοικεν εἰδέναι, ὅτι ὁπότερος ἡμῶν καὶ συμφορώτερα καὶ καλλίω εἰς τὸν ἀεὶ χρόνον διαπέπρακται, [χείρων δέ] ἐστιν ὁ νικῶν. Πλάτωνος ἐκ τοῦ Μενεξένου ἢ Ἐπιταφίου (p. 240 D). Ἀλλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει. Τοῦ αὐτοῦ Πολιτείας ε′ (p. 457 B). Κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. Παντάπασι μὲν οὖν. Σωκράτους. Οὔτε ἵππος εὐγενὴς κρίνοιτ’ ἂν ὁ πολυτελῆ σκευὴν ναῖος. Τοῦ σοφοῦ στόματος ἀνοιχθέντος καθάπερ ἱεροῦ τὰ τῆς

ψυχῆς καλὰ βλέπεται ὥσπερ ἀγάλματα. Ἐν μὲν τῷ πλεῖν πείθεσθαι δεῖ τῷ κυβερνήτῃ, ἐν δὲ τῷ ζῆν τῷ λογίζεσθαι δυναμένῳ βέλτιον. Οὔτε συμπόσιον ἄνευ ὁμιλίας οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει. Ὁδὸν μὲν τὴν λειοτάτην ἐκλέγεσθαι δεῖ, βίον δὲ τὸν ἀλυπότατον. Τοῦ βίου καθάπερ ἀγάλματος πάντα τὰ μέρη καλὰ Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστὼς ἀμετακίνητος ὀφείλει εἶναι. Δημοκρίτου (fr. mor. 97 Mull.). Φαύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον. Θεοβούλου. Ἀδικούμενος διαλλάσσου, ὑβριζόμενος ἀμύνου. Βίαντος. Οὕτω πειρῶ ζῆν ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος. Πιττακοῦ. Πιττακὸς ἔφη ‘παρακαταθήκην λαβὼν δικαίως ἀπόδοσ‘. Δημοκρίτου (fr. mor. 117 Mull.). Μὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι χρεὼν Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Γυμναζόμενον φυλάξασθαι δεῖ τὸν κόπον, εὖ πράττοντα δὲ τὸν φθόνον. Ἐν ταὐτῷ. Κυβερνήτου μὲν ἔργον ἀγαθοῦ πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασθαι, ἀνδρὸς δὲ σοφοῦ πρὸς τὰς τῆς τύχης. Ἐκ τοῦ Τέλητος περὶ αὐταρκείας (Te- letis rel. p. 3 sqq. ed. Hense). Δεῖ ὥσπερ τὸν ἀγαθὸν ὑποκριτὴν ὅ τι ἂν ὁ ποιητὴς τὸν ἀγαθὸν ἄνδρα ὅ τι ἂν περιθῇ ἡ τύχη. καὶ γὰρ αὕτη. φησὶν ὁ Βίων, ὥσπερ ποιήτρια, ὁτὲ μὲν πρωτολόγου, ὁτὲ δὲ δευτερολόγου περιτίθησι πρόσωπον, καὶ ὁτὲ μὲν βασιλέως, ὁτὲ δὲ ἀλήτου. μὴ οὖν βούλου δευτερολόγος ὢν τὸ πρωτολόγου πρόσωπον· εἰ δὲ μή, ἀνάρμοστόν τι ποιήσεις. σὺ μὲν ἄρχεις καλῶς, ἐγὼ δὲ ἄρχομαι, φησί, καὶ σὺ μὲν πολλῶν, ἐγὼ δὲ ἑνὸς τουτουΐ παιδαγωγὸς γενόμενος, καὶ σὺ μὲν εὔπορος γενόμενος δίδως ἐλευθερίως, ἐγὼ δὲ λαμβάνω εὐθαρσῶς παρὰ σοῦ οὐχ ὑποπίπτων οὐδὲ ἀγεννίζων οὐδὲ μεμψιμοιρῶν. σὺ κέχρησαι τοῖς πολλοῖς καλῶς, ἐγὼ δὲ τοῖς ὀλίγοις· οὐ γὰρ τὰ πολυτελῆ, φησί, τρέφει, οὐδὲ ἐκείνοις μὲν ἔστι μετ’ ὠφελείας χρῆσθαι, τοῖς δὲ ὀλίγοις καὶ εὐτελέσι μετὰ σωφροσύνης οὐκ ἔστι καὶ ἀτυφίας. διὸ καὶ εἰ λάβοι, φησὶν ὁ Βίων, φωνὴν τὰ πράγματα, ὃν τρόπον καὶ ἡμεῖς, καὶ δύναιτο δικαιολογεῖσθαι, οὐκ ἂν εἴποι, φησίν, [πρῶτον ἡ πενία, ἄνθρωπε, τί μοι μάχῃ;] ὥσπερ οἰκέτης πρὸς κύριον ἐφ’ ἱερὸν ἐγκαλοῦντα ‘τί μοι μάχῃ; μὴ καλοῦ τινος δι’ ἐμὲ στερίσκῃ; μὴ σωφροσύνης; μὴ δικαιοσύνης; 〈μὴ〉 ἀνδρείας; ἀλλὰ μὴ τῶν ἀναγκαίων ἐνδεὴς εἶ; ἢ οὐ μεσταὶ μὲν αἱ ὁδοὶ λαχάνων; πλήρεις δὲ αἱ κρῆναι ὕδατος; οὐκ εὐνάς σοι τοσαύτας παρέχω ὁπόση γῆ; καὶ στρωμνὰς φύλλα; ἢ εὐφραίνεσθαι μετ’ ἐμοῦ οὐκ ἔστιν; ἢ οὐχ ὁρᾷς γράδια φυστὴν φαγόντα τερετίζοντα; ἢ οὐκ ὄψον ἀδάπανον καὶ ἀτρύφερον παρασκευάζω σοι τὴν πεῖναν; ἢ οὐχ ὁ πεινῶν ἥδιστα ἐσθίει καὶ ἥκιστα ὄψου δεῖται; καὶ ὁ διψῶν ἥδιστα πίνει καὶ ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένει; ἢ πεινᾷ τις πλακοῦντα ἢ διψᾷ Χῖον; ἀλλ’ οὐ ταῦτα διὰ τρυφὴν ζητοῦσιν ἄνθρωποι; ἢ οἰκήσεις οὐ παρέχω σοι πολυτελής;‘ εἰ ταῦτα λέγοι ἡ Πενία, τί ἂν ἔχοις ἀντειπεῖν; ἐγὼ μὲν γὰρ 〈ἂν〉 δοκῶ ἄφωνος γενέσθαι. ἀλλ’ ἡμεῖς πάντα μᾶλλον αἰτιώμεθα ἢ τὴν ἑαυτῶν δυστροπίαν καὶ κακοδαιμονίαν, τὸ γῆρας, τὴν πενίαν, τὸν ἀπαντήσαντα, τὴν ἡμέραν, τὴν ὥραν, τὸν τόπον. διό φησιν ὁ Διογένης φωνῆς ἀκηκοέναι κακίας ἑαυτὴν αἰτιωμένης, οὔτις ἐμοὶ τῶνδ’ ἄλλος ἐπαίτιος, ἀλλ’ ἐγὼ αὐτή. παράφοροι δὲ πολλοὶ οὐχ ἑαυτοῖς ἀλλὰ τοῖς πράγμασι ὄφεως ἐπιλαμβάνῃ, δηχθήσῃ, ἐὰν τοῦ τραχήλου, οὐδὲν πείσῃ· οὕτω καὶ τῶν πραγμάτων, φησί, παρὰ τὴν ὑπόληψιν ἡ ὀδύνη γίνεται, καὶ ἐὰν μὲν οὕτως ὑπολάβῃς περὶ αὐτῶν, ὡς ὁ Σωκράτης, οὐκ ὀδυνήσῃ, ἐὰν δὲ ὡς ἑτέρως, ἀνιάσῃ, οὐχ ὑπὸ τῶν πραγμάτων ἀλλ’ ὑπὸ τῶν ἰδίων τρόπων καὶ τῆς ψευδοῦς δόξης. διὸ δεῖ μὴ τὰ πράγματα πειρᾶσθαι μετατιθέναι, ἀλλ’ αὐτὸν παρασκευάζειν πρὸς ταῦτά πως ἔχοντα, ὅπερ ποιοῦσιν οἱ ναυτικοί· οὐ γὰρ τοὺς ἀνέμους καὶ τὴν θάλατταν πειρῶνται μετατιθέναι, ἀλλὰ παρασκευάζουσιν αὑτοὺς δυναμένους πρὸς ἐκεῖνα στρέφεσθαι. εὐδία, γαλήνη· ταῖς κώπαις πλέουσι. κατὰ ναῦν ἄνεμος· ἐπῆραν τὰ ἄρμενα. ἀντιπέπνευκεν· ἐστείλαντο [μεθείλαντο]. καὶ σὺ πρὸς τὰ παρόντα χρῶ. γέρων γέγονας· μὴ ζήτει τὰ τοῦ νέου. ἀσθενὴς πάλιν· μὴ ζήτει ἀλλ’ ὥσπερ Διογένης, ἐπεί τις ὤθει καὶ ἐτραχήλιζεν ἀσθενῶς ἔχοντα, οὐ διετραχηλίζετο, ἀλλὰ δείξας αὐτῷ τὸν κίονα ‘βέλτιστε‘ ἔφη ‘τοῦτον ὤθει προσστάσ‘. ἄπορος πάλιν γέγονας· μὴ ζήτει τὴν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐπόρου δίαιταν, ἀλλ' ὡς πρὸς τὸν ἀέρα φράττῃ (εὐδία, καὶ διεστείλω· ψῦχος, συνεστείλω), οὕτω καὶ πρὸς τὰ ὑπάρχοντα· εὐπορία, διάστειλον· ἀπορία, σύστειλον. ἀλλ' ἡμεῖς οὐ δυνάμεθα ἀρκεῖσθαι τοῖς παροῦσιν, ὅταν καὶ τρυφῇ πολὺ διδῶμεν, καὶ τὸ ἐργάζεσθαι ....αί κρίνωμεν καὶ τὸν θάνατον ἔσχατόν [τι] τῶν κακῶν. ἐὰν δὲ ποιήσῃ καὶ τῆς ἡδονῆς καταφρονοῦντά τινα, καὶ πρὸς τοὺς πόνους μὴ διαβεβλημένον, καὶ πρὸς δόξαν καὶ ἀδοξίαν ἴσως ἔχοντα, καὶ τὸν θάνατον μὴ φοβούμενον, ὅ τι ἂν θέλῃς ἐξέσται σοι ἀνωδύνῳ ὄντι ποιεῖν. διὸ ἅπερ λέγω, οὐχ ὁρῶ πῶς αὐτὰ τὰ πράγματα ἔχει τι δύσκολον, ἢ γῆρας ἢ πενία ἢ ξενία. οὐκ ἀηδῶς γὰρ Ξενοφῶν 'ἐάν σοι' φησί 'δείξω δύο ἀδελφῶν τὴν ἴσην οὐσίαν διελομένων τὸν μὲν ἐν τῇ πάσῃ ἀπορίᾳ, τὸν δὲ ἐν εὐκολίᾳ, οὐ φανερὸν ὅτι οὐ τὰ χρήματα αἰτιατέον ἀλλ' ἕτερόν τι;' οὕτως ἐάν σοι δείξω δύο γέροντας, δύο πένητας, δύο φεύγοντας, τὸν μὲν ἐν τῇ πάσῃ εὐκολίᾳ καὶ ἀπαθείᾳ ὄντα, τὸν δὲ ἐν τῇ πάσῃ ταραχῇ, οὐ φανερὸν ὅτι οὐ τὸ γῆρας, οὐ τὴν πενίαν, οὐ τὴν ξενίαν αἰτιατέον ἀλλ' ἕτερόν τι; καὶ ὅπερ Διογένης ἐπυνθάνετο πόσου τῆς κύπρου ἡ κοτύλη. 'μνᾶς' φησιν ὁ μυροπώλης· ἀνέκραγε 'πολυτελής γε ἡ πόλις'. ἀπῆγεν αὐτὸν πάλιν εἰς τὸ μαγειρεῖον καὶ ἐπυνθάνετο πόσου τὸ ἀκροκώλιον. 'τριῶν δραχμῶν'· ἐβόα 'πολυτελής γε ἡ πόλις'. εἰς τὰ ἔρια πάλιν τὰ μαλακὰ καὶ πόσου τὸ πρόβατον. 'μνᾶς' φησίν· ἐβόα 'πολυτελής γε ἡ πόλις'. 'δεῦρο δή' φησί. κἀνταῦθα ἄγει αὐτὸν καὶ εἰς τοὺς θέρμους. 'πόσου ἡ χοῖνιξ;' 'χαλκοῦ' φησίν· ἀνέκραγεν ὁ Διογένης 'εὐτελής γε ἡ πόλις'. πάλιν εἰς τὰς ἰσχάδας, 'δύο χαλκῶν'· 'τῶν δὲ μύρτων;' 'δύο χαλκῶν'· 'εὐτελής γε ἡ πόλις'. ὃν τρόπον οὖν ὧδε οὐχ ἡ πόλις εὐτελὴς καὶ 〈πολυτελής, ἀλλ' ἐὰν μὲν οὕτω ζῇ〉 πολυτελής, ἐὰν δὲ οὕτως, εὐτελής, οὕτω καὶ τὰ πράγματα, ἐὰν μὲν αὐτοῖς οὕτω χρῆται, εὐπετῆ καὶ ῥᾴδια φανεῖται, ἐὰν δὲ οὕτως, δυσχερῆ. — Ἀλλ' ὅμως δοκεῖ μοι ἔχειν τι ἡ πενία δυσχερὲς καὶ ἐπίπονον· καὶ μᾶλλον ἄν τις ἐπαινέσαι τὸν μετὰ πενίας εὐκόλως 〈τὸ〉 γῆρας ἐνεγκόντα ἢ τὸν μετὰ πλούτου. — δυνάμενοι χρήσασθαι. ἀπορίᾳ καὶ δάνεια περιέστηκεν· κόγχον καὶ κύαμον συνάγαγε, φησὶν ὁ Κράτης, καὶ τὰ τούτοις πρόσφορα· κἂν τάδε δράσῃς, ῥᾳδίως στήσεις τρόπαιον κατὰ πενίας. ἢ τί δεῖ μᾶλλον ἐπαινέσαι τὸν μετὰ πενίας εὐκόλως 〈τὸ〉 γῆρας ἐνεγκόντα ἢ τὸν μετὰ πλούτου; ἐπεί τοι οὐδὲ γνῶναι ῥᾳδιέστερόν ἐστι, ποῖόν τι ἐστὶ πλοῦτος ἢ ποῖόν τι πενία· ἀλλὰ καὶ πλούτῳ πολλοὶ μετὰ γήρως δυσκόλως χρῶνται καὶ πενίᾳ ἀγεννῶς καὶ ναίως, ἀλλὰ τοῦ αὐτοῦ ἀμφότερα, καὶ ὅσπερ τοῖς πολλοῖς δύναται κατὰ τρόπον, οὗτος καὶ τοῖς ἀνάπαλιν. καὶ ἐὰν μὲν ἐκποιῇ πενητεύουσι 〈δεῖ〉 μένειν ἐν τῷ βίῳ, εἰ δὲ μή, ῥᾳδίως ἀπαλλάττεσθαι ὥσπερ ἐκ πανηγύρεως [οὕτω καὶ ἐκ τοῦ βίου]. καθάπερ καὶ ἐξ οἰκίας, φησὶν ὁ Βίων, ἐξοικιζόμεθα, ὅταν τὸ ἐνοίκιον ὁ μισθώσας οὐ κομιζόμενος τὴν θύραν ἀφέλῃ, τὸν κέραμον ἀφέλῃ, τὸ φρέαρ ἐγκλείσῃ, οὕτω, φησί, καὶ ἐκ τοῦ σωματίου ἐξοικίζομαι, ὅταν ἡ μισθώσασα φύσις τοὺς ὀφθαλμοὺς ἀφαιρῆται τὰ ὦτα τὰς χεῖρας τοὺς πόδας· οὐχ ὑπομένω, ἀλλ' ὥσπερ ἐκ συμποσίου ἀπαλλάττομαι οὐθὲν δυσχεραίνων, οὕτω καὶ ἐκ τελευτήν· καὶ ὥσπερ ἱμάτιον τρίβωνα γενόμενον ἀπεθέμην καὶ οὐ .... παρέλκω οὐδὲ φιλοψυχῶ, ἀλλὰ μὴ δυνάμενος ἔτι εὐδαιμονεῖν ἀπαλλάττομαι. καθάπερ καὶ Σωκράτης· ἦν αὐτῷ ἐκ τοῦ δεσμωτηρίου, εἰ ἐβούλετο, ἐξελθεῖν· καὶ τῶν δικαστῶν κελευόντων ἀργυρίου τιμήσασθαι οὐ προσεῖχεν, ἀλλὰ τῆς ἐν πρυτανείῳ σιτήσεως ἐτιμήσατο· καὶ τριῶν ἡμερῶν αὐτῷ δοθεισῶν τῇ πρώτῃ ἔπιεν καὶ οὐ προσέμεινεν τῆς τρίτης ἡμέρας τὴν ἐσχάτην ὥραν παρατηρῶν, εἰ ἔτι ἥλιος ἐπὶ τῶν ὀρῶν, ἀλλ' εὐθαρσῶς [τῇ πρώτῃ], 〈ὡς Πλάτων φη〉σίν, οὐδὲν τρέσας 〈οὐδὲ διαφθείρασ〉 οὔτε τοῦ προσώπου οὔτε τοῦ χρώματος, ἀλλὰ μάλα ἱλαρῶς τε καὶ εὐκόλως λαβὼν τὸ ποτήριον ἐξέπιεν, καὶ τὸ τελευταῖον ἀποκοτταβίσας 'τουτὶ δέ' φησίν 'Ἀλκιβιάδῃ τῷ καλῷ'· ὅρα σχολὴν καὶ παιδιάν. ἡμεῖς δέ, κἂν ἄλλον ἴδωμεν, πεφρίκαμεν. καὶ μέλλων ἀποθνῄσκειν, ἐκάθευδε βαθέως, ὥστε μόλις διεγεῖραι τινά. ταχύ γ' ἂν καὶ ἡμῶν τις ἂν κοιμηθείη; καὶ γυναικὸς χαλεπότητα πρᾴως ἔφερε κἀκείνης βοώσης οὐκ ἐφρόντιζεν, ἀλλὰ Κριτοβούλου εἰπόντος 'πῶς ἀνέχῃ ταύτης συμβιούσης;' 'πῶς δὲ σὺ τῶν παρὰ σοὶ χηνῶν;' 'τί δέ

μοι μέλει ἐκείνων;‘ φησίν ‘οὕτως οὐδ’ ἐμοὶ ταύτης, ἀλλ’ ἀκούω ὥσπερ χηνόσ‘. καὶ πάλιν παρειληφότος αὐτοῦ Ἀλκιβιάδην ἐπ’ ἄριστον, ὡς ἐκείνη παρελθοῦσα τὴν τράπεζαν ἀνέτρεψεν, οὐκ ἐβόα οὐδ’ ὠδυνᾶτο δεινοπαθῶν ‘ὢ πεσόντα, ἀποθέσθαι πάλιν ἐκέλευσε τὸν Ἀλκιβιάδην· ὡς δὲ ἐκεῖνος οὐ προσεῖχεν ἀλλ’ ἐγκαλυψάμενος ἐκάθητο αἰσχυνόμενος, ‘προάγωμεν δή‘ φησίν ‘ἔξω· φαίνεται γὰρ ἡ Ξανθίππη ὀξυρεγμίᾳ σπαράττειν ἡμᾶς.‘ εἶτα μετ’ ὀλίγας ἡμέρας αὐτὸς ἀριστῶν παρὰ τῷ Ἀλκιβιάδῃ, ὡς ἡ ὄρνις ἡ γενναία ἐπιπτᾶσα κατέβαλε τὸν πίνακα, ἐγκαλυψάμενος ἐκάθητο καὶ οὐκ ἠρίστα· ὡς δὲ ἐκεῖνος ἐγέλα καὶ ἐπυνθάνετο εἰ διὰ τοῦτο οὐκ ἀριστᾷ ὅτι ἡ ὄρνις ἐπιπτᾶσα καταβάλοι, ‘δῆλον ὅτι‘ φησί ‘σὺ μὲν πρῴην Ξανθίππης ἀνατρεψάσης οὐκ ἐβούλου ἀριστᾶν, ἐμὲ δὲ οἴει νῦν 〈ἂν〉 ἀριστᾶν τῆς ὄρνιθος ἀνατρεψάσης; ἢ διαφέρειν τι ἐκείνην ὄρνιθος κορυζώσης ἡγῇ;‘ ‘ἀλλ’ εἰ μὲν ὗσ‘ φησίν ‘ἀνέτρεψεν, οὐκ ἂν ὠργίζου, οὐκ ἂν διηνέχθης, εἰ δὲ γυνὴ ὑώδης;‘ ὅρα παιδιάν. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 43). Πᾶν πρᾶγμα καὶ πρόσωπον δύο ἔχει λαβάς, μίαν καὶ οὕτω λήψῃ αὐτὸ καθ’ ὃ φορητόν ἐστι. Διωτογένους Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότητος (fr. 4 I p. 535 Mullach.). Περὶ βίω ἐκλογισμὸς καθ’ ὅν κα εἴη ὁ ἀνθρώπινος βίος ὁσιώτατός τε καὶ νομιμώτατος. πρᾶτον μὲν αἴκα τις μὴ πολυπραγμονῇ μηδὲ ταχὺ ἐπὶ τὰς δίκας ὁρμᾷη, ἀλλὰ πολὺν χρόνον ἀμβαλλόμενος αὐτός τε προκαλεόμενος ἄνευ δίκας οἷς τε ὁ ἀντίδικος προεκαλέσατο, ἐμμένων· καὶ αἴκα τὰ πολλὰ ἐξηταγόρεν τῷ πράγματι καμαύλη ἀλλ’ αὐτὸ τὸ πρᾶγμα· καὶ ἐπὶ μὲν τᾶς ἀλλοτρίας ζαμίας τὸ ἀκριβὲς μῶτο, ἐπὶ δὲ τᾶς ἰδίας τὸ μέτριον· τὸ γὰρ αὐτὸν παρ’ αὑτῷ διαιτῆσθαι μετριωτέρω ἤθεος. καὶ μὴ ἐπὶ τᾷ ζαμίᾳ οὕτως ὡς ἐπὶ τᾷ αἰσχύνᾳ λυποῖτο· τὸ μὲν γὰρ ἐπ’ ἀργυρίῳ ὀδυνῆσθαι φαύλω ἤθεος, τὸ δὲ ἐπὶ τᾷ αἰσχύνᾳ καὶ τᾷ ἀτιμίᾳ καλοκαγάθω. Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν γειν τῶν καλῶν ἐθῶν τε καὶ ἐπιτηδευμάτων ὑπάρχειν· ὡσαύτως δὲ καὶ τῶν ἐπιστημῶν τε καὶ ἐμπειριῶν τὰς καλὰς καὶ εὐσχήμονας ἀληθῶς εἶναι φιλοκάλους, τὴν δὲ λεγομένην ὑπὸ τῶν πολλῶν φιλοκαλίαν, οἷον 〈ἐν〉 τοῖς ἀναγκαίοις καὶ χρησίμοις πρὸς τὸν βίον γινομένην, λάφυρά που τῆς ἀληθινῆς κεῖσθαι φιλοκαλίας. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 33). Τὰ πολλὰ δὲ καὶ τὸ γελᾶν ἀπέστω καὶ τὸ γέλωτα κινεῖν· ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμὸν καὶ ἅμα τὴν αἰδῶ τὴν πρὸς σὲ τῶν πλησίον ἱκανὸς ἀνεῖναι καὶ διαφθεῖραι. καὶ ἄλλος παράκειται τόπος ἐπισφαλὴς ταῖς τοιαύταις ἀνέσεσι, τὸ εἰς αἰσχρολογίαν εὐκόλως προαγαγεῖν τὸν πλησίον. ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ αἰσχρολογήσαντι· ἐὰν δὲ τοιαῦτα ᾖ τὰ πρόσωπα ὥστε μὴ καιρὸν εἶναι, τῷ ἀποσιωπῆσαι καὶ σκυθρωπάσαι καὶ ἐρυθριᾶσαι δῆλος Εὐσεβίου (fr. 1 III p. 7 sq. Mullach.). Ἐχθρὸς γενοίμην μηδενός, φίλος δὲ τοῦ αἰεὶ [καὶ] παραμενέοντος· καὶ μήκοτε μὲν διενεχθείην πρὸς τοὺς οἰκειοτάτους, διενεχθεὶς δὲ διαλλαχθείην ὡς τάχιστα. Μηδενὶ ἐπιβουλεύσαιμι, ἐπιβουλευόμενος δὲ ἄνευ ἀνάγκης τοῦ τι ἀντιδρᾶσαι ἀνήκεστον ἀπαθὴς διαφύγοιμι. Ὀργῆς κρατοίην. Ἐρῴην καὶ ἐπιθυμέοιμι καὶ τυγχάνοιμι μούνων τῶν καλῶν, τῶν δὲ ἀπ’ ἐναντίης, τῆς ἐπιθυμίης μηδὲ ἁμαρτών κοτε ὥστε εὔξασθαι τύχοιμι [ἐπιθυμίης] μόγου. Βουλοίμην πάντας εὐτυχέειν, φθονήσαιμι μηδενὶ τῶν εὐτυχεόντων. Μήκοτέ τις ἐμὲ τῶν νομιζομένων παραλόγως εὖ πρήσσειν ἐκπλήξειε μηδὲ ἀνιήσειε· τί γὰρ δεῖ τοῖσι παρὰ τῆς τύχης δεδομένοισι φθονέειν; φίλοι δέ με καὶ οἱ κατ’ ἀξίην εὐτυχέοντες εὐφραίνοιεν. Μήκοτε τῷ ἀπὸ οἰκείης γνώμης ἔχθρην κατ’ ἐμέο ἐπανελομένῳ δυστυχήσαντι ἐπησθείην. Μήκοτε συγγνοίην ἐμεωυτῷ κακοῦ μωμησαίμην μέχρι τοῦ ἀκέσασθαι. Εἰδείην γενναίως φέρειν τὰ προσπίπτοντα, καὶ τὰ μὲν μέτρια ἐκδεχοίμην ὥσπερ αὐτῶν ἔχει ἡ φύσις, τοῖσι δὲ ὑπερβάλλουσι μὴ καὶ τὸ παρ’ ἐμεωυτοῦ προστιθείην. Εὐτυχίην εἰδείην φέρειν σωφρόνως· μήκοτε ὑπὸ εὐπρηγίης ἐς ὑπερηφανίην ἄλογον ἀερθείην. Πλοῦτον νομίζοιμι τὸν ἀρκέοντα βίον τῷ σώφρονι. Ἄπαυστον καὶ ἀκόρεστον ἐπιθυμίην χρημάτων μὲν μήκοτε σχοίην, μούνων δὲ τῶν ὠφελεόντων τὴν ψυχὴν μαθημάτων ἐθέλοιμι ἃ δεῖ ἔσεσθαι. Νικῴην νίκην τὴν καὶ ἐμοὶ καὶ τῷ

προσδιαλεγομένῳ ἀβλαβέα. Φιλοτιμέεσθαι παρὰ καιρὸν πρὸς φίλους καὶ ἐν τῇσι ζητήσεσι φυλασσοίμην. Μήκοτε καὶ παρὰ τὸ ἐμοὶ δοκέον ἐν τῇσι ζητήσεσι τοῦ νικᾶν ἕνεκα ἔριν ἀσπασαίμην. Μήκοτε ἐπὶ βλάβῃ τοῦ ἀληθέος καὶ ὥστε παρ' ἃ αὐτὸς οἶδα παραλογίσασθαι τὸν προσδιαλεγόμενον ἐρίσαι ἐπαρθείην. Τοῖσι τὸ ἀληθὲς λόγοισι ξυνιστᾶσιν αἰεὶ ξυμμαχοίμην. Ἀκολάστου ἐπιθυμίης μήκοτε τι μηδὲ ἐννοηθείην. Ξυνείην αἰεὶ τοῖσι σώφροσιν· εἴη τέ μοι αἰεὶ προσδιαλέγεσθαι, παρ' ὧν ἔστι τι πάντως ἀπελθεῖν χρηστὸν προσλαβόντι. Μήκοτε ἐπαρθείην κέρδεος ἕνεκα πλημμελῆσαι. Φίλους διαφερομένους καταρτίζοιμι. Φίλοισι δυνάμενος καὶ τοῖσι δεομένοισι τὰ δέοντα ἐπαρκέοιμι. Φίλους ἐν κινδύνοισι καταστάντας δυνάμενος ὠφελέειν, μήκοτε ἐγκαταλίποιμι. Φίλων ξυμφοράς, ἀπ' ὧν οἷόν τε, ἐπανορθοῦσθαι προθυμοίμην. Λυπεομένοισι παρεὼν ἐλαφρύνοιμι ἠπίῳ καὶ ἀκεσίμῳ λόγῳ τὰς ἀνίας. Εἰδείην ἐμεωυτὸν αἰδέεσθαι. Τῶν καλῶν φιλομαθείην ἀσκέοιμι. Ζητοίην μὴ τὰ περισσά, ἀλλὰ περὶ ὧν ἄριστον καὶ ἃ μαθὼν ὠφελησοίμην. Θεοὺς τιμώην καὶ νόμῳ πόλιος καὶ σπουδῇ οἰκείῃ νόῳ εὐσεβέι. Αἰεὶ τὸν ἐν ἐμοὶ θυμὸν ἀγριούμενον ἡμεροίην. Ἐθίζοιμι ἐμεωυτὸν ἵλεω εἶναι καὶ μὴ πρὸς τὰ πρήγματα ἔχειν δυσκόλως. Τίς πονηρός, καὶ τίνι τούτων τί πέπρηκται, μὴ μέλοι μοι· εἰδείην δὲ τοὺς ἀγαθούς, καὶ τούτους μεταδιώκοιμι. Ὀφείλοιμι μηδενὶ μηδέν· εἰ δέ μοι τάχιστα ἐλευθέρῳ γενέσθαι δυνηθῆναι. Αἰνέοιμι τοὺς ἀγαθοὺς ἀφθόνως· φιλόψογον δὲ γλῶσσαν παντὸς ἀποστυγοίην. Εἰδείην σιγᾶν περὶ ὧν ἄμεινον. Σωκράτους. Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον. Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ παιδεύσεως ἠθικῆς (fr. 12 phil. Gr. I p. 557 Mullach.). Φαμὶ τὰν ἀρετὰν ἦμεν ποττὸ μὴ κακοδαιμονὲν ἱκανάν, τὰν δὲ κακίαν ποττὸ μὴ εὐδαιμονέν, αἴκα τὰς ἕξιας αὐτὰς κρίνωμες. αἰεὶ μὲν γὰρ κακοδαιμονὲν ἀνάγκα τὸν κακόν, αἴτε ἔχει ὕλαν (κακῶς τε γὰρ αὐτᾷ χρέεται) αἴτε σπανίζει· ὡς καὶ τὸν τυφλόν ..., αἴτε φῶς ἔχει καὶ λαμεὐδαιμονὲν τὸν ἀγαθόν. οὐ γὰρ ἁ κτᾶσις τᾶς ἀρετᾶς εὐδαιμονία ἦς, ἀλλ' ἁ χρᾶσις. καὶ γὰρ ὁ ἔχων τὴν ὄψιν οὐχ ὁρῇ αἰεί· αἰ γὰρ μὴ ἔχει φῶς, οὐκ ὄψεται. δύο δ' ὁδοὶ τέμνονται ἐν βίῳ, ἃ μὲν σκυθρωποτέρα, τὰν ὁ τλάμων ἐβάδιζεν Ὀδυσσεύς, ἃ δὲ εὐδιεινοτέρα, τὰν ἐπορεύετο Νέστωρ. τὰν ὧν ἀρετάν φαμι δήλεσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. ἀλλὰ τὰν εὐδαιμονίαν καρύσσει ἁ φύσις βίον εὐκταῖον καὶ εὐσταθέα διὰ τὸ γνώμας τελεσθῆμεν· ὥστε ἃ μὴ δήληταί τις παριόντα, οὐκ εὐδαίμων μέν, οὐ μὰν πάντα κακοδαίμων. Ἐν ταὐτῷ (fr. 12 phil. Gr. I p. 558 Mul- lach.). Μὴ ὧν ἄνοσον καὶ ἀνάλγητον τολμώντων τὸν ἀγαθὸν εἰπέν, μηδὲ ἄλυπον θρασυνέσθωσαν λέγεν· ὡς γὰρ σώματι ἀλγεινά τινα ἀπολείπομες, οὕτω καὶ ψυχᾷ ἐπώδυνα. ἀλλὰ ταὶ μὲν ἀφρόνων λῦπαι ἀλόγιστοι πέλοντι· ταὶ δὲ φροθανάτῳ τε καὶ ἀλγηδόνι καὶ πενίᾳ ἀντιβεβάκῃ. εὐκαταγώνιστα γὰρ τὰ μὴ κακά. ἀσκητέον ὧν ποττὰν μετριοπάθειαν ἴμεν, ὡς τό τε ἀνάλγητον ἐς ἴσον τῷ ἐμπαθεῖ φεύγωμες, μηδὲ μέζον φύσιος τᾶς ἀμετέρας φθεγγώμεθα. Τοῦ αὐτοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος (fr. 1 ap. Mullach phil. Gr. I p. 553). Πρᾶτον μὲν ὧν χρὴ τοῦτο γινώσκεν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ οὐκ εὐθέως εὐδαίμων ἐξ ἀνάγκας ἐστίν, ὁ δὲ εὐδαίμων καὶ ἀγαθὸς ἀνήρ ἐστιν. ὁ μὲν γὰρ εὐδαίμων ἐξ ἐπαινετῶ καὶ μακαριστῶ γίνεται, ὁ δὲ ἀγαθὸς ἀνὴρ ἐξ ἐπαινετῶ μόνον. γίνεται δὲ ὁ μὲν ἔπαινος ἐπ' ἀρετᾷ, ὁ δὲ μακαρισμὸς ἐπ' εὐτυχίᾳ. καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἐπὶ τοῖς παρ' ἀρετᾶς ἀγαθοῖς γίνεται τοιοῦτος, ὁ δ' εὐδαίμων καὶ ἐπὶ τοῖς διὰ τύχαν· καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἀναφαίρετον ἔχει τὰν ἀρετάν, ὁ δ' εὐδαίμων ἔστιν ὅκ' ἀπομαραίνοντι τὰν εὐθάλειαν τᾶς εὐδαιμοσύνας. Ἐν ταὐτῷ (fr. 2 phil. Gr. I p. 553 Mul- lach.). Διαφέρει δὲ θεὸς ἀνθρώπω ἀγαθῶ, ὅτι θεὸς μὲν οὐ μόνον εἰλικρινῆ καὶ διυλισμέναν ἔχει τὰν ἀρετὰν ἀπὸ παντὸς τῶ θνατῶ πάθεος, ἀλλὰ καὶ τὰν δύναμιν αὐτᾶς ἄτρυτον πέπαται καὶ ἀνυπεύθυνον, ὡς ποτ' αἰωνίων ἔργων σεμνότατά τε καὶ μεγαλοπρέπειαν· ἄνθρωπος δ' οὐ μόνον τῷ θνατῷ τᾶς φύσιος καταστάματι μῆονα ταύταν πέπαται, ἔστι δ' ὅκα καὶ δι' ἀγαθῶν ἀμετρίαν καὶ διὰ συνήθειαν ἰσχυρὰν καὶ διὰ φύσιν μοχθηρὰν καὶ δι' ἄλλας αἰτίας πολλὰς ἀδυνατέει κατ' ἄκρας γεναθῆμεν

παναλαθέως ἀγαθός. Ἐν ταὐτῷ (fr. 3 l. s. c. p. 553). Φαμὶ δὴ τὸν ἀγαθὸν ἄνδρα τοῦτον ἦμεν, τὸν πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. οὗτος δέ κα εἴη ὁ εὐτυχίαν τε δυνάμενος καλῶς φέρεν καὶ πάλιν ἀτυχίαν, καὶ ὁ ἔν τε τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γενόμενος τῶν ὑποκειμένων καὶ μεταβαλοίσας τᾶς τύχας εὖ τὸ παρὸν ἐκδεχόμενος. εἰ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δεῖ τιθείς, ἀλλὰ καὶ τὼς ἐμπιστεύσαντας αὐτῷ καὶ συναγωνισαμένως. Ἐν ταὐτῷ (fr. 4 l. s. c. p. 553 sq.). Ἐπεὶ ὧν τῶν ἀγαθῶν ἃ μὲν αὐτά ἐντι δι' αὔταυτα αἱρετά, οὐ μὰν δι' ἄτερον· ἃ δὲ δι' ἄτερον, οὐ μὰν δι' αὔταυτα· εἴη [ὧν] 〈κα〉 καὶ τρίτον τι εἶδος ἄτερον ἀγαθῶν, ὃ καὶ δι' αὔταυτον αἱρετόν ἐντι καὶ δι' ἄτερον. τίν' ὧν [οὖν] ἐντὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν, ἅπερ αὐτὰ δι' αὔταυτα αἱρετὰ πέφυκεν ἦμεν, οὐ μὰν δι' ἄτερον; φανερὸν ὅτι ἁ εὐδαιμοσύνα. ταύτας γὰρ ἕνεκα τὰ ἄλλα αἱρεόμεθα, αὐτὰν δὲ ταύταν οὐδενὸς ἀτέρω. τίνα δὲ πάλιν ἐντί, ἃ δι' ἄτερον μὲν αἱρεόμεθα [αὐτὰν δὲ ταύταν αἰκαλῶν καὶ ἀρετᾶς. τίνα δὲ καὶ δι' αὔταυτα αἱρετὰ καὶ [τὰ] δι' ἄτερον; .... οἷον αἵ τε ἀρεταὶ καὶ αἱ ἕξιες αὐτῶν, καὶ αἱ προαιρέσιες, καὶ αἱ πράξιες, καὶ πᾶν τὸ ἐχόμενον τᾶς τῶ καλῶ οὐσίας. τὸ μὲν ὧν δι' αὔταυτο αἱρετόν, οὐ μὰν δι' ἄτερον, μονῆρες ἀγαθόν ἐντι καὶ ἕν· τὸ δὲ καὶ δι' αὔταυτο καὶ δι' ἄτερον, τριχᾷ δέδασται. τὸ μὲν γάρ τι αὐτῶ περὶ ψυχάν ἐστι, τὸ δὲ περὶ σῶμα, τὸ δέ τι ἐκτός· περὶ ψυχὰν μὲν αἱ τᾶς ψυχᾶς ἀρεταί, περὶ σῶμα δὲ αἱ τῶ σώματος, ἐκτὸς δὲ φίλοι δόξα τιμὰ πλοῦτος. παραπλησίως δὲ καὶ τὸ δι' ἄτερον αἱρετόν· τὸ μὲν γάρ τι αὐτῶ τὰ ποιητικὰ τῶν τᾶς ψυχᾶς ἀγαθῶν, περὶ σῶμα δὲ τὰ τῶ σώματος, ἐκτὸς δὲ τὰ αἴτια πλούτω καὶ δόξας καὶ τιμᾶς καὶ φιλίας. ὅτι δὲ τὰν ἀρετὰν ἦμεν συμβέβακεν αὐτὰν δι' αὐταύταν αἱρετάν, δᾶλον δὲ τὰ σώματος ἀγαθά, αὐτὰ δι' αὔταυτα αἱρεόμεθα, κρέσσων δὲ ψυχὰ σώματος, φανερὸν ὅτι καὶ τὰ τᾶς ψυχᾶς ἀγαθὰ αὐτὰ δι' αὔταυτα ἀγαπέομες, ἀλλ' οὐ διὰ τὰ ἀποβαίνοντα ἀπ' αὐτῶν. Ἐν ταὐτῷ (fr. 7 l. c. p. 555). Ὅτι ὁ ἀγαθὸς ἀνὴρ οὕτω διάκειται ποτ' εὐτυχίαν, ὥσπερ καὶ ὁ τῷ σώματι καλῶς ἔχων καὶ ῥωμαλέως. καὶ γὰρ ἐκεῖνος οἷός τε καὶ θάλπος καὶ ψῦχος ὑπομένεν καὶ βάρος ἆραι μέγα καὶ πολλὰς ἀτέρας εὐχερῶς ὑπομένεν κακοπαθείας. Ἐν ταὐτῷ (fr. 5 l. c. p. 554). Τῶ δ' ἀνθρωπίνω βίω καιροὶ τρεῖς, ὃ μὲν ἐν εὐτυχίᾳ ὃ δ' ἐν ἀτυχίᾳ ὃ δὲ μεταξὺ τούτων. ἐπεὶ ὧν ἀγαθὸς ἀνὴρ ὁ ἔχων ἀρετὰν καὶ ὁ χρεόμενος ἀρετᾷ, χρέεται δὲ αὐτᾷ κατὰ τὼς τρεῖς καιρώς· ἢ γὰρ ἐν ἀτυχίᾳ ἢ ἐν εὐτυχίᾳ ἢ ἐν τοῖς μεταξὺ τούτων· καὶ ἐν ἀτυχίᾳ μέν ἐντι κακοδαίμων, ἐν δ' εὐτυχίᾳ εὐδαίμων, ἐν δὲ τᾷ μέσᾳ καταστάσει οὐκ εὐδαίμων· φανερὸν [οὖν] ὅτι οὐδὲν ἄτερόν ἐστιν εὐδαιμοσύνα ἀλλ' ἢ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ. λέγομες δὲ νῦν εὐδαιμοσύναν τὰν τῶ ἀνθρώπω. ὁ δ' ἄνθρωπος οὐχ ἁ ψυχὰ μόνον, ἀλλὰ καὶ τὸ σῶμα· τὸ γὰρ ἐξ ἀμφοτέρων ζῷον καὶ τὸ ἐκ τοιούτων ἄνθρωπος. καὶ γὰρ εἰ τᾶς ψυχᾶς ὄργανον τὸ σῶμα πέφυκεν, ἀλλὰ καὶ τῶ ἀνθρώπω μέρος καὶ τοῦτο καὶ ἁ ψυχά. διὸ καὶ τῶν ἀγαθῶν ἃ μὲν ἔντι τῶ ἀνθρώπω, ἃ δὲ τῶν μερέων. καὶ ἀνθρώπω μὲν ἀγαθὸν εὐδαιμοσύνα· τῶν δὲ μερέων τῶ ἀνθρώπω ψυχᾶς μὲν φρόνασις ἀνδρεία δικαιοσύνα σωφροσύνα, σώματος δὲ κάλλος ὑγίεια εὐεκτία εὐαισθησία. τὰ δ' ἐκτὸς πλοῦτος καὶ δόξα καὶ τιμὰ καὶ εὐγένεια πέφυκεν ἐπιγεννάματα ἦμεν τῶ ἀνθρώπω καὶ ἀκόλουθα 〈τοῖσ〉 φύσει προϋφεστακόσιν ἀγαθοῖς· δορυφορεῖ τε τὰ μήονα τῶν ἀγαθῶν τὰ μέζονα· φιλία μὲν καὶ δόξα καὶ πλοῦτος σῶμα καὶ ψυχάν, ὑγίεια δὲ καὶ ἰσχὺς καὶ εὐαισθησία ψυχάν, φρόνασις δὲ καὶ ἀνδρεία καὶ σωφροσύνα καὶ δικαιοσύνα τὸν νόον τᾶς ψυχᾶς, ὁ δὲ νόος τὸν θεόν· οὗτος γὰρ ὁ κράτιστός ἐστι καὶ ὁ ἀγεμονεύων. καὶ τούτω ἕνεκα καὶ τὰ ἄλλα τῶν ἀγαθῶν δεῖ παρῆμεν. στρατεύματος μὲν γὰρ ἀγεῖται στραταγός, πλωτήρων δὲ κυβερνάτας, τῶ δὲ κόσμω θεός, τᾶς δὲ ψυχᾶς νόος, τᾶς δὲ περὶ τὸν βίον εὐδαιμοσύνας φρόνασις· οὐδὲν γὰρ ἄτερόν ἐστι φρόνασις, εἰ μὴ ἐπιστάμα τᾶς περὶ τὸν βίον εὐδαιμοσύνας, ἢ ἐπιστάμα τῶν κατὰ φύσιν ἀνθρώπω ἀγαθῶν. Ἐν ταὐτῷ (fr. 6 l. s. s. p. 555). Καὶ θεῶ μὲν εὐδαιμοσύνα καὶ βίος ἄριστος, τῶ δ' ἀνθρώπω ἐξ ἐπιστάμας καὶ ἀρετᾶς καὶ τρίτω εὐτυχίας σωματουμένα παραγίνεται. λέγω δὲ ἐπιστάμαν σοφίαν μὲν τῶν θείων καὶ δαιμονίων, φρόνασιν δὲ τῶν ἀνθρωπίνων καὶ 〈τῶν〉 περὶ τὸν βίον· τὰς γὰρ λόγοις καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδειξίεσσι ποτιχρεομένας ἀρετὰς δέον ἐπιστάμας ποταγορεύεν· ἀρετὰν δὲ τὰν ἠθικὰν καὶ βελτίσταν ἔξιν τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, καθ' ἃν καὶ ποιοί τινες ἦμεν λεγόμεθα κατὰ τὸ ἦθος, οἷον ἐλευθέριοι δίκαιοι καὶ σώφρονες· εὐτυχίαν δὲ τὰν παρὰ τὸν λόγον τῶν ἀγαθῶν παρουσίαν καὶ μὴ δι' αὐτὸν γινομέναν. ἐπεὶ ὦν ἁ μὲν ἀρετὰ καὶ ἐπιστάμα ἐφ' ἁμῖν, ἁ δ' εὐτυχία οὐκ ἐφ' ἁμῖν· ἐν δὲ θεωρίαις καὶ πράξεσι τῶν καλῶν τὸ εὐδαιμονέν· αἱ δὲ θεωρίαι καὶ αἱ πράξιες ποτάντεις μὲν οὖσαι λειτουργίαν καὶ ἀνάγκαν ἐπιφέροντι, εὐοδοῦσαι δὲ διαγωγὰν καὶ εὐδαιμοσύναν· γίνεται δὲ ταῦτα ἐν εὐτυχίᾳ· φανερὸν ὅτι οὐδὲν ἄτερόν ἐστιν εὐδαιμοσύνα, εἰ μὴ χρᾶσις ἀρετᾶς Ἐν ταὐτῷ (fr. 8 l. s. c. p. 555). Ἐπεὶ ὦν εὐδαιμοσύνα χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ, περὶ ἀρετᾶς καὶ εὐτυχίας λέγωμες, καὶ πρᾶτον περὶ εὐτυχίας. τῶν γὰρ ἀγαθῶν ἃ μὲν οὐκ ἐπιδέχεται ὑπερβολάν, οἷον ἀρετά· οὐ γάρ ἐστιν ὑπερβάλλοισά τις ἀρετὰ καὶ ὑπερβαλλόντως τις ἀγαθός· ἁ γὰρ ἀρετὰ στάθμαν ἔχει τὸ δέον, καὶ ἔστι τῶ δέοντος ἕξις ἐν τοῖς πρακτοῖς· ἁ δ' εὐτυχία καὶ τὰν ὑπερβολὰν ἐπιδέχεται καὶ τὰν μήωσιν. ὑπερβάλλοισα δὲ γεννᾷ τινας κακίας καὶ ἐξίστησι τὸν ἄνθρωπον ἐκ τᾶς κατὰ φύσιν ἕξιος, ὥστε πολλάκις ἀντιβαίνεν καὶ τᾷ συστάσει τᾶς ἀρετᾶς. καὶ οὐ μόνον ἁ εὐτυχία, ἀλλὰ καὶ ἄτεραι αἰτίαι πλείονες. οὐδέποκα γὰρ δεῖ θαυμαίνεν περὶ μὲν αὐλητικὰν ἦμέν τινας ἀλαζόνας, οἳ τὰ ποτ' ἀλάθειαν ἐάσαντες φαντασίᾳ τινὶ ψευδεῖ τὼς ἀμώσως αἱρέοντι, περὶ δὲ τὰν ἀρετὰν μὴ ἦμεν τὸ τοιοῦτον γένος, ἀλλ' ὅσῳ περ σεμνότερόν ἐστι, τοσούτῳ καὶ ποιουμένων γένος· ἄτερα δὲ φυσικὰ πάθεα παρακολουθέοντα ἐνίοκα ποιέοντι ἐναντίαν ἐπιπρέπειαν τᾶς ἀλαθινᾶς διαθέσιος· τινὰ δὲ καὶ δι' ἔθος συνεκτεθραμμένα ἐκ παλαιῶν χρόνων· οὐκ ὀλίγα δὲ καὶ δι' ἀλικίας ἀβατικάς τε καὶ γεροντικάς, καὶ δι' εὐτυχίας ἢ καὶ ἀτυχίας, καὶ δι' ἀτέρως παμπληθέας τρόπως. ὥστε οὐδέποκα δεῖ θαυμαίνεν, εἰ πάντ' ἀντεστραμμένως ἐνίοκα κρίνεται, τᾶς ἀλαθινᾶς διαθέσιος μεταπιπτοίσας. ὥσπερ καὶ τέκτονα τὸν ἄριστον ἦμεν δοκέοντα πολλὰ ἐν τοῖς ὑποκειμένοις ἔργοις ὁρέομες ἁμαρτάνοντα, καὶ στραταγὸν καὶ κυβερνάταν καὶ γραφέα καὶ πάντας ἁπλῶς, καὶ ὅμως οὐκ ἀποστερέομες τᾶς ὑπαρχοίσας ἕξιος· οὕτως οὐδὲ τὸν ἀκολασταίνοντα ἔν τισι καιροῖς οὐδὲ τὸν ἀδικήσαντα οὐδὲ τὸν ἀποδειλιάσαντα ἐς τὼς κακὼς τακτέον ἄνδρας, οὐδὲ μὰν τὼς τούτων τι κατορθώσαντας ἐς τὼς ἀγαθώς· ἀλλὰ τοῖς τε φαύλοις τὸ τυχὲν ποτὲ δοτέον τοῖς τε ἀγαθοῖς τὸ διαμαρτάνεν· τὰν δὲ ἀλαθινὰν κρίσιν 〈κριτέον〉 οὐ ποθ' ἕνα καιρὸν ἐπιβλέποντας οὐδ' ἐπὶ χρόνου τι πλᾶθος, ἀλλ' ἐπὶ πάντα τὸν βίον. ὥσπερ δὲ τὸ σῶμα βλάπτει μὲν καὶ τὸ τᾶς ἐνδείας καὶ τὸ τᾶς ὑπερβολᾶς εἶδος, οὐ μὰν ἀλλὰ νόσως γε μέζονας ἐμποιὲν πέφυκεν ἁ ὑπερβολὰ καὶ τὰ καλεόμενα περισσώματα· οὕτω καὶ 〈τὰν〉 ψυχὰν βλάπτει μὲν καὶ τὸ τᾶς εὐτυχίας ἢ ἀτυχίας εἶδος ἀκαίρως παραγενόμενον, οὐ μὰν ἀλλὰ νόσως γε μέζονας ποὲν πέφυκεν ἁ λεγομένα παρὰ πάντεσσιν εὐτυχία, ὥσπερ οἶνος καταμεθύσκουσα τοῖς ἀγαθοῖς τὰν διάνοιαν. Μετώπου Πυθαγορείου Μεταποντίνου ἐκ τοῦ Περὶ ἀρετῆς (fr. 5 phil. Gr. II p. 23 Mullach.) Ἀρετά ἐντι ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω. ἕκαστον γὰρ τῶν ἐόντων τέλειον καὶ ἄκρον γίνεται καττὰν οἰκείαν τᾶς φύσιος ἀρετάν. ἵππω τε γὰρ ἀρετά ἐντι ἁ ἐς τὸ ἄκρον ἄγοισα τὰν τῶ ἵππω φύσιν, καὶ ἐπὶ τῶν μερέων δὲ τῶν καθ' ἕκαστον ὁ αὐτὸς λόγος. ὀπτίλων τε γὰρ ἀρετὰ ὀξυδορκία· αὕτα δ' ἀκρότας ἐντὶ τᾶς ὀπτίλων φύσιος. καὶ οὐάτων ἀρετὰ ὀξυακοΐα· αὕτα δ' ἀκρότας ἐντὶ τᾶς οὐάτων φύσιος. καὶ ποδῶν ἀρετὰ ποδώκεια· [καὶ] αὕτα δ' ἀκρότας ἐντὶ τᾶς ποδῶν φύσιος, ἀνάγκα δ' ἀρετὰν πᾶσαν τρία ταῦτα ἔχεν, λόγον καὶ δύναμιν καὶ προαίρεσιν· λόγον μέν, ᾧ κρίνει καὶ θεωρεῖ· δύναμιν δέ, ᾇ ἀντέχει καὶ κρατεῖ· προαίρεσιν δέ, ᾇ στέργει καὶ ἀγαπᾷ. τὸ μὲν ὦν κρίνεν καὶ θεωρὲν ἐντὶ τῶ διανοητικῶ μέρεος τᾶς ψυχᾶς, τὸ δ' ἀντέχεν καὶ κρατὲν ἴδιον τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, τὸ δὲ στέργεν καὶ ἀγαπᾶν κοινὸν καὶ τῶ διανοητικῶ καὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. συνέστακε γὰρ προαίρεσις ἐκ διανοίας καὶ ὀρέξιος· ὧν ἁ μὲν διάνοια ἀπὸ τῶ λογικῶ μέρεός ἐντι τᾶς ψυχᾶς, ἁ δὲ ὄρεξις ἀπὸ τῶ ἀλόγω. τὸ δὲ πλῆθος πρᾶτα, τὸ μὲν λογιστικὸν τὸ δ' ἄλογον· καὶ λογιστικὸν μέν, ᾧ κρίνομες καὶ θεωρέομες· ἄλογον δέ, ᾧ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁρμῶμες καὶ ὀρεγόμεθα· ταῦτα δ' ἀλλάλοις ἢ συμφωνοῦντι ἢ διαφωνοῦντι, ἁ δὲ μάχα καὶ διαφωνία γίνεται αὐτοῖς δι' ὑπερβολὰν καὶ ἔλλειψιν· φανερὸν ὡς, ὅκκα μὲν τὸ λογιστικὸν μέρος τᾶς ψυχᾶς ἐπικρατῇ τῶ ἀλόγω, γίνεται καρτερία καὶ ἐγκράτεια· ὅκκα δὲ τὸ ἄλογον μέρος τᾶς ψυχᾶς τῶ λογιστικῶ, ἀκρατία καὶ μαλακία· ὅκκα δὲ τὸ μὲν ἀγῆται, τὸ δ' ἔπηται, καὶ ἀμφότερα συμφωνῇ ἀλλάλοις, τὸ τανικαῦτα ἀρετά. ἁ μὲν ὦν καρτερία καὶ ἐγκράτεια γίνεται μετὰ λύπας· ἀλλ' ἁ μὲν καρτερία ἐν τῷ ἀντέχεν πόνῳ, ἁ δ' ἐγκράτεια ἐν τῷ ἀντέχεν ἁδονᾷ. ἁ δ' ἀκρατία καὶ μαλακία ἐν τῷ μὴ ἀντέχεν μηδὲ κρατέν. καὶ διὰ τοῦτο συμβαίνει φεύγεν τἀγαθὰ τὼς ἀνθρώπως διὰ λύπαν, ἀποβάλλεν δ' αὐτὰ διὰ ἁδονάν. καὶ τοὶ ἔπαινοι δὲ καὶ ψόγοι καὶ τὰ καλὰ 〈καὶ κακὰ〉 πάντα τὰ περὶ τὸν ἄνθρωπον γίνεται ἐν τούτοις τοῖς μέρεσι τᾶς ψυχᾶς. λογιστικὸν τὸ δὲ ἄλογον, καὶ τὸ μὲν λογιστικόν ἐντι, ᾧ κρίνομες καὶ θεωρέομες, τὸ δ' ἄλογον, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα, τῶ δὲ ἀλόγω τὸ μὲν θυμοειδὲς τὸ δ' ἐπιθυμητικόν, καὶ τούτω τὸ μὲν οἷον ἀμυντικὸν καὶ ὑπερμαχητικὸν ποττὼς πλατίον θυμοειδὲς ὀνυμάζεται, τὸ δ' οἷον ὀρεκτικὸν καὶ ποθητικὸν τᾶς οἰκείας τῶ σώματος συστάσιος ἐπιθυμητικόν· φανερὸν ὡς κατὰ λόγον τοῖς μέρεσι τούτοις τᾶς ψυχᾶς καὶ τὸ πλῆθος τᾶν ἀρετᾶν ἀκολούθακεν καὶ ταὶ διαφοραὶ καὶ ἰδιότατες αὐτῶν. τῶ μὲν γὰρ λογιστικῶ μέρεος τᾶς ψυχᾶς ἀρετὰ ἁ φρόνησις, κριτικὰ γὰρ ἐντὶ καὶ θεωρητικὰ ἕξις· τῶ δὲ θυμοειδέος 〈ἁ〉 ἀνδρεία· ἕξις γὰρ ἐντὶ ἀντερειστικὰ καὶ ὑποστατικὰ θρωποι γίνονται ἢ διὰ κακίαν ἢ δι' ἀκρατίαν ἢ διὰ θηριότατα· ἀδικοῦντι δ' ἀλλάλως ἢ διὰ κέρδος ἢ δι' ἁδονὰν ἢ διὰ φιλοτιμίαν. ἁ μὲν ὦν κακία τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς ἐντὶ οἰκειοτέρα· ποτέοικε γὰρ ἁ μὲν φρόνησις τᾷ τέχνᾳ, ἁ δὲ κακία τᾷ κακοτεχνίᾳ· ἔξιν μαχανάσιος γὰρ ποθὲν εὑρίσκει τὸ ἄδικον· ἁ δ' ἀκρατία μᾶλλον τῶ ἐπιθυμητικῶ· ἐν γὰρ τῷ κρατὲν ἁ ἐγκράτεια, καὶ ἐν τῷ μὴ κρατὲν ἁ ἀκρατία, κρατοῦντι δὲ ἁδονᾶς. ἁ δὲ θηριότας τῶ θυμοειδέος· ὅκκα γὰρ τᾷ ἐπιθυμίᾳ τῶ κακῶς ποιῆσαι χαρίζηταί τις, οὐχ ὡς ἄνθρωπος ἀλλ' ὡς θηρίον, τὸ τοιόνδε ὀνυμάζεται θηριῶδεν ὑπερβολᾷ γενομένα, γεννῇ τὰν θηριότατα, πάλιν δὲ ἁ μὲν ἁδονὰ ἐν τῷ ἐπιθυμητικῷ, σφοδρότερον δὲ μαστευομένα, γεννῇ τὴν ἀκρατίαν. ὥστ' ἐπεὶ τὸ ἀδικὲν γίνεται δι' αἰτίας τοσαύτας, φανερὸν ὅτι τὸ δικαιοπραγὲν γίνεται διὰ τὰς ἴσας. φύσει γὰρ ἁ μὲν ἀρετὰ ἀγαθοποιὸς καὶ ὠφελητικά, ἁ δὲ κακία κακοποιὸς καὶ βλαπτικά. ἐπεὶ δὲ τῶν τᾶς ψυχᾶς μερέων τὸ μὲν ἐντὶ ἀγεόμενον τὸ δ' ἑπόμενον, αἱ δ' ἀρεταὶ καὶ αἱ κακίαι περὶ ταῦτα καὶ ἐν τούτοις· φανερὸν ὅτι καὶ τᾶν ἀρετᾶν ταὶ μὲν ἐντὶ ἀγεμονικαὶ ταὶ δ' ἑπητικαὶ ταὶ δὲ σύνθετοι ἐκ τούτων. ἀγεμονικαὶ μὲν οἷον ἁ φρόνησις· ἑπητικαὶ δέ, οἷον 〈ἁ〉 ἀνδρεία καὶ σωφροσύνα, σύνθετοι δ' ἐκ τούτων, οἷον ἁ σιον δὲ λύπα. ταὐτὰ δὲ ταῦτα καὶ ἐπιτείνοντι καὶ ἀνίεντι τοὶ πολιτικοὶ συναρμοζόμενοι τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ποτὶ τὰ λόγον ἔχοντα. τᾶς δὲ συναρμογᾶς ὅρος τὸ μήτε διὰ τὰν ἔνδειαν μήτε διὰ τὰν ὑπερβολὰν ἀπείργεσθαι τὸν νόον τὸ ἴδιον ἔργον ἐπιτελέν. συντέτακται γὰρ τὸ χέρηον ἕνεκα τῶ βελτίονος, ὡς ἐν μὲν τῷ κόσμῳ τὸ ἀειπαθὲς πᾶν μέρος ἕνεκα τῶ ἀεικινάτω, ἐν δὲ τᾷ συζυγίᾳ τῶν ζώων τὸ θῆλυ ἕνεκα τῶ ἄρρενος· τὸ μὲν γὰρ σπείρει τὰν ψυχὰν γεννῶν, τὸ δὲ μόνον τὰν ὕλαν παρέχεται τῷ γεννωμένῳ· ἐν δέ γε τᾷ ψυχᾷ τὸ ἄλογον 〈ἕνεκα〉 τῶ λογικῶ. συντέτακται γὰρ καὶ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ποτὶ τὸ πρᾶτον μέρος τᾶς ψυχᾶς, τὸ μὲν ὥσπερ δορυφόρος τις καὶ σωματοφύλαξ, τὸ δ' ὡς οἰκονόμος καὶ οἰκουρὸς τῶν ἀναγκαίων· ὁ δὲ νόος ἐπ' ἄκρας τᾶς κορυφᾶς τῶ σώματος ἱδρυμένος καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, μαστεύεται τὰν τῶν ἐόντων φρόνησιν· καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον καὶ κτηγνωσις. Ἐν ταὐτῷ (phil. Graec. II p. 22 Mullach.). Καθόλω μὲν ὦν ἀρετὰ συναρμογά τις ἐντὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον. γίνεται δὲ αὐτὰ τῷ καττὰν ἁδονὰν καὶ τὰν λύπαν ὅρον ἐπιδέξασθαι τὸν τῶ δέοντος. οὐδὲν γὰρ ἄτερον ἁ ἠθικὰ ἀρετὰ εἰ μὴ ἕξις τῶ δέοντος· αὐτὸ δὲ τὸ δέον ἐντὶ ὅπερ δεῖ ἦμεν, τὸ δὲ μὴ δέον ὅπερ οὐ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεε δύο, τὸ μὲν ὑπερβολὰ τὸ δ' ἔλλειψις. καὶ ὑπερβολὰ μὲν ἐντὶ τὸ πλέον τῶ δέοντος, ἔλλειψις δὲ τὸ ἔλασσον τῶ δέοντος. τὸ δὲ δέον αὐτὸ ἐὸν ὅπερ δεῖ

ἦμεν καὶ ἄκρον [ἂν] ὑπάρκαι τὸ τεταγμένον καὶ τὸ ἄτακτον, ταῦτα δ' ἐντὶ ἀμφότερα τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ διὰ τοῦτο τῶ ἀνίσω τὰ μέρεα λέγεται ποτὶ τὸ μέσον, ἀλλ' οὐ ποτ' ἄλλαλα. ἀμβλεῖά τε γὰρ ὀνυμάζεται γωνία ἁ μέζων ὀρθᾶς, ὀξεῖα δὲ ἁ μήων ὀρθᾶς, καὶ μέζων μὲν εὐθεῖα ἁ ὑπερέχουσα τὰν ἐκ τῶ κέντρω καὶ μακροτέρα μὲν ἀμέρα ἰσαμερινᾶς. καὶ ταὶ νόσοι δὲ γίνονται τῶ σώματος 〈τῷ〉 θερμότερον ἢ κρυμωδέστερον γίνεσθαι τὸ σῶμα. τὸ μὲν γὰρ θερμότερόν ἐντι τὸ πλέον τῶ μετρίω, τὸ δὲ κρυμωδέστερον ἔλασσον τούτω. ἔχει δέ γε καὶ ἁ ψυχὰ καὶ ἁ περὶ αὐτὰν διάθεσις τὰν ἀναλογίαν ταύταν. ἁ μὲν γὰρ τῶ δέοντος ἐν ὁρμᾷ θυμῶ, ἁ δ' ἀναλγησία ἔλλειψις τούτω. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τᾶν ἄλλων διαθεσίων τᾶν ἀντικειμένων. δεῖ δ' ἔξιν τῶ δέοντος ὑπάρχοισαν τὰν ἀρετὰν καὶ μεσότατα τῶν παθέων μήτ' ἀπαθέα μήτ' ἐμπαθέα ἦμεν. ἁ μὲν γὰρ ἀπάθεια ἀπαρόρματον καὶ ἀνενθουσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν, ἁ δ' ἐμπάθεια συντεταραγμέναν καὶ ἀνεπιλόγιστον. δεῖ ὦν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ, ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν γραμμὰν ἐπὶ τᾶς γραφᾶς· τὸ γὰρ ἔμψυχον καὶ τὸ ἀπαλὸν καὶ τὸ μεμιμαμένον τὰν ἀλάθειαν σὺν τᾷ χρηστότατι τῶν χρωμάτων μάλιστα γίνεται διὰ τούτων. ἔμψυχα δὲ ἐκ παρορμάσιος καὶ ἐνθουσιασμῶ ἀρετᾶς τᾶς κατὰ φύσιν τὰ πάθεα τᾶς ψυχᾶς. γίνεται γὰρ ἐκ τῶν παθέων ἁ ἀρετά, καὶ γενναθεῖσα πάλιν συναύξεται τούτοις, ὡς καὶ τὸ ἁρμοσμένον ἐκ τῶ ὀξέος καὶ βαρέος, καὶ τὸ εὔκρατον ἐκ τῶ θερμῶ καὶ ψυχρῶ, καὶ τὸ ἰσόρροπον ἐκ τῶ βαρέος καὶ κούφω. οὐκ ἀφελὲν ὦν δεῖ τὰ πάθεα τᾶς ψυχᾶς, οὐδὲ γὰρ ὠφέλιμον αὐτὰ ἀφελέν, ἀλλὰ συναρμόξασθαι ποτὶ τὸ λόγον ἔχον τῶ δέοντος καὶ τῶ μετρίω. Θεάγους Πυθαγορείου ἐκ τοῦ περὶ ἀρετῆς (fr. 4 phil. Graec. II p. 18 sqq. Mullach.). Ἀρχαὶ τᾶς συμπάσας ἀρετᾶς τρεῖς· γνῶσις καὶ δύναμις καὶ προαίρεσις. καὶ ἔντι ἁ μὲν γνῶσις οἷον ὄψις ᾗ θεωρέομες καὶ κρίνομες τὰ πράγματα, ἁ δὲ δύναμις οἷον ἀλκά τις τῶ σκάνεος ᾗ ὑφιστάμεθα καὶ ἐμμένομες τοῖς πράγμασιν, ἁ δὲ προαίρεσις, οἷον χεῖρες ψυχᾶς τινες αἷς ὁρμῶμες καὶ ἀντιλαζύμεθα τῶν πραγμάτων. ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. τὸ μὲν γάρ τι αὐτᾶς ἐντι λογισμὸς τὸ δὲ θυμὸς τὸ δ' ἐπιθυμία, λογισμὸς μὲν ὁ κρατέων τᾶς γνώσιος, θυμὸς δὲ ὁ κρατέων τῶ μένεος, ἐπιθυμία δὲ ἁ κρατεῦσα τῶ ἐπιθυμητικῶ εἴδεος. ὅκκα ὦν ἐς τὸ ἓν τὰ τρία ταῦτα μόλῃ μίαν ἐπιδεξάμενα συναρμογάν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ· ὅκκα δὲ στασιάζοντα καὶ ἀπ' ἀλλάλων ἀπόσπαστα ᾖ, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. καὶ ὅκκα μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια, καρτερία τῶν ἀδέων. ὅκκα δὲ τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ἐπικρατῇ τῶ λογισμῶ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία· μαλακία μὲν ἐν τῷ φεύγεν τὼς πόνως, ἀκρατία δὲ ἐν τῷ νικῆσθαι ὑπὸ τῶν ἀδέων. ὅκκα δὲ τὸ μὲν κρέσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς, τὸ δὲ χέρηον ἄρχηται, καὶ τὸ μὲν ἀγῆται τὸ δ' ἔπηται, ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλάλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία περὶ ὅλαν τὰν ψυχάν. καὶ ὅκκα μὲν τὸ ἐπιθυμητικὸν ἔπηται μέρος τᾶς ψυχᾶς τῷ λογιστικῷ, γίνεται σωφροσύνα· ὅκκα δὲ τὸ θυμοειδές, ἀνδρειότας· ὅκκα δὲ τὰ μέρεα πάντα, δικαιότας. αὕτα γάρ ἐστιν ἁ διείργουσα τάς τε κακίας πάσας τᾶς ψυχᾶς καὶ τὰς ἀρετὰς ἀπ' ἀλλάλων. καὶ ἔστιν ἁ δικαιότας οἷον σύσταμά τι τᾶς τᾶς ψυχᾶς οὐκ ἄτερθε ταύτας· διόπερ καὶ ἐν θεοῖς μέγα κράτος ἔχει ἁ δικαιότας καὶ ἐν ἀνθρώποις· τῶ γὰρ ὅλω καὶ τῶ παντὸς ἅδ' ἀρετὰ συνέχει τὰν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. θέμις γῶν φατίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς, δίκα δὲ παρὰ τοῖς χθονίοις, νόμος δὲ παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σαμεῖα καὶ σύμβολα τῶ τὰν δικαιότατα πανυπερτάταν ἦμεν ἀρετάν. καὶ ἄλλως δὲ πιστοῦται ὁ λόγος ἐξ αὐτῶν· ὅκκα μὲν γὰρ ὁ νόος τᾶς ψυχᾶς ἀμβλακίσκῃ, ὀνυμάζεται ἁ τοιάδε διάθεσις ἀφροσύνα· ὅκκα δὲ ὁ θυμός, θρασύτας ἢ δειλία· ὅκκα δὲ 〈ἁ〉 ἐπιθυμία, ἀκρασία· καὶ ὅκκα μὲν ἐπὶ τὸ μῆον ἀμβλακίσκῃ ὁ νόος, ἀφροσύνα, ὅκκα δ' ἐπὶ τὸ μέζον, πανουργία· καὶ ὅκκα μὲν ἐπὶ τὸ μῆον ἀμβλακίσκῃ ὁ θυμός, δειλία, ὅκκα δ' ἐπὶ τὸ μέζον, θράμισαδονία· ὅκκα δ' ἐπὶ τὸ μέζον, ἀκολασία· ὅλως δὲ ἁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν οὐ κατ' ὀρθὸν λόγον συναρμογά, κακία· αὕτα δ' ὅκκα μὲν μηδενὸς ἔκατι γένηται, καλέεται ἀβελτηρία· ὅκκα δὲ φόβω, δειλία, ὅκκα δὲ ἀδονᾶς, ἀκολασία, ὅκκα δὲ κέρδεος, ἀδικία. ἁ δὲ κατ' ὀρθὸν λόγον αὐτᾶς σύνταξις, ὅκκα μὲν ἐν τῷ θεωρὲν καὶ κρίνεν γένηται, καλέεται φρόνασις· ὅκκα δὲ ἐν τῷ ὑφίστασθαι ..... τὰ ἀδέα, σαοφροσύνα· ὅκκα δ' ἐν τῷ κέρδεος ἀποσχέσθαι καὶ βλάβας τᾶς ἐς τὸν πλατίον, δικαιότας. ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντός ἐντι στοχασμὸς καὶ τῶ μὴ δέοντος ἀπόπτωσις. ἔστι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν· τοῦτο δὲ οὐκ ἀφαιρέσιος οὐδὲ προσθέσιος δέεται· αὐτὸ γάρ ἐστιν ὃ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεα δύο, τὸ μὲν ὑπερδέοντός ἐντι, ἁ δ' ἔλλειψις τὸ ἔλαττον. ἁ δ' ἀρετὰ ἕξις τίς ἐντι τῶ δέοντος· διόπερ καὶ ἀκρότας καὶ μεσότας εὐθέως ἐντί· ἀκρότας μέν, διότι τῶ δέοντος ἔχεται· μεσότας δέ, ὅτι μεταξὺ τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιός ἐντι. οὕτως γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες· μεσότατες μέν, ὅτι ἐκτὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι· ἀκρότατες δέ, ὅτι οὔτε προσθέσιος οὔτ' ἀφαιρέσιος δέονται· αὐτὰ γὰρ ἐντὶ ταῦτα, ἃ δεῖ αὐτὰ ἦμεν. Ἐν ταὐτῷ (fr. mor. 4 II p. 20 Mullach.). Ἐπεὶ δὲ ἁ τῶ ἤθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἁδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τᾶς ψυχᾶς, ἁδονὰν καὶ λύπαν, ἁ ἀρετὰ πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συναρμόξασθαι. οὐδ' ἐν τᾷ μωσικᾷ ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ τὸ σύμφωνον πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτά πως συναρμόξασθαι. συναρμοσμένων γὰρ τῶ ὀξέος καὶ τῶ βαρέος τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρούεται· συναρμοσμένων δὲ καὶ τῶ θερμῶ καὶ τῶ ψυχρῶ καὶ τῶ ὑγρῶ καὶ τῶ ξηρῶ ἁ μὲν ὑγίεια γίνεται, ἁ δὲ νόσος ἀπόλλυται· συναρμοσμένων δὲ καὶ τῶ θυμῶ καὶ τᾶς ἐπιθυμίας ταὶ μὲν κακίαι καὶ τὰ πάθεα ἐξαιρέονται, ταὶ δ' ἀρεταὶ καὶ τὰ ἤθεα ἐγγίνονται. ἰδιαίτατον δὲ τᾶς τῶ ἤθεος ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγῳ γὰρ καὶ δυνάμει συγχρέεσθαι δυνατὸν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶ ἀλόγω, ἀκρατίαν καὶ μαλακίαν. ταὶ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς ἡμιτελέες μὲν ἀρεταί, ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμὸς ὑγιαίνει, τὰ δ' ἄλογα μέρεα τᾶς ψυχᾶς νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ὑπὸ τῶ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρτερία ἀρεταὶ τυγχάνοντι, καθὸ δὲ μετὰ βίας ἀλλ' οὐχ ἑκουσίως τοῦτο πράσσοντι, κακίαι τυγχάνοντι. δεῖ γὰρ τὰν ἀρετὰν μὴ μετὰ λύπας ἀλλὰ μεθ' ἁδονᾶς τὰ δέοντα πράσσεν. πάλιν δέ, καθὸ μὲν ἐπικρατεῖ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία τῶ λογισμῶ, μαλακίαν καὶ ἀκρατίαν ἐπιφέροντα, κακίαι τινὲς τυγχάνοντι· καθὸ δὲ μετὰ λύπας χαρίζονται τοῖς πάθεσιν, εἰδότες ὅτι ἀμβλακίσκοντι τῶ ὑγιὲς ἦμεν τὸ ὄμμα τᾶς ψυχᾶς, ταύτᾳ δ' σίως δεῖ τὰν ἀρετὰν τὰ δέοντα πράσσεν. τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας καὶ φόβω· τὸ δ' ἑκούσιον οὐκ ἄνευ ἁδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος ὁ τᾶς διαιρέσιος συμπέσοι κα παρείτω ταῦθ' οὕτως ἔχεν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων τῶ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς· ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχεν μὲν δύνασθαι τοῖς πόνοις, ἐπικρατὲν δὲ τᾶν ἁδονᾶν, οἰκῇόν ἐντι τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. ἁ δὲ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς καὶ τῷ ἀλόγῳ· σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος, ὧν ἁ μὲν διάνοια τῶ λόγον ἔχοντός ἐντι, ἁ δ' ὄρεξις τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς, καὶ τὸ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ. Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου (c. 42). νεται. τίς οὖν ἐξηπάτηται; ἐκεῖνος. τίς οὖν βέβλαπται; ὁ ἐξηπατημένος. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἐάν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βλάπτεται, ἀλλ' ὁ ὑπολαβών. Περικτιόνης Πυθαγορείας περὶ σοφίας (fr. 13 phil. Gr. II p. 32 sq. Mullach.). Γέγονε δὲ καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆσαι αὐτὸ τοῦτο κτήσασθαι καὶ θεωρῆσαι τὰν τῶν ἐόντων φρόνασιν. Ἐν ταὐτῷ (fr. 13 l. c. p. 33). Γαμετρία μὲν ὧν καὶ ἀριθμητικὰ καὶ τἄλλα τὰ θεωρητικὰ καὶ ἐπισταμονικὰ περὶ ... τῶν ἐόντων κατασχολέονται, ἁ δὲ σοφία περὶ πάντα τὰ γένεα τῶν ἐόντων. οὕτως γὰρ ἔχει σοφία περὶ πάντα τὰ ἐόντα, ὡς ὄψις περὶ πάντα τὰ ὁρατὰ καὶ ἀκοὰ περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντα τὰ ἀκουστά. τὰ δὲ συμβεβακότα τοῖς ἐοῦσιν ἃ μὲν καθόλω πᾶσι συμβέβακεν, ἃ δὲ πλείστοις αὐτῶν, ἃ δέ πᾳ ἑνὶ ἑκάστῳ. ρῆσαι τᾶς σοφίας οἰκῆον, τὰ δὲ τοῖς πλείστοις τᾶς περὶ φύσιν ἐπιστάμας, τὰ δ' ἴδια καθ' ἕκαστον τᾶς περί τι ἀφωρισμένον ἐπιστάμας. καὶ διὰ τοῦτο σοφία μὲν τὰς τῶν ἐόντων ἁπάντων ἀρχὰς ἀνευρίσκει, φυσικὰ δὲ τὰς τῶν φύσει γινομένων, γαμετρία δὲ καὶ ἀριθμητικὰ καὶ μωσικὰ τὰς περὶ τὸ ποσὸν καὶ τὸ ἐμμελές. ὅστις ὦν ἀναλῦσαι οἷός 〈τ'〉 ἐστὶ πάντα 〈τὰ〉 γένεα ὑπὸ μίαν καὶ τὰν αὐτὰν ἀρχάν, καὶ πάλιν ἐκ ταύτας συνθεῖναι καὶ σύναρθμήσασθαι, οὗτος δοκεῖ 〈μοι〉 καὶ σοφώτατος ἦμεν καὶ ἀλαθέστατος, ἔτι δὲ καὶ καλὰν σκοπιὰν εὑρηκέναι, ἀφ' ἃς δυνατὸς ἐσσεῖται τόν τε θεὸν κατοψεῖσθαι καὶ πάντα τὰ ἐν τᾷ συστοιχίᾳ τε καὶ τάξει τᾷ ἐκείνω Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου (p. 434, 14 Dind.). Οὕτω δὲ καὶ τῷ ἀνθρώπῳ ἐγκεχρῶσθαί ἐστιν ἀναγκαῖον ἡδονὴν καὶ λύπην καὶ ξύμπαντα τὰ ἄλλα παθήματα, πλείω δὲ καὶ ἐμμονωτέραν τὴν λύπην. καὶ τοῦτο αὖ πάλιν Αἴσωπος λέγει· τὸν γὰρ πηλὸν αὐτῷ ὁ Προμηθεύς, ἀφ' οὗ τὸν ἄνθρωπον διεπλάσατο, οὐκ ἐφύρασεν ὕδατι, ἀλλὰ δακρύοις. οὐχὶ οὖν ἐκκόπτειν αὐτὰ πειρᾶσθαι χρεών, ἀμήχανον γάρ. ἀλλ' εἴπερ ἄρα, ἐπικόπτειν τε καὶ πραΰνειν κοιμίζειν τε ἐφ' ὅσον δυνατὸν καὶ νουθετεῖν· ταύτην γὰρ εὐμενῶς προσίεται τὴν ἐπιμέλειαν. καὶ οὕτως σοι αὐτὰ παιδαγωγοῦντι ἀναφανήσεται χρήσιμά τε καὶ ὠφέλιμα ἀντὶ ἀχρήστων καὶ βλαβερῶν. οὐ γὰρ ὁ θεὸς αὐτὰ ἐνεκεράσατο τῷ ἀνθρώπῳ, ὅπως λώβην τε αὐτῷ καὶ αἶσχος προσθείη, ἀλλὰ καὶ ταῦτα πρὸς διαμονὴν καὶ σωτηρίαν τοῦ γένους προσύφηνέ τε καὶ προσῳκοδόμησε τῇ ψυχῇ. θυμὸν μέν, ὅπως ἂν τὰ βλάπτοντα ἀμυνώμεθα· ἐπιθυμίαν δὲ ἐδωδῆς καὶ ποτῶν πρὸς τὴν ξύμφυτον καὶ ἀναγκαίαν ἀπορροήν· καὶ οὕτω δὴ ἄλλο πρὸς ἄλλην τινὰ τεταγμένον τοῦ σώματος κῆρα. μένειν δὲ ἕκαστον χρὴ ἐν τῷ μέτρῳ· καὶ τὸ μέτρον τοῦτο ἑκάστου γίνεται ἀρετή· τοῦ μὲν θυμοειδοῦς ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ σωφροσύνη, τοῦ δ' αὖ φιλοχρημάτου καὶ φιλοκερδοῦς ἐλευθεριότης τε καὶ μεγαλοπρέπεια· ὅσον δὲ ἐπτόηται περὶ τιμὰς καὶ δυνάμεις καὶ προεδρίας, τούτου ἐστὶ τὸ μέτρον μεγαλοψυχία. εἰ δὲ ἀκόσμητα ἐαθείη καὶ ἀθεράπευτα ὑπὸ τοῦ λόγου, καθάπερ φυτὰ ἥμερα καὶ χρηστὰ ἐξαμελήσαντος γεωργοῦ, ἀπαγριοῦται εὐθὺς καὶ ἐξυβρίζει καὶ παραβλαστάνει τὰς κακίας καθάπερ ἀκάνθας χαλεπὰς καὶ φαρμακώδεις τοῖς τε ἄλλοις καὶ μάλιστα τῷ κεκτημένῳ. ἔστι δ' ἐφ' ὧν ἔμπαλιν καταφθίνει καὶ ἀπομαραίνεται εἴσω τῆς ἀκμῆς· καὶ δέονται οὗτοι τοῦ λόγου οὐ 〈τοῦ〉 κολούοντος καὶ θλίβοντος καὶ πιέζοντος, 〈ἀλλὰ τοῦ ἐπάρδοντός τε καὶ ἐπανάγοντος καὶ ἐρεθίζοντοσ〉 πρὸς τὴν αὔξην τὴν ἐοικυῖαν. καὶ διὰ τοῦτο ἄρα ἑκάστην ἀρετὴν περικάθηνται ἔνθεν καὶ ἔνθεν δύο κακίαι, ἡ μὲν τὸ ἐνδεὲς τοῦ παθήματος ἀγαπῶσα, ἡ δὲ τὸ πλεονάζον ἀσπαζομένη. δεῖ δ' οὐ πρὸς τὰ φαῦλα καὶ διεστραμμένα ὁρῶντας ἅπαντα ὁμοίως ὑποπτεύειν καὶ διεξελαύνειν, ἀλλὰ τὸ βούλημα ἐξετάζειν τῆς φύσεως, καὶ πρὸς ὅ τι ἕκαστον τῶν παθημάτων ἐνεφύτευσε καὶ ἐνεσημήνατο τῇ ψυχῇ. Πορφυρίου ἐκ τοῦ Περὶ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν (opusc. Porphyr. p. 80 ed. Holsten.). τικοῦ, καὶ ἄλλαι αἱ τοῦ ἤδη τελείου θεωρητικοῦ καὶ ἤδη θεατοῦ, καὶ ἄλλαι αἱ τοῦ νοῦ, καθὸ νοῦς, καὶ ἀπὸ ψυχῆς καθαροῦ. αἱ μὲν τοῦ πολιτικοῦ ἐν μετριοπαθείᾳ τοῦ ἀλόγου κείμεναι, τῷ ἕπεσθαι καὶ ἀκολουθεῖν τῷ λογισμῷ τοῦ καθήκοντος κατὰ τὰς πράξεις. διὸ πρὸς κοινωνίαν βλέπουσαι τὴν ἀβλαβῆ τῶν πλησίον ἐκ τοῦ συναγελασμοῦ καὶ τῆς κοινωνίας πολιτικαὶ λέγονται. καὶ ἔστι φρόνησις μὲν περὶ τὸ λογιζόμενον, ἀνδρεία δὲ περὶ τὸ θυμούμενον, σωφροσύνη δ' 〈ἐν ὁμολογίᾳ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν, δικαιοσύνη δ'〉 ἡ ἑκάστου τούτων ὁμοῦ οἰκειοπραγία, ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι. αἱ δὲ τοῦ πρὸς θεωρίαν προκόπτοντος θεωρητικοῦ ἐν ἀποστάσει κεῖνται τῶν ἐντεῦθεν· διὸ καὶ καθάρσεις αὗται λέγονται ἐν ἀποχῇ θεωρούμεναι τῶν τοῦ σώματος πράξεων καὶ συμπαθειῶν τῶν πρὸς αὐτό. αὗται μὲν γὰρ τῆς ψυχῆς ἀφισταμένης πρὸς τὸ ὄντως ὄν, αἱ δὲ πολιτικαὶ τὸν θνητὸν ἄνθρωπον κατακοσμοῦσι. καὶ πρόδροδοξάζειν τῷ σώματι, ἀλλὰ μόνην ἐνεργεῖν, ὑφίστησι τὸ φρονεῖν, ὃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τοῦ καθαρῶς νοεῖν τελειοῦται· τὸ δέ γε μὴ ὁμοπαθεῖν συνίστησι τὸ σωφρονεῖν, τὸ δὲ μὴ φοβεῖσθαι ἀφισταμένην τοῦ σώματος ὡς εἰς κενόν τι καὶ μὴ ὂν τὴν ἀνδρείαν. ἡγουμένου δὲ λόγου καὶ νοῦ καὶ μηδενὸς ἀντιτείνοντος, δικαιοσύνη τὸ τοιοῦτον. ἡ μὲν οὖν κατὰ τὰς πολιτικὰς ἀρετὰς διάθεσις ἐν μετριοπαθείᾳ θεωρεῖται, τέλος ἔχουσα τὸ ζῆν ὡς ἄνθρωπον κατὰ φύσιν· ἡ δὲ κατὰ τὰς θεωρητικὰς ἐν ἀπαθείᾳ, ἧς τέλος ἡ πρὸς θεὸν ὁμοίωσις. ἐπεὶ δὲ κάθαρσις ἦ μέν τις ἦν καθαίρουσα ἢ δὲ κεκαθαρμένων, αἱ καθαρτικαὶ ἀρεταὶ κατ' ἄμφω θεωροῦνται τὰ σημαινόμενα τῆς καθάρσεως· καθαίρουσί τε γὰρ τὴν ψυχὴν καὶ καθαρθείσῃ σύνεισι· τέλος γὰρ τὸ κεκαθάρθαι τοῦ καθαίρειν. ἀλλ' ἐπεὶ τὸ καθαίρειν καὶ κεκαθάρθαι ἀφαίρεσις ἦν παντὸς τοῦ ἀλλοτρίου, τὸ ἀγαθὸν ἕτερον ἂν εἴη τοῦ καθαίροντος· ὥστ' εἴ δυνάμενον καὶ ἀγαθοειδές· οὐ γὰρ ἂν ἐγένετο ἐν κακῷ. τὸ οὖν ἀγαθὸν αὐτῇ ἐν τῷ συνεῖναι τῷ γεννήσαντι, κακία δὲ τὸ τοῖς ὑστέροις. καὶ διπλῆ γε κακία, τό τε τούτοις συνεῖναι καὶ μετὰ παθῶν ὑπερβολῆς· διόπερ αἱ πολιτικαὶ ἀρεταὶ μιᾶς γοῦν αὐτὴν κακίας ἀπαλλάττουσαι ἀρεταὶ ἐκρίθησαν καὶ τίμιαι, αἱ δὲ καθαρτικαὶ τιμιώτεραι καὶ τῆς ὡς ψυχικῆς κακίας ἀπαλλάττουσαι. δεῖ τοίνυν καθηραμένην αὐτὴν συνεῖναι τῷ γεννήσαντι. καὶ ἀρετὴ ἄρα αὐτῆς μετὰ τὴν ἐπιστροφὴν αὕτη, ἥπερ ἐστὶν ἐν γνώσει καὶ εἰδήσει τοῦ ὄντος· οὐχ ὅτι οὐκ ἔχει παρ' αὐτῇ ταύτην, ἀλλ' ὅτι ἄνευ τοῦ πρὸ αὐτῆς οὐχ ὁρᾷ τὰ αὐτῆς. ἀλλ' οὖν γένος τρίτον ἀρετῶν μετὰ τὰς καθαρτικὰς καὶ τὰς πολιτικὰς νοερῶς τῆς ψυχῆς ἐνεργούσης· σοφία μὲν καὶ φρόνησις ἐν θεωρίᾳ ὧν νοῦς ἔχει, δικαιοσύνη δὲ ἐν οἰκειοπραγίᾳ μὲν ἐν τῇ πρὸς τὸν νοῦν 〈δ'〉 ἀκολουθίᾳ καὶ τῷ πρὸς νοῦν ἐνεργεῖν. σωφροσύνη δὲ ἡ εἴσω πρὸς νοῦν κρείττους οὖσαι τῶν ψυχικῶν, καὶ τούτων παραδείγματα 〈ὧν καὶ τῆς ψυχῆς ἦσαν ὁμοιώματα· νοῦς μέν, ἐν ᾧ ἅπαντα〉 ὥσπερ παραδείγματα· ἐπιστήμη δὲ ἡ νόησις, σοφία δὲ γιγνώσκων ὁ νοῦς· τὸ δὲ πρὸς αὐτὸν ἡ σωφροσύνη, τὸ δ' οἰκεῖον ἔργον ἡ οἰκειοπραγία, ἡ δὲ ἀνδρεία ἡ ταυτότης καὶ τὸ ἐφ' ἑαυτοῦ μένειν καθαρὸν διὰ δυνάμεως περιουσίαν. τέτταρα τοίνυν ἀρετῶν γένη πέφηνεν· 〈ὧν〉 αἱ μὲν ἦσαν αἱ τοῦ νοῦ αἱ παραδειγματικαὶ καὶ σύνδρομοι αὐτοῦ τῇ οὐσίᾳ· αἱ δὲ ψυχῆς πρὸς νοῦν ἐνορώσης ἤδη καὶ πληρουμένης ἀπ' αὐτοῦ· αἱ δὲ ψυχῆς ἀνθρώπου καθαιρομένης τε καὶ καθαρθείσης ἀπὸ σώματος καὶ τῶν ἀλόγων παθῶν· αἱ δὲ ψυχῆς ἀνθρώπου κατακοσμούσης τὸν ἄνθρωπον διὰ τοῦ τὰ μέτρα τῇ ἀλογίᾳ ἀφορίζειν καὶ μετριοπάθειαν ἐνεργάζεσθαι. καὶ ὁ μὲν ἔχων τὰς μείζους ἐξ ἀνάγκης ἔχει καὶ τὰς ἐλάττους· οὐ μὴν καὶ ἔμπαλιν. οὐκέτι μέντοι τῷ ἔχειν καὶ τὰς τοῖς πάθεσι πρὸς τὰς ἐν τοῖς κατὰ φύσιν ἐνεργείας· τῶν δὲ καθαρτικῶν, τελέως τῶν παθῶν ἀποστῆσαι, τὸ τέως μέτρον λαμβανουσῶν· τῶν δὲ πρὸς νοῦν ἐνεργῆσαι μηδὲ τοῦ ἀποστῆσαι ἐκ τῶν παθῶν εἰς ἔννοιαν ἐρχομένους· τῶν δὲ μηδὲ πρὸς νοῦν ἐχουσῶν τὴν ἐνέργειαν, ἀλλὰ τῇ αὐτοῦ οὐσίᾳ εἰς συνδρομὴν ἀφιγμένων. διὸ καὶ ὁ μὲν κατὰ τὰς πρακτικὰς ἐνεργῶν σπουδαῖος ἦν ἄνθρωπος, ὁ δὲ κατὰ τὰς καθαρτικὰς δαιμόνιος ἦν ἄνθρωπος ἢ καὶ δαίμων ἀγαθός, ὁ δὲ κατὰ μόνας τὰς πρὸς τὸν νοῦν θεός, ὁ δὲ κατὰ τὰς παραδειγματικὰς θεῶν πατήρ. ἐπιμελητέον οὖν μάλιστα τῶν καθαρτικῶν ἡμῖν, σκεψαμένοις ὅτι τούτων μὲν ἡ τεῦξις ἐν τῷ βίῳ τούτῳ, διὰ τούτων δὲ καὶ ἡ εἰς τὰς τιμιωτέρας ἄνοδος. διὸ θεωρητέον ἄχρι τίνος καὶ 〈ἐπὶ〉 πόσον οἵα τε παραλαμβάνεσθαι ἡ κάθαρσις. ἔστι μὲν γὰρ ἐν ἀποστάσει σώματος καὶ τῆς ἀλόγου παθητικῆς κινήσεως. πῶς δ' ἂν γένοιτο καὶ ἄχρι τίνος, ῥητέον. πρῶτον μὲν οἷον θεμέλιος καὶ ὑποβάθρα αὐτὸν ἀπὸ τοῦ σώματος καὶ τοῖς οἷον τόποις, πάντως γε μὴν ἀπαθῶς πρὸς αὐτὸ διατιθέμενον. ἐνεργῶν μὲν γὰρ συνεχῶς τις κατ' αἴσθησιν, εἰ καὶ μὴ μετὰ προσπαθείας καὶ τῆς τοῦ ἥδεσθαι ἀπολαύσεως τοῦτο ποιεῖ, ἀλλ' οὖν ἐσκέδασται περὶ τὸ σῶμα συναφὴς αὐτῷ κατὰ ταύτην γινόμενος, προσπάσχων δὲ ταῖς τῶν αἰσθημάτων ἡδοναῖς ἢ λύπαις σὺν προθυμίᾳ καὶ ἐπινεύσει συμπαθεῖ· ἀφ' ἧς δὴ μάλιστα διαθέσεως αὐτὸν προσήκει καθαίρειν. τοῦτο δ' ἂν γένοιτο, εἰ καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν καὶ τὰς αἰσθήσεις ἰατρείας ἕνεκα μόνον τις παραλαμβάνοι ἢ ἀπαλλαγῆς πόνων, ἵνα μὴ ἐμποδίζοιτο. ἀφαιρετέον δὲ καὶ τὰς ἀλγηδόνας· εἰ δὲ μὴ οἷόν τε εἴη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρᾴως οἰστέον ἐλάττους τιθέντα τῷ μὴ συμπάσχειν. τὸν δὲ θυμὸν ὡς οἷόν τε ἀφαιρετέον καὶ 〈μὴ〉 μελετητέον πάντῃ—εἰ δὲ μή, αὐτὸν γοῦν συναναμιγνύναι τὴν προαίρεσιν, ἀλλ' ἄλλου εἶναι τὸ ἀπροαίρετον· τὸ δ' ἀπροαίρετον ἀσθενὲς καὶ ὀλίγον—τὸν δὲ φόβον πάντῃ, περὶ οὐδενὸς γὰρ φοβήσεται· τὸ δ' ἀπροαίρετον καὶ ἐνταῦθα. χρηστέον δὴ ἄρα καὶ θυμῷ καὶ φόβῳ ἐν νουθετήσει· ἐπιθυμίαν δὲ παντὸς φαύλου ἐξοριστέον· σίτων δὲ καὶ ποτῶν οὐκ αὐτὸς ἕξει ᾗπερ αὐτός· ἀφροδισίων δὲ τῶν φυσικῶν οὐδὲ τὸ ἀπροαίρετον, εἰ δ' ἄρα, ὅσον μέχρι φαντασίας προπετοῦς τῆς κατὰ τοὺς ὕπνους. ὅλως δ' αὐτὴν μὲν πάντων ἡ ψυχὴ 〈ἡ〉 νοερὰ τοῦ καθαιρομένου τούτων ἔστω καθαρά. βουλέσθω δὲ καὶ τὸ κινούμενον πρὸς τὸ ἄλογον τῶν σωματικῶν παθῶν ἀσυμπαθῶς κινεῖσθαι καὶ ἀπροσέκτως, ὥστε καὶ τὰς κινήσεις εὐθύς [τε] λύεσθαι τῇ γειτνιάσει τοῦ λογιζομένου. Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας (p. 29 A—B). ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν· δεδίασι δὲ ὡς εὖ εἰδότες, ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ καὶ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι. Ἐπικτήτου (fr. 1 III p. 65 ed. Schweigh.). Ὁ τύχῃ βίος συμπεπλεγμένος ἔοικε χειμάρρῳ ποταμῷ· καὶ γὰρ ταραχώδης καὶ ἰλύος ἀνάμεστος καὶ δυσέμβατος (fr. 2) Ψυχὴ ὁμιλοῦσα ἀρετῇ ἔοικεν ἀενάῳ πηγῇ· καὶ γὰρ καθαρὸν καὶ ἀτάραχον καὶ πότιμον καὶ νόστιμον καὶ κοινωνικὸν καὶ πλούσιον καὶ ἀβλαβὲς καὶ ἀνώλεθρον. (fr. 3) Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον ὅτι κακὸς εἶ. (fr. 4 l. c. p. 66) Βέλτιον ὀλιγάκις πλημμελεῖν ὁμολογοῦντα σωφρονεῖν πλεονάκις ἢ ὀλιγάκις ἁμαρτάνειν λέγοντα πλημμελεῖν πολλάκις. (fr. 5) Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ. (fr. 6) Μὴ οὕτω τὸ ἐκ τῆς δόξης 〈αἰσχρὸν〉 αἰσχύνου, ὡς τὸ ἐκ τῆς ἀληθείας ἀπόφευγε. (fr. 7) (fr. 19 l. c. p. 71) Ἐξέταζε σαυτὸν πότερον πλουτεῖν θέλεις ἢ εὐδαιμονεῖν. καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθὸν οὔτε ἐπὶ σοὶ πάντῃ, εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθὸν καὶ ἐπὶ σοί. ἐπεὶ τὸ μὲν τύχης ἐπίκαιρον δάνειον, τὸ δὲ [τῆς εὐδαιμονίας] προαιρέσεως. (fr. 20) Καθάπερ ἔχιν ἢ ἀσπίδα ἢ σκορπίον ἐν ἐλεφαντίνῃ ἢ χρυσῇ θεώμενος κίστῃ οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ' ὅτι λυμαντικὴ ἡ φύσις ἐκτρέπῃ καὶ μυσάττῃ, οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης, ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας. (fr. 21) Ὁ πλοῦτος οὐ τῶν ἀγαθῶν, ἡ πολυτέλεια τῶν κακῶν, πλοῦτος ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. δυσχερὲς ἄρα πλουτοῦντα σωφρονεῖν ἢ σωφρονοῦντα πλουτεῖν. (fr. 22) Ὥσπερ εἰ ἐν νηὶ ἐσπάρης ἢ ἐτέχθης, οὐκ ἂν ἔσπευδες αὐτῆς κυβερνήτης ὑπάρχειν ..... οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέστη οὔτε ἐνταῦθα ὁ πλοῦτος, ἀλλὰ πάντῃ ὁ λόγος. ὅπερ οὖν σοι φυσικὸν καὶ συγγενές, ὁ λόγος, τοῦτο καὶ οἰκεῖον ἡγησάμενος τούτου ἐπιμελοῦ. (fr. 23 l. c. p. 73) Ἐν Πέρσαις μὲν γεννηθεὶς οὐκ 〈ἂν〉 ἔσπευδες οἰκεῖν τὴν Ἑλλάδα ἀλλ' αὐτόθι διάγων εὐτυχεῖν· ἐν πενίᾳ δὲ γεννηθείς, τί σπεύδεις πλουτεῖν, ἀλλ' οὐκ αὐτόθι μένων εὐτυχεῖν; (fr. 24) Ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον ὑγιαίνειν ἢ ἐν μεγάλῃ τυγχάνοντα δυσθυμεῖν. (fr. 25) Οὐ πενία λύπην ἐργάζεται, ἀλλὰ ἐπιθυμία· οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. κτησάμενος τοιγαροῦν τὸν λογισμὸν οὔτε πλούτου ἐπιθυμήσεις οὔτε πενίαν μέμψῃ. (fr. 26 l. c. p. 74) Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν οὔτε ὄρνις ἐπὶ βρώμῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ, ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν ποδῶν ὁ δὲ πτερῶν. καὶ σὺ τοιγαροῦν μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μέγα ὀγκύλλου ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιίᾳ. (fr. 27) Τὸ καλῶς ζῆν τοῦ πολυτελῶς διαφέρει·

τὸ μὲν γὰρ ἐκ σωφροσύνης καὶ αὐταρκείας καὶ εὐταξίας καὶ κοσμιότητος [καὶ εὐτελείας] παραγίνεται, τὸ δὲ ἐξ ἀκολασίας καὶ τρυφῆς καὶ ἀταξίας καὶ ἀκοσμίας· τέλος δὲ τοῦ μὲν ἔπαινος ἀληθὴς τοῦ δὲ ψόγος. εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι. (fr. 28 l. c. p. 75) Μέτρον ἔστω σοι παντὸς σίτου καὶ ποτοῦ ἡ πρώτη τῆς ὀρέξεως ἔκπλησις, ὄψον δὲ καὶ ἡδονὴ αὐτὴ ἡ ὄρεξις· καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, ποτῷ τε τῷ παραπεσόντι ἀρκεσθήσῃ. (fr. 29) Τὰς σιτήσεις ποιοῦ μὴ πολυτελεῖς καὶ σκυθρωπάς, ἀλλὰ λαμπρὰς καὶ εὐτελεῖς, ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ ταράττωνται μήτε φενακιζόμεναι πρὸς τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, ἐπεί τοι βλάπτονται τρυφῶντα μὲν παραυτίκα νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα. (fr. 30) Φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ σιτία πιαίνῃ, διὰ παντὸς ἀκήρατος μένει. (fr. 31 l. c. p. 76) Ἐν ταῖς ἑστιάσεσι μέμνησο ὅτι δύο ὑποδέχῃ, σῶμα καὶ ψυχήν, καὶ ὅ τι ἂν τῷ σώματι δῷς τοῦτο εὐθὺς ἐξέχεας, ὅ τι δ' ἂν τῇ ψυχῇ διὰ παντὸς τηρεῖς. (fr. 32) Μὴ συγκεράσας ἅμα ὀργὴν πολυτελείᾳ προσενέγκῃς· πολυτέλεια μὲν ἐμπηδήσασα τῷ σώματι μετ' οὐ πολὺ οἴχεται, ἡ δὲ ὀργὴ ἐνδῦσα τῇ ψυχῇ ἐπὶ τὸ μήκιστον μένει. σκόπει τοιγαροῦν, ὅπως μὴ ὑπ' ὀργῆς ἐξαχθεὶς τοὺς δαιτυμόνας πολυτελῶς ὑβρίσῃς, ἀλλὰ μᾶλλον μεθ' ἡμερότητος εὐτελῶς εὐφράνῃς. (fr. 12 l. c. p. 68) Αἰσχρὸν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τὴν κατάποσιν, τὸ τῶν θεῶν δῶρον πικράζειν, τὸν λόγον, (fr. 33 l. c. p. 77) Μελέτω σοι ἐν τοῖς σιτίοις, ὅπως [σοι] οἱ ὑπουργοῦντες μὴ πλείους τῶν ὑπουργουμένων ὑπάρχωσιν· ἄτοπον γὰρ ὀλίγαις στιβάσι πολλὰς δουλεύειν ψυχάς. (fr. 34) Ἄριστον μὲν εἰ κἀν ταῖς παρασκευαῖς χειρουργῶν κἀν ταῖς τροφαῖς ἑστιώμενος κοινωνεῖς τοῖς θεράπουσι τῶν παρόντων. εἰ δὲ τὸ τοιόνδε δυσχερὲς τῷ καιρῷ ὑπάρχοι, μέμνησο ὅτι μὴ κάμνων ὑπὸ καμνόντων ὑπουργῇ, ἐσθίων ὑπὸ μὴ ἐσθιόντων, πίνων ὑπὸ μὴ πινόντων, [ἐσθίων] λαλῶν ὑπὸ σιωπώντων, ἀνειμένος ὑπὸ συνεσταλμένων· καὶ οὔτε αὐτὸς φλεγμήνας ἄτοπον πείσῃ οὔθ' ἕτερον ἀγριάνας χαλεπὸν ἐργάσῃ. (fr. 35 l. c. p. 78) Ἐρίζειν καὶ φιλονεικεῖν πάντῃ μὲν ἀνοίκειον, μάλιστα δὲ ἐν ταῖς παρὰ πότον ὁμιλίαις ἀπρεπές. οὔτε γὰρ ἂν μεθύων νήφοντα διδάξειέ τις οὔτ' αὖ μεθύων πρὸς νήφοντος πεισθείη. ἔνθα δ' ἂν μὴ παρῇ πειθοῦς τέλος, (fr. 36) Οἱ τέττιγες μουσικοὶ οἱ δὲ κοχλίαι ἄφωνοι, χαίρουσι δὲ οἳ μὲν ὑγραινόμενοι οἳ δὲ ἀλεαινόμενοι. ἔπειτα προκαλεῖται τοὺς μὲν ἡ δρόσος, καὶ ἐπὶ ταύτῃ ἐκδύνουσι· τοὺς δ' αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καὶ ἐπ' αὐτῷ ᾄδουσι. τοιγαροῦν εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκ' ἂν ἐν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχή, τότε αὐτὴν μὴ ἔα προϊοῦσαν μολύνεσθαι· ἀλλ' ἡνίκ' ἂν ἐν τοῖς συνεδρίοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καὶ ᾄδειν τὰ τῆς δικαιοσύνης κέλευε λόγια. (fr. 37 l. c. p. 79) Τὸν προσομιλοῦντα τριχῇ διασκοποῦ, ἢ ὡς ἀμείνονα ἢ ὡς ἧττονα ἢ ὡς ἴσον. καὶ εἰ μὲν ἀμείνονα, ἀκούειν χρὴ καὶ πείθεσθαι αὐτῷ· εἰ δὲ ἧττονα, πείθειν, εἰ δὲ ἴσον, συμφωνεῖν· καὶ οὔ ποτε ἀλώσῃ φιλονεικίας. (fr. 38) Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι. (fr. 39) Ζητῶν τὴν ἀλήθειαν οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾶν· καὶ εὑρὼν τὴν ἀλήθειαν ἕξεις τὸ μὴ νικᾶσθαι. (fr. 40 l. c. p. 80) Ἡ ἀλήθεια παρ' αὐτῇ νικᾷ, ἡ δὲ δόξα παρὰ τοῖς ἔξω. (fr. 8 l. c. p. 66) Ἐλευθερία καὶ δουλεία τὸ μὲν ἀρετῆς ὄνομα τὸ δὲ κακίας, ἄμφω δὲ προαιρέσεως ἔργα. οἷς δὲ προαίρεσις οὐ κοινωνεῖ, τούτων ψαύει μὲν οὐδέτερον· ψυχὴ δὲ δεσπόζειν εἴωθε σώματος καὶ ὅσα τῶν ἀμφὶ σῶμα προαιρέσεως ἀκοινώνητα. οὐδεὶς γὰρ δοῦλος, τὴν προαίρεσιν ὑπάρχων ἐλεύθερος. (fr. 9 l. c. p. 67) [Κακὸς] δεσμὸς σώματος μὲν τύχη ψυχῆς δὲ κακία. ὁ μὲν γὰρ τὸ σῶμα λελυμένος τὴν δὲ ψυχὴν δεδεμένος δοῦλος, ὁ δ' αὖ τὸ σῶμα δεδεμένος τὴν δὲ ψυχὴν λελυμένος ἐλεύθερος. (fr. 10) (fr. 11) Εἰ βούλει ἀταράχως καὶ εὐαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντάς σοι σύμπαντας ἀγαθοὺς ἔχειν. ἕξεις δὲ ἀγαθούς, εἰ τοὺς μὲν ἑκόντας παιδεύοις, τοὺς δὲ ἄκοντας ἔπειτα κεχειρωμένους ἀπολύοις. συμφεύξεται γὰρ τοῖς φυγοῦσιν ἡ μοχθηρία ἅμα καὶ ἡ δουλεία, συνυπολειφθήσεται δὲ τοῖς συμμένουσί σοι ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρηστότης καὶ ἡ ἐλευθερία. (fr. 41 l. c. p. 80) Βέλτιον μετὰ ἑνὸς ἐλευθέρου ζῶντα ἄφοβον καὶ ἐλεύθερον ὑπάρχειν ἢ μετὰ πολλῶν ... δουλεύειν. (fr. 42) Ὅπερ φεύγεις παθεῖν, τοῦτο μὴ ἐπιχείρει διατιθέναι· δοῦλος· οὔτε γὰρ κακία ἀρετῇ κοινωνεῖ οὔτε ἐλευθερία δουλείᾳ. (fr. 43) Ὥσπερ ὁ ὑγιαίνων οὐκ ἂν ὑπὸ νοσούντων βούλοιτο θεραπεύεσθαι οὐδὲ τοὺς συνοικοῦντας ἑαυτῷ νοσεῖν, οὕτως οὐδ' ὁ ἐλεύθερος ἀνάσχοιτ' ἂν ὑπὸ δούλων ὑπηρετεῖσθαι ἢ τοὺς συμβιοῦντας ἑαυτῷ δουλεύειν. (fr. 44 l. c. p. 81) Εἰ βούλει δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολύθητι δουλείας· ἔσῃ δ' ἐλεύθερος, ἐὰν ἀπολυθῇς ἐπιθυμίας. οὔτε γὰρ Ἀριστείδης οὔτε Ἐπαμεινώνδας οὔτε Λυκοῦργος πλουτοῦντες καὶ δουλευόμενοι ὃ μὲν δίκαιος ὃ δὲ σωτὴρ ὃ δὲ θεὸς ἀνηγορεύθησαν, ἀλλ' ὅτι πενόμενοι τὴν Ἑλλάδα δουλείας ἀπέλυον. (fr. 45) Εἰ βούλει σοι τὴν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τὸν ρωσε καὶ διὰ παντὸς ἐτήρησεν ἐλευθέραν τὴν πόλιν· οὕτω καὶ σὺ μὴ μεγάλην αὐλὴν περιβάλλου καὶ πύργους ὑψηλοὺς ἀνίστα, ἀλλὰ τοὺς ἐνοικοῦντας εὐνοίᾳ καὶ πίστει καὶ φιλίᾳ στήριζε, καὶ οὐδὲν εἰς αὐτὴν εἰσελεύσεται βλαβερόν, οὐδ' ἂν τὸ σύμπαν τῆς κακίας παρατάξηται στῖφος. (fr. 46 l. c. p. 82) Μὴ πίναξι καὶ γραφαῖς τὴν οἰκίαν σου περίβαλλε, ἀλλὰ σωφροσύνῃ κατάγραφε· τὸ μὲν γὰρ ἀλλοῖον, τῶν ὀφθαλμῶν ἐστιν ἐπίκαιρος γοητεία· τὸ δὲ σύμφυτος καὶ ἀνεξάλειπτος καὶ ἀίδιος οἰκίας κόσμος. (fr. 47) Ἀντὶ βοῶν ἀγέλης πειρῶ φίλων ἀγέλας ἐναγελάζεσθαί σου τῇ οἰκίᾳ. (fr. 48) Ὥσπερ λύκος ὅμοιον κυνί, οὕτω καὶ κόλαξ καὶ μοιχὸς καὶ παράσιτος ὅμοιον φίλῳ. πρόσεχε τοιγαροῦν, μὴ ἀντὶ (fr. 49) Τὸ μὲν γύψῳ λευκανθίζουσαν σπουδάζειν θαυμάζεσθαι τὴν οἰκίαν ἀπειροκάλου, τὸ δὲ ἦθος χρηστότητι κοινωνίας λαμπρύνειν φιλοκάλου ἅμα καὶ φιλανθρώπου. (fr. 50) Ἐὰν θαυμάζῃς τὰ μικρὰ πρὸ τῶν μεγάλων, καταφρονήσῃ, ἐὰν δὲ καταφρονήσῃς τῶν μικρῶν, μεγάλως θαυμασθήσῃ. (fr. 51) Οὐδὲν μικρότερον φιληδονίας καὶ φιλοκερδείας καὶ ἀλαζονείας· οὐδὲν κρεῖσσον μεγαλοψυχίας καὶ πραότητος καὶ φιλανθρωπίας. (fr. 13 l. c. p. 68) Οὐδεὶς φιλοχρήματος καὶ φιλήδονος καὶ φιλόδοξος φιλάνθρωπος, ἀλλὰ μόνος ὁ φιλόκαλος. (fr. 14 l. c. p. 69) Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηὶ μεγάλῃ καὶ γλαφυρᾷ καὶ πολυχρύσῳ πλέων βαπτίζεσθαι, οὕτω μηδὲ ἐν οἰκίᾳ αἱροῦ ὑπερμεγέθει καὶ πολυτελεῖ αὐλιζόμενος χειμάζεσθαι. Δημητρίου Φαληρέως τῶν ἑπτὰ σοφῶν ἔχειν καὶ τὴν ψυχήν. Φιλήκοον εἶναι καὶ μὴ πολύλαλον. Πολυμαθῆ ἢ ἀμαθῆ. Γλῶσσαν εὔφημον κεκτῆσθαι. Ἀρετῆς οἰκεῖον 〈εἶναι〉, κακίας ἀλλότριον. Ἀδικίαν μισεῖν. Εὐσέβειαν φυλάσσειν. Πολίταις τὰ βέλτιστα συμβουλεύειν. Τύχῃ εὔχεσθαι. Ἔχθρας διαλύειν. Τὸν τοῦ δήμου ἐχθρὸν πολέμιον νομίζειν. Γυναικὶ μὴ μάχεσθαι μηδὲ ἄγαν φρονεῖν ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ ἄνοιαν, τὸ δὲ μανίαν δύναται παρέχειν. Οἰκέτας μεθύοντας μὴ ὁμοίων· ἐὰν γὰρ ἐκ τῶν κρειττόνων, δεσπότας, οὐ συγγενεῖς κτήσῃ. Μὴ ἐπιγέλα τῷ σκώπτοντι· ἀπεχθὴς γὰρ ἔσῃ τοῖς σκωπτομένοις. Εὐποροῦντα μὴ ὑπερήφανον εἶναι, ἀποροῦντα μὴ ταπεινοῦσθαι. β′ Σόλων Ἐξηκεστίδου Ἀθηναῖος ἔφη· Μηδὲν ἄγαν. Κριτὴς μὴ κάθησο· εἰ δὲ μή, τῷ ληφθέντι ἐχθρὸς ἔσῃ. Ἡδονὴν φεῦγε, ἥτις λύπην τίκτει. Φύλασσε τρόπου καλοκαγαθίαν ὅρκου πιστοτέραν. Σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ. Μὴ ψεύδου, ἀλλ' ἀλήθευε. Τὰ σπουδαῖα μελέτα. Τῶν γονέων μὴ λέγε δικαιότερα. Φίλους μὴ ταχὺ κτῶ, οὓς δ' Φίλους εὐσέβει. Ὃ ἂν 〈μὴ〉 ἴδῃς μὴ λέγε. Εἰδὼς σίγα. Τοῖς ἑαυτοῦ πρᾶος ἴσθι. Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκγάρ. Μὴ ἀπείλει τοῖς ἐλευθέροις· οὐ γὰρ δίκαιον. Μὴ κακολόγει τοὺς πλησίον· εἰ δὲ μή, ἀκούσῃ ἐφ' οἷς λυπηθήσῃ. Ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως. Γάμους εὐτελεῖς ποιοῦ. Τὸν τετελευτηκότα μακάριζε. Πρεσβύτερον σέβου. Τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει. Ζημίαν αἱροῦ μᾶλλον τοῦ νοῦ. Θυμοῦ κράτει. Μὴ ἐπιθύμει ἀδύνατα. Ἐν Ἐγγύα, πάρα δ' ἄτα. Φίλων παρόντων καὶ ἀπόντων μέμνησο. Μὴ τὴν ὄψιν καλλωπίζου, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός. Μὴ πλούτει κακῶς. Μή σε διαβαλλέτω λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας. Κο- Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτοὺς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου. Χαλεπὸν τὸ εὖ γνῶναι. Ἥδιστον τὸ ἐπιθυμίας

τυχεῖν. Ἀνιαρὸν ἀργία. Βλαβερὸν ἀκρασία. Βαρὺ ἀπαιδευσία. Δίδασκε καὶ μάνθανε τὸ ἄμεινον. Ἀργὸς μὴ ἴσθι, μηδ' ἂν πλουτῇς. Κακὰ ἐν οἴκῳ κρύπτε. Φθόνου χάριν μὴ οἰκτείρου. σᾷς τῷ πλησίον, αὐτὸς μὴ ποίει. Ἀπραγοῦντα μὴ ὀνείδιζε· ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν κάθηται. Παρακαταθήκας ἀπόδος. Ἀνέχου ὑπὸ τῶν πλησίον μικρὰ ἐλαττούμενος. Τὸν φίλον κακῶς μὴ λέγε, μηδ' εὖ τὸν τὸ μέλλον, ἀσφαλὲς τὸ γενόμενον. Πιστὸν γῆ, ἄπιστον θάλασσα. Ἄπληστον κέρδος. Κτῆσαι ἀίδια· θεραπείαν, εὐσέβειαν, παιδείαν, σωφροσύνην, φρόνησιν, ἀλήθειαν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρείαν, ἐπιμέλειαν, οἰκονομίαν, τέχνην. ζ′ Βίας Τευταμίδου Πριηνεὺς ἔφη· Μίσει τὸ ταχὺ λαλεῖν, μὴ ἁμάρτῃς· μετάνοια γὰρ ἀκολουθεῖ. Μήτ' εὐήθης ἴσθι, μήτε κακοήθης. Ἀφροσύνην μὴ προσδέχου. Φρόνησιν ἀγάπα. Περὶ θεῶν λέγε, ὡς εἰσὶ θεοί. Νόει τὸ πραττόμενον. Ἄκουε πολλά. Λάλει καίρια. Πένης ὢν πλουσίοις μὴ ἐπιτίμα, ἢν μὴ μέγα ὠφελῇς. Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. Πείσας λάβε, μὴ βιασάμενος. Ὅ τι ἂν ἀγαθὸν πράσσῃς, θεούς. μὴ σεαυτὸν αἰτιῶ. Κτῆσαι ἐν μὲν νεότητι εὐπραξίαν, ἐν δὲ τῷ γήρᾳ σοφίαν. Ἕξεις ἔργῳ μνήμην, καιρῷ εὐλάβειαν, τρόπῳ γενναιότητα, πόνῳ ἐγκράτειαν, φόβῳ εὐσέβειαν, πλούτῳ φιλίαν, λόγῳ πειθώ, σιγῇ κόσμον, γνώμῃ δικαιοσύνην, τόλμῃ ἀνδρείαν, πράξει δυναστείαν, δόξῃ ἡγεμονίαν. η′ Περίανδρος Κυψέλου Κορίνθιος ἔφη· πέτεια. Κέρδος αἰσχρὸν φύσεως κατηγορία. Δημοκρατία κρεῖττον τυραννίδος. Αἱ μὲν ἡδοναὶ θνηταί, αἱ δ' ἀρεταὶ ἀθάνατοι. Εὐτυχῶν μὲν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος. Φειδόμενον κρεῖττον ἀποθανεῖν ἢ ζῶντα ἐνδεῖσθαι. Σεαυτὸν ἄξιον παρασκεύαζε τῶν γονέων. Ζῶν μὲν ἐπαινοῦ, ἀποθανὼν δὲ μακαρίζου. Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. Ὃν ἂν ἑκὼν ὁμολογήσῃς πονηρόν, παράβαινε. Λόγων ἀποῤῥήτων ἐκφορὰν μὴ ποιοῦ. Λοιδοροῦ ὡς ταχὺ φίλος ἐσόμενος. Τοῖς μὲν νόμοις τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε. Δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς. Σωσιάδου τῶν ἑπτὰ σοφῶν ὑποθῆκαι. Ἕπου θεῷ. Νόμῳ πείθου. Θεοὺς σέβου. Γονεῖς αἰδοῦ. Ἡττῶ ὑπὸ δικαίου. Γνῶθι μαθών. Ἀκούσας νόει. Σαυτὸν ἴσθι. Γαμεῖν μέλλε. Καιρὸν γνῶθι. Φρόνει θνητά. Ξένος ὢν ἴσθι. Ἑστίαν τίμα. Ἄρχε σεαυτοῦ. Φίλοις βοήθει. Θυμοῦ κράτει. Φρόνησιν ἄσκει. Πρόνοιαν τίμα. Ὅρκῳ μὴ χρῶ. Φιλίαν ἀγάπα. Παιδείας ἀντέχου. Δόξαν δίωκε. Σοφίαν ζήλου. Καλὸν εὖ λέγε. Ψέγε μηδένα. Ἐπαίνει ἀρετήν. Πρᾶττε δίκαια. Φίλοις εὐνόει. Ἐχθροὺς ἀμύνου. Εὐγένειαν ἄσκει. Κακίας ἀπέχου. Κοινὸς γίνου. Ἴδια φύλαττε. Ἀλλοτρίων ἀπέχου. Ἱκέτας αἰδοῦ. Πᾶσιν ἁρμόζου. Υἱοὺς παίδευε. Ἔχων χαρίζου. Δόλον φοβοῦ. Εὐλόγει πάντας. Φιλόσοφος γίνου. Ὅσια κρῖνε. Γνοὺς πρᾶττε. Φόνου ἀπέχου. Εὔχου δυνατά. Σοφοῖς χρῶ. Ἦθος δοκίμαζε. Λαβὼν ἀπόδος. Ὑφορῶ μηδένα. Τέχνῃ χρῶ. Ὃ μέλλεις, δός. Εὐεργεσίας τίμα. Φθόνει μηδενί. Φυλακῇ πρόσεχε. Ἐλπίδα αἴνει. Διαβολὴν μίσει. Δικαίως κτῶ. Ἀγαθοὺς τίμα. Κριτὴν γνῶθι. Γάμους κράτει. Τύχην νόμιζε. Ἐγγύην φεῦγε. Ἁπλῶς διαλέγου. Ὁμοίοις χρῶ. Δαπανῶν ἄρχου. Κτώμενος ἥδου. Αἰσχύνην σέβου. Χάριν ἐκτέλει. Εὐτυχίαν εὔχου. Τύχην στέργε. Ἀκούων ὅρα. Ἐργάζου κτητά. Ἔριν μίσει. Ὄνειδος ἔχθαιρε. Γλῶτταν ἴσχε. Ὕβριν ἀμύνου. Κρῖνε δίκαια. Χρῶ χρήμασιν. Ἀδωροδόκητος δίκαζε. Φιλοφρόνει πᾶσιν. Υἱοῖς μὴ καταρῶ. Γυναικὸς ἄρχε. Σεαυτὸν εὖ ποίει. Εὐπροσήγορος γίνου. Ἀποκρίνου ἐν καιρῷ. Πόνει μετ' εὐκλείας. Πρᾶττε ἀμετανοήτως. Ἁμαρτάνων μετανόει. Ὀφθαλμοῦ κράτει. Βουλεύου χρόνῳ. Πρᾶττε συντόμως. Φιλίαν φύλαττε. Εὐγνώμων γίνου. Ὁμόνοιαν δίωκε. Ἄῤῥητον κρύπτε. Τὸ κρατοῦν φοβοῦ. Τὸ συμφέρον θηρῶ. Καιρὸν προσδέχου. Ἔχθρας διάλυε. Γῆρας προσδέχου. Ἐπὶ ῥώμῃ μὴ καυχῶ. Εὐφημίαν ἄσκει. Ἀπέχθειαν φεῦγε. Πλούτει δικαίως. Δόξαν μὴ λεῖπε. Κακίαν μίσει. Κινδύνευε φρονίμως. Μανθάνων μὴ κάμνε. Φειδόμενος μὴ λεῖπε. Χρησμοὺς θαύμαζε. Οὓς τρέφεις, ἀγάπα. Ἀπόντι μὴ μάχου. Πρεσβύτερον αἰδοῦ. Νεώτερον δίδασκε. Πλούτῳ ἀπίστει. Σεαυτὸν αἰδοῦ. Μὴ ἄρχε ὑβρίζειν. Προγόνους στεφάνου. Θνῆσκε ὑπὲρ πατρίδος. Τῷ βίῳ μὴ ἄχθου. Ἐπὶ νεκρῷ μὴ γέλα. Ἀτυχοῦντι συνάχθου. Χαρίζου ἀβλαβῶς. Μὴ ἐπὶ παντὶ λυποῦ. Ἐξ εὐγενῶν γέννα. Ἐπαγγέλλου μηδενί. Φθιμένους μὴ

ἀδίκει. Εὖ πάσχε ὡς θνητός. Τύχῃ μὴ πίστευε. Παῖς ὢν κόσμιος ἴσθι, ἡβῶν ἐγκρατής, μέσος δίκαιος, Ἡρακλείτου (Heraclit. Eph. fr. XVIII Byw.). Ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνέεται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον. (Heraclit. fr. CIX) Κρύπτειν ἀμαθίην κρέσσον ἢ ἐς τὸ μέσον φέρειν. (Heraclit. fr. CIV) Ἀνθρώποισι γίνεσθαι ὁκόσα θέλουσιν, οὐκ ἄμεινον. (Heraclit. fr. CIV) Νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν. (Heraclit. fr. CVII) Σωφρονεῖν ἀρετὴ μεγίστη· καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας. (Heraclit. fr. XCI) Ξυνόν ἐστι πᾶσι τὸ φρονέειν. ξὺν νόῳ λέγοντας πειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου· κρατέει γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκέει πᾶσι καὶ περιγίνεται. Σωκράτους. Ψυχῆς ἐστὶ λόγος ἑαυτὸν αὔξων. ἐν τῷ βίῳ καθάπερ ἐν δράματι χρῆν τὰ πρῶτα λέγειν οὐ τὸν πλουσιώτατον ἀλλὰ τὸν φρονιμώτατον. Καλὸν ἐπὶ μὲν τῆς ἑστίας φαίνεσθαι τὸ πῦρ λαμπρόν, ἐπὶ δὲ τῆς εὐτυχίας τὸν νοῦν. Δεῖ ὥσπερ 〈ἐξ〉 εὐνομουμένης πόλεως φυγαδεύειν στασιαστὴν ἄνθρωπον, οὕτως ἐκ τῆς σωθησομένης ψυχῆς τὸν πρὸς τὰ φαῦλα κεκλικότα νοῦν. Πλάτωνος ἐκ Γοργίου (p. 448 C). Πολλαὶ τέχναι ἐν ἀνθρώποις εἰσὶν ἐκ τῶν ἐμπειτύχην. ἑκάστων δὲ τούτων μεταλαμβάνουσιν ἄλλοι ἄλλων ἄλλως, τῶν δὲ ἀρίστων οἱ ἄριστοι. Τοῦ αὐτοῦ 〈ἐκ τοῦ〉 Σοφιστοῦ (p. 232 E). Σὺ δὴ πρὸς θεῶν, ὦ παῖ, δυνατὸν ἡγῇ τοῦτο; τάχα γὰρ 〈ἂν〉 ὑμεῖς μὲν ὀξύτερον οἱ νέοι πρὸς αὐτὸ βλέποιτε, ἡμεῖς δὲ ἀμβλύτερον. — Τὸ ποῖον, καὶ πρὸς τί μάλιστα λέγεις; οὐ γάρ πω κατανοῶ τὸ νῦν ἐρωτώμενον. — Εἰ πάντα ἐπίστασθαί τινα ἄνθρωπόν ἐστι δυνατόν. — Μακάριον μέντἂν ἡμῶν, ὦ ξένε, ἦν τὸ γένος. Σωκράτους. Οὔτε ἵππῳ χωρὶς χαλινοῦ οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι. Ὁ βίος ὥσπερ ὄργανον ἀνέσει καὶ ἐπιτάσει ἁρμοτ- Τὸν λιβανωτὸν τοῖς θεοῖς, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ. Οἱ τὸ ἀπὸ τῶν αἰσχρῶν ἔργων κέρδος εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας εὐσεβοῦσιν. Ἀπολογεῖσθαι μὲν γὰρ χρὴ 〈ὑπὲρ〉 τῶν ἀδίκως περὶ τὸ ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινι διαφέροντας. Ἐπαινεῖν χρὴ τὸ κατὰ τέχνην γινόμενον. Πλάτωνος (Alcib. I p. 109 E). Τί δ' εἰ μὴ ἔχω; οὐκ ἂν οἴει με ἄλλως εἰδέναι περὶ — Εἶτα ζητῆσαι 〈οὐκ ἂν〉 οἴει με; — Ἔγωγε, εἰ οἰηθείης γε μὴ εἰδέναι. Ἐν ταὐτῷ (p. 110 D). Εὑρὼν μὲν ἄρα οὐκ οἶσθα τὰ δίκαια καὶ τἄδικα; — Οὐ πάνυ φαίνομαι. — Ἀλλὰ μὴν ἄρτι γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι· 〈εἰ δὲ〉 μήθ' εὗρες μήτ' ἔμαθες, πῶς οἶσθα καὶ πόθεν; — Ἀλλ' ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπεκρίθην, τὸ φάναι εἰδέναι αὐτὸς ἐξευρών. — Τὸ δὲ πῶς εἶχεν; — Ἔμαθον, οἶμαι, καὶ ἐγώ, ὥσπερ καὶ οἱ ἄλλοι. — Πάλιν 〈εἰσ〉 τὸν αὐτὸν ἥκομεν λόγον· παρὰ τοῦ; φράζε κἀμοί. — Παρὰ τῶν πολλῶν. — Οὐκ εἰ σπουδαίους γε νομίζεις τοὺς φαύλους καταφεύγεις εἰς τοὺς πολλούς. Ἐν ταὐτῷ (p. 114 E—116 D). Ἀποκρίνου δή· καὶ ἂν μὴ αὐτὸς ταῦτα ἀκούσῃς, ὅτι οἶμαι βλαβήσεσθαι. — Μαντικὸς γὰρ εἶ. καί μοι λέγε· τῶν δικαίων φῂς ἔνια μὲν συμφέρειν, ἔνια 〈δ' οὔ; — Ναί. — Τί δέ; τὰ μὲν καλὰ εἶναι αὐτῶν τὰ〉 δ' οὔ; πῶς τοῦτο ἐρωτᾷς; — Εἴ τις σοι ἤδη ἔδοξεν αἰσχρὰ μέν, δίκαια δὲ πράττειν; — Οὐκ ἔμοιγε. — Ἀλλὰ πάντα τὰ δίκαια καλά; — 〈Ναί.〉 — Τί δ' αὖ τὰ καλά; πότερον πάντα ἀγαθά, ἢ τὰ μέν, τὰ δ' οὔ; — Οἶμαι ἔγωγε, ὦ Σώκρατες, ἔνια τῶν καλῶν κακὰ εἶναι. — Ἦ καὶ αἰσχρὰ ἀγαθά; — Ναί. — Ἆρα λέγεις τὰ τοιάδε, οἷον πολλοὶ ἐν πολέμῳ βοηθήσαντες ἑταίρῳ ἢ οἰκείῳ τραύματά τε ἔλαβον καὶ ἀπέθανον, οἱ δ' οὐ βοηθήσαντες δέον ὑγιεῖς ἀπῆλθον; — Πάνυ μὲν οὖν. — Οὐκοῦν τὴν τοιαύτην βοήθειαν καλὴν μὲν λέγεις κατὰ τὴν ἐπιχείρησιν τοῦ σῶσαι οὓς ἔδει· τοῦτο δέ ἐστιν 〈ἀνδρεία· ἢ οὔ; — Ναί. — Κακὴν δέ γε κατὰ τοὺς θανάτους τε καὶ τὰ ἕλκη· ἦ γάρ; — Ναί. — Ἆρ' οὖν οὐκ ἄλλο μὲν ἡ〉 ἀνδρεία, καλὸν εἶναι τὴν βοήθειαν· τοῦτ' οὖν αὐτὸ σκόπει, 〈τὴν ἀνδρείαν,〉 ἀγαθὸν ἢ κακόν; ὧδε δὲ 〈σκόπει·〉 πότερ' ἂν δέξαιο σοι εἶναι ἀγαθὰ ἢ κακά; — Ἀγαθά. — Οὐκοῦν τὰ μέγιστα μάλιστα, καὶ ἥκιστα τῶν τοιούτων δέξαι' ἂν στέρεσθαι; — Πῶς γὰρ οὔ; — Πῶς οὖν λέγεις περὶ ἀνδρείας; ἐπὶ πόσῳ ἂν αὐτοῦ δέξαιο στέρεσθαι; — Οὐδὲ ζῆν 〈ἂν〉 ἔγωγε δεξαίμην δειλὸς ὤν. — Ἔσχατον ἄρα σοι

δοκεῖ κακὸν εἶναι ἡ δειλία. — Ἔμοιγε. — Ἐξ ἴσου τῷ τεθνάναι, ὡς ἔοικε. — Φημί. — Οὐκοῦν θανάτῳ τε καὶ δειλίᾳ ἐναντιώτατον ζωὴ καὶ ἀνδρεία; — Ναί. — Καὶ τὰ μὲν μάλιστα εἶναι βούλοιό σοι, τὰ δὲ ἥκιστα; — 〈Ναί.〉 — Ἆρ' οὖν τὰ μὲν ἄριστα ἡγῇ, τὰ δὲ κάκιστα; — Πάνυ γε. — Ἐν τοῖς ἀρίστοις ἄρα σὺ ἡγῇ ἀνδρείαν εἶναι, κἀν τοῖς κακίστοις θάνατον; — Ἔγωγε. — Τὸ ἄρα βοηπρᾶξιν τὴν τῆς ἀνδρείας καλὸν αὐτὸ προσεῖπας; — Φαίνομαι γε. — Κατὰ δὲ κακοῦ πρᾶξιν τὴν τοῦ θανάτου κακόν; — Ναί. — Οὐκοῦν δίκαιον ὧδε προσαγορεύειν ἑκάστην τῶν πράξεων· εἴπερ ᾗ κακὸν ἀπεργάζεται κακὴν καλεῖς, καὶ ᾗ ἀγαθὸν ἀγαθὴν κλητέον. — Ἔμοιγε δοκεῖ. — Ἆρ' οὖν καὶ ᾗ ἀγαθόν, καλόν· ᾗ δὲ κακόν, αἰσχρόν; — Πάνυ γε. — Τὴν ἄρ' ἐν τῷ πολέμῳ τοῖς φίλοις βοήθειαν λέγων καλὴν μὲν εἶναι, κακὴν δέ, οὐδὲν διαφερόντως λέγεις, ἆρ' οὖν ἀγαθὴν μέν, κακὴν δὲ οὐδαμῶς; — Ἀληθῆ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες. — Οὐδὲν ἄρα τῶν καλῶν, καθ' ὅσον καλόν, κακόν; οὐδὲ τῶν αἰσχρῶν, καθ' ὅσον αἰσχρόν, ἀγαθόν; — Οὐ φαίνεται. — Ἔτι τοίνυν καὶ ὧδε σκέψαι· ὃς ἀγαθὸν πράττει, οὐχὶ καὶ εὖ πράττει; — Ναί. — Οἱ δ' εὖ πράττοντες οὐκ εὐδαίμονες; — Πῶς γὰρ οὔ; — Οὐκοῦν ἡ εὐδαιμονία δι' ἀγαθῶν κτῆσιν; — Μάλιστα. — Κτῶνται δὲ ταῦτα τῷ εὖ καὶ καλῶς πράττειν; — Ναί. — Τὸ γοῦν καλῶς πράττειν ἀγαθόν; — Πῶς δ' οὔ; — Οὐκοῦν καλὸν ἡ εὐπραγία; — Ναί. — Ταὐτὸν ἄρα ἐφάνη ἡμῖν πάλιν 〈αὖ καλόν τε καὶ〉 ἀγαθόν. — Φαίνεται. — Ὅ τι ἂν ἄρα εὕρωμεν καλόν, καὶ ἀγαθὸν εὑρήσομεν ἔκ γε τούτου τοῦ παραδείγματος. τί δέ; τὰ ἀγαθὰ συμφέρει ἢ οὔ; — Συμφέρει. — Μνημονεύεις οὖν περὶ τῶν δικαίων, πῶς ὡμολόγησας; — Τοὺς τὰ δίκαια πράττοντας ἀναγκαῖον εἶναι καλὰ πράττειν. — Οὐκοῦν καὶ τοὺς τὰ καίρια λέγοντας. τὰ δίκαια ἄρα, ὦ Ἀλκιβιάδη, συμφέροντά ἐστιν. Ἀριστοτέλους Περὶ ἀρετῆς 〈καὶ κακίασ〉 (p. 1249 a 26—1251 b 37). Ἐπαινετά ἐστι τὰ καλά, ψεκτὰ δὲ τὰ αἰσχρά· καὶ τῶν μὲν καλῶν ἡγοῦνται αἱ ἀρεταί, τῶν δὲ αἰσχρῶν αἱ κακίαι. ἐπαινετὰ δέ ἐστι καὶ τὰ αἴτια τῶν ἀρετῶν καὶ τὰ παρεπόμενα ταῖς ἀρεταῖς καὶ τὰ γινόμενα ἀπ' δοῦς ἥ τε πρᾳότης καὶ ἡ ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ ἥ τε σωφροσύνη καὶ ἡ ἐγκράτεια, ὅλης δὲ τῆς ψυχῆς ἥ τε δικαιοσύνη καὶ ἡ ἐλευθεριότης καὶ 〈ἡ〉 μεγαλοψυχία. κακία δέ ἐστι τοῦ μὲν λογιστικοῦ ἡ ἀφροσύνη, τοῦ δὲ θυμοειδοῦς ἥ τε ὀργιλότης καὶ ἡ δειλία, τοῦ δὲ ἐπιθυμητικοῦ ἥ τε ἀκολασία καὶ ἡ ἀκρασία, ὅλης δὲ τῆς ψυχῆς ἥ τε ἀδικία καὶ ἡ ἀνελευθερία καὶ ἡ μικροψυχία. Ἔστι δὲ φρόνησις μὲν ἀρετὴ τοῦ λογιστικοῦ παρασκευαστικὴ τῶν πρὸς εὐδαιμονίαν τεινόντων. πρᾳότης δέ ἐστιν ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν ὑπὸ ὀργῆς γίνονται δυσκίνητοι. ἀνδρεία δέ ἐστιν ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν δυσέκπληκτοί εἰσιν ὑπὸ φόβων τῶν περὶ θάνατον. σωφροσύνη δέ ἐστιν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ἀνόρεκτοι γίνονται τῶν περὶ τὰς ἀπολαύσεις φαύλων ἡδονῶν. ἐγκράτεια δέ ἐστιν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν κατέχουσι τῷ λογισμῷ τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ τὰς φαύλας ἡδονάς. δικαιοσύνη δέ ἐστιν εὐτυχίαν καὶ δυστυχίαν καὶ τιμὴν καὶ ἀτιμίαν. Ἀφροσύνη δέ ἐστι κακία τοῦ λογιστικοῦ, αἰτία τοῦ ζῆν κακῶς. ὀργιλότης δέ ἐστι κακία τοῦ θυμοειδοῦς, καθ' ἣν εὐκίνητοι γίνονται πρὸς ὀργήν. δειλία δέ ἐστι κακία τοῦ θυμοειδοῦς, καθ' ἣν ἐκπλήττονται ὑπὸ φόβων τῶν περὶ θάνατον. ἀκολασία δέ ἐστι κακία τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ὀρεκτικοὶ γίνονται τῶν περὶ τὰς ἀπολαύσεις φαύλων ἡδονῶν. ἀκρασία δέ ἐστι κακία τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν αἱροῦνται τὰς φαύλας ἡδονὰς μὴ κωλύοντος τοῦ λογισμοῦ. ἀδικία δέ ἐστι κακία ψυχῆς, καθ' ἣν πλεονεκτικοὶ γίνονται παρὰ τὴν ἀξίαν. ἀνελευθερία δέ ἐστι κακία ψυχῆς, καθ' ἣν αἱρετικοὶ γίνονται κέρδους αἰσχροῦ. μικροψυχία δέ ἐστι κακία ψυχῆς, καθ' ἣν ἀδύνατοί εἰσι φέρειν καὶ εὐτυχίαν καὶ ἀτυχίαν καὶ Ἔργα δὲ τῆς φρονήσεώς ἐστι τὸ εὖ βουλεύεσθαι, τὸ 〈εὖ〉 κρῖναι τὰ ἀγαθὰ καὶ τὰ κακὰ καὶ πάντα τὰ ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτά, τὸ χρῆσθαι καλῶς πᾶσι τοῖς ὑπάρχουσιν ἀγαθοῖς, τὸ ὁμιλῆσαι ὀρθῶς, τὸ συνιδεῖν τοὺς καιρούς, τὸ ἀγχινόως χρῆσθαι καὶ λόγῳ καὶ ἔργῳ, τὸ τὴν ἐμπειρίαν ἔχειν τῶν χρησίμων πάντων. μνήμη δὲ καὶ ἐμπειρία καὶ ἀγχίνοια καὶ δεξιότης καὶ εὐβουλία ἤτοι ἀπὸ τῆς φρονήσεως ἕκαστον αὐτῶν ἐστὶν ἢ παρέπεται τῇ φρονήσει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὰ μὲν αὐτῶν οἷον παραίτια τῆς φρονήσεώς ἐστι, καθάπερ ἡ ἐμπειρία καὶ ἡ μνήμη· τὰ δὲ οἷον μέρη, οἷον εὐβουλία τε καὶ ἀγχίνοια. Πρᾳότητος δέ ἐστι τὸ δύνασθαι φέρειν μετρίως ἐγκλήματα καὶ ὀλιγωρίας μετρίας, καὶ τὸ μὴ ταχέως ὁρμᾶν ἐπὶ τὰς τιμωρίας, καὶ τὸ μὴ εὐκίνητον εἶναι πρὸς τὰς ὀργάς, ἄπικρον δὲ τῷ ἤθει καὶ ἀφιλόνεικον, ἔχοντα τὸ ἠρεμαῖον ἐν τῇ ψυχῇ καὶ τὸ στάσιμον. Ἀνδρείας δέ ἐστι τὸ δυσέκπληκτον εἶναι ὑπὸ φόβων τῶν περὶ θάνατον, καὶ τὸ εὐθαρσῆ εἶναι ἐν τοῖς δεινοῖς, καὶ τὸ εὔτολμον πρὸς τοὺς κινδύνους, καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς ἢ αἰσχρῶς σωθῆναι, καὶ τὸ νίκης αἴτιον εἶναι. ἔστι δὲ ἀνδρείας καὶ τὸ πονεῖν καὶ τὸ καρτερεῖν καὶ αἱρεῖσθαι καὶ δύνασθαι. παρέπεται δὲ τῇ ἀνδρείᾳ ἥ τε εὐτολμία καὶ ἡ εὐψυχία καὶ τὸ θάρσος, ἔτι δὲ ἡ φιλοπονία καὶ ἡ καρτερία. Σωφροσύνης δέ ἐστι τὸ μὴ θαυμάζειν τὰς ἀπολαύσεις τῶν σωματικῶν ἡδονῶν, καὶ τὸ εἶναι πάσης ἀπολαυστικῆς αἰσχρᾶς ἡδονῆς ἀνόρεκτον, καὶ τὸ φοβεῖσθαι τὴν ἀδοξίαν καὶ τὸ τετάχθαι περὶ τὸν βίον ὁμοίως ἐν μικροῖς καὶ μεγάλοις. παρέπεται δὲ τῇ σωφροσύνῃ εὐταξία, κοσμιότης, αἰδώς, εὐλάβεια. Ἐγκρατείας δέ ἐστι τὸ δύνασθαι κατασχεῖν τῷ λογισμῷ τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ φαύλας ἀπολαύσεις ἡδονῶν, καὶ τὸ καρτερεῖν, καὶ τὸ ὑπομονητικὸν εἶναι τῆς κατὰ φύσιν ἐνδείας τε καὶ λύπης. Δικαιοσύνης δέ ἐστι τὸ διανεμητικὸν εἶναι τοῦ κατ' ἀξίαν, τὸ σῴζειν τὰ πάτρια ἔθη καὶ τὰ νόμιμα, τὸ σῴζειν τοὺς γεγραμμένους νόμους, τὸ ἀληθεύειν ἐν τῷ διαφέροντι, τὸ διαφυλάττειν τὰς ὁμολογίας. ἔστι δὲ πρῶτα τῶν δικαίων τὰ πρὸς τοὺς θεούς, εἶτα πρὸς δαίμονας, εἶτα πρὸς πατρίδα καὶ γονεῖς, εἶτα πρὸς τοὺς κατοιχομένους· ἐν οἷς ἐστι καὶ 〈ἡ〉 εὐσέβεια, ἤτοι μέρος οὖσα τῆς δικαιοσύνης ἢ παρακολουθοῦσα. ἀκολουθεῖ δὲ τῇ δικαιοσύνῃ καὶ ἡ ὁσιότης καὶ ἡ ἀλήθεια καὶ ἡ πίστις καὶ ἡ μισοπονηρία. Ἐλευθεριότητος δέ ἐστι τὸ προετικὸν εἶναι χρημάτων εἰς τὰ ἐπαινετά, καὶ τὸ ἐπιδαψιλεῖν ἐπὶ τῷ εἰς δέον τι ἀναλωθῆναι, καὶ τὸ βοηθητικὸν εἶναι ἐν τῷ διαφόρῳ, περιττῶν καὶ καλῶν καὶ διαγωγὴν ἐχόντων ἡδεῖαν ἄνευ τοῦ λυσιτελοῦντος· καὶ θρεπτικὸς τῶν ζῴων τῶν ἴδιόν τι ἐχόντων ἢ θαυμαστόν. ἀκολουθεῖ δὲ τῇ ἐλευθεριότητι ἡ τοῦ ἤθους ὑγρότης καὶ εὐαγωγία καὶ φιλανθρωπία καὶ τὸ εἶναι ἐλεητικὸν καὶ φιλόφιλον καὶ φιλόξενον καὶ φιλόκαλον. Μεγαλοψυχίας δέ ἐστι τὸ καλῶς ἐνεγκεῖν καὶ εὐψύχως καὶ ἀτυχίαν καὶ εὐτυχίαν καὶ τιμὴν καὶ ἀτιμίαν, καὶ τὸ μὴ θαυμάζειν μήτε τρυφὴν μήτε θεραπείαν μήτε ἐξουσίαν μήτε τὰς νίκας τὰς ἐναγωνίους, ἔχειν δέ τι βάθος τῆς ψυχῆς καὶ μέγεθος. ἔστι δὲ ὁ μεγαλόψυχος οὐδὲ τὸ ζῆν περὶ πολλοῦ ποιούμενος οὐδὲ φιλόζωος, ἁπλοῦς δὲ τῷ ἤθει καὶ γενναῖος, καὶ ἀδικεῖσθαι δυνάμενος, καὶ οὐ τιμωρητικός. ἀκολουθεῖ δὲ τῇ μεγαλοψυχίᾳ ἁπλότης καὶ γενναιότης καὶ ἀλήθεια. Ἀφροσύνης δέ ἐστι τὸ κρῖναι κακῶς τὰ πράγματα, τὸ βουλεύεσθαι κακῶς, τὸ ὁμιλῆσαι κακῶς, τὸ χρῆσθαι κακῶς τοῖς παροῦσιν ἀγαθοῖς, τὸ ψευδῶς δοξάζειν περὶ ἀμνημοσύνη. Ὀργιλότητος δέ ἐστιν εἴδη τρία· ἀκροχολία, πικρία, βαρυθυμία. ἔστι δὲ τοῦ ὀργίλου τὸ μὴ δύνασθαι φέρειν μήτε τὰς μικρὰς ὀλιγωρίας μήτε τὰς ἐλαττώσεις, εἶναι δὲ κολαστικὸν καὶ τιμωρητικὸν καὶ εὐκίνητον πρὸς ὀργὴν καὶ ὑπὸ λόγου καὶ ἔργου τοῦ τυχόντος. ἀκολουθεῖ δὲ τῇ ὀργιλότητι τὸ πάροξυ τοῦ ἤθους καὶ εὐμετάβολον, καὶ ἡ πικρολογία, καὶ ἡ μεταμέλεια, καὶ τὸ ἐπὶ μικροῖς λυπεῖσθαι καὶ ἥδεσθαι καὶ ταῦτα πάσχειν ταχέως καὶ παρὰ βραχὺν καιρόν. Δειλίας δέ ἐστι τὸ ὑπὸ τῶν τυχόντων φόβων εὐκίνητον εἶναι, καὶ μάλιστα τῶν περὶ θάνατον καὶ τὰς σωματικὰς πηρώσεις, καὶ τὸ ὑπολαβεῖν κρεῖττον εἶναι ὁπωσοῦν σωθῆναι ἢ τελευτῆσαι καλῶς. ἀκολουθεῖ δὲ τῇ δειλίᾳ μαλακία, ἀνανδρία, φιλοψυχία καὶ ἀπονία· ὕπεστι δέ τις καὶ εὐλάβεια καὶ τὸ ἀφιλόνεικον τοῦ ἤθους. Ἀκολασίας δέ ἐστι τὸ αἱρεῖσθαι τὰς ἀπολαύσεις τῶν πελον, καὶ ῥᾳδιουργὸν εἶναι ἐν τοῖς λόγοις καὶ ἐν τοῖς ἔργοις. ἀκολουθεῖ δὲ τῇ ἀκολασίᾳ ἀταξία, ἀναίδεια, ἀκοσμία, τρυφή, ῥᾳθυμία, ἀμέλεια, ὀλιγωρία, ἔκλυσις. Ἀκρασίας δέ ἐστι τὸ κωλύοντος τοῦ λογισμοῦ τὰς ἀπολαύσεις τῶν ἡδονῶν αἱρεῖσθαι, καὶ ὑπολαμβάνοντα κρεῖττον εἶναι μὴ μετασχεῖν αὐτῶν, μετέχειν μηδὲν ἧττον, καὶ τὸ οἴεσθαι μὲν δεῖν πράττειν καὶ τὰ καλὰ καὶ τὰ συμφέροντα,

ἀφίστασθαι δὲ αὐτῶν διὰ τὰς ἡδονάς. ἀκολουθεῖ δὲ τῇ ἀκρασίᾳ μαλακία, μεταμέλεια καὶ τὰ πλεῖστα τὰ αὐτά, ἃ καὶ τῇ ἀκολασίᾳ. Ἀδικίας δέ ἐστιν εἴδη τρία· ἀσέβεια, πλεονεξία, ὕβρις. ἀσέβεια μὲν ἡ περὶ θεοὺς πλημμέλεια καὶ περὶ δαίμονας καὶ τοὺς κατοιχομένους καὶ περὶ γονεῖς καὶ πατρίδα. πλεονεξία δὲ ἡ περὶ τὰ συμβόλαια παρὰ τὴν ἡδονὰς αὐτοῖς παρασκευάζουσιν εἰς ὄνειδος ἄγοντες ἑτέρους. ὅθεν καὶ Εὔηνος περὶ αὐτῆς λέγει ἥτις κερδαίνους' οὐδὲν ὅμως ἀδικεῖ. ἔστι δὲ τῆς ἀδικίας τὸ παραβαίνειν τὰ πάτρια ἔθη καὶ τὰ νόμιμα, τὸ ἀπειθεῖν τοῖς νόμοις καὶ τοῖς ἄρχουσι, τὸ ψεύδεσθαι, τὸ ἐπιορκεῖν, τὸ παραβαίνειν τὰς ὁμολογίας καὶ τὰς πίστεις. ἀκολουθεῖ δὲ τῇ ἀδικίᾳ συκοφαντία, ἀλαζονεία, ἀφιλανθρωπία, προσποίησις, κακοήθεια, πανουργία. Ἀνελευθερίας δέ ἐστιν εἴδη τρία· αἰσχροκέρδεια, φειδωλία, κιμβικία. ἔστι δὲ αἰσχροκέρδεια μέν, καθ' ἣν κερδαίνειν ζητοῦσι πανταχόθεν καὶ τὸ κέρδος τῆς αἰσχύνης περὶ πλείονος ποιοῦνται. φειδωλία δέ, καθ' ἣν ἀδάπανοι γίνονται τῶν χρημάτων εἰς τὸ δέον. κιμβικία δέ ἐστι, καθ' ἣν δαπανῶσι μέν, κατὰ μικρὸν 〈δὲ〉 καὶ κακῶς, καὶ πλείω βλάπτονται τῷ μὴ κατὰ καιρὸν ποιεῖσθαι τὸ διάφορον. ἔστι δὲ τῆς ἀνελευθερίας τὸ περὶ πλείστου ποιεῖσθαι χρήματα, καὶ τὸ μηδὲν ὄνειδος ἡγεῖβαρυθυμία, μικροψυχία, ταπεινότης, ἀμετρία, ἀγένεια, μισανθρωπία. Μικροψυχίας δέ ἐστι τὸ μήτε τιμὴν μήτε ἀτιμίαν μήτε εὐτυχίαν μήτε ἀτυχίαν δύνασθαι φέρειν, ἀλλὰ τιμώμενον μὲν ἀναχαυνοῦσθαι καὶ μικρὰ εὐτυχήσαντα ἐξορχεῖσθαι, ἀτιμίαν δὲ μηδὲ τὴν ἐλαχίστην ἐνεγκεῖν δύνασθαι, ἀπότευγμα δὲ ὁτιοῦν ἀτυχίαν κρίνειν μεγάλην, ὀδύρεσθαι δὲ ἐπὶ πᾶσι καὶ δυσφορεῖν. ἔτι δὲ καὶ τοιοῦτός ἐστιν ὁ μικρόψυχος, οἷος πάντα τὰ ὀλιγωρήματα καλεῖν ὕβριν καὶ ἀτιμίαν, καὶ τὰ δι' ἄγνοιαν ἢ λήθην ἢ ἄνοιαν γινόμενα. ἀκολουθεῖ δὲ τῇ μικροψυχίᾳ μικρολογία, μεμψιμοιρία, δυσελπιστία, ταπεινότης. Καθόλου δὲ τῆς μὲν ἀρετῆς ἐστι τὸ ποιεῖν σπουδαίαν τὴν διάθεσιν περὶ τὴν ψυχὴν ἠρεμαίαις καὶ τεταγμέναις κινήσεσι χρωμένην καὶ συμφωνοῦσαν κατὰ πάντα τὰ μέρη· διὸ καὶ δοκεῖ παράδειγμα πολιτείας ἀγαθῆς εἶναι ψυχῆς σπουδαίας διάθεσις. ἔστι δὲ τῆς ἀρετῆς καὶ τὸ εὐεργετεῖν τοὺς ἀξίους, καὶ τὸ φιλεῖν τοὺς ἀγαθούς, καὶ τὸ μισεῖν τοὺς κακούς, καὶ τὸ μήτε κολαστικὸν εἶναι μήτε τιμωρητικόν, ἀλλὰ ἐλεητικὸν καὶ εὐμενικὸν καὶ εὐγνωμονικόν. ἀκολουθεῖ δὲ τῇ ἀρετῇ χρηστότης, ἐπιείκεια, εὐγνωμοσύνη, ἐλπὶς ἀγαθή, μνήμη ἀγαθή· ἔτι δὲ καὶ τὰ τοιαῦτα· φιλοίκειον εἶναι καὶ φιλόφιλον καὶ φιλέταιρον καὶ φιλόξενον καὶ φιλάνθρωπον καὶ φιλόκαλον, ἃ δὴ πάντα τῶν ἐπαινουμένων ἐστί· τῆς δὲ κακίας ἐστὶ τὰ ἐναντία, καὶ παρακολουθεῖ τὰ ἐναντία αὐτῇ. πάντα δὲ τὰ τῆς κακίας καὶ τὰ ἀκολουθοῦντα αὐτῇ τῶν ψεγομένων ἐστίν. Ἀρχύτα Πυθαγορείου Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος (fr. 9 I p. 556 Mullach.). Ὅθεν οὐκ ἀτυχίαν ἐνεγκὲν ἐμμελῶς χαλεπώτερόν ἐστιν, ἐπὶ πολὺ μέτριοι καὶ κόσμιοι τὸ ἦθος ἦμεν φαίνονται, ἐν δ' εὐπραγίαις ἀνδρεῖοι, μεγαλόφρονες, μεγαλόψυχοι. δεινὰ γὰρ 〈ἁ〉 ἀτυχία συναγαγὲν καὶ καταρτίσαι τὰν ψυχάν, ἁ δ' εὐπραγία τοὐναντίον ἐπᾶραι καὶ κενῶσαι. διὸ ποθεκτικοὶ μὲν ἅπαντες καὶ συνετοὶ τὸν τρόπον ἀτυχέοντες, ἐπιθετικοὶ δὲ καὶ θαρσαλέοι τὸν τρόπον εὐτυχέοντες. Ἐν ταὐτῷ (fr. 10 l. c. Mullach.). Ὅρος δέ ἐστιν εὐτυχίας, ἂν προέλοιτο ὁ ἀγαθὸς ἀνὴρ συνεργὸν αὐτῷ γινομέναν ποττὰς ἰδίας πράξιας· ὥσπερ καὶ μέγεθος ναὸς καὶ μέγεθος παδαλίω, ᾧ καθικνεῖσθαι δύναται ὁ ἀγαθὸς κυβερνάτας μεγάλα πελάγεα διαπεραιούμενος καὶ μεγάλαν ναυκλαρίαν στελλόμενος. ἁ δ' ὑπερβολὰ τᾶς εὐτυχίας τοῖς ἀγαθοῖς οὐ κρατεῖσθαι πέφυκεν ὑπὸ τᾶς ψυχᾶς, ἀλλὰ κρατὲν αὐτᾶς. ὥσπερ γὰρ τὸ λαμπρὸν φάος μαραυγίαν περιτίθησι τοῖς ὀφθαλμοῖς, οὕτω καὶ ἁ ὑπερβάλλοισα εὐτυχία τῷ νόῳ τᾶς ψυχᾶς. καὶ περὶ μὲν ὧν εὐτυχίας ἄλις εἰρήσθω. Πλάτωνος ἐκ τῆς Σωκράτους ἀποτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω σφόδρα ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται, λέγων ὅτι οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τὰ ἄλλα ἀγαθὰ τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Ἐν ταὐτῷ (p. 30 C—D). Ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς

αὐτούς· ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτε Ἄνυτος· οὐδὲ γὰρ ὃν δύναιντο· οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μεντἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμώσειεν. Πυθαγορικά. ἀείσω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι, ἀλλ' αὐτόθεν ἔχειν φῶς καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον, τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις. ὡς γὰρ ὁ ἄναξ ὁ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει κατὰ τὸν Ἡράκλειτον, οὕτω τῶν Πυθαγορικῶν συμβόλων καὶ τὸ φράζεσθαι δοκοῦν κρυπτόμενόν ἐστι καὶ τὸ κρύπτεσθαι νοούμενον. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (hist. gr. min. ed. L. Dindorf v. I p. 145 fr. 3). Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἄοικοί τε εἰσίν, ὥσπερ καὶ οἱ πλεῖστοι Σκυθῶν, τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον, ἐξ οὗ τυροποιοῦντες ἐσθίουσι καὶ πίνουσι, καὶ εἰσὶ διὰ τοῦτο δυσμαχώτατοι, σὺν αὐτοῖς πάντῃ τὴν τροφὴν ἔχοντες. οὗτοι καὶ Δαρεῖον ἐτρέψαντο. εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν πατέρας νομίζειν, τοὺς δὲ νεωτέρους παῖδας, τοὺς δ' ἡλικας ἀδελφούς. γλακτοφάγων, ἀβίων τε, δικαιοτάτων ἀνθρώπων. ἀβίους δ' αὐτοὺς λέγει, ἢ διὰ τὸ γῆν μὴ γεωργεῖν ἢ διὰ τὸ ἀοίκους εἶναι ἢ διὰ τὸ χρῆσθαι τούτους μόνους τόξοις· βιὸν γὰρ λέγει τὸ τόξον. παρὰ τούτοις οὐδὲ εἷς οὔτε φθονῶν, ὥς φασιν, οὔτε μισῶν οὔτε φοβούμενος ἱστορήθη διὰ τὴν τοῦ βίου κοινότητα καὶ δικαιοσύνην. μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες ἢ οἱ ἄνδρες, καὶ συμπολεμοῦσιν αὐτοῖς ὅταν δέῃ, καὶ διὰ τοῦτο Ἀμαζόνας γενναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι μέχρι Ἀθηνῶν καὶ Κιλικίας, ὅτι τούτων παρῴκουν ἐγγὺς τῆς Μαιώτιδος λίμνης. Πλάτωνος Νόμων ε′ (p. 727 E—728 A). Οὐδέ γε ὁπόταν χρήματά τις ἐρᾷ κτᾶσθαι μὴ καλῶς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσοῦ· πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. (Plat. de leg. V p. 728 D—729 C; 730 B —732 B) Τίμιον εἶναι σῶμα οὐ τὸ καλὸν οὐδὲ τὸ ἰσχυρὸν οὐδὲ τάχος ἔχον οὐδὲ μέγα οὐδὲ τὸ ὑγιεινὸν (καί τοι πολλοῖς ἂν τοῦτό γε δοκοῖ), καὶ μὴν οὐδὲ τὰ τούτων γε ἐναντία, τὰ δ' ἐν τῷ μέσῳ ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτόμενα σωφρονέστατα ἅμα τε ἀσφαλέστατα εἶναι μακρῷ· τὰ μὲν γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινάς τε καὶ ἀνελευθέρους· ὡς δ' αὕτως ἡ τῶν χρημάτων κτῆσις καὶ τιμήσεων κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει. τὰ μὲν ὑπέρογκα γὰρ ἑκάστων τούτων ἔχθρας καὶ στάσεις γὰρ ἐκείνοις οὔτε αὖ τῇ πόλει ἄμεινον. ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δὲ ἀναγκαίων μὴ ἐνδεής, αὕτη πασῶν μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς πάντα ἅλυπον τὸν βίον ἀπεργάζεται· παισὶ δὲ αἰδῶ χρὴ πολλήν, οὐ χρυσὸν καταλείπειν. οἰόμεθα δὲ ἐπιπλήττοντες τοῖς νέοις ἀναισχυντοῦσιν τοῦτο καταλείψειν· τὸ δ' ἔστιν οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες ὡς δεῖ πάντα αἰσχύνεσθαι τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι, μὴ ποτέ τις αὐτὸν ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν, ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους· παιδεία γὰρ αὐτὸν δρῶντα διὰ βίου. Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς ὅ τι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. πιστὸς γάρ· ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον, ὅτῳ δὲ ἀκούσιον, ἄνους· ὧν οὐδέτερον ζηλωτόν. ἄφιλος γὰρ δὴ πᾶς ὅ γε ἄπιστος καὶ ἀμαθής, χρόνου δὲ προϊόντος γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὐτῷ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου, ὥστε ζώντων καὶ μὴ ἑταίρων καὶ παίδων σχεδὸν ὁμοίως ὀρφανὸν αὐτῷ γενέσθαι τὸν βίον. τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι· καὶ τὸν μὲν μεταδιδόντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς ἀκρότατον χρὴ τιμᾶν, τὸν δ’ αὖ μὴ δυνάμενον, ἐθέλοντα δέ, ἐᾶν δεύτερον, τὸν δὲ φθονοῦντα καὶ ἑκόντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινῶν αὐτὸν μὲν ψέγειν, τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν, ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν. φιλονεικείτω δὲ ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως. ὁ μὲν γὰρ τοιοῦτος τὰς πόλεις αὔξει, ἁμιλλώμενος μὲν αὐτός, τοὺς ἄλλους δὲ οὐ κολούων διαβολαῖς· ὁ δὲ φθονερὸς τῇ τῶν ἄλλων διαβολῇ δεῖν οἰόμενος ὑπερέχειν αὐτός τε ἧττον ξυντείνει πρὸς ἀρετὴν τὴν ἀληθῆ, τούς τε ἀνταμιλλωμένους εἰς ἀθυμίαν καθίστησι τῷ ἀδίκως ψέγεσθαι, καὶ πρᾷον δὲ ὡς ὅ τι μάλιστα. τὰ γὰρ τῶν ἄλλων χαλεπὰ καὶ δυσίατα ἢ καὶ τὸ παράπαν ἀνίατα ἀδικήματα οὐκ ἔστιν ἄλλως ἐκφυγεῖν, ἢ μαχόμενον καὶ ἀμυνόμενον νικῶντα καὶ τῷ μηδὲν ἀνιέναι κολάζοντα, τοῦτο δὲ ἄνευ θυμοῦ γενναίου ψυχὴ πᾶσα ἀδύνατος δρᾶν. τὰ δ’ αὖ τῶν ὅσοι ἀδικοῦσι μέν, ἰατὰ δέ, γιγνώσκειν χρὴ πρῶτον μέν, ὅτι πᾶς ὁ ἄδικος οὐχ ἑκὼν ἄδικος. τῶν γὰρ μεγίστων κακῶν οὐδεὶς οὐδαμῶς οὐδὲν ἑκὼν κεκτῇτο ἄν ποτε, πολὺ δὲ ἥκιστα ἐν τοῖς τῶν αὐτοῦ τιμιωτάτοις· ψυχὴ δ’, ὡς εἴπομεν, ἀληθείᾳ γ’ ἐστὶ πᾶσι τιμιώτατον· ἐν οὖν τῷ τιμιωτάτῳ τὸ μέγιστον κακὸν οὐδεὶς ἑκὼν μή ποτε λάβῃ καὶ ζῇ διὰ βίου κεκτημένος αὐτό· ἀλλὰ ἐλεεινὸς μὲν πάντως ὅ γε ἄδικος καὶ ὁ κακὰ ἔχων, ἐλεεῖν δὲ τὸν μὲν ἰάσιμα ἔχοντα ἐγχωρεῖ καὶ ἀνείργοντα τὸν θυμὸν πραΰνειν καὶ μὴ ἀκροχολοῦντα, γυναικείως πικραινόμενον, διατελεῖν, τῷ δὲ ἀκράτως καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ ἐφιέναι δεῖ τὴν ὀργήν· διὸ δὴ θυμοειδῆ πρέἔχων ἀποφυγὴν οὐδεμίαν μηχανᾶται· τοῦτο δ’ ἔστιν ὃ λέγουσιν ὡς φίλος αὐτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον· τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε. τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν, ὥστε τὰ δίκαια 〈καὶ τὰ〉 ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὐτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος· οὔτε γὰρ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον στέργειν, ἀλλὰ τὰ δίκαια, ἐάν τε παρ’ αὐτῷ ἐάν τε παρ’ ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ. ἐκ ταὐτοῦ δὲ ἁμαρτήματος τούτου καὶ τὸ τὴν ἀμαθίαν τὴν παρ’ αὐτῷ δοκεῖν σοφίαν εἶναι γεγονέναι πᾶσιν· ὅθεν οὐκ εἰδότες ὡς ἔπος εἰπεῖν οὐδὲν οἰόμεθα τὰ πάντα εἰδέναι, οὐκ ἐπιτρέποντες δὲ ἄλλοις ἃ μὴ ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράττοντες. διὸ πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα φιλεῖν αὐτόν, τὸν δ’ ἑαυτοῦ βελτίω διώκειν ἀεί, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούμενον. Τοῦ αὐτοῦ Νόμων ζ′ (p. 808 B). Ὕπνος δὲ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν οὐδ’ αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν. καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος· ἀλλ’ ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κηδεμών, ἐγρήγορε χρόνον ὡς πλεῖστον τὸ πρὸς ὑγίειαν αὐτοῦ μόνον φυλάττων χρήσιμον. ἔστι δ’ οὐ πολὺ καλῶς εἰς ἔθος ἰόν. ἐγρηγορότες δὲ ἄρχοντες ἐν πόλεσι νύκτωρ φοβεροὶ μὲν κακοῖς πολεμίοις τε ἅμα καὶ πολίταις, ἀγαστοὶ δὲ καὶ τίμιοι τοῖς δικαίοις τε καὶ σώφροσιν, ὠφέλιμοι δὲ αὐτοῖς τε καὶ ξυμπάσῃ τῇ πόλει. Τοῦ αὐτοῦ ἐκ τοῦ Περὶ ἀρετῆς (p. 379 C—D). Πῶς οὖν ἄν, ὦ Σώκρατες, σοὶ δοκοῦσι γίγνεσθαι, εἰ μήτε φύσει μήτε μαθήσει γίγνονται οἱ ἀγαθοί; οἶμαι μὲν οὐκ 〈ἂν〉 ῥᾳδίως αὐτὸ δηλωθῆναι· τοπάζω εἰσιν· οὕτω δὲ καὶ οἱ ἄνδρες οἱ ἀγαθοὶ λέγουσι ταῖς πόλεσιν ἑκάστοτε τὰ ἀποβησόμενα καὶ τὰ μέλλοντα ἔσεσθαι ἐκ θεοῦ ἐπιπνοίας πολὺ μᾶλλον καὶ ἐναργέστερον ἢ οἱ χρησμῳδοί. λέγουσι δέ που καὶ αἱ γυναῖκες ὅτι θεῖος ἀνὴρ οὗτός ἐστι· καὶ Λακεδαιμόνιοι ὅταν τινὰ μεγαλοπρεπῶς ἐπαινῶσι, θεῖον ἄνδρα φασὶν εἶναι. πολλαχοῦ δὲ καὶ Ὅμηρος τῷ αὐτῷ τούτῳ καταχρῆται καὶ οἱ ἄλλοι ποιηταί. καὶ ὅταν βούληται θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλις. ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκ ταύτης τῆς πόλεως ὁ θεός. οὕτως ἔοικεν οὔτε διδακτὸν εἶναι οὔτε φύσει ἀρετή, ἀλλὰ θείᾳ μοίρᾳ παραγίγνεται κτωμένοις. Ξενοφῶντος ἐν α′ Ἀπομνημονευμάτων (I 6, 13—15). Ὁ δὲ Σωκράτης πρὸς ταῦτα εἶπεν· Ὦ Ἀντιφῶν, παρ’ ἡμῖν νομίζεται τὴν ὥραν καὶ

τὴν σοφίαν ὁμοίως μὲν καλόν, ὁμοίως δὲ αἰσχρὸν διατίθεσθαι εἶναι. τήν τε γὰρ ὥραν ἐὰν μέν τις ἀργυρίου πωλῇ τῷ βουλομένῳ, ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας σοφιστὰς ὥσπερ πόρνους ἀποκαλοῦσιν, ὅστις δέ, ὃν ἂν γνῷ εὐφυῆ ὄντα, διδάσκων ὅ τι ἂν ἔχῃ ἀγαθὸν φίλον ποιεῖται, τοῦτον νομίζομεν ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ προσήκει, ταῦτα ποιεῖν. ἐγὼ δ' οὖν καὶ αὐτός, ὦ Ἀντιφῶν, ὥσπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ ἢ κυνὶ ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς, καὶ ἐάν τι ἔχω ἀγαθόν, διδάσκω καὶ ἄλλοις συνίστημι, παρ' ὧν ἂν ἡγῶμαι ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν. καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις διέρχομαι, καὶ ἄν τι ὁρῶμεν ἀγαθόν, ἐκλεγόμεθα, καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις φίλοι γινώμεθα. Πάλιν ποτὲ τοῦ Ἀντιφῶντος ἐρομένου αὐτὸν πῶς ἄλλους μὲν ἡγοῖτο πολιτικοὺς ποιεῖν, αὐτὸς δὲ οὐ πράττοι τὰ πολιτικά, εἶπερ ἐπίσταιτο· Ποτέρως δ' ἄν, ἔφη, ὦ Ἀντιφῶν, μᾶλλον τὰ πολιτικὰ πράττοιμι, εἰ μόνος αὐτὰ πράττοιμι, ἢ εἰ ἐπιμελοίμην τοῦ ὡς πλείστους ἱκανοὺς εἶναι Τοῦ αὐτοῦ ἐν τῷ δευτέρῳ Ἀπομνημονευμάτων (II 1, 18—34). Ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται, οἷον οἱ τὰ θηρία θηρῶντες ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι. καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἢ ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσονται, 〈ἢ〉 ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι καὶ τοὺς φίλους εὖ ποιῶσι καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων; ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὥς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει. τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται ῥηιδίη δ' ἤπειτα πέλει χαλεπή περ ἐοῦσα. μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε· Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί. καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν· καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν χρῶμα καθαριότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν δὲ ἑτέραν τεθραμμένην εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν τερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τραπῇς· ἐὰν οὖν ἐμὲ φίλην ποιησάμενος, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διέσῃ τί ἂν κεχαρισμένον ἢ σῖτον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι, ἀλλ᾽ οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ συνοῦσιν ἐξουσίαν ἐγὼ παρέχω. σοι τί ἐστιν; ἡ δέ· Οἱ μὲν ἐμοὶ φίλοι καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι Κακίαν. καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ᾽ ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἀγαθὸν ἐργάτην γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ᾽ ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ᾽ ᾗπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα διηγήσομαι μετὰ ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας οἱ θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ᾽ εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ᾽ ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως δεῖ αὐταῖς χρῆσθαι ἀσκητέον εἰ δὲ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι. καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὡς φησι Πρόδικος, Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. καὶ ἡ Ἀρετὴ εἶπεν, Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις ἢ τί ἡδὺ οἶσθα μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥ τις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίμπλασαι, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα· ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιήσεις, ὕπνου ἐπιθυμεῖς. τὰ δ᾽ ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις πάντα μηχανωμένη καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη· οὕτω γὰρ παιδεύεις τοὺς ἑαυτῆς φίλους, τῆς μὲν νυκτὸς ζουσα· ἀθάνατος δὲ οὖσα ἐκ θεῶν μὲν ἀπέῤῥιψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος 〈ἀθέατος〉· οὐδὲν γὰρ πώποτε σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ᾽ ἄν σοι λεγούσῃ 〈τι〉 πιστεύσειε; τίς δ᾽ ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἱ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπειον χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ᾽ ἀνθρώποις οἷς προσήκει, ἀγαπητὴ μὲν γὰρ συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτειρα τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων. ἔστι δὲ τοῖς ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις, ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν, ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀποδέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται, καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι᾽ ἐμὲ φίλοι

μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δὲ δὴ ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κτήσασθαι. οὕτω πως διοικεῖ Πρόδικος τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παίδευσιν. Ξενοφῶντος Ἀπομνημονευμάτων γ′ (III 9, 14—15). Ἐρομένου δέ τινος αὐτὸν τί δοκοίη αὐτῷ κράτιστον ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο· Εὐπραξία. ἐρομένου δὲ πάλιν, εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι· Πᾶν μὲν οὖν τοὐναντίον ἔγωγ', ἔφη, πρᾶξιν καὶ τύχην ἡγοῦμαι εἶναι· τὸ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τοῦτο ἐπιτηδεύοντες δοκοῦσί μοι εὖ πράττειν. καὶ ἀρίστους δὲ καὶ θεοφιλεστάτους ἔφη εἶναι ἐν μὲν γεωργίᾳ τοὺς τὰ γεωργικὰ εὖ πράττοντας, ἐν δ' ἰατρείᾳ τοὺς τὰ ἰατρικά, ἐν δὲ πολιτείᾳ τοὺς τὰ πολιτικά· τὸν δὲ μηδὲν εὖ πράττοντα οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι οὔτε θεοφιλῆ. Τοῦ αὐτοῦ ἐν δ′ Ἀπομνημονευμάτων (IV 1). Οὕτω δὲ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος, ὥστε σκοπουμένῳ τῷ καὶ μετρίως αἰσθανομένῳ φανερὸν εἶναι, διότι οὐδὲν ὠφελιμώτερον ἦν τοῦ Σωκράτει συνεῖναι. καὶ γὰρ παίζων οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι. πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾶν, φανερὸς δ' ἦν οὐ τῶν τὰ σώματα πρὸς ὥραν ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις χρῆσθαι· τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν. οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ᾔει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι μαθήσεως δὲ καταφρονοῦντας ἐδίδασκεν ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται, ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους, θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθεῖεν, εὐχρηστοτάτους καὶ ἀρίστους γιγνομένους, εἰ δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλοτάτους· καὶ τῶν κυνῶν τῶν εὐφυεστάτων, φιλοπόνων τε οὐσῶν καὶ ἐπιθετικῶν τοῖς θηρίοις, τὰς μὲν καλῶς ἀχθείσας ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας. ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ ἐξεργαστικωτάτους ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μαθόντας ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίγνεσθαι· πλεῖστα γὰρ καὶ μέγιστα ἀγαθὰ ἐξεργάζεσθαι· ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γενομένους κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι· κρίνειν γὰρ οὐκ ἐπισταμένους ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν πράγμασιν, μεγαλείους δὲ καὶ σφοδροὺς ὄντας δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι· διὸ πλεῖστά τε καὶ μέγιστα κακὰ ἐργάζεσθαι. τοὺς δ' ἐπὶ πλούτῳ μέγα φρονοῦντας καὶ νομίζοντας οὐδὲν προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δὲ σφίσι τὸν πλοῦτον οἰομένους πρὸς τὸ διαπράττεσθαι ὅτι ἂν βούλωνται καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου λέγων ὅτι μῶρος μὲν εἴη, εἴ τις οἴεται μὴ μαθὼν τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι, μῶρος δέ, εἴ τις μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον ὅ τι ἂν βούληται πορίζόμενος οἴεται δυνήσεσθαι τὰ συμφέροντα πράττειν, ἠλίθιος δέ, εἴ τις μὴ δυνάμενος τὰ συμφέροντα πράττειν εὖ τε πράττειν οἴεται καὶ τὰ πρὸς τὸν βίον αὐτῷ ἱκανῶς ἢ καλῶς παρεσκευάσθαι, ἠλίθιος δὲ καί, εἴ τις οἴεται διὰ τὸν πλοῦτον μηδὲν ἐπιστάμενος δόξειν τι ἀγαθὸς εἶναι ἢ μηδὲν ἀγαθὸς εἶναι δοκῶν Πλάτωνος Πολιτείας ε′ (p. 457 B). Κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. Μουσωνίου ἐκ τοῦ Περὶ σκέπης (rel. p. 199 Peerlkamp.). Ταῦτα μὲν περὶ τροφῆς εἶπεν. ἠξίου δὲ καὶ σκέπην τὴν σώφρονα τῷ σώματι ζητεῖν, οὐ τὴν πολυτελῆ καὶ περιττήν· εὐθὺς γὰρ ἐσθῆτι καὶ ὑποδέσει τὸν αὐτὸν τρόπον ἔφη εἶναι χρηστέον, ὅνπερ πανοπλίᾳ, φυλακῆς ἕνεκεν τοῦ σώματος, ἀλλ' οὐκ ἐπιδείξεως. ὥσπερ οὖν ὅπλα κάλλιστα τὰ ἰσχυρότατα καὶ σῴζειν μάλιστα δυνάμενα τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρώμενον, οὐ τὰ περίβλεπτα καὶ λαμπρά, οὕτως ἀμπεχόνη καὶ ὑπόδεσις ἡ χρησιμωτάτη τῷ σώματι κρατίστη καὶ οὐχ ἡ δυναμένη τὰς τῶν ἀνοήτων ὄψεις ἐπιστρέφειν. δεῖ γὰρ τὴν σκέπην ἑαυτῆς κρεῖττον ἀποφαίνειν τὸ σκεπόμενον καὶ ἰσχυρότερον, ἀλλ' οὐκ ἀσθενέστερόν τε καὶ διὰ τῶν σκεπασμάτων μηχανώμενοι χείρω τὰ σώματα ποιοῦσιν, εἴγε τὸ τεθρυμμένον σῶμα καὶ μαλακὸν πολὺ κάκιον τοῦ σκληροῦ τε καὶ διαπεπονημένου ἐστίν· οἱ δὲ ῥωννύντες καὶ κρατύνοντες τῇ σκέπῃ, οὗτοι τὰ σκεπόμενα μόνοι ὠφελοῦσιν. διὰ τοῦτο οὐδαμῶς καλὸν οὔτε ἐσθῆσι πολλαῖς κατασκέπειν τὸ σῶμα οὔτε ταινίαις κατειλεῖν οὔτε χεῖράς τε καὶ πόδας περιδέσει πίλων ἢ ὑφασμάτων τινῶν μαλακύνειν, τούς γε μὴ νοσοῦντας· οὐδ' ὅλως εἶναι ἀγεύστους καλὸν ψύχους τε καὶ θάλπους, ἀλλὰ ῥιγοῦν χρὴ τὰ μέτρια χειμῶνος καὶ ἡλιοῦσθαι θέρους καὶ σκιατροφεῖσθαι ἥκιστα. καὶ τὸ μὲν ἑνὶ χρῆσθαι χιτῶνι τοῦ δεῖσθαι δυοῖν προτιμητέον, τοῦ δ' ἑνὶ χρῆσθαι χιτῶνι τὸ μηδενί, ἀλλὰ ἱματίῳ μόνον. καὶ τοῦ γε ὑποδεδέσθαι τὸ ἀνυποδετεῖν τῷ δυναμένῳ κρεῖττον· κινδυνεύει γὰρ τὸ μὲν ὑποδεδέσθαι τῷ δεδέσθαι ἐγγὺς εἶναι, ἡ δ' ἀνυποδησία πολλὴν εὐλυσίαν τινὰ καὶ εὐκολίαν παρέχει τοῖς ποσίν, ὅταν ἠσκημένοι ὦσιν. ὅθεν καὶ τοὺς ἡμεροδρόμους ὁρᾶν ἔστιν οὐ χρωμένους ὑποδήμασιν ἐν ταῖς ὁδοῖς καὶ τῶν ἀθλούντων τοὺς δρομεῖς οὐκ ἂν ὑποδήμασιν. ἐπεὶ δὲ σκέπης ἕνεκα καὶ τὰς οἰκίας ποιούμεθα, φημὶ καὶ ταύτας δεῖν ποιεῖσθαι πρὸς τὸ τῆς χρείας ἀναγκαῖον, ὡς ἀπερύκειν μὲν κρύος, ἀπερύκειν δὲ θάλπους τὸ σφοδρόν, εἶναι δ' ἡλίου καὶ ἀνέμων ἐπικούρημα τοῖς δεομένοις. καθόλου δὲ ὅπερ ἂν παρέχοι σπήλαιον αὐτοφυές, ἔχον μετρίαν ὑπόδυσιν ἀνθρώπῳ, τοῦτο χρὴ παρέχειν ἡμῖν τὴν οἰκίαν, τοσοῦτον εἴπερ ἄρα περιττεύουσαν, ὅσον καὶ ἀπόθεσιν τροφῆς ἀνθρωπίνης ἐπιτηδείαν ἔχειν. τί δ' αἱ περίστυλοι αὐλαί; τί δ' αἱ ποικίλαι χρίσεις; τί δ' αἱ χρυσόροφοι στέγαι; τί δ' αἱ πολυτέλειαι τῶν λίθων, τῶν μὲν χαμαὶ συνηρμοσμένων, τῶν δ' εἰς τοίχους ἐγκειμένων, ἐνίων καὶ πάνυ πόρρωθεν ἠγμένων [λίθων] καὶ δι' ἀναλωμάτων πλείστων; οὐ ταῦτα πάντα περιττὰ καὶ οὐκ ἀναγκαῖα ὧν τε χωρὶς καὶ ζῆν καὶ ὑγιαίνειν ἔστι, πραγματείαν δ' ἔχει πλείστην, καὶ διὰ χρημάτων γίνεται πολλῶν, ἀφ' ὧν ἄν τις ἐδυνήθη καὶ δημοσίᾳ καὶ ἰδίᾳ πολλοὺς ἀνθρώπους εὐεργετῆσαι; καί τοι δὲ ὠφελιμώτερον τοῦ περιβεβλῆσθαι μεγάλην οἰκίαν τὸ κεκτῆσθαι φίλους πολλούς; ὃ περιγίνεται τῷ προθύμως εὐεργετοῦντι. τί δ' ἂν ὄναιτό τις τηλικοῦτον ἀπ' οἰκίας μεγέθους τε καὶ κάλλους, ἡλίκον ἀπὸ τοῦ χαρίζεσθαι πόλει καὶ πολίταις ἐκ τῶν ἑαυτοῦ; Δημοκρίτου (fr. mor. 20 Mullach.). Ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλέει καὶ μεγάλας κινήσιας ἐμποιέειν τῇ ψυχῇ. αἱ δ' ἐκ μεγάλων διαστημάτων κινεόμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι. ἐπὶ τοῖσι δυνατοῖς ὧν δεῖ ἔχειν τὴν γνώμην καὶ τοῖσι παρεοῦσιν ἀρκέεσθαι τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα καὶ τῇ διανοίῃ μὴ προσεδρεύοντα, τῶν δὲ ταλαιπωρεόντων τοὺς βίους θεωρέειν, ἐννοούμενον ἃ πάσχουσι κάρτα, ὅκως ἂν τὰ παρεόντα σοὶ καὶ ὑπάρἀνθρώπων, καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων. αἰεὶ ἐπικαινουργέειν ἀναγκάζεται, καὶ ἐπιβάλλεσθαι δ' ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὧν νόμοι κωλύουσιν. διόπερ τὰ μὲν μὴ δίζησθαι χρεών, ἐπὶ δὲ τοῖς εὐθυμέεσθαι χρεὼν παραβάλλοντα τὸν ἑωυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον πρησσόντων καὶ μακαρίζειν ἑωυτὸν ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσῳ αὐτῶν βέλτιον πρήσσει τε καὶ διάγει. ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις καὶ οὐκ ὀλίγας κῆρας ἐν τῷ βίῳ διώ-

3.2 Δημητρίου (fab. inc. fr. 2 com. II 2 p. 878). Σφόδρ' εὐάλωτόν ἐστιν ἡ πονηρία· εἰς γὰρ τὸ κέρδος μόνον ἀποβλέπους' ἀεὶ ἀφρόνως ἅπαντα καὶ προπετῶς συμπείθεται. Ἀξιονίκου (fab. inc. fr. 1 com. III p. 536). Ὅταν δανείζῃ τὶς πονηρῷ χρήματα ἀνήρ, δικαίως ἂν τόκον λύπας ἔχοι. Ἀντιφάνους (fab. inc. fr. 60 com. III p. 153). Ὅταν εὐπορῶν τις αἰσχρὰ πράττῃ πράγματα. τί τοῦτον ἀπορήσαντα πράξειν προσδοκᾷς; Μενάνδρου Παλλακή (fr. 1 com. IV p. 182). Πολλοὺς

λογισμοὺς ἡ πονηρία κυκλοῖ. Μενάνδρου. Μισῶ πονηρόν, χρηστὸν ὅταν εἴπῃ λόγον. Μενάνδρου. Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία. Σκληρίου. Πολλοῖσι θνητῶν ἡ μὲν ὄψις εὐγενής, ὁ νοῦς δ' ἐν αὐτοῖς δυσγενὴς εὑρίσκεται. Φιλιππίδου (fab. inc. fr. 7 com. IV p. 476). Ὁ τραχύτατος δὲ συκοφάντης μνᾶς δύο Ἡσιόδου Ἔργων (190—96). Οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὐδὲ δικαίου οὐδ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται. ζῆλος δ' ἀνθρώποισιν ὀιζυροῖσιν ἅπασιν δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης. Ζηνοδότου (fr. 1 p. 831 N. 2). Κηρύσσεται ἀεὶ ἡ ἀρετή· κακὸς δ' ἀνὴρ σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον. Ἡσιόδου Ἔργων (270—72). Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος εἴην, μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον ἔμμεναι, εἰ μείζω τιμὴν ἀδικώτερος ἕξει. Ἐν ταὐτῷ (346—48). Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ. ἔμμορέ τοι τιμῆς, ὅς κ' ἔμμορε γείτονος ἐσθλοῦ. Εὐριπίδου ἐκ Βελλεροφόντου (fr. 303 N. 2). Οὐδέ ποτ' εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ' ὄλβον βέβαιον εἰκάσαι χρεών, οὐδ' ἀδίκων γενεάν· ὁ γὰρ οὐδενὸς ἐκφὺς Χρόνος δικαίους ἐπάγων κανόνας δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί. Εὐριπίδου Μηδείᾳ (516—519). Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μέν, ὃς κίβδηλος ἦν, τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ, ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι, οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι. Εὐριπίδου Τέννῃ (fr. 695 N. 2). Φεῦ· οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει. Σοφοκλέους (fr. 835 N. 2). Δίωνος ἐκ τοῦ Εὐβοϊκοῦ (or. VII p. 269 Reisk.). Ὡς οὔποτε φιλεῖ τὰ μοχθηρὰ μένειν ἐπὶ τοῖς αὐτοῖς· ἀλλ' ἀεὶ κινεῖται καὶ πρόεισιν ἐπὶ τὸ ἀσελγέστερον μηδενὸς ἀναγκαίου μέτρου τυγχάνοντα. Φιλίππου. Φίλιππος ἐρωτώμενος ὑπὸ Βυζαντίων τί ἀδικηθεὶς πολιορκεῖ αὐτούς, εὐήθεις ἔφησεν εἶναι καὶ ὁμοίους τῷ εἴ τις ἔχων καλὴν γυναῖκα τοὺς ἐπικωμάζοντας ἐρωτῴη διὰ τί ἐπικωμάζουσιν. Θαλῆς (Plut. septem sap. conv. p. 153 D). Θαλῆς ἐρωτηθεὶς τί βλαβερώτατον, ἔφη ‘κακία· καὶ γὰρ τὰ χρηστὰ βλάπτει παραγενομένη‘. Δημοσθένους. Δημοσθένης ἔλεγεν ὡς πολλάκις ἐπιὸν αὐτῷ εὔξασθαι τοὺς πονηροὺς ἀπολέσθαι φοβοῖτο μὴ ἔρημον ἄρδην ἐκ τῆς εὐχῆς ποιήσῃ τὴν πόλιν. Πυθαγόρου. Νόμου θείου τὸ φαῦλον ἀνήκοον, διὸ καὶ παρανομεῖ. Λυσίου (fr. 266 ed. Bait. et Saupp.). Ὅστις τοῦ μὲν μὴ ἀδικεῖν οὐ προνοεῖται, τοῦ δὲ μὴ Δημοσθένους Φιλιππικῶν (IX § 17 p. 115). Ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μή πω βάλλῃ μηδὲ τοξεύῃ. Φιλήμονος Ἀγύρτου (com. IV p. 3). Ὦ πῶς πονηρόν ἐστιν ἀνθρώπου φύσις τὸ σύνολον· οὐ γὰρ ἄν ποτ' ἐδεήθη νόμου. (comici incerti) Οἴει τι τῶν ἄλλων διαφέρειν θηρίων ἄνθρωπον; οὐδὲ μικρόν, ἀλλ' ἢ σχήματι· πλάγι' ἐστὶ τἄλλα, τοῦτο δ' ὀρθὸν θηρίον. Φιλήμονος (fab. inc. fr. 3 com. IV p. 32). ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι· δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί· οὐκ ἔστ' ἀλώπηξ ἡ μὲν εἴρων τῇ φύσει, ἡ δ' αὐθέκαστος· ἀλλ' ἐὰν τρισμυρίας ἀλωπεκάς τις συναγάγῃ, μίαν φύσιν ἁπαξαπασῶν ὄψεται τρόπον θ' ἕνα. ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστί, τὸν ἀριθμὸν καθ' ἑνός, τοσούτους ἐστὶ καὶ τρόπους ἰδεῖν. Σοφοκλῆς Αἴαντι (1159—1160). Ἄπειμι· καὶ γὰρ αἰσχρὸν εἰ πύθοιτό τις λόγοις κολάζειν, ᾧ βιάζεσθαι παρῇ. Ὁ αὐτὸς ἐν Φαίδρᾳ. (Soph. El. 1050 sq.) Ἄπειμι τοίνυν· οὔτε γὰρ σὺ τἄμ' ἔπη τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους. Λυκούργου (fr. 96 Saupp.). Ὅσοι τοῖς ἀπὸ τῆς φύσεως ἀγαθοῖς ἐπὶ τὰ χείρω χρῶνται, τούτοις πολέμια τὰ εὐτυχήματά ἐστιν. ὡς εἴ τις ἀνδρεῖος ὢν λῄζεσθαι μᾶλλον ἢ στρατεύεσθαι προῄρηται, καὶ ἰσχυρὸς ὢν λωποδυτεῖν μᾶλλον ἢ ... συμβουλεύειν, ἢ καλὸς ὢν μοιχεύειν μᾶλλον ἢ γαμεῖν, οὗτος τῶν ἀπὸ τῆς φύσεως ἀγαθῶν ὑπαρξάντων προδότης ἐστίν. Μουσωνίου (rel. p. 254 Peerlk.). Τί προβαλλόμεθα τοὺς τυράννους μακρῷ χείρονες αὐτῶν καθεστῶτες; τὰς γὰρ ὁμοίας αὐτοῖς ἔχομεν ὁρμὰς ἐν ταῖς οὐχ ὁμοίαις τύχαις. Θεοδώρου. Θεόδωρος ὁ Κυρηναϊκὸς Λυσιμάχου τοῦ βασιλέως ἀπειλήσαντος αὐτὸν ἀναιρήσειν ‘ἐλελήθεις με‘ εἶπεν ‘οὐ βασιλέως, ἀλλὰ κωνείου δύναμιν ἔχων‘. Θεοκρίτου. Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (Plut. fr.

XVIII 1). Κακίας αὐτῶν πλάσσονταί τινες ῥημάτων εὐπρεπείᾳ, τὸ μὲν φιλοσώματον ἁπλοῦν, τὸ δὲ φιλάργυρον προμηθὲς ἀποκαλούμενοι. Ἐν ταὐτῷ (Plut. fr. XVIII 2). Πολύβουλον εἶναι καὶ πολύτροπον, ἔνθα δεῖ καὶ τέχνης, κατ' ἀλλοφύλων πολεμίων χρήσιμον καὶ ἀναγκαῖον· ἐπίβουλον δ' ἦθος καὶ κακομηχανώτατον διὰ παντὸς ἔχειν καὶ κατὰ πάντων, οὐ τῇ τῶν ἀγχινόων, ὥς τινες οἴονται, τῇ δὲ τοῦ πονηροτάτου μερίδι προστίθημι. Δημοκρίτου (fr. mor. 120 Mullach.). Ἔστι ῥηίδιον μὲν ἐπαινέειν ἃ μὴ χρὴ καὶ ψέγειν, Διονυσίου Ἁλικαρνασέως. Ἀπὸ γὰρ τῆς αὐτῆς διανοίας οἱ ἄνθρωποι ἀπογιγνώσκουσί τε ἑαυτῶν καὶ ἑτέροις ἀπιστοῦσιν. Βίωνος ἐν τῷ Περὶ δουλείας. Φησὶν ὁ Βίων· οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι, οἱ δὲ πονηροὶ ἐλεύθεροι δοῦλοι πολλῶν ἐπιθυμιῶν. Ἰαμβλίχου ἐκ τῶν Προτρεπτικῶν εἰς Σωκρατικοῦ. Σωκρατικὸς ὁ κυνικὸς ἀκούσας ποτὲ πονηροῦ τὸν τρόπον κακῶς λέγοντος Πλάτωνα 'παῦσαι' ἔφη 'οὔτε γὰρ κακῶς λέγων ἐκεῖνον πιστευθήσῃ οὔτε ἐκεῖνος σὲ ἐπαινῶν'. Σιμωνίδου. Σιμωνίδης ὁ μελοποιὸς εἰπόντος τινός, ὅτι πολλοὶ αὐτὸν παρ' αὐτῷ κακῶς λέγουσιν· 'οὐ παύσῃ' ἔφη 'ποτὲ σὺ τοῖς ὠσί με βλασφημῶν;' Ἀνάχαρσις. Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς ὑπό τινος, τί ἐστι Πλάτωνος Πολιτείας γ′ (p. 405 B). ..... Πάντων μὲν οὖν, ἔφη, αἴσχιστον. Ἢ δοκεῖ σοι, ἦν δ' ἐγώ, τούτου αἴσχιον εἶναι τοῦτο; ὅταν δή τις μὴ μόνον τὸ πολὺ τοῦ βίου ἐν δικαστηρίοις φεύγων τε καὶ διώκων κατατρίβηται, ἀλλὰ καὶ ὑπὸ ἀπειροκαλίας ἐπ' αὐτῷ δὴ τούτῳ πεισθῇ καλλωπίζεσθαι, ὡς δεινὸς ὢν περὶ τὸ ἀδικεῖν καὶ ἱκανὸς πάσας μὲν στροφὰς στρέφεσθαι, πάσας δὲ διεξόδους διεξελθὼν ἀποστραφῆναι λογιζόμενος, 〈ὥστε〉 μὴ παρασχεῖν δίκην, καὶ ταῦτα σμικρῶν τε καὶ οὐδενὸς ἀξίων ἕνεκα, ἀγνοῶν, ὅσῳ κάλλιον καὶ ἄμεινον τὸ παρασκευάζειν τὸν βίον αὐτῷ μηδὲν δεῖσθαι νυστάζοντος δικαστοῦ; Οὔκ, ἀλλὰ τοῦτ', ἔφη, ἐκείνου ἔτι αἴσχιον. Πλάτωνος Νόμων β′ (p. 661 D). Ἐγὼ μὲν γὰρ λέγω σαφῶς τὰ μὲν κακὰ λεγόμενα ἀγαθὰ τοῖς ἀδίκοις εἶναι, τοῖς δὲ δικαίοις κακά, τὰ δὲ ἀγαθὰ τοῖς μὲν ἀγαθοῖς ὄντως ἀγαθά, τοῖς δὲ κακοῖς κακά. Σωκράτους. Ταὐτὸν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμίζειν καὶ ἐκ φαύλης γνώμης ἐλπίδα. Ξενοφῶντος ἐκ τῆς Κύρου ἀναβάσεως (II 6, 21—25). Μένων δ' ὁ Θετταλὸς 〈δῆλος〉 ἦν ἐπιθυμῶν 〈μὲν〉 πλούτου ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως [ὡς] πλείω λαμβάνοι· ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα [ἐπὶ] πλείω κερδαίνοι· φίλος δ' ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην· ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν, τὸ δὲ ἁπλοῦν καὶ ἀληθὲς ἐνόμιζε τὸ αὐτὸ τῷ ἠλιθίῳ εἶναι. στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα, ὅτῳ δὲ φαίη φίλος εἶναι, βούλευεν· χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν· τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον ἀφύλακτα λαμβάνειν. καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο· τοῖς δὲ ὁσίοις καὶ ἀληθειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. Αἰσχίνου (III 99). Καὶ γὰρ τοῦτ' ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ· οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες ὁπόταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δὲ ὅταν ἀλαζονεύηται, πρῶτον 〈μὲν〉 μεθ' ὅρκου ψεύδεται ἐξώλειαν ἐπαρώμενος αὐτῷ· δεύτερον δέ, ἃ οἶδεν οὐδέποτε ἐσόμενα, τολμᾷ λέγειν εἰς ὁπότε ἔσται, καὶ ὧν τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας. ᾗ καὶ σφόδρα ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς

3.3 Μενάνδρου (fab. inc. fr. 276 com. IV p. 292). Ἅπαντα δοῦλα τῷ φρονεῖν καθίσταται. Εὐριπίδου Ἀντιόπῃ (fr. 199 N. 2). Τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος κακῶς ἐμέμφθης· εἰ γὰρ εὖ φρονεῖν ἔχω, κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος. (Aristot. top. I 17 p. 108 a 11) Ὡς ὄψις ἐν ὀφθαλμῷ, νοῦς ἐν ψυχῇ. Σοφοκλέους (fr. 836 N. 2). Ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν. Σοφοκλῆς Αἴαντι (1246—54). Ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου· εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄξομεν. ἀλλ᾽ εἰρκτέον τάδ᾽ ἐστίν· οὐ γὰρ οἱ πλατεῖς οὐδ᾽ εὐρύνωτοι φῶτες ἀσφαλέστατοι, ἀλλ᾽ οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ. μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται. Μενάνδρου Θεοφορουμένῃ (fr. 1 com. IV p. 134). Ὁ πλεῖστον νοῦν ἔχων μάντις τ᾽ ἄριστός ἐστι σύμβουλός θ᾽ ἅμα. Μενάνδρου (fr. 4 com. IV p. 198). Ἆρ᾽ ἔστιν ἀγαθῶν πᾶσι πλείστων αἰτία Σοφοκλῆς Ἀλήτῃ (fr. 97 N. 2). Ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρέτις. Μενάνδρου Ἰμβρίοις (fr. 1 com. IV p. 141). Οὐκ ἔστιν οὐδέν, πάτερ, ἐν ἀνθρώπου φύσει μεῖζον λογισμοῦ· τῷ διαθέσθαι πράγματα ἕκαστός ἐστιν καὶ λογίσασθαι κατὰ τρόπον ἄρχων, στρατηγός, ἡγεμὼν δήμου, πάλιν σύμβουλος ὁ λογισμῷ διαφέρων πάντ᾽ ἔχει. Αἰσχύλου (trag. adesp. fr. 517 N. 2). Ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς. Αἰσχύλου (Aesch. fr. 390 N. 2). (comici ignoti) Ἦ χαρίεν ἔστ᾽ ἄνθρωπος, ἂν ἄνθρωπος ᾖ. Αἰσχύλου (fr. 301 N. 2). Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός. Τοῦ αὐτοῦ (fr. 391 N. 2). Ἁμαρτάνει τι καὶ σοφοῦ σοφώτερος. Ἀγάθωνος (inc. fab. fr. 20 p. 767 N. 2). Οὐ τῇ φρονήσει, τῇ τύχῃ δ᾽ ἐσφάλμεθα. (trag. adesp. fr. 518 N. 2) Χαιρήμονος (trag. adesp. fr. 518 N. 2 Chaerem. fr. 23 p. 788 N. 2). Τό τοι κράτιστον πανταχοῦ τιμητέον· ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει. Εὐριπίδου Ἐρεχθέως (fr. 362 N. 2). Ὀρθῶς μ᾽ ἐπήρου, βούλομαι δέ σοι, τέκνον, φρονεῖς γὰρ ἤδη κἀποσώσαι᾽ ἂν πατρὸς γνώμας φράσαντος, ἂν θάνω, παραινέσαι κειμήλι᾽ ἐσθλὰ καὶ νέοισι χρήσιμα. βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ. πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών· τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσιν δίδου. δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ᾽ εὐγενὲς 〈καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.〉 ἐν τῷ πένεσθαι δ᾽ ἐστὶν ἥ τ᾽ ἀδοξία, κἂν ᾖ σοφός τις, ἥ τ᾽ ἀτιμία βίου. φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις κέκτησο· τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ τῇ σῇ πονηροὺς κλῆθρον εἰργέτω στέγης. αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν· ὃ καὶ σίδηρον ἀγχόνας τ᾽ ἐφέλκεται, χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα. καὶ τοὺς πονηροὺς μή ποτ᾽ αὔξαν᾽ ἐν πόλει· κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα σκιρτῶσιν ἀδίκως εὐτυχησάντων δόμων. ἀλλ᾽ ὦ τέκνον μοι δὸς χέρ᾽, ὡς θίγῃ πατήρ, καὶ χαῖρ᾽· ὑπ᾽ αἰδοῦς δ᾽ οὐ λίαν ἀσπάζομαι· γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ. Θεόγνιδος (1163—1164). Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρὸς ἐν μέσσῳ στηθέων εὐξύνετος φύεται. Εὐριπίδου Πολυείδῳ (fr. 634 N. 2). Ὅστις νέμει κάλλιστα τὴν αὑτοῦ φύσιν, οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον. Πυθαγόρου ἐκ τῶν Χρυσῶν ἐπῶν (21—26. 39 ed. Nauck). Πολλοὶ δ᾽ ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ προσπίπτους᾽, ὧν μήτ᾽ ἐκπλήσσεο μήτ᾽ ἄρ᾽ ἐάσῃς εἴργεσθαι σαυτόν· ψεῦδος δ᾽ ἤν σοί τι γένηται, πρᾴως εἶχ᾽. ὃ δέ τοι ἐρέω, ἐπὶ πᾶσι τελείσθω· μηδεὶς μήτε λόγῳ σε παρείπῃ μήτε τι ἔργῳ πρῆξαι μηδ᾽ εἰπεῖν ὅ τι τοι μὴ βέλτερόν ἐστι. πρῆσσε δὲ ταῦθ᾽ ἅ σε μὴ βλάπτει· λόγισαι δὲ πρὸ ἔργου. Εὐριπίδου Πελιάσιν (fr. 604 N. 2). Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου. Μενάνδρου (fab. inc. fr. 45 com. IV p. 248). Ὅταν ἕτερός σοι μηδὲν ἔμπλεων διδῷ, δέξαι τὸ μόριον· τοῦ λαβεῖν γὰρ μηδὲ ἓν Πυθαγόρου. Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις. Ἀριστοτέλους (fr. 57 Rose 3). Νόμιζε δὲ τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι, μᾶλλον δ᾽ ἐν τῷ τὴν ψυχὴν εὖ διακεῖσθαι. καὶ γὰρ οὐδὲ τὸ σῶμα οὐ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις ἂν εἶναι μακάριον, ἀλλὰ τὸ τὴν ὑγίειαν ἔχον καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχὴν ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα προσαγορευτέον ἐστίν, οὐκ ἂν τοῖς ἐκτὸς ᾖ λαμπρῶς κεκοσμημένος, αὐτὸς μηδενὸς ἄξιος ὤν. οὐδὲ γὰρ ἵππον, ἐὰν ψέλλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ φαῦλος ὤν, τὸν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι· ἀλλ᾽ ὃς ἂν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἂν γένοιτο, τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκε τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νομίζειν. καὶ τοῦτο κατ' ἀλήθειαν οὕτως ἔχει· τίκτει γάρ, ὥσπερ φησὶν ἡ παροιμία, κόρος μὲν ὕβριν, ἀπαιδευσία δὲ μετ' ἐξουσίας ἄνοιαν. τοῖς γὰρ διακειμένοις τὰ περὶ τὴν ψυχὴν κακῶς οὔτε πλοῦτος οὔτ' ἰσχὺς οὔτε κάλλος τῶν ἀγαθῶν ἐστίν· ἀλλ' ὅσῳ περ ἂν αὖται μᾶλλον αἱ διαθέσεις καθ' ὑπερβολὴν ὑπάρξωσι, τοσούτῳ καὶ πλείω καὶ μείζω τὸν κεκτημένον βλάπτουσι χωρὶς φρονήσεως παραγενόμεναι. Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ἀσφάλιον περὶ φρονήσεως. Τὴν ἡγεμόν' οὖσαν τῶν ἀρετῶν φρόνησιν καὶ χρωμένην αὐταῖς ὅλαις, καθάπερ ὄμμα νοερόν, τάξεις τε καὶ μέτρα αὐτῶν καὶ τὴν ἐγκαιροτάτην διάθεσιν εὖ διακοσμοῦσαν ἐπιδείκνυσιν ὁ λόγος ὑπ' αὐγὰς ἐν τῷ παρόντι. αὐτοῦ μέτρον τε καὶ παράδειγμα αὐτὸν ἔχει κάλλιστον τῶν ἐν αὐτῇ πασῶν ἐνεργειῶν. εἰ δέ τίς ἐστι καὶ πρὸς θεοὺς ἡμῖν κοινωνία, διὰ ταύτης μάλιστα τῆς ἀρετῆς αὕτη συνίσταται, καὶ κατὰ ταύτην διαφερόντως πρὸς αὐτοὺς ἀφομοιούμεθα· ἀγαθῶν τε καὶ συμφερόντων καὶ καλῶν καὶ τῶν ἐναντίων διάγνωσις ἀπὸ ταύτης ἡμῖν πάρεστιν, ἔργων τε προσηκόντων κρίσις καὶ κατόρθωσις δι' αὐτῆς κατευθύνεται. καὶ συλλήβδην φάναι, κυβερνητική τις ἐστὶ τῶν ἀνθρώπων καὶ τῆς ὅλης ἐν αὐτοῖς διατάξεως ἀρχηγός, πόλεις τε καὶ οἴκους καὶ τὸν ἴδιον ἑκάστου βίον εἰς παράδειγμα τὸ θεῖον ἀναφέρουσα διαζωγραφεῖ κατὰ τὴν ἀρίστην ὁμοιότητα, τὸ μὲν ἐξαλείφουσα, τὸ δὲ ἐναπομοργνυμένη, τὰ δὲ ἀμφότερα συμμέτρως ἀπεικάζουσα. εἰκότως ἄρα καὶ θεοειδεῖς ἀπεργάζεται τοὺς ἔχοντας αὐτὴν ἡ φρόνησις. Φωκυλίδου (Ps.—Phoc. 111. 113 Bergk). Πάντες ἴσον νέκυες, ψυχῶν δὲ θεὸς βασιλεύει. (Ps.—Phoc. 125—130 Bergk) Ὅπλον ἑκάστῳ νεῖμε θεός, φύσιν ἠερόφοιτον ὄρνισιν, πολλὴν ταχυτῆτ' ἀλκήν τε λέουσι, ταύροις δ' αὐτοχύτοις κεράεσσιν, κέντρα μελίσσαις ἔμφυτον ἄλκαρ ἔδωκε, λόγον δ' ὃς ἐστὶν ἄριστος ἀνθρώπῳ νεῖμεν. βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ. Μενάνδρου (Eur. fr. 959 N. 2). Ἐγὼ δ' οὐδὲν πρεσβύτερον νομίζω τῆς σωφροσύνης, ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστι. (trag. adesp. fr. 356 N. 2) Φόβος [δὲ] τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν. (Eur. fr. 20 N. 2) Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν, (Soph. fr. 755 N. 2) Οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά. (Eur. fr. 841 N. 2) Αἰαῖ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν, ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή. (Eur. fr. 892 N. 2) Ἐπεὶ τί δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνον, Δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόου; (trag. adesp. fr. 352 N. 2) Εἱμαρμένον δὲ τῶν κακῶν βουλευμάτων κακὰς ἀμοιβὰς ἐστι καρποῦσθαι βροτοῖς. (Eur. fr. 972 N. 2) Πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων σφάλλουσιν ἡμᾶς, κρείσσονες πεφυκότες. (Aesch. fr. 156 N. 2) Θεὸς μὲν αἰτίαν φύει βροτοῖς, ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ. (trag. adesp. fr. 4 N. 2) Τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο, τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος, ἔνθα κερδανεῖς. Εὐριπίδου (fr. 130 N. 2). Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων οὐ πώποθ' ὕβρις', αὐτὸς ὀρρωδῶν παθεῖν. (Eur. fr. 654 N. 2) Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου, Ἐκ τοῦ Πλουτάρχου Εἰ ἡ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος (fr. XV, 1). Ἀλλὰ μὴν ἡ φρόνησις οὐ σωμάτων ἀλλὰ πραγμάτων ὄψις ἐστί, πρὶν ἐν αὐτοῖς γενέσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι, παρέχουσα διασκοπεῖν τὸ μέλλον. τὸ μὲν οὖν σῶμα πρόσω μόνον ὠμμάτωται, τοῖς δ' ὄπισθεν τυφλόν ἐστιν ἀτεχνῶς· ἡ δὲ διάνοια καὶ τὰ παρῳχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν. ὁ γὰρ ἐγκαθήμενος ἀεὶ καὶ οἰκουρῶν γραμματεὺς ἐν ἡμῖν, ὥς φησιν ὁ Πλάτων, οὗτός ἐστι, καὶ προγεγονὸς ἐνταῦθα τῆς ψυχῆς εἴτε μέρος εἴτε ὄργανον, ᾧ τῶν πραγμάτων ἀντιλαμβάνεται φερομένων καὶ φυλάττει καὶ ἵστησι καὶ κυκλοποιεῖ τὸ παρῳχημένον ἐπιστρέφουσα, καὶ συνάπτουσα τῷ παρόντι, καὶ παραρρεῖν εἰς τὸ ἄπειρον οὐκ ἐῶσα καὶ ἀνύπαρκτον καὶ ἄγνωστον. Θεοφράστου (fr. CLII ed. Wimmer). τητος σημεῖον. ἔπειτα γονεῖς γηροτροφεῖν καλῶς ταῖς 〈τ'〉 ἐκείνων βουλήσεσι τὸν αὐτοῦ βίον εὐπειθῆ κατασκευάζειν. ὁ γὰρ μὴ τοιοῦτος, ἀλλὰ τῶν τε τῆς φύσεως τῶν τε τῆς πόλεως νόμων ὀλιγωρῶν ἀμφοτέρους τοὺς τῆς δικαιοσύνης τρόπους παραβέβηκε. καὶ μὴν καὶ γυναικὸς καὶ παίδων ἐπιμελητέον καλῶς καὶ φιλανθρώπως· οἱ μὲν γὰρ εἰς τὸ γῆρας ἀμείβονται ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεραπείαις, ἡ δ’ ἐν ταῖς νόσοις καὶ ταῖς καθ’ ἡμέραν οἰκονομίαις ἀποδώσει τὴν εὐεργεσίαν ..... ἐάν τινι συμβάλλειν ἀνάγκη ᾖ, μετὰ τοῦ βεβαίου πειρῶ τοῦτο πράττειν· φρονιμωτέρου γὰρ ἀνδρὸς δανείσαντα φρονίμως ἀπολαβεῖν φιλικῶς, ἢ συναλλάξαντα φιλανθρώπως κομίσασθαι φιλαπεχθημόνως. Δημοκρίτου (fr. mor. 201 Mullach). Φρονήσιος ἔργον 〈τὸ〉 μέλλουσαν ἀδικίην φυλάξασθαι, ἀναλγησίης δὲ τὸ γενομένην μὴ ἀμύνασθαι. Σωκράτους. Περιάνδρου. Περίανδρος ἐρωτηθείς, τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε ‘φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου‘. Δημοκρίτου (fr. mor. 17 Mull.). Αἱ μεγάλαι τέρψιες ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται. Πλάτωνος (Phaedr. p. 239 A—B). Φθονερὸν δὴ ἀνάγκη εἶναι, καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστ’ ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης, μεγίστης δὲ τῆς ὅθεν ἂν φρονιμώτατός [τις] εἴη. τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν, ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι. Τοῦ αὐτοῦ (epist. 2 p. 493 Herch.). Πέφυκε ξυνιέναι εἰς τὸ αὐτὸ φρόνησίς τε καὶ δύναμις μεγάλη· καὶ ταῦτα ἄλληλα ἀεὶ διώκει καὶ ζητεῖ καὶ συγγίνεται. Πυθαγόρου. Σωκράτους. Σωκράτης ὁ φιλόσοφος, πολλὰ τῶν φίλων αὐτῷ πεμπόντων, ἐπειδὴ μηδὲν δεχόμενος ἐπὶ τούτῳ παρὰ τῆς Ξανθίππης ηὐθύνετο, ἔφη ‘ἂν τὰ διδόμενα πάντα ἑτοίμως λαμβάνωμεν, οὐδ’ αἰτοῦντες τοὺς διδόντας ἕξομεν‘. Διογένους. Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι· ὁ δὲ ‘ἀνόητος μὲν οὐκ εἰμί‘ ἔφη ‘τὸν δὲ αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω‘. Διογένης πωλούμενος ἐν Κορίνθῳ, ἐρομένου τοῦ κήρυκος ‘τί ἐπίστασαι;‘ ‘ἀνθρώπων‘ ἔφη ‘ἄρχειν‘. καὶ ὁ κῆρυξ γελάσας ‘μέγα ἐπιτήδευμα πωλῶ, εἴ τις θέλει πρίασθαι κύριον‘. Γαΐου ὑπὲρ δεσποτῶν. Σωφρονέστερον δὲ οἶμαι τοῦ μετὰ τὸ παθεῖν ἐγκα- Διονυσίου (Ps.—Plut. apophth. reg. et duc. p. 175 F). Ξένου τινὸς ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ, ὅπως προειδήσει τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν. ὁ δὲ προελθὼν ‘δός‘ ἔφη ‘μοι τάλαντον, ἵνα δόξῃς μεμαθηκέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων‘. ἔδωκεν οὖν θαυμάζων τὴν μέθοδον τοῦ ἀνθρώπου. Χρυσίππου. Χρύσιππος ὁ Στωϊκὸς ἔφη τὴν διάνοιαν εἶναι λόγου πηγήν. Σωκράτους. Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες Ἡροδότου ἱστορίας ζ′ (VII 16). Ἶσον ἐκεῖνο, ὦ βασιλεῦ, παρ’ ἐμοὶ κέκριται φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι. Ἡροδότου ἱστορίας γ′ (III 52). Σὺ δὲ μαθὼν ὅσῳ φθονέεσθαι κρέσσον ἐστὶν ἢ οἰκτείρεσθαι, ἅμα τε ὁκοῖον ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκεῖα. Πλάτωνος Νόμων ιβ′ (p. 963 C). Οἷον ὅτε τέτταρα ἐφήσαμεν ἀρετῆς εἴδη γεγονέναι, δῆλον ὡς ἓν ἕκαστον ἀνάγκη φάναι, τεττάρων ὄντων. — Τί μήν; — Καὶ μὴν ἕν γε ἅπαντα ταῦτα προσαγορεύομεν· ἀνδρείαν γὰρ φαμὲν ἀρετὴν εἶναι, καὶ τὴν φρόνησιν ἀρετήν, καὶ τὰ δύο τἆλλα, ὡς 〈ὄντωσ〉 ὄντα οὐ πολλά, ἀλλ’ ἓν τοῦτο μόνον ἀρετήν. — Πάνυ μὲν οὖν. — Ἧι μὲν τοίνυν διαφέρετον αὐτοῖν τούτω τὼ δύο καὶ δύ’ ὀνόματα ἐλαβέτην καὶ τὰ ἄλλα, οὐδὲν χαλεπὸν εἰπεῖν· ᾗ δὲ ἓν ἀμφοῖν ἐπωνομάσαμεν ἀρετὴν καὶ τοῖς ἄλλοις, οὐκ εὐπετὲς ἔτι. — Πῶς λέγεις; — Οὐδὲν χαλεπὸν ὅ γε λέγω δηλῶσαι· διανειμώμεθα γὰρ ἀλλήλοις τὴν ἐρώτησιν καὶ προσείπομεν, τὸ μὲν ἀνδρείαν, τὸ δὲ φρόνησιν. ἐρῶ γάρ σοι τὴν αἰτίαν, ὅτι τὸ μέν ἐστι περὶ φόβον, οὗ καὶ τὰ θηρία μετέχει τῆς ἀνδρείας, καὶ τά γε τῶν παίδων ἤθη τῶν πάνυ νέων· ἄνευ γὰρ λόγου καὶ φύσει γίγνεται ἀνδρεία ψυχή· ἄνευ δὲ αὖ λόγου ψυχὴ φρόνιμός τε καὶ νοῦν ἔχουσα οὔτ’ ἐγένετο πώποτε, οὔτ’ ἔστιν, οὐδ’ αὖθίς ποτε γενήσεται, ὡς ὄντος ἑτέρου. — Ἀληθῆ λέγεις. (scriptoris nescio cuius) Πῶς γὰρ, ὦ φίλε, δύναιτο ἄν τις ἀρχόμενος ἀπὸ δόξης ψευδοῦς ἐπί τι τῆς ἀληθείας καὶ μικρὸν μέρος ἀφικόμενος κτήσασθαι σχεδὸν φρόνησιν; Οὐδαμῶς. Σωκράτους. Ὥσπερ εἰς κενὸν σκάφος τὸ ἀπὸ τῆς φρονήσεως Ὁ φρόνιμος ὥσπερ εἰς ὁδὸν τὸν βίον οὐ τὰ πολλοῦ ἄξια συντίθησιν ἐφόδια, ἀλλὰ τὰ ἀναγκαιότερα. Κρίτωνος ἤτοι Δαμίππου Πυθαγορείου ἐκ τοῦ Περὶ φρονήσεως καὶ εὐτυχίας (fr. 1 phil. Gr. II p. 25 Mull.). Φρόνασις καὶ εὐτυχία ὧδε ἔχοντι ποτ’ ἄλλαλα. φρόνασις μὲν τὸ ῥητὸν καὶ λόγον ἔχον· τεταγμένον γάρ τι καὶ ὡρισμένον ἐντί· εὐτυχία

δὲ τὸ ἄρρητον καὶ τὸ ἄλογον· ἄτακτον γάρ τι καὶ ἀόριστόν ἐντι. καὶ τὸ μὲν ἀρχᾷ καὶ δυνάμει πρᾶτον, τὸ δὲ ἀρχᾷ καὶ δυνάμει δεύτερον· τὸ μὲν γὰρ κυβερνῆν καὶ ὁρίζεν πέφυκε, τὸ δὲ κυβερνῆσθαι καὶ ὁρίζεσθαι. λαμβάνοντι μάν τοί γε συναρμογὰν ἀμφότερα, φρονάσιος καὶ εὐτυχίας ἐς ταυτὸ συνδραμοίσας. αἰεὶ γὰρ δεῖ τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν ἔχεν ὃ περανεῖ τε καὶ συντάξει, τὰν δὲ ἄρρητον καὶ ἄλογον ἔχεν ὑφ' ᾧ περανθήσεταί τε καὶ συνταχθήσεται. ἔχει γὰρ οὕτως ὁ λόγος κατὰ πάντων, ὅ τε τᾶς ἀπείρω φύσιος καὶ τᾶς περαινοίσας. τὰ μὲν γὰρ ἄπειρα φύσιν ἔχει περαίνεσθαί γὰρ καὶ αἰτίας ἐνεργατικᾶς ἐπέχοντι τάξιν. Ἐν ταὐτῷ (fr. 2 phil. Graec. II p. 25 Mull.). Ἁ δὲ συναρμογὰ ταυτᾶν τᾶν φυσίων κατ' ἄλλα καὶ ἄλλα γινομένα μεγάλαν καὶ ποικίλαν πεποίηκε τὰν διαφορὰν τῶν συναρμοσμένων. ἔν τε γὰρ τᾷ τῶ ὅλω περιοχᾷ 〈ἁ〉 συναρμογὰ ἀμφοτερᾶν [συναμφοτέρων] τᾶν φυσίων, τᾶς τε ἀεικινάτω φύσιος καὶ τᾶς ἀειπαθέος, κόσμος ἐντί· ἄλλως γὰρ οὐκ ἐνεδέχετο σῴζεσθαι τό τε ὅλον καὶ τὸ πᾶν, μὴ συναρμογὰν ἔχοντος τῶ γεννατῶ ποτὶ τὸ θεῖον καὶ τῶ ἀειπαθέος ποτὶ τὸ ἀεικίνατον. ἔν τε τῷ ἀνθρώπῳ ἁ συναρμογὰ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον, ἀρετά. οὔτε γὰρ ἐν τούτοις ἐνδέχεται στάσιος ἐοίσας ἐν ἀμφοτέροις τοῖς μέρεσιν ἀποτελεσθῆμεν ἀρετάν. καὶ ἐν πόλει δὲ τῶν μὲν ἀρχομένων ποτὶ τὼς ἄρχοντας ἀποτελεῖ κράτος καὶ ὁμόνοιαν· τὸ μὲν γὰρ ἄρχεν ἴδιον τῶ κρέσσονος, τὸ δ' ἄρχεσθαι ἴδιον τῶ χερῆονος, τὸ δὲ κρατὲν καὶ ὁμονοὲν κοινὸν ἀμφοτέρων. ὁ δὲ αὐτὸς τρόπος τᾶς ἐπὶ τῶ ὅλω καὶ τᾶς ἐπὶ τῶ οἴκω συναρμογᾶς συντίθεταί τε καὶ συντάσσεται σπωδᾶς καὶ παιδιᾶς ποτὶ λόγον ἐς τὸ αὐτὸ συνδραμοίσας, καὶ λύπας δὲ καὶ ἀδονᾶς, καὶ εὐτυχίας καὶ ἀτυχίας. χρῄζει γὰρ ὁ βίος τυγχάνεν καὶ ἀνέσιος καὶ ἐπιτάσιος, καὶ σκυθρωπότατος καὶ διαχύσιος, καὶ εὐτυχίας δὲ καὶ ἀτυχίας. ἃ μὲν γὰρ συνέχεν καὶ συνάγεν δύναται τὸν νόον ἐς τὰν εὐμαχανίαν καὶ ἐς τὰν φρόνασιν, ἃ δ' ἄμπαυσιν καὶ διάχυσιν παρεχόμενα καινότερον καὶ εὔψυχον αὐτὸν αὖ παρασκευάζοντι ποτὶ τὰς πράξιας. αἰ δέ κα τὸ ἓν τούτων χαλεπὸν καταφερόμενος, ὅκα δὲ ἐπὶ τὸ ἀνειμένον καὶ κοῦφον· ἁ δὲ συναρμογὰ τούτων ἁπάντων ὀφείλει γίνεσθαι ποττὰν φρόνασιν· αὕτα γὰρ ἁ διενεργοῦσα ἐντὶ τό τε ἄπειρον καὶ τὸ περαῖνον ἐν ταῖς πράξεσι, διόπερ καὶ τᾶν ἀλλᾶν ἀρετᾶν αὕτα ἀγεμών ἐντι καὶ μάτηρ. πᾶσαι γὰρ ποτὶ τὸν λόγον καὶ νόμον τὸν ταύτας συναρμοσμέναι τε καὶ συντεταγμέναι τυγχάνοντι. περαίνεται δὴ ὁ λόγος ἤδη μοι κατ' εὐθεῖαν· τὸ γὰρ ἄλογον καὶ τὸ ῥητὸν ἐν πᾶσιν ἕνι, καὶ τὸ μὲν ὁρίζει καὶ περαίνει, τὸ δ' ὁρίζεται καὶ περαίνεται· τὸ δ' ἐξ ἀμφοτέρων αὐτῶν συγκείμενον ἁ τῶ τε ὅλω καὶ τῶ παντὸς συναρμογά ἐντι. Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος (fr. 11 phil. Graec. I p. 556 Mull.). πρᾶτον εὐστόχω τε καὶ μναμονικᾶς καὶ φιλοπόνω τυχὼν, ἐν λογισμοῖς τε καὶ μαθημάτεσσι καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέω γυμνάσαιτο τὰν διάνοιαν, φιλοσοφίας ἁπτόμενος ὀρθᾶς, μετὰ δὲ ταῦτα ἐθέων τε καὶ νόμων καὶ βίων ἀνθρωπίνων ἐμπειρίαν λάβοι. δύο γάρ ἐντι ἐξ ὧν τῶ φρονίμω διάθεσις παραγίνεται, ὧν τὸ μέν ἐντι ἕξιν μαθηματικάν τε καὶ γνωστικὰν λαβέν, τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθέν, τὰ μὲν καὶ αὐτὸν ἰδόντα, τὰ δὲ καὶ δι' ἀτέρω τινὸς τρόπω κατανοήσαντα. οὔτε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθημάτεσσι καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέω γυμνάσας τὰν διάνοιαν ἱκανός ἐντι ποτὶ φρόνασιν· οὔθ' καθόλω θεωρὲν αἰεί. καθάπερ 〈γὰρ ἔνι〉 ἐπὶ τῶν λογισμῶν τὰ μέρεα συντιθέντας τὸ ὅλον ἐξ αὐτῶν λογίζεσθαι, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων δύναται ὁ μὲν λόγος τὰν καθόλω θεωρίαν ὑπογράφεν, ἁ δ' ἐμπειρία καθ' ἕκαστα κρίνεν. [(Bacchyl. fr. * 9 p. 1. 4 III p. 571) Βακχυλίδης δὲ τὴν Νίκην γλυκύδωρόν φησι καὶ ἐν πολυχρύσῳ Ὀλύμπῳ Ζηνὶ παρισταμένην κρίνειν τέλος ἀθανάτοισί τε καὶ θνητοῖς ἀρετῆς.]

3.4 Σοφοκλέους (inc. fab. fr. 837 N. 2). Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον, Εὐριπίδου (inc. fab. fr. 1031 N. 2). Τὸ μὴ εἰδέναι σε μηδὲν ὧν ἁμαρτάνεις, ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους. Ἡσιόδου (op. 210—211). Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν· νίκης τε

στέρεται πρός τ' αἴσχεσιν ἄλγεα πάσχει. Μενάνδρου (fab. inc. fr. 116 com. IV p. 262). Ἄνοια θνητοῖς δυστύχημ' αὐθαίρετον. Σοφοκλέους (fr. 838 N. 2). Ὡς δυσπάλαιστον ἀμαθία κακόν. Μενάνδρου (fab. inc. fr. 116 com. IV p. 262). Τί σαυτὸν ἀδικῶν τὴν τύχην καταιτιᾷ; Τοῦ αὐτοῦ Στρατιῶται (fr. 2 com. IV p. 202). Οὐδεὶς ξύνοιδεν ἐξαμαρτάνων πόσον Μενάνδρου (fab. inc. 75 com. IV p. 254). Χαλεπόν γε τοιαῦτ' ἐστὶν ἐξαμαρτάνειν, ἃ καὶ λέγειν ὀκνοῦμεν οἱ πεπραχότες. Εὐριπίδου Ἰνοῦς (fr. 416 N. 2). Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς ζητοῦς' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά. Εὐριπίδου Τημενίδαις (fr. 735 N. 2). Ἀσύνετος, ὅστις ἐν φόβῳ μὲν ἀσθενής, λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα. Τοῦ αὐτοῦ Αἰόλῳ (fr. 32 N. 2). Κακῆς 〈ἀπ'〉 ἀρχῆς γίγνεται τέλος κακόν. Σαπφοῦς πρὸς ἀπαίδευτον γυναῖκα (fr. 68 p. I. 4 III p. 111). τῶν ἐκ Πιερίας· ἀλλ' ἀφανὴς κὴν ᾖδα δόμοις φοιτάσεις πεδ' ἀμαυρῶν νεκύων ἐκπεποταμένα. Μενάνδρου (fab. inc. fr. 248 com. IV p. 289). Τυφλόν τι τἀνόητον εἶναί μοι δοκεῖ. Χαιρήμονος (inc. fab. fr. 24 N. 2). Οὐ ζῶσιν οἵ τι μὴ συνιέντες σοφόν. Τοῦ αὐτοῦ (inc. fab. fr. 25 N. 2). Πρὶν γὰρ φρονεῖν εὖ, καταφρονεῖν ἐπίστασαι. (trag. adesp. fr. 519 N. 2) Οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν. Τοῦ αὐτοῦ (Chaerem. fr. 26 N. 2). Σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ. Αἰσχύλου (inc. fab. fr. 392 N. 2). Ἦ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων. Σοφοκλέους (inc. fab. fr. 839 N. 2). Ἡ δὲ μωρία μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ. Εὐριπίδου (Bacch. 480). Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ λέγειν. Τοῦ αὐτοῦ (inc. fab. fr. 1032 N. 2). Τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν Τοῦ αὐτοῦ (Iph. T. 1193). Θάλασσα κλύζει πάντα τἀνθρώπων κακά. [φέρεται δὲ εἰς τοὺς δεισιδαίμονας οἳ θαλάσσῃ περικαθαίρονται.] Αἰσχύλος ἐν Φρυξί. ..... (poetae ignoti) Πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν. Ἡσιόδου Ἔργων (293—297). Κεῖνος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ, ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήιος ἀνήρ. Θεόγνιδος (221—226). Ὅστις τοι δοκέει τὸν πλησίον ἔμμεναι οὐδέν, ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν, κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ. ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα, ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἔπεσθαι, τῷ δὲ δολοπλοκίαι μᾶλλον ἔτ' εἰσὶ φίλαι. Μενάνδρου (fab. inc. fr. 76 com. IV p. 255). Εὐηθία μοι φαίνεται, Φιλουμένη, τὸ νοεῖν μὲν ὅσα δεῖ, μὴ φυλάττεσθαι δ' ἃ δεῖ. (fab. inc. fr. 171 com. IV p. 272). Ἐπὰν ἐν ἀγαθοῖς εὐνοούμενός τις ὢν ζητῇ τι κρεῖττον ὧν ἔχει, ζητεῖ κακά. Εὐριπίδου (inc. fab. fr. 899 N. 2). Οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι, σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους. Τοῦ αὐτοῦ (inc. fab. fr. 1033 N. 2). Εὖ γὰρ τόδ' ἴσθι, κεἴ ς' ἐλάνθανεν πάρος, τὸ σκαιὸν εἶναι πρῶτ' ἀμουσίαν ἔχει. Εὐριπίδου Ἀλεξάνδρου (fr. 47 N. 2). Ὅθεν δὲ νικᾶν χρῆν σε, δυστυχεῖς, ἄναξ· ὅθεν δέ ς' οὐ χρῆν, εὐτυχεῖς· δούλοισι γὰρ τοῖς σοῖσι νικᾷς, τοῖς δ' ἐλευθέροισιν οὔ. Εὐπόλιδος (fab. inc. fr. 1 com. II 1 p. 546). Ἀλλ' ἀκούετ', ὦ θεαταί, τἀμὰ καὶ ξυνίετε ῥήματ', εὐθὺ γὰρ πρὸς ὑμᾶς πρῶτον ἀπολογήσομαι, ἢν δέ τις τῶν ἐνθάδ' αὐτοῦ, μηδὲ ἓν χεῖρον φρονῶν, ἐπιτιθῆται τῇ ποιήσει, πάνυ δοκεῖ κακῶς φρονεῖν, μαίνεταί τε καὶ παραρρεῖ τῶν φρενῶν τῷ σῷ λόγῳ. ἀλλ' ἐμοὶ πείθεσθε, πάντως μεταβαλόντες τοὺς τρόπους, μὴ φθονεῖθ' ὅταν τις ἡμῶν μουσικῇ χαίρῃ νέων. Ῥιανοῦ (Meineke anal. Al. p. 199). Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνooι πελόμεσθα ἄνθρωποι, φέρομεν δὲ θεῶν ἑτερόρροπα δῶρα ἀφραδέι κραδίῃ· βιότοιο μὲν ὅς κ' ἐπιδευὴς στρωφᾶται, μακάρεσσιν ἐπὶ ψόγον αἰνὸν ἰάπτει ἀχνύμενος, σφετέρην δ' ἀρετὴν καὶ θυμὸν ἀτίζει, οὐδέ τι θαρσαλέος νοέειν ἔπος οὐδέ τι ῥέξαι ἐρριγώς, ὅθι τ' ἄνδρες ἐχεκτέανοι παρέωσι, καί οἱ θυμὸν ἔδουσι κατηφείη καὶ ὀιζύς. ὃς δέ κεν εὐοχθῇσι, θεὸς δέ οἱ ὄλβον ὀπάζῃ καὶ πολυκοιρανίην, ἐπιλήθεται οὕνεκα γαῖαν ποσσὶν ἐπιστείβει, θνητοὶ δέ οἱ εἰσὶ τοκῆες· καί περ ἐὼν ὀλίγος, μνᾶται δ' εὔπηχυν Ἀθήνην, ἠέ τιν' ἀτραπιτὸν τεκμαίρεται Οὔλυμπόνδε, ὥς κε μετ' ἀθανάτοισιν ἀρίθμιος εἰλαπινάζῃ. ἡ δ' Ἄτη ἁπαλοῖσι μετατρωχῶσα πόδεσσιν ἄκρῃς ἐν κεφαλῇσιν ἀνώιστος καὶ ἄφαντος ἄλλοτε μὲν γραίῃσι νεωτέρη, ἄλλοτε δ' αὖτε ὁπλοτέρῃσι γρηῢς ἐφίσταται ἀμπλακίῃσι,

Ζηνὶ θεῶν κρείοντι Δίκῃ τ’ ἐπίηρα φέρουσα. Μενάνδρου (fab. inc. fr. 194 com. IV p. 277). Οὐκ ἔστ’ ἀνοίας οὐδέν, ὡς ἐμοὶ δοκεῖ, τολμηρότερον. Ἡσιόδου (scut. 92). Σχέτλιος· ἦ που πολλὰ μετεστοναχίζετ’ ὀπίσσω, ἣν ἄτην ἀχέων· ἡ δ’ οὐ παλινάγρετός ἐστιν. Σοφοκλέους (fr. 74 N. 2). Ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ, Τοῦ αὐτοῦ (fr. 324 N. 2). Ταῦτ’ ἐστὶν ἄλγιστ’, ἢν παρὸν θέσθαι καλῶς αὐτός τις αὐτῷ τὴν βλάβην προσθῇ φέρων. Μενάνδρου (fab. inc. fr. 77 com. IV p. 255). Ὁ μὴ φέρων γὰρ εὖ τι τῶν ἐν τῷ βίῳ ἀγαθῶν, ἀλόγιστός ἐστιν, 〈ἀλλ’〉 οὐ μακάριος. Μενάνδρου Θετταλῇ (fr. 1 com. IV p. 133). Μικρά γε πρόφασίς ἐστι τοῦ πρᾶξαι κακῶς. Φιλήμονος (com. IV p. 54 fab. inc. fr. 58). Ἐπὰν ὁ νοῦς ᾖ μὴ καθεστηκώς τινι, οὐκ ἔστ’ ἀκούειν τοῦτον οὐθὲν οὐδ’ ὁρᾶν. Κερκίδας (p. l. 4 II p. 514 B.). παλῶ σέσακται καὶ δυσεκνίπτω τρυγός; Παροιμία. Ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς. Θεόγνιδος (693—694). Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας· γνῶναι γὰρ χαλεπὸν παῦρον, ὅτ’ ἐσθλὰ παρῇ. Ῥηγίνου ἐκ τοῦ Περὶ φιλίας. Καθάπερ δὲ τὸ τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ ὄψει· οὕτω καὶ ἔτι μᾶλλον τὴν ἀλήθειαν οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ διανοίᾳ. Κορνηλιανοῦ κατὰ Βερονίκης. Ἀλλ’ ὅμως τὰ μεγάλα ταῦτα καὶ δεινὰ ὠμολόγει ὅτι περὶ ὧν πράττουσι κακῶν καὶ παρρησιάζονται. Ἰσοκράτους Βουσίριδι (§ 3 p. 221 sq). Γιγνώσκω μὲν οὖν ὅτι τοῖς πλείστοις τῶν νουθετουμένων ἔμφυτόν ἐστι μὴ πρὸς τὰς ὠφελείας ἀποβλέπειν, ἀλλὰ τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομένων, ὅσῳ περ ἄν τις αὐτῶν ἀκριβέστερον ἐξετάζῃ τὰς ἁμαρτίας. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 89 C- 90 A). Ἀλλὰ πρῶτον μὲν εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν. Τὸ ποῖον; ἦν δ’ ἐγώ. Μὴ γενώμεθα, ἦ δ’ ὅς, μισόλογοι, ὥσπερ οἱ μισάνθρωποι γιγνόμενοι· ὡς οὐκ ἔστιν, ἔφη, ὅ τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί τε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον καὶ αὖθις ἕτερον· καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις, καὶ ὑπὸ τούτων μάλιστα οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους καὶ ἑταιροτάτους, τελευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι. ἢ οὐκ ᾔσθησαι σὺ τοῦτο γιγνόμενον; Πάνυ γε, ἦν δ’ ἐγώ. Οὐκοῦν, ἦ δ’ ὅς, αἰσχρόν, καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τὰ ἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπεχείρει τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο, ὥσπερ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ [τούτων] πλείστους. Ἐν ταὐτῷ (p. 91 A). Ὡς κινδυνεύω ἔγωγε ἐν τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν, ἀλλ’ ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως. καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμφισβητῶσιν, ὅπῃ μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος ᾖ οὐ φροντίζουσιν, ὅπως δὲ ἃ αὐτοὶ ἔθεντο ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προθυμοῦνται. Δημοσθένους. Δημοσθένης ὁ ῥήτωρ θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα ἔφη ‘ἀλλ’ οὐ τὸ μέγα εὖ ἐστι, τὸ δὲ εὖ μέγα‘. Κράτητος. Κράτης ἀπείκαζε τοὺς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις· ἄνευ γὰρ δεσμοῦ καὶ ἀνάγκης μηδὲν ἐθέλειν τῶν δεόντων ποιεῖν. Δημοκρίτου (fr. mor. 11 Mullach.). Ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ ’πίστηται ποδηγετέειν μηδὲ ὀχέειν εὐπόρως. Βίωνος. Βίων ἔλεγε τοὺς γραμματικοὺς ζητοῦντας περὶ τῆς Ὀδυσσέως πλάνης μὴ ἐξετάζειν τὴν ἰδίαν μηδὲ καθορᾶν ὅτι καὶ ἐν αὐτῷ τούτῳ πλανῶνται πονοῦντες περὶ τὰ μηδὲν χρήσιμα. Πλάτωνος ἐκ τοῦ Κλειτοφῶντος (p. 407 E). Καὶ ὁπόταν αὖ φῇς τοὺς ἀσκοῦντας μὲν τὰ σώματα, τῆς δὲ ψυχῆς ἠμεληκότας ἕτερόν τι πράττειν τοιοῦτον, τοῦ μὲν ἄρξοντος ἀμελεῖν, περὶ δὲ τὸ ἀρξόμενον ἐσπουδακέναι. Ἡρακλείτου (fr. IV p. 3 ed. Byw.). Κακοὶ γίνονται ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀνθρώ- Σωκράτους. Ὁ μὲν δειλὸς τῆς πατρίδος, ὁ δὲ φιλόδοξος τῆς πατρῴας οὐσίας ἐστὶ προδότης. Οἱ δραπέται κἂν μὴ διώκωνται φοβοῦνται, οἱ δὲ ἄφρονες κἂν μὴ κακῶς πράττωσι ταράττονται. Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν, ἐν δὲ ταῖς εὐτυχίαις παρανοοῦσιν οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνόητοι. Οὔθ’ οἱ ἄμουσοι τοῖς ὀργάνοις οὔθ’ οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι. Τῷ τῶν ἀπαιδεύτων βίῳ καθάπερ ὑποκριτῇ πολλὰ Τοῖς ἄφροσιν ὥσπερ τοῖς παιδίοις μικρὰ πρόφασις εἰς τὸ κλαίειν ἱκανή. Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται. Ταὐτόν ἐστιν ἀρρωστοῦντι φορτίον ἀναθέσθαι καὶ ἀπαιδεύτοις εὐτυχίαν. Οὔτε πλέοντας παρὰ τόπον ὁρμεῖν ἀσφαλὲς οὔτε ζῶντας παρὰ τὸν νόμον βιοῦν ἀκίνδυνον. Ὁ μὲν Πρωτεὺς τῇ μορφῇ, ὁ δ’ ἀπαίδευτος τῇ ψυχῇ παρ’ ἕκαστον ἀλλοιοῦται. Πολλοὺς ὥσπερ ἀσθενοῦντας οὕτω καὶ εὐτυχοῦντας τὸ πλῆθος τῶν παρακειμένων λυπεῖ. Φίλιππος τοὺς Ἀθηναίους εἴκαζε τοῖς ἑρμαῖς ὡς στόμα μόνον ἔχουσι καὶ αἰδοῖα μεγάλα. Δημάδου. Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν τὸ λοιπὸν οὐδέν ἐστι. Θεόκριτος γραμματοδιδασκάλῳ φαύλως ἀναγινώσκοντι προσελθὼν εἶπε ‘διὰ τί γεωμετρεῖν οὐ διδάσκεις;‘ τοῦ δ’ εἰπόντος ὅτι οὐκ οἶδα, ‘καὶ τί τοῦτ’;‘ εἶπεν· ‘οὐδὲ γὰρ ἀναγινώσκειν‘. Δημοκρίτου (fr. mor. 18 Mullach.). Εἴδωλα ἐσθῆτι καὶ κόσμῳ διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά. (fr. 93) Λήθη τῶν ἰδίων κακῶν θρασύτητα γεννᾷ. (fr. 16) Ἀνοήμονες ῥυσμοῦνται τοῖσι τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖσι τῆς σοφίης. (fr. 28) Τὸ χρῄζον οἶδεν ὁκόσον χρῄζει, ὁ δὲ χρῄζων οὐ γινώσκει. (fr. 54) Ἀνοήμονες τὸ ζῆν ὡς στυγέοντες, ζῆν ἐθέλουσι δεί- (fr. 51) Ἀνοήμονες βιοῦσιν οὐ τερπόμενοι βιοτῇ. (fr. 52) Ἀνοήμονες δηναιότητος ὀρέγονται οὐ τερπόμενοι δηναιότητι. (fr. 31) Ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται, τὰ δὲ παρεόντα καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν. (fr. 55) Ἄνθρωποι τὸν θάνατον φεύγοντες διώκουσιν. (fr. 56) Ἀνοήμονες οὐδὲν ἀνδάνουσιν ἐν ὅλῃ τῇ βιοτῇ. Ἀνοήμονες ζωῆς ὀρέγονται γήραος θάνατον δεδοι- (fr. 53) Ἀνοήμονες θάνατον δεδοικότες γηράσκειν ἐθέλουσι. (fr. 140) Πολλοὶ πολυμαθέες νόον οὐκ ἔχουσι. (fr. 58) Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα. Διογένους. Ἐπεὶ δὲ ἐν τῇ στοᾷ ἀνάπαλιν περιπατοῦντος αὐτοῦ ἐγέλων τινές, ‘εἶτ’ οὐκ αἰσχύνεσθε‘ εἶπεν ‘ὑμεῖς τὴν ἐν τῷ βίῳ ὁδὸν ἀνάπαλιν πορευόμενοι, ἐμοῦ τὴν ἐν τῷ περιπατεῖν κατεγνωκότες;‘ Σωκράτης ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον Διογένους. Διογένης ἔλεγε τοὺς ἀνθρώπους τὰ μὲν πρὸς τὸ ζῆν πορίζεσθαι, τὰ δὲ πρὸς τὸ εὖ ζῆν οὐ πορίζεσθαι. Ἀριστοτέλους. Ἀριστοτέλης τοὺς τὰ ἐναργῆ πράγματα πειρωμένους δεικνύναι ὅμοιον ἔφη ποιεῖν τοῖς διὰ λύχνου τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι. Βίωνος. Βίων ἐρωτηθεὶς τί ἐστιν ἄνοια, εἶπε ‘προκοπῆς ἐμπόδιον‘. Στίλπωνος Σωκρατικοῦ. Στίλπων ἐρωτηθεὶς τί ἰσχυρότερον ἀνδριάντος, εἶπεν ‘ἄνθρωπος ἀναίσθητος‘. Κλεάνθους. Κλεάνθης ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν. Φαβωρίνου (fr. 103 Marres.). Φαβωρῖνος εἶπε τοὺς ἀνθρώπους πῇ μὲν εἶναι γελοίους, πῇ δὲ μισητούς, πῇ δὲ ἐλεεινούς· γελοίους μὲν θρασύτητι μειζόνων ὀρεγομένους, μισητοὺς δὲ ἐπιτυχόντας, ἐλεεινοὺς δὲ ἁμαρτάνοντας, ζηλωτοὺς δὲ πότε; Ἐπικτήτου (fr. 15 III p. 69 ed. Schweigh.). Εἰς συμπόσιον μὲν οὖν παρακληθέντες τῷ παρόντι παρατιθέναι ἢ πλακοῦντας, ἄτοπος ἂν δόξειεν· ἐν δὲ τῷ κόσμῳ αἰτοῦμεν τοὺς θεοὺς ἃ μὴ διδόασι, καὶ ταῦτα πολλῶν ὄντων ἅ γε ἡμῖν δεδώκασι. Τοῦ αὐτοῦ (fr. 16). Χαρίεντες, ἔφη, εἰσὶν οἱ μέγα φρονοῦντες ἐπὶ τοῖς οὐκ ἐφ’ ἡμῖν. ‘ἐγώ σου‘ φησί ‘κρείττων εἰμί, ἀγροὺς γὰρ ἔχω πολλούς, σὺ δὲ λιμῷ παρατείνῃ‘. ἄλλος λέγει ‘ἐγὼ ὑπατικός εἰμι‘. ἄλλος ‘ἐγὼ ἐπίτροπος.‘ ἄλλος ‘ἐγὼ … οὔλας τρίχας‘. ἵππος δ’ ἵππῳ οὐ λέγει ὅτι ‘κρείττων εἰμί σου· πολὺν γὰρ κέκτημαι χιλὸν καὶ κριθὰς πολλάς, καὶ χαλινοί μοι εἰσὶ χρυσοῖ καὶ ἐφίππια ποικίλα‘, ἀλλ’ ὅτι ‘ὠκύτερός σου εἰμί‘. καὶ πᾶν ζῷον κρεῖττον καὶ χεῖρόν ἐστιν ἐκ τῆς ἑαυτοῦ ἀρετῆς καὶ κακίας. ἆρ’ οὖν ἀνθρώπου μόνου ἀρετὴ οὐκ ἔστιν, ἀλλὰ δεῖ ἡμᾶς εἰς 〈τὰσ〉 τρίχας ἀφορᾶν καὶ τὰ ἱμάτια καὶ τοὺς πάππους; (fr. 17 l. c. p. 70) Τῷ μὲν ἰατρῷ μηδὲν συμβουλεύοντι ἄχθονται οἱ κάμνοντες καὶ ἡγοῦνται ἀπεγνῶσθαι ὑπ’ αὐτοῦ· πρὸς δὲ οἰηθῆναι ἀπεγνῶσθαι ὑπ’ αὐτοῦ σωφρονήσειν, εἰ μηδὲν λέγοι [τι] πρὸς αὐτὸν τῶν χρησίμων; Τοῦ αὐτοῦ (fr. 18 l. c. p. 71). Οἱ τὸ σῶμα εὖ

διακείμενοι καὶ καύματα καὶ ψύχη ὑπομένουσιν· οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι καὶ ὀργὴν καὶ λύπην καὶ περιχάρειαν καὶ τἆλλα πάθη φέρουσι. Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος (P. 3 A). Βουλοίμην ἄν, ὦ Σώκρατες, ἀλλ' ὀρρωδῶ μὴ τοὐναντίον γένηται· ἀτεχνῶς γάρ μοι δοκεῖ ἀφ' ἑστίας ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σέ. καί μοι λέγε, τί καὶ ποιοῦντά σέ φησι διαφθείρειν τοὺς νέους; —Ἄτοπα, ὦ θαυμάσιε, ὡς οὕτως ἀκοῦσαι. φησὶ γάρ με ποιητὴν εἶναι θεῶν, καὶ ὡς καινοὺς ποιοῦντα θεούς, τοὺς δ' ἀρχαίους οὐ νομίζοντα ἐγράψατο. Ἐν ταὐτῷ (p. 3 C). Ἀθηναίοις γάρ, ὡς ἐμοὶ δοκεῖ, οὐ σφόδρα μέλει, ἄν τινα δεινὸν οἴωνται 〈εἶναι〉, μὴ μέντοι διδασκαλικὸν τῆς αὐτοῦ σοφίας· ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, θυμοῦνται, εἴτ' οὖν φθόνῳ, ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι. Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 228 D). Ψυχὴν ἀνόητον αἰσχρὰν καὶ ἄμετρον θετέον. (Plat. Tim. p. 86 B) Νόσον μὲν ψυχῆς ἄνοιαν συγχωρητέον, δύο δὲ ἀνοίας γένη, τὸ μὲν μανίαν τὸ δὲ ἀμαθίαν. Εὐσεβίου (fr. 2 phil. graec. III p. 8 Mullach). Ἄνθρωποι πολυμαθίης ἔχειν δόξαν ἢ τοῦ ἀληθίζεσθαι ἔρωτα πλεῦνα ἐκτέαται. πολλοὶ γοῦν τοῖσι πρὸ ἑωυτῶν ἐναντίας δόξας συστησάμενοι τὴν γνῶσιν τοῦ ἀληθέος περὶ τῶν ἀναγκαιοτάτων ἀφείλοντο, τὴν πίστιν αὐτῶν μὴ ἐν βεβαίῳ ἑστάναι, ὑπὸ δὲ τοῦ ἀπὸ τῆς προτέρης δόξης περιτρέψαι ἐς τοὐναντίον 〈τὸν〉 λόγον παρασκευάσαντες ἐν τῷ ἀσταθμητοτάτῳ αἰωρέεσθαι. Εὐσεβίου (fr. 3 III p. 8 Mullach). Πολλοὶ τῶν ἀνθρώπων ἐν τῇσι ζητήσεσι τῶν πρηγμάτων ὁμοίως τοῖς ἀλόγοισι τῶν ζῴων, ὥσπερ ἐκεῖνα μαχόμενα, οὕτω καὶ αὐτοὶ μούνου τοῦ νικᾶν μεταποιέονται· ὅκως δὲ (τοῦ περ χρὴ πάντα ἄνδρα προμηθέεσθαι καὶ λέγοντα καὶ πρήσσοντα) μὴ παρὰ τὸ ξυμφέρον καὶ σφέων αὐτῶν καὶ τῶν παρεόντων, καὶ ὥστε μὴ τὸ ἀλη- (fr. 4) Ἀνθρώποισιν ἔριδες προσφιλέες, καὶ τοῦ περὶ παντὸς τοῦ προτεθέντος ἀντιλέγοντας ἐθέλειν κρατέειν ἄπλετος καὶ ἄλογος ἐπιθυμίη, ὁκότε πολλοὶ οὐκ αἰδέονται καὶ κατὰ τῶν σπουδαιεστάτων καὶ τῶν οὐ χρὴ τῷ χείρονι λόγῳ νικᾶν, νικῶντες ἀξίην κεκλῆσθαι νίκην Καδμηίην. (fr. 5 l. c. p. 9) Ἄνθρωποι τοὺς μὲν παρὰ φύσιν καὶ ἐν τεράτων λόγῳ ἐόντας ἀσπάζονται, καὶ μεγάλων χρημάτων ὠνεόμενοι ὡς ἐπὶ μεγίστῳ κτήματι χαίρουσι καὶ μεγαλοφρονέονται, περὶ δὲ τὰ σπουδαιότατα καὶ [τὰ] σμικρὰ ἄχθονται ἀναλίσκοντες. (fr. 6) Οἱ πλεῦνες τῶν ἀνθρώπων περὶ πάντα τὰ λοιπὰ φειδωλοὺς σφέας παρεχόμενοι καὶ εἰ δαπανοῖεν ἀσχάλλοντες, ὑπὲρ τοῦ παρὰ τῶν δήμων κροτηθῆναι καὶ τὰ ἐόντα σφι πάντα ἡδέως προΐενται. (fr. 7) Οἱ μάταιοι τῶν ἀνθρώπων τοὺς μὲν μεγάλα χρήματα ἔχοντας καὶ φαύλους ἐόντας τιμῶσί τε καὶ τεθωυμάκασι· τῶν δὲ σπουδαίων, ἐπειδὰν ἀχρηματίην καταγνῶσιν, ὑπερφρονέουσιν. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Πολλοὶ ἀδικηθέντες ὑπὸ ῥητόρων τοὺς υἱοὺς ῥήτορας διδάσκουσιν, οὐδεὶς δὲ δηχθεὶς ὑπὸ λύκου αὐτὸς λύκος γίνεται καὶ ἀντιδάκνει. Ζήνωνος. Ζήνων δὲ ἔφη γελοῖον ἑκάστου μὲν τοῖς παραγγέλμασιν ὡς δεῖ ζῆν μὴ προσέχειν, ὡς οὐκ εἰδότων, τὸν δὲ παρὰ πάντων ἔπαινον θαυμάζειν, ὡς ἐχόμενον κρίσεως. Σωκράτους. Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀρρωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι. Πυθαγόρου. Θυηπολίαι ἀφρόνων πυρὸς τροφή, τὰ δὲ ἀναθήματα Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Ἀρίστων ὁ Χῖος τοὺς περὶ τὰ ἐγκύκλια μαθήματα πονουμένους, ἀμελοῦντας δὲ φιλοσοφίας, ἔλεγεν ὁμοίους εἶναι τοῖς μνηστῆρσι τῆς Πηνελόπης, οἳ ἀποτυγχάνοντες ἐκείνης περὶ τὰς θεραπαίνας ἐγίνοντο. Ὁ αὐτὸς τοὺς πολλοὺς εἴκαζε τῷ Λαέρτῃ, ὅστις τῶν κατὰ τὸν ἀγρὸν ἐπιμελούμενος πάντων, ὀλιγώρως εἶχεν ἑαυτοῦ· καὶ γὰρ τούτους τῶν κτημάτων πλείστην ἐπιμέλειαν ποιουμένους περιορᾶν τὴν ψυχὴν ἑαυτῶν πλήρη παθῶν ἀγρίων οὖσαν. Διογένους. Διογένης ἔλεγε διαπαλαίοντας μὲν πολλοὺς ὁρᾶν καὶ διατρέχοντας, διακαλοκἀγαθιζομένους δὲ οὔ. Πλάτωνος (Men. p. 77 B—78 B). Ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα ἀγαθῶν ἐπιθυμητὴν εἶναι; — Μάλιστά γε. — Ἆρα ὡς ὄντων τινῶν οἳ τῶν κακῶν ἐπιθυμοῦσιν, ἑτέρων δὲ οἳ τῶν ἀγαθῶν; οὐ πάντες, ὦ ἄριστε, δοκοῦσί σοι τῶν ἀγαθῶν ἐπιθυμεῖν; — Οὐκ ἔμοιγε. — Ἀλλά τινες τῶν κακῶν; — Ναί. — Οἰόμενοι τὰ κακὰ ἀγαθὰ εἶναι λέγεις, ἢ καὶ γιγνώσκοντες ὅτι

κακά ἐστιν, ὅμως ἐπιθυμοῦσιν αὐτῶν; — Ἀμφότερα ἔμοιγε δοκεῖ. — Ἦ γὰρ δοκεῖ τίς σοι, ὦ Μένων, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμεῖν αὐτῶν; — Μάλιστα. — Τί ἐπιθυμεῖν λέγεις; ἦ γενέσθαι αὐτῷ; — Γενέσθαι· τί γὰρ ἄλλο; — Πότερον ἡγούμενος τὰ κακὰ ὠφελεῖν ἐκεῖνον ᾧ ἂν γένηται, ἢ γιγνώσκων τὰ κακά, ὅτι βλάπτει ᾧ ἂν παρῇ; — Εἰσὶ μὲν οἳ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν, εἰσὶ δὲ καὶ οἳ γιγνώσκοντες ὅτι βλάπτει. — Ἦ καὶ δοκοῦσί σοι γιγνώσκειν τὰ κακά, ὅτι κακά ἐστιν, οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν; — Οὐ πάνυ μοι δοκεῖ τοῦτό γε. — Οὐκοῦν δῆλον ὅτι οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν οἱ ἀγνοοῦντες αὐτά, ἀλλ' ἐκείνων, ἃ ᾠοντο ἀγαθὰ εἶναι· ἔστι δὲ ταῦτά γε κακά· ὥστε οἱ ἀγνοοῦντες αὐτὰ καὶ οἰόμενοι ἀγαθὰ εἶναι δῆλον ὅτι τῶν ἀγαθῶν ἐπιθυμοῦσιν. ἢ οὔ; — Κινδυνεύουσιν οὗτοί γε. — Τί δαί; οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες, ὡς φῂς σύ, ἡγούμενοι δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον, ᾧ ἂν γίγνηται, γιγνώσκουσι δήπου ὅτι βλαβήσονται ὑπ' αὐτῶν; — Ἀνάγκη. — Ἀλλὰ τοὺς βλαπτολεται ἄθλιος καὶ κακοδαίμων εἶναι; — Οὔ μοι δοκεῖ, ὦ Σώκρατες. — Οὐκ ἄρα βούλεται τὰ κακά, ἆ Μένων, οὐδείς, εἴπερ μὴ βούλεται τοιοῦτος εἶναι. τί γὰρ ἄλλο ἐστὶν ἄθλιον εἶναι, ἢ ἐπιθυμεῖν τε τῶν κακῶν καὶ κτᾶσθαι; — Κινδυνεύεις ἀληθῆ λέγειν, ὦ Σώκρατες, καὶ οὐδεὶς βούλεται τὰ κακά. Πλάτωνος ἐκ τῆς πρὸς τοὺς Δίωνος οἰκείους ἐπιστολῆς (p. 511 Herch.). Νῦν δὲ ἥ πού τις δαίμων ἥ τις ἀλιτήριος ἐμπεσὼν ἀνομίᾳ καὶ ἀθεότητι, καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας, ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐρρίζωται καὶ βλαστάνει καὶ εἰς ὕστερον ἀποτελεῖ καρπὸν τοῖς γεννήσασι πικρότατον, αὕτη πάντα τὸ δεύτερον ἀνέτρεψέ τε καὶ ἀπώλεσεν. Σωκράτους. Ὁ μὲν δειλὸς καθ' ἑαυτοῦ τὰ ὅπλα ἔχει, ὁ δὲ ἀνόητος τὰ χρήματα. Οὔθ' ὁ αὐστηρὸς οἶνος εἰς πόσιν εὔθετος, οὔθ' ὁ Πλουτάρχου ἐκ τοῦ Περὶ εὐθυμίας (p. 466 C—D). Ἀλλ' ὥσπερ οἱ δειλοὶ καὶ ναυτιῶντες ἐν τῷ πλεῖν ἀνομοιότερον οἰόμενοι διάξειν, ἐὰν εἰς γαῦλον ἐξ ἀκάτου, καὶ πάλιν ἐὰν εἰς τριήρη μεταβῶσιν, οὐδὲν περαίνουσι, τὴν χολὴν καὶ τὴν δειλίαν συμμεταφέροντες ἑαυτοῖς· οὕτως αἱ τῶν βίων ἀντιμεταλήψεις οὐκ ἐξαιροῦσι τῆς ψυχῆς τὰ λυποῦντα καὶ ταράττοντα· ταῦτα δέ ἐστιν ἀπειρία πραγμάτων καὶ ἀλογιστία, τὸ μὴ δύνασθαι μηδὲ ἐπίστασθαι χρῆσθαι τοῖς παροῦσιν ὀρθῶς. ταῦτα καὶ πλουσίους χειμάζει καὶ πένητας, ταῦτα καὶ γεγαμηκότας ἀνιᾷ καὶ ἀγάμους· 〈διὰ ταῦτα φεύγουσι τὴν ἀγοράν, εἶτα τὴν ἡσυχίαν οὐ φέρουσι·〉 διὰ ταῦτα προαγωγὰς ἐν αὐλαῖς διώκουσι, καὶ παρελθόντες εὐθὺς βαρύνονται. δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο· καὶ γὰρ ἡ γυνὴ λυπεῖ, καὶ τὸν ἰατρὸν αἰτιῶνται, καὶ δυσχεραίνει πρὸς τὸ κλινίδιον· φίλων δ' ὅ τ' ἐλθὼν λυπηρὸς ὅ τ' ἀπιὼν βαρύς, ὡς ὁ Ἴων φησίν. εἶτα τῆς νόσου διαλυθείσης καὶ κράσεως ἑτέρας ἐγγενομένης, ἦλθεν ἡ ὑγίεια φίλα πάντα ποιοῦσα καὶ προσηνῆ· ὁ γὰρ χθὲς ᾠὰ καὶ ἀμύλια καὶ σίτινον ἄρτον διαπτύων, σήμερον αὐτόπυρον ἐπ' ἐλαίαις ἢ καρδαμίδι ἐσθίει καὶ προθύμως. τοιαύτην ὁ λογισμὸς εὐκολίαν καὶ μεταβολὴν ἐγγενόμενος ποιεῖ πρὸς τὸν βίον. Πλάτωνος ἐκ τοῦ Ἀλκιβιάδου β′ (p. 140 E). Ἆρ' οὖν τούτους φρονίμους ὑπολαμβάνεις, οἳ ἂν εἰδῶσιν ἅττα δεῖ πράττειν ἢ λέγειν; — Ἔγωγε. — Ἄφρονας δὲ ποτέρους; ἆρά γε τοὺς μηδ' ἕτερα τούτων εἰδότας; — Τούτους. — Οὐκοῦν οἵ γε μὴ εἰδότες μηδ' ἕτερα τούτων λήσουσιν αὐτοὺς καὶ λέγοντες καὶ πράττοντες ἅττα μὴ δεῖ; — Φαίνεται. Σωκράτους. Οὔτε τὰ τοῦ Ἀχιλλέως ὅπλα τῷ Θερσίτῃ οὔτε τὰ τῆς τύχης ἀγαθὰ τῷ ἄφρονι ἁρμόττει. Νοσοῦντος δίαιτα καὶ ἄφρονος εὐτυχία πολὺ ἔχει τὸ Αἱ μὲν βρονταὶ μάλιστα τοὺς παῖδας, αἱ δ' ἀπειλαὶ τοὺς ἄφρονας καταπλήττουσιν. Ἱέρακος ἐκ τοῦ Περὶ δικαιοσύνης. Ἦ τί φαίη τις ἂν περὶ τοῦ τοὺς τρόπους ἐριστικοῦ, κἂν μηδενὸς πώποτε κτήματος τῶν μηδὲν αὐτῷ προσηκόντων ἐφίηται; πῶς ἂν δίκαιόν τι πράττοι, εἰ καθ' αὑτὸν ἐνθυμοῖτο μηδενὶ συντίθεσθαι τῶν ὁμολογουμένων ἀξίων, ἀλλ' ἐρίζειν πρὸς ἅπαντας παρεσκευασμένος, μέτρον δὲ οὐδέν, ἀλλ' οὐδὲ καιρὸν οὐδένα τιθέμενος εἰς φιλονεικίαν; οὐ γὰρ δὴ μόνον ἐν τοῖς λόγοις τὸ ὀρθῶς ἔχον ὁ τοιοῦτος ἀναιρεῖν πειρᾶται, ἀλλὰ καὶ ἐν τῷ πράττειν τὰ πολλὰ τῷ φιλονεικεῖν διδοὺς βιαίους πολλάκις καὶ διαστρόφους τὰς πράξεις ποιήσεται, ἑαυτὸν μὴ συναιέλευθερίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλέγχοντας αὐτοῦ τὸ σκαιὸν τοῦ ἤθους οὐδὲ ὀρθοῖς ἰδεῖν ὀφθαλμοῖς ἀνέξεται· εἰ δὲ εἰς τοὺς ὁμοίους ἐμπέσοι (οὐ γὰρ δὴ πολλὴ σπάνις τῶν τοιούτων) εὐθὺς στάσεις, λοιδορίαι καὶ πόλεμος ἄσπονδος, ἐξῆς ψευδεῖς διαβολαὶ καὶ πᾶν εἶδος ἐπιβουλῆς καὶ σκέψεις, ὅπως ἂν ἀλλήλους ἀπολέσειαν. τὰ γὰρ μεγάλα κακὰ οὐκ ἄλλως ἢ ἐκ τῆς τυχούσης φιλονεικίας συνίσταται. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 68 B). Οὐκοῦν ἱκανόν σοι τεκμήριον, ἔφη, τοῦτο ἀνδρὸς ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος ἀλλά τις φιλοσώματος; 〈ὁ〉 αὐτὸς δέ που οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότιμος, ἤτοι τὰ ἕτερα τούτων ἢ ἀμφότερα. Πάνυ, ἔφη, ἔχει, οὕτω καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως, ἆρ' οὐ τούτοις μόνοις προσήκει τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν; Ἀνάγκη, ἔφη. Εἰ γὰρ ἐθέλεις, ἦ δ' ὅς, ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Πῶς δή, ὦ Σώκρατες; Οἶσθα, ἦ δ' ὅς, ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων κακῶν; Καὶ μάλ', ἔφη. Οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομένωσιν; Ἔστι ταῦτα. Τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες πλὴν οἱ φιλόσοφοι. καίτοι ἄλογόν γε δέει τινὰ καὶ δειλίᾳ ἀνδρεῖον εἶναι. Πάνυ μὲν οὖν. Τί δὲ οἱ κόσμιοι αὐτῶν; οὐ ταὐτὸ τοῦτο πεπόνθασιν· ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καίτοι φαμέν γε ἀδύνατον εἶναι, ἀλλ' ὅμως 〈αὐτοῖσ〉 συμβαίνει τούτῳ ὅμοιον τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην· φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται ὑπ' ἄλλων κρατούμενοι. καίτοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι· ἀλλ' ὅμως συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν 〈κρατεῖν ἄλλων ἡδονῶν〉. τοῦτο δὲ ὅμοιόν ἐστιν ᾧ νῦν δὴ ἐλέγετο, τῷ τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. Ἔοικε γάρ. Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη 〈ᾖ〉 ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, ἡδονὰς 〈πρὸς ἡδονὰσ〉 καὶ λύπας 〈πρὸς λύπασ〉 καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, μείζω πρὸς ἐλάττω, ὥσπερ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθόν, ἀντὶ οὗ δεῖ ταῦτα πάντα καταλλάττεσθαι, φρόνησις, καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγινομένων καὶ ἀπογινομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τις ᾖ 〈ἡ〉 τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ, τὸ δ' ἀληθὲς τῷ ὄντι ᾖ κάθαρσίς 〈τισ〉 τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη καὶ ἡ στήσαντες οὐ φαῦλοι εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, ὥς φασιν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι· οὗτοι δ' εἰσὶ κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες.

3.5 Εὐριπίδου Βακχῶν (307—309). Οὐχ ὁ Διόνυσος μὴ σωφρονεῖν ἀναγκάσει Εὐριπίδου ἐξ Ἱππολύτου (fr. 446 N. 2). Ὦ μάκαρ, οἵας ἔλαχες τιμάς, Ἱππόλυθ' ἥρως, διὰ σωφροσύνην. οὔ ποτε θνητοῖς ἀρετῆς ἄλλη δύναμις μείζων. ἦλθε γὰρ ἢ πρόσθ' ἢ μετόπισθεν τῆς εὐσεβίας χάρις ἐσθλή. Σοφοκλέους (fr. 840 N. 2). Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε. Σοφοκλέους ἐξ Αἴαντος (131—133). Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς. Μενάνδρου. Ταμιεῖόν ἐστιν ἀρετῆς ἡ σωφροσύνη. Ἡρακλείτου (fr. CVI Byw.). Ἀνθρώποισι πᾶσι μέτεστι γινώσκειν ἑωυτοὺς καὶ σωφρονεῖν. (eiusd. fr. LXXIII Byw.) Ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὅκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων. (eiusd. fr. LXXIV Byw.) Αὐη ψυχὴ σοφωτάτη καὶ ἀρίστη. Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ἀρετὴν περὶ σωφροσύνης. Τὰ αὐτὰ δὴ οὖν καὶ περὶ

πασῶν τῶν δυνάμεων τῆς λας καὶ εὐταξίαν θυμοῦ τε καὶ ἐπιθυμίας καὶ λόγου κατὰ τὴν προσήκουσαν ἑκάστῳ τάξιν εὐκοσμίαν· καὶ τούτων ἡ τοῦ ἄρχειν τε καὶ ἄρχεσθαι ἐν δέοντι γιγνομένη διανομὴ σωφροσύνη ἂν εἴη πολυειδής. Ξενοκράτους. Χρημάτων αὐτῷ κομισθέντων ἀπ' Ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίζοντας τὸν αὐτοῦ τρόπον 'ἀπαγγείλατε' ἔφη ''Αλεξάνδρῳ, ὅτι ἔστ' ἂν οὕτω ζῶ, οὐ δέομαι ταλάντων πεντήκοντα'. τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα. Πλάτωνος Πολιτείας γ′ (p. 389 D). Τί δέ; σωφροσύνης ἆρα οὐ δεήσει ἡμῖν τοῖς νεανίαις; Πῶς δὲ οὔ; Σωφροσύνης δὲ ὡς πλήθει οὐ τὰ τοιάδε μέγιστα, ἀρχόντων μὲν ὑπηκόους εἶναι, αὐτοὺς δὲ ἄρχοντας τῶν περὶ πότους καὶ ἀφροδίσια καὶ περὶ ἐδωδὰς ἡδονῶν; Ἔμοιγε δοκεῖ. Τοῦ αὐτοῦ ἐκ τοῦ Συμποσίου (p. 181 A). Πᾶσα γὰρ πρᾶξις ὧδε ἔχει· αὐτὴ ἐφ' ἑαυτὴς πραττομένη οὔτε καλὴ οὔτε αἰσχρά. οἷον ὃ νῦν ἡμεῖς ποιοῦμεν, ἢ πίνειν ἢ ᾄδειν ἢ διαλέγεσθαι, οὐκ ἔστι τούτων αὐτὸ καλὸν οὐδέν, ἀλλ' ἐν 〈τῇ〉 πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη· καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς καλὸν γίγνεται, μὴ ὀρθῶς δὲ αἰσχρόν· οὕτω δὴ καὶ τὸ ἐρᾶν καὶ ὁ Ἔρως οὐ πᾶς ἐστι καλὸς οὐδὲ ἄξιος ἐγκωμιάζεσθαι, ἀλλ' ὁ καλῶς προτρέπων ἐρᾶν. Πλάτωνος (Gorg. p. 507 C—508 A). Ἐγὼ μὲν οὖν ταῦτα οὕτω τίθεμαι καί φημι ταῦτα ἀληθῆ εἶναι· εἰ δ' ἔστιν ἀληθῆ, τὸν βουλόμενον, ὡς ἔοικεν, εὐδαίμονα εἶναι σωφροσύνην μὲν διωκτέον καὶ ἀσκητέον, ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν, καὶ παρασκευαστέον ἑαυτὸν μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι, ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον, εἰ μέλλει εὐδαίμων εἶναι. οὗτος ἔμοιγε δοκεῖ 〈ὁ〉 σκοπὸς εἶναι, πρὸς ὃν βλέποντα δεῖ ζῆν, καὶ πάντα εἰς τοῦτο τὰ αὑτοῦ συντείνοντα καὶ τὰ τῆς πόλεως, ὅπως δικαιοσύνη παρέσται καὶ σωφροσύνη τῷ μακαρίῳ μέλλοντι ἔσεσθαι, οὕτω πράττειν, οὐκ ἐπιθυμίας ἐῶντα ἀκολάστους εἶναι καὶ ταύτας ἐπιχειροῦντα πληροῦν, ἀνήνυτον κακόν, λῃστοῦ βίον ζῶντα. οὔτε γὰρ ἂν ἄλλῳ ἀνθρώπῳ προσφιλὴς εἴη ὁ τοιοῦτος οὔτε θεῷ· κοινωνεῖν γὰρ ἀδύνατος· ὅτῳ δὲ μὴ ἔνι κοινωνία, φιλία οὐκ ἂν εἴη. φασὶ δ' οἱ σοφοί, ὦ Καλλίκλεις, καὶ οὐρανὸν καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συνέχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιότητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν, ὦ ἑταῖρε, οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν. σὺ δέ μοι δοκεῖς οὐ προσέχειν τὸν νοῦν τούτοις, καὶ ταῦτα σοφὸς ὤν· ἀλλὰ λέληθέν σε ὅτι 〈ἡ〉 ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται· σὺ δὲ πλεονεξίαν οἴει δεῖν ἀσκεῖν· γεωμετρίας γὰρ ἀμελεῖς. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς. Ἰβήρων αἱ γυναῖκες κατ' ἔτος ὅ τι ἂν ἐξυφήνωσιν μέτρον τι ζώνης, ᾗ τὴν γαστέρα περιλαβεῖν ἂν μὴ δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (hist. gr. min. ed. L. Dind. v. I p. 145 fr. 1). Ἀρίτονοι τῶν ἐμψύχων οὐδὲν ἀποκτείνουσι, τὰ δὲ κεράμεα τῶν χρηστηρίων ἐν χρυσοῖς ἐλύτροις φυλάττουσιν. Τοῦ αὐτοῦ (ibid. fr. 2). Δαρδανεῖς, Ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ λούονται μόνον, ὅταν γεννῶνται καὶ ἐπὶ γάμοις καὶ τελευτῶντες. Θουκυδίδου δημηγορίας Λακεδαιμονίων (IV 18, 4). Σωφρόνων δὲ ἀνδρῶν, οἵ τινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο, καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο. Μενεδήμου. Μενέδημος νεανίσκου τινὸς εἰπόντος 'μέγα ἐστὶ τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ' εἶπε 'πολλῷ μεῖζόν ἐστι τὸ μηδ' ἐπιθυμεῖν ὧν μὴ δεῖ'. Αἰσχίνου ἐν τῷ Κατὰ Τιμάρχου (48). Οὕτω γὰρ χρὴ καθαρὸν εἶναι τὸν βίον τοῦ σώφρονος ἀνδρός, ὥστε μήδ' ἐνδέχεσθαι δόξαν αἰτίας πονηρᾶς. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 15). Ἐν συμποσίῳ σε οὕτω δεῖ ἀναστρέφεσθαι· περιφερόμενόν τι γέγονε κατὰ σέ· ἐκτείνας τὴν χεῖρα μετρίως ἔφαψαι. παρέρχεται· μὴ κάτεχε. οὔπω ἐλήλυθε· μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλ' ἐκδέχου κατὰ σὲ γενέσθαι οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος καὶ οἱ ὅμοιοι ἀξίως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο.] Μουσωνίου (Muson. rel. p. 255 ed. Peerlk.). Κἂν ἡδονῇ κανονιστέον ᾗ τὰ ἀρεστά, οὐδὲν τῆς σωφροσύνης ἧττον· κἂν πόνῳ κανονιστέον ᾗ τὰ φευκτά, οὐδὲν τῆς ἀκρασίας ἐπιπονώτερον. Δημοκρίτου (fr. mor. 3 Mullach). Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ

αἱρέεσθαι χρεών. (fr. 4) Δίκαιος ἔρως, ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν. (fr. 72) Πατρὸς σωφροσύνη μέγιστον τέκνοισι παράγγελμα. (fr. 39) Αὐταρκείῃ τροφῆς μακρὴ νὺξ οὐδέκοτε γίνεται. (fr. 36) Τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη. (fr. 35) Σωφροσύνη τὰ τερπνὰ ἀέξει καὶ ἡδονὴν ἐπιμέζονα ποιέει. Ξενοφῶντος ἐκ τῆς πρὸς Λαμπροκλέα ἐπιστολῆς (epistologr. gr. rec. Hercher p. 789, IV). Πρῶτον γὰρ ἂν δέξαιο Σωκράτους ὑπερφυὲς δίδαγμα, πλοῦτον μετρεῖν χρήσει. οὐ γὰρ ἔφη Σωκράτης εἶναι τὴν ὑπέρμετρον κτῆσιν πλοῦτον, τὸ δ' ὅσοις προσήκει χρῆσθαι, ἔπειτα δὲ τούτων μὴ διαμαρτάνειν· τῷ γὰρ ὄντι τούτους κεκλῆσθαι εὐπόρους. τοὺς δ' ἄλλους πένητας ἀπεκάλει καὶ ἀνίατον αὐτοὺς ἔφασκε πενίαν πένεσθαι· ψυχῆς γὰρ εἶναι τὸ ἀρρώστημα, οὐ κτήσεως. Ἐν ταὐτῷ (ibid. V). Κακὸν οὐδὲν φύεται ἐν ἀνδρὶ θεμέλια θεμένῳ σοφίας σωφροσύνην καὶ ἐγκράτειαν. Σωκράτους. Δεῖ ὥσπερ Σειρῆνας τὰς ἡδονὰς παρελθεῖν τὸν σπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὥσπερ πατρίδα. Σωκράτους. Σωκράτης πρὸς τὸν πυθόμενον τίς πλουσιώτατος εἶπεν 'ὁ ἐλαχίστοις ἀρκούμενος.' αὐτάρκεια γὰρ φύσεώς ἐστι πλοῦτος. Σωκράτης ἐρωτηθεὶς τίνων δεῖ μάλιστα ἀπέχεσθαι, Σωκράτης ἔλεγεν θεοῦ μὲν εἶναι τὸ μηδενὸς δεῖσθαι, τὸ δ' ὡς ἐλαχίστων ἐγγυτάτω θεοῦ. Ἡ αὐτάρκεια καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς χάριν μὲν ἔχει μεγάλην πόνον δὲ μικρόν. Σωκράτης ἔλεγε δεῖν τὰς ἡδονὰς μὴ παρ' ἄλλων ἀλλὰ παρ' ἑαυτῶν θηρᾶσθαι, προδιατίθεσθαι δὲ τὸ σῶμα ὃν χρὴ τρόπον. Ἐκ τῶν Σερήνου. Εὐριπίδης ηὐδοκίμησεν ἐν θεάτρῳ εἰπών, 'αἰσχρὸν τό γ' αἰσχρόν, κἂν δοκῇ κἂν μὴ δοκῇ'. Ἡ Φωκίωνος γυνὴ πρὸς τὴν ἐπιδεικνυμένην αὐτῇ τὸν κόσμον χρυσοῦν ὄντα καὶ διάλιθον 'ἐμοὶ δ'' ἔφη 'κόσμος ὑπέρλαμπρός ἐστι Φωκίων πένης ὢν καὶ εἰκοστὸν ἤδη τοῦτο ἔτος Ἀθηναίων στρατηγῶν.' Διονύσιος Ἀρίστιππον ἔπειθεν ἀποθέμενον τὸν τρίβωνα πορφυροῦν ἱμάτιον περιβαλέσθαι, καὶ ἐπείσθη ἐκεῖνος. τὰ αὐτὰ καὶ Πλάτωνα ποιεῖν ἠξίου, ὃ δὲ ἔφη 'οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν'. καὶ Ἀρίστιππος 'τοῦ αὐτοῦ' ἔφη 'ἐστὶ ποιητοῦ καὶ γὰρ ἐν βακχεύμασιν οὗς' ἥ γε σώφρων, οὐ διαφθαρήσεται.' Διογένους. Δεινὸν ἔλεγεν ὁ Διογένης, εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦσιν, οἳ μὲν τῆς φωνῆς χάριν οἳ δὲ τοῦ σώματος, σωφροσύνης δ' ἕνεκα οὐδεὶς τούτων καταφρονήσει. Πυθαγόρου. Ῥώμη ψυχῆς σωφροσύνη· αὕτη γὰρ ψυχῆς ἀπαθοῦς φῶς ἐστιν. Ἀλεξάνδρου. Ἀλέξανδρος προτρεπομένων τινῶν αὐτὸν ἰδεῖν τὰς Δαρείου θυγατέρας καὶ τὴν γυναῖκα διαφέρουσαν κάλλει 'αἰσχρόν' ἔφη 'τοὺς ἄνδρας νικήσαντας ὑπὸ γυναικῶν ἡττᾶσθαι.' Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Γέλων ὁ Σικελίας τύραννος σαπρόστομος ἦν. ὡς οὖν τῶν φίλων τις εἶπεν αὐτῷ, ὠργίζετο τῇ γυναικὶ ὅτι οὐκ ἐμήνυσεν αὐτῷ· ἣ δὲ ἔφη, 'ᾤμην γὰρ καὶ τῶν λοιπῶν ὁμοίως ὄζειν τὸ στόμα.' Ἐκ τῆς Ἑρμίππου συναγωγῆς τῶν καλῶς ἀναφωνηθέντων ἐξ Ὁμήρου. Δημήτριος ὁ Φαληρεὺς εἰς σωφροσύνην ἔλεγεν ταῦτα ποιεῖν, ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο. Ἱέρακος ἐκ τοῦ Περὶ δικαιοσύνης. Ὅθεν τὴν λειπομένην ἀρετὴν ἐπιστῆσαι δεῖ τῇ τῶν ἡδονῶν φυλακῇ, μὴ συγχωροῦσαν ἀποδιδράσκειν τῇ φρονήσει τὸ ἑαυτῆς ἔργον. ἕως μὲν γὰρ φρονεῖ τις, οὐδὲ ἀνακύπτειν συγχωρήσει ταῖς ἐπὶ τὰ τοιαῦτα φερούσαις ἐπιθυμίαις· ἐν δὲ τῷ καταδαρθάνειν ὑπὸ γοητείας ἐποῦσαν φρονήσεως· κυριώτερον δὴ κεκλήκασι ποιητῶν παῖδες σαοφροσύνην· σαῶσαι γὰρ τὸ σῶσαι λέγουσι. τὴν οὖν σαοφροσύνην, τήρησιν οὖσαν φρονήσεως καὶ σωτηρίαν, ὅταν τις προσλάβῃ, τελείαν ἔσχε παρ' ἑαυτῷ τὴν τῆς δικαιοσύνης κτῆσιν· εἰ δὲ μή, σφάλλεται πολλὰ καὶ ἀδικεῖ πολυτρόπως, τὰ μὲν ὑπὲρ χρημάτων, τὰ δὲ ὑπὲρ δόξης, τὰ δὲ ὑπὲρ ἡδονῶν. Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς τῆς περὶ σωφροσύνης. Πᾶσα μὲν γὰρ ἀρετὴ τὸ θνητοειδὲς μὲν ἀτιμάζει, τὸ δὲ ἀθάνατον ἀσπάζεται· πολὺ δὲ διαφερόντως ἡ σωφροσύνη ταύτην ἔχει τὴν σπουδήν, ἅτε δὴ τὰς προσηλούσας τῷ σώματι τὴν ψυχὴν ἡδονὰς ἀτιμάζουσα, καὶ ἐν ἀγνοῖς βάθροις βεβῶσα, ὡς φησὶ Πλάτων. Ἐν ταὐτῷ. Πῶς γὰρ ἡ σωφροσύνη τελέους ἡμᾶς οὐ ποιεῖ, τὸ ἀτελὲς καὶ ἐμπαθὲς ὅλον ἀφ' ἡμῶν ἐξορίζουσα; γνοίης σας, ὃς μετὰ τῆς κοσμιότητος

συναγωνιζομένης τὴν Χίμαιραν καὶ τὸ θηριῶδες καὶ ἄγριον καὶ ἀνήμερον φῦλον πᾶν ἀνεῖλεν. ὅλως γὰρ ἡ τῶν παθῶν ἄμετρος ἐπικράτεια οὐδὲ ἀνθρώπους ἐφίησιν εἶναι τοὺς ἀνθρώπους, πρὸς δὲ τὴν ἀλόγιστον αὐτοὺς ἕλκει φύσιν καὶ θηριώδη καὶ ἄτακτον. Ἐν ταὐτῷ. Ἡ δὲ μέτροις ὡρισμένοις κατέχουσα τὰς ἡδονὰς εὐταξία σῴζει μὲν οἴκους σῴζει δὲ πόλεις κατὰ τὴν Κράτητος γνώμην· ἔτι δὲ πλησιάζει πως ἤδη πρὸς τὸ τῶν θεῶν εἶδος. τοιγὰρ οὖν Περσεὺς ἐπ' αὐτὸ τὸ ἀκρότατον ἐλαύνων τῆς σωφροσύνης ἀγαθὸν ἡγουμένης τῆς Ἀθηνᾶς ἀπέκοψε τὴν Γοργόνα, τὴν εἰς τὴν ὕλην οἶμαι καθέλκουσαν καὶ ἀπολιθοῦσαν τοὺς ἀνθρώπους ἀνοήτῳ τῶν παθημάτων πλησμονῇ. Ἐν ταὐτῷ. Ὅτι τοίνυν κρηπὶς τῆς ἀρετῆς, ὡς ἔλεγε Σωκράτης, ἡ ἐγκράτειά ἐστι τῆς γλυκυθυμίας· κόσμος δὲ τῶν ἀγαθῶν πάντων ἡ σωφροσύνη θεωρεῖται, ὥσπερ δὴ ἀπεφήνατο Πλάτων. ἀσφάλεια δὲ τῶν καλλίστων ἕξεων ἡ αὐτή ἐστιν ἀρετή, ὥσπερ ἐγὼ λέγω. Ἐν ταὐτῷ. Ὃ δ' ἐστὶν ὄντως ὁμολογούμενον θαρρῶν διισχυρίζομαι, ὅτι δὴ δι' ὅλων τῶν ἀρετῶν τὸ κάλλος διατείνει τῆς σωφροσύνης καὶ συναρμόζει τὰς πάσας ἀρετὰς κατὰ μίαν ἁρμονίαν συμμετρίαν τε αὐταῖς καὶ κρᾶσιν πρὸς ἀλλήλας ἐντίθησι. τοιαύτη δὴ οὖν οὖσα καὶ ἀφορμὴν παρέχει ταῖς ὅλαις ὥστε ἐγγενέσθαι, καὶ ἐγγενομέναις αὐταῖς ἀσφαλῆ παρέχει σωτηρίαν. Ἐν ταὐτῷ. Καὶ ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ σύστασις καὶ ἡ τῶν στοιχείων πρὸς ἄλληλα σύγκρασις συμφωνίαν ἀποσῴζει καλλίστην καὶ σώφρονα. καὶ τό γε πᾶν τοῦτο διὰ τὴν κοσμιότητα τῶν καλλίστων μέτρων κόσμος ἐπικαλεῖται. Ἐπαμεινώνδου. Πρέσβεις ἦκον παρὰ βασιλέως χρυσίον κομίζοντες βουλόμενοι δωροδοκῆσαι τὸν Ἐπαμεινώνδαν. ὃ δὲ αὐτοὺς εἰς ἄριστον εἰσεδέξατο, ᾔδει γὰρ ἐφ' ᾧ τινι ἦκον. καὶ ἐκέλευσεν αὐτοὺς πρότερον ἀριστᾶν, εἶτα λέγειν περὶ ὅτου βούλοιντο. παρακειμένης δὲ τραπέζης φαύλης καὶ ὀξίνην ἔπινον. οἳ μὲν οὖν οὐκ εἶχον ὅ τι καὶ εἴποιεν ὅτι οὐκ ἂν προδοίη ὁ τούτοις ἀρκούμενος.' Κράτητος. Κράτης εἰς τὴν ἀγορὰν ἐμβαλὼν καὶ ὁρῶν τοὺς μὲν πιπράσκοντας τοὺς δὲ ὠνουμένους 'οὗτοι' ἔφη 'διὰ τὸ ἐναντίον πρᾶγμα ἀλλήλους μακαρίζουσιν, ἐγὼ δ' ἐμαυτόν, ὅτι ἀμφοτέρων ἀπήλλαγμαι, μήτε ὠνούμενος μήτε πωλῶν.' Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 184 B). Ἔστι γὰρ ἡμῖν νόμος ὅσπερ ἐπὶ τοῖς ἐρασταῖς ἦν, δουλεύειν ἐθελοντὰς ἡντινοῦν δουλείαν παιδικοῖς μὴ κομόνη μία δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος· αὕτη δ' ἐστὶν ἡ περὶ τὴν ἀρετήν. νενόμισται γὰρ δὴ ἡμῖν, ἐάν τίς τινα θέλῃ θεραπεύειν ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσεσθαι ἢ κατὰ σοφίαν τινὰ ἢ κατὰ ἄλλο ὁτιοῦν μέρος ἀρετῆς, αὕτη αὖ ἡ ἐθελοδουλεία οὐκ αἰσχρὰ εἶναι οὐδὲ κολακεία. Ἐκ τοῦ Φιλήβου (p. 63—64). Εἰ δέ γε καὶ καθάπερ τὰς τέχνας πάσας ἀβλαβές τε καὶ ὠφέλιμον ἦν ἐπίστασθαι διὰ βίου, καὶ νῦν δὴ ταὐτὰ λέγομεν περὶ τῶν ἡδονῶν, εἴ περ πάσας ἡδονὰς ἅδεσθαι διὰ βίου συμφέρον τε ἡμῖν ἐστὶ καὶ ἀβλαβὲς ἅπασι, πάσας συγκρατέον. — Πῶς οὖν δὴ περὶ αὐτῶν τούτων λέγομεν; καὶ πῶς ποιῶμεν; — Οὐχ ἡμᾶς, ὦ Πρώταρχε, διερωτᾶν χρή, τὰς ἡδονὰς δὲ αὐτὰς καὶ τὰς φρονήσεις διαπυνθανομένους τὸ τοιόνδε ἀλλήλων πέρι. — Τὸ ποῖον; — Ὦ φίλαι, εἴτε ἡδονὰς ὑμᾶς χρὴ προσαγορεύειν εἴτε ἄλλῳ ὁτῳοῦν ὀνόματι, μῶν οὐκ ἂν δέξαισθε οἰκεῖν μετὰ φρονήσεως πάσης ἢ χωρὶς τοῦ φρονεῖν; οἶμαι μὲν πρὸς ταῦτα τόδ' αὐτὰς ἀναγκαιότατον εἶναι λέγειν. — Τὸ ποῖον; — Ὅτι καθάπερ ἔμπροσθεν ἐρρήθη, τὸ μόνον καὶ ἔρημον [καὶ] εἰλικρινὲς εἶναί τι γένος οὔτε πάνυ τι δυνατὸν οὔτ' ὠφέλιμον· πάντων γε μὴν ἡγούμεθα γενῶν ἄριστον ἓν ἀνθ' ἑνὸς συνοικεῖν ἡμῖν τὸ κατε τὰ νῦν, φήσομεν. — Ὀρθῶς. πάλιν τοίνυν μετὰ τοῦτο τὴν φρόνησιν καὶ τὸν νοῦν ἀνερωτητέον· ἆρ' ἡδονῶν τι προσδεῖσθε ἐν τῇ συγκράσει; φαῖμεν ἂν αὖ τὸν νοῦν τε καὶ τὴν φρόνησιν ἀνερωτῶντες. ποίων, φαῖεν ἂν ἴσως, ἡδονῶν; — Εἰκός. — Ὁ δέ γ' ἡμέτερος λόγος [ὁ] μετὰ τοῦτ' ἐστὶν ὅδε. πρὸς ταῖς ἀληθέσιν ἐκείναις ἡδοναῖς, φήσομεν, ἆρ' ἔτι προσδεῖσθε ἡμῖν τὰς μεγίστας 〈ἡδονὰς〉 ξυνοίκους εἶναι καὶ τὰς σφοδροτάτας; 〈καὶ πῶς,〉 ὦ 〈Σώκρατες;〉 φαῖεν ἂν ἴσως, αἵ γ' ἐμποδίσματά τε μυρία ἡμῖν ἔχουσι, τὰς ψυχὰς ἐν αἷς οἰκοῦμεν ταράττουσαι διὰ μανικὰς ἡδονάς, καὶ γίγνεσθαί τε ἡμᾶς τὴν ἀρχὴν οὐκ ἐῶσι, τά τε γιγνόμενα ἡμῶν τέκνα ὡς τὸ πολύ, δι' ἀμέλειαν λήθην

ἐμποιοῦσαι, παντάπασι διαφθείρουσιν; ἄλλας τε ἡδονὰς ἀληθεῖς καὶ καθαρὰς ἃς εἶπες, σχεδὸν οἰκείας ἡμῖν νόμιζε, καὶ πρὸς ταύταις τὰς μεθ' ὑγιείας καὶ τοῦ σωφρονεῖν, καὶ δὴ καὶ ξυμπάσης ἀρετῆς ὁπόσαι καθάπερ θεοῦ ὀπαδοὶ γιγνόμεναι αὐτῇ συνακολουθοῦσι πάντῃ, ταύτας μιγνύντας ἀεὶ μετ' ἀφροσύνης καὶ τῆς ἄλλης κακίας ἑπομένας πολλή που ἀλογία καὶ ἀστασιαστοτάτην μῖξιν καὶ κρᾶσιν ἐν ταύτῃ μαθεῖν πειρᾶσθαι, τί ποτε ἔν τε ἀνθρώπῳ καὶ τῷ παντὶ πέφυκεν ἀγαθὸν καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε μαντευτέον. ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν φήσομεν ὑπέρ τε ἑαυτοῦ καὶ μνήμης καὶ δόξης ὀρθῆς ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα; — Παντάπασι μὲν οὖν. Ἐκ τοῦ Χαρμίδου (p. 173 A—D). Ἄκουε δή, ἔφην, τὸ ἐμὸν ὄναρ, εἴτε διὰ κεράτων εἴτε δι' ἐλέφαντος ἐλήλυθεν. εἰ γὰρ ὅ τι μάλιστα ἡμῶν ἄρχοι ἡ σωφροσύνη, οὖσα οἵαν δὴ νῦν ὁριζόμεθα, ἄλλο τι κατὰ τὰς ἐπιστήμας ἂν πράττοιτο, καὶ οὔτε τις κυβερνήτης φάσκων εἶναι, οὔτε ἰατρὸς οὔτε στρατηγὸς οὔτ' ἄλλος τις οὐδείς, προσποιούμενός τι εἰδέναι ὃ μὴ οἶδε, λανθάνοι ἄν· ἐκ δὴ τούτων οὕτως ἐχόντων ἄλλο τι ἂν ἡμῖν συμβαίνοι ἢ ὑγιέσι τε τὰ σώματα εἶναι μᾶλλον ἢ νῦν, καὶ ἐν θαλάττῃ κινδυνεύοντας καὶ ἐν πολέμῳ σῴζεσθαι, καὶ τά τε σκεύη καὶ τὴν ἀμπεχόνην καὶ ὑπόδεσιν πᾶσαν καὶ τὰ χρήματα 〈πάντα〉 τεχνικῶς ἡμῖν κὴν εἶναι συγχωρήσωμεν ἐπιστήμην τοῦ μέλλοντος ἔσεσθαι, καὶ τὴν σωφροσύνην, αὐτῆς ἐπιστατοῦσαν, τοὺς μὲν ἀλαζόνας ἀποτρέπειν, τοὺς δὲ ὡς ἀληθεῖς μάντεις καθιστάναι ἡμῖν 〈προφήτας τῶν μελλόντων. κατεσκευασμένον δὴ οὕτω τὸ ἀνθρώπινον γένος ὅτι μὲν〉 ἐπιστημόνως ἂν πράττοι καὶ ζῷη, ἔπομαι· ἡ γὰρ σωφροσύνη φυλάττουσα οὐκ ἂν ἐᾷη παρεμπίπτουσαν τὴν ἀνεπιστημοσύνην συνεργὸν ἡμῖν εἶναι. Τοῦ αὐτοῦ ἐκ τοῦ Γοργίου (p. 499 C —500 B). Ἔστι δὲ 〈δή〉, ὡς ἔοικεν, ὃ νῦν λέγεις, ὅτι ἡδοναί εἰσί τινες, αἳ μὲν ἀγαθαὶ αἳ δὲ κακαί· ἦ γάρ; — Ναί. — Ἆρ' οὖν ἀγαθαὶ μὲν αἱ ὠφέλιμοι, κακαὶ δὲ αἱ βλαβεραί; — Πάνυ γε. — Ὠφέλιμοι δὲ αἱ ἀγαθόν 〈τι〉 ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι; — Φημί. — Ἆρ' οὖν τὰς τοιάσδε λέγεις, οἷον κατὰ τὸ σῶμα ἃς δὴ νῦν ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς, εἰ ἄρα τούτων αἱ μὲν ὑγίειαν ποιοῦσαι ἐν τῷ σώματι, ἢ ἰσχὺν ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τούτων, κακαί; — Πάνυ γε. — Οὐκοῦν καὶ λῦλύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον; — Πάνυ γε, — Τὰς δὲ πονηρὰς οὔ; — Δῆλον δή. — Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ 〈συν〉 δοκεῖ οὕτως, 〈τέλος εἶναι〉 ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκα δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐκ ἐκεῖνο τῶν ἄλλων; σύμψηφος ἡμῖν εἶ καὶ σὺ ἐκ τρίτων; — Ἔγωγε. — Τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων; — Πάνυ γε. — Ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι, ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; — Τεχνικοῦ. — Ἀναμνησθῶμεν δὴ ὧν αὖ ἐγὼ πρὸς Πῶλον καὶ Γοργίαν ἐτύγχανον λέγων· ἔλεγε γὰρ αὐτός, εἰ μνημονεύεις, ὅτι εἶεν παρασκευαί, αἳ μὲν μέχρι ἡδονῆς αὐτὸ τοῦτο παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον, αἳ δὲ γινώσκουσαι ὅ τι τε ἀγαθὸν καὶ ὅ τι κακόν· καὶ ἐτίθουν τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν ἐμπειρίαν, ἀλλ' οὐ τέχνην· τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέχνην. Ἀντιφῶντος (fr. 130 Blass. 2). Ὅστις δὲ τῶν αἰσχρῶν ἢ τῶν κακῶν μήτε ἐπεθύμησε μήτε ἥψατο, οὐκ ἔστι σώφρων· οὐ γὰρ ἔσθ' ὅπου κρατήσας αὐτὸς ἑαυτὸν κόσμιον παρέχεται. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 68 C). Ἄριστον δὲ τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 33, 4). Γέλως μὴ πολὺς ἔστω μηδὲ ἐπὶ πολλοῖς. (ibid. 6) Δείπνοις τοῖς ἔξω καὶ ἰδιωτικοῖς τὸ πολὺ ἀπόταξαι· ὅταν γυμνοὶ συνδιατρίβωνται. Εὐριπίδου Θησέως (fr. 388 N. 2). Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.

3.6 Εὐριπίδου Ἀντιόπῃ (fr. 201 N. 2). Καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν ἀσκοῦσι βίοτον, ἢν σφαλῶσι χρημάτων, κακοὶ πολῖται· δεῖ γὰρ ἄνδρ' εἰθισμένον ἀκόλαστον ἦθος γαστρὸς ἐν

ταὐτῷ μένειν. Φιλήμονος (fab. inc. fr. 27a com. IV p. 43). Σοὶ γὰρ τίς ἐστιν, εἰπέ μοι, παρρησία; σὺ λαλεῖς ἐν ἀνθρώποισιν ὡς ἄνθρωπος ὤν, τὸ δ' ὅλον περιπατεῖς, ἢ τὸν αὐτὸν ἀέρα ἑτέροισιν ἕλκεις, εἰπέ μοι, τοιοῦτος ὤν; Κλεάνθους. Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος, οὗτος ποιήσει τοῦτ' ἐὰν καιρὸν λάβῃ. Πόθεν ποτ' ἆρα γίνεται μοιχῶν γένος; ἐκ κριθιῶντος ἀνδρὸς ἐν ἀφροδισίοις. Εὔφρονος (fab. inc. fr. 2 com. IV p. 495). Οὐκ ἔστι μοιχοῦ μεῖζον οὐδὲ ἓν κακόν· ἐν ταῖς γὰρ ἑτέρων βούλετ' ἀτυχίαις τρυφᾶν. Ἀναξανδρίδου (fab. inc. fr. 9 com. III p. 199). Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει. λάγνης γυναικός ἐστιν, οὐκ ἀνδρὸς τόδε. Ἀλέξιδος (fab. inc. fr. 44 com. III p. 522). Φεῦγ' ἡδονὴν φέρουσαν ὕστερον βλάβην. Μενάνδρου Ὀργῇ (fr. 5 com. IV p. 180). Οὐκ ἔστι μοιχοῦ πρᾶγμα τιμιώτερον, θανάτου γάρ ἐστιν ὤνιον. (fab. inc. fr. 217 com. IV p. 282) Ἀριστοφῶντος Ἰατροῦ (fr. 2 com. III p. 358). Αἱ τῶν ἑταιρῶν γὰρ διοπετεῖς οἰκίαι· γεγόνασιν ἄβατοι τοῖς ἔχουσι μηδὲ ἕν. Ἀπολλοδώρου Διαβόλου (fr. 1 com. IV p. 444). Καὶ κλείεθ' ἡ θύρα μοχλοῖς· ἀλλ' οὐδὲ εἷς τέκτων ὀχυρὰν οὕτως ἐποίησεν θύραν, δι' ἧς γαλῆ καὶ μοιχὸς οὐκ εἰσέρχεται. Βάθωνος (fab. inc. fr. 2 com. IV p. 503). Πολλῶν σφόδρ' ὄντων χἀτέρων ἐν τῷ βίῳ, ἐφ' οἷς ἅπαντες εἰκότως θορυβούμεθα, μάλιστ' ἐμοὶ δήπουθε κινοῦσιν χολὴν οἱ τῶν τρόπων φάσκοντες ἐπιεικῶς ἐρᾶν, καὶ λανθάνειν δοκοῦντες, ὅτι πεπλασμένως τὸ πρᾶγμα παρακεντοῦσι κοὐκ ἀληθινῶς. τίνα γὰρ ἔχει, πρὸς τῆς Ἀθηνᾶς, διαφορὰν παρ' ὃν οἱ δασεῖς ἔχουσι καὶ προβεβηκότες; Φοινικίδου (com. IV p. 511). Μὰ τὴν Ἀφροδίτην, οὐκ ἂν ὑπομείναιμ' ἔτι, Πυθιάς, ἑταιρεῖν· χαιρέτω· μή μοι λέγε, ἀπέτυχον, οὐδὲν πρὸς ἐμέ, καταλῦσαι θέλω. εὐθὺς ἐπιχειρήσασα φίλον ἔσχον τινὰ στρατιωτικόν· διαπαντὸς οὗτος τὰς μάχας ἔλεγεν, ἐδείκνυ 〈δ'〉 ἅμα λέγων τὰ τραύματα, εἰσέφερε δ' οὐδέν. δωρεὰν ἔφη τινὰ παρὰ τοῦ βασιλέως λαμβάνειν, καὶ ταῦτ' ἀεὶ ἔλεγεν· διὰ ταύτην ἣν λέγει τὴν δωρεὰν ἐνιαυτὸν ἔσχε μ' ὁ κακοδαίμων δωρεάν. ἀφῆκα τοῦτον, λαμβάνω δ' ἄλλον τινά, ἰατρόν. οὗτος εἰσάγων πολλούς τινας ἔτεμν' ἔκαε· πτωχὸς ἦν καὶ δήμιος. δεινότερος οὗτος θατέρου μοι κατεφάνη. ὁ μὲν διήγημ' ἔλεγεν, ὁ δ' ἐποίει νεκρούς. τρίτῳ συνέζευξ' ἡ τύχη με φιλοσόφῳ πώγων' ἔχοντι καὶ τρίβωνα καὶ λόγον· εἰς προῦπτον ἦλθον ἐμπεσοῦσα δὴ κακόν. οὐδὲν ἐδίδου γάρ· ταῦτ' ἀλλ' ἂν αἰτῶντι ἔφη, οὐκ ἀγαθὸν εἶναι τἀργύριον. ἔστω κακόν, διὰ τοῦτο δός μοι, ῥῖψον· οὐκ ἐπείθετο. Σωκράτους. Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ. Τὸ μὲν πῦρ ὁ ἄνεμος, τὸν δὲ ἔρωτα ἡ συνήθεια ἐκκαίει. Σωκράτης ἔφη τοὺς μοιχοὺς ὅμοιόν τι ποιεῖν τοῖς μὴ βουλομένοις ἐκ τῶν ἀπορρεουσῶν πίνειν, ἀλλ' ἐκ τοῦ ὕδατος τοῦ ἐν τῷ βάθει χείρονος ὑπάρχοντος. Ἐκ τῶν Σερήνου. Διογένης κατεγέλα τῶν τὰ μὲν ταμιεῖα κατασημαινομένων μοχλοῖς καὶ κλεισὶ καὶ σημάντροις, τὸ δὲ σῶμα τὸ αὑτῶν πολλαῖς θυρίσι καὶ θύραις ἀνοιγόντων διά τε στόματος καὶ αἰδοίων καὶ ὤτων καὶ ὀφθαλμῶν. Περὶ Εὐριπίδου τις ἔλεγεν ὅτι μισογύνης εἴη· καὶ ὁ Σοφοκλῆς 'ἀλλ' οὐκ ἔν γε τῇ κλίνῃ' ἔφη. Χαλεπὸν ἔλεγεν εἶναι ὁ Πλάτων εὑρεῖν τοῖς μὲν ἀκολάστοις ἀγαθὴν ἡδονὴν τοῖς δὲ νοσοῦσιν ὑγιεινήν. Ζήνωνος. Ὁ Ζήνων ᾐτιᾶτο τοὺς πλείστους λέγων ἐξὸν ἀπὸ τῶν πόνων τὰς ἡδονὰς φέρειν ἀπὸ τῶν μαγειρείων λαμβάνοντας. Μουσωνίου (rel. p. 255 Peerlk.). Μουσώνιος ἔλεγεν ὑπερβολὴν ἀναισχυντίας εἶναι τὸ πρὸς μὲν τὰς τῶν πόνων ὑπομονὰς μεμνῆσθαι τῆς τοῦ σώματος ἀσθενείας, πρὸς δὲ τὰς τῶν ἡδονῶν ἐκλανθάνεσθαι. Μουσωνίου (ibid. p. 255). Ἀρχὴ τοῦ μὴ κατοκνεῖν τὰ ἀσχήμονα 〈πράττειν〉 τὸ Μουσωνίου ἐκ τοῦ Περὶ ἀφροδισίων (rel. p. 210 Peerlk.). Μέρος μέντοι τρυφῆς οὐ μικρότατον κἀν τοῖς ἀφροδισίοις ἐστίν, ὅτι ποικίλων δέονται παιδικῶν οἱ τρυφῶντες οὐ νομίμων μόνον ἀλλὰ καὶ παρανόμων, οὐδὲ θηλειῶν μόνον ἀλλὰ καὶ ἀρρένων, ἄλλοτε ἄλλους θηρῶντες ἐρωμένους, καὶ τοῖς μὲν ἐν ἑτοίμῳ οὖσιν οὐκ ἀρκούμενοι, τῶν δὲ σπανίων ἐφιέμενοι, συμπλοκὰς δ' ἀσχήμονας ζητοῦντες, ἅπερ ἅπαντα μεγάλα ἐγκλήματα ἀνθρώπου ἐστίν. χρὴ δὲ τοὺς μὴ τρυφῶντας ἢ μὴ κακοὺς μόνα μὲν ἀφροδίσια νομίζειν δίκαια τὰ ἐν γάμῳ καὶ ἐπὶ γενέσει παίδων συντελούμενα, ὅτι καὶ νόμιμά

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστιν· τὰ δέ γε ἡδονὴν θηρώμενα ψιλὴν ἄδικα καὶ παράνομα, κἂν ἐν γάμῳ ᾖ. συμπλοκαὶ δ' ἄλλαι αἱ μὲν κατὰ μοιχείαν παρανομώταται, καὶ μετριώτεραι τούτων οὐδὲν αἱ πρὸς ἄρρενας τοῖς ἄρρεσιν, ὅτι παρὰ φύσιν τὸ τόλμημα· ὅσαι δὲ μοιχείας ἐκτὸς συνουσίαι πρὸς θηλείας εἰσὶν ἐστερημέναι τοῦ γίνεσθαι κατὰ νόμον, καὶ αὗται πᾶσαι αἰσχραί, αἵγε πράττονται δι' ἀκολασίαν· ὡς μετά γε σωφροσύνης οὔτ' ἂν ἑταίρᾳ πλησιάζειν ὑπομείνειέ τις, οὔτ' ἂν ἐλευθέρᾳ γάμου χωρὶς οὔτε νερῶς οὐδὲν ἀνέχεται τῶν τοιούτων οὐδείς, κἂν ἐπ' ὀλίγον ἐρυθριᾶν οἷός τε ᾖ, ἐπικρυπτόμενοι δὲ καὶ λάθρᾳ οἵγε μὴ τελέως ἀπερρωγότες ταῦτα τολμῶσιν. καίτοι τό γε πειρᾶσθαι λανθάνειν ἐφ' οἷς πράττει τις ὁμολογοῦντος ἁμαρτάνειν ἐστί. 'νὴ Δία·' φησίν 'ἀλλ' οὐχ ὥσπερ ὁ μοιχεύων ἀδικεῖ τὸν ἄνδρα τῆς διεφθαρμένης γυναικός, οὐχ οὕτως καὶ ὁ τῇ ἑταίρᾳ συνὼν ἀδικεῖ τινὰ ἢ νὴ Δία τῇ μὴ ἐχούσῃ ἄνδρα· οὐδὲ γὰρ ἐλπίδα παίδων οὐδενὸς διαφθείρει οὗτος.' ἐγὼ δ' ἐπέχω μὲν λέκαὶ μηδένα τῶν πέλας, ἀλλ' αὐτόν γε πάντως χείρονα ἀποφαίνων καὶ ἀτιμότερον· ὁ γὰρ ἁμαρτάνων, παρ' ὅσον ἁμαρτάνει, χείρων καὶ ἀτιμότερος. ἵνα οὖν ἐῶ τὴν ἀδικίαν, ἀλλ' ἀκολασίαν γε πᾶσα ἀνάγκη πάντως προσεῖναι τῷ ἡττωμένῳ αἰσχρᾶς ἡδονῆς καὶ χαίροντι τῷ μολύνεσθαι ὥσπερ αἱ ὗες· οἷος οὐχ ἥκιστά ἐστι καὶ ὁ δούλῃ ἰδίᾳ πλησιάζων, ὅπερ νομίζουσί τινες μάλιστά πως εἶναι ἀναίτιον, ἐπεὶ καὶ δεσπότης πᾶς αὐτεξούσιος εἶναι δοκεῖ ὅ τι βούλεται χρῆσθαι δούλῳ τῷ ἑαυτοῦ. πρὸς τοῦτο δὲ ἁπλοῦς μοι ὁ λόγος· εἰ γάρ τῳ δοκεῖ μὴ αἰσχρὸν μηδ' ἄτοπον εἶναι δούλῃ δεσπότην πλησιάζειν τῇ ἑαυτοῦ, καὶ μάλιστα εἰ τύχοι οὖσα χήρα, λογισάσθω ποῖόν τι καταφαίνεται αὐτῷ, εἰ δέσποινα δούλῳ πλησιάζοι. οὐ γὰρ ἂν δόξειεν εἶναι ἀνεκτόν, οὐ μόνον εἰ κεκτημένη ἄνδρα νόμιμον ἡ γυνὴ προσοῖτο δοῦλον, ἀλλ' εἰ καὶ ἄνανδρος οὖσα τοῦτο πράττοι; καίτοι τοὺς ἄνδρας οὐ δήπου τῶν γυναικῶν ἀξιώσει τις εἶναι χείρονας, οὐδ' ἧττον δύνασθαι τὰς ἐπιθυμίας παιδαγωγεῖν τὰς ἑαυτῶν, τοὺς ἰσχυροτέρους τὴν γνώμην τῶν ἀσθενεστέρων, τοὺς ἄρχοντας τῶν ἀρχομένων. πολὺ γὰρ κρείττονας εἶναι προσήκει τοὺς ἄνδρας, εἴπερ καὶ προεστάναι ἀξιοῦνται τῶν γυναικῶν· ἂν μέντοι ἀκρατέστεροι φαίνωνται ὄν- Ἐκ τοῦ Περὶ κουρᾶς (Musonii rel. p. 207 Peerlk.). Ἔφη μὲν παραπλησίως τὸν ἄνδρα χρῆναι τῇ κεφαλῇ προσφέρειν κουράν, ὡς ἀμπέλῳ προσφέρομεν τομήν, τοῦ μόνον ἀφαιρεῖν χάριν τὸ ἄχρηστον ..... οὔτε γενείῳ πώγωνα, ἀλλ' εἶναί τινα καὶ ταύτην σκέπην ὑπὸ τῆς φύσεως ἡμῖν πεπορισμένην· τὸν δὲ πώγωνα καὶ σύμβολον γεγονέναι τοῦ ἄρρενος, ὥσπερ ἀλεκτρυόνι λόφον καὶ λέοντι χαίτην· ὅθεν τῆς μὲν κόμης ἀφαιρετέον εἶναι τὸ ἐνοχλοῦν, τοῦ δὲ πώγωνος οὐδέν. οὐδὲ γὰρ ἐνοχλεῖν αὐτὸν οὐδέν, ἕως ἂν ὑγιαίνῃ τὸ σῶμα ἢ νόσον μὴ τοιαύτην νοσῇ, ἧς ἕνεκα γένοιτ' ἂν ἀφαίρεσις τῶν ἐπὶ τοῦ γενείου τριχῶν. εὖ γὰρ εἴρηται, ἔφη, τὸ τοῦ Ζήνωνος, φύσιν, ἵνα μὴ βαρούμενός τις ὑπὸ τῆς κόμης μηδ' ἐνοχλούμενος ᾖ πρὸς μηδεμίαν ἐνέργειαν. ἡ γὰρ δὴ φύσις τὸ μὲν ἐνδεὲς μᾶλλον φαίνεται φυλαξαμένη, τὸ δὲ περιττὸν ἧττον, ἐπί τε φυτῶν καὶ ἐπὶ ζῴων, ὅτι τῆς προσθέσεως τοῦ ἐνδεοῦς ἡ ἀφαίρεσις τοῦ περιττοῦ πολὺ ῥᾴων καὶ εὐπετεστέρα ἐστίν. χρὴ δ' ἐφ' ἑκάτερα τὸν λογισμὸν τὸν ἀνθρώπινον τῇ φύσει βοηθεῖν, ὥστ' ἀναπιμπλάναι τὰς ἐνδείας ἐφ' ὅσον οἷόν τε ἀναπληροῦν, ἐλαττοῦν δὲ καὶ ἀφαιρεῖν τὰς περιττότητας. ὅθεν καὶ καρτέον μόνης ἕνεκα τῆς ἀφαιρέσεως τοῦ περιττοῦ καὶ οὐχὶ κόσμου χάριν, ὅπερ οἴονται δεῖν ἔνιοι τὰ μὲν γένεια λεαινόμενοι καὶ μιμούμενοι τοὺς ἀγενείους ἢ νὴ Δία τοὺς ἄρτι γενειάσκοντας, τὴν δὲ κεφαλὴν οὐχ ὁμοίως κειρόμενοι, διαφόρως δὲ τὰ πρόσω τῶν ὀπίσω. καὶ γάρ τοι δοκῶν εἶναι κόσμος οὗτος πολλὴν ἀκοσμίαν ἔχει καὶ διαφέρει οὐδὲν τοῦ καλλωπισμοῦ τοῦ τῶν γυναικῶν. ἐκεῖναί τε γὰρ τὰ μέν τινα μέρη πλέκουσι τῶν τριχῶν τὰ δὲ καθιᾶσι τὰ δὲ ἕτερόν τινα σκευάζουσι τρόπον, ἵνα φαίνωνται καλλίονες, οἵ τε κειρόμενοι οὕτως ἄνδρες κατάδηλοί εἰσι δι' ἐπιθυμίαν τοῦ φαίνεσθαι καλοὶ οἷς βούλονται ἀρέσκειν, τὰς μὲν τέλεον ἀφαιροῦντες τῶν γότες ὑπὸ τῆς τρυφῆς καὶ ἐκνενευρισμένοι παντάπασιν, οἵ γε ἀνέχονται ἀνδρόγυνοι καὶ γυναικώδεις ὁρᾶσθαι ὄντες, ὅπερ ἔδει φεύγειν ἐξ ἅπαντος, εἰ δὴ τῷ ὄντι ἄνδρες ἦσαν. τί γὰρ δὴ καὶ εἰσὶν αἱ τρίχες

ἀνθρώποις βάρος; εἰ μὴ νὴ Δία καὶ τοῖς ὀρνέοις τὰ πτερὰ φαίη τις [ἂν] εἶναι βάρος. Σόλωνος. Ἡδονὴν φεῦγε ἥ τις ὕστερον λύπην τίκτει. Δημοκρίτου (fr. mor. 181 Mull.). Ἔνιοι πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι. (fr. mor. 91 Mull.) Ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσι. (fr. mor. 50 Mull.) Ξυνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 68 E). Καίτοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι. Εὐσεβίου (fr. 8 III p. 9 Mullach). Τῶν τῇσιν αἰσχρῇσιν ἐπιθυμίῃσιν ἐπιχειρεόντων ἐλεύθερον μηδένα νόμιζε. τῶν γὰρ τοὺς τῇ τύχῃ δούλους κεκτημένων πολὺ βαρυτέροις οὗτοι δεσπόταις τοῖσι καταναγκάζουσι ταῦτα δουλεύουσιν. (fr. 9 l. c.) Γαστριμαργίη σῶμα πιαίνει, ἀλογίην ἐγείρει, ψυχῆς δὲ τὸ κάλλιστον λογισμὸν κοιμίζει. (fr. 10 l. c.) Ψυχῇ σῶμα ἀνθρώπου ἔδοσαν οἱ θεοί, ὥστε τῇ ψυχῇ τὸ σῶμα ὑπηρετέεσθαι. οἱ δὲ πολλοὶ τὸ ἔμπαλιν ποιέουσι, σώματι πρὸς πάντα καὶ ἐς μοῦνα τὰ ἐκείνου ὑπουργήματα τὸ κρέσσον τῷ χείρονι καὶ θνητῷ ἀθάνατον ψυχὴν καταδουλεύμενοι. (fr. 11 l. c.) Ἀκολασίη ψυχὴν λυμαίνεται καὶ σῶμα διαφθείρει, τόπερ ἕνεκα τῆς ἡδονῆς καὶ ὥστε αὐτῷ χαρίζεσθαι τὸν ἔχοντά μιν καταναγκάσει τὰ αἴσχιστα πάντα ποιέειν. (fr. 12 l. c.) Ἀκολασίη ψυχὴν ὥσπερ νῆα ἄνεμοι ὑπολαβόντες τῇ καὶ τῇ φορέοντες συγκλονέουσι καὶ ἀπειθέα ποιέουσι τῷ κυβερνήτῃ, οὕτω καὶ ψυχὴν δονέουσα καὶ ἀπειθέα νόῳ εἶναι καταναγκάζουσα εἰρηνεύειν καὶ ἐν τῷ εὐδίῳ καὶ ἀσφαλεστάτῳ ὁρμέειν οὐ ξυγχωρέει. Διογένους. Ὁ Διογένης τοὺς πολλοὺς ἔφασκεν ζῶντας μὲν ἑαυτοὺς σήπειν λουτροῖς τέγγοντας καὶ ἀφροδισίοις τήκοντας, ἀποθνήσκοντας δ' ἐν θυμιάμασι τὸ σῶμα κελεύειν ἀποτίθεσθαι, τοὺς δ' ἐν μέλιτι, ὑπὲρ τοῦ μὴ ταχέως κατασαπῆναι. Διογένης ἔλεγεν τῶν οἴκων ἔνθα πλείστη τροφὴ πολλοὺς μῦς εἶναι καὶ γαλᾶς· καὶ σώματα δὲ τὰ πολλὴν τροφὴν δεχόμενα καὶ νόσους ἴσας ἐφέλκεσθαι. Διογένης πρός τινα νέον περιττῶς καλλωπιζόμενον ‘εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖσ‘ εἶπεν, ‘εἰ δὲ πρὸς γυναῖ- Διογένης οὐδὲν εὐωνότερον εἶναι μοιχοῦ διωρίζετο τὴν ψυχὴν τῶν δραχμῆς ὠνίων προϊεμένου. Διογένης ἐσθίειν ἔλεγε τοὺς ἀνθρώπους τοῦ ἥδεσθαι ἕνεκα, ἀποπαύεσθαι δὲ αὐτοῦ τούτου χάριν μὴ ἐθέλειν. Διογένης τοὺς μὲν ἄλλους ἔφησε ζῆν, ἵνα ἐσθίωσιν, αὐτὸν δὲ ἐσθίειν, ἵνα ζῇ. Σοφοκλέους. Σοφοκλῆν ἤρετό τις πρεσβύτην ὄντα, εἰ ἔτι πλησιάζοι γυναικί· ὃ δ' ‘εὐφήμει‘ ἔφη ‘ἀσμενέστατα ἀπέφυγον ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην‘. Ἀντισθένους (apophth. 8 Winckelm.). Ἀντισθένης ἔλεγεν τὰς μὴ κατὰ θύραν εἰσιούσας ἡδονὰς ἀναγκαῖον μὴ κατὰ θύραν πάλιν ἐξιέναι· δεήσει οὖν τμηθῆναι ἢ ἐλλεβορισθῆναι. Ἐρυξιμάχου. Ἐρυξίμαχος τὴν συνουσίαν μικρὰν ἐπιληψίαν ἔλεγεν, καὶ χρόνῳ μόνῳ διαλλάττειν. Ἀντιφῶντος (fr. 130 Blass 2). Ἔνθα τὸ ἡδύ ἐστι, πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. Κράτης (Plut. de Alex. fort. p. 336 C). Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας ἐν Δελφοῖς ἑστῶσαν ἀνέκραγεν ὅτι τοῦτο τῆς Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκεν. Αἰσώπου. Αἴσωπος πρὸς τὸν τῷ κάλλει κακῶς κεχρημένον εἶ- 〈Ἰαμβλίχου ἐκ τῶν προτρεπτικῶν〉 εἰς φιλοσοφίαν λόγων (p. 32, 13 Pist.). Καὶ μὴν τό γε ἀκολασταίνειν πάλαι ψέγεται, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ ἐπιθυμητικὸν εἰς ἐλευθερίαν πέρα τοῦ δέοντος. Πλουτάρχου ἐκ τοῦ Κατὰ ἡδονῆς (fr. XX 1 Wyttenb.). Ὅτι τὰ σώματα ἀνίησιν ἡ ἡδονὴ καθ' ἡμέραν ἐκμαλάττουσα ταῖς τρυφαῖς, ὧν ἡ συνέχεια παραιρεῖται τὸν τόνον ἀναχαλῶσα τὴν ἰσχὺν αὐτῶν. ἐξ ὧν ῥᾳστώνη μὲν νόσων, ῥᾳστώνη δὲ καμάτων, προμελετώμενον δ' ἐν νεότητι γῆρας. Ἐν ταὐτῷ (fr. XX 2 Wyttenb.). Θηρίον ἐστὶ δουλαγωγὸν 〈ἡ〉 ἡδονή, ἀλλ' οὐκ ἄγριον· εἴθε γὰρ ἦν· φανερῶς ἂν πολεμοῦσα ταχέως ἐάλω· νῦν δὲ καὶ ταύτῃ μισητότερον, ὅτι κλέπτει τὴν ἔχθραν ὑποδυομένη σχῆμα εὐνοίας. ὥστε διχῇ ἀποτρόπαιον, καὶ ὧν Ἐν ταὐτῷ (fr. XX 3 Wyttenb.). Τὰς μὲν οὖν δικαίας ἡδονὰς οὐκ ἔτ' ἂν ἡδονὰς οὔτε καλέσαιμεν οὔτε ἴσμεν, ἀλλὰ θεραπείας. ὅσαι δὲ παρὰ ταύτας πᾶσαι ὕβρεις περιτταί εἰσι πεπηρωμέναι, βιαζόμεναι καὶ ταῖς ποικιλίαις κολακεύουσαι,

λανθάνουσι βλάπτουσαι. οὐδ’ εἰς τὰ ἡμέτερα νόμος ὁ καὶ τῶν ἀλόγων ζῴων, 〈ὧν〉 μετὰ τὸ ἀκέσασθαι τὰς ἐπιθυμίας οὐδενὸς ὄρεξις, ἀλλὰ κόρος τῶν ἐπειγόντων ἀβιάστοις ἡδοναῖς. Ἐν ταὐτῷ (fr. XX 4 Wyttenb.). Μή τις προδότας ἐπαινεῖ; τοιοῦτόν ἐστιν ἡ ἡδονή, προδίδωσι τὰ τῆς ἀρετῆς. μή τις βασανιστάς; τοιοῦτόν ἐστιν τὸ ἥδεσθαι, βασανίζει τὰ τῆς σωφροσύνης. μή τις φιλαργυρίαν; ἀπλήρωτόν ἐστιν ἑκάτερον. τί τηλικούτῳ Ἐν ταὐτῷ (fr. XX 5 Wyttenb.). Τί δ’ οὐ πάντων ὁρώντων ἀκρατεύεις, ἀλλὰ καὶ σαυτὸν αἰδούμενος φεύγεις νυκτὶ καὶ σκότῳ τοῖς ἁμαρτύροις πιστεύων τὴν ὕβριν; οὐδεὶς γὰρ τῶν καλῶν ἔργων σκότος προβάλλει τὸ φῶς αὐτοῖς μαρτυρεῖν αἰσχυνόμενος, ἀλλ’ ὅλον ἅμα τὸν κόσμον ἥλιον γενέσθαι πρὸς ἃ κατορθοῖ βούλοιτ’ ἄν· ἅπασα δὲ κακία ὁρᾶσθαι γυμνὴ φυλάττεται σκέπην προβαλλομένη τὰ πάθη. ἀποκόψαντες οὖν αὐτὰ γυμνὰς βλέπωμεν τὰς ἡδονάς· μεθύουσιν εἰς ἀναισθησίαν, λαγνεύουσιν εἰς αἰῶνα, καθεύδουσιν εἰς ἔργα, οὐκ ἐπιστρέφονται πόλεων, οὐ φροντίζουσι γονέων, οὐκ αἰσχύνονται νόμους. Πυθαγόρου. Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα καὶ ὑπὸ παθῶν κρατούμενον. Οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν. Ἐκ τῶν Ἐπικτήτου (fr. 52 III p. 83 Schweigh.). Τοὺς δυσχερεῖς δὲ φιλοσόφους εἰς μέσον ἄγοντες, οἷς οὐ δοκεῖ κατὰ φύσιν ἡδονὴ εἶναι, ἀλλ’ ἐπιγίγνεσθαι τοῖς κατὰ φύσιν, δικαιοσύνῃ σωφροσύνῃ ἐλευθερίᾳ. τί ποτ’ οὖν ἡ ψυχὴ ἐπὶ μὲν τοῖς τοῦ σώματος ἀγαθοῖς μικροτέροις οὖσι χαίρει καὶ γαληνιᾷ, ὥς φησιν Ἐπίκουρος, ἐπὶ δὲ τοῖς αὐτῆς ἀγαθοῖς μεγίστοις οὖσιν οὐχ ἥδεται; καί τοι καὶ δέδωκέ μοι ἡ φύσις αἰδῶ, καὶ πολλὰ ὑπερυθριῶ, ὅταν τι ὑπολάβω αἰσχρὸν λέγειν. τοῦτό με τὸ κίνημα οὐκ ἐᾷ τὴν ἡδονὴν θέσθαι ἀγαθὸν καὶ τέλος τοῦ βίου. Τοῦ αὐτοῦ ἐκ τῶν Ἀπομνημονευμάτων (fr. 53 l. c. τοῖς γὰρ ῥήμασι προσέχουσι τὸν νοῦν, οὐ τῇ διανοίᾳ τἀνδρός, ὅτι οὐ γαμεῖν κελεύων καὶ συνοικεῖν ἕνα μιᾷ εἶτα κοινὰς εἶναι βούλεται τὰς γυναῖκας, ἀλλ’ ἐξαιρῶν τὸν τοιοῦτον γάμον καὶ ἄλλο τι εἶδος γάμου εἰσφέρων. καὶ τὸ ὅλον οἱ ἄνθρωποι χαίρουσιν ἀπολογίας τοῖς ἑαυτῶν ἁμαρτήμασι πορίζοντες. ἐπεί τοι φιλοσοφία φησὶν ὅτι οὐδὲ τὸν δάκτυλον ἐκτείνειν εἰκῇ προσήκει. Τοῦ αὐτοῦ (Democriti fr. mor. 34 Mull.). Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα μάλιστα τέρπει. Τοῦ αὐτοῦ (fr. mor. 37 Mull.). Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίνοιτο. Κάτωνος πρεσβυτέρου (Ps. —Plut. apo- (Ps. —Plut. l. c. p. 199 A) Τοὺς σπουδάζοντας ἐν τοῖς γελοίοις ἔλεγεν ἐν τοῖς σπουδαίοις γίγνεσθαι καταγελάστους. Εὐκλείδου. Ἔστι δὲ ὁ μὲν ὕπνος νεώτερος καὶ μειρακιώδης δαίμων, εὔπειστος καὶ ῥᾴδιος ἀποφυγεῖν· ὁ δὲ ἕτερος οὗτος πολιὸς καὶ γέρων, ἐν τοῖς πρεσβυτέροις τῶν ἀνθρώπων μάλιστα ἐμπεφυκώς, ἄσπειστος καὶ ἀπαραίτητος. τούτου δὲ τοῦ δαίμονος ἐργῶδες ἐστὶν ἀπαλλαγῆναι, ὅταν ἅπαξ παρῇ· οὔτε γὰρ λόγοις προσέχει οὐδὲν [οὔτε ἀκούειν τὸ σύνολον δύναται]· κωφὸς γάρ ἐστιν. οὔτ’ αὖ δεικνύων αὐτῷ ἐμφανίσαις τὶ ἄν· τυφλὸς γάρ ἐστιν. Εὐσεβίου (fr. 62 III p. 17 Mull.). Σωφροσύνην, τό περ δὴ καὶ ἀναγκαιότατον, παρὰ τῶν ξυνοικουσέων γυναικῶν ἄνδρες ἀπαιτέουσι, καὶ ὡς τες οὐκ αἰδέονται ὁκόσα ἑκαστάτω ἐστὶ σωφροσύνης καὶ τῶν ἐν τῇ τοῦ χείρονος ἐόντων μοίρᾳ τὸ ἐξαμαρτάνειν ταῦτα αὐτοί, ὥσπερ σφίσι μούνοις ἐξεόν, καὶ μετὰ τοῦ ἀνεπιπλήκτου παρὰ σφέων παντελέως καὶ ἀνέδην οὕτω πλημμελέοντες. Ἐπικτήτου Ἀπομνημονευμάτων (De- mocr. fr. mor. 47 Mullach). Ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται, ὑπερβεβληκότες τὸν καιρόν, ἐπὶ βρώσεσιν ἢ ἐπὶ πόσεσιν ἢ ἐπὶ ἀφροδισίοισιν, τούτοισι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχέαι τε καὶ δι’ ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί. τοῦτο μὲν γὰρ τὸ ἐπιθυμέειν αἰεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκόταν γένηται, ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος γε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστιν, ἀλλ’ ἢ τέρψις βραχέα, καὶ αὖτις τῶν αὐτῶν δεῖ. Κλεάνθους. Κλεάνθης ἔλεγεν, εἰ τέλος ἐστὶν ἡ ἡδονή, πρὸς κακοῦ τοῖς ἀνθρώποις τὴν φρόνησιν δεδόσθαι. Πλάτωνος ἐκ τοῦ Πρωταγόρου (p. 357 B—E). Τοσοῦτον ἐξαρκεῖ πρὸς τὴν ἀπόδειξιν, ἣν ἐμὲ δεῖ καὶ Πρωταγόραν ὑμῖν ἀποδεῖξαι περὶ ὧν ἤρεσθε ἡμᾶς. ἤρεσθε δέ, εἰ μέμνησθε, ἡνίκα ἡμεῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλήλοις ὡμολογοῦμεν ἐπιστήμης μὴ εἶναι μηδὲν κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖν, ὅπου ἂν ἐνῇ, καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων· ὑμεῖς δὲ δὴ ἔφατε τὴν ἡδονὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰδότος ἀνθρώπου. ἐπειδὴ 〈δὲ〉 ὑμῖν οὐχ ὡμολογοῦμεν, μετὰ τοῦτ' ἤρεσθε ἡμᾶς· ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ δὲ μὴ ἔστι τοῦτο τὸ πάθημα ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστὶ καὶ τί ὑμεῖς αὐτό φατε εἶναι; εἴπατε ἡμῖν. εἰ μὲν οὖν τότε εὐθὺς ὑμῖν εἴπομεν ὅτι ἀμαθία, κατεγελᾶτε ἂν ἡμῶν· νῦν δὲ ἂν ἡμῶν καταγελᾶτε, καὶ ὑμῶν αὐτῶν καταγελάσεσθε. καὶ γὰρ ὑμεῖς ὡμολογήκατε ἐπιστήμης ἐνδείᾳ ἐξαμαρτάνειν περὶ τὴν τῶν ἡδονῶν αἵρεσιν καὶ λυπῶν τοὺς ἐξαμαρτάνοντας· ταῦτα δ' ἐστὶν ἀγαθά τε καὶ κακά· καὶ οὐκέτι ἐπιστήμης, ἀλλὰ καὶ ἧς τὸ πρόσθεν ἔτι ὡμολογήκατε ὅτι μετρητικῆς· ἡ δὲ ἐξαμαρτανομένη πρᾶξις ἄνευ ἐπιστήμης ἴστε που καὶ αὐτοὶ ὅτι ἀμαθίᾳ πράττεται· ὥστε τοῦτ' ἐστὶ τὸ ἡδονῆς ἥττω εἶναι ἀμαθία ἡ μεγίστη. Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 65 B—66 C). Καθ' ἓν ἕκαστον τοίνυν τῶν τριῶν πρὸς τὴν ἡδονὴν καὶ τὸν νοῦν κρίνωμεν. δεῖ γὰρ ἰδεῖν ποτέρῳ μᾶλλον ξυγγενὲς ἕκαστον αὐτῶν ἀπονεμοῦμεν. — Κάλλους καὶ ἀληθείας καὶ μετριότητος πέρι λέγεις; — Ναί. πρῶτον δέ γε ἀληθείας σὺ λαβοῦ, ὦ Πρώταρχε· καὶ λαβόμενος βλέψας εἰς τρία, νοῦν καὶ ἀλήθειαν καὶ ἡδονήν, πολὺν ἐπισχὼν χρόνον ἀπόκριναι σαυτῷ, πότερον ἡδονὴ ξυγγενέστερον ἢ νοῦς ἀληθείᾳ. — Τί δὲ χρόνου δεῖ; πολὺ γάρ, οἶμαι, διαφέρετον. ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονέστατον, ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὰ ἀφροδίσια, αἳ δὴ μέγισται δοκοῦσιν εἶναι, καὶ τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν, ὡς καθάπερ παίδων 〈τῶν〉 ἡδονῶν νοῦν οὐδὲ τὸν ὀλίγιστον κεκτημένων. νοῦς δὲ ἤτοι ταὐτὸν καὶ ἀλήθειά ἐστιν ἢ πάντων ὁμοιότατόν τε καὶ ἀληθέστατον. — Οὐκοῦν τὸ [μὴ] μετὰ τοῦτο τὴν μετριότητα ὡσαύτως σκέψαι, πότερον ἡδονὴ φρονήσεως ἢ φρόνησις ἡδονῆς πλείω κέκτηται; — Εὔσκεπτόν γε καὶ ταύτην σκέψιν προβέβληκας. οἶμαι γὰρ ἡδονῆς μὲν καὶ περιχαρείας οὐδὲν τῶν ὄντων πεφυκὸς ἀμετρότερον εὑρεῖν ἄν τινα, νοῦ δὲ καὶ ἐπιστήμης ἐμμετρότερον οὐδ' ἂν ἕν ποτε. — Καλῶς εἴρηκας. ὅμως δ' ἔτι λέγε τὸ τρίτον. νοῦς ἡμῖν κάλλους μετείληφε πλεῖον ἢ τὸ τῆς ἡδονῆς γένος, ὥστ' εἶναι καλλίω νοῦν ἡδονῆς, ἢ τοὐναντίον; — Ἆρ' οὖν φρόνησιν μὲν καὶ νοῦν, ὦ Σώκρατες, οὐδεὶς πώποτε οὔθ' ὕπαρ οὔτ' ὄναρ αἰσχρὸν οὔτε εἶδεν οὔτε ἐπενόησεν οὐδαμῇ οὐδαμῶς οὔτε γιγνόμενον οὔτε ὄντ' οὔτ' ἐσόμενον; — Ὀρθῶς. — Ἡδονὰς δέ 〈γέ〉 που, καὶ ταύτας σχεδὸν τὰς μεγίστας, ὅταν ἴδωμεν ἡδόμενον ὀντινοῦν, ἢ τὸ γελοῖον ἐπ' αὐταῖς ἢ τὸ πάντων αἴσχιστον ἑπόμενον ὁρῶντες αὐτοί τε αἰσχυνόμεθα καὶ ἀφανίζονφράζων, ὡς ἡδονὴ κτῆμα οὐκ ἔστι πρῶτον οὐδ' αὖ δεύτερον, ἀλλὰ πρῶτον μέν πῃ περὶ μέτρον καὶ τὸ μέτριον καὶ καίριον καὶ πάντα ὁπόσα τοιαῦτα χρὴ νομίζειν, τὴν ἀίδιον ᾠρῆσθαι 〈φύσιν〉. — Φαίνεται γοῦν ἐκ τῶν νῦν λεγομένων. — Δεύτερον μὴν περὶ τὸ σύμμετρον καὶ καλὸν καὶ τὸ τέλεον καὶ ἱκανὸν καὶ πάνθ' ὁπόσα τῆς γενέσεως αὖ ταύτης ἐστίν. — Ἔοικε γοῦν. — Τὸ τοίνυν τρίτον, ὡς 〈ἡ〉 ἐμὴ μαντεία, νοῦν καὶ φρόνησιν τιθεὶς οὐκ ἂν μέγα τι τῆς ἀληθείας παρεξέλθοις. — Ἴσως. — Ἆρ' οὖν οὐ τέταρτα, ἃ τῆς ψυχῆς αὐτῆς ἔθεμεν, ἐπιστήμας τε καὶ τέχνας καὶ δόξας ὀρθὰς λεχθείσας, ταῦτ' εἶναι τὰ πρὸς τοῖς τρισὶ τέταρτα, εἴπερ τοῦ ἀγαθοῦ γέ ἐστι μᾶλλον ἢ τῆς ἡδονῆς ξυγγενῆ; — Τάχ' ἄν. — Πέμπτας αἰσθήσεσιν ἑπομένας. — Ἴσως. — Ἕκτῃ δ' ἐν γενεᾷ φησὶν Ὀρφεύς, καταπαύσατε κόσμον ἀοιδῆς· ἀτὰρ κινδυνεύει καὶ ὁ ἡμέτερος λόγος ἐν ἕκτῃ καταπεπαυμένος εἶναι κρίσει.

3.7 Εὐριπίδης Βελλεροφόντῃ (fr. 302 N. 2). Θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει. Σοφοκλέους Αἴαντος (473—80). Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου. κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται. τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν; οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν, Μενάνδρου (fab. inc. fr. 47 com. IV p. 248). Ὅταν τι πράττῃς ὅσιον, ἀγαθὴν ἐλπίδα πρόβαλλε σαυτῷ, τοῦτο γιγνώσκων ὅτι τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει. Εὐριπίδης Ἀρχελάῳ (fr. 245 N. 2). Ἓν δέ σοι μόνον προφωνῶ, μὴ 'πὶ δουλείαν ποτὲ ζῶν ἐκὼν ἔλθῃς παρὸν σοὶ κατθανεῖν ἐλευθέρως. Εὐριπίδης Δανάῃ (fr. 329 N. 2). Φεῦ,

τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν. Σοφοκλῆς Ἐριφύλῃ (fr. 196 N. 2). Ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται. Σοφοκλῆς Κρέουσα (fr. 325 N. 2). Ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται, ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστίν, ἀσφαλὴς δ' ὁ νοῦς. Εὐριπίδης Ἡρακλεῖ (fr. 854 N. 2). Τὸ μὲν σφαγῆναι δεινόν, εὔκλειαν δ' ἔχει· τὸ μὴ θανεῖν δὲ δειλόν, ἡδονὴ δ' ἔνι. Εὐριπίδου Οἰδίποδι (fr. 552 N. 2). Πότερα γενέσθαι δῆτα χρησιμώτερον συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ; τὸ μὲν γὰρ αὐτῶν σκαιόν, ἀλλ' ἀμύνεται· τὸ δ' ἡσυχαῖον ἀργόν· ἐν δ' ἀμφοῖν νόσος. Αἰσχύλου (Septem 42—56). Ἄνδρες γὰρ ἑπτά, θούριοι λοχαγέται, ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου, Ἄρη τ', Ἐνυώ, καὶ φιλαίματον Φόβον ὠρκωμότησαν ἢ πόλει κατασκαφὰς θέντες λαπάξειν ἄστυ Καδμείων βίᾳ, ἢ γῆν θανόντες πρόσθε φυράσειν φόνῳ. σημεῖα δ' αὐτῶν τοῖς τεκοῦσιν εἰς δόμους πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ λείβοντες· οἶκτος δ' οὔ τις ἦν ἀνὰ στόμα. κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον. Μιμνέρμου (p. l. 4 II p. 31 Bergk. fr. 14). Οὐ μὲν δὴ κείνου γε μένος καὶ ἀγήνορα θυμὸν τοῖον ἐμεῦ προτέρων πεύθομαι, οἵ μιν ἴδον Λυδῶν ἱππομάχων πυκινὰς κλονέοντα φάλαγγας, Ἕρμιον ἂμ πεδίον φῶτα φερεμμελίην. τοῦ μὲν ἄρ' οὔ ποτε πάμπαν ἐμέμψατο Παλλὰς Ἀθήνη δριμὺ μένος κραδίης, εὖθ' ὅγ' ἀνὰ προμάχους σεύαιθ' αἱματόεντος ἐν ὑσμίνῃ πολέμοιο, πικρὰ βιαζομένου δυσμενέων βέλεα. οὐ γάρ τις κείνου δηίων ἔτ' ἀμεινότερος φὼς ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς Μελιννοῦς Λεσβίας εἰς Ῥώμην (anth. lyr. 2 p. 520 Bergk). Χαῖρέ μοι Ῥώμα, θυγάτηρ Ἄρηος, χρυσεομίτρα δαΐφρων ἄνασσα, σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον αἰὲν ἄθραυστον. σοὶ μόνᾳ, πρέσβιστα, δέδωκε Μοῖρα κῦδος ἀρρήκτω βασιλῆον ἀρχᾶς· ὄφρα κοιρανῆον ἔχοισα κάρτος ἀγεμονεύῃς. σᾷ δ' ὑπὰ σδεύγλᾳ κρατερῶν λεπάδνων στέρνα γαίας καὶ πολιᾶς θαλάσσας σφίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς ἄστεα λαῶν. πάντα δὲ σφάλλων ὁ μέγιστος αἰὼν καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς οὐ μεταβάλλει. ἄνδρας αἰχματὰς μεγάλους λοχεύεις, εὔσταχυν Δάματρος ὅπως ἀνεῖσα καρπὸν ἀπ' ἀνδρῶν. Ὁμήρου (Il. XIII 288—291). Εἴπερ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης, οὐκ ἂν ἐπ' αὐχέν' ὄπισθε πέσοι 〈βέλοσ〉 οὐδ' ἐνὶ νώτῳ, ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειεν πρόσσω ἰεμένοιο μετὰ προμάχων ὀαριστύν. Τοῦ αὐτοῦ (Il. XXII 283 sq.). Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις, ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τί ῥώμη, εἶπε 'κίνησις ψυχῆς μετὰ σώματος'. Ἐπικτήτου (fr. 56 III p. 85 Schweigh.). Διὰ τοῦτο ἐπαινεῖν Ἀγριππῖνον δίκαιον, ὅτι πλείστου ἄξιος ἀνὴρ γενόμενος οὐδεπώποτε ἐπῄνεσεν ἑαυτόν· ἀλλ' εἰ καὶ ἄλλος τις αὐτὸν ἐπῄνει, ἠρυθρία. οὗτος δ', ἔφη, ὁ ἀνὴρ τοιοῦτος ἦν, ὥστε τοῦ συμβαίνοντος ἀεὶ ἑαυτῷ δυσκόλου ἔπαινον γράφειν· εἰ μὲν πυρέττοι, πυρετοῦ, εἰ δὲ ἀδοξοῖ, ἀδοξίας, εἰ δὲ φεύγοι, φυγῆς. καί εἶπεν 'ἐν Ἀρικίᾳ ἀριστήσομεν'. Διογένους. Οὐδένα καλὸν ἔφησεν εἶναι πόνον, οὗ μὴ τέλος εἴη εὐψυχία καὶ τόνος ψυχῆς, ἀλλ' οὐχὶ σώματος. Θουκυδίδου δημηγορίας Περικλέους (II 63). Τὸ γὰρ ἄπραγμον οὐ σῴζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον. Ἀντιγόνου. Ἀντίγονος δὲ ἔφη τὰ μέγιστα καλὰ ἄνευ μεγάλων κακῶν οὐκ εἶναι. Χρυσίππου. Ἔλεγεν δὲ ὁ Χρύσιππος ἀλγεῖν μὲν τὸν σοφόν, μὴ βασανίζεσθαι δέ· μὴ γὰρ ἐνδιδόναι τῇ ψυχῇ. καὶ δεῖσθαι μέν, μὴ προσδέχεσθαι δέ. Δημοκρίτου (fr. mor. 90 Mullach.). Ἀνδρείη τὰς ἄτας σμικρὰς ἔρδει. Μουσωνίου (rel. p. 256 Peerlk.). Καὶ ἂν τοῦ συμφέροντος μάλιστα προαιρῇ ἔχεσθαι, συνέφερεν. Μουσωνίου (ibid. p. 256). Ἅρπαζε τὸ καλῶς ἀποθνῄσκειν, ὅτε ἔξεστι, μὴ μετὰ μικρὸν τὸ μὲν ἀποθνῄσκειν σοι παρῇ, τὸ δὲ καλῶς μηκέτι ἐξῇ. Τοῦ αὐτοῦ (ibid. p. 256). Οὐκ ἔστιν ἐπὶ πολλῶν συμφέροντι ζῶντα καθηκόντως ἀποθανεῖν, μὴ ἐπὶ πλειόνων ἀποθνῄσκοντα συμφέροντι. Δημοκρίτου (fr. mor. 76. 181 Mullach.). Ἀνδρήιος οὐχ ὁ τῶν πολεμίων [κρατῶν] μόνον ἀλλὰ καὶ ὁ τῶν ἡδονέων κρέσσων. ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν. Πλάτωνος. Πλάτων ἔφη τοὺς ἀγαθοὺς ἄνδρας βίου μὴ

μακροῦ, ἀλλὰ λαμπροῦ δεῖσθαι. Δαρείου (Ps.—Plut. apophth. reg. et duc. p. 172 F). Δαρεῖος ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιάζων ἔλεγεν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ γίγνεσθαι φρονιμώτερος. Ἐκ τῶν Δίωνος Χρειῶν. Λάκαινα γυνὴ τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλωθέντος καὶ δυσφοροῦντος ἐπὶ τούτῳ ‘μὴ λυποῦ, τέκνον‘ εἶπεν ‘καθ’ ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ‘. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Ἀνάξαρχος ὁ φυσικός, εἰπόντος αὐτῷ Ἀλεξάνδρου πεσθαι‘. Ἐν ταὐτῷ. Γοργὼ ἡ Λακεδαιμονία Λεωνίδου γυνή, τοῦ υἱοῦ αὐτῆς ἐπὶ στρατείαν πορευομένου, τὴν ἀσπίδα ἐπιδιδοῦσα εἶπεν ‘ἢ ταύταν ἢ ἐπὶ ταύτας‘. Δημοκρίτου (fr. mor. 111 Mullach.). Δίκης κῦδος γνώμης θάρσος καὶ ἀθαμβίη, ἀδικίης δὲ δεῖμα ξυμφορῆς τέρμα. Ἡροδότου ἱστορίας ζ′ (VII 50). Μεγάλα γὰρ πρήγματα μεγάλοισι κινδύνοισιν ἐθέλει καταιρέεσθαι. Πλάτωνος ἐκ τῆς Ἀπολογίας Σωνυνὶ ἀποθανεῖν; ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι, ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν, ἀλλ’ οὐκ ἐκεῖνο 〈μόνον〉 σκοπεῖν, ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. Θουκυδίδου δημηγορίας Κνήμου (II 87, 4). Ἄνευ δὲ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει· φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ αὐτῆς οὐδὲν ὠφελεῖ. Θουκυδίδου ἐκ τοῦ Ἐπιταφίου (II 43, 6). Ἀλγεινοτέρα γὰρ ἀνδρὶ φρόνημα ἔχοντι ἡ μετὰ τοῦ ἐν τῷ μαλακισθῆναι κάκωσις ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος. Ἐν ταὐτῷ (II 40, 3). Διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίὅκνον φέρει. κράτιστοι δ’ ἂν 〈τὴν〉 ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γινώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Ζήνωνος. Ζήνων ὁ Ἐλεάτης ὑπὸ τοῦ τυράννου στρεβλούμενος, ὅπως εἴποι τοὺς συνωμότας· ‘εἰ γὰρ ἦσαν‘ εἶπεν 〈‘οὐκ ἂν〉 ἐτυράννεισ‘. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (hist. gr. min. ed. L. Dindorf I p. 146 fr. 4). Ὀμβρικοὶ ἐν ταῖς πρὸς τοὺς πολεμίους μάχαις αἴσχιστον ἡγοῦνται ἡττημένοι ζῆν, ἀλλ’ ἀναγκαῖον ἢ νικᾶν ἢ ἀποθνῄσκειν. Τοῦ αὐτοῦ (ib. fr. 5). Κελτοὶ οἱ τῷ ὠκεανῷ γειτνιῶντες αἰσχρὸν ἡγοῦνται τοῖχον καταπίπτοντα ἢ οἰκίαν φεύγειν, πλημμυρίδος δὲ ἐκ τῆς ἔξω θαλάττης ἐπερχομένης μεθ’ ὅπλων ἁπαντῶντες ὑπομένουσιν ἕως κατακλύζονται, ἵνα μὴ δοκῶσι φεύγοντες τὸν θάνατον φοβεῖσθαι. Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ὀλύμπιον περὶ ἀνδρείας. τοῦ νοῦ ταυτότης καὶ μόνιμος ἕξις ἐν ἑαυτῇ· τοιαῦτα ἂν εἴη τὰ περὶ τὴν ζωὴν εἴδη θεωρούμενα τῆς ἀνδρείας, ἤτοι καθ’ ἑαυτὰ ὑφεστηκότα ἢ κοινωνήσαντα τὴν ἑαυτῶν ῥώμην πρὸς τὴν ἐν τοῖς λόγοις μόνιμον κατάστασιν. Ἐν ταὐτῷ. Ἀπὸ δὴ τούτων τὰ ἐν τοῖς πάθεσιν περί τε δεινὰ καὶ μὴ δεινὰ καὶ περὶ φόβον καὶ θάρσος περί τε ἡδονὴν καὶ λύπην γενναίως ἀνθιστάμενα, καὶ τὰ διαφυλάττοντα ἀεὶ τὰς αὐτὰς ὀρθὰς δόξας, τά τε σύμμετρα καὶ μέσα ἤδη διασῴζοντα, καὶ τὰ πραΰνοντα τὸν ὑπὸ τῷ λόγῳ καὶ ἀνεγείροντα αὐτὸν κατὰ καιρόν, καὶ τὰ κοινὰ τούτων ἐκ πάθους καὶ λόγου καὶ προαιρέσεως, τίθεμαι εἶναι πολυμέριστα εἴδη τῆς ἀνδρείας· ἀφ’ ὧν ἐπιρρεῖ τοῖς βίοις ἡ ἀνδραγαθία τῶν πράξεων ἀήττητος πάντῃ καὶ ἀβίαστος, ἑκουσίως τὰ καλὰ καὶ δι’ ἑαυτὰ αἱρουμένη καὶ πράττουσα, καὶ τῶν ἀγαθῶν ἕνεκα πάντας πόνους καὶ κινδύνους ὑπομένουσα διδοῦσά τε ἑαυτὴν ἑτοίμως εἰς τὰ δοκοῦντα εἶναι δυσχερῆ, καὶ θαρροῦσα τὸν θάνατον καὶ μελετῶσα τάς τε ἀλγηδόνας εὐκόλως φέρουσα καὶ μεταχειριζομένη. Πλάτωνος. Πλάτων ἐρωτηθεὶς πῶς ἔχειν δεῖ πρὸς τὰ περιπτώματα, ‘οὕτως‘ εἶπεν ‘ὥστε προϊδόντα μὴ ἐμβῆναι, ἐμβάντα δὲ κατ’ ἄγνοιαν μηδὲ φροντίσαι‘. Τοῦ αὐτοῦ. Οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. Ζήνωνος. Ζήνων ὡς ἤδη γέρων ὢν πταίσας κατέπεσεν ‘ἔρχομαι‘ εἶπε ‘τί με αὔεις;‘ καὶ εἰσελθὼν ἑαυτὸν ἐξήγαγεν. Λεωνίδου. Λεωνίδης ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τοῖς Περσῶν τοξεύμασιν ‘χαρίεν‘ ἔφη ‘ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα‘. Διογένους. Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη ἱστάντας ‘ὦ μοχθηροί‘ εἶπε ‘μὴ τοῦ μεγέθους προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ’ αὐτῶν στησομένων‘. Ἄγις (Ps.—Plut.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

apophth. reg. et imp. p. 190 C. D). Ἄγις ὁ βασιλεὺς ἔφη τοὺς Λακεδαιμονίους μὴ ἐρωτᾶν ὁπόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσὶν οἱ πολέμιοι. καὶ ἐρωτῶντός τινος πόσοι εἰσὶν Λακεδαιμόνιοι, ἔφη ‘ἱκανοὶ τοὺς Ξενοφῶντος. Ξενοφῶντι ἐν Σκιλλοῦντι ἐστεφανωμένῳ καὶ θύοντι ἀπήγγειλέ τις Γρύλλον τὸν υἱὸν περὶ Μαντίνειαν πολεμοῦντα ἀνῃρῆσθαι. ὃ δὲ ἀποθέμενος τὸν στέφανον ἤρετο ὅπως ἀγωνιζόμενος τελευτήσειε· τοῦ δ’ εἰπόντος ‘ἄριστα‘ ἐπιθέμενος τὸν στέφανον πάλιν ἔθυεν. Δημοσθένους ἐν τῷ Ὑπὲρ τοῦ στεφάνου (XVIII § 97 p. 258). Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις ἑαυτὸν καθείρξας τηρῇ. δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ’ ὃ ἂν ὁ θεὸς διδῷ γενναίως. Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας (p. 28 D—29 B). χοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε θάνατον μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ. ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ Ἀθηναῖοι, εἰ ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον ἔμενον ὥσπερ καὶ ἄλλος 〈τισ〉 καὶ ἐκινδύνευον ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ [εἰ] φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶγμα λίποιμι τὴν τάξιν. δεινὸν ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ’ ἄν με δικαίως εἰσαγάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς εἶναι οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ’ εἰ τυγχάνει τῷ ἀνθρώπῳ 〈πάντων〉 μέγιστον ὂν τῶν ἀγαθῶν· δεδίασι δ’ ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστί. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; Πλάτωνος (Phaedr. p. 274 A). Ἀλλὰ καὶ ἐπιχειροῦντα τοῖς καλοῖς καλὸν καὶ πάσχειν ὅ τι ἂν ξυμβῇ τῳ παθεῖν. Ἀλεξάνδρου. Ἐν Ἰλίῳ θύοντι τῷ Ἀλεξάνδρῳ ἔφη ὁ ἱερεὺς δείξειν τὴν Πάριδος λύραν· ὃ δὲ ‘τὴν Ἀχιλλέωσ‘ εἶπεν ‘εἰ ἔχεις, δεῖξον, καὶ πρό γε τῆς λύρας τὴν μελίαν‘. Κορίσκου. Κορίσκος εὖ μάλα γέρων ὢν ὡς ἀπό τινος χαλεπῆς θῆναι‘. Κλεάνθους. Κλεάνθης ὑπὸ γλώττης ἕλκους αὐτῷ γενομένου τὴν τροφὴν οὐκ ἐδύνατο παραπέμπειν· ὡς δὲ ῥᾷον ἔσχε, καὶ ὁ ἰατρὸς αὐτῷ τροφὴν προσήγαγεν ‘σὺ δέ με‘ ἔφη ‘βούλει ἤδη τὸ πλέον τῆς ὁδοῦ κατανύσαντα ἀναστρέφειν, εἶτα πάλιν ἐξ ὑπαρχῆς τὴν αὐτὴν ἔρχεσθαι;‘ καὶ ἐξῆλθεν τοῦ βίου. Κλειτομάχου. Κλειτόμαχος νοσήσας καὶ ληθάργῳ περιπεσὼν ὡς ἀνένηψεν ‘οὐδέν με‘ ἔφη ‘ἐξαπατήσει ἡ φιλοζωία‘, καὶ ἐξήγαγεν ἑαυτὸν τοῦ βίου. Σωκράτους. Σωκράτους φεύγοντος τὴν δίκην, Λυσίας λόγον τινὰ συγγράψας ἦλθεν αὐτῷ κομίζων καὶ ἐκέλευε χρήσασθαι· τοῦ δὲ Λυσίου εἰπόντος καὶ μὴν κάλλιστον αὐτὸν εἶναι· ‘καὶ τὰ ῥόδα‘ ἔφη ‘κάλλιστά ἐστιν‘, ἀλλ’ οὐ πρέπειν αὐτῷ τὸ στεφάνωμα. ‘τεθνήξῃ τοίνυν‘ ἔφη ὁ Λυσίας ‘εἰ μὴ οὕτως ἀπολογήσῃ‘· ὃ δὲ ‘οὐ γάρ‘ ἔφη ‘κἂν μὴ νῦν, πάντως τεθνήξομαι;‘ Ἐρασιστράτου. Ξενοφῶντος ἐκ τῆς Σωκράτους ἀπολογίας (p. 25—26 init. 27). Θαυμαστὸν ἔμοιγε δοκεῖ εἶναι ὅπως ποτὲ ὑμῖν ἐφάνη τοῦ θανάτου ἔργον ἄξιον ἐμοὶ εἰργασμένον. ἀλλ’ οὐδὲ μέντοι ὅτι ἀδίκως ἀποθνῄσκω, διὰ τοῦτο μεῖον φρονητέον· οὐ γὰρ ἐμοὶ ἀλλὰ τοῖς καταγνοῦσι τοῦτο αἰσχρόν ἐστιν. Εἰπὼν δὴ ταῦτα μάλα ὁμολογουμένως τοῖς εἰρημένοις ἀπῄει καὶ ὄμματι καὶ σχήματι καὶ βαδίσματι φαιδρός. ὡς δὲ ᾔσθετο ἄρα τοὺς παρεπομένους δακρύοντας, τί τοῦτο; εἰπεῖν αὐτόν, ἢ ἄρτι δακρύετε; οὐ γὰρ πάλαι ἴστε, ὅτι ἐξ ὅτουπερ ἐγενόμην, κατεψη- Ἡροδότου ἱστορίας ζ′ (VII 102). Λέγει Δημάρατος τάδε· ‘ἐπειδὴ ἀληθείῃ διαχρήσασθαι πάντως κελεύεις ταῦτα λέγοντα τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφος σύνεστιν, ἀρετὴ δὲ ἔπακτός ἐστιν, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ διαχρεωμένη 〈ἡ〉 Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην‘. Φιλίππου. Φίλιππος ἦλθεν ἐπὶ Λακεδαίμονα καὶ προσστρατοπεδεύσας, ἔπεμψεν ἀπειλῶν πολλὰ καὶ χαλεπά, ἢν μὴ ποιῶσι τὰ προστασσόμενα· τῶν δὲ Λακεδαιμονίων τις ἀκούσας τῶν ἀπειλῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χάριν αὐτῷ ἔφη εἰδέναι, ὅτι οὐ κωλύει ὃ ἐπὶ τοῖς μαχομένοις ἐστὶν ἀποθανεῖν. Πύρρου. Πύρρου ἐπιστρατεύσαντος Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος, Δερκυλλίδας εἷς τῶν γερόντων ἀναστὰς ἐν βώμεθα, οὐδὲν γὰρ ἀδικοῦμεν· εἰ δ' ἄνθρωπος, γνώτω ἀνδράσιν ἀπειλῶν'. Σερήνου. Ἀλέξανδρον τὸν Φεραίων τύραννον Θήβη ἀπέκτεινε γυνὴ καὶ τοὺς Φεραίους ἠλευθέρωσεν. συνέβη δὲ καὶ θεωροὺς ἥκοντας αὐτῶν παρ' Ἄμμωνος λέγειν αὐτοῖς κελεύειν τὸν Ἄμμωνα Ἥβης ἱερὸν ἱδρύσασθαι. τῶν δὲ πρεσβυτέρων τις παρακοῦσαι ἔφη τοὺς θεωρούς· τὸν γὰρ Ἄμμωνα Θήβης εἰπεῖν τῆς αὐτοὺς ἐξελομένης τῆς δουλείας. Ἐκ τῶν Πλουτάρχου διηγήσεων (Plut. parall. min. p. 305 B). Δαρεῖος ὁ Περσῶν βασιλεὺς μετὰ τριάκοντα μυριάλίους ἔπεμψαν στρατηγοὺς αὐτοῖς δόντες Πολύζηλον Καλλίμαχον Κυνέγειρον Μιλτιάδην· συμβληθείσης δὲ τῆς παρατάξεως, Πολύζηλος μὲν ὑπεράνθρωπον φαντασίαν θεασάμενος τὴν ὅρασιν ἀπέβαλεν καὶ τυφλὸς ὢν ἀνεῖλε τεσσαράκοντα καὶ ὀκτώ· Καλλίμαχος δὲ πολλοῖς περιπεπαρμένος δόρασιν καὶ νεκρὸς ἐστάθη· Κυνέγειρος δὲ Περσικὴν ἀναγομένην ναῦν κατέχων ἐχειροκοπήθη. ὅθεν καὶ εἰς αὐτοὺς ὑπὸ Παντελέου τοιάδε γεγράφθαι λέγεται· ὦ κενεοῦ καμάτοιο καὶ ἀπρήκτου πολέμοιο, ἡμετέρῳ βασιλῆι τί λέξομεν ἀντιάσαντες; ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς; βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται. μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ' ἄρα μέσσῳ αἱματόεις ἕστηκεν ἀτειρέος Ἄρεος εἰκών. δένδρον δ' ὡς ἕστηκε σιδηρείαις ὑπὸ ῥίζαις, κοὐκ ἐθέλει πεσέειν, τάχα δ' ἔρχεται ἔνδοθι νηῶν. λῦε, κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς. Ἀγαθαρχίδου Σαμίου ἐν δ′ Περσικῶν (Plut. parall. min. p. 305 D). Ξέρξης μετὰ πεντακοσίων μυριάδων. Ἀρτεμισίῳ προσορμίσας πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν. Ἀθηναῖοι δὲ συγκεχυμένοι κατάσκοπον ἔπεμψαν Ἀγησίλαον τὸν Θεμιστοκλέους ἀδελφόν, καίπερ Νεοκλέους τοῦ πατρὸς αὐτοῦ κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκέναι τὰς χεῖρας. παραγενόμενος δὲ ὁ ἀνὴρ εἰς πλῆθος τῶν βαρβάρων ἐν σχήματι Περσικῷ Μαρδόνιον ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν, ὑπολαβὼν Ξέρξην ὑπάρχειν. συλληφθεὶς δὲ ὑπὸ τῶν δορυφόρων πρὸς τὸν βασιλέα δέσμιος ἤχθη. βουθυτεῖν δὲ τοῦ προειρημένου μέλλοντος ἐπὶ τὸν βωμὸν τοῦ Ἡλίου τὴν δεξιὰν ἐπέθηκε χεῖρα καὶ ἀστένακτος ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων ἠλευθερώθη καὶ τῶν δεσμῶν εἰπών 'τοιοῦτοι πάντες ἐσμὲν Ἀθηναῖοι· εἰ δ' ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω'. φοβηθεὶς δ' ὁ Ξέρξης φρουρεῖσθαι τὸν Ἀγησίλαον προσέταξεν. Ἀριστείδου ἐν τῷ γ′ Περσικῶν (Plut. ἔπεμψαν στρατηγὸν αὐτοῖς δόντες Λεωνίδαν. οὗτος τὸ ἐπερχόμενον θεασάμενος τῶν πολεμίων πλῆθος εὐωχουμένοις εἶπε τοῖς συμμάχοις 'οὕτως ἀριστᾶτε, ὦ τριακόσιοι, ὡς ἐν ᾅδου δειπνήσοντες'. ἐπιφανέντων οὖν τῶν βαρβάρων Λεωνίδας πολλοῖς περιπεπαρμένος δόρασι μεθ' ὁρμῆς ἐπὶ Ξέρξην ἠνέχθη καὶ περιελόμενος αὐτοῦ τὸ διάδημα πρὸ τῶν τραυμάτων κατέσχε καὶ αἱμορραγήσας ἐξέπνευσεν. ἀνατεμὼν δὲ ὁ βασιλεὺς τοῦ προειρημένου τὸ στῆθος εὗρεν αὐτοῦ τὴν καρδίαν τριχῶν γέμουσαν. Καλλισθένους ἐν δευτέρῳ Μεταμορφώσεων (Plut. parall. min. p. 306 E). Κατὰ Κελαινάς, πόλιν τῆς Φρυγίας, διὰ μῆνιν Ἰδαίου Διὸς χάσμα μεθ' ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε. τοῦ δὲ δήμου κινδυνεύοντος, Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε, συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ. τῶν δὲ Κελαινιτῶν χρυσόν τε καὶ ἄργυρον καὶ τὸν κόσμον τῶν γυναικῶν εἰς τὸ χάσμα ῥιψάντων, καὶ μηδ' οὕτω τοῦ κακοῦ λήξαντος, Ἀγχοῦρος ὁ φυσικὴν ἁρμονίαν συνελθούσης, Μίδας βωμὸν ἱδρύσατο Διὸς Ἰδαίου, ὃν χρύσεον ἐποίησε ταῖς χερσὶν ἁψάμενος. οὗτος ὁ βωμὸς περὶ ἐκεῖνον τὸν καιρόν, ἐν ᾧ τὸ χάσμα συνέβη γενέσθαι, λίθινος γίνεται· τῆς δ' ὡρισμένης προθεσμίας παρελθούσης, χρύσεος ὁρᾶται. Καλλισθένους ἐν τρίτῳ Μακεδονικῶν (Plut. parall. min. p. 307 D). Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς δύο καὶ τριάκοντα Χαλκιδικὰς πόλεις τοῖς ἰδίοις ὑποτάξας σκήπτροις, Μεθωναίους καὶ Ὀλυνθίους λεηλατεῖν ἤρξατο. γενόμενος δὲ κατὰ γέφυραν ποταμοῦ Σάρδωνος καὶ εἰς τὸ πέραν διαβῆναι βιαζόμενος,

ὑπὸ τοῦ πλήθους τῶν Ὀλυνθίων ἐπεσχέθη. τοξότης δέ τις, Ἀστὴρ τοὔνομα, τόξον ἐντείνας ἐτύφλωσε τὸν Φίλιππον εἰπών· Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος. ἀποβαλὼν δὲ ὁ βασιλεὺς τὸν ὀφθαλμὸν εἰς τὸν ποταμὸν ἑαυτὸν ἔρριψε καὶ πρὸς τοὺς οἰκείους διανηξάμενος τὸν κίνδυνον ἐξέφυγεν. Σωστράτου ἐν δευτέρῳ Θρᾳκικῶν (Plut. φασιν οἱ πολέμιοι ἐγκρατεῖς γενήσεσθαι τῆς νίκης αὐτούς, ἐὰν τοῦ στρατηγοῦ φείσωνται τῶν Ἀθηναίων, ἐν δρυτόμου σχήματι συνέβαλε μάχην μετά τινων Θρᾳκῶν ξυλιζομένων καὶ τῷ δρεπάνῳ καιρίως ἐξ αὐτῶν ἕνα πλήξας ἀνεῖλεν· οἱ δὲ λοιποὶ τὴν περίστασιν τοῦ στρατηγήματος μὴ γινώσκοντες ἀπέκτειναν τὸν Κόδρον θέλοντα· συμβαλόντες δὲ τὸν πόλεμον Ἀθηναῖοι τῆς νίκης ἐγκρατεῖς ἐγένοντο. Ἐκ τῶν Θησέως (fragm. hist. gr. ed. Mueller. IV p. 519 fr. 3). Λακεδαιμόνιοι καὶ Ἀργεῖοι περὶ χωρίου Θυρέας ἐν μεθορίῳ κειμένης μέχρι μέν τινος ὅλοις τοῖς στρατεύμασι παρετάσσοντο πρὸς ἀλλήλους, τέλος ἔδοξεν αὐτοῖς ἐπιλέξαι παρ' ἑκατέρων τριακοσίους, κἀκείνων μαχεσαμένων τοῖς κρατήσασιν διαφέρειν τὸ χωρίον· οὗπερ γενομένου, Ὀθρυάδης Λακεδαιμόνιος στρατιώτης πολλοὺς ἀποκτείνας καὶ πολλὰ τετρωμένος ἔκειτο μεταξὺ τῶν ἀνῃρημένων Λακεδαιμονίων μόνος περιλειφθείς, Ἀργείων δὲ δύο Ἀλκήνωρ καὶ Χρόμιος· ὧν ἀπελθόντων εἰς Ἄργος ἀπαγγεῖλαι τὴν νίκην, Ὀθρυάδης πολλοὺς σκυκατ' Ἀργείων', καὶ τοῦτο πράξας ἀπέθανεν. Τοῦ αὐτοῦ. Λοιμοῦ κατασχόντος τὴν Λακεδαίμονα διὰ τὴν ἀναίρεσιν τῶν κηρύκων τῶν ἀποσταλέντων παρὰ Ξέρξου αἰτοῦντος γῆν καὶ ὕδωρ ὥσπερ ἀπαρχὰς δουλείας, χρησμὸς ἐδόθη, ἀπαλλαγήσεσθαι αὐτούς, εἴ γέ τινες ἕλοιντο Λακεδαιμονίων παρὰ τοῦ βασιλέως ἀναιρεθῆναι. τότε Βοῦλις καὶ Σπερθίης ἀφικόμενοι πρὸς βασιλέα ἠξίουν ἀναιρεθῆναι· ὃ δὲ θαυμάσας αὐτῶν τὴν ἀρετὴν ἐπανιέναι προσέταξεν. Ἐκ τῆς Φαλάριδος ἐπιστολῆς πρὸς Περισθένην (epistologr. gr. LXXII p. 427 sq. Herch.). Τὴν Εὐβούλου καὶ τὴν Ἀριστοφῶντος γυναῖκα τῶν ἐπιβουλευσάντων μοι ἔπεμψας ὡς ἀπολουμένας· πάντως που θαυμάζεις ὅτι ὑφῄρηκα τῆς ὀργῆς. εἰ δὲ πύθοιο τυραννοκτονεῖν, 'ἀντὶ ποίας ἀδικίας;' εἰπόντος μου 'ἰδίας μὲν οὐδεμιᾶς, τῆς δὲ κοινῆς' ἀπεκρίναντο· κοινὴν γὰρ ἀδικίαν εἶναι τὸ καταδουλοῦσθαι πόλεις ἐλευθέρας. 'τί παθοῦσαι τοιγάρτοι' πάλιν ἐπανερομένου μου 'δίκην ἀποτίσαιτ' ἄν μοι τοῦ μίσους τὴν κατ' ἀξίαν;' 'ἀποθανοῦσαι' προσέθηκαν. ζῆν δή, οὐ τεθνάναι ἔκρινα τὰς μετὰ τοιαύτης ἀρετῆς ἀποθνῃσκούσας. Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας (p. 38 E—39 A). Οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτ' ἐμὲ οὔτ' ἄλλων οὐδένα δεῖ τοῦτο μηχανήσασθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις ποιεῖν καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ' ᾖ χαλεπόν, ὦ ἄνδρες, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 84 D—E). Βαβαί, ὦ Σιμμία, ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν· ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερον νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ. Πλάτωνος ἐκ τοῦ Πρωταγόρου (p. 350 E —351 B). γὰρ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν καὶ ἀπὸ ἐπιστήμης γίγνεσθαι, τὴν δύναμιν, καὶ ἀπὸ μανίας γε καὶ θυμοῦ, ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ [ἀπὸ] εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν· ὥστε συμβαίνει τοὺς μὲν ἀνδρείους θαρραλέους εἶναι, μὴ μέντοι τούς γε θαρραλέους ἀνδρείους 〈πάντας〉. θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ γε καὶ ἀπὸ μανίας, ὥσπερ ἡ δύναμις, ἀνδρεία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται. Δημοκρίτου (fr. mor. 81 Mullach.). Σοφίη ἄθαμβος ἀξίη πάντων τιμιωτάτη ἐοῦσα. Ξενοφῶντος Ἀπομνημονευμάτων (III 9, 1). ἐρρωμενεστέραν πρὸς τὰ δεινὰ φύσει γίγνεσθαι· ὁρῶ γὰρ ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους, πολὺ διαφέροντας ἀλλήλων τόλμῃ. νομίζω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρείαν αὔξεσθαι· δῆλον μὲν γὰρ ὅτι Σκύθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι· φανερὸν δ' ὅτι Λακεδαιμόνιοι οὔτ' ἂν Θρᾳξὶν πέλταις καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκοντίοις, οὔτε Σκύθαις τόξοις ἐθέλοιεν διαγωνίζεσθαι. ὁρῶ δ' ἔγωγε καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους, καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. ἐκ δὲ τούτων δῆλόν ἐστιν ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ τοὺς ἀμβλυτέρους φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέ- Τοῦ αὐτοῦ ἐν δ' Ἀπομνημονευμάτων (IV 6, 10). Ἀνδρείαν, ὦ Εὐθύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι; Κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. Χρήσιμον ἆρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; Νὴ Δί', ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. Ἆρ' οὖν δοκεῖ σοι πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά; Ἥκιστά γ', ἔφη. Οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα διὰ τὸ μὴ εἰδέναι τί ἐστιν οὐκ ἀνδρεῖοι εἰσίν; Νὴ Δί', ἔφη· πολλοὶ γὰρ ἂν οὕτω γε τῶν τε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. Τί δὲ οἱ καὶ τὰ μὴ δεινὰ δεδοικότες; Ἔτι γε, νὴ Δία, ἧττον, ἔφη. Ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακοὺς δειλούς; Πάνυ μὲν οὖν, ἔφη. Ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; Οὐκ ἀλλὰ τούτους, ἔφη. Κακοὺς δὲ ἄρα τοὺς οἵους τούτοις κακῶς χρῆσθαι; Τίνας γὰρ ἄλλους; ἔφη. Ἆρ' οὖν ἕκαστοι ἑκάστοις χρῶνται ὡς οἴονται δεῖν; Πῶς γὰρ ἄλλως; ἔφη. Ἆρ' οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι ἴσασιν ὡς δεῖ χρῆσθαι; Οὐ δήπου γε, ἔφη. Οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; Μόνοι γ', ἔφη. Τί δαὶ οἱ μὴ διημαρτηκότες, ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; Οὐκ οἶομαι, ἔφη. Οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; Εἰκός γ', ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι ἀνδρεῖοί εἰσιν, οἱ δὲ διαμαρτάνοντες τούτου δειλοί; Ἔμοιγε δοκοῦσιν, ἔφη.

3.8 Εὐριπίδου Βελλεροφόντῃ (fr. 288 N. 2). Δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα χρείας ἀνάνδρου φάρμαχ' εὕρηται βροτοῖς. Σοφοκλέους Ἀκρίσιος (fr. 58 N. 2). ΧΟ. Βοᾷ τις, ὦ· Εὐριπίδου Μελεάγρῳ (fr. 519 N. 2). Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ ἀριθμόν, ἀλλ' ἄπεισι κἂν παρῶς' ὅμως. Ὁμήρου Ἰλιάδος μ' (244—247). Τίπτε σὺ δείδοικας πόλεμον καὶ δηιοτῆτα; εἴπερ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες νηυσὶν ἐπ' Ἀργείων, σοὶ δ' οὐ δέος ἔστ' ἀπολέσθαι. οὐ γάρ τοι κραδίη μενεδήιος οὐδὲ μαχήμων. Σοφοκλέους Φρυγῶν (fr. 657 N. 2). Τοὺς εὐγενεῖς γὰρ κἀγαθούς, ὦ παῖ, φιλεῖ Ἄρης ἐναίρειν. οἱ δὲ τῇ γλώσσῃ θρασεῖς φεύγοντες ἅτας ἐκτός εἰσι τῶν κακῶν· Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λωτίζεται. Εὐριπίδου Ἰφιγενείᾳ (Taur. 472—473). Οὔ τοι νομίζω σοφόν, ὃς ἂν μέλλων θανεῖν οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ. Τοῦ αὐτοῦ Φρίξῳ (fr. 829 N. 2). Μενάνδρου Ἀδελφοῖς (fr. 7 com. IV p. 71). Τί πολλὰ τηρεῖν πολλὰ δεῖ [τὸν] δεδοικότα; Θεόγνιδος ((1221—1222)). Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι πταίσματα τῆς γνώμης, Κύρνε, ταρασσομένης. Φιλήμονος ἐν Ἐγχειριδίῳ (com. IV p. 8). Κακὴ μὲν ὄψις, ἐν δὲ δείλαιαι φρένες. Σοφοκλέους (fr. 841 N. 2). Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει. Εὐριπίδου Ἀλκμέωνος (fr. 67 N. 2). τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται· τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὃ δ' ἀθῷος μένει. ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν. ψυχὴν γὰρ ἆθλα τιθεμένην ἐμὴν ὁρῷ. Εὐριπίδου Ἀρχελάῳ (fr. 239 N. 2). Ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία Ἀντισθένους (apophth. 9 Winckelm.). Ὅστις δὲ ἑτέρους δέδοικε, δοῦλος ὢν λέληθεν ἑαυτόν. Διογένους (Dionis Chrys. or. VI p. 212 sq. R. 104, 12- 14; 18—21 Dind.). Πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους ἢ λυπεῖν τοὺς πειραθέντας. ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥστε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον, οἱ μὲν ἐν νηὶ χειμαζόμενοι οὐ περιμείναντες καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς ἀποσφάξαντες. Ὑπερείδου (fr. 205 Blass 2). Ὑπερείδης ὁ ῥήτωρ τὴν ἀγωνίαν ἔφησε τοῦ λέγειν πέδην εἶναι. Θουκυδίδου ἱστορίας β' δημηγορίας Φορμίωνος (89, 11). Ἡσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὅμοιαι εἶναι. Ἀντιφῶντος (fr. 125 Blass 2). Νόσος δειλοῖσιν ἑορτή· οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν. Ἱέρακος ἐκ τοῦ Περὶ δικαιοσύνης. Ἴδωμεν γὰρ εἰ τοὺς δειλοὺς οἷόν τε δικαίους εἶναι· τοὺς γὰρ ἐναντίως ἔχοντας τούτοις, τοὺς θρασεῖς, ἀδίκους ὄντας εὑρίσκομεν,

διὰ τὸ πρὸς βίαν τὰ πολλὰ ποιεῖν. δειλία τοίνυν ἐστὶ διαφθορὰ δόξης ἐννόμου δεινῶν τε πέρι καὶ μή· ἦ ἄγνοια δεινῶν τε καὶ οὐ δεινῶν καὶ οὐδετέρων. πῶς ἂν οὖν οἱ δόξαις διεφθαρμέναις καὶ παρανόμοις συζῶντες εἶεν ἂν δίκαιοι; οὐ γὰρ δὴ εἰκάζοιεν ἂν περὶ ὅτου δήποτε καλῶς, μὴ συγχωροῦντος αὐτοῖς τοῦ περὶ τὴν ψυχὴν δέους εἰς ἥντινα ζήτησιν προκύπτειν. Δημητρίου. Αὐτίκα γὰρ εἰ τῷ πολεμοῦντι καὶ παρατεταγμένῳ παρασταῖεν ἥ τε Ἀνδρεία καὶ ἡ Δειλία, πόσον ἂν οἴεσθε διαφόρους εἰπεῖν λόγους; ἆρ' οὐχ ἡ μὲν Ἀνδρεία μένειν 〈ἂν〉 κελεύοι καὶ τὴν τάξιν διαφυλάττειν; "Ἀλλὰ βάλλουσιν"· "Ὑπόμενε.' "Ἀλλὰ τρωθήσομαι"· 'Καρτέρει.' "Ἀλλ' ἀποθανοῦμαι"· "Ἀπόθανε μᾶλλον ἢ λίπῃς τὴν τάξιν.' Ἀτενὴς οὗτος ὁ λόγος καὶ σκληρός. ἀλλ' ὁ τῆς Δειλίας νὴ Δία φιλάνθρωπος καὶ μαλακός· ὑπάγειν γὰρ δῆτα κελεύει τὸν φοβούμενον. "Ἀλλ' ἡ ἀσπὶς ἐνοχλεῖ"· "Ῥῖτερον ἢ πράξῃς ὅπερ οὐ δεῖ.' ἡ δ' Ἀκρασία 'πῖθι, ὅτε βούλει, φάγε, ὅ τι ἂν ἥδιστα φάγοις. ἡ τοῦ γείτονος ἀρέσκει σοι γυνή· πέραινε. χρημάτων ἀπορεῖς· δάνεισαι. δανεισάμενος ἀδυναμεῖς· μὴ ἀποδῷς. οὐ πιστεύουσιν ἔτι δανείζειν· ἅρπασον.' πολύ γε κἀνταῦθα τὸ μεταξύ. ἀλλὰ τίς οὐκ οἶδεν ὅτι ἡ μὲν τοιαύτη χάρις ὀλέθριος γίνεται τοῖς προσδεξαμένοις, ἡ δ' ἐκ τῶν ἐναντίων σωτήριος;

3.9 Σοφοκλέους Ἀλεάδαι (fr. 75 N. 2). Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον. Εὐριπίδου Ἰνοῦς (fr. 417 N. 2). Εὐριπίδου Ἑκάβης (827—28). Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί. Σοφοκλέους Αἴαντι (1334—35). Μηδ' ἡ βία σε μηδαμῶς νικησάτω τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν. Εὐριπίδου Θησεῖ (Aegei fr. 7 N. 2). Κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς ἀνδρῶν δικαίων κἀγαθῶν παρουσίαι. Μενάνδρου. Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ. Μενάνδρου. Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος. Μενάνδρου (fab. inc. fr. 282 com. IV p. 293). Τὸ μηδὲν ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει. Μενάνδρου Δεισιδαίμονι (fr. 3 com. IV p. 102). Οὐ δεῖ γὰρ ἀδικεῖν τοὺς ἱκέτας· ἄλλως τε καὶ ὅταν μετ' εὐνοίας τι μὴ πονηρίᾳ πταίσωσιν. αἰσχρὸν τοῦτο τἄρ' ἐστιν πάνυ. Μενάνδρου (Epitrep. fr. 1 com. IV p. 119). Ἐν παντὶ δεῖ καιρῷ τὸ δίκαιον ἐπικρατεῖν. Εὐριπίδου Παλαμήδει (fr. 584 N. 2). Εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων κρατεῖ τὸ θεῖον τὴν δίκην τε συλλαβών. Φιλωνίδου (com. II 1 p. 425). Εὐριπίδου (fr. 1034 N. 2). Φεῦ φεῦ, τὸ νικᾶν τἄνδιχ' ὡς καλὸν γέρας, τὰ μὴ δίκαια δ' ὡς ἁπανταχοῦ κακόν· καὶ γλῶσσα φλαύρα καὶ φθόνος τοῦ μὴ φθονεῖν ὅσῳ κάκιον μὴ καλῶς ὠγκωμένοις. Ἀντιφάνους (fab. inc. 39 com. III p. 148). Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. Μενάνδρου Καρχηδονίου (fr. 5 com. IV p. 146). Τὸ καλῶς ἔχον που κρεῖττόν ἐστι καὶ νόμου. Μενάνδρου Κιθαριστῇ (fr. 3 com. IV p. 150). Εἰ τοὺς ἀδικηθέντας, πάτερ, φευξούμεθα, τίσιν ἂν βοηθήσαιμεν ἄλλοις ῥᾳδίως; Ἐν ταὐτῷ (fr. 4 l. c.). Μενάνδρου Τροφωνίῳ (fr. 2 com. IV p. 207). Τὸ μηδὲν ἀδικεῖν καὶ φιλανθρώπους ποιεῖ. Φιλήμονος ἐκ Παλαμήδους (Eur. fr. 585 N. 2). Τοῦ γὰρ δικαίου κἂν βροτοῖσι κἂν θεοῖς ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου. Φιλήμονος (fab. inc. 10 com. IV p. 37). Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν, ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται· οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο, ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως· Ἱππάρχου (inscr. gr. m. 197 Pr.). Μνῆμα τόδ' Ἱππάρχου· στεῖχε δίκαια φρονῶν. Σόλωνος (fr. 13 p. l. 4 II p. 41 Bergk). Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα, Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ· ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν· εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν, τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν. χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη. πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν· ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτῃ· ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός, ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον δῃώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν·

λάμπει δ’ ἠελίοιο μένος κατὰ πίονα γαῖαν καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ’ ἔστιν ἰδεῖν· τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ’ ἐφ’ ἑκάστῳ, ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος. αἰεὶ δ’ οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν θυμὸν ἔχει, πάντως δ’ ἐς τέλος ἐξεφάνη· ἀλλ’ ὁ μὲν αὐτίκ’ ἔτισεν, ὁ δ’ ὕστερον· οἳ δὲ φύγωσιν αὐτοί, μηδὲ θεῶν μοῖρ’ ἐπιοῦσα κίχῃ, ἦλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω. θνητοὶ δ’ ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε, ἐν δηνην αὐτὸς δόξαν ἕκαστος ἔχει, πρίν τι παθεῖν· τότε δ’ αὐτίκ’ ὀδύρεται· ἄχρι δὲ τούτου χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα. χὥστις μὲν νούσοισιν ὑπ’ ἀργαλέῃσι πιεσθῇ, ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο· ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ, καὶ καλλός, μορφὴν οὐ χαρίεσσαν ἔχων· εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται, κτήσεσθαι πάντως χρήματα πολλὰ δοκεῖ. σπεύδει δ’ ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν· ἰχθυόεντ’ ἀνέμοισι φορεύμενος ἀργαλέοισι, φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος· ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν λατρεύει, τοῖσιν καμπύλ’ ἄροτρα μέλει· ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον· ἔγνω δ’ ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον, ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως οὔτε τὶς οἰωνὸς ῥύσεται οὔθ’ ἱερά· ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος· πολλάκι δ’ ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος, κοὐκ ἄν τις λύσαιτ’ ἤπια φάρμακα δούς. τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε ἀψάμενος χειροῖν αἶψα τίθης’ ὑγιῆ. μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν· δῶρα δ’ ἄφυκτα θεῶν γίγνεται ἀθανάτων. πᾶσι δέ τοι κίνδυνος ἐπ’ ἔργμασιν, οὐδέ τις οἶδεν, ᾗ μέλλει σχήσειν, χρήματος ἀρχομένου. ἀλλ’ ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν, τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσι συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης. πλούτου δ’ οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται· οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον, διπλασίως σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας; κέρδεά τοι θνητοῖς ὥπασαν ἀθάνατοι· ἄτη δ’ ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς πέμψῃ τισομένην, ἄλλοτεν ἄλλος ἔχει. Πλάτωνος ἐκ τοῦ α′ τῆς πολιτείας (p. 336 E). Μὴ γὰρ δὴ οἷου, εἰ μὲν χρυσὸν ἐζητοῦμεν, οὐκ ἄν ποτε ἡμᾶς ἑκόντας εἶναι ὑποκατακλίνεσθαι ἀλλήλοις ἐν τῇ ζητήσει καὶ διαφθείρειν τὴν εὕρεσιν αὐτοῦ, δικαιοσύνην δὲ ζητοῦντας, πρᾶγμα πολλῷ χρυσίου τιμιώτερον, ἔπειθ’ οὕτως ἀνοήτως ὑπείκειν ἀλλήλοις 〈καὶ〉 οὐ σπουδάζειν ὅ τι μάλιστα φανῆναι αὐτό. Ἀγησιλάου (Plut. Agesil. c. 23). Ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. Ἰσοκράτους Κατὰ τῶν σοφιστῶν (§ 21 p. 295 d). Καὶ μηδεὶς οἰέσθω με λέγειν, ὡς ἔστι δικαιοσύνη διδακτόν· ὅλως μὲν γὰρ οὐδεμίαν ἡγοῦμαι τοιαύτην τέχνην εἶναι, ἥ τις τοῖς κακῶς πεφυκόσι πρὸς αὐτὴν δικαιοσύνην ἂν ἐμποιήσειεν. Δημοσθένους (fr. 20 Sauppe). Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου. χρήματα μὲν γὰρ ἔστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥᾴδιον πρίασθαι. Πλάτωνος (Menex. p. 246 E). Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ’ οὐ σοφία φαίνεται. Δημοκρίτου (fr. mor. 109 Mullach.). Ἀγαθὸν οὐ τὸ μὴ ἀδικέειν ἀλλὰ τὸ μηδὲ ἐθέλειν. Δημοκρίτου (fr. mor. 107 Mullach.). Μοῦνοι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικέειν. Πιττακοῦ. Πιττακὸς ἔφη ‘ἡδονὴ σὺν τῷ καλῷ δίκαιον‘. Ἀριστείδου. Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς τί ἐστι τὸ δίκαιον ‘τὸ μὴ ἀλλοτρίων ἐπιθυμεῖν‘ ἔφη. Πλάτωνος ἐκ τοῦ Πρωταγόρου (p. 331 B). Ἐγὼ μὲν γὰρ αὐτὸς ὑπέρ γε ἐμαυτοῦ φαίην ἂν καὶ τὴν δικαιοσύνην ὅσιον εἶναι καὶ τὴν ὁσιότητα δίκαιον· καὶ ὑπὲρ σοῦ δέ, εἴ με ἐᾷς, ταῦτα ἂν αὐτὰ ἀποκρινοίμην, ὅτι ἤτοι ταὐτόν γ’ ἐστὶ δικαιότης ὁσιότητι ἢ ὅ τι ὁμοιότατον, καὶ μάλιστα πάντων ἥ τε δικαιοσύνη οἷον ὁσιότης καὶ ἡ ὁσιότης οἷον δικαιοσύνη. Πυθαγόρου. Ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου ἀλλὰ καὶ συγγενοῦς διαφέρει. Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ἀνατόλιον περὶ δικαιοσύνης. Ἐπ’ αὐτὸ δὴ τὸ τῶν ὅλων ἀρετῶν τέλος καὶ τὴν συναγωγὴν αὐτῶν συμπασῶν, ἐν

ᾗ δὴ πᾶσαι ἔνεισι συλλήβδην κατὰ τὸν παλαιὸν λόγον, γένοιτο ἄν τις εἰς τὴν δικαιοσύνην ἀγόμενος. Ἐν ταὐτῷ. Ἐν δὲ τῷ ἀνθρωπίνῳ βίῳ διανομὴ τῶν κατ' ἀξίαν ἔργων τε καὶ τιμῶν καὶ τῶν ἄλλων τῶν ἐπιβαλλόντων ἑκάστοις ὑφίστησι τὴν εἰς τὸν ἀνθρώπινον βίον τείνουσαν δικαιοσύνην. ἔργα τοίνυν τῇ δικαιοσύνῃ τὰ πρόσφορα καὶ ἐπιτηδεύματα εἴη ἄν, ὅσα κοινωνικὰ καὶ ἥμερα τυγχάνει καὶ εὐσύμβολα καὶ εὐσυνάλλακτα καὶ ὠφέλιμα, τῶν βλαβερῶν κωλυτικὰ διαπράξεων, τῶν δ' ἐναντίων τὴν ὅλην κατάστασιν εὐτρεπῆ παρασκευάζοντα. Ἐπικτήτου (fr. 58 t. III p. 86 Schweigh.). Ὥσπερ ἀληθὴς ζυγὸς οὔτε πρὸς ἀληθοῦς εὐθύνεται ζυγοῦ οὔθ' ὑπὸ ψευδοῦς κρίνεται, οὕτω καὶ ὁ δίκαιος κριτὴς (fr. 59 l. c.) Ὥσπερ τὸ εὐθὺ εὐθέος οὐ δεῖται, οὕτως οὐδὲ τὸ δίκαιον δικαίου. (fr. 60 l. c. p. 87) Μὴ πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρὶν 〈ἂν〉 αὐτὸς παρὰ τῇ δίκῃ κριθῇς. (fr. 61 l. c.) Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίγνωσκε, ἀλλ' αὐτὴν τὴν δίκην. (fr. 62 l. c.) Ἥκιστα πταίσεις ἐν ταῖς κρίσεσιν, ἐὰν αὐτὸς ἐν τῷ βίῳ ἄπταιστος διατελῇς. (fr. 63 l. c.) Ἄμεινον δικαίως κρίναντα πρὸς τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι ἢ ἀδίκως κρίναντα παρὰ τῇ φύσει δικαίως ψέγεσθαι. (fr. 64 l. c.) Καθάπερ ἡ τὸν χρυσὸν δοκιμάζουσα λίθος οὐκέτι καὶ αὐτὴ πρὸς τοῦ χρυσοῦ δοκιμάζεται, οὕτω καὶ ὁ τὸ κριτήριον ἔχων. (fr. 65 l. c. p. 88) Αἰσχρὸν τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι. (fr. 66 l. c.) Καθάπερ ὀρθοῦ οὐδὲν ὀρθότερον, οὕτως οὐδὲ δικαίου οὐδὲν δικαιότερον. Διογένους. Ἡ τοίνυν δικαιοσύνη πολλὴν ἔχει ῥᾳστώνην τῇ ψυχῇ. τὸ γὰρ μηδένα μήτε φοβούμενον μήτε αἰσχυνόμενον ζῆν ἡδονή τις ἐστὶν καὶ ἱκανότης τῷ βίῳ· ὁ δὲ τὴν δικαιοσύνην ἔχων ἐν τῇ ψυχῇ οὐ μόνον τοῖς ἄλλοις ὠφέλιμός ἐστιν, ἀλλὰ πολὺ μάλιστα αὐτὸς αὑτῷ· οὐ γὰρ πειράσεται αὑτὸν ἀδικεῖν οὐδὲ καθ' ἓν μέρος. οὐδὲ γὰρ λύπης αὑτῷ αἴτιός ἐστιν οὐδὲ νόσου· ἀλλὰ τὰ αἰσθητήρια τὰ τῆς φύσεως θεοὺς ὑπολαμβάνων εἶναι, δικαίως χρήσεται αὐτοῖς· οὐδὲν μὲν ὑπὲρ τὴν δύναμιν πράττων, φυλάττων δὲ τὰ μάλιστα καὶ ἡδονὰς καὶ ὠφελείας λαμβάνων διὰ τούτων. καὶ γὰρ ἀπὸ ἀκοῆς καὶ ἀπὸ ὁράσεως καὶ ἀπὸ τῆς τροφῆς καὶ ἀπὸ 〈τῶν〉 ἀφροδισίων ἡδοναὶ ἔσονται τῷ δικαίως ἑαυτῷ χρωμένῳ ... καὶ κίνδυνοι γίνονται περὶ τὰ πλείστου ἄξια καὶ ἀναγκαιότατα. ἢ οὐχ ἑώρακας τὴν ψυχὴν ταραττομένους καὶ νυκτὸς καὶ ἡμέρας, καὶ εἰς τὴν θάλατταν ἑαυτοὺς ῥιπτοῦντας εἰκῇ καὶ εἰς Λυκούργου (fr. 8 Sauppe). Ζηλωτὸν ἴσως ὁ πλοῦτος· τίμιον μέντοι καὶ θαυμαστὸν ἡ δικαιοσύνη. Δημοσθένους Ὀλυνθιακῶν β' (II § 10 p. 21). Ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (hist. gr. min. ed. L. Dindorf v. I p. 146 fr. 6). Ἐν Παιδαλίοις, Ἰνδικῷ ἔθνει, οὐχ ὁ θύων, ἀλλ' ὁ συνετώτατος τῶν παρόντων κατάρχεται τῶν ἱερῶν. αἰτεῖται δ' ἀεὶ παρὰ τῶν θεῶν οὐδὲν ἄλλο πλὴν δικαιοσύνης. Πλάτωνος ἐκ τοῦ Θεαιτήτου (p. 176 C). Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδέν, ἢ ὃς ἂν Ἐκ Πώλου Πυθαγορείου Λευκανοῦ Περὶ δικαιοσύνης (fr. 8 phil. Gr. II p. 26 Mullach.). Δοκεῖ μοι τῶν ἀνδρῶν τὰν δικαιοσύναν ματέρα τε καὶ τιθηνὰν τᾶν ἀλλᾶν ἀρετᾶν προσειπέν· ἄτερ γὰρ ταύτας οὔτε σώφρονα οὔτε ἀνδρεῖον οὔτε φρόνιμον οἷόν τε ἦμεν. ἁρμονία γάρ ἐστι καὶ εἰράνα τᾶς ὅλας ψυχᾶς μετ' εὐρυθμίας. διαφανέστερον δέ κα γένοιτο τὸ ταύτας κράτος ἐτάζουσιν ἁμῖν τὰς ἄλλας ἔξιας. μερικὰν γὰρ ἔχοντι αὗται τὰν ὠφέλειαν, καὶ ποθ' ἕν· ἃ δὲ ποθ' ὅλα τὰ συστάματα, καὶ ἐν πλάθει. ἐν κόσμῳ μὲν ὦν αὐτὰ τὰν οἰκετᾶν δὲ ποτὶ δεσπότας εὔνοια, δεσποτᾶν δὲ ποτὶ θεράποντας καδεμονία· ἐν σώματι δὲ καὶ ψυχᾷ πρᾶτα μὲν ἃ πᾶσιν ἀγαπατότατα ζῴοις, ἅ τε ὑγίεια καὶ ἀρτιότας, σοφία τ' ἐκ τᾶς ἐπιστάμας τε καὶ δικαιοσύνας γενομένα τε παρ' ἀνθρώποις. εἰ δ' αὐτὰ τὸ ὅλον καὶ τὰ μέρεα οὕτω παιδαγωγεῖ τε καὶ σῴζει ὁμόφρονα καὶ ποτάγορα ἀλλάλοις ἀπεργαζομένα, πῶς οὔ 〈κα〉 μάτηρ καὶ τιθηνὰ πασᾶν τε καὶ πάντων παμψαφεὶ λέγοιτο; Πλάτωνος Νόμων ε' (p. 730 D). Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διπλασίας τιμῆς ἄξιος ἐκείνου. ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν· ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. Ἱέρακος ἐκ τοῦ Περὶ δικαιοσύνης. Φέρε γὰρ ἴδωμεν, τί τοῖς πολλοῖς δοκεῖ περὶ δικαιοσύνης. οἱ μὲν οὖν ἕξιν· εἶναι φασὶ ψυχῆς ἀδωροδόκητον, τοῦ κατὰ δύναμιν ἑκάστου στοχαζομένην· οἱ δὲ ἕξιν ἐν ψυχῇ, μήτε τῇ χείρονι τύχῃ μήτε τῇ κρείττονι πλέον ἢ ἔλαττον ἀπονέμουσαν, τὸ δ' ἴσον πᾶσι φυλάττουσαν. δοκοῦσι δέ μοι οἱ μὲν πρότεροι τὸν μὴ ἀλλοτρίων ἐπιθυμοῦντα χρημάτων θαυμάζειν, τηρήσαντα δ' ἂν καὶ τὸ κατὰ δύναμιν ἑκάστῳ, εἰ κελεύειν τισὶ συγχωρηθείη· οἱ δεύτεροι δὲ, τὸν μὴ τῇ τύχῃ τὸ πλέον μετροῦντα, πάντας δὲ τῶν αὐτῶν ἀξιοῦντα. τί οὖν εἰ τοῦτο μαθών τις ἐν τοῖς ἄλλοις ἀδικώτατος εἴη; καὶ εἰ χρηἀνάπλεως δίκαιος ἂν εἴη; ὅταν δὲ καὶ τῶν αὐτῶν ἀξιώσῃ πάντας, πῶς μὲν οὐκ ἄφρων, πῶς δὲ οὐκ ἄδικος, εἰ ὁμοίως τιμήσει τόν τε σώφρονα καὶ τὸν ἀκόλαστον, καὶ τὸν ἄφρονα καὶ τὸν φρόνιμον; ἀλλ' οὐδὲ τὸ μὴ χρημάτων ἀλλοτρίων ἐπιθυμεῖν δικαιοσύνης ὅρος, εὐτύχημα δὲ περὶ ἕν τι τῶν παθῶν. ὑποκείσθω γὰρ ὑπερβολῇ πλούσιον εἶναί τινα, δυνάμενον ἄλλοις ἐπαρκεῖν πολλοῖς ἐκ τῶν ἰδίων, δόξης δὲ τοῦτον ἡττώμενον καὶ φιλοτιμίας, καὶ μηδενὸς ἐλευθεριάζοντος ἀνέχεσθαι, ἀλλὰ τοὺς μὲν ὑβρίζειν, τοὺς δὲ τύπτειν, τοῖς δὲ κελεύειν, τερπόμενον τῷ πάντας ὑπακούειν αὐτῷ· τί οὖν ἄν τις τοῦτον εἴποι, ὅταν μηδενὸς μὲν τῶν ἀλλοτρίων ἐπιθυμῇ, βίαιος δὲ ἄλλως ᾖ καὶ τύραννος; καὶ πρώτοις μὲν τοῖς οἰκέταις καὶ ταῖς θεραπαινίσι χρῆσθαι κακῶς, τοὺς μὲν ὑπὲρ τὸ μέτρον κολάζοντα, ταῖς δὲ συγγιγνόμενον ἀνέδην, ἔπειτα μηδὲν ἀδικεῖν ἡγεῖσθε ταῦτα ποιοῦντας; Ἐν ταὐτῷ. Οἱ μὲν ἀπὸ τοῦ περιπάτου μεσότητα πλεονεξίας καὶ οὐ δίκαιον, ἀλλὰ καὶ ἀδικώτατον τὸ πάντας τῶν αὐτῶν ἀξιοῦν, ἐν τοῖς ἔμπροσθεν εἴρηται· τὸ δὲ μεταξὺ πλεονεξίας καὶ μειονεξίας, ἕκβασίς ἐστι πράξεως ἀκατονόμαστος, ἀλλ' οὐκ ἀρετὴ ψυχῆς. πᾶσα δὲ πρᾶξις ἐνέργεια ψυχῆς διὰ σώματος· ἡ δ' ἐνέργεια οὐκ ἀρετή, ἢ πᾶς' ἂν ἐνέργεια ἦν ἀρετή. τὴν δὲ δικαιοσύνην πάντες ἁπαξαπλῶς ἀρετὴν ψυχῆς ὁμολογοῦσιν, ἀλλ' οὐ πρᾶξιν, οὐδὲ πράξεως ἀποτέλεσμα. τρία γάρ ἐστι περὶ ἕκαστον, ἥ ἕξις ἡ πρᾶξις ἡ ἀποτέλεσμα. ἕξις μέν, καθ' ἣν πλεονεκτικοί τινες ἢ μειονεκτικοὶ ἐσμέν· πρᾶξις δὲ τὸ μειονεκτεῖν καὶ 〈τὸ〉 πλεονεκτεῖν· ἀποτέλεσμα δὲ ἡ μειονεξία καὶ ἡ πλεονεξία. ὥσπερ ἕξις μὲν ἡ ζωγραφική, πρᾶξις δὲ ἡ ζωγραφία, ἀποτέλεσμα δὲ ἡ γραφή. καὶ πάλιν· ἕξις μὲν ἡ ἀγαλματοποιική, πρᾶξις δὲ τὸ ἀγαλματοποιεῖν, ἀποτέλεσμα δὲ τὸ ἄγαλμα. εἰ δέ τις τὴν ἕξιν ὁρίζοιτο γραφὴν καὶ ἄγαλμα, τῷ τοῦ ἀποτελέσματος ὀνόματι καλῶν, σφάλλεσθαι ἂν ὁμολογοῖτο καὶ σύγχυσιν ποιεῖν· οὕτως ὁ πλεονεξίαν καὶ μειονεξίαν τὴν ἕξιν ὀνομάζων, τῷ τοῦ ἀποτελέσματος ὀνόματι χρῆται κατὰ τῆς ἐν τῇ ψυχῇ ἕξεως. καὶ ἡ μεσότης τοίνυν τῶν ἀποτελεσμάτων ἀποτέλεσμα ἂν εἴη· τεταγμένων γὰρ ἐν τοῖς ἐκ τῶν πραγμάτων ἀποτελουμένοις πλεονεξίας καὶ μειονεξίας, καὶ ἡ τούτων μεσότης εἴη ἂν ἀποτέλεσμα, οὐχ ἕξις. ἔστω δὲ μὴ ἕκβασις, ἀλλ' ἕξις ψυχῆς, οὔτε πλεονεκτικὴ νεκτῶν μήτε μειονεκτῶν, ἔσται δίκαιος. περὶ μὲν δὴ τὰ σωματικὰ ἀγαθὰ οὐκ ἂν φαῖεν εἶναι ταύτην, οὔτε ὡς τούτων ἀκρότητα οὔτε ὡς μεσότητα· οὐ γὰρ δὴ κτητὰ ταῦτα γίγνεται κατὰ τὴν ἡμετέραν πρόθεσίν τε καὶ σπουδήν, ἀλλὰ τὰ πολλὰ τούτων ἐστὶ φύσεως. κάλλος μὲν γάρ ἐστι φύσει καὶ ἰσχὺς σώματος καὶ ὑγίεια· εἰ δὲ πειρώμεθα τὴν μὲν ἰσχὺν ἐπιτείνειν τροφαῖς τε καὶ γυμνασίοις, τὴν δὲ ὑγίειαν διαίτῃ ποιᾷ τηρεῖν καὶ ἐκπίπτουσαν ἀνακαλέσασθαι, ἀλλ' ὅμως ὡς οὐκ ἐφ' ἡμῖν οὔσης ἐξ ἀρχῆς τῆς τούτων κτήσεως, ἀπονεμητέον τῇ τοῦ σώματος φύσει. καίτοι καὶ τούτοις πλεονεκτεῖν λέγονταί τινες, ἰσχύι μὲν, εἰ τύχοι, Μίλων ὁ Κροτωνιάτης, κάλλει δὲ Λαΐς ἡ Κορινθία, καὶ εἴ τινες τούτοις παραπλήσιοι. τίς οὖν ἂν γένοιτο Μίλωνος ἀδικία; ἢ τίς Λαΐδος πλεονεξία; ἆρα εἰ μὲν Μίλων περιέλθοι τοὺς ἀσθενεστέρους τύπτων τε καὶ τὰ τούτων χρήματα διαρπάζων καὶ τὰς τούτων γυναῖκας, καὶ Λαῒς ὁμοίως, μισθὸν μὲν πλεῖστον εἰσπράττουσα παρὰ τῶν ἐραστῶν, ἐνίων δὲ γυναικῶν καὶ γάμους διαλύουσα, τοῦτ' ἂν εἴη τὸ πλεονεκτεῖν; περὶ ποίαν οὖν ὕλην τὴν αἵρεσίν

τις ποιήσεται τοῦ μήτε ὑπερβάλλοντος μήτ' αὖ ἐλλείποντος; δὲ μὴ πλεονεκτεῖσθαι πῶς ἂν γένοιτο; πολλοὶ γὰρ οἱ κρείττους. ἀλλ' εἴ τις βούλοιτο δεομένοις ἐπαρκεῖν καὶ ὀρφανὰς συνεκδιδόναι καὶ αἰχμαλώτους λύσασθαι, ταῦτα μὲν ἴσως δυνατόν ἐστι ποιεῖν, ἀλλ' οὐ τῷ γε τιμῶντι τὴν προειρημένην μεσότητα· πλεονεκτεῖσθαι γάρ ἐστι καὶ μειονεκτεῖν τὸν ταῦτα ποιεῖν ἀνεχόμενον. Τοῦ αὐτοῦ. Πῶς οὖν αὐτὴν ὁρίζεται ὁ καθ' ἡμᾶς λόγος; ἔξιν εὔλογον ψυχῆς ὀρθότητος ἐπιμελουμένην· ἢ τιμωρίας ἀπαίτησιν παρὰ τῶν προηδικηκότων· οὐχ ὡς τοῦ ἢ συνδέσμου τὴν ἑτέραν τῶν προτάσεων .... Ξενοφῶντος ἐν δ' Ἀπομνημονευμάτων (IV 2, 11). Καὶ ὁ Σωκράτης ἔφη· Οὐ δήπου, ὦ Εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται καὶ οἰκονομικοὶ καὶ ἄρχειν ἱκανοὶ καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; καὶ ὁ Εὐθύαὖτη καὶ καλεῖται βασιλική. ἀτάρ, ἔφη, κατανενόηκας, εἰ οἷόν τέ ἐστι μὴ ὄντα δίκαιον ἀγαθὸν ταῦτα γενέσθαι; Καὶ μάλα, ἔφη· οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι. Τί οὖν, ἔφη, σὺ ἤδη τοῦτο κατείργασαι; Οἶμαί γε, ἔφη, ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. Ἆρ' οὖν, ἔφη, τῶν δικαίων ἐστὶν ἔργα ὥσπερ τῶν τεκτόνων; Ἔστι μέντοι, ἔφη. Ἆρ' οὖν, ἔφη, ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν ἐξηγήσασθαι; Μὴ οὖν, ἔφη 〈ὁ〉 Εὐθύδημος, ἐγὼ οὐ δύναμαι τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι; καὶ νὴ Δί' ἔγωγε τὰ τῆς ἀδικίας· ἐπεὶ οὐκ ὀλίγα ἔστι καθ' ἑκάστην ἡμέραν ὁρᾶν τε τοιαῦτα καὶ ἀκούειν. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν δέλτα, ἐνταυθοῖ δὲ ἄλφα, εἶτα ὅ τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ δέλτα τιθῶμεν, ὅ τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ ἄλφα; Εἴ τί σοι, ἔφη, δοκεῖ προσδεῖν τούτων, ποίει ταῦτα. καὶ Οὐκοῦν, ἔφη, καὶ ἐξαπατᾶν ἔστι; Καὶ μάλα, ἔφη. Τοῦτο οὖν ποτέρωσε θῶ; Καὶ τοῦτο δῆλον ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Τί δαί; τὸ κλέπτειν; Καὶ τοῦτο, ἔφη. Τί δ' ἀνδραποδίζεσθαι; Καὶ τοῦτο. Πρὸς δὲ τῇ δικαιοσύνῃ οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε; Δεινὸν γὰρ ἂν εἴη, ἔφη. Τί δαί, ἐὰν στρατηγὸς αἱρεθεὶς ἄδικόν τε καὶ αἰσχρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; Οὐ δῆτα, ἔφη. Δίκαια δὲ ποιεῖν οὐ φήσομεν; Καὶ μάλα. Τί δ'; ἐὰν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; Δίκαιον, ἔφη, καὶ τοῦτο. Ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; Καὶ μάλα, ἔφη· ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπέλαβον πρὸς τοὺς φίλους μόνους ταῦτα ἐρωτᾶν. Οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, ταῦτα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; Ἔοικεν, ἔφη. Βούλει οὖν, τοὺς πολεμίους δίκαιον εἶναι ταῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους ἄδικον, ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Τί οὖν; ἔφη ὁ Σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα ψευσάμενος φήσῃ συμμάχους προσιέναι καὶ τῷ ψεύδει τούτῳ παύσῃ τῆς ἀθυμίας τοὺς στρατιώτας, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; Δοκεῖ μοι, ἔφη, πρὸς τὴν δικαιοσύνην. Ἐὰν δέ τις υἱὸν ἑαυτοῦ δεόμενον φαρμακείας 〈καὶ μὴ προσιέμενον φάρμακον〉 ἐξαπατήσας ὡς σῖτον τὸ φάρμακον δῷ καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιῆ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; Δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. Τί δαί, ἐάν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτόν, κλέψῃ ἢ ἁρπάσῃ 〈ἢ〉 ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον; Καὶ τοῦτο νὴ Δία πρὸς τὴν δικαιοσύνην. Λέγεις, ἔφη, σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοίζεσθαι; Μὰ Δί' οὐ δῆτα, ἔφη· ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστιν. Δεῖ γέ τοι, ἔφη ὁ μηδὲ τοῦτο παραλίπωμεν ἄσκεπτον, πότερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν ἢ ὁ ἄκων; Ἀλλ', ὦ Σώκρατες, οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι· καὶ γὰρ τὰ πρόσθεν πάντα νῦν ἄλλως· ἔχειν δοκεῖ μοι ἢ ὡς ἐγὼ τότε ᾤμην· ὅμως δὲ εἰρήσθω μοι ἀδικώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντος. Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι ὥσπερ τῶν γραμμάτων; Ἔμοιγε. Πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ ἢ ὃς ἂν ἄκων; Ὃς ἂν ἑκών, ἔγωγε· δύναιτο γάρ, ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. Οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων γραμματικὸς ἂν εἴη, ὁ

δὲ ἄκων ἀγράμματος; Πῶς γὰρ οὔ; Τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν ἢ ὁ ἄκων; Δῆλον ὅτι ὁ ἑκών. Οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῆς εἶναι; Ναί. Δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; Φαίνεται· δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν. Τί δὲ δή, ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν μηδέποτε ταὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν τοτὲ μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν τοτὲ μὲν πλείω, τοτὲ δὲ ἐλάττω ἀποφαίνηται, τί σοι δοκεῖ ὁ τοιοῦτος; Δῆλος νὴ δί' εἴ γε διὰ σοφίαν; Δῆλον ὅτι δι' ἀμαθίαν. Ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; Οὐ δῆτα. Ἀλλ' ἄρα διὰ τὴν τοῦ τεκταίνεσθαι; Οὐδὲ διὰ ταύτην. Ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; Οὐδὲ δι' ἓν τούτων, ἔφη, ἀλλὰ καὶ τοὐναντίον· οἱ γὰρ πλεῖστοι τῶν τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. Ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ τὰ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτό ἐστιν; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν; Ἐν ταὐτῷ (IV 4, 5—25). Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε παρεγένετο τῷ Σωκράτει λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη τὸ εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα ἢ τέκτονα ἢ χαλκέα ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι· φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι πάντα μεστὰ εἶναι τῶν διδαξόντων· ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον ἢ υἱὸν ἢ οἰκέγε τούτου δεινότερον, ἔφη, 〈ὦ〉 Ἱππία, οὐ μόνον ἀεὶ ταὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως διὰ τὸ πολυμαθὴς εἶναι περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. Ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. Πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι; οἷον περὶ γραμμάτων ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστίν, ἄλλα μὲν πρίν, ἄλλα δὲ νῦν λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν εἰ τὰ δὶς πέντε δέκα γίνονται, οὐ τὰ αὐτὰ νῦν καὶ πρότερον ἀποκρίνῃ; Περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες, ὥσπερ σύ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω· περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σὺ οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτο εἰπεῖν. Νὴ τὴν Ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται δ' οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες, παύσονται δ' αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ' ὅπως ἀπολειφθείην ἄν σου πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἀκούσῃ, πρίν γ' ἂν αὐτὸς ἀποφήνῃ ὅ τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γάρ, ὅτι τῶν ἄλλων καταγελᾷς ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δ' οὐδενὶ ἐθέλων ὑπέχειν λόγον οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός. Τί δαί, ὦ Ἱππία, 〈ἔφη,〉 οὐκ ᾔσθησαι, ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι οὐδὲν παύομαι ἀποδεικνύμενος; Καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ λόγος ἐστίν; Εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμαι· ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; Πολύ γε νὴ Δί', ἔφη· δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦσι, δίκαια δὲ πράττων οὐδ' ἂν εἷς ἄδικος εἴη. Ἤισθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος ἢ συκοφαντοῦντος ἢ πόλιν ἢ φίλους εἰς στάσιν ἐμβάλλοντος ἢ ἄλλο τι ἄδικον πράττοντος; Οὐκ ἔγωγ', ἔφη. Τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι οὐ δίκαιον ἡγῇ; Δῆλος εἶ, ἔφη, ὦ Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι γνώμην ὅ τι νομίζεις τὸ δίκαιον· οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσι, ταῦτα λέγεις. Ἀλλ' ὥμην ἔγωγε, ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι, ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ· φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; Ἔγωγε, ἔφη, συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ δίκαια μὲν ἂν πράττοι ὁ πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν; Πάνυ μὲν οὖν.

Οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων δίκαιος, ὁ δὲ τὰ ἄδικα ἄδικος; Πῶς γὰρ οὔ; Ὁ μὲν ἄρα νόμιμος δίκαιός ἐστιν, ὁ δὲ ἄνομος ἄδικος; καὶ ὁ Ἱππίας, Νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι ἢ τὸ πείθεσθαι αὐτοῖς, οὕς γε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται; Καὶ γὰρ πόλεμον, ἔφη ὁ Σωκράτης, πολλάκις ἀράμεναι 〈αἱ〉 πόλεις πάλιν εἰρήνην ποιοῦνται. καὶ μάλα, ἔφη. Διάφορον οὖν τι οἴει ποιεῖν, ἔφη, τοὺς τοῖς νόμοις πειθομένους φαυλίζων, ὅτι καταλυθεῖεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς ἐν τοῖς πολέμοις εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' ἂν εἰρήνη; 〈ἢ〉 καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσι προθύμως βοηθοῦντας μέμφῃ; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν οὐκ οἶσθα ὅτι οἵ τινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι 〈τοῦ〉 τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι, καὶ πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν; ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι καὶ πλειστάκις ἐν αὐταῖς αἵ 〈τε〉 γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν, καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον· οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται, οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ' ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ' ἵνα τοῖς αὐτοῖς ᾄδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται· ἄνευ δ' ὁμονοίας οὔτ' πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο; πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο ἢ πῶς ἂν μᾶλλον νικῴη; τίνι δ' ἄν τις μᾶλλον πιστεύσειεν παρακαταθέσθαι ἢ χρήματα ἢ θυγατέρας ἢ υἱούς; τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου; παρὰ τίνος δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν ἢ γονεῖς ἢ οἰκεῖοι ἢ οἰκέται ἢ φίλοι ἢ πολῖται ἢ ξένοι; τίνι δ' ἂν μᾶλλον πολέμιοι πιστεύσειαν ἢ ἀνοχὰς ἢ σπονδὰς ἢ συνθήκας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον ἢ τῷ νομίμῳ σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τίνι δ' ἂν μᾶλλον οἱ σύμμαχοι πιστεύσειαν 〈ἢ〉 ἡγεμονίαν ἢ φρουραρχίαν ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι κομιεῖσθαι χάριν μᾶλλον ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις εὐεργετήσειεν ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει; τῷ δ' ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τῷ τοιούτῳ ἢ τῷ ἧττον ἐχθρός; τῷ δ' ἄν τις ἧττον πολεμήσειεν ἢ ᾧ μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκιστα δ' ἐχθρός, καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι; ἐγὼ μὲν οὖν, ὦ Ἱππία, δὲ τἀναντία ἃ γιγνώσκεις, δίδασκε. καὶ ὁ Ἱππίας, Ἀλλὰ μὰ τὸν Δί', ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου. Ἀγράφους δέ τινας οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τούς γε ἐν πάσῃ χώρᾳ, ἔφη, κατὰ ταὐτὰ νομιζομένους. Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; Καὶ πῶς ἄν, ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες δυνηθεῖεν οὔτε ὁμόφωνοί εἰσι; Τίνας, ἔφη, νομίζεις τοὺς νόμους τεθεικέναι τούτους; Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι· καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς εὐσεβεῖν. Οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; Καὶ τοῦτο, ἔφη. Οὐκοῦν καὶ μήτε γονεῖς παισὶ μίγνυσθαι μήτε παῖδας γονεῦσιν; Οὐκέτι μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, οὗτος θεοῦ νόμος εἶναι. Τί δή; ἔφη. Ὅτι, ἔφη, αἰσθάνομαί τινας παραβαίνοντας αὐτόν. Καὶ γὰρ ἄλλα πολλά, ἔφη, παρανομοῦσιν· ἀλλὰ δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἢν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν, ὥσπερ τοὺς διαφεύγουσι τὸ δίκην δοῦναι. Καὶ ποίαν, ἔφη, δίκην, ὦ Σώκρατες, οὐ δύνανται διαφεύγειν γονεῖς τε παισὶ καὶ παῖδες γονεῦσι μιγνύμενοι; Τὴν μεγίστην νὴ Δί', 〈ἔφη〉· τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι; Πῶς οὖν, ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, ὅτε οὐδὲν κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν τεκνοποιεῖσθαι; Ὅτι νὴ Δί', ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ

ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν· ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων ἢ τῶν παρηκμακότων; Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ εἰκὸς ὅμοια εἶναι. Πότερα οὖν, 〈ἔφη, βελτίω; Δῆλον,〉 ἔφη, ὅτι τὰ τῶν 〈ἀκμαζόντων. Τὰ τῶν μὴ〉 ἀκμαζόντων ἄρα οὐ σπουδαῖα; Οὐκ εἰκὸς μὰ Δί', ἔφη. Οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι; Οὐ γὰρ οὖν, ἔφη. Οὐκοῦν οἵ γε οὕτω παιδοποιούμενοι ὡς οὐ δεῖ παιδοποιοῦνται; Ἔμοιγε δοκεῖ, ἔφη. Τίνες οὖν, ἔφη, ἄλλοι κακῶς ἂν παιδοποιοῖντο, εἴ γε μὴ οὗτοι; Ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο. Τί δαί; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ καὶ τοῦτο. Οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν; ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς ἀγαθοὶ φίλοι εἰσίν, οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι τούτους μάλιστα διώκουσι; Νὴ τὸν Δί', ὦ Σώκρατες, ἔφη, θεοῖς πάντα ταῦτ' ἔοικε· τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν βελτίονος ἢ κατὰ ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι. Πότερον οὖν, ὦ Ἱππία, τοὺς θεοὺς ἡγεῖ τὰ δίκαια νομοθετεῖν ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλα μὰ Δί', ἔφη· σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον 〈εἶναι〉 ἀρέσκει. Πλάτωνος Πολιτείας α′ (p. 348 E). Τοῦτο, ἦν δ' ἐγώ, ἤδη στερεώτερον, ὦ ἑταῖρε, καὶ οὐκ ἔτι ῥᾴδιον ἔχειν, ὅ τί τις εἴπῃ. εἰ γὰρ λυσιτελεῖν μὲν τὴν ἀδικίαν ἐτίθεσο, κακίαν μέντοι ἢ αἰσχρὸν αὐτὸ ὡμολόγεις εἶναι ὥσπερ ἄλλοι τινές, εἴχομεν ἄν τι λέγειν κατὰ τὰ νομιζόμενα λέγοντες· νῦν δὲ δῆλος εἶ ὅτι φήσεις αὐτὸ καὶ καλὸν καὶ ἰσχυρὸν εἶναι καὶ τἆλλα αὐτῷ πάντα προσθήσεις, ἃ ἡμεῖς τῷ δικαίῳ προσετίθεθεῖναι. Ἀληθέστατα, ἔφη, μαντεύῃ. Ἀλλὰ τόδε μοι πειρῶ ἀποκρίνασθαι· ὁ δίκαιος τοῦ δικαίου δοκεῖ τί σοι ἂν ἐθέλειν πλέον ἔχειν; Οὐδαμῶς, ἔφη· οὐ γὰρ ἂν ἦν ἀστεῖος, ὥσπερ νῦν, καὶ εὐήθης. Τί δαί; τῆς δικαίας πράξεως; Οὐδὲ τῆς δικαίας, ἔφη. Τοῦ δὲ ἀδίκου πότερον ἀξιοῖ ἂν πλέον ἔχειν καὶ ἡγοῖτο δίκαιον εἶναι, ἢ οὐκ ἂν ἡγοῖτο 〈δίκαιον〉; Ἡγοῖτ' ἄν, ἦ δ' ὅς, καὶ ἀξιοῖ, ἀλλ' οὐκ ἂν δύναιτο. Ἀλλ' οὐ τοῦτο, ἦν δ' ἐγώ, ἐρωτῶ, ἀλλὰ εἰ τοῦ μὲν δικαίου μὴ ἀξιοῖ πλέον ἔχειν μηδὲ βούλεται ὁ δίκαιος, τοῦ δὲ ἀδίκου; Ἀλλ' οὕτως, ἔφη, ἔχει Τί δὲ δὴ ὁ ἄδικος; ἆρα ἀξιοῖ τοῦ δικαίου πλεονεκτεῖν καὶ τῆς δικαίας πράξεως; Πῶς γὰρ οὔκ; ἔφη, ὅς γε πάντων πλέον ἔχειν ἀξιοῖ; Οὐκοῦν καὶ ἀδίκου γε ἀνθρώπου τε καὶ πράξεως ὁ ἄδικος πλεονεκτήσει; Ἔστι ταῦτα. Ὧδε δὴ λέγωμεν, ἔφην, ὁ δίκαιος τοῦ μὲν ὁμοίου οὐ πλεονεκτεῖ, τοῦ δὲ ἀνομοίου, ὁ δὲ ἄδικος τοῦ τε ὁμοίου καὶ τοῦ ἀνομοίου. Ἄριστα, ἔφη, εἴρηκας. Ἔστι δέ γε, οὐκ ἔοικε; Πῶς γὰρ οὐ μέλλει, ἔφη, 〈ὁ〉 τοιοῦτος ὢν καὶ ἐοικέναι τοῖς τοιούτοις, ὁ δὲ μὴ ἐοικέναι; Καλῶς. τοιοῦτος ἄρα ἐστὶν ἑκάτερος αὐτῶν οἷσπερ ἔοικεν. Ἀλλὰ τί μέλλει; ἔφη. Εἶεν, ὦ Θρασύμαχε· μουσικὸν δέ τινα λέγεις, ἕτερον δὲ ἄμουσον; Ἔγωγε. Πότερον φρόνιμον, καὶ πότερον ἄφρονα; Τὸν μὲν μουσικὸν δήπου φρόνιμον, τὸν δὲ ἄμουσον ἄφρονα. Οὐκοῦν ἅπερ φρόνιμον, ἀγαθόν, ἃ δὲ ἄφρονα, κακόν; 〈Ναί.〉 Τί δὲ ἰατρικόν; οὐχ οὕτως; Οὕτως. Ἆρ' οὖν τίς σοι, ὦ ἄριστε, δοκεῖ μουσικὸς ἀνὴρ ἁρμοττόμενος λύραν ἐθέλειν μουσικοῦ ἀνδρὸς ἐν τῇ ἐπιτάσει καὶ ἀνέσει τῶν χορδῶν πλεονεκτεῖν ἢ ἀξιοῦν πλέον ἔχειν; Οὐκ ἔμοιγε. Τί δαί, ἀμούσου; Ἀνάγκη, ἔφη. Περὶ πάσης δὴ ὅρα ἐπιστήμης τε καὶ ἀνεπιστημοσύνης εἴ τίς σοι δοκεῖ ἐπιστήμων ὁστισοῦν πλείω ἂν ἐθέλειν αἱρεῖσθαι ἢ ὅς' ἄλλος ἐπιστήμων ἢ πράττειν ἢ λέγειν, καὶ οὐ ταὐτὰ τῷ ὁμοίῳ ἑαυτῷ εἰς τὴν ἀγαθός; Φημί. Ὁ ἄρα ἀγαθός τε καὶ σοφὸς τοῦ μὲν ὁμοίου οὐκ ἐθελήσει πλεονεκτεῖν, τοῦ δ' ἀνομοίου τε καὶ ἐναντίου; Ἔοικεν, ἔφη. Ὁ δὲ κακός τε καὶ ἀμαθὴς τοῦ τε ὁμοίου καὶ τοῦ ἐναντίου; Φαίνεται. Οὐκοῦν, ὦ Θρασύμαχε, ἦν δ' ἐγώ, ὁ ἄδικος ἡμῖν τοῦ ἀνομοίου τε καὶ ὁμοίου πλεονεκτεῖ; ἢ οὐχ οὕτως ἔλεγες; Ἔγωγε, ἔφη. Ὁ δὲ δίκαιος τοῦ μὲν ὁμοίου οὐ πλεονεκτήσει, τοῦ δ' ἀνομοίου; Ναί. Ἔοικεν ἄρα, ἦν δ' ἐγώ, ὁ μὲν δίκαιος τῷ σοφῷ τε καὶ ἀγαθῷ, ὁ δὲ ἄδικος τῷ κακῷ τε καὶ ἀμαθεῖ. Κινδυνεύει. Ἀλλὰ μὴν ὡμολογοῦμεν, ᾧ γε ὅμοιος

ἑκάτερος εἴη, τοιοῦτον καὶ ἑκάτερον εἶναι. Ὡμολογοῦμεν γάρ. Ὁ μὲν ἄρα δίκαιος ἡμῖν ἀναπέφανται ὢν ἀγαθός τε καὶ σοφός, ὁ δ' ἄδικος ἀμαθής τε καὶ κακός. (eiusdem p. 350 D) Ἐπειδὴ δ' οὖν διωμολογησάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν, τὴν δ' ἀδικίαν κακίαν τε καὶ ἀμαθίαν, Εἶεν, ἦν δ' ἐγώ, τοῦτο μὲν ἡμῖν οὕτω κείσθω· ἔφαμεν δὲ δὴ καὶ ἰσχυρότερον εἶναι τὴν ἀδικίαν. (eiusdem p. 351 A—354 A) Ἀλλὰ τῇδέ πῃ σκέψασθαι χρή. πόλιν φαίης ἂν ἄδικον εἶναι καὶ ἄλλας πόλεις ἐπιχειρεῖν δουλοῦσθαι ἀδίκως; Πῶς γὰρ οὔκ; ἔφη· πότερον οὖν ἡ κρείττων γιγνομένη πόλις πόλεως ἄνευ δικαιοσύνης τὴν δύναμιν ταύτην ἕξει, ἢ ἀνάγκη αὐτῇ μετὰ δικαιοσύνης; Εἰ μέν, ἔφη, ὡς σὺ ἄρτι ἔλεγες ἔχει, ἡ δικαιοσύνη σοφία, μετὰ δικαιοσύνης, εἰ δ' ὡς ἐγώ, μετ' ἀδικίας. Πάνυ γε ἄγαμαι, ἦν δ' ἐγώ, ὦ Θρασύμαχε, δοκεῖς ἂν οὖν ἢ πόλιν ἢ στρατόπεδον ἢ λῃστὰς ἢ κλέπτας ἢ ἄλλο τι ἔθνος, ὅσα κοινῇ ἐπί τι ἔρχεται ἀδίκως, πρᾶξαι ἄν τι δύνασθαι, εἰ ἀδικοῖεν ἀλλήλους; Οὐ δῆτα, ἦ δ' ὅς. Τί δ' εἰ μὴ ἀδικοῖεν; οὐ μᾶλλον; Πάνυ γε. Στάσεις γάρ που, ὦ Θρασύμαχε, ἥ γε ἀδικία καὶ μίση καὶ μάχας ἐν ἀλλήλοις παρέχει, ἡ δὲ δικαιοσύνη ὁμόνοιαν καὶ φιλίαν. ἦ γάρ; Ἔστω, ἦ δ' ὅς, ἆρα εἰ τοῦτο ἔργον ἀδικίας, μῖσος ἐμποιεῖν ὅπου ἂν ἐνῇ ..... Πάνυ γε. Καὶ ἐν ἑνὶ δή, οἶμαι, ἐνοῦσα ταῦτα 〈πάντα〉 ποιήσει, ἅπερ πέφυκεν ἐργάζεσθαι· πρῶτον μὲν ἀδύνατον αὐτὸν ποιήσει πράττειν στασιάζοντα καὶ οὐχ ὁμονοοῦντα αὐτὸν ἑαυτῷ, ἔπειτα ἐχθρὸν καὶ ἑαυτῷ καὶ τοῖς δικαίοις. ἦ γάρ; Ναί. Δίκαιοι δέ γ' εἰσίν, ὦ φίλε, καὶ οἱ θεοί; Ἔστωσαν, ἔφη. Καὶ θεοῖς ἄρα ἐναντιώσομαι, ἵνα μὴ τοῖσδε ἀπέχθωμαι. Ἴθι δή, ἦν δ' ἐγώ, καὶ τὰ λοιπά μοι τῆς ἑστιάσεως ἀποπλήρωσον ἀποκρινόμενος ὥσπερ καὶ νῦν. ὅτι μὲν γὰρ καὶ σοφώτεροι καὶ ἀμείνους καὶ δυνατώτεροι πράττειν οἱ δίκαιοι φαίνονται, οἱ δὲ ἄδικοι οὐδὲν πράττειν μετ' ἀλλήλων οἷοί τε, ἀλλὰ καὶ οὕς φαμεν ἐρρωμένως πώποτέ τι μετ' ἀλλήλων κοινῇ πρᾶξαι ἀδίκους ὄντας, τοῦτο οὐ παντάπασιν ἀληθὲς λέγομεν· οὐ γὰρ ἂν ἀπείχοντο ἀλλήλων κομιδῇ ὄντες ἄδικοι, ἀλλὰ δῆλον ὅτι ἐνῆν τις αὐτοῖς δικαιοσύνη, ἣ αὐτοὺς ἐποίει μή τοι καὶ ἀλλήλους γε καὶ ἐφ' οὓς ᾔεσαν, ἀδικεῖν ἅμα, δι' ἣν ἔπραξαν 〈ἃ ἔπραξαν〉, ὥρμησαν δὲ ἐπὶ τὰ ἄδικα ἀδικίᾳ ἡμιμόχθηροι ὄντες, ἐπεὶ οἵ γε παμπόνηροι καὶ τελέως 〈ἄδικοι τελέως〉 εἰσὶ καὶ πράττειν ἀδύνατοι· ταῦτα μὲν οὖν ὅτι οὕτως ἔχει, μανθάνω, εἰ δὲ καὶ ἄμεινον ζῶσιν οἱ δίκαιοι τῶν ἀδίκων καὶ εὐδαιμονέστεροί εἰσιν, ὅπερ τὸ ὕστερον προὐθέμεθα σκέψασθαι, σκεπτέον. δοκεῖ τί σοι εἶναι ἵππου ἔργον; Ἔμοιγε. Ἆρ' οὖν τοῦτο ἂν θείης καὶ ἵππου καὶ ἄλλου ὀφθαλμοῖς; Οὐ δῆτα. Τί δαί; ἀκούσαις ἄλλῳ ἢ ὠσίν; Οὐδαμῶς. Οὐκοῦν δικαίως ἂν ταῦτα τούτων φαμὲν ἔργα εἶναι; Πάνυ γε. Τί δαί; μαχαίρᾳ ἂν ἀμπέλου κλῆμα ἀποτέμοις καὶ σμίλῃ καὶ ἄλλοις πολλοῖς; Πῶς γὰρ οὔ; Ἀλλ' οὐδενί γ' ἄν, οἶμαι, οὕτω καλῶς, ὡς δρεπάνῳ τῷ ἐπὶ τούτῳ ἐργασθέντι. Ἀληθῆ. Ἆρ' οὖν οὐ τοῦτο τούτου ἔργον θήσομεν; Θήσομεν μὲν οὖν. Ὀφθαλμῶν μὲν ἔστι τὶ ἔργον; Ἔστιν. Ἆρ' οὖν καὶ ἀρετὴ ὀφθαλμῶν ἐστιν; Καὶ ἀρετή. Τί δέ; ὦτων ἦν τι ἔργον; Ναί. Οὐκοῦν καὶ ἀρετή; Καὶ ἀρετή. Τί δὲ πάντων περὶ τῶν ἄλλων; οὐχ οὕτως; Οὕτως. Ἔχε δή· ἆρ' ἄν ποτε ὄμματα τὸ αὐτῶν ἔργον καλῶς ἀπεργάσαιντο μὴ ἔχοντα τὴν αὐτῶν οἰκείαν εἰ τῇ οἰκείᾳ ἀρετῇ τὸ αὐτῶν ἔργον εὖ ἐργάσεται τὰ ἐργαζόμενα, κακίᾳ δὲ κακῶς. Ἀληθές, ἔφη, τοῦτό 〈γε〉 λέγεις. Οὐκοῦν καὶ ὦτα στερόμενα τῆς αὐτῶν ἀρετῆς κακῶς τὸ 〈αὐτῶν〉 ἔργον ἀπεργάσεται; Πάνυ γε. Τίθεμεν οὖν καὶ τὰ ἄλλα πάντα εἰς τὸν αὐτὸν τοῦτον λόγον; Ἔμοιγε δοκεῖ. Ἴθι δή, μετὰ ταῦτα τόδε σκέψαι· ψυχῆς ἔστι τι ἔργον, ὃ ἄλλῳ τῶν ὄντων οὐδ' ἂν ἑνὶ πράξαις, οἷον τὸ τοιόνδε· τὸ ἐπιμελεῖσθαι καὶ ἄρχειν καὶ [τὸ] βουλεύεσθαι καὶ τὰ τοιαῦτα πάντα, ἔστιν ὅτῳ ἄλλῳ ἢ ψυχῇ δικαίως ἂν αὐτὰ ἀποδοῖμεν καὶ φαῖμεν ἴδια ἐκείνης εἶναι; Οὐδενὶ ἄλλῳ. Τί δ' αὖ τὸ ζῆν; οὐ ψυχῆς ἔργον φήσομεν εἶναι; Μάλιστά γ', ἔφη. Οὐκοῦν καὶ ἀρετήν φαμέν τινα ψυχῆς εἶναι; Φαμέν. Ἆρ' οὖν ποτε, ὦ Θρασύμαχε, ψυχὴ τὰ αὑτῆς ἔργα εὖ ἀπεργάσεται στερομένη κακῇ ψυχῇ κακῶς ἄρχειν καὶ ἐπιμελεῖσθαι, τῇ δὲ ἀγαθῇ πάντα ταῦτα εὖ πράττειν. Ἀνάγκη. Οὐκοῦν ἀρετὴν μὲν ξυνεχωρήσαμεν ψυχῆς εἶναι δικαιοσύνην, κακίαν δὲ ἀδικίαν; Ξυνεχωρήσαμεν γάρ. Ἡ μὲν ἄρα

δικαία ψυχὴ καὶ ὁ δίκαιος ἀνὴρ εὖ βιώσεται, κακῶς δὲ ὁ ἄδικος; Φαίνεται, ἔφη, κατὰ τὸν σὸν λόγον. Ἀλλὰ μὴν ὅ γε εὖ ζῶν μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μὴ τἀναντία; Πῶς γὰρ οὔ; Ὁ μὲν δίκαιος ἄρα εὐδαίμων, ὁ δ' 〈ἄδικος〉 ἄθλιος; Ἔστω, ἔφη. Ἀλλὰ μὴν ἄθλιόν γε οὐ λυσιτελεῖ εἶναι, εὐδαίμονα δέ. Πῶς γὰρ οὔ; Οὐδέποτε ἄρα, ὦ μακάριε Θρασύμαχε, λυσιτελέστερον ἀδικία δικαιοσύνης. Ἐν ταὐτῷ (IV p. 441 C—445 B). Ταῦτα μὲν ἄρα, ἦν δ' ἐγώ, μόγις διανενεύκαμεν, καὶ ἡμῖν ἐπιεικῶς ὡμολόγηται, ταὐτὰ μὲν ἐν πόλει, ταὐτὰ δὲ ἐν ἑνὸς ἑκάστου τῇ ψυχῇ γένη ἐνεῖναι καὶ ἴσα τὸν ἀριθμόν. Ἔστι ταῦτα. Οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον, ὡς πόλις ἦν σοφὴ καὶ ᾗ, οὕτω καὶ τὸν ἰδιώτην καὶ τούτῳ σοφὸν εἶναι; Τί μήν; Καὶ ᾗ δὴ ἀνδρεῖος ἰδιώτης καὶ ὥς, τούτῳ καὶ πόλιν ἀνδρείαν καὶ οὕτω καὶ τἆλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. Ἀνάγκη. Καὶ δίκαιον δή, [ἔφη,] ὦ Γλαύκων, οἶμαι, φήσομεν ἄνδρα μεν, ἔφη, ἐπιλελῆσθαι. Μνημονευτέον ἄρα ἡμῖν, ὅτι καὶ ἡμῶν ἕκαστος, ὅτου ἂν τὰ αὑτοῦ ἕκαστον τῶν ἐν αὐτῷ πράττῃ, οὗτος δικαιότερός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. Καὶ μάλα, ᾗ δ' ὅς, μνημονευτέον. Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν προσῆκον, σοφῷ ὄντι καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν; τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι ξυμμάχῳ τούτου; Πάνυ γε. Ἆρ' οὖν οὐχ, ὥσπερ ἐλέγομεν, μουσικῆς καὶ γυμναστικῆς κρᾶσις σύμφωνα αὐτὰ ποιήσει, τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα λόγοις τε καλοῖς καὶ μαθήμασι, τὸ δ' ἀνιεῖσα καὶ παραμυθουμένη, ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ; Κομιδῇ γε, ᾗ δ' ὅς. Καὶ τούτω δὴ οὕτω τραφέντε καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ παιδευθέντε προστήσετον τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ πλεῖστον τῆς ψυχῆς ἐν ἑκάστῳ ἐστὶ καὶ χρημάτων φύσει ἀπληστότατον· ὃ τηρήσετον μὴ τῷ πίμπλασθαι τῶν περὶ τὸ σῶμα καλουμέκαὶ τοὺς ἔξωθεν πολεμίους τούτω ἂν κάλλιστα φυλαττοίτην ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ σώματος, τὸ μὲν βουλευόμενον, τὸ δὲ προπολεμοῦν ἑπόμενον τῷ ἄρχοντι καὶ τῇ ἀνδρείᾳ ἐπιτελοῦν τὰ βουλευθέντα; Ἔστι ταῦτα. Καὶ ἀνδρεῖον δή, οἶμαι, τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασῴζῃ διά τε λυπῶν καὶ ἡδονῶν τὸ ὑπὸ τοῦ λόγου παραγγελθὲν δεινόν τε καὶ μή. Ὀρθῶς γ', ἔφη. Σοφὸν δέ γε ἐκείνῳ τῷ σμικρῷ μέρει, τῷ ὃ ἦρχέ τε ἐν αὐτῷ καὶ ταῦτα παρήγγελλεν, ἔχον αὖ κἀκεῖνο ἐπιστήμην ἐν αὐτῷ τὴν τοῦ ξυμφέροντος ἑκάστῳ τε καὶ ὅλῳ τῷ κοινῷ σφῶν αὐτῶν τριῶν ὄντων. Πάνυ μὲν οὖν. Τί δαί; σώφρονα οὐ τῇ φιλίᾳ καὶ τῇ ξυμφωνίᾳ τῇ αὐτῶν τούτων, ὅταν τό τε ἄρχον καὶ τὼ 〈τί〉 ἐστιν ἢ τοῦτο, πόλεώς τε καὶ ἰδιώτου. Ἀλλὰ μὲν δὴ δίκαιός γε, ᾧ πολλάκις λέγομεν, τούτῳ καὶ οὕτως ἔσται. Πολλὴ ἀνάγκη. Τί οὖν; εἶπον ἐγώ· μή πῃ ἡμῖν ἀπαμβλύνεται ἄλλο τι δικαιοσύνη δοκεῖν εἶναι ἢ ὅπερ ἐν τῇ πόλει ἐφάνη; Οὐκ ἔμοιγε, ἔφη, δοκεῖ. Ὧδε γὰρ, ἦν δ' ἐγώ, πάντα παντάπασιν ἂν βεβαιωσαίμεθα, εἴ τι ἡμῶν ἔτι ἐν τῇ ψυχῇ ἀμφισβητεῖ, τὰ φορτικὰ αὐτῷ προσφέροντες. Ποῖα δή; Οἷον εἰ δέοι ἡμᾶς ἀνομολογεῖσθαι περί τε ἐκείνης τῆς πόλεως καὶ τοῦ ἐκείνῃ ὁμοίως πεφυκότος τε καὶ τεθραμμένου ἀνδρός, εἰ δοκεῖ ἂν παρακαταθήκην χρυσίου ἢ ἀργυρίου δεξάμενος ὁ τοιοῦτος ἀποστερῆσαι, τίνα ἂν οἴει οἰηθῆναι τοῦτο αὐτὸν δρᾶσαι μᾶλλον ἢ ὅσοι μὴ τοιοῦτοι; Οὐδένα ἄν, ἔφη. Οὐκοῦν καὶ ἱεροσυλιῶν καὶ κλοπῶν καὶ προδοσιῶν, ἢ ἰδίᾳ ἑταίρων ἢ δημοσίᾳ πόλεων, ἐκτὸς ἂν οὗτος εἴη; Ἐκτός. Καὶ μὴν οὐδ' ὁπωστισγεοῦν ἄπιστος ἢ κατὰ ὅρκους, ἢ κατὰ τὰς ἄλλας ὁμολογίας. Πῶς γὰρ ἄν; Μοιχεῖαί γε μὴν καὶ γονέων ἀμέλειαι καὶ θεῶν ἀθεραπευσίαι παντὶ ἄλλῳ μᾶλλον ἢ τῷ τοιούτῳ προσήκουσιν. Παντὶ μέντοι, ἔφη. Οὐκοῦν τούτων πάντων αἴτιον, ὅτι αὐτοῦ τῶν ἐν αὐτῷ ἕκαστον 〈τὰ〉 αὐτοῦ πράττει ἀρχῆς τε πέρι καὶ τοῦ ἄρἀποτετέλεσται, ὃ ἔφαμεν ὑποπτεῦσαι, ὡς εὐθὺς ἀρχόμενοι τῆς πόλεως οἰκίζειν κατὰ θεόν τινα εἰς ἀρχήν τε καὶ τύπον τινὰ τῆς δικαιοσύνης κινδυνεύομεν ἐμβεβηκέναι. Παντάπασι μὲν οὖν. Τὸ δέ γε ἦν ἄρα, ὦ Γλαύκων, δι' ὃ καὶ ὠφελεῖ, εἴδωλόν τι τῆς δικαιοσύνης, τὸ τὸν μὲν σκυτοτομικὸν φύσει ὀρθῶς ἔχειν σκυτοτομεῖν καὶ ἄλλο μηδὲν πράττειν, τὸν δὲ τεκτονικὸν τεκταίνεσθαι, καὶ τὰ ἄλλα δὴ οὕτω. Φαίνεται. Τὸ δέ γε ἀληθὲς τοιοῦτόν τι ἦν, ὡς ἔοικεν, ἡ δικαιοσύνη, ἀλλ' οὐ [τι] περὶ τὴν ἔξω πρᾶξιν τῶν αὑτοῦ, ἀλλὰ περὶ

τὴν ἐντὸς ὡς ἀληθῶς περὶ ἑαυτὸν καὶ τὰ αὑτοῦ, μὴ ἐάσαντα τὰ ἀλλότρια πράττειν ἕκαστον ἐν ἑαυτῷ μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη, ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα ἐνθυμούμενον καὶ ἄρξαντα αὐτὸν αὑτοῦ καὶ κοσμήσαντα καὶ φίλον γενόμενον ἑαυτῷ καὶ συναρμόσαντα 〈τρία ὄντα〉 ὥσπερ ὅρους, τρεῖς ἁρμονίας ἀτεχνῶς νεάτης τε καὶ ὑπάτης καὶ μέσης, καὶ εἰ ἄλλ' ἄττα μεταξὺ τυγχάνει ὄντα, πάντα ταῦτα ξυνδήσαντα καὶ παντάπασιν ἕνα γενόμενον ἐκ πολλῶν, σώφρονα καὶ ἡρμοσμένον, οὕτω δὴ πράττειν ματος θεραπείαν ἢ καὶ πολιτικόν τι ἢ περὶ τὰ ἴδια ξυμβόλαια, ἐν πᾶσι τούτοις ἡγούμενον καὶ ὀνομάζοντα δικαίαν μὲν καὶ καλὴν πρᾶξιν, ἣ ἂν ταύτην τὴν ἕξιν σῴζῃ τε καὶ συναπεργάζηται, σοφίαν δὲ τὴν ἐπιστατοῦσαν ταύτῃ τῇ πράξει ἐπιστήμην, ἄδικον δὲ πρᾶξιν, ἣ ἂν ἀεὶ ταύτην λύῃ, ἀμαθίαν δὲ τὴν ταύτῃ αὖ ἐπιστατοῦσαν δόξαν. Παντάπασιν, ἦ δ' ὅς, ὦ Σώκρατες, ἀληθῆ λέγεις. Εἶεν, ἦν δ' ἐγώ· τὸν μὲν δίκαιον καὶ ἄνδρα καὶ πόλιν καὶ δικαιοσύνην, ὃ τυγχάνει ἐν αὐτοῖς ὄν, εἰ φαῖμεν εὑρηκέναι, οὐκ ἂν πάνυ τι, οἶμαι, δόξαιμεν ψεύδεσθαι. Μὰ Δί' οὐ μέντοι, ἔφη. Φῶμεν ἄρα; Φῶμεν. Ἔστω δή, ἦν δ' ἐγώ· μετὰ γὰρ τοῦτο σκεπτέον, οἶμαι, ἀδικίαν. Δῆλον 〈ὅτι〉. Οὐκοῦν στάσιν τινὰ αὖ τριῶν ὄντων τούτων δεῖ αὐτὴν εἶναι καὶ πολυπραγμοσύνην 〈καὶ ἀλλοτριοπραγμοσύνην〉 καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς, ἵνα ἄρχῃ ἐν αὐτῇ οὐ προσῆκον, ἀλλὰ τοιούτου ὄντος φύσει, οἵου πρέπειν αὐτῷ δουλεύειν τοῦ δ' αὖ δουλεύειν ἀρχικοῦ γένους ὄντι· τοιαῦτ' ἄττα, οἶκαὶ ξυλλήβδην πᾶσαν κακίαν. Ταὐτὰ μὲν οὖν ταῦτα, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ τὸ ἄδικα πράττειν καὶ τὸ ἀδικεῖν καὶ αὖ τὸ δίκαια ποιεῖν, πάντα ταῦτα τυγχάνει ὄντα κατάδηλα ἤδη σαφῶς, ᾗπερ καὶ ἡ ἀδικία καὶ δικαιοσύνη; Πῶς δή; Ὅτι, ἦν δ' ἐγώ, τυγχάνει οὐδὲν διαφέροντα τῶν ὑγιεινῶν τε καὶ νοσωδῶν, ὡς ἐκεῖνα ἐν σώματι, ταῦτα ἐν ψυχῇ. Πῇ; ἔφη. Τὰ μέν που ὑγιεινὰ ὑγίειαν ἐμποιεῖ, τὰ δὲ νοσώδη νόσον. Ναί. Οὐκοῦν καὶ τὸ μὲν δίκαια πράττειν δικαιοσύνην ἐμποιεῖ, τὸ δὲ ἄδικα ἀδικίαν; Ἀνάγκη. Ἔστι δὲ τὸ μὲν ὑγίειαν ἐμποιεῖν τὰ ἐν τῷ σώματι κατὰ φύσιν καθιστάναι κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων, τὸ δὲ νόσον παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου. Ἔστι γάρ. Οὐκοῦν αὖ, ἔφην, τὸ δικαιοσύνην ἐμποιεῖν τὰ ἐν τῇ ψυχῇ κατὰ φύσιν καθιστάναι κρατεῖν 〈τε〉 καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων, τὸ δὲ ἀδικίαν παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι 〈ἄλλο〉 ὑπ' ἄλλου; Κομιδῇ, ἔφη. Ἀρετὴ μὲν ἄρα, ὡς ἔοικεν, ὑγίειά τέ τις ἂν εἴη καὶ κάλλος καὶ εὐεξία ψυχῆς, κακία δὲ νόσος τε καὶ αἶσχος καὶ ἀσθένεια. Ἔστιν οὕτως. Ἆρ' οὖν οὐ καὶ τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει, τὰ δὲ αἰσχρὰ εἰς κακίας; Ἀνάγκη. Τὸ δὴ λοιπὸν ἤδη, ὡς ἔοικεν, ἡμῖν ἐστὶ σκέψασθαι, πότερον αὖ λυσιτελεῖ δίκαιά τε πράττειν καὶ καλὰ ἐπιτηδεύειν καὶ εἶναι δίκαιον, ἐάν τε λανθάνῃ ἐάν τε μὴ τοιοῦτος ὤν, ἢ ἀδικεῖν τε καὶ ἄδικον εἶναι, ἐάν περ μὴ διδῷ δίκην μηδὲ βελτίων γίγνηται κολαζόμενος. Ἀλλά, ἔφη, ὦ Σώκρατες, γελοῖον ἔμοιγε φαίνεται τὸ σκέμμα γίγνεσθαι ἤδη, εἰ τοῦ μὲν σώματος τῆς φύσεως διαφθειρομένης δοκεῖ οὐ βιωτὸν εἶναι οὐδὲ μετὰ πάντων σιτίων τε καὶ ποτῶν καὶ παντὸς πλούτου καὶ πάσης ἀρχῆς, τῆς δὲ αὐτοῦ τούτου ᾧ ζῶμεν φύσεως ταραττομένης τε καὶ διαφθειρομένης βιωτὸν ἄρα ἔσται, ἄνπερ τις ποιῇ ὃ ἂν βουληθῇ ἄλλο πλὴν τοῦτο, ὁπόθεν κακίας μὲν καὶ ἀδικίας ἀπαλλαγήσεται, δικαιοσύνην δὲ καὶ ἀρετὴν κτήσεται, ἐπειδή περ ἐφάνη γε ὄντα ἑκάτερα οἷα ἡμεῖς διεληλύθαμεν. 〈Γελοῖον γάρ, ἦν δ' ἐγώ· ἀλλ' ὅμως ἐπείπερ ἐνταῦθα ἐληλύθαμεν,〉 ὅσον οἷόν τε σαφέστατα κατιδεῖν ὅτι ταῦτα οὕτως ἔχει, οὐ χρὴ ἀποκάμνειν. Ἥκιστα, νὴ τὸν Δί', ἔφη, πάντων ἀποκνητέον. Πλάτωνος πολιτείας θ′ (IX p. 588 B). Εἶεν δή, εἶπον· ἐπειδὴ ἐνταῦθα λόγου γεγόναμεν, ἀναλάβωμεν τὰ πρῶτα λεχθέντα, δι' ἃ δεῦρ' ἤκομεν· ἦν δέ που λεγόμενον λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ, δοξαζομένῳ δὲ δικαίῳ. ἢ οὐχ οὕτως ἐλέχθη; Οὕτω μὲν οὖν. Νῦν δή, ἔφην, αὐτῷ διαλεγώμεθα, ἐπειδὴ διωμολογησάμεθα τό τε ἀδικεῖν καὶ τὸ δίκαια πράττειν ἣν ἑκάτερον ἔχει δύναμιν. Πῶς; ἔφη. Εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων οἷα ἔλεγεν. Ποίαν τινά; ἦ δ' ὅς. Τῶν τοιούτων τινά, ἦν δ' ἐγώ, οἷαι

μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥ τε Χιμαίρας καὶ ἡ Σκύλλης καὶ Κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Λέγονται γάρ, ἔφη. Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. Δεινοῦ πλάστου, ἔφη, τὸ ἔργον· ὅμως δ' ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάσθω. Μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου· πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον καὶ δεύτερον τὸ δεύτερον. Ταῦτα, ἔφη, ῥᾴω· καὶ πέπλασται. Σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα, ὥστε πῃ ξυμπεφυκέναι ἀλλήλοις. Συνῆπται, ἔφη. Περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα, τὴν τοῦ ἀνθρώπου, ὥστε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾶν, ἀλλὰ τὸ ἔξω μόνον ἔλυτρον ὁρῶντι ἓν ζῷον φαίνεσθαι, ἄνθρωπον. Περιπέπλασται, ἔφη. Λέγωμεν δὴ τῷ λέγοντι ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ, δίκαια δὲ πράττειν οὐ ξυμφέρει, ὅτι οὐδὲν ἄλλο φησὶν ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα καὶ τὰ περὶ τὸν λέοντα, τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν καὶ ποιεῖν ἀσθενῆ, ὥστε ἕλκεσθαι ὅπη ἂν ἐκείνων ὁπότερον ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν μηδὲ φίλον ποιεῖν, ἀλλ' ἐᾶν αὐτὰ ἐν αὐτοῖς δάκνεσθαί τε καὶ μαχόμενα ἐσθίειν ἄλληλα. Παντάπασι γάρ, ἔφη, ταῦτ' ἂν λέγοι ὁ τὸ ἀδικεῖν ἐπαινῶν. Οὐκοῦν αὖ ὁ τὰ δίκαια λέγων λυσιτελεῖν φαίη ἂν δεῖν ταῦτα 〈πράττειν〉 καὶ ταῦτα λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος, καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται ὥσπερ γεωργός, τὰ μὲν ἥμερα τρέφων καὶ τιθασσεύων, τὰ δ' ἄγρια ἀποκωλύων φύεσθαι, ξύμμαχον ποιησάμενος τὴν τοῦ λέοντος φύσιν, καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὐτῷ, οὕτω θρέψει; Κομιδῇ γὰρ αὖ λέγει ταῦτα ὁ τὸ δίκαιον ἐπαινῶν. Κατὰ πάντα δὴ τρόπον ὁ μὲν τὰ δίκαια ἐγκωμιάζων ἀληθῆ ἂν λέγοι, ὁ δὲ τὰ ἄδικα ψεύδοιτο. πρὸς γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφέλειαν σκοπουμένῳ ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει. ὁ δὲ ψέκτης οὐδὲν ὑγιὲς οὐδὲ εἰδὼς ψέγει ὅ τι ψέγει. Οὔ μοι δοκεῖ, ἦ δ' ὅς, οὐδαμῇ γε. Πείθωμεν τοίνυν αὐτὸν πρᾴως, οὐ γὰρ ἑκὼν ἁμαρτάνει, ἐρωτῶντες· ὦ μακάριε, οὐ καὶ τὰ αἰσχρὰ δὲ 〈τὰ〉 ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα; ξυμφήσει ἢ πῶς; Ἐὰν ἐμοί, ἔφη, πίθηται. Ἔστιν οὖν, εἶπον, ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδίκως, εἴπερ τοιόνδε 〈τι〉 γίγνεται, λαμβάνων τὸ χρυσίον ἅμα καταδουλοῦται τὸ βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ; ἢ εἰ μὲν λαβὼν χρυσίον υἱὸν ἢ θυγατέρα ἐδουλοῦτο, καὶ ταῦτ' εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει οὐδ' ἂν πάμπολυ ἐπὶ τούτῳ λαμβάνειν, εἰ δὲ τὸ αὑτοῦ θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι καὶ πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ ἢ Ἐριφύλη ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη; Πολὺ μέντοι, ἦ δ' ὃς ὁ Γλαύκων· ἐγὼ γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι. Οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ τὰ τοιαῦτα πάλαι ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινὸν τὸ μέγα ἐκεῖνο καὶ πολυειδὲς θρέμμα εἰς ἐλευθερίαν πέρα τοῦ δέοντος; Δῆλον, ἔφη. Ἡ δ' αὐθάδεια καὶ δυσκολία ψέγεται οὐχ ὅταν τὸ λεοντῶδές τε καὶ τούτου χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; Τί μήν; Κολακεία δὲ καὶ ἀνελευθερία οὐχ ὅταν τις τὸ αὐτὸ τοῦτο, τὸ θυμοειδές, ὑπὸ τῷ ὀχλώδει θηρίῳ 〈ποιῇ〉, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι; Καὶ μάλα, ἔφη. Βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί, οἴει, ὄνειδος φέρει; ἢ δι' ἄλλο τι φήσομεν ἢ ὅταν τις ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὐτῷ θρεμμάτων, ἀλλὰ θεραπεύειν ἐκεῖνα, καὶ τὰ θωπεύματα αὐτῶν μόνον δύνηται μανθάνειν; Ἔοικεν, ἔφη. Οὐκοῦν ἵνα καὶ ὁ τοιοῦτος ὑφ' ὁμοίου ἄρχηται οἵουπερ ὁ βέλτιστος, δοῦλον αὐτὸν φαμὲν δεῖν εἶναι ἐκείνου τοῦ βελτίστου καὶ ἔχοντος ἐν αὐτῷ τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν, ὥσπερ Θρασύμαχος ᾤετο τοὺς ἀρχομένους, ἀλλ' ὡς ἄμεινον 〈ὂν〉 παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι, μάλιστα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν οἰκεῖον ἔχοντος ἐν ἑαυτῷ, εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, ἵνα εἰς δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι τῷ αὐτῷ κυβερνώμενοι; Καὶ ὀρθῶς γ', ἔφη. Δηλοῖ δέ γε, ἦν δ' ἐγώ, καὶ ὁ νόμος, ὅτι τοιοῦτον βούλεται, πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος ὤν· καὶ ἡ τῶν παίδων ἀρχή, τὸ μὴ ἐᾶν ἐλευθέρως εἶναι, ἕως ἂν ἐν αὐτοῖς ὥσπερ ἐν πόλει πολιτείαν καταστήσωμεν, καὶ τὸ βέλτιστον θεραπεύσαντες καὶ ἄρχοντα ἐν αὐτῷ, καὶ τότε δὴ ἐλεύθερον ἀφίεμεν. Δηλοῖ γάρ, ἦ δ' ὅς. Πλάτωνος Πολιτείας ι′ (X p. 612 A). Οὐκοῦν, ἦν δ' ἐγώ, τά τε ἄλλα ἀπελυσάμεθα ἐν τῷ λόγῳ, καὶ οὐ τοὺς μισθοὺς οὐδὲ τὰς δόξας δικαιοσύνης ἀπηνέγκαμεν, ὥσπερ Ἡσίοδόν τε καὶ Ὅμηρον ὑμεῖς ἔφατε, ἀλλ' αὐτὸ δικαιοσύνην αὐτῇ ψυχῇ ἄριστον εὕρομεν, καὶ ποιητέον εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ' ἔχῃ τὸν Γύγου δακτύλιον, ἐάν τε μή, καὶ πρὸς τοιούτῳ δακτυλίῳ τὴν Ἅιδος κυνέην; Ἀληθέστατα, ἔφη, λέγεις. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὦ Γλαύκων, νῦν ἤδη ἀνεπιφθονόν ἐστι πρὸς ἐκείνοις καὶ τοὺς μισθοὺς τῇ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ ἀποδοῦναι, ὅσους καὶ οἵους τῇ ψυχῇ παρέχει παρ' ἀνθρώπων τε καὶ θεῶν, ζῶντός τε ἔτι τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ; Παντάπασι μὲν οὖν, ἦ δ' ὅς. Ἆρ' οὖν ἀποδώσετέ μοι ἃ ἐδανείσασθε ἐν τῷ λόγῳ; Τί μάλιστα; Ἔδωκα ὑμῖν τὸν δίκαιον δοκεῖν ἄδικον εἶναι καὶ τὸν ἄδικον δίκαιον. ὑμεῖς γὰρ ἡγεῖσθε, κἂν εἰ μὴ δυνατὸν εἴη ταῦτα λανθάνειν καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως δοτέον εἶναι τοῦ λόγου ἕνεκα, ἵνα αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν κριθείη. ἢ οὐ μνημονεύεις; Ἀδικοίην μέντἂν, ἔφη, 〈εἰ μή〉 . Ἐπειδὴ τοίνυν, ἦν δ' ἐγώ, κεκριμέναι εἰσίν, ἐγὼ πάλιν ἀπαιτῶ ὑπὲρ δικαιοσύνης, ὥσπερ ἔχουσιν αὐτήν, ἐπειδὴ καὶ τὰ ἀπὸ τοῦ εἶναι ἀγαθὰ διδοῦσα ἐφάνη καὶ οὐκ ἐξαπατῶσα τοὺς τῷ ὄντι λαμβάνοντας αὐτήν. Δίκαια, ἔφη, αἰτῇ. Οὐκοῦν, ἦν δ' ἐγώ, πρῶτον μὲν τοῦτο ἀποδώσετε, ὅτι θεούς γε οὐ λανθάνει ἑκάτερος αὐτῶν οἷός ἐστιν; Ἀποδώσομεν, ἔφη. Εἰ δὲ μὴ λανθάνετον, ὁ μὲν θεοφιλὴς ἂν εἴη, ὁ δὲ θεομισής, ὥσπερ καὶ κατ' ἀρχὰς ὡμολογοῦμεν. Ἔστι ταῦτα. Τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσομεν, ὅσα γε ἀπὸ θεῶν γίγνεται, πάντα γίγνεσθαι ὡς οἷόν τε ἄριστα, εἰ μή τι ἀναγκαῖον αὐτῷ κακὸν ἐκ προτέρας ἁμαρτίας ὑπῆρχεν; Πάνυ μὲν οὖν. Οὕτως ἄρα ὑποληπτέον περὶ τοῦ δικαίου ἀνδρός, ἐάν τ' ἐν πενίᾳ γίγνηται, ἐάν τ' ἐν νόσοις ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, ὡς τούτῳ ταῦτα εἰς ἀγαθόν τι τελευτήσει ζῶντι ἢ καὶ ἀποθανόντι. οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτε ἀμελεῖται, ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ. Εἰκός γ', ἔφη, τὸν τοιοῦτον μὴ ἀμελεῖσθαι ὑπὸ τοῦ ὁμοίου. Οὐκοῦν περὶ τοῦ ἀδίκου τἀναντία τούτων δεῖ διανοεῖσθαι; Σφόδρα γε. Τὰ μὲν δὴ παρὰ θεῶν τοιαῦτ' ἄττ' ἂν εἴη νικητήρια τῷ δικαίῳ. Κατὰ γοῦν ἐμὴν δόξαν, ἔφη. Τί δ', ἦν δ' ἐγώ, παρ' ἀνλαστοι γίγνονται, τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες καὶ ἀστεφάνωτοι ἀποτρέχοντες. οἱ δὲ τῇ ἀληθείᾳ δρομικοὶ εἰς τέλος ἐλθόντες τά τε ἆθλα λαμβάνουσι καὶ στεφανοῦνται. οὐχ οὕτω καὶ περὶ τῶν δικαίων τὸ πολὺ ξυμβαίνει· πρὸς τὸ τέλος ἑκάστης πράξεως καὶ ὁμιλίας καὶ τοῦ βίου εὐδοκιμοῦσί τε καὶ τὰ ἆθλα παρὰ τῶν ἀνθρώπων φέρονται; Καὶ μάλα. Ἀνέξῃ ἄρα λέγοντος ἐμοῦ περὶ τούτων, ἅπερ αὐτὸς ἔλεγες περὶ τῶν ἀδίκων; ἐρῶ γὰρ δή, ὅτι οἱ μὲν δίκαιοι, ἐπειδὰν πρεσβύτεροι γένωνται, ἐν τῇ αὑτῶν πόλει ἄρχουσί τε ἃς ἂν βούλωνται ἀρχάς, γαμοῦσί τε ὁπόθεν ἂν βούλωνται, ἐκδιδόασί τε εἰς οὓς ἂν ἐθέλωσι, καὶ πάντα ἃ σὺ περὶ ἐκείνων, ἐγὼ νῦν λέγω περὶ τῶνδε· καὶ αὖ 〈καὶ〉 περὶ τῶν ἀδίκων, ὅτι οἱ πολλοὶ αὐτῶν, καὶ ἐὰν νέοι ὄντες λάθωσιν, ἐπὶ τέλους τοῦ δρόμου αἱρεθέντες καταγέλαστοί εἰσι καὶ γέροντες γιγνόμενοι ἄθλιοι προπηλακίζονται ὑπὸ ξένων τε καὶ ἀστῶν, μαστιγούμενοι καὶ ἃ ἄγροικα ἔφησθα σὺ εἶναι, ἀληθῆ λέγων, εἶτα στρεβλώσονται καὶ ἐκκαυθήσονται· πάντα ἐκεῖνα μὲν τοίνυν, ἦν δ' ἐγώ, ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλά τε καὶ μισθοὶ καὶ δῶρα γίγνεται πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη, τοιαῦτ' ἂν εἴη. Καὶ μάλα, ἔφη, καλά τε καὶ βέβαια. Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, οὐδέν ἐστι πλήθει οὐδὲ μεγέθει πρὸς ἐκεῖνα, ἃ τελευτήσαντα ἑκάτερον περιμένει. Πλάτωνος ἐκ τοῦ Κλειτοφῶντος (p. 408 E —410 B). Τί τοὐντεῦθεν; πῶς ἄρχεσθαι δεῖν φαμὲν

δικαιοσύνης περὶ μαθήσεως; ὥσπερ ἂν εἴ τις ἡμᾶς προὔτρεπεν τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι, μηδὲν προνοοῦντας ὁρῶν καθάπερ παῖδας, ὡς ἔστι τις γυμναστικὴ καὶ ἰατρική, καὶ ἔπειτα ὠνείδιζε λέγων, ὡς αἰσχρὸν πυρῶν μὲν καὶ κριθῶν καὶ ἀμπέλων ἐπιμέλειαν πᾶσαν ποιεῖσθαι, καὶ ὅσα τοῦ σώματος ἕνεκα διαπονούμεθά τε καὶ κτώμεθα, τούτου δ' αὐτοῦ μηδεμίαν τέχνην μηδὲ μηχανήν, ὅπως ὡς βέλτιστον ἔσται τὸ σῶμα, ἐξευρίσκειν, καὶ ταῦτα οὖσαν· εἰ δ' ἐπανηρόμεθα τὸν ταῦθ' ἡμᾶς προτρέποντα· λέγεις δὲ εἶναι τίνας ταύτας τὰς τέχνας; εἶπεν ἂν ἴσως ὅτι γυμναστικὴ καὶ ἰατρική. καὶ νῦν δὴ τίνα φαμὲν εἶναι τὴν ἐπὶ τῇ τῆς ψυχῆς ἀρετῇ τέχνην; λεγέσθω. Ὁ δὴ δοκῶν αὐτῶν ἐρρωμενέστατος εἶναι πρὸς ταῦτα ἀποκριώδί· ἰατρική πού τις λέγεται τέχνη, ταύτης δέ ἐστι διττὰ τὰ ἀποτελούμενα, τὸ μὲν ἰατροὺς ἀεὶ πρὸς τοῖς οὖσιν ἑτέρους ἐξεργάζεσθαι, τὸ δὲ ὑγίειαν· ἔστι δὲ τούτων θάτερον οὐκέτι τέχνη, τῆς τέχνης δὲ τῆς διδασκούσης τε καὶ διδασκομένης ἔργον, ὃ δὴ λέγομεν ὑγίειαν· καὶ τεκτονικῆς δὲ κατὰ ταὐτὰ οἰκία τε καὶ τεκτονικὴ τὸ μὲν ἔργον, τὸ δὲ δίδαγμα· τῆς δὴ δικαιοσύνης ὡσαύτως τὸ μὲν δικαίους ἔστω ποιεῖν, καθάπερ ἐκεῖ τοὺς τεχνίτας ἑκάστους· τὸ δ' ἕτερον, ὃ δύναται ποιεῖν ἡμῖν ἔργον ὁ δίκαιος, τί τοῦτό φαμεν; εἰπέ· —οὗτος μὲν, ὡς οἶμαι, τὸ συμφέρον ἀπεκρίνατο· ἄλλος δὲ τὸ δέον· ἕτερος δὲ τὸ ὠφέλιμον· ὃ δὲ τὸ λυσιτελοῦν. ἐπανῄειν δὴ ἐγὼ λέγων, ὅτι ἐκεῖ τά γε ὀνόματα ταῦτ' ἐστὶν ἐν ἑκάστῃ τῶν τεχνῶν, ὀρθῶς πράττειν, λυσιτελοῦντα, ὠφέλιμα, καὶ τὰ τοιαῦτα· ἀλλὰ πρὸς ὅ τι ταῦτα πάντα τείνει, ἐρεῖ τὸ ἴδιον ἑκάστη ἡ τέχνη, οἷον ἡ τεκτονικὴ τὸ εὖ, τὸ καλῶς, τὸ δεόντως, ὥστε τὰ ξύλινα, φήσει, σκεύη γίγνεσθαι, ἃ δὴ οὐκ ἔστι τέχνη· λεγέσθω δὴ καὶ τὸ τῆς δικαιοσύνης ὡσαύτως. Τελευτῶν ἀπεκρίνατό τις ὦ Σώκρατές μοι τῶν σῶν ἑταίρων, ὃς δὴ κομψότατα ἔδοξεν εἰπεῖν, ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον, ὃ τῶν ἄλλων οὐδεεῖναι φιλίας ἐπανερωτώμενος· συνέβαινε γὰρ αὐτῷ τὰ πλείω τὰς τοιαύτας βλαβερὰς ἢ ἀγαθὰς εἶναι. φεύγων δὴ τὸ τοιοῦτον οὐδὲ φιλίας ἔφη τὰς τοιαύτας εἶναι, ψευδῶς δὲ ὀνομάζειν αὐτὰς τοὺς οὕτως ὀνομάζοντας· τὴν δὲ ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν. τὴν δὲ ὁμόνοιαν ἐρωτώμενος εἰ ὁμοδοξίαν εἶναι λέγοι ἢ ἐπιστήμην, τὴν μὲν ὁμοδοξίαν ἠτίμαζεν· ἠναγκάζοντο γὰρ πολλαὶ καὶ βλαβεραὶ γίγνεσθαι ὁμοδοξίαι ἀνθρώπων, τὴν δὲ φιλίαν ἀγαθὸν ὡμολογήκει πάντως εἶναι καὶ δικαιοσύνης ἔργον, ὥστε ταὐτὸν ἔφησεν εἶναι ὁμόνοιαν καὶ ἐπιστήμην οὖσαν, ἀλλὰ οὐ δόξαν. ὅτε δὴ ἐνταῦθα ἦμεν τοῦ λόγου ἀποροῦντες, οἱ παρόντες ἱκανοὶ ἦσαν ἐπιπλήττειν τε αὐτῷ καὶ λέγειν, ὅτι περιδεδράμηκεν εἰς ταὐτὸν ὁ λόγος τοῖς πρώτοις· καὶ ἔλεγον ὅτι καὶ ἡ ἰατρικὴ ὁμόνοιά τίς ἐστιν καὶ ἅπασαι αἱ τέχναι, καὶ περὶ ὅτου εἰσὶν ἔχουσι λέγειν· τὴν δὲ ὑπὸ σοῦ λεγομένην δικαιοσύνην ἢ ὁμόνοιαν, ὅπου τείνουσά ἐστιν, διαπέφευγεν, καὶ ἄδηλον αὐτῆς ὅ τί ποτε ἔστι τὸ ἔργον. Ταῦτα, ὦ Σώκρατες, ἐγὼ τελευτῶν καὶ σὲ αὐτὸν ἠρώτων, καὶ εἶπάς μοι δικαιοσύνης εἶναι τοὺς μὲν ἐχθροὺς βλάπτειν, τοὺς δὲ φίλους εὖ ποιεῖν· ὕστερον δ' ἐφάνη βλάπτειν γε οὐδέποτε ὁ δίκαιος οὐδένα· πάντα γὰρ ἐπ'

3.10 Εὐριπίδου Ἡρακλειδῶν (1—4). Πάλαι ποτ' ἐστὶ τοῦτό μοι δεδογμένον· ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ, ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον φίλοις τ' ἄχρηστος καὶ συναλλάξαι βαρύς. Σεραπίωνος (fr. 1 p. 831 N. 2). Οὐ τῆς ἐμῆς ἕκατι καρδίας φέρεις λόγους προσηνεῖς, τοῦ δὲ σοῦ κέρδους χάριν. Μενάνδρου (fab. inc. fr. 31 com. IV p. 243). τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις. Διφίλου (fab. inc. fr. 13 com. IV p. 421). Ἆρ' ἔστιν ἀνοητότατον αἰσχροκερδία· πρὸς τῷ λαβεῖν γὰρ ὢν ὁ νοῦς τἄλλ' οὐχ ὁρᾷ. Τοῦ αὐτοῦ (fab. inc. fr. 14 com. IV p. 421). Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν. φιλαργυρία τοῦτ' ἐστίν, ὅταν ἀφεὶς σκοπεῖν τὰ δίκαια τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς. Μενάνδρου (fab. inc. fr. 284 com. IV p. 294). Λέγεις, ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις. Εὐριπίδου Ἰξίονος (fr. 425 N. 2). Ὅστις γὰρ ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνήρ, Θεοδέκτου (inc. fab. fr. 10 p. 805 N. 2). Ὦ καλλιφεγγῆ λαμπάδ' εἰλίσσων φλογὸς Ἥλιε, ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας. εἶδές τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν ἐλθόντ' ἀγῶνα καὶ

δυσέκφευκτον κρίσιν; ὅπου κατηγορεῖ μὲν ἐν λόγοισί μου γυνή, πρὸς ὃν δ' εἴρηκε. τυγχάνει πόσις, κρινοῦσι δ' οἵπερ καὶ κατηγοροῦσί μου; Ἀριστοφάνους (Eccles. 206—8). Τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα ἴδια σκοπεῖσθ' ἕκαστος ὅ τι τις κερδανεῖ· τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται. Ἡσιόδου Ἔργων (320). Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω. Ἡσιόδου Ἔργων (40—41). Νήπιοι, οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντὸς οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ ἓν ὄνειαρ. Ἐν ταὐτῷ (352). Ἐπιχάρμου (fr. 53 p. 274 Lorenz). Ἃ δὲ χεὶρ τὰν χεῖρα νίζει. Βακχυλίδου Ἐπινίκων (p. l. 4 III p. 570 fr. 4 Bergk). Ὡς δ' ἅπαξ εἰπεῖν; φρένα καὶ πυκινὰν κέρδος ἀνθρώπων βιᾶται. Πινδάρου (Pyth. 3, 54). Ἀλλὰ κέρδει καὶ σοφία δέδεται. Ἡσιόδου Ἔργων (356—60). Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα. ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων ὅ γε καὶ μέγα δοίῃ· χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν· ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας, καί τε σμικρὸν ἐόν, τό γ' ἐπάχνωσεν φίλον ἦτορ. Εὐριπίδου Βελλεροφόντου (fr. 297 N. 2). πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων τὸν τῶν ψεγόντων ῥᾷον ἂν φέροι λόγον. Εὐριπίδου Δανάης (fr. 325 N. 2). Κρείσσων γὰρ οὐδεὶς χρημάτων πέφυκ' ἀνήρ, πλὴν εἷς τις· ὅστις δ' οὗτός ἐστιν οὐχ ὁρῶ. Σοφοκλέους Οἰδίποδος (tyr. 387—89). Ὑφεὶς μάγον τοιόνδε μηχανορράφον, δόλιον ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσιν μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός. Μενάνδρου Λευκαδίᾳ (fr. 2 com. IV p. 159). Ὅστις ὑπέχει χρυσίῳ Μενάνδρου Κόλακι (fr. 6 com. IV p. 154). Οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν· ὁ μὲν γὰρ αὐτῷ συλλέγει, καὶ φείδεται, ὁ δὲ τὸν πάλαι τηροῦντ' ἐνεδρεύσας πάντ' ἔχει. Ἀντιφάνους (fab. inc. fr. 40 com. III p. 148). Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, κριθέντα δ' ὕστερον [τὰς] λύπας μακράς. Εὐριπίδου Ἰνοῦς (fr. 419 N. 2). Βίᾳ νυν ἕλκετ' ὦ κακοὶ τιμὰς βροτοί, καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι, σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ· ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος. Μενάνδρου Ἀδελφοῖς (fr. 8 com. IV p. 71). Ἔργον εὑρεῖν συγγενῆ δεόμενον, αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ. Σοφοκλέους Τηρεῖ (fr. 528 N. 2). Φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος. Εὐριπίδου Ὑψιπύλῃ (fr. 758 N. 2). Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον. Πλάτωνος ἐν τῷ Κρίτωνι (p. 49 B). Ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν, ἢ οὔ; —Φαμέν. —Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν; —Οὐ δῆτα. —Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν; —Οὐ φαίνεται. —Τί δαὶ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ; —Οὐ δεῖ δήπου, ὦ Σώκρατες. —Τί δαί; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον, ἢ οὐ δίκαιον; —Οὐδαμῶς. — Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. —Ἀληθῆ λέγεις. —Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένʼ ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς· οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ 〈δοκεῖ καὶ〉 δόξει. οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλή- Εὐσεβίου (fr. 12 phil. gr. III p. 9 Mull.). Φιλοχρηματίη τοῦ κτήσασθαι εὑρεῖν ἀρκέοντα οὖρον οὐκ οἶδεν. (fr. 13) Φιλοχρηματίην ἐπ' ἡμέρῃ ἑκάστῃ ἐπιρρέων πλοῦτος οὐκ ἴστησιν, ὥσπερ οὐδὲ πυρκαϊὴν ὕλη ἐπιβαλλομένη· ἐπιγινόμενος δ' αἰεὶ ἐκ τοῦ πλεῦνος τὴν ἐπιθυμίην ἐξάπτει μεζόνως. νόος δὲ μοῦνος παραστὰς καὶ τοῦτο οἶδεν ἀκέσασθαι. Τοῦ αὐτοῦ (fr. 15 p. 10). Φιλοχρηματίην ἄλογον τὰ κτώμενα ἀποβαλλόμενα μᾶλλον ἂν ἄσειεν ἢ ὁ ἐπ' ἑκάστῃ ἡμέρῃ πλοῦτος ἄπλετος ἐπιγινόμενος. Τοῦ αὐτοῦ (fr. 16). Τὸ οἰκονομέειν τὰ παρεόντα ἀνδρὸς προνόου· τὸ δὲ χρημάτων ἐστὶ τῇ κτήσει. Τοῦ αὐτοῦ (fr. 17). Οἱ πλεῦνες τῶν ἀνθρώπων παρὰ λόγον φειδόμενοι ἀξιεῦσι πολυχρήματοι πεπιστευμένοι ἠλίθιοι καὶ σκαιοὶ νομίζεσθαι ἢ περὶ τὰ δεῖ ἀναλίσκοντες δεξιοὶ κεκλῆσθαι. Ἡροδότου ἱστορίας ζ (VII 18). Ἐγὼ μέν, ὦ βασιλεῦ, οἷα ἄνθρωπος· ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα ὑπὸ ἡσσόνων, οὐκ ἔων σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν. Προδίκου. Δός τι. καὶ λάβοις τι. Εὐσεβίου (fr. 18 l. c. p. 10).

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πλούσιον χρὴ νομίζειν τὸν ἡγεόμενον ἔχειν τὰ ἀρκέοντα· τὸν δὲ αἰεὶ ἐπιθυμέοντα προσκτήσασθαι καὶ πληθώρην μηδέκοτε τοῦ τοιούτου λαμβάνοντα, καὶ εἰ Μίδεω πλουτέοι μᾶλλον, πένητα καλέω, καὶ Ἴρου ἢν Δημοκρίτου (fr. mor. 63 Mullach.). Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται. Βίωνος. Βίων ὁ σοφιστὴς τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι. Σιμωνίδου. Σιμωνίδην παρακαλοῦντος τινὸς ἐγκώμιον ποιῆσαι καὶ χάριν ἕξειν λέγοντος. ἀργύριον δὲ μὴ διδόντος ‘δύο‘ εἶπεν οὗτος ‘ἔχω κιβωτούς, τὴν μὲν χαρίτων, τὴν δὲ ἀργυρίου· καὶ πρὸς τὰς χρείας τὴν μὲν τῶν χαρίτων κενὴν εὑρίσκω, ὅταν ἀνοίξω, τὴν δὲ χρησίμην μόνην‘. Ἀντιφῶντος (fr. 126 Blass. 2). Οἱ δὲ ἐργαζόμενοι μὲν καὶ φειδόμενοι καὶ ταλαιπωροῦντες καὶ προστιθέντες ἥδονται οἷα δή τις ἂν εἰκάσειεν ἥδεσθαι· ἀφαιροῦντες δὲ καὶ χρώμενοι ἀλγοῦσιν, ὥσπερ ἀπὸ τῶν σαρκῶν ἀφαιρούμενοι. Ἡροδότου (VII 16). Ὡς κακὸν εἴη, διδάσκειν τὴν ψυχὴν πλέον τὶ δίζεσθαι καὶ ἔχειν τοῦ παρεόντος. Ἀντισθένους (apophth. 10 Winckelm.). Φιλάργυρος οὐδεὶς ἀγαθὸς οὔτε βασιλεὺς οὔτε ἐλεύθερος. Δημοκρίτου (fr. mor. 59 Mullach.). Χρυσοῦ τὸν οἰόμενον νόον ἔχειν ὁ νουθετέων τι μα- Τοῦ αὐτοῦ (fr. mor. 66 Mullach.). Χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀρέξιες μέζονας ἐνδείας ποιεῦσιν. Δημοκρίτου (fr. mor. 64 Mullach.). Κακὰ κέρδεα ζημίην ἀρετῆς φέρει. Διογένους. Διογένης ὡμοίου τοὺς φιλαργύρους τοῖς ὑδρωπικοῖς. ἐκείνους μὲν γὰρ πλήρεις ὄντας ὑγροῦ ἐπιθυμεῖν ποτοῦ τούς τε φιλαργύρους πλήρεις ὄντας ἀργυρίου ἐπιθυμεῖν πλείονος, ἀμφοτέρους δὲ πρὸς κακοῦ. ἐπιτείνεσθαι γὰρ Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τίνες φιλοχρήματοι, ‘οἱ τὰ αἰσχρὰ κέρδη θηρώμενοι‘ εἶπε ‘καὶ τοὺς ἀναγκαίους τῶν φίλων ὑπερορῶντες‘. Πιττακός. Ἄπληστον τὸ διὰ παντὸς κέρδος. Περίανδρος. Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Ἀριστοτέλης φησὶν ὅτι ὀκτώ τινες κοινῇ λῃστεύοντες ἐστασίασαν πρὸς ἀλλήλους περὶ τῶν σύλων καὶ τέσσαρες αὐτῶν κατελείφθησαν· πάλιν οὗτοι πρὸς ἀλλήλους διηνέχθησαν, καὶ δύο κατελείφθησαν, εἶτα εἷς· καὶ τί ὑπόλοιπον ἢ στασιάσαι τὰ δεξιὰ πρὸς τὰ εὐώνυμα; Ἐν τῷ αὐτῷ. Τοῦ Πύρρου ὀνειροπολοῦντος αὐτῷ Σικελίαν καὶ μετὰ μεθα λοιπόν, ὃ δὲ ἔφη ‘τί οὖν κωλύει ἀπὸ τοῦ νῦν ζῆν πρὶν πολλὰς πόλεις ἀπολέσαι;‘ Ἔοικεν οὖν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων τὸν εὐφρανθησόμενον οὐκ ἔχει. Σεμιράμιδος (Ps.—Plut. apophth. reg. et duc. p. 173 A. B). Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον ἐπέγραψεν· ὅστις 〈ἂν〉 χρημάτων δεηθῇ βασιλεύς, διελόντα τὸ μνημεῖον ὅσα βούλεται λαβεῖν. Δαρεῖος οὖν διελὼν χρήματα μὲν οὐχ εὗρε, γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν· εἰ μὴ κακὸς ἦσθ’ ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις. Τίμωνος. Τίμων ὁ μισάνθρωπος στοιχεῖα ἔφη τῶν κακῶν εἶ- Σωκράτους. Ὑποστάθμη ἐστὶν οἴνου μὲν τρύξ, φιλαργύρου δὲ ἀνελευθερία. Τοῦ αὐτοῦ. Οὔτε παρὰ νεκροῦ ὁμιλίαν οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν. Ξενοφῶντος ἐν δ′ ἀπομνημονευμάτων (IV 2, 37). Τί νομίζεις δῆμον εἶναι; Τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. Καὶ τοὺς πένητας ἄρα οἶσθα; Πῶς γὰρ οὔ; Ἆρ’ οὖν καὶ τοὺς πλουσίους οἶσθα; Οὐδέν γε ἧττον ἢ καὶ τοὺς πένητας. Ποίους δὲ πένητας, καὶ ποίους πλουσίους καλεῖς; Τοὺς μέν, οἶμαι, μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ τελεῖν πένητας, τοὺς δὲ πλείω τῶν ἱκανῶν πλουσίους. Καταμεμάθηκας οὖν ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ’ αὐτῶν, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; Καὶ νὴ Δι’, ἔφη ὁ Εὐθύδημος· ὀρθῶς γάρ με ἀναμιμνήσκεις· οἶδα καὶ τυράννους τινάς, οἳ δι’ ἔνδειαν ὥσπερ οἱ ἀπορώτατοι ἀναγκάζονται ἀδικεῖν. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴ γε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. Διογένους. Οἱ φιλάργυροι καθάπερ μαχαίρᾳ τῷ βίῳ χρῶνται, Δημοκρίτου (fr. mor. 65 Mullach.). Ἐλπὶς κακοῦ κέρδεος ἀρχὴ ζημίης. Πλάτωνος. Πλάτων πρὸς τὸν ἀεὶ ζητοῦντα χρηματίζεσθαι ‘ὦ πονηρέ‘ εἶπε ‘μὴ πειρῶ τὴν κτῆσιν αὔξειν, ἀλλὰ τὴν ἐπιθυμίαν μειῶσαι.‘ Διογένους. Διογένης ὁ

κύων θεασάμενός τινα πλουσίας γραίας προσποιούμενον ἐρᾶν ἔφη ‘ταύτῃ οὐ τὸν ὀφθαλμόν, ἀλλὰ τὸν ὀδόντα ἐπιβέβληκεν.‘ Σιμωνίδου. Σιμωνίδης ἐρωτηθεὶς διὰ τί ἐσχατογήρως ὢν φιλάργυρος εἴη, ‘ὅτι‘ εἶπε ‘βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν ἢ ζῶν δεῖσθαι τῶν φίλων‘ κατεγνωκὼς τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον. Διογένους. Διογένης τοὺς μεγάλα καὶ ἀθρόα λαμβάνοντας μεγα- Ἀπολλώνιος Εὐφράτῃ (epistologr. gr. LXXIX p. 125 Herch.). Οὐκ ἐπιλογιζομένη ἡ ψυχὴ τὸ τοῦ σώματος αὔταρκες οὐ δύναται ἑαυτὴν αὐτάρκη ποιῆσαι. Δημοκρίτου (fr. mor. 69 Mullach.). Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα. Τοῦ αὐτοῦ (l. c. 22). Ὧν τὸ σκῆνος χρῄζει, πᾶσι πάρεστιν εὐμαρέως ἄτερ μόχθου καὶ ταλαιπωρίης· ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χρῄζει καὶ βίον ἀλγύνει, τούτων οὐκ ἰμείρεται τὸ σκῆνος, ἀλλ’ ἡ τῆς γνώμης κακοηθίη. Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων (Aristox. p. 17 Muell.). Περὶ δὲ ἐπιθυμίας τάδε ἔλεγον· εἶναι τὸ πάθος τοῦτο ποικίλον καὶ πολυειδέστατον· εἶναι δὲ τῶν ἐπιθυμιῶν τὰς μὲν ἐπικτήτους τε καὶ παρασκευαστάς, τὰς φαύλης τρία εἶναι εἴδη τὰ γνωριμώτατα, ἀσχημοσύνην ἀσυμμετρίαν ἀκαιρίαν· ἢ γὰρ αὐτόθεν εἶναι τὴν ἐπιθυμίαν ἀσχήμονά τε καὶ φορτικὴν καὶ ἀνελεύθερον· ἢ τοῦτο μὲν οὔ, σφοδρότερον δὲ καὶ χρονιώτερον τοῦ προσήκοντος· ἢ τρίτον πρὸς ταῦτα ὅτε οὐ δεῖ καὶ πρὸς ἃ οὐ δεῖ. Πλάτωνος (leg. V p. 736 E). Πενίαν ἡγητέον εἶναι μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω. Δημοκρίτου (fr. mor. 21 Mullach.). 〈Ἡ〉 τοῦ πλέονος ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι, τῇ Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (hist. gr. min. ed. L. Dindorf v. I p. 146 fr. 7). Ὀμβρικοὶ ὅταν πρὸς ἀλλήλους ἔχωσιν ἀμφισβήτησιν, καθοπλισθέντες ὡς ἐν πολέμῳ μάχονται· καὶ δοκοῦσι δικαιότερα λέγειν οἱ τοὺς ἐναντίους ἀποσφάξαντες. Κλειτοφῶντος ἐκ τοῦ ε′ Ἰταλικῶν. Βρέννος ὁ τῶν Γαλατῶν βασιλεὺς λεηλατῶν τὴν Ἀσίαν εἰς Ἔφεσον ἦλθε καὶ στρατοπεδευσάμενος περιέμενε τοῦ πολέμου τὴν προθεσμίαν. παρθένος δέ τις τῶν ἐπισήμων, τοὔνομα Δημονίκη, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ βαρβάρου, προδώσειν αὐτῷ τὴν Ἔφεσον ὑπέσχετο, ἐὰν μισθὸν λάβῃ τὰ ψέλια καὶ τοὺς ὅρμους· ὁ δὲ Βρέννος δεξάμενος αὐτὴν εἰς τόπον ὡρισμένον ἤγαγε τοὺς ὑποτεταγμένους, καὶ προσέταξεν αὐτοῖς τὸν χρυσὸν ὅσον εἶχον κόσμου χάριν βάλλειν εἰς τὸν τῆς φιλαργύρου κόλπον. ποιησάντων δὲ αὐτῶν τὸ παραγγελθὲν ἡ Δημονίκη ὑπὸ τῆς δαψιλείας τοῦ βαλλομένου χρυσίου ζῶσα κατεχώσθη. Πλάτωνος Πολιτείας β′ (p. 361 A). Ἐσχάτη γὰρ ἀδικία δοκεῖν δίκαιον εἶναι μὴ ὄντα. Πλάτωνος Πολιτείας α′ (p. 347 B). Ἦ οὐκ οἶσθα ὅτι φιλάργυρόν τε καὶ φιλότιμον εἶναι ὄνειδος λέγεταί τε καὶ ἐστίν; Ἐν ταὐτῷ (p. 350 D). Ἐπειδὴ δ’ οὖν διωμολογησάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν, τὴν δὲ ἀδικίαν κακίαν τε καὶ ἀμαθίαν· εἶεν, ἦν δ’ ἐγώ, τοῦτο μὲν ἡμῖν οὕτω κείσθω. Πλάτωνος Πολιτείας ι′. *** (eiusd. leg. XII p. 941 B) Κλοπὴ μὲν χρημάτων ἀνελεύθερον, ἁρπαγὴ δὲ ἀναίσχυντον. Ἐν ταὐτῷ (leg. XII p. 941 C). Ἐάν τίς τι κλέπτῃ δημόσιον μέγα ἢ καὶ σμικρόν, τῆς αὐτῆς δίκης δεῖ. σμικρόν τι γὰρ ὁ κλέπτων ἔρωτι μὲν Ἱέρακος ἐκ τοῦ Περὶ δικαιοσύνης. Ἐπειδὴ δὲ ὁ κατάρχων αὐτὸς πρὸ τῶν ἀδικεῖσθαι μελλόντων ἑαυτὸν ἀδικῶν ἀγνοεῖ, ἴστω ὡς διπλῆς οὔσης τῆς ἀδικίας αὐτὸς ἀπολαύει πρότερος, ἔπειτα καὶ τὸ ἀδικούμενον ὑπ’ αὐτοῦ μέρος· μὴ γὰρ οὕτως ἀναισθητεῖν εἴη μηδενὶ τῶν ἀνοήτων, εἰ δυνατὸν δέ, μηδὲ τῶν πονηρῶν, ὑπὲρ γὰρ ὑγείας ψυχῆς ἡ εὐχή, ὡς δι’ ἀναισθησίαν νομίζειν τοὺς ἀδικουμένους μᾶλλον τῶν ἀδικούντων βλάπτεσθαι. Ἓν μὲν γὰρ μόνον ἐστὶ τὸ ἀδικούμενον ἐκ παντός, ἡ ψυχή· τὸ δὲ ἀδικοῦν καὶ ἐπιβουλεῦον, ἡ κακία, καὶ ἐν τῷ ἀδικοῦντι καὶ κατὰ τοῦ ἀδικουμένου, ἀλλὰ τὸν μὲν ἔλαττον, τὸν δὲ πλεῖστον· ἔλαττον μὲν τὸν ἀδικεῖσθαι μέλλοντα, πλεῖστον δὲ τὸν ἀδικεῖν διανοούμενον, ἐπεὶ καὶ ἀπ’ αὐτοῦ τὴν κίνησιν λαμβάνει καὶ τὴν ἔπαρσιν. ἐγειρομένη τοίνυν τὸν τεκόντα πρῶτον ἀνάπτει, καὶ πρὶν τεκεῖν ἐν ταῖς ὠδῖσι φλέγει, καὶ διιοῦσα λυμαίνεται, καὶ τῷ ἀπ’ αὐτῆς ἰῷ χρῴζει δευσοποιῷ τῇ βαφῇ. οὔτε γὰρ τῷ πυρὶ τὴν τεκοῦσαν ὕλην διελθεῖν δυνατὸν ἐπὶ τὴν τῶν ἄλλων λύμην, πρὶν παντελῶς αὐτὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναλῶσαι, οὔτε τῇ μυραίνῃ τοὺς ἐνύδρους ὄφεις εἰς ἄλλων ὄλεθρον ἀπογεννᾶν, πρὶν τὴν κυήσασαν γαστέρα καταλοὶ γοῦν ἀνεγείραντες τὴν ἐν αὐτοῖς χολὴν ἐκ τῆς πρὸς ἄλλους ὀργῆς αὐτοὶ προαπέθανον πρὶν τοὺς ἐχθροὺς τιμωρήσασθαι. τοῦτο τοίνυν ἀγνοήσαντες πολλοὶ ταῖς κατὰ τῶν ἀσθενεστέρων ἀδικίαις ἀνέδην ἐχρήσαντο, μηδὲν εἶναι πρὸς αὐτοὺς οἰηθέντες τὸ λυπηρόν. τούτου δὲ ὁμολογουμένου δεῖ καθάπαξ παραιτεῖσθαι τὸ ἀδικεῖν.

3.11 Εὐριπίδου Φοινίσσαις (470—73). Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ, κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων· ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος νοσῶν ἐν αὐτῷ φαρμάκων δεῖται σοφῶν. Ἰλιάδος Ὁμήρου α′ (526—27). Οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον, ὅ τι κεν κεφαλῇ κατανεύσω. (Hom. Od. III 20). Ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί. (Hom. Od. XVII 14—15). Ὅ ξεῖνος δ' εἴπερ μάλα μηνίει, ἄλγιον αὐτῷ ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι. Σοφοκλέους (fr. 869 N. 2). Τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου. Σοφοκλέους Ἠλέκτρα (466—67). Δράσω· τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδει τὸ δρᾶν. Σοφοκλέους Οἰδίποδι (Col. 880). Τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν. Μενάνδρου (fab. inc. fr. 476 com. IV p. 326). Οὐδὲν γὰρ αἰσχρόν ἐστι τἀληθῆ λέγειν. (fab. inc. fr. 477 l. c.). Ἀδύνατον ὡς ἔοικε τἀληθὲς λαθεῖν. (fab. inc. fr. 478 l. c. p. 327). Ἐὰν ἐγὼ φῶ νῦν ἔχειν βακτηρίαν χρυσῆν, τί μοι σεμνότερον ἔσται τὸ ξύλον; ἀληθὲς εἶναι δεῖ τὸ σεμνόν, οὐ κενόν. Μενάνδρου Ὑποβολιμαίῳ (fr. 7 com. IV p. 214). Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν, ἐν παντὶ καιρῷ· τοῦτ' ἐγὼ παρεγγυῶ εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος. Μιμνέρμου Ναννοῦς (p. l. 4 II p. 28 fr. 8). Ἀληθείη δὲ παρέστω σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον. Μενάνδρου Ῥαπιζομένη (fr. 3 com. IV p. 198). Ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτ' οὐ ζητούμενον. Αἰσχύλου Ὅπλων κρίσεως (fr. 176 N. 2). Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη. Πινδάρου (Ol. 10, 65). (Pind. Nem. 5, 30) Οὔ τοι ἅπασα κερδίων φαίνουσα πρόσωπον ἀλάθει' ἀτρεκές· καίτοι σιγᾶν πολλάκις σοφώτατον ἀνδρὶ νοῆσαι. (Pind. Pyth. 1, 165) Μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρατόν. ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν. Πινδάρου (fr. inc. 205 Bergk 4). Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει. Βακχυλίδου Ὑπορχημάτων (p. l. 4 III p. 576 fr. 22 Bergk). Ὀλυμπιάδος. Ἀλάθεια θεῶν ὁμόπολις, μόνα θεοῖς συνδιαιτωμένα. Ἰσοκράτους (Nicocl. § 22 p. 19 b). Διὰ παντὸς 〈τοῦ〉 χρόνου τὴν ἀλήθειαν φαίνου προτιμῶν, ὡς πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς ἄλλων ὅρκους. Θουκυδίδου (VI 33, 1). Οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι λέγοντες ἢ ἀπαγγέλλοντες οὐ μόνον οὐ πείθουσιν ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν. Ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτων. Πλάτων μὲν ἥδιστον εἶναι τῶν ἀκουσμάτων τὴν ἀλήθειαν ἔλεγε, Πολέμων δὲ πολὺ ἥδιον τοῦ ἀκούειν τὸ λέγειν εἶναι τἀληθῆ. Αἰσχίνου κατὰ Τιμάρχου (I 84). Ὑμεῖς δ' ἐξεβάλετε αὐτὸν ὑπολαμβάνοντες· ἴσμεν, ὦ Πύρρανδρε, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον· ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖν τῶν ἀνθρωπίνων λογισμῶν. Γαΐου ἐκ τοῦ Κατὰ Μουσαίου μοιχείας. Τότ' οὖν ἀπολαβὼν ἤδη θεράπαιναν, ἠρώτα πῶς ἔχοι τὰ περὶ τὴν γυναῖκα· ἡ δὲ οὐδὲ μελλήσασα εὐθὺς εἶπεν. οὕτω τὸ ἀληθὲς ἀμελέτητόν ἐστιν. Πλάτωνος Νόμων ε′ (p. 730 B—C). Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριος πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. πιστὸς γάρ· ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον· ὅτῳ δ' ἀκούσιον, ἄνους· ὧν οὐδέτερον ζηλωτόν. ἄφιλος γὰρ δὴ πᾶς ὅ γε ἄπιστος καὶ ἀμαθής. (eiusdem de rep. p. 490 C) Ἡγουμένης δὲ ἀληθείας οὐκ ἄν ποτε, οἶμαι, φαμὲν αὐτῇ χορὸν κακῶν ἀκολουθῆσαι. Ἀπολλώνιος Δηλίῳ (ep. 83 p. 126 Herch.). Ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον. Εὐσεβίου (fr. 19 phil. graec. III p. 10 Mullach.). Ἀληθείην νόος ἀσπάζεται, καὶ αἰεὶ αὐτῇ συνοικέει· ἐὼν δὲ ἐν τοῖς ἑωυτοῦ ἀψευδέστατος, ὅμως ἔστιν ὅτε καὶ ψεῦδος ἀγαθῷ κεράσας παρέχεται ἐπ' ὠφελείῃ ἀνθρώπων τῶν τούτου χρῃζόντων καὶ ἐπὶ χρηστῷ τῷ σφετέρῳ παραλογισθησομένων πρὸς αὐτοῦ. τότε γὰρ δὴ μοῦνον καὶ οὔκοτε ἄλλοτε νόος, καὶ ἐν καιρῷ

τῷ αὐτὸς οἶδεν, πάντα τὰ ἄλλα ψεύδεα ἀποστυγέων, ψεῦδος τὸ τοιοῦτον εἰσφέρεται, ἀπὸ τῆς τῶν λοιπῶν ἁπάντων ψευδέων φύσιος ἐς ἄλλο εἶδος μεταμειφθὲν χρησιμώτατον τέχνῃ καὶ σοφίῃ αὐτοῦ τοῦ νόου τοῦ φαῦλον πρῆγμα ἐς τοῦτο μετακοσμήσαντος. Τοῦ αὐτοῦ (fr. 20 l. c. p. 10). Ψεύδεσθαι ἐν πόλει μηδὲ εἷς νόμος ξυγχωρεέτω μηδενὶ πλὴν τοῦ φιλαληθέος καὶ νοήμονος ἐπισταμένου τε ὁκότε καὶ ὅκως ὠφελείη ψεύδεος, τῆς δὲ ἀπὸ τούτου γινομένης χρείης ἀναγκαίης καὶ τοῦτο ποιέειν. Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ (p. 46 b Patrit.). Περὶ ἀληθείας, ὦ Τάτ, οὐκ ἔστι δυνατὸν ἄνθρωπον ὄντα ζῶον ἀτελὲς ἐξ ἀτελῶν συγκείμενον μελῶν καὶ ἐξ ἀλλοτρίων σωμάτων καὶ πολλῶν τὸ σκῆνος συνεστός, τολμήσαντα εἰπεῖν· ὃ δέ ἐστι δυνατὸν ἢ δίκαιον, τοῦτο φημί, οὐδὲν ἄλλο〉 , ὕδωρ αὐτοῦδωρ καὶ οὐδὲν ἄλλο· τὰ δὲ ἡμέτερα σώματα ἐκ πάντων τούτων συνέστηκεν· ἔχει μὲν γὰρ πυρός, ἔχει δὲ καὶ γῆς, ἔχει καὶ ὕδατος καὶ ἀέρος, καὶ οὔτε πῦρ ἐστιν οὔτε γῆ οὔτε ὕδωρ οὔτε ἀὴρ οὔτε οὐδὲν ἀληθές· εἰ δὲ μὴ τὴν ἀρχὴν ἡ σύσταοις ἡμῶν ἔσχε τὴν ἀλήθειαν, πῶς ἂν δύναιτο ἀλήθειαν ἢ ἰδεῖν ἢ εἰπεῖν; νοήσει δὲ μόνον, ἐὰν ὁ θεὸς θέλῃ. πάντα οὖν, ὦ Τάτ, τὰ ἐπὶ γῆς ἀλήθεια μὲν οὐκ ἔστι, τῆς δὲ ἀληθείας μιμήματα· καὶ οὐ πάντα, ὀλίγα δὲ ταῦτα, ἄλλα 〈δὲ〉 ψεῦδος καὶ πλάνος, ὦ Τάτ, καὶ δόξαι φαντασίας καθάπερ εἰκόνες συνεστῶτα. ὅταν δ' ἄνωθεν τὴν ἐπίρροιαν ἔχῃ ἡ φαντασία, τῆς ἀληθείας γίγνεται μίμησις· χωρὶς δὲ τῆς ἄνωθεν ἐνεργείας, ψεῦδος καταλείπεται· ὁρωμένου. καὶ ὀφθαλμοὺς μὲν ὁρᾶται ἔχουσα, βλέπει δὲ οὐδέν· 〈καὶ ὦτα,〉 ἀκούει δὲ οὐδὲν ὅλως. καὶ τὰ ἄλλα πάντα ἔχει μὲν ἡ γραφή, ψευδῆ δέ ἐστι τὰς τῶν ὁρώντων ὄψεις ἐξαπατῶντα, τῶν μὲν δοκούντων ἀλήθειαν ὁρᾶν, τῶν δὲ ὡς ἀληθῶς ὄντων ψευδῶν. ὅσοι μὲν οὖν οὐ ψεῦδος ὁρῶσιν, ἀλήθειαν ὁρῶσιν. ἐὰν οὖν ἕκαστον τούτων οὕτω νοῶμεν ἢ ὁρῶμεν ὡς ἔστιν, ἀληθῆ καὶ νοοῦμεν καὶ ὁρῶμεν· ἐὰν δὲ παρὰ τὸ ὄν, οὐδὲν ἀληθὲς οὔτε νοήσομεν οὔτ' εἰσόμεθα. —Ἔστιν οὖν, πάτερ, ἀλήθεια καὶ ἐν τῇ γῇ, καὶ οὐκ ἀσκόπως; —Σφάλλῃ, ὦ τέκνον. ἀλήθεια μὲν οὐδαμῶς ἐστιν ἐν τῇ γῇ, ὦ Τάτ, οὔτε γενέσθαι δύναται· περὶ δὲ ἀληθείας νοῆσαι ἐνίους τῶν ἀνθρώπων, οἷς ἂν ὁ θεὸς τὴν θεοπτικὴν δωρήσηται δύναμιν, 〈δύναται〉 γενέσθαι. οὕτως ἀληθὲς οὐδὲν ἔστιν ἐν τῇ γῇ. νοῶ καὶ λέγω· φαντασίαι εἰσὶ καὶ δόξαι πάντα, ἀληθῆ νοῶ καὶ λέγω. —Οὐκ οὖν τό τε ἀληθῆ νοεῖν καὶ λέγειν, τοῦτο ἀλήθειαν δεῖ καλεῖν; —Τί δέ; τὰ ὄντα δεῖ νοεῖν καὶ λέγειν· ἔστι δὲ οὐδὲν ἀληθὲς ἐπὶ τῆς γῆς. τοῦτο ἀληθές ἐστι τὸ μὴ εἶναι μηδὲν ἀληθὲς ἐνθάδε. πῶς ἂν καὶ δύναιτο γενέσθαι, ὦ τέκνον; ἡ γὰρ ἀλήθεια τελεωτάτη ἀρετή ἐστιν, αὐτὸ τὸ ἄκρατον ἀγαθόν, τὸ μὴ ὑπὸ ὕλης θολούμενον μήτε ὑπὸ σώματος περιβαλλόμενον, γυμνὸν φανὸν ἄτρεπτον σεμνὸν ἀναλλοίωτον ἀγαθόν· τὰ δὲ ἐνθάδε, ὦ τέκνον, οἷά ἐστιν ὁρᾷς ἄδεκτα τούτου τοῦ ἀγαθοῦ, φθαρτὰ παθητὰ διαλυτὰ τρεπτὰ ἀεὶ ἐναλλοιούμενα, ἄλλα ἐξ ἄλλων γινόμενα. ἃ οὖν μηδὲ πρὸς ἑαυτὰ ἀληθῆ ἐστι, πῶς 〈ἂν〉 δύναιτο ἀληθῆ εἶναι; πᾶν γὰρ τὸ ἀλλοιούμενον ψεῦδός ἐστι, μὴ μένον ἐν ᾧ ἐστί, φαντασίας δὲ μετατρεπόμενον ἄλλας καὶ ἄλλας ἐπιδείκνυται ἡμῖν. —Οὐδὲ ἄνθρωπος ἀληθές ἐστιν, ὦ πάτερ; —Καθότι ἄνθρωπος, οὐκ ἔστιν ἀληθές, ὦ τέκνον. τὸ γὰρ ἀληθές ἐστι τὸ ἐξ αὐτοῦ μόνον τὴν σύστασιν ἔχον, καὶ μένον καθ' αὐτὸ οἷον ἐστίν· ὁ δὲ ἄνθρωπος ἐκ πολλῶν συνέστηκε καὶ οὐ μένει καθ' αὑτόν, τρέπεται δὲ καὶ μεταβάλλεται ἡλικίαν ἐξ ἡλικίας καὶ ἰδέαν ἐξ ἰδέας, καὶ ταῦτα ἔτι ὢν ἐν τῷ σκήνει. καὶ πολλοὶ τέκνα οὐκ ἐγνώρισαν χρόνου ὀλίγου μεταξὺ γενομένου, καὶ πάλιν τέκνα γονεῖς ὁμοίως. τὸ οὖν οὕτως μεταβαλλόμενον ὥστε ἀγνοεῖσθαι, δύναται ἀληθὲς εἶναι, ὦ Τάτ; οὐ τοὐναντίον ψεῦδός ἐστιν ἐν ποικίλαις γιγνόμενον φαντασίαις τῶν μεταβολῶν; σὺ δὲ νόει ἀληθές τι εἶναι τὸ ἀληθῆ ἐστι; —Πᾶν μὲν οὖν τὸ γεννητὸν καὶ μεταβλητὸν οὐκ ἀληθές· ὑπὸ δὲ τοῦ προπάτορος γενόμενα τὴν ὕλην δύναται ἀληθῆ ἐσχηκέναι. ἔχει δέ τι καὶ ταῦτα ψεῦδος ἐν τῇ μεταβολῇ· οὐδὲν γὰρ μὴ μένον ἐφ' ἑαυτῷ ἀληθές ἐστιν. —Ἀληθές, ὦ πάτερ, τί οὖν ἂν εἴποι τις; —Μόνον τὸν ἥλιον παρὰ τὰ ἄλλα πάντα μὴ μεταβαλλόμενον, μένοντα δὲ ἐφ' ἑαυτῷ, [ἀλήθειαν,] διὸ καὶ τὴν ἐν τῷ κόσμῳ πάντων δημιουργίαν αὐτὸς μόνος πεπίστευται, ἄρχων πάντων καὶ ποιῶν πάντα, ὃν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σέβομαι καὶ προσκυνῶ· αὐτοῦ τὴν ἀλήθειαν μετὰ τὸν ἕνα καὶ πρῶτον τοῦτον δημιουργὸν γνωρίζω. —Τί οὖν ἂν εἶναι τὴν πρώτην ἀλήθειαν, ὦ πάτερ; —Ἕνα καὶ μόνον, ὦ Τάτ, τὸν μὴ ἐξ ὕλης, τὸν μὴ ἐν σώματι, τὸν ἀχρώματον, τὸν ἀσχημάτιστον, τὸν ἄτρεπτον, τὸν μὴ ἀλλοιούμενον, τὸν ἀεὶ ὄντα. τὸ δὲ ψεῦδος, ὦ τέκνον, φθείρεται. πάντα δὲ τὰ ἐπὶ γῆς φθορᾷ κατέλαβε καὶ ἐμπεριέχει καὶ ἐμπεριέξει ἡ τοῦ ἀληθοῦς πρόνοια. χωρὶς γὰρ φθορᾶς οὐδὲ γένεσις δύναται συστῆναι· πάσῃ δὲ γενέσει φθορὰ μενα ἀνάγκη, ἵνα μὴ στῇ ἡ γένεσις τῶν ὄντων. πρῶτον οὖν τὸν δημιουργὸν γνώριζε εἰς τὴν γένεσιν τῶν ὄντων. τὰ οὖν ἐκ φθορᾶς γιγνόμενα ψευδῆ ἂν εἴη, ὡς ποτὲ μὲν ἄλλα ποτὲ δὲ ἄλλα γιγνόμενα· τὰ γὰρ αὐτὰ γίγνεσθαι ἀδύνατον· τὸ δὲ μὴ αὐτό, πῶς ἂν ἀληθὲς εἴη; φαντασίας οὖν καλεῖν δεῖ ταῦτα, ὦ τέκνον, εἴ γε ὀρθῶς προσαγορεύομεν, τὸν ἄνθρωπον ἀνθρωπότητος φαντασίαν, τὸ δὲ παιδίον παιδίου φαντασίαν, τὸν δὲ νεανίσκον νεανίσκου φαντασίαν, τὸν δὲ ἄνδρα ἀνδρὸς φαντασίαν, τὸν δὲ γέροντα γέροντος φαντασίαν. οὔτε γὰρ ὁ ἄνθρωπος ἄνθρωπος, οὔτε τὸ παιδίον παιδίον, οὔτε ὁ νεανίσκος νεανίσκος, οὔτε ὁ ἀνὴρ ἀνήρ, οὔτε ὁ γέρων γέρων· μεταβαλλόμενα δὲ ψεύδεται καὶ τὰ προόντα καὶ τὰ ὄντα. ταῦτα μέντοι οὕτω νόει, ὦ τέκνον, ὡς καὶ τῶν ψευδῶν τούτων ἐνεργειῶν ἄνωθεν ἠρτημένων ἀπ’ αὐτῆς τῆς ἀληθείας· τούτου δὲ οὕτως ἔχοντος, τὸ ψεῦδος φημὶ τῆς Ἐκ τῶν Ὁμήρου. Ὅτι ἡ ἀλήθεια κάλλιστον, ὡς καὶ ἐν θεοῖς ὑπάρχειν μέγιστον· δηλοῖ δὲ διὰ τῶν ἐπῶν τούτων τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ’ ἀθανάτοισι μέγιστον τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ’ ἀπατηλὸν οὐδ’ ἀτελεύτητον, ὅ τι κεν κεφαλῇ κατανεύσω. τριῶν γὰρ αἰτιῶν οὐσῶν, δι’ ἃς ἄνθρωποι παραβαίνουσιν ὑποσχέσεις καὶ ψεύδονται· ἢ γὰρ εὐθὺς ἐξαπατῶν τις ἔφησεν ἢ φήσας ὕστερον μετενόησεν ἢ βουλόμενος ἐξησθένησε· τούτων δὲ τὸ μέν ἐστι φαύλης προαιρέσεως τὸ δὲ ἀσθενοῦς κρίσεως τὸ δὲ ἐνδεοῦς δυνάμεως. πάντα δὲ ὁ θεὸς ἐκπέφευγε· τῷ φιλαγάθῳ τὸ ἀπατηλόν, καὶ τῷ βεβαίῳ τὸ παλινάγρετον, καὶ τῷ τελεσιουργῷ τὸ ἀτελεύτητον. Πυθαγόρου. Πυθαγόρας ἐρωτηθεὶς τί ποιοῦσιν ἄνθρωποι θεοῖς ἐοικέναι τὸ μὲν σῶμα φωτὶ τὴν δὲ ψυχὴν ἀληθείᾳ. Ἡροδότου ἱστοριῶν γ′ (III 72). Ἔνθα γάρ τι δεῖ καὶ ψεῦδος λέγεσθαι, λεγέσθω. Ἰαμβλίχου Σωπάτρῳ. Ἀλήθεια μέν, ὥσπερ καὶ τοὔνομα δηλοῖ, περὶ θεοὺς ποιεῖ τὴν ἐπιστροφὴν καὶ τῶν θεῶν τὴν ἀκήρατον ἐνέργειαν· ἡ δὲ δοξομιμητικὴ αὕτη εἰδωλοποιία, ὥς φησι Πλάτων, περὶ τὸ ἄθεον καὶ σκοτεινὸν πλανᾶται. καὶ ἢ μὲν τοῖς νοητικοῖς εἴδεσι καὶ θείοις καὶ τοῖς ὄντως οὖσι καὶ κατὰ τὰ αὐτὰ ἀεὶ ἔχουσι τελεοῦται, ἢ δὲ τὸ ἀνείδεον καὶ μὴ ὂν καὶ ἄλλοτε ἄλλως ἔχον ἀποβλέπει καὶ περὶ αὐτοῦ ἀμβλυώττει. καὶ ἢ μὲν αὐτὸ ὃ ἐστὶ θεωρεῖ, ἢ δ’ οἷον φαίνεται τοῖς πολλοῖς τοιοῦτον ὑποδύεται πρόσχημα. διόπερ δὴ ἢ μὲν πρὸς νοῦν ὁμιλεῖ καὶ τὸ ἐν ἡμῖν νοερὸν αὔξει, ἢ δὲ τῷ ἀεὶ δοκοῦντι θηρεύε-

3.12 Εὐριπίδου (fr: 1035 N. 2). Δύστηνος, ὅστις τὰ καλὰ καὶ ψευδῆ λέγων οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν. Σοφοκλέους Ἀκρισίῳ (fr. 59 N. 2). Ἀλλ’ οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου. Τοῦ αὐτοῦ Ἀλεάδαις (fr. 76 N. 2). Κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς. Τοῦ αὐτοῦ Κρέουσα (fr. 326 N. 2). Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν· ὅτῳ δ’ ὄλεθρον δεινὸν ἡ ἀλήθει’ ἄγει, συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν. Μενάνδρου (fab. inc. fr. 270 com. IV p. 292). Πεισάνδρου (fr. 8 Kink.). Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν. Ὁμήρου (Od. III 20). Ψεῦδος δ’ οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί. Μενάνδρου (fab. inc. fr. 78 com. IV p. 255). Τἀπιθανὸν ἰσχὺν τῆς ἀληθείας ἔχει ἐνίοτε μείζω καὶ πιθανωτέραν ὄχλῳ. Μενάνδρου (fab. inc. fr. 270 com. IV p. 292). Ἦ πού 〈τι〉 χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν. Εὐριπίδου Ἱππολύτου (fr. 433 N. 2). Ἔγωγέ φημι καὶ νόμον γε μὴ σέβειν ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον. Διφίλου (fab. inc. fr. 30 com. IV p. 425). Καιρῷ τιθέμενον κέρδος ὡς καρπὸν φέρει. Διφίλου Θησαυροῦ (com. IV p. 399). Ὑπολαμβάνω τὸ ψεῦδος ἐπὶ σωτηρίᾳ Δημοκρίτου (fr. mor. 125 Mullach.). Ἀληθομυθέειν χρεών, ὃ πολὺ λώιον. Θαλῆς. Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς ‘ὅσον‘ ἔφη ‘ὀφθαλμοὶ τῶν ὤτων.‘ Χαιρήμονος (fr. 27 p. 789 N. 2). Ψευδῆ

δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν. Θεόγνιδος (607—610). Ἀρχῇ ἔπι ψεύδους μικρὰ χάρις, εἰς δὲ τελευτὴν αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερα γίνεται. οὐδέ τι καλὸν ὅτῳ ψεῦδος προσομαρτῇ ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος. Θεοφράστου (fr. 153 Wimm.). Ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ' ὀλίγον ἰσχῦσαν ἀπεμαράνθη. Δημητρίου. Αἰλιανοῦ (var. hist. VII 20). Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ καὶ τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ Ἀρχίδαμος 'τί ἄν' ἔφη 'οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;' Λυσίου (fr. 267 Sauppe). Ψεύδεσθαι προχειρότατον τοῖς πολλάκις ἁμαρτάνουσιν. Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ λακῆς ἐξαποροῦμεν. καὶ γὰρ δὴ ὃ μόνον ἐπορισάμεθα φυλακτήριον, λέγω δὲ τὸν ὅρκον, τούτῳ αὐτῷ μάλιστα καταχρῆται, ὅταν δέῃ τι ἄπιστον ἄνδρα κακῶς δράσαντα ἐξαρνήσασθαι. Ἔστι δὲ δή τι καὶ ἕτερον ψεῦδος, ὃ τοὺς μὲν ἄλλους οὐ πάνυ δή τι λυμαίνεται, αἶσχος δέ ἐστι τοῦ χρωμένου· γίνεται γὰρ οὐκ ἐν τῷ καθ' ἑτέρου τὶ λέγειν ἢ πράττειν, ἀλλ' ἐν τῷ περὶ ἑαυτοῦ τε καὶ τῶν ἑαυτοῦ. διπλοῦν δὲ τοῦτο καὶ δισχιδές· ἢ γὰρ ἐν τῷ φαυλότερα καὶ ἐλάττω λέγειν τῶν προσόντων ἀληθινῶς, ἢ ἐν τῷ μείζω τε καὶ σεμνότερα. καλεῖται δὲ τὸ μὲν ἐνδεέστερον εἰρωνεία, τὸ δὲ πλέον ἀλαζονεία. τὸ μὲν δὴ ἐλλεῖπον τοῦ ἀληθοῦς κομψόν τέ ἐστι καὶ αἰμύλον καὶ ἐνίοτε οὐκ ἄχρηστον τῷ φιλοσόφῳ, καὶ διὰ τοῦτο αὐτὸ καὶ Σωκράτης παρελάμβανεν ἐν τοῖς λόγοις, ὁπότε ἐδεῖτο ἐπισκῶψαί τινα σοφιστὴν τύφου μεστὸν καὶ γέμοντα περιφροσύνης. μᾶλλον γάρ τι αἰσθάνονται τῆς ἑαυτῶν οὐδενείας, ὅταν ἀμαθέστεροι ἐξελέγχωνται τοῦ μηδὲν εἰδέναι προσποιουμένου. τὸ δὲ ἕτερον τὸ ὑπερβάλλον βαρύ τε καὶ ἐπαχθές, καὶ οὐδὲν οὕτως ἄκουσμα φορτικὸν ὡς ὁ καθ' ἑαυτοῦ ἔπαινος, καὶ ταῦτα ἐπὶ παιδείᾳ, ἐφ' ᾗ καὶ ἄλλων ἐπαινούντων ἐρυθριᾶν χρεὼν τοὺς ἀληθινῶς αὐτῆς ἐπηβόλους. (Platonis de rep. VII p. 535 D—E) Οὐκοῦν καὶ πρὸς ἀλήθειαν ταὐτὸν τοῦτο ἀνάπηρον ψυχὴν θήσομεν, ἢ ἂν τὸ μὲν ἑκούσιον ψεῦδος μισῇ καὶ χαλεπῶς φέρῃ αὐτή τε καὶ ἑτέρων ψευδομένων ὑπεραγανακτῇ, τὸ δὲ ἀκούσιον εὐκόλως προσδέχηται καὶ ἀμαθαίνουσά που ἁλισκομένη μὴ ἀγανακτῇ, ἀλλ' εὐχερῶς ὥσπερ θηρίον ὕειον ἐν ἀμαθίᾳ μολύνηται; Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 240 C—E). Ὁρᾷς γοῦν ὅτι καὶ νῦν διὰ τῆς ἐπαλλάξεως ταύτης δαὶ δή; τὴν τέχνην αὐτοῦ τίνα ἀφορίζοντες ἡμῖν αὐτοῖς συμφωνεῖν οἷοί τε ἐσόμεθα; — Πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις; — Ὅταν περὶ τὸ φάντασμα αὐτὸν ἀπατᾶν φῶμεν καὶ τὴν τέχνην εἶναί τινα ἀπατητικὴν αὐτοῦ, τότε πότερον ψευδῆ δοξάζειν τὴν ψυχὴν ἡμῶν φήσομεν ὑπὸ τῆς ἐκείνου τέχνης, ἢ τί ποτ' ἐροῦμεν; — Τοῦτο· τί γὰρ ἂν ἄλλο εἴποιμεν; — Ψευδὴς δ' αὖ δόξα ἔσται τἀναντία τοῖς οὖσι δοξάζουσα, ἢ πῶς; — [οὕτως] Τὰ ἐναντία. — Λέγεις ἄρα 〈τὰ〉 μὴ ὄντα δοξάζειν τὴν ψευδῆ δόξαν; — Ἀνάγκη. — Πότερον μὴ εἶναι τὰ μὴ ὄντα δοξάζουσαν, ἢ πῶς λέγεις εἶναι τὰ μηδαμῶς ὄντα; — Εἶναί πως τὰ μὴ ὄντα δή γε, εἴπερ ψεύσεταί ποτέ τίς τι καὶ κατὰ βραχύ. — Τί δ'; οὐ καὶ μηδαμῶς εἶναι τὰ πάντως ὄντα δοξάζεται; — Ναί. — Καὶ τοῦτο δὴ ψεῦδος; — Καὶ τοῦτο. — Καὶ λόγος, οἶμαι, ψευδὴς οὕτω κατὰ ταὐτὰ νομισθήσεται τά τε ὄντα λέγων μὴ εἶναι καὶ τὰ μὴ ὄντα εἶναι. — Πῶς γὰρ ἂν ἄλλως τοιοῦτος γένοιτο; Ἐν ταὐτῷ (p. 260 B—C). Τὸ μὲν μὴ ὂν ἡμῖν ἕν τι τῶν ἄλλων γένος ὂν ἀνεμίγνυται; — Τί δή; — Μὴ μιγνυμένου μὲν αὐτοῦ τούτοις ἀναγκαῖον ἀληθῆ πάντ' εἶναι, μιγνυμένου δὲ δόξα τε ψευδὴς γίγνεται καὶ λόγος· τὸ γὰρ τὰ μὴ ὄντα δοξάζειν ἢ λέγειν, τοῦτ' ἐστί που τὸ ψεῦδος ἐν διανοίᾳ τε καὶ λόγοις γιγνόμενον. — Οὕτως. — Ὄντος δέ γε ψεύδους ἔστιν ἀπάτη. — Ναί. — Καὶ μὴν ἀπάτης οὔσης εἰδώλων τε καὶ εἰκόνων ἤδη καὶ φαντασίας ἅπαντα ἀνάγκη μεστὰ εἶναι. — Πῶς γὰρ οὔ; Πλάτωνος ἐκ τοῦ Περὶ δικαίου (p. 374 B—375 B). Φέρε δή, πότερον ἡγῇ δίκαιον εἶναι ψεύδεσθαι ἢ ἀληθῆ λέγειν; Ἀληθῆ ἔγωγε. Ψεύδεσθαι ἄρα ἄδικον; Ναί. Πότερον δὲ ἐξαπατᾶν δίκαιον ἢ μὴ ἐξαπατᾶν; Μὴ ἐξαπατᾶν δήπου. Ἐξαπατᾶν ἄρα ἄδικον; Ναί. Τί δαί; βλάπτειν δίκαιον ἢ ὠφελεῖν; Ὠφελεῖν. Βλάπτειν ἄρα

ἄδικον; Ναί. Ἔστιν ἄρα ἀληθῆ μὲν λέγειν καὶ μὴ ἐξαπατᾶν καὶ ὠφελεῖν δίκαιον, ψεύδεσθαι δὲ καὶ βλάπτειν καὶ ἐξαπατᾶν ἄδικον; Ναὶ μὰ Δία σφόδρα γε. Ἦ καὶ τοὺς πολεμίους; Οὐδαμῶς. Ἀλλὰ βλάπτειν δίκαιον τοὺς πολεμίους, ὠφελεῖν δὲ ἄδικον; Ναί. Οὐκοῦν καὶ ἐξαπατῶντας δίκαιον βλάπτειν τοὺς πολεμίους; Πῶς γὰρ οὔ; Τί δαί; ψεύδεσθαι, ἵνα ἐξαπατῶμεν καὶ βλάπτωμεν αὐτούς, οὐ δίκαιον; Ναί. Τί δαί; τοὺς φίλους οὐκ ὠφεμένους; Καὶ ψευδομένους δίκαιον. Ἔστιν ἄρα, ὡς ἔοικεν, ψεύδεσθαί τε, καὶ ἀληθῆ λέγειν δίκαιον καὶ ἄδικον; Ναί. Καὶ μὴ ἐξαπατᾶν καὶ ἐξαπατᾶν δίκαιον καὶ ἄδικον; Ἔοικεν. Καὶ βλάπτειν καὶ ὠφελεῖν δίκαιον καὶ ἄδικον; Ναί. Ταὐτὰ δή, ὡς ἔοικε πάντα τὰ τοιαῦτα ὄντα, καὶ δίκαια καὶ ἄδικά ἐστιν; Ἔμοιγε φαίνεται. Ἄκουε δή. ὀφθαλμὸν ἐγὼ ἔχω δεξιὸν καὶ ἀριστερόν, ὥσπερ καὶ οἱ ἄλλοι ἄνθρωποι; Ναί. Καὶ μυκτῆρα δεξιὸν καὶ ἀριστερὸν καὶ χεῖρα δεξιὰν καὶ ἀριστεράν; Ναί. Οὐκοῦν ἐπειδὴ ταὐτὰ ὀνομάζων τὰ μὲν δεξιὰ φὴς εἶναι, τὰ δὲ ἀριστερὰ τῶν ἐμῶν, εἴ σε ἐγὼ ἐροίμην, ὁπότερα, 〈ἆρ'〉 ἂν ἔχοις εἰπεῖν ὅτι τὰ μὲν πρὸς τοῦ δεξιά ἐστι, τὰ δὲ πρὸς τοῦ ἀριστερά; 〈Ναί.〉 Ἴθι δὴ καὶ ἐκεῖ. ἐπειδὴ ταὐτὰ ὀνομάζων τὰ μὲν δίκαια φὴς εἶναι, τὰ δὲ ἄδικα, ἔχεις εἰπεῖν ὁπότερα τὰ δίκαια καὶ ὁπότερα τὰ ἄδικα; Ἐμοὶ μὲν τοίνυν δοκεῖ, ἐν μὲν τῷ δέοντι καιρῷ ἕκαστα τούτων γιγνόμενα δίκαια εἶναι, ἐν δὲ τῷ μὴ δέοντι καιος, ὁ δὲ τὰ ἄδικα ἄδικος; Ἔστι ταῦτα. Τίς οὖν ὁ ἐν τῷ δέοντι καιρῷ οἷός τε τέμνειν καὶ κάειν καὶ ἰσχναίνειν; Ὁ ἰατρός. Ὅτι ἐπίσταται ἢ δι' ἄλλο τι; Ὅτι ἐπίσταται. Τίς δὲ ἐν τῷ δέοντι σκάπτειν καὶ ἀροῦν καὶ φυτεύειν οἷός τε; Ὁ γεωργός. Ὅτι ἐπίσταται ἢ ὅτι οὔ; Ὅτι ἐπίσταται. Οὐκοῦν καὶ τὰ ἄλλα οὕτως; ὁ μὲν ἐπιστάμενος οἷός τε τὰ δέοντα ποιεῖν ἐστὶ καὶ ἐν τῷ δέοντι καιρῷ, ὁ δὲ μὴ ἐπιστάμενος οὔ; Οὕτως. Καὶ ψεύδεσθαι ἄρα καὶ ἐξαπατᾶν καὶ ὠφελεῖν, [ὁ ἐπιστάμενος] ὁ μὲν ἐπιστάμενος οἷός τε ποιεῖν ἕκαστα τούτων ἐν τῷ δέοντι καιρῷ, ὁ δὲ μὴ ἐπιστάμενος οὔ; Ἀληθῆ λέγεις.

3.13 Εὐριπίδου (fr. 1036 N. 2). Πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω Εὐριπίδου ἐκ Τημενιδῶν (fr. 737 N. 2). Καλόν γ' ἀληθὴς κἀτενὴς παρρησία. Εὐριπίδου ἐκ Τηλέφου (fr. 706 N. 2). Ἀγάμεμνον, οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμόν, σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων. Εὐριπίδου Ἑκάβης (1216—1217). Φεῦ φεῦ· βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα χρηστῶν ἀφορμὰς ἐνδίδως' ἀεὶ λόγων. Εὐριπίδου ἐκ Δικτύος (fr. 343 N. 2). Θάρσει· τό τοι δίκαιον ἰσχύει μέγα. Εὐριπίδου (fr. 1037 N. 2). Ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε. Ἐξ Ἀντιγόνης (fr. 165 N. 2). Ἄκουσον· οὐ γὰρ οἱ κακῶς πεπραγότες (fr. adesp. 553 N. 2) Ἐπέχω· τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται. (Eur. Archel. fr. 253 N. 2) Ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν εὖ δεινόν ἐστιν, εἰ φέρει τινὰ βλάβην. (Eur. Or. 899—902) Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν τόδε· ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύους' ἀεί, κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι, (Eur. Phoen. 393) Δούλου τάδ' εἶπας μὴ λέγειν ἅ τις φρονεῖ. Εὐριπίδου Ἰνοῦς (fr. 412 N. 2). Ἐμοὶ γένοιτο πτωχός, εἰ δὲ βούλεται, πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ (Eur. Phoen. 527 sq.) Οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς. οὐ γὰρ καλὸν τόδ', ἀλλὰ τῇ δίκῃ βαρύ. (trag. adesp. 515 N. 2) Ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται, τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο. Σοφοκλέους (Oed. Col. 806—809). Γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει. (trag. adesp. fr. 554 N. 2) Ἐλευθέρα γὰρ γλῶσσα τῶν ἐλευθέρων. (trag. adesp. fr. 555 N. 2) Ἐλευθερία Διὸς ὄλβιον τέκος. Σοφοκλέους ἐξ Οἰδίποδος (tyr. 354 —356). Οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε — Πέφευγα· τἀληθὲς γὰρ ἰσχυρὸν τρέφω. Σοφοκλέους ἐξ Αἴαντος (1118—1119). Οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ· τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει. Ἐν τῷ αὐτῷ (1124—1125). Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει. — Ξὺν τᾷ δικαίῳ γὰρ μέγ' ἔξεστιν φρονεῖν. Σοφοκλέους ἐκ Τηρέως (fr. 529 N. 2). Θάρσει· λέγων τἀληθὲς οὐ σφαλῇ ποτε. Σοφοκλέους ἐξ Ἀλεαδῶν (fr. 77 N. 2). Καὶ γὰρ δικαία γλῶσς' ἔχει κράτος μέγα. Φιλήμονος Ἐπιδικαζομένου (fr. 2 com. IV p. 9). Πρόχειρον ἐπὶ τὴν γλῶτταν εὐλόγῳ τρέχειν. (com. V 1 p.

CCCLXX) Περὶ μεγάλων 〈γὰρ〉 πραγμάτων σκοπουμένοις (com. V 1 p. CCCLXX) Παρρησίαν δὲ παντὸς ὠνοῦ χρυσίου. Νικοστράτου (fr. 5 com. III p. 289). Ἆρ' οἶσθ' ὅτι τῆς πενίας ὅπλον ἐστὶν ἡ παρρησία; ταύτην ἐάν τις ἀπολέσῃ, τὴν ἀσπίδ' ἀποβέβληκεν οὗτος τοῦ βίου. Σοφοκλέους (fr. 842 N. 2). Αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ· ἡ γὰρ σιωπὴ τὠγκαλοῦντι σύμμαχος. (Soph. Phil. 96—99) Ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ γλῶσσαν μὲν ἀργὸν χεῖρα δ' εἶχον ἐργάτιν· νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην. Ἀριστοφάνους (Thesm. 528—530). Τὴν παροιμίαν ἐπαινῶ τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ παντί που χρὴ μὴ δάκῃ ῥήτωρ ἀθρεῖν. Μοσχίωνος (fr. 4 p. 813 N. 2). καλὸν φυλάξαι γνησίως παρρησίαν. Φιλοξένου. Φιλόξενος παραδοθεὶς ὑπὸ Διονυσίου ποτὲ εἰς τὰς λατομίας διὰ τὸ φαυλίζειν τὰ ποιήματα αὐτοῦ, καὶ ἀνακληθεὶς ἔπειτα πάλιν ἐπὶ τὴν ἀκρόασιν αὐτῶν [ἐκλήθη], μέχρι τινὸς ὑπομείνας ἀνέστη· πυθομένου δὲ τοῦ Διονυσίου 'ποῖ δὴ σύ;' 'εἰς τὰς λατομίας' εἶπεν. Δημοσθένους (fr. 21 Sauppe). Οὐδὲν ἂν εἴη τοῖς ἐλευθέροις μεῖζον ἀτύχημα τοῦ στέρεσθαι τῆς παρρησίας. Δημοσθένους Ὀλυνθιακῶν γ' (III § 21 p. 34). Ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι. Ἐκ τοῦ Περὶ στεφάνου (XVIII § 280—81 p. 319). Ἔστι δὲ οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιον, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ τὰ αὐτὰ αἱρεῖσθαι τοῖς πολλοῖς, καὶ τὸ τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν λείας τὴν αὐτὴν ἔχει προσδοκίαν. (Demosth. XIX § 184 p. 399) Οἷς γάρ ἐστιν ἐν λόγοις ἡ πολιτεία, πῶς ἐὰν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς ἔστι πολιτεύεσθαι; εἰ δὲ δὴ καὶ πρὸς ἃ τοῖς ἐχθροῖς συμφέρει δῶρά τις λαμβάνων λέγει, πῶς οὐχὶ καὶ κινδυνεύσεται; (Thucyd. III 42, 2) Τοὺς δὲ λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γενέσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει [ἢ χρήμασι διέφθαρται καὶ ὑπὲρ τοῦ ἰδίου κέρδους ἀγωνίζεται]. Ἐκ τῶν Διογένους Διατριβῶν (Dionis σαν δυσχεράναντες, ὅτι πικρόν ἐστι καὶ ἀηδές, οὕτω καὶ τοῦ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην, ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευγον. καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων, αὐτοὶ δ' ἐφοβοῦντο καὶ ἀνεχώρουν. καὶ εἰ μὲν ἔσκωπτε καὶ ἔπαιζεν, ὥσπερ εἰώθει ἐνίοτε, ὑπερφυῶς ἔχαιρον· ἀνατειναμένου δὲ καὶ σπουδάσαντος οὐχ ὑπέμενον τὴν παρρησίαν. Ἐν ταὐτῷ (Dionis Chrys. or. VIII p. 275 R.). Ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένην παραβάλλων πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον, καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα λοιδορῶν· αὐτοῦ γὰρ οὐκ ἀκούειν φθεγγομένου μέγιστον. καὶ 〈ὁ〉 Ἀντισθένης ἀμυνόμενος ἀντὶ τῆς σάλπιγγος ἔλεγε σφηξὶν ὅμοιον αὐτὸν εἶναι. καὶ γὰρ τῶν σφηκῶν τὸν μὲν ψόφον τῶν πτερῶν εἶναι μικρόν, τὸ δὲ κέντρον δριμύτατον. ἔχαιρεν οὖν τῇ παρρησίᾳ τοῦ Διογένους. Σόλωνος. Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Ὅμοιον ἀψινθίου τὸ δριμὺ καὶ λόγου παρρησίαν ἐκκόψαι. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι. Ἐκ τῶν Δίωνος Χρειῶν. Τὴν ἐπιτίμησιν ὁ Διογένης ἀλλότριον ἀγαθὸν ἔλεγεν εἶναι. Διογένους. Διογένης Ἀττικοῦ τινὸς ἐγκαλοῦντος αὐτῷ διότι Λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ' ἐκείνοις οὐ διατρίβει 'οὐδὲ γὰρ ἰατρός' εἶπεν 'ὑγιείας ὢν ποιητικὸς ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται.' Διογένους. Ὁ Διογένης ἔλεγεν, ὅτι οἱ μὲν ἄλλοι κύνες τοὺς Διογένους. Διογένης ἤρετο Πλάτωνα εἰ νόμους γράφει· ὃ δὲ ἔφη. Τί δαί; πολιτείαν ἔγραψας; Πάνυ μὲν οὖν. Τί οὖν, ἡ πολιτεία νόμους οὐκ εἶχεν; Εἶχεν. Τί οὖν ἔδει σε πάλιν νόμους γράφειν; Δημοκρίτου (fr. mor. 94 Mullach.). Κρέσσον τὰ οἰκήια ἁμαρτήματα ἐλέγχειν ἢ τὰ ὀθνήια. Δημοκρίτου (l. c. 124). Οἰκήιον ἐλευθερίης παρρησίη, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις. Ἐκ τῶν Σερήνου. Ἀντιπάτρῳ ἀγροῖκος ἄνθρωπος ἐπεδίδου βιβλίον ἐντυχίαν ἔχον, ὃ δὲ οὐ σχολάζειν ἔφη. 'καὶ μὴ βασίλευε' εἶπεν ἐκεῖνος 'εἰ μὴ σχολὴν ἄγεις.' Ἐν ταὐτῷ. Πρεσβῦτις δικαζομένη ἐπὶ Φιλίππου, ὡς ἑώρα νυστάζοντα ἔπειτα μέλλοντα ἀποφαίνεσθαι, ἐδεῖτο συγχωρῆσαι αὐτῇ ἐφεῖναι. ὃ δὲ 'ἐπὶ τίνα;' εἶπεν. 'ἐπὶ Φίλιππον'

ἀπεκρίνατο ‘ἐγρηγορότα‘. Δημοκράτους. Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον ‘ἄθλιε‘ εἶπε ‘τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ᾽ οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες;‘ Ἱπποκράτους. Ἱπποκράτην ἔπειθέ τις πρὸς Ξέρξην ἀπαίρειν χρηστὸν εἶναι φάσκων βασιλέα, ὃ δέ ‘οὐ δέομαι‘ ἔφη ‘χρηστοῦ δεσπότου‘. Δημοσθένους (fr. 59 Sauppe). Δημοσθένης πρὸς κλέπτην εἰπόντα ‘οὐκ ᾔδειν ὅτι σόν ἐστιν‘ ‘ὅτι δέ‘ ἔφη ‘σὸν οὐκ ἔστιν ᾔδεισ‘. Πυθαγόρου. Τὰ ἁμαρτήματά σου πειρῶ μὴ λόγοις ἐπικαλύπτειν, ἀλλὰ θεραπεύειν ἐλέγχοις. Τοῦ αὐτοῦ. Οὐχ οὕτω χαλεπὸν ἁμαρτάνειν ὡς τὸν ἁμαρτάνοντα μὴ ἐξελέγχειν. Τοῦ αὐτοῦ. Ὥσπερ σωματικὸν πάθος οὐ κρυπτόμενον οὐδὲ ἐπαινούμενον ὑγιάζεται, οὕτως οὐδὲ ψυχὴ κακῶς φρουρουμένη καὶ συναγορευομένη θεραπεύεται. Πλάτωνος. Διονύσιος ὁ τύραννος ἀτιμάζων αὐτὸν διὰ τὴν πρὸς Δίωνα φιλίαν, κατέκλινεν αὐτὸν ἐν τῇ ἐσχάτῃ χώρᾳ· καὶ μυκτηρίζων 〈εἶπεν〉 ‘ἦ που, ὦ Πλάτων, ἐνθένδε ἀπελθὼν πολὺν ἐν Ἀκαδημείᾳ λόγον καθ᾽ ἡμῶν διαθήσεισ‘. ὃ δέ ‘μὴ γένοιτο‘ ἔφη ‘τοσαύτη λόγων ἀπορία, ὥστε περὶ σοῦ διαλέγεσθαι.‘ Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Ἐκ τῶν Σερήνου. Ἡ Λάκαινα πωλουμένη πρὸς τὸν ἐρόμενον τί ἐπίσταται, ‘ἐλευθέρα‘ ἔφη ‘εἶναι‘. Εὐσεβίου (fr. 21 phil. Graec. III p. 10 Mullach). Παρρησίη ἀπὸ γνώμης ἐλευθέρης καὶ ἀληθείην ἀσπαζομένης προέρχεται· παρέξεαι δὲ αὐτὴν ἀμώμητον, οὐ τῷ πᾶσι καὶ ὡς ἔτυχεν ἐπιτιμᾶν καὶ λοιδορέεσθαι νομίζων τοῦτο εἶναι τὴν παρρησίην· ἀλλ᾽ εἰ πρὸς οὓς δεῖ καὶ ὑπὲρ τίνων χρὴ καὶ ἐν ᾧ χρὴ μετὰ τοῦ χρησίμου [περὶ] τῶν παρισταμένων ξὺν νόῳ προσδιαλέγοιο. Τοῦ αὐτοῦ (fr. 22 l. c. p. 11). Ἐχθρὸς τἀληθέα εἰπὼν τοῦ προσποιευμένου φίλου πρὸς χάριν εἰπόντος αἱρετώτερος. Σωκράτους. Τῆς παρρησίας, ὥσπερ ὥρας, ἐν καιρῷ ἡ χάρις ἡδίων. Τοῦ αὐτοῦ. Οὔτε μάχαιραν ἀμβλεῖαν οὔτε παρρησίαν ἄπρακτον ἔχειν δεῖ. Τοῦ αὐτοῦ. Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον οὔτε ἐκ τῆς παιδείας ἀρτέον τὴν παρρησίαν. Τοῦ αὐτοῦ. Ἔστιν ὥσπερ τρίβωνα ῥυπαρὸν ἀμπεχόμενον εὐεκτεῖν, οὑτωσὶ καὶ βίον ἔχοντα πενιχρὸν παρρησιάζεσθαι. Ἑρμοῦ ἐκ τοῦ Ἴσιδος πρὸς Ὧρον (p. 45 a Patrit.). Ἔλεγχος γὰρ ἐπιγνωσθείς, ὦ μέγιστε βασιλεῦ, εἰς ἐπιθυμίαν φέρει τὸν ἐλεγχθέντα ὧν πρότερον οὐκ ᾔδει. Πυθαγόρου. Συγγενεῖ καὶ ἄρχοντι πλὴν ἐλευθερίας πάντα εἶκε. Αἰλιανοῦ (v. h. XIV 3 Herch.). Τιμόθεος ὁ Κόνωνος πρὸς Ἀριστοφῶντα τὸν Ἀζηνιέα πάντων ἄριστα ἔχοντα λόγον εἶπεν. ἐπεὶ γὰρ ἄσωτος ἦν ὁ Ἀριστοφῶν, πικρότατα αὐτοῦ καθίκετο ὁ Τιμόθεος εἰπών ‘ᾧ ἱκανὸν οὐδέν, τούτῳ γε αἰσχρὸν οὐδέν‘. Θεμιστίου ἐκ τοῦ Περὶ ψυχῆς. Εἰ μὲν οὖν ὀρθῶς ἐπὶ Πλάτωνος εἶπε Διογένης ‘τί δαὶ ὄφελος ἡμῖν ἀνδρός, ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν οὐδένα λελύπηκεν;‘ ἕτεροι κρινοῦσιν. ἴσως γὰρ ὡς τὸ μέλι δεῖ καὶ τὸν λόγον τοῦ φιλοσόφου τὸ γλυκὺ δηκτικὸν ἔχειν τῶν ἡλκωμένων.

3.14 Ποσειδίππου (fab. inc. fr. 5 com. IV p. 526). Τὴν χλανίδα πάντες, ὡς ἔοικεν, οὐκ ἐμὲ προσηγόρευον. οὐδὲ εἷς νῦν μοι λαλεῖ. Κριτίου (fr. 3 p. 774 N. 2). Ὅστις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν πράσσων ὁμιλεῖ, τὴν παραυτίχ᾽ ἡδονὴν ἔχθραν καθίστης᾽ εἰς τὸν ὕστερον χρόνον. Εὐριπίδου Ἐρεχθεῖ (fr. 362 N. 2). Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις κέκτησο· τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ τῇ σῇ πονηροὺς κλῆθρον εἰργέτω στέγης. Ζήνωνος. Ἔλεγχε σαυτὸν ὅστις εἶ, [καὶ] μὴ πρὸς χάριν ἄκου᾽, ἀφαιροῦ δὲ κολάκων παρρησίαν. Εὐριπίδου Ἰφιγενείας (Aul. 979—980). Αἰνούμενοι γὰρ ἀγαθοὶ τρόπον τινὰ μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶς᾽ ἄγαν. Εὐριπίδου Ὀρέστου (1163). Βάρος τι καὶ τόδ᾽ ἐστίν, αἰνεῖσθαι λίαν. Νικολάου (com. IV p. 579). Τὸ τῶν παρασίτων, ἄνδρες, ἐξεῦρεν γένος Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος. οὐ δυνάμενος δὲ τῇ τέχνῃ χρῆσθαι καλῶς ἀκόλαστον ἔσχε γλῶσσαν, εἶτ᾽ ἀκουσίῳ δίφρῳ περιπεσὼν δυναμένῳ λιμὸν ποεῖν, ἀπὸ τῆς τραπέζης ἐξαπίνης ἀπεστράφη. ἄφνω δὲ πληγεὶς εἰς μέσην τὴν γαστέρα ἔδοξεν αὐτῷ γεγονέναι τἄνω κάτω Σίπυλόν τε τοῦτον ἀνατετράφθαι τὸν τρόπον, καὶ μάλα δικαίως· Φρὺξ γὰρ ὢν οὐχ ἱκανὸς ἦν τὴν τοῦ τρέφοντος εὖ φέρειν παρρησίαν. διὸ δὴ τοιαύτης παντελῶς καχεξίας ἐν τοῖς βίοις παρὰ πᾶσιν ἐζηλωμένης, πικρῶς ἐπιπλῆξαι βούλομ᾽, ἄν περ νὴ Δία παρρησίαν μοι δῶτε, τοὺς ἀσυμβόλους τἀλλότρια δειπνεῖν ἑλομένους ἄνευ

πόνου. τί γὰρ μαθών, ἄνθρωπε, πρὸς τῶν δαιμόνων βούλει παρασιτεῖν; ἢ τί τῶν ἐν τῷ βίῳ ηὔξηκας; εἶπον· ἄξιον γὰρ εἰδέναι· τίνος μαθητὴς γέγονας; αἵρεσιν τίνα ζηλοῖς; ἀπὸ τίνων δογμάτων ὁρμώμενος τολμᾷς παρασιτεῖν; ἃ μόλις ἡμεῖς τὸν βίον ἅπαντα κατατρίψαντες, οὐδὲ νῦν ἔτι ἀνεῳγμένην δυνάμεθα τὴν θύραν ἰδεῖν, διὰ τοὺς ἀνοδίᾳ τἀλλότρια μασωμένους. ἀκάματον, εὐθὺς δυναμένην πληγὰς φέρειν· στοιχεῖα μὲν ταῦτ' ἐστὶ τῆς ὅλης τέχνης. ἔπειτα δεῖ σκωπτόμενον ἐφ' ἑαυτῷ γελᾶν· αἰσχρὸν γὰρ οἶμαι δοῦλον εἶναι σκώμματος. ἀπὸ τῶν ἐτῶν κλέπτει τις ἢ καὶ βάπτεται θέλων καλὸς εἶναι, καὶ παρ' ἡλικίαν νοσεῖ· ἔστω Γανυμήδης οὗτος ἀποθεούμενος· πρὸς χάριν ὁμίλει τοῦ τρέφοντος. ἐπ' ὀλέθρῳ παρατάττεταί τις καὶ ποεῖ πάντας νεκροὺς δείπνῳ· σιωπῇ τοῦτον ὑπομυκτηρίσας εἰς τὴν τράπεζαν καὶ σὺ τὴν χολὴν ἄφες. οἶμαι δ' ἐμαυτὸν εὔθετον τῷ πράγματι, παῖδες, γεγονέναι· πάντα γὰρ πρόσεστί μοι ὅσα περ ἔχειν τἀλλότρια τὸν δειπνοῦντα δεῖ, λιμός, ἀπόνοια, τόλμα, γαστήρ, ἀργία. καὶ νῦν μ' ὁ Λυδῶν τῶν πολυχρύσων ἄναξ σύνδειπνον αὐτῷ κέκρικεν εἶναι 〈καὶ〉 φίλον. Δημοκρίτου (fr. mor. 122 Mullach.). Εὐλογέειν ἐπὶ καλοῖς ἔργμασι καλόν· τὸ γὰρ ἐπὶ φλαύροισι κίβδηλον καὶ ἀπατεῶνος ἔργον. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα ὑπ' αὐτοῦ καταναλίσκεται, ὁ δὲ πλοῦτος ἐκτρέφων τοὺς κόλακας ὑπ' αὐτῶν τούτων διαφθείρεται. Σωτίωνος ἐκ τοῦ Περὶ ὀργῆς. Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι, πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκέλλουσιν· οὕτως οἱ κόλακες ἐν εὐδίᾳ παραμένουσιν, ὡς καὶ οἱ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες μέχρι τῆς λείας συμπαρακολουθοῦσιν, ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν. Φαβωρίνου (fr. 104 Marres.). Ἔστι δὲ οὐκ ἀξιόπιστος ἔπαινος, ὃν ἐπαινεῖ τις Τοῦ αὐτοῦ (fr. 105 Marres.). Ὥσπερ ὁ Ἀκταίων ὑπὸ τῶν τρεφομένων ὑπ' αὐτοῦ κυνῶν ἀπέθανεν, οὕτως οἱ κόλακες τοὺς τρέφοντας κατεσθίουσιν. Θεοδώρου ὑπὲρ Ἐλπιδηφοριανῆς. Εἴσοδος δὲ ἦν παρ' αὐτὴν οὐκ ὀλίγη τῶν μὲν τοῦ ἤθους τὴν ἀφέλειαν ἀποδεχομένων, τῶν δέ τι καὶ δεομένων ἴσως, τῶν δὲ πολλῶν συνήθη νοσούντων καὶ οἰκείᾳ φύσει χρωμένων, οἳ τοὺς πλουτοῦντας ὥσπερ τι κρεῖττον θαυμάζοντες, φθείρεσθαι πρὸς τὰς τούτων θύρας εἰώθασιν, κἂν μηδ' ὁτιοῦν τῆς εὐπορίας μεθέξειν μέλλωσιν. Διογένους. Ἐπὶ τῆς κολακείας ὥσπερ ἐπὶ μνήματος αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται. Ἰσοκράτους πρὸς Δημόνικον (§ 30 p. 8 c). Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας Κράτητος. Κράτης τοὺς κόλακάς φησι συγκατανευσιφάγους. Ἀντισθένους. Ἀντισθένης αἱρετώτερόν φησιν εἰς κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα, οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαίνονται. Πυθαγόρου. Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον ἢ τοῖς κολακεύουσιν· ὡς δ' ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας. Ἀντισθένους (apophth. 11 Winckelm.). Ἀντισθένης ἔλεγεν, ὥσπερ τὰς ἑταίρας τἀγαθὰ πάντα εὔχεσθαι τοῖς ἐρασταῖς παρεῖναι, πλὴν νοῦ καὶ φρονήσεως, οὕτω καὶ τοὺς κόλακας οἷς σύνεισιν. Κράτητος. Κράτης πρὸς νέον πλούσιον πολλοὺς κόλακας ἐπισυρόμενον 'νεανίσκε' εἶπεν 'ἐλεῶ σου τὴν ἐρημίαν'. Σωκράτους. Ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκ τροπῆς φεύγει τὰς ἀτυχίας. Σωκράτους. Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοί, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί. Τοῦ αὐτοῦ. Οἱ μὲν λύκοι τοῖς κυσίν, οἱ δὲ κόλακες τοῖς φίλοις ὄντες ὅμοιοι, ἀνομοίων ἐπιθυμοῦσιν. Τοῦ αὐτοῦ. Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ, διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχεται. Πλάτωνος ἐκ τῆς πρὸς Διόνυσον ἐπιστολῆς (episto- logr. gr. rec. Herch. p. 498, 23). Ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν καὶ τῶν μονάρχων, σχεδὸν ὅσῳ περ ἂν μείζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης τοὺς ὁμιλοῦντας τρεφούσας, οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας Τοῦ αὐτοῦ ἐκ τοῦ Μενεξένου ἢ Ἐπιταφίου (p. 235 D). Ὅταν δέ τις ἐν τούτοις ἀγωνίζηται, οὕσπερ καὶ ἐπαινεῖ, οὐδὲν μέγα δοκεῖν εὖ λέγειν.

3.15 Μενάνδρου (fab. inc. fr. 79 com. IV p. 255). Τοὺς τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον τὸ καλῶς ἀκούειν ταχὺ ποεῖ πράττειν κακῶς. Εὔφρονος Διδύμων (fr. 1 com. IV p. 490). Ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον, πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά; Διφίλου (fab. inc. fr. 19 com. IV p. 422). Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ, Μενάνδρου (fab. inc. fr. 172 com. IV p. 272). Λαμπρῶς ἐνίοτε ζῶσιν, οἷς χαλεπώτερον τοῦ περιποιήσασθαί τι τὸ φυλάξαι βίον. Φιλήμονος (fr. 120 com. II p. 516 Kock.). Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων, σκεπτόμεθα τἀναγκαῖ' ἑκάστης ἡμέρας· ἂν ᾖ δὲ φείσασθαί τι τοῦ γήρως χάριν, οὐ φεισόμεσθ' ἐφόδια περιποιούμενοι; Θεόγνιδος (331—332). Ὥσπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσίν. μηδ' ἑτέροισι δίδου, Κύρνε, τὰ τῶν ἑτέρων. Πυθαγόρου (aur. carm. 37—38 ed. Nauck). Μὴ δαπανᾶν παρὰ καιρὸν ὁποῖα καλῶν ἀδαήμων. Σωκράτους. Σωκράτης ἰδών τινα προχείρως πᾶσι χαριζόμενον καὶ ἀνεξετάστως ὑπηρετούμενον 'κακῶς' εἶπεν 'ἀπόλοιο, ὅτι τὰς Χάριτας, παρθένους οὔσας, πόρνας ἐποίησας'. Διογένους. Διογένης ἄσωτον ᾔτει μνᾶν· τοῦ δὲ εἰπόντος 'διὰ τί τοὺς ἄλλους τριώβολα, ἐμὲ δὲ μνᾶν αἰτεῖς;' ἔφη 'παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν λαβεῖν, παρὰ δὲ σοῦ οὐκέτι'. Κράτητος. Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα ταῖς τούτων ἑταίρας καὶ κόλακας. Δημοσθένους ἐν τῷ πρὸς Λεπτίνην (XX § 50 p. 472). Τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι κτῶνται μὲν τἀγαθὰ τῷ καλῶς βουλεύεσθαι καὶ μηδενὸς καταφρονεῖν, φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις. Ζήνωνος. Ζήνων πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτίας καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος ἀναλίσκειν ἔλεγεν 'ἦ που καὶ τοῖς μαγείροις συγγνώσεσθε. ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν;' Ξενοφῶντος ἐν τῷ ζ′ τῆς Κύρου παιδείας (VII 5, 82). Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπὸν ὡς τὸ

3.16 Φιλήμονος (fab. inc. fr. 41 com. IV p. 49). Ἂν οἷς ἔχομεν τούτοισι μηδὲ χρώμεθα, ἃ δ' οὐκ ἔχομεν ζητῶμεν, ὧν μὲν διὰ τύχην, ὧν δὲ δι' ἑαυτοὺς ἐσόμεθ' ἐστερημένοι. Ἀπολλοδώρου (fab. inc. fr. 3 com. IV p. 456). Μισῶ τύχην συνοῦσαν ἀτυχεῖ σώματι· ὅστις γὰρ εὐπορῶν, παρὸν ζῆν ἡδέως, κακῶς διάγει, τί ἄν τις ἄλλ' ἢ τῇ τύχῃ μέμφοιτο, διότι δυστυχεῖ συνδυστυχεῖ; scriptoris nescio cuius. Ἐγὼ γὰρ οὐ τὸν πλοῦτον ἴδοιμι ὅσος ἐστίν, ἀλλ' ὅστις αὐτὸν κέκτηται εἰ ὑπέρτερός ἐστιν ὧν ἔχει. Εὐριπίδου Ἀντιόπης (fr. 198 N. 2). Εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος μηδὲν δόμοισι τῶν καλῶν θηράσεται, ἐγὼ μὲν αὐτὸν οὔποτ' ὄλβιον καλῶ, φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα. Τοῦ αὐτοῦ Ἰνοῖ (fr. 407 N. 2). Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ στάζειν. κακὸν δὲ χρημάτων ὄντων ἅλις φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν. Τοῦ αὐτοῦ Δανάης (fr. 328 N. 2). Ὅστις δόμους μὲν ἥδεται πληρουμένους, γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνος κακοῖ, τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι. Μενάνδρου (fab. inc. fr. 81 com. IV p. 256). Οὐ πώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα Τοῦ αὐτοῦ (fab. inc. fr. 80 a com. IV p. 255). Μὴ πάντοθεν κέρδαιν'· ἐπαισχύνου δέ μοι· τὸ μὴ δικαίως εὐτυχεῖν ἔχει φόβον. (fr. 80 b l. c.) Ὦ τρὶς κακοδαίμων, ὅστις ἐκ φειδωλίας κατέθετο μῖσος διπλάσιον τῆς οὐσίας. Θεοκρίτου (X 54). Κάλλιον, ὦ 'πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἑψῆν, μὴ 'πιτάμῃς τὰν χεῖρα διαπρίων τὸ κύμινον. Μενάνδρου ἐν Ψευδηρακλεῖ (fr. 5 com. IV p. 224). Ἀστοργίαν ἔχει τιν' ὁ σκληρὸς βίος. Ἀπολλοδώρου Ἀποκαρτερῶν (fr. 2 com. IV p. 439). Ἀλλὰ σχεδόν τι τὸ κεφάλαιον τῶν κακῶν εἴρηκας, ἐν φιλαργυρίᾳ γὰρ πάντ' ἔνι. Ἀντιφάνους (fab. inc. fr. 41 com. III p. 148). Ὡς δυστυχεῖς, ὅσοισι τοῦ κέρδους χάριν ἐπίπροσθε τᾰ́σχρὰ φαίνετ' εἶναι τῶν καλῶν· ἐπισκοτεῖ γὰρ τῷ φρονεῖν τὸ λαμβάνειν. Μενάνδρου ἐκ Δυσκόλου (fr. 2 com. IV p. 107). Περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος· εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι εἰς πάντα τὸν χρόνον, φύλαττε μηδενὶ ἄλλῳ μεταδιδούς, αὐτὸς ὢν δὲ κύριος· εἰ μὴ δὲ σεαυτοῦ, τῆς Τύχης δὲ πάντ' ἔχεις, τί ἂν φθονοίης, ὦ πάτερ, τούτων τινί; αὐτὴ γὰρ ἄλλῳ τυχὸν ἀναξίῳ τινὶ παρελομένη σοῦ πάντα προσθήσει πάλιν. διόπερ ἔγωγέ φημι δεῖν,

ὅσον χρόνον εἶ κύριος, χρῆσθαί σε γενναίως, πάτερ, αὐτόν, ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποιεῖν ὡς ἂν δύνῃ πλείστους διὰ σαυτοῦ· τοῦτο γὰρ ἀθάνατόν ἐστι, κἂν ποτε πταίσας τύχῃς, ἐκεῖθεν ἔσται ταὐτὸ τοῦτό σοι πάλιν. πολλῷ δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις. Εὐσεβίου (fr. 23 phil. graec. III p. 11 Mull.). ἀποκείμενα πεπιστευκότι ἑωυτοῦ εἶναι. δόξῃ μὲν γὰρ ὁμοίῃ πλουτέουσι· τόπερ δὲ τοῦ κεκτῆσθαί ἐστιν οἰκήιον, τοῦ αὐτοῖσι χρέεσθαι ἀπεστερέαται ὁμοίως ἀμφότεροι. Θεοπόμπου (fr. 284 hist. gr. v. I p. 327 Muell.). Εἴ τις πλεῖστα τῶν ἀγαθῶν κεκτημένος μετὰ τοῦ λυπεῖσθαι διάγοι τὸν βίον, ἁπάντων ἂν εἴη καὶ τῶν ὄντων καὶ τῶν ἐσομένων ἀθλιώτατος. Δημοκρίτου (fr. mor. 68 Mullach.). Οἱ φειδωλοὶ τὸν τῆς μελίσσης οἶτον ἔχουσιν ἐργαζόμενοι ὡς αἰεὶ βλισσόμενοι. Τοῦ αὐτοῦ (fr. mor. 70 Mullach.). Οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μούνου μὴ τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται· χαλεπὸν δὲ τυχεῖν ἑνός, τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν· οὕτω δὲ καὶ οὗτοι, ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύπου τοῦ ἐπιμελέος καὶ φειδωλοῦ, φιλέουσι διαφθείρεσθαι. Τοῦ αὐτοῦ (fr. mor. 33 Mullach.). Φειδώ τοι καὶ λιμὸς χρηστή, ἐν καιρῷ δὲ καὶ δαπάνη· γινώσκειν δὲ ἀγαθοῦ. Ἀντιφῶντος (fr. 127 Blass. 2). Εἰσί τινες οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα· καὶ ἐν τούτῳ παραλειπόμενος ὁ χρόνος οἴχεται. Μητροδώρου (fr. 53 Koerte). Ἑτοιμάζονταί τινες διὰ βίου τὰ πρὸς τὸν βίον 〈ὡσ〉 βιωσόμενοι μετὰ τὸ λεγόμενον ζῆν οὐ συνορῶντες ὡς πᾶσιν ἡμῖν θανάσιμον ἐγκέχυται τὸ τῆς γενέσεως φάρμακον. Δημοκρίτου (fr. mor. 32 Mullach.). Βίος ἀνεόρταστος μακρὴ ὁδὸς ἀπανδόκευτος. Πλουτάρχου ἐκ τῶν Ὑγιεινῶν παραγγελμάτων (p. 125 E). Οὐ μὴν ἀλλὰ καὶ μικρολογία καὶ γλισχρότης ἐνίους νοντας, ἐμπίπλασθαι παρ' ἑτέροις τῶν πολυτελῶν καὶ ἀπολαύειν καθάπερ ἐκ πολεμίας ἀφειδῶς ἐπισιτιζομένους· εἶτα κακῶς διατεθέντες ἀπίασιν εἰς τὴν ὑστεραίαν ἐφόδιον τῆς ἀσωτίας τὴν ἀπεψίαν ἔχοντες. Θεοκρίτου. Θεόκριτος τοὺς πολλοὺς τῶν πλουσίων ἔλεγεν ἐπιτρόπους εἶναι, ἀλλὰ μὴ δεσπότας τῶν χρημάτων. Εὐσεβίου (fr. 24 phil. graec. III p. 11 Mullach). Ἄνδρα χρήματα μεγάλα ἔχοντα ἀποτεθησαυρισμένα, καὶ [τοῦ θησαυρίζειν] αὐτοῦ τούτου μούνου εἵνεκα ἐπικτώμενον, καὶ ὅκως αἰεί τι τοῖσι παρεοῦσι προσθέῃ, χρήματα ἔχοντα, μήτε δὲ ἐς ἑωυτὸν μήτε ἐς ἄλλο τι τῶν χρησίμων ἀναλίσκοντα, μήκοτε πλουτέειν ἀποφήνῃ, φύλακα δὲ καὶ ποριστὴν εἶναι ἀλλοτρίων χρημάτων, καὶ πόνους ἔχειν αἱρέεσθαι πολλάκις καὶ τοῖς ἑωυτῷ μηδὲν προσήκουσιν ἐπικτώμενον. Ξενοφῶντος ἐν τῷ η′ περὶ παιδείας (VIII 2, 23). Ὅπως δὲ καὶ τοῦτο εἰδείης, ὦ Κροῖσε, ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάττοντας πλεῖστα εὐδαιμονεστάτους ἡγοῦμαι· οἱ γὰρ τὰ τείχη φυλάττοντες οὕτως ἂν εὐδαιμονέστατοι εἴησαν· πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν· ἀλλ' ὃς ἂν πλεῖστα κτᾶσθαί τε δύνηται σὺν τῷ δικαίῳ καὶ χρῆσθαι πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω κατὰ χρήματα. Σωκράτους. Ὁ τῶν φιλαργύρων βίος ἔοικε νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων, τὸν εὐφρανθησόμενον οὐκ ἔχει. Τοῦ αὐτοῦ. Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει. Ἐπικούρου (fr. 204 Vsener.). Γεγόναμεν ἅπαξ, δὶς οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μηκέτ' εἶναι. σὺ δὲ τῆς αὔριον οὐκ ὢν κύριος ἀναβάλλῃ τὸν καιρόν· ὁ δὲ πάντων βίος μελλησμῷ παραπόλλυται καὶ διὰ τοῦτο ἕκαστος ἡμῶν ἀσχολούμενος ἀποθνῄσκει. Ἀντιφῶντος (fr. 128 Blass 2). Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ ἐδεῖτό οἱ δανεῖσαι ἐπὶ τόκῳ, ὃ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν τε καὶ μὴ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετο ὅποι δή· καί τις καταμαθὼν τοῦτο ποιοῦντα ὑφείλετο· ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν οὐχ εὕρισκε τὰ χρήματα ὁ καταθέμενος. περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα καὶ ὅτι οὐκ ἔχρησε ἐφερεν, ἀπαντήσας δὴ τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι, ὡς πάντως

οἱ ἀπολόμενον τὸ ἀργύριον. ὃ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὑτῷ εἶναι καὶ μὴ ἀπολωλέναι, καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον· πάντως γὰρ οὐδ' ὅτε ἦν σοι ἐχρῶ αὐτῷ, ὅθεν μηδὲ νῦν νόμιζε στέρεσθαι μηδενός. ὅτῳ γάρ τις μὴ ἐχρήσατο μηδὲ χρήσεται, ὄντος ἢ μὴ ὄντος αὐτῷ οὐδὲν οὔτε πλέον οὔτε ἔλασσον βλάπτεται. ὅταν γὰρ ὁ θεὸς μὴ παντελῶς βούληται ἀγαθὰ διδόναι ἀνδρί, χρημάτων πλοῦτον παρασχών, τοῦ φρονεῖν 〈δὲ〉 καλῶς πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος ἑκατέρων ἀπεστέρησεν.

3.17 Σοφοκλέους Ἠλέκτρας (989). Σοφοκλέους Φαίδρα (fr. 616 N. 2). Οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας τέρπειν, ὅπου γε μὴ δίκαια τέρψεται. Χάρητος (fr. 1 p. 826 N. 2). Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν· μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν, ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον. ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται, οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά. Σοφοκλέους Οἰδίποδι (tyr. 1410). Ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μηδὲ δρᾶν καλά. (trag. fr. adesp. 522 N. 2). Ὅσοι δὲ φιλοσοφοῦντες ἐκμοχθοῦσί τι, ἐνταῦθ' ὑπάρχει τῷ βίῳ γαστρὸς κρατεῖν· διδάσκαλος γὰρ [οὖσα] ἡ εὐτέλεια τῶν σοφῶν καὶ τῶν ἀρίστων γίνεται βουλευμάτων. Εὐριπίδου Ἐρεχθεῖ (fr. 362 N. 2). Ἐξουσίᾳ δὲ μή ποτ' ἐντυχών, τέκνον, αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν. ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται, χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα. Πυθαγόρου. Παντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ' ἐγκράτειαν. Ἰαμβλίχου. Τί δαὶ τοῖς ἀνθρώποις χρωμένοις; ἐμμελῆ καὶ εὐάρμοστον ἕξιν, πρός τε τοὺς διαφέροντας τρόπους εὐκοινώνητον, ἄρχειν τε καὶ ἄρχεσθαι δυναμένην ἐν μέρει τῷ προσήκοντι· τούτοις δ' ἕπεται τὰ ἔθη καὶ τὰ ἐπιτηδεύματα περί τε ἐγκράτειαν ἡδονῶν καὶ περὶ τὴν ἀρχὴν τῶν ἐπιθυμιῶν, ἄλλα δ' εἴδη τῶν ἡδονῶν τὸ ἀκόλαστον ἐξ ἅπαντος τρόπου καὶ ἄμετρον ἐξορίζοντα. Φωκίωνος. Φωκίωνι ὁ παῖς πλείω τῶν εἰωθότων ὄψων ἐπρίατο. ὃ δέ 'οἰμώξῃ' ἔφη 'ἐὰν τοῦ φαγεῖν πλείω ἐπιφαγεῖν παρα- Ἐκ τῆς Σίμωνος ἐπιστολῆς πρὸς Ἀρίστιππον (epistologr. gr. rec. Herch. p. 618). Μέμνησο μέντοι λιμοῦ καὶ δίψης· ταῦτα γὰρ δύναται μεγάλα τοῖς σωφροσύνην διώκουσιν. Πυθαγόρου. Ῥώμην μεγίστην καὶ πλοῦτον τὴν ἐγκράτειαν κτῆσαι. Τοῦ αὐτοῦ. Πυθαγόρας παρηγγύα, μὴ πυκνὰ τὸν ἄνθρωπον ἀπὸ τοῦ ἀνθρώπου, μὴ δεῖν συνεχῶς ἀφροδισιάζειν αἰνιττόμενος. Ἀπολλώνιος Εἰδομένῃ (epistologr. gr. rec. Herch. p. 126). Ἐζηλώσαμεν τὴν αὐτάρκειαν οὐχ ὅπως τοῖς εὐτελέσι καὶ λιτοῖς πάντως χρώμεθα, ἀλλ' ὅπως θαρρῶμεν πρὸς αὐτά. Ἀπολλώνιος τοῖς γνωρίμοις (ib. p. 126). Διογένους. Ὁ Διογένης καθαρὸν λαβὼν ἄρτον, ἐξέβαλε τῆς πήρας τὸν αὐτόπυρον εἰπών ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο. Σωκράτους (Aelian. var. hist. IX 29). Ἑορτῆς οὔσης παρὰ τοῖς Ἀθηναίοις ἐφιλοτιμήσατο ὁ Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι τῷ Σωκράτει. τῆς οὖν Ξανθίππης καταπλαγείσης καὶ τὸν Σωκράτην λαβεῖν αὐτὰ ἀξιούσης ἔφη 'ἀλλὰ καὶ ἡμεῖς τῇ φιλοτιμίᾳ τῇ τοῦ Ἀλκιβιάδου παραταξώμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοι'. Ἀριστίππου. Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μέν, μὴ παρεκφερόμενος δέ· ὥσπερ καὶ νεὼς καὶ ἵππου οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται. Περικλέους. Περικλῆς Σοφοκλέους εὐπρεπῆ παῖδα δεικνύντος αὐτῷ 'ὦ Σοφόκλεισ' εἶπε 'τὸν σώφρονα στρατηγὸν οὐ μόνον τὰς χεῖρας, ἀλλὰ καὶ τὴν ὄψιν ἔχειν παρ' ἑαυτῷ δεῖ'. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 34). Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων φαντασιῶν, φυλάσσου, μὴ συναρπάζου ταχέως, ἀλλὰ ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ μικρὰν ἀναβολὴν αὐτὸς παρὰ σαυτοῦ λάβε· εἶτα ἐπισκοπήσας τὴν φαντασίαν καθ' οὓς ἔχεις κανόνας, μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὧν ἀπολαύσας μὲν τῆς ἡδονῆς ἡττημένος μετανοήσεις καὶ λοιδορήσεις σεαυτῷ, ἀπεσχημένος δὲ χαίρεις καὶ ἐπαινεῖς αὐτὸς ἑαυτόν. ἐὰν δὲ εὔκαιρον φαίνηται ἅψασθαι τοῦ πράγματος, μέμνησο ἵνα σου μὴ κρατήσῃ τὸ προσηνὲς αὐτοῦ καὶ ἀγωγόν, ἀλλὰ πειρῶ κρατεῖν τῶν Δημοσθένους (prooem. XXVIII p. 1438, 11). Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τίνι τῶν ἄλλων ἀνθρώπων διαφέρει, εἶπε 'καθόσον οἱ μὲν

λοιποὶ ζῶσιν, ἵν' ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίω, ἵνα ζῶ'. Ἐπικούρου (fr. 469 p. 300 Vsener.). Χάρις τῇ μακαρίᾳ Φύσει, ὅτι τὰ ἀναγκαῖα ἐποίησεν εὐπόριστα, τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα. Τοῦ αὐτοῦ (fr. 135 p. 142 Vsener.). Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρημάτων προστίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει. Ξενοκράτους. Ξενοκράτης εἴ ποτε σταμνίον οἴνου ἀνοίξειεν, ἔφθα- Ξενοκράτους τυρίον, ἐπὶ τῶν ἐπὶ πολὺ παραμενόντων καὶ μὴ τάχιστα ἀναλισκομένων. Δημοκρίτου (fr. mor. 29 Mullach.). Εὐγνώμων ὁ μὴ λυπεόμενος ἐπ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐπ' οἷσιν ἔχει. Πυθαγόρου. Τεθνάναι πολλῷ κρεῖττον ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι. Σωκράτους. Σωκράτης ἐγκράτειαν τὸ κρατεῖν τῆς ἐν τῷ σώματι ἡδονῆς ἔφη. Αἰλιανοῦ ἐκ τῆς συμμίκτου ἱστορίας (eiusd. v. h. IV 13) Ἐπίκουρος ὁ Γαργήττιος ἐκεκράγει λέγων 'ᾧ ὀλίγον οὐχ ἱκανόν, τούτῳ γε οὐδὲν ἱκανόν'. ἔλεγε δὲ ἑτοίμως ἔχειν καὶ τῷ Διὶ ὑπὲρ εὐδαιμονίας διαγωνίζεσθαι μᾶζαν ἔχων καὶ ὕδωρ. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς πῶς ἂν γένοιτό τις πλούσιος, 'εἰ τῶν ἐπιθυμιῶν' ἔφη 'εἴη πένης'. Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων ταύτην τοιάδε· Ὦ ἄνδρες, εἰ πολέμου ἡμῖν γενομένου βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ' οὗ μάλιστ' ἂν αὐτοὶ μὲν σῳζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ' ὅντινα ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς ἢ οἴνου ἢ ἀφροδισίων ἢ πόνου ἢ ὕπνου, τοῦτον 〈ἂν〉 αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν τὸν τοιοῦτον ἢ ἡμᾶς σῶσαι ἢ τοὺς πολεμίους κρατῆσαι; εἰ δὲ ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι βουλοίμεθά τῳ ἐπιτρέψαι ἢ παῖδας ἄρρενας παιδεῦσαι ἢ θυγατέρας παρθένους διαφυλάξαι ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς ταῦτα ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν ἢ βοσκήματα ἢ ταμιεῖα ἢ ἔργων ἐπιστασίαν; διάκονον δὲ καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν; ἀλλὰ μὴν εἴ γε οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερός, ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος, εἴ γε κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. ἐν συνουσίᾳ δὲ τίς ἂν ἡσθείη τῷ τοιούτῳ, ὃν εἰδείη τῷ ὄψῳ καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρώτην ἐν τῇ ψυχῇ κατασκευάσασθαι; τίς γὰρ 〈ἂν〉 ἄνευ ταύτης ἢ μάθοι τι ἀγαθὸν ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; ἐμοὶ μὲν δοκεῖ, νὴ τὴν Ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιούτου, δουλεύοντι δὲ ταῖς τοιαύταις ἡδοναῖς ἱκετευτέον τοὺς θεοὺς δεσποτῶν Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων (I 6, 5). Οὐκ οἶσθ' ὅτι ὁ μὲν ἥδιστα ἐσθίων ἥκιστα ὄψου δεῖται, ὁ δὲ ἥδιστα πίνων ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ; τά γε μὴν ἱμάτια οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι ... οὐκ οἶσθ' ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι μελετήσαντες τῶν ἰσχυροτάτων ἀμελησάντων κρείττους τε γίνονται πρὸς ἃ ἂν μελετήσωσι πολυτελοῦς διαίτης ζῆν ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν θᾶττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥᾴστοις ἐντυγχάνειν ἀρκούντως χρώμενος; ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δέεσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ θείου, καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δ' ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου. Ἐπικούρου (fr. 181 p. 156 Vsener.). Βρυάζω τῷ κατὰ τὸ σωμάτιον ἡδεῖ, ὕδατι καὶ ἄρτῳ χρώμενος, καὶ προσπτύω ταῖς ἐκ πολυτελείας ἡδοναῖς οὐ δι' αὐτάς, ἀλλὰ διὰ τὰ ἐξακολουθοῦντα αὐταῖς δυσχερῆ. Τοῦ αὐτοῦ (fr. 422 p. 283 Vsener.). Τότε χρείαν ἔχομεν τῆς ἡδονῆς, ὅταν ἐκ τοῦ μὴ παρεῖναι αὐτὴν ἀλγῶμεν· ὅταν δὲ τοῦτο μὴ πάσχωμεν, ἐν αἰσθήσει καθεστῶτες, τότε οὐδεμία χρεία τῆς ἡδονῆς· οὐ γὰρ ἡ τῆς φύσεως ἔνδεια τὴν ἀδικίαν ποιεῖ ἔξωθεν, ἀλλ' ἡ περὶ τὰς κενὰς δόξας ὄρεξις. Πλάτωνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πλάτων πολλάκις διψῶν ἐκ τοῦ φρέατος ἀνιμᾶτο 〈τὸ〉 ὕδωρ, καὶ ἐξέχει, κολάζων τὴν ἐπιθυμίαν. Ἐπικούρου. Ἐπίκουρος ἐρωτηθεὶς πῶς ἄν τις πλουτήσειεν, ‘οὐ τοῖς οὖσι προστιθείσ‘ ἔφη ‘τῆς δὲ χρείας τὰ πολλὰ περιτέμνων‘. Δημοκρίτου (fr. mor. 34 Mullach.). Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα μάλιστα τέρπει. Τοῦ αὐτοῦ (fr. mor. 37 Mullach.). Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίνοιτο. Τοῦ αὐτοῦ (fr. mor. 76 Mullach.). Ἀνδρήιος οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν Εὐσεβίου (fr. 25 phil. graec. III p. 11 Mullach.). Γνώμης ἀνδρὸς ἀρίστου ἀπόδεξις ἥδε· μὴ ἐπὶ τῷ σιτέεσθαι ἑωυτὸν νομίζειν γεγονέναι μηδὲ ἐν τούτῳ τὴν ζωὴν ἡγέεσθαι, μούνου δὲ αὐτοῦ τοῦ ζώειν ἕνεκα ἀνθρώποισι τροφὴν νομίζειν εὑρῆσθαι. Τοῦ αὐτοῦ (fr. 26 Mullach.). Ἐγκράτεια καὶ σώματι ἀγαθόν, πρὸς γὰρ ὑγιείην αὐτῷ ξυμμάχεται καὶ σωφροσύνην ἐν ψυχῇ τίκτει· σωφροσύνη δὲ ἀστασίαστον καὶ εὔδιον, καὶ βίον εἰρηναῖον ψυχῇ παρασκευάζει. Μουσωνίου ἐκ τοῦ Περὶ τροφῆς (rel. p. 189 Peerlk.). Περὶ δὲ τροφῆς εἰώθει μὲν πολλάκις λέγειν καὶ πάνυ ἐντεταμένως ὡς οὐ περὶ μικροῦ πράγματος οὐδ’ εἰς μικρὰ διαφέροντος· ᾤετο γὰρ ἀρχὴν καὶ ὑποβολὴν τοῦ σωφρονεῖν εἶναι τὴν ἐν σίτοις καὶ ποτοῖς ἐγκράτειαν. ἅπαξ δέ ποτε τῶν ἄλλων ἀφέμενος λόγων, οὓς ἑκάστοτε διεξῄει, τοιάδε τινὰ εἶπεν· ὡς χρὴ καθάπερ τὴν εὐτελῆ τῆς ποπορίστου, οὕτω καὶ τὴν σύμφυλον ἀνθρώπῳ τῆς μὴ τοιαύτης· εἶναι δὲ σύμφυλον ἡμῖν τὴν ἐκ τῶν φυομένων ἐκ γῆς, ὅσα τε σιτώδη ὄντα καὶ ὅσα μὴ τοιαῦτα ὄντα δύναται τρέφειν οὐ κακῶς τὸν ἄνθρωπον· καὶ τὴν ἀπὸ τῶν ζῴων οὐκ ἀναιρουμένων, ἄλλως δὲ χρησιμευόντων. τούτων δὲ τῶν βρωμάτων ἐπιτηδειότατα μὲν οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα πυρός, ἐπεὶ καὶ ἑτοιμότατα· οἷα δὴ τά τε ὡραῖα καὶ τῶν λαχάνων ἔνια καὶ γάλα καὶ τυρὸς καὶ κηρία. καὶ ὅσα μέντοι δεῖται πυρὸς ἢ σιτώδη ἢ λαχανώδη ὄντα, καὶ ταῦτ’ οὐκ ἀνεπιτήδεια, ἀλλὰ σύμφυλα ἀνθρώπῳ πάντα. τὴν μέντοι κρεώδη τροφὴν θηριωδεστέραν ἀπέφηνε καὶ τοῖς ἀγρίοις ζῴοις προσφορωτέραν. εἶναι δὲ ταύτην ἔλεγε καὶ βαρυτέραν καὶ τῷ νοεῖν τι καὶ φρονεῖν ἐμπόδιον· τὴν γὰρ ἀναθυμίασιν τὴν ἀπ’ αὐτῆς θολωδεστέραν οὖσαν ἐπισκοτεῖν τῇ ψυχῇ· παρὸ καὶ βραδυτέρους φαίνεσθαι τὴν διάνοιαν τοὺς πλείονι ἡμᾶς δ’ ὁμοιοτάτην ταύτῃ προσφέρεσθαι τροφὴν ἂν εἶπεν τὴν κουφοτάτην καὶ καθαρωτάτην· οὕτω δ’ ἂν καὶ τὴν ψυχὴν ἡμῶν ὑπάρχειν καθαράν τε καὶ ξηράν, ὁποία οὖσα ἀρίστη καὶ σοφωτάτη εἴη ἄν, καθάπερ Ἡρακλείτῳ δοκεῖ λέγοντι οὕτως ‘αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη‘· νῦν δέ, ἔφη, πολὺ χεῖρον ἡμεῖς τῶν ἀλόγων ζῴων τρεφόμεθα. τὰ μὲν γάρ, εἰ καὶ σφόδρα τῇ ἐπιθυμίᾳ ὥσπερ μάστιγί τινι ἐλαυνόμενα φέρεται πρὸς τὴν τροφήν, ὅμως τοῦ γε πανουργεῖν περὶ τὰ βρώματα καὶ τοῦ τεχνιτεύειν ἀπήλλακται, ἀρκούμενα τοῖς παραπεσοῦσι καὶ πλησμονὴν θηρώμενα μόνον, προσωτέρω δ’ οὐδέν. ἡμεῖς δὲ τέχνας καὶ μηχανὰς ποικίλας ἐπινοοῦμεν, ὥστε τὴν ἐδωδὴν τῆς τροφῆς ἐφηδύνειν καὶ τὴν κατάποσιν κολακεύειν μειμαγειρικὰ πεποίηνται τινὲς συγγράμματα, ἃ τὴν μὲν ἡδονὴν καὶ πάνυ αὔξει τὴν ἐν τῷ φάρυγι, τὴν δ’ ὑγίειαν διαφθείρει. πολὺ γοῦν κάκιον διακειμένους ὁρᾶν ἔστι τὰ σώματα τοὺς περὶ τὰ βρώματα τρυφῶντας, ὧν εἰσιν ἔνιοι παραπλήσιοι ταῖς κιττώσαις γυναιξίν· καὶ γὰρ οὗτοι, καθάπερ ἐκεῖναι, τὰ συνηθέστατα τῶν βρωμάτων δυσχεραίνουσι, καὶ τοὺς στομάχους διεφθαρμένους ἔχουσιν, ὅθεν ὥσπερ ὁ ἀχρεῖος σίδηρος συνεχῶς δεῖται στομώσεως, οὕτω καὶ οἱ ἐκείνων στόμαχοι ἐν τῷ ἐσθίειν συνεχὲς στομοῦσθαι θέλουσιν ἢ ὑπὸ ἀκράτου ἢ ὑπὸ ὄξους ἢ ὑπὸ βρώματός τινος στρυφνοῦ. ἀλλ’ οὐχὶ ὁ Λάκων τοιοῦτος, ὃς ἰδών τινα, παρακειμένου αὐτῷ ὀρνιθίου τῶν πιόνων καὶ πολυτελῶν, ὑπὸ τρυφῆς ἀναινόμενον φαγεῖν αὐτὸ καὶ φάσκοντα μὴ δύνασθαι, ‘ἀλλ’ ἐγώ‘ ἔφη ‘καὶ γυπὸς δύναμαι καὶ τόργου‘. Ζήνων δέ γε ὁ Κιτιεὺς οὐδὲ νοσῶν ᾤετο δεῖν τροφὴν προσφέρεσθαι τρυφερωτέραν, ἀλλ’ ἐπεὶ ὁ θεραπεύων ἰατρὸς ἐκέλευεν αὐτὸν φαγεῖν νεοττὸν περιέκεῖνοι θεραπεύεσθαι δύνανται δίχα τοῦ τροφὴν λαμβάνειν πολυτελεστέραν, δύνασθαι ἂν καὶ ἡμᾶς. δεῖ γὰρ μηδαμῶς τὸν ἀγαθὸν ἄνδρα δούλου μηδενὸς εἶναι μαλακώτερον. διόπερ ὁ Ζήνων εἰκότως ἠξίου εὐλαβεῖσθαι τὴν πολυτέλειαν ἐν τῇ τροφῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ μηδ’ ἐπ’ ὀλίγον ἐνδιδόναι πρὸς τὸ τοιοῦτον· ἐπείπερ ὁ ἐνδοὺς ἅπαξ προέλθοι ἂν ἐπὶ πλεῖστον, ἅτε τῆς ἡδονῆς πολλὴν ἐχούσης αὔξησιν ἔν τε πόμασι καὶ βρώμασι. ταῦτα μὲν τότε καινότερα ἔδοξεν ἡμῖν εἰπεῖν περὶ τροφῆς, ὧν εἰώθει λέγειν ἑκάστοτε. Ξενοφῶντος ἐν α′ Ἀπομνημονευμάτων (I 3, 5). Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαρραλέως καὶ ἀσφαλῶς διάγοι καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ’ οὐκ οἶδ’ εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἥσθιε, καὶ ἐπὶ τούτῳ οὕτω παρεσκευασμένος ᾖει ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι· ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη. εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐλθεῖν ἐπὶ δεῖπνον, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίμπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. τοῖς δὲ μὴ δυναμένοις· τοῦτο ποιεῖν συνεβούλευε φυλάττεσθαι τὰ ἀναπείθοντα μὴ πεινῶντας ἐσθίειν μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας καὶ κεφαλὰς καὶ ψυχὰς ταῦτα ἔφη εἶναι. οἴεσθαι δ’ ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν τοιούτοις πολλοῖς δειπνίζουσαν· τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα καὶ ἀποσχόμενον τοῦ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐ γενέσθαι ὗν. τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. ἀφροδισίων δὲ παρῄνει τῶν καλῶν ἰσχυρῶς ἀπέχεσθαι· οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον σωφρονεῖν. Ξενοφῶντος ἐν δ′ Ἀπομνημονευμάτων (IV 5, 2—12). Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν; Ὡς οἷόν τέ γε μάλιστα, 〈ἔφη〉. Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν τοῦ σώματος ἡδονῶν καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι; Ἥκιστα, ἔφη. Ἴσως γὰρ ἐλευθέριον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα· εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὸ ταῦτα ποιεῖν ἀνελεύθερον νομίζεις; Παντάπασί γ’, ἔφη. Παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; Νὴ τὸν Δί’ εἰκότως. Πότερα δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; Οὐδὲν ἧττον ἔμοιγ’, ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζεσθαι ἢ ἐκεῖνα κωλύεσθαι. Ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; Ὡς δυνατὸν νὴ Δί’, ἔφη, κακίστους. Δουλείαν 〈δὲ〉 ποίαν κακίστην νομίζεις εἶναι; Ἐγὼ μέν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; Ἔμοιγε δοκεῖ, ἔφη. Σοφίαν δὲ τὸ μέγιστον ἀγαθὸν οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; Γίνεται τοῦτο, ἔφη. Σωφροσύνην δέ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. Ὁμολογῶ καὶ τοῦτο, ἔφη. Τοῦ δ’ ἐπιμελεῖσθαι ὧν προσήκει οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; Οὔκουν ἔγωγ’, ἔφη. Τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; Οὐδέν, ἔφη. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον εἶναι; Εἰκὸς γάρ, ἔφη. Ἔοικεν ἄρα, ἔφη, ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἐγκράτειαν εἶναι; Εἰκότως γάρ, ἔφη, ὦ Σώκρατες. Ἐκεῖνο δ’, ἔφη, ὦ Εὐθύδημε, ἤδη πώποτε ἐνεθυμήθης; Ποῖον; ἔφη. Ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ’ ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν, ἡ δ’ ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. μηθῆναι, περιμείναντας καὶ ἀνασχομένους, ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται, κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι. ἡ δ’ ἐγκράτεια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. Ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινός, δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο καὶ ἐχθροὺς κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτά, οἱ δὲ ἀκρατεῖς οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς; καὶ ὁ Εὐθύδημος, Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ λόγῳ καὶ ἔργῳ, καὶ διαλέγοντας κατὰ γένη τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι. καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα.

3.18 Σοφοκλέους (fr. 843 N. 2). Τί ταῦτ' ἐπαινεῖς; πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ ἥσσων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενός· ἄκων ἀκούειν, οὓς ἑκὼν εἶπεν κακῶς. Σκληρίου. Ὡς οὐκ ἀνεκτός, ὅστις ἢ πάροινος ὢν ἢ καὶ μεμηνὼς εἰς μὲν αὐτὸν ἀσφαλὴς ἀεί ποτ' ἐστίν, εἰς δὲ τοὺς πέλας νοσεῖ. Ἐρατοσθένους (fr. XXXIV Hiller). Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρα ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἄλα βορρῆς ἠὲ νότος· τὰ δὲ καὶ κεκρυμμένα φαίνει βυσσόθεν· ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον. Μενάνδρου (fr. 779 p. 216 K.). Ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν. (Men. fab. inc. fr. 82 com. IV p. 256 M.) Οὐ γὰρ τὸ πλῆθος, ἂν σκοπῇ τις, τοῦ ποτοῦ ποιεῖ παροινεῖν, τοῦ πιόντος δ' ἡ φύσις. Φιλήμονος (fab. inc. fr. 42 com. IV p. 49). Τί δὴ ζῆν ὄφελος ᾧ 〈γε〉 μή 'στι τὸ ζῆν εἰδέναι; — Ἀλλ' οἶνος ἦν· οὐδεὶς δὲ μεθύων, ἂν σκοπῇς, ὃς οὐχὶ δοῦλός ἐστι τοῦ πεπωκέναι. ὅσα μ' οὗτος ἠνάγκαζεν, ἐποίουν ταῦτ' ἐγώ. — Ὁ πονηρὸς οἶνος οὗτός ἐστι, Νικοφῶν. Τοῦ αὐτοῦ (fab. inc. fr. 99 com. IV p. 62). Ἅπας πονηρὸς οἶνος ὁ πολὺς ἔστ' ἀεί. Τοῦ αὐτοῦ (ibid. fr. 100). Ἐμέθυον· ἱκανὴ πρόφασις εἰς θἀμαρτάνειν. Θεόγνιδος (605—606). Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη ἄνδρας, ὅσοι μοίρης πλεῦν ἐθέλουσιν ἔχειν. Τοῦ αὐτοῦ (627—628). Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι, αἰσχρὸν δ' εἰ νήφων πὰρ μεθύουσι μένει. Τοῦ αὐτοῦ (509—510). Οἶνος πινόμενος πουλύς, κακός· ἢν δέ τις αὐτὸν πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός. Αἰσχύλου (fr. 393 N. 2). Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ. Θεόγνιδος (479—486). Ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου· μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίνεται αἰσχρά· αἰδεῖται δ' ἔρδων οὐδέν, ὅταν μεθύῃ, τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος· ἀλλὰ σὺ ταῦτα γινώσκων μὴ πῖν' οἶνον ὑπερβολάδην, ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο, μὴ σὲ βιάσθω γαστήρ, ὥστε κακὸν λάτριν ἐφημέριον. (Theogn. 497—98) Ἄφρονος ἀνδρὸς ἄγαν καὶ σώφρονος οἶνος, ὅταν δὴ πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον. Τοῦ αὐτοῦ (499—502). Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες γινώσκους', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον, καὶ μάλα περ πινυτοῦ· κακότητα δὲ πᾶσαν ἐλέγχει, ὥστε καταισχύνειν καὶ τὸν ἐόντα σοφόν. (503—508) Οἰνοβαρέω κεφαλήν, Ὀνομάκριτε, καί με βιᾶται οἶνος, ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει· ἀλλ' ἄγ' ἀναστὰς πειρήσω, μή πως καὶ πόδας οἶνος ἔχῃ καὶ νόον ἐν στήθεσσι· δέδοικα δὲ μή τι μάταιον ἔρξω θωρηχθεὶς καὶ μέγ' ὄνειδος ἔχω. Ὁμήρου (Od. XIV 463—466). Οἶνος πολύφρονά περ μάλ' ἀεῖσαι, καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν, καί τι ἔπος προέηκεν ὅ πέρ τ' ἄρρητον ἄμεινον. Μενάνδρου (fab. inc. fr. 83 com. IV p. 256). Χαλεπὸν ὅταν τις ὢν πίῃ πλέον λαλῇ, μηδὲν κατειδώς, ἀλλὰ προσποιούμενος. Εὐριπίδου Αὐγης (fr. 265 N. 2). Νῦν δ' οἶνος ἐξέστησέ μ'· ὁμολογῶ δέ σε ἀδικεῖν, τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον.

Φιλιππίδου (fab. inc. fr. 4 com. IV p. 475). ποιῶν ὑβρίζειν, οὐχ ἁμαρτάνειν δοκεῖ. Πανυάσσιδος (fr. 12 Kink.). Ξεῖν' ἄγε δὴ καὶ πῖν', ἀρετὴ νύ τις ἔστι καὶ αὐτή, ὅς κ' ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ εὖ καὶ ἐπισταμένως, ἅμα τ' ἄλλον φῶτα κελεύῃ. Ἶσόν θ' ὅστ' ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ ὑσμίνας διέπων ταλαπενθέας, ἔνθα τε παῦροι θαρσαλέοι τελέθουσι μένουσί τε θοῦρον Ἄρηα. τοῦ κεν ἐγὼ θείμην ἶσον κλέος, ὅστ' ἐνὶ δαιτὶ τέρπηται παρεὼν ἅμα τ' ἄλλον λαὸν ἀνώγῃ. οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς οὐδὲ βιῶναι ἀνθρώποιο βίον ταλασίφρονος, ὅστις ἀπ' οἴνου θυμὸν ἐρητύσας πίνει ποτόν, ἀλλ' ἐνεόφρων. οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ ἐν μὲν γὰρ θαλίης ἱλαρὸν μέρος ἀγλαΐης τε, ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος. ἐν δέ τε μενθήρης καὶ δυσφροσύνης ἀλεωρή· τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ πίνειν, μηδὲ βορῇ κεκακωμένον ἠύτε γῦπα ἧσθαι πλημμύροντα, λελασμένον εὐφροσυνάων. Πυθαγόρου. Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα καὶ ὑπὸ παθῶν κρατούμενον. Τοῦ αὐτοῦ. Πυθαγόρας ἔλεγε τὴν μέθην μανίας εἶναι μελέτην. Χρυσίππου. Μικρὰν φασὶ μανίαν εἶναι τὴν μέθην. Ἀναχάρσιδος. Ἀνάχαρσις ἔφη, κιρναμένου κρατῆρος ἐφεστίου, τὸν μὲν πρῶτον ὑγιείας πίνεσθαι, τὸν δὲ δεύτερον ἡδονῆς, τὸν δὲ τρίτον ὕβρεως, τὸν δὲ τελευταῖον μανίας. Ἀντισθένους (apophth. 8 Winckelm.). Τὰς μὴ κατὰ θύραν, φησὶν ὁ Ἀντισθένης, εἰσιούσας ἀπολαύσεις δεήσει ἢ σχασθῆναι ἢ ἐλλεβορισθῆναι ἢ πάντως λιμαγχονηθῆναι, κακὰς ἀμοιβὰς ἐκτίνοντα τῆς προγεγενημένης ἀπληστίας ἕνεκα μικρᾶς καὶ ὀλιγοχρονίου ἡδονῆς. Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον (fr. XXII 4). Τῷ Διονύσῳ νάρθηκα καὶ λήθην συγκαθιεροῦσιν, ὡς μὴ δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων, ἀλλὰ νουθεσίας παιδικῆς δεομένων. ᾧ συνᾴδει καὶ τὸ μισῶ μνήμονα συμπόταν. ὁ δ' Εὐριπίδης τῶν ἀτόπων τὴν λήθην σοφὴν εἴρηκεν. Πλάτωνος (leg. I p. 640 E—641 A). Μεθύων κυβερνήτης καὶ πᾶς παντὸς ἄρχων ἀνατρέπει πάντα, εἴτε πλοῖον εἴτε ἅρμα εἴτε στρατόπεδον εἴτε ὅ Τοῦ αὐτοῦ (ibid. I p. 646 A). Οὐ μόνον ὡς ἔοικεν ὁ γέρων δὶς παῖς γίνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς. Δημοκρίτου (fr. mor. 46 Mullach.). Ὑγιείην εὐχῇσι παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν ἐν ἑωυτοῖς ἔχοντες οὐκ ἴσασιν· ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες αὐτοὶ προδόται τῆς ὑγιείης τῇσιν ἐπιθυμίῃσι γίνονται. Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον (fr. XXII 1). Ἀμαθίην, ὥς φησιν Ἡράκλειτος, καὶ ἄλλως κρύπτειν ἔργον ἐστίν, ἐν οἴνῳ δὲ χαλεπώτερον· καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίνεσθαι. ὥσπερ καὶ Ὅμηρος οὐδὲ τραπέζῃ γνώτην ἀλλήλων. Τοῦ αὐτοῦ (fr. XXII 2). Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε· 'καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ' φησίν 'ἀλλ' οὐκ εἰδώς γε'. Πυθαγόρου. Πυθαγόρας ἐρωτηθεὶς πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο, 'εἰ συνεχῶς' ἔφη 'θεωροίη τὰ ὑπ' αὐτοῦ πρασσόμενα'. Ἀνάχαρσις. Ἀνάχαρσις ἐρωτηθεὶς πῶς ἄν τις μὴ μεθύσκοιτο, 'εἰ' φησίν 'ὁρᾴη τοὺς μεθύοντας οἷα ποιοῦσιν'. Δημοκρίτου (fr. mor. 47 Mullach.). ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί. τοῦτο μὲν γὰρ τὸ ἐπιθυμέειν αἰεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκόταν γένηται ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν [ἐν] αὐτοῖσι χρηστόν ἐστιν ἀλλ' ἢ τέρψις βραχέα καὶ αὖτις τῶν αὐτῶν δέει. Πλάτωνος (Alcib. I p. 131 B). Ὅστις σῶμα θεραπεύει, τὸ ἑαυτοῦ, οὐχ ἑαυτὸν θεραπεύει· ὅστις δὲ χρήματα, οὔθ' ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ. Μουσωνίου ἐκ τοῦ Περὶ τροφῆς (rel. ed. Peerlkamp. p. 193 sqq.). Αἴσχιστον, ἔφη, γαστριμαργία καὶ ὀψοφαγία ἐστίν, ταῦτα πάνυ ὀλίγους ᾔσθημαι ἐγώ, τοὺς δὲ πολλοὺς ὁρῶ καὶ ἀπόντων ὀρεγομένους τῶν τοιούτων βρωμάτων, καὶ παρόντων ἀπέχεσθαι μὴ δυναμένους, καὶ χρωμένους αὐτοῖς, ὅταν χρῶνται, ἀφειδῶς, ὡς καὶ πρὸς βλάβην χρῆσθαι τὴν τοῦ σώματος. καίτοι γαστριμαργία τί ἂν εἴη ἄλλο ἢ ἀκρασία περὶ τροφήν, δι' ἣν ἄνθρωποι τὸ ἡδὺ τὸ ἐν σίτῳ τοῦ ὠφελίμου προτιμῶσιν; καὶ ὀψοφαγία δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου. πανταχοῦ δὲ κακὸν οὖσα ἡ ἀμετρία ἐν τοῖς μάλιστα τῇδε τὴν ἑαυτῆς ἐπιδείκνυται φύσιν, παρεχομένη τοὺς ὀψοφάγους ἀντὶ ἀνθρώπων ὑσὶν ἢ κυσὶν ὁμοιουμένους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν λαβρότητα καὶ εὐσχημονεῖν μὴ δυναμένους, οὐ ταῖς χερσίν, οὐ τοῖς ὄμμασιν, οὐ τῇ καταπόσει· οὕτως ἄρα αὐτοὺς ἐξίστησιν ἡ ἐπιθυμία τῆς ἐν ὄψῳ ἡδονῆς. ὅτι μὲν δὴ οὕτως ἔχειν πρὸς τροφὴν αἴσχιστόν ἐστιν, γνώριμον, ἐν ᾧ γε ζῴοις ἄφροσι μᾶλλον ἢ ἀνθρώποις φρονίμοις ὁμοιούμεθα. αἰσχίστου δὲ τούτου ὄντος, κάλλιστον ἂν εἴη τοὐναντίον, τάξει καὶ κοσμίως ἐσθίειν καὶ τὴν σωφροσύνην ἐνταῦθα ἐπιδείκνυσθαι πρῶτον, οὐκ ὂν ῥᾴδιον, ἀλλὰ δεόμενον πολσωφρονεῖν]. διὰ τί δὴ τοῦτο; ὅτι πολλῶν ἡδονῶν οὐσῶν, αἳ τὸν ἄνθρωπον ἀναπείθουσιν ἁμαρτάνειν καὶ ἐνδιδόναι αὐταῖς βιάζονται παρὰ τὸ συμφέρον, δυσμαχωτάτη εἶναι κινδυνεύει πασῶν ἡ περὶ τροφὴν ἡδονή. ταῖς μὲν γὰρ ἄλλαις ἡδοναῖς σπανιώτερον ὁμιλοῦμεν, καὶ ἐνίων γε μῆνας καὶ ἐνιαυτοὺς ὅλους ἀπέχεσθαι δυνάμεθα· ταύτης δὲ ἀνὰ πᾶσαν ἡμέραν πάντως πειρᾶσθαι ἀνάγκη, καὶ τά γε πολλὰ δὶς ἑκάστης ἡμέρας· οὐ γὰρ ἔνι ζῆν ἄλλως τὸν ἄνθρωπον. ὥσθ' ὅσῳ πλεονάκις τῆς ἐν βρώσει ἡδονῆς πειρώμεθα, τοσούτῳ πλείους οἱ ἐνταῦθα κίνδυνοι. καὶ μὴν καθ' ἑκάστην προσφορὰν τροφῆς οὐχ εἷς κίνδυνος ἁμαρτήματος, ἀλλὰ πλείονες. καὶ γὰρ ὁ παρὰ πλέον ἢ δεῖ ἐσθίων ἁμαρτάνει, καὶ ὁ κατασπεύδων ἐν τῷ ἐσθίειν οὐδὲν ἧττον, καὶ ὁ μολυνόμενος ὑπὸ τοῦ ὄψου μᾶλλον ἢ χρή, καὶ ὁ τὰ ἡδίω τῶν ὑγιεινοτέρων βρώματα προτιμῶν, καὶ ὁ μὴ νέμων τὰ ἴσα τοῖς συνεσθίουσιν. ἔστι δὲ καὶ καὶ μηδεμιᾷ ἔνοχον εἶναι τὸν μέλλοντα σωφρονήσειν. καθαρεύοι δ' ἄν τις καὶ ἀναμάρτητος εἴη ἀσκῶν καὶ ἐθίζων αὐτὸν αἱρεῖσθαι σῖτον οὐχ ἵνα ἥδηται, ἀλλ' ἵνα τρέφηται, οὐδ' ἵνα λεαίνηται τὴν κατάποσιν, ἀλλ' ἵνα ῥωννύηται τὸ σῶμα. καὶ γὰρ γέγονεν ἡ μὲν κατάποσις δίοδος εἶναι τροφῆς, οὐχ ἡδονῆς ὄργανον, ἡ δὲ γαστὴρ τοῦ αὐτοῦ χάριν οὗπερ ἕνεκα καὶ φυτῷ παντὶ ῥίζα γέγονεν. καθάπερ γὰρ ἐκεῖ τρέφει τὸ φυτὸν ἡ ῥίζα ἀπὸ τῶν ἐκτὸς τὴν τροφὴν λαμβάνουσα· οὕτω τρέφει τὸ ζῷον ἡ γαστὴρ ἀπὸ τῶν εἰσφερομένων σίτων καὶ ποτῶν. ὥσπερ τε αὖ τούτοις διαμονῆς ἕνεκα συμβαίνει τρέφεσθαι, καὶ οὐχ ἡδονῆς, παραπλησίως καὶ ἡμῖν ζωῆς καὶ φάρμακον ἡ τροφὴ [τῷ ἀνθρώπῳ] ἐστί. διὸ καὶ προσήκει ἐσθίειν πολλοὺς ἀνθρώπους ζῆν ἵνα ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίειν ἵνα ζῇ. οὐ γὰρ δὴ ἐπιεικής τις βουλόμενος εἶναι ἄνθρωπος, ἀξιώσει παραπλήσιός τις εἶναι τοῖς πολλοῖς, καὶ ζῆν ἐπὶ τῷ ἐσθίειν, ὥσπερ ἐκεῖνοι θηρώμενοι ἐξ ἅπαντος τὴν ἀπὸ τῆς τροφῆς ἡδονήν. Ὅτι δὲ καὶ θεὸς ὁ ποιήσας τὸν ἄνθρωπον τοῦ σῴζεσθαι χάριν, οὐχὶ τοῦ ἥδεσθαι σῖτα καὶ ποτὰ παρεσκεύασεν αὐτοῖς, μάθοι τις ἂν ἐκεῖθεν μάλιστα. ἡ γὰρ δὴ τροφὴ ὅτε ἐργάζεται μάλιστα τὸ ἑαυτῆς ἔργον, τότε οὐδαμῶς ἥδει τὸν ἄνθρωπον κατά τε τὴν πέψιν καὶ τὴν ἀνάδοσιν, ἀλλὰ τρεφόμεθα μὲν τότε ὑπ' αὐτῆς καὶ ῥωννύμεθα, ἡδόμεθα δὲ τότε οὐδεμίαν ἡδονήν, καίτοι πλείων ὁ χρόνος οὗτός ἐστιν ἢ ἐν ᾧ ἐσθίομεν. ἔδει δέ γε, εἴπερ ὁ θεὸς ἡδονῆς χάριν τὴν τροφὴν ἐμηχανήσατο ἡμῖν, τὸν πλείω τοῦτον χρόνον ἥδεσθαι ἡμᾶς ὑπ' αὐτῆς, καὶ οὐ τὸν ἐλάχιστον ἐκεῖνον ἐν ᾧ καταπίνομεν. ἀλλ' ὅμως χάριν ἐκείνου τοῦ ἐλαχίστου χρόνου, ὃν ἡδόμεθα, παρασκευὴ μὲν ὄψων γίνεται μυρίων· πλεῖται δ' ἡ θάλαττα μέχρι περάτων· μάγειροι δὲ γεωργῶν περισπουδαστότεροί εἰσιν· δεῖπνα δὲ παρατίθενταί τινες ἀγρῶν ἀναλίσκοντες τιμάς, καὶ ταῦτ' οὐδαμῶς ὠφελουμένων τῶν σωμάτων ἐκ τῆς πολυτελείας τῶν βρωμάτων. πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσιν. τοὺς γοῦν οἰκέτας τῶν δεσποτῶν καὶ τοὺς χωρίτας τῶν ἀστικῶν καὶ τοὺς πένητας τῶν πλουσίων ἴδοις ἂν ὡς ἐπὶ τὸ πλῆθος ῥωμαλεωτέρους ὄντας καὶ μᾶλλον μὲν πονεῖν δυναμένους, ἧττον δὲ κάμνοντας ἐν τοῖς ἔργοις, νοσοῦντας δὲ σπανιώτερον, ἀνεχομένους δὲ εὐκολώτερον κρύος, θάλπος, ἀγρυπνίαν, πᾶν εἴ τι τοιοῦτον. καίτοι κἂν ἐπίσον ἥ τε πολυτελὴς καὶ ἡ εὐτελὴς τροφὴ ῥωννύῃ τὸ σῶμα, ὅμως αἱρετέον ἐστὶ τὴν εὐτελῆ, ὅτι αὕτη σωφρονικωτέρα καὶ πρέπει ἀνδρὶ ἀγαθῷ μᾶλλον, ᾗ καὶ τὸ εὐπόριστον τοῦ τὸ πᾶν, φημὶ δεῖν σκοπὸν μὲν αὐτῆς ποιεῖσθαι ὑγίειάν τε καὶ ἰσχύν, ὡς τούτων μόνον ἕνεκα βρωτέον, ἃ δὴ δεῖται πολυτελείας οὐδεμιᾶς· ἐσθίοντα δ' ἐπιμελεῖσθαι κόσμου τε καὶ μέτρου τοῦ προσήκοντος καὶ τοῦ διαφέρειν πλεῖστον τῷ τε ἀμολύντῳ καὶ τῷ σχολαίῳ.

3.19 Εὐριπίδου Ἀνδρομάχης (642—644). Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα γλῶσς' ἐκπορίζει· τοῦτο δ' οἱ σοφοὶ βροτῶν ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν. Φιλήμονος Ἐπιδικαζομένου (fr. 1 com. IV p. 9). Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον μὴ προσποιῆται, λοιδορεῖται [ὁ] λοιδορῶν. Εὐριπίδου ἐκ Πρωτεσιλάου (fr. 654 N. 2). Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου, ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Δημοσθένους. Δημοσθένης λοιδορουμένου τινὸς αὐτῷ 'οὐ συγκαταβαίνω' εἶπεν 'εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων'. Πλάτωνος. Πλάτων λοιδορούμενος ὑπό τινος 'λέγε' ἔφη 'κακῶς, ἐπεὶ καλῶς οὐκ ἔμαθες'. Ἀριστίππου. Ἀρίστιππος λοιδοροῦντος αὐτὸν τινὸς ἔφη 'τοῦ μὲν λέγειν κακῶς σὺ κύριος εἶ, τοῦ δὲ δικαίως ἀκούειν ἐγώ'. Πλουτάρχου ἐκ τοῦ Πῶς ἔστιν ἀπ' ἐχθρῶν ὠφεληθῆναι (p. 90 C—D). παρ' ἀνθρώπων. ἡ δὲ σιγὴ πανταχοῦ μὲν ἀνυπεύθυνον, οὐ μόνον ἄδιψον, ὥς φησιν Ἱπποκράτης, ἐν δὲ λοιδορίαις σεμνὸν καὶ Σωκρατικόν, μᾶλλον δὲ Ἡράκλειον, 〈εἴ γε κἀκεῖνος〉 οὐδ' ὅσσον μυίας στυγερῶν ἐμπάζετο μύθων. Πυθαγόρου. Μεγάλην παιδείαν νόμιζε, δι' ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν. Εὐσεβίου (fr. 27 phil. graec. III p. 11 Mullach.). Ὀργῆς κρατέειν ἄριστον ἐθίζειν ἑωυτόν, μάλιστα μὲν καὶ πρὸς τὸ μὴ εὐπετέως πρὸς αὐτῆς ξυγκινέεσθαι· εἰ δὲ μή, ἀλλ' ὥστε γε πάντως μὴ τὸ καταναγκαζόμενον ὑπ' αὐτῆς αὐτίκα καὶ ἐν τῷ ἀλογίστῳ ἀποπιμπλάναι. Σοφοκλέους Αἴαντι (1357). Νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πολύ. Θεόγνιδος (695—696). Οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἅρμενα πάντα, Θεοφράστου (fr. CLIV Wimmer.). Οὐ μὴν οὐδὲ μετ' ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδέν. ἀλόγιστον γὰρ θυμός, καὶ μετὰ προνοίας οὐδὲν ἄν ποτε ποιήσειεν, ἀλλὰ μεθύων ταῖς φιλονεικίαις, ὡς ἔτυχε, χρῆται ταῖς ὁρμαῖς. ὥστε δεῖ μὴ ἐξ ὑπογύου τῶν ἁμαρτημάτων τὰς τιμωρίας μήτε παρὰ τῶν οἰκετῶν μήτε παρὰ τῶν ἄλλων λαμβάνειν, ἵνα τὸ τῷ λογισμῷ κράτιστον, μὴ τὸ τῷ θυμῷ φίλον, ἀεὶ πράττῃς καὶ δίκην παρὰ τῶν ἐχθρῶν λαμβάνῃς, ἐξ ἧς μέλλεις σαυτὸν μὴ λυπῶν ἐκείνους βλάψειν. τὸ γὰρ τιμωρεῖσθαί τινα κακῶς ἑαυτὸν ποιοῦντα, δίκην διδόναι οὐχ ἧττον ἢ λαμβάνειν ἐστίν. ὥστε δεῖ σχολῇ μᾶλλον ἀμύνεσθαι ζητεῖν ἢ ταχέως ἀλυσιτελῶς ἑαυτῷ κολάσαι τὸν ἐχθρόν. Ῥούφου ἐκ τοῦ Ἐπικτήτου περὶ Φιλίας (Epict. fr. 67 III p. 88 Schweigh.). Τὸ δὲ Λυκούργου τοῦ Λακεδαιμονίου τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν τῶν ὀφθαλμῶν τὸν ἕτερον καὶ παραλαβὼν τὸν νεανίσκον παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο ὅπως αὐτὸς βούλεται· τούτου μὲν ἀπέσχετο, παιδεύσας δὲ αὐτὸν καὶ ἀποφήνας ἄνδρα ἀγαθόν, παρήγαγεν εἰς τὸ θέατρον. θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων 'τοῦτον μέν τοι λαβών' ἔφη 'παρ' ὑμῶν ὑβριστὴν καὶ βίαιον, ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν'. Πιττακοῦ. Πιττακὸς ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι ἀφῆκεν εἰπών 'συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους'. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 12). Ἄρξαι οὖν ἀπὸ τῶν μικρῶν. ἐκχεῖται τὸ ἔλαιον, κλέπτεται τὸ οἰνάριον· λέγε, ὅτι τοσοῦδε πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία, προῖκα οὐθὲν γίνεται. ὅταν δὲ καλῇς τὸν παῖδα, προεπινόει, ὅτι δύναται καὶ μὴ ὑπακοῦσαι καὶ μηδὲν ποιῆσαι ὧν θέλεις. ἀλλ' οὐχ οὕτως Μουσωνίου ἐκ τοῦ Εἰ γραφὴν ὕβρεως γράψεταί τινα ὁ φιλόσοφος (Musonii rel. p. 159 ed. Peerlkamp.). Ὕβρεως δὲ γραφὴν οὔτ' ἂν αὐτὸς ἔφη γράψασθαί τινά ποτε οὔτ' ἂν ἑτέρῳ συμβουλεῦσαι οὐδενὶ τῶν φιλοσοφεῖν ἀξιούντων. ἃ γὰρ πάσχοντές τινες ὑβρίζεσθαι δοκοῦσιν, τούτων οὐδὲν εἶναι ὕβριν ἢ αἰσχύνην τοῖς πάσχουσιν· οἷον λοιδορηθῆναι ἢ πληγῆναι ἢ ἐμπτυσθῆναι, ὧν τὸ χαλεπώτατον πληγαί. ὡς δὲ οὔτε αἰσχρὸν οὔτε ὑβριστικὸν ἔχουσιν οὐδέν, δηλοῦν Λακεδαιμονίων παῖδας δημοσίᾳ μαστιγουμένους καὶ ἐπ' αὐτῷ τούτῳ ἀγαλλομένους. ὁ δὲ φιλόσοφος εἰ μὴ δύναιτο καταφρονεῖν πληγῶν ἢ λοιδορίας, τί ἂν ὄφελος αὐτοῦ εἴη, ὅν γε φαίνεσθαι δεῖ καὶ θανάτου καταφρονοῦντα; νὴ Δία, ἀλλ' ἡ διάνοια τοῦ δρῶντος αὐτὰ δεινή, τὸ ἐπεγγελῶντα καὶ ὑβρίζειν νομίζοντα ῥαπίσαι ἢ λοιδορῆσαι ἤ τι τοιοῦτον ἀγνοοῦντες καὶ πρὸς τὴν δόξαν κεχηνότες, καὶ αὐτοὶ ὑβρίζεσθαι νομίζουσιν, εἴ τις ἢ προσβλέποι αὐτοὺς πικρότερον ἢ καταγελῴη αὐτῶν ἢ

πλήττοι ἢ λοιδοροίη. ἀνὴρ δὲ εὖ φρονῶν καὶ νοῦν ἔχων, οἷον εἶναι δεῖ τὸν φιλόσοφον, ὑπὸ οὐδενὸς τούτων ταράττεται, οὐδ' οἴεται τὸ πάσχειν αὐτὰ αἰσχρόν, ἀλλὰ τὸ ποιεῖν μᾶλλον· ἐπεὶ τί καὶ ὁ πάσχων ἁμαρτάνει; ὁ δὲ ἁμαρτάνων εὐθὺς καὶ ἐν αἰσχύνῃ ἐστίν, ὁ μέντοι πάσχων ὡς οὖν οὐχ ἁμαρτάνει καθόσον πάσχει, οὕτως οὐδὲ ἐν αἰσχρῷ οὐδενὶ γίνεται. ὅθεν οὐδ' ἐπὶ δίκας οὐδ' ἐπ' ἐγκλήματα προέλθοι ἂν ὁ νοῦν ἔχων, ἐπείπερ οὐδ' ὑβρίσθαι ἂν δόξειεν· καὶ γὰρ μικρόψυχον τὸ ἀγανακτεῖν ἢ ἐπιτείνεσθαι περὶ τῶν τοιούτων· πρᾴως δὲ καὶ ἡσύχως οἴσει τὸ συμβάν, ἐπεὶ καὶ δορηθεὶς ὑπ' Ἀριστοφάνους, οὐχ ὅπως ἠγανάκτησεν, ἀλλὰ καὶ ἐντυχὼν ἠξίου αὐτὸν εἰ καὶ πρὸς ἄλλο τι τοιοῦτον βούλοιτο χρῆσθαι αὐτῷ. ταχύ γ' ἂν ἐκεῖνος ἐν ὀλίγοις λοιδορούμενος ἐχαλέπηνεν, ὃς οὐδὲ ἐν θεάτρῳ λοιδορηθεὶς ἠγανάκτει; Φωκίων δὲ ὁ χρηστός, τῆς γυναικὸς αὐτοῦ προπηλακισθείσης πρός τινος, τοσοῦτον ἐδέησεν ἐγκαλεῖν τῷ προπηλακίσαντι, ὥστε ἐπεὶ δείσας ἐκεῖνος προσῆλθέ τε καὶ συγγνώμην ἔχειν ἠξίου τὸν Φωκίωνα, φάσκων ἠγνοηκέναι ὅτι ἦν ἐκείνου γυνή, εἰς ἣν ἐπλημμέλει· 'ἀλλὰ ἥ γε ἐμὴ γυνὴ οὐδέν' ἔφη 'ὑπὸ σοῦ πέπονθεν, ἑτέρα δέ τις ἴσως, ὥστε οὐδὲ χρὴ ἐμοί σε ἀπολογεῖσθαι.' καὶ ἄλλους δὲ παλαιοὺς ἄνδρας ἔχοιμ' ἂν λέγειν πειραθέντας ὕβρεως, τοὺς μὲν ἔκ τινων γλώσσῃ πλημμεληθέντας, τοὺς δὲ χερσὶν ὥστε αἰκισθῆναι τὸ σῶμα· καὶ οὔτε ἀμυνάμενοι φαίνονται τοὺς πλημμελήσαντας οὔτε ἄλλον τρόπον ἐπεξελθόντες, ἀλλὰ πάνυ πρᾴως ἐνεγκόντες τὴν ἀδικίαν αὐτῶν. καὶ γὰρ δὴ τὸ μὲν σκοπεῖν ὅπως ἀντιύπ' ἀγνοίας τε καὶ ἀμαθίας τοῖς ἀνθρώποις ἁμαρτάνεται, ὧν ὁ μεταδιδαχθεὶς εὐθὺς παύεται· τὸ δὲ δέχεσθαι τὰς ἁμαρτίας μὴ ἀγρίως, μηδὲ ἀνήκεστον εἶναι τοῖς πλημμελήσασιν, ἀλλ' αἴτιον εἶναι αὐτοῖς ἐλπίδος χρηστῆς, ἡμέρου τρόπου καὶ φιλανθρώπου ἐστίν. πόσῳ δὴ κρεῖττον οὕτως ἔχοντα φαίνεσθαι τὸν φιλόσοφον, ὥστε συγγνώμης ἀξιοῦν εἴ τις πλημμελήσειεν εἰς αὐτόν, ἢ δοκεῖν μὲν ἀμύνειν ἑαυτῷ δικαζόμενον καὶ ἐγκαλοῦντα, τῇ δὲ ἀληθείᾳ ἀσχημονεῖν, ἀνακόλουθα τοῖς ἑαυτοῦ λόγοις πράττοντα; εἴ γε λέγει μέν, ὡς οὐκ ἂν ἀδικηθείη ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ὑπὸ κακοῦ ἀνδρός· ἐγκαλεῖ δ' ὡς ἀδικούμενος ὑπὸ ἀνθρώπων πονηρῶν αὐτὸς ἀξιῶν ἀγαθὸς εἶναι. Δίωνος. Δίωνι τῷ Ἀκαδημιακῷ ἀπὸ συμποσίου ἀναστρέφοντι παρεπόμενος κακῶς τις ἔλεγε καὶ βλασφημίας οὐδὲν ἀπελίμπανεν· ὃ δ' ἡσύχως εἶχεν. ὡς δὲ καὶ ἐπὶ τὴν οἰκίαν ἦλθε, μέλλοντι αὐτῷ εἰσιέναι ὁ λοιδορῶν 'τί δαί;' ἔφη· Ξενοφῶντος ἐκ τοῦ Συμποσίου (II 24—26). Ὁ δ' αὖ Σωκράτης εἶπεν· Ἀλλὰ πίνειν μέν, ὦ ἄνδρες, κἀμοὶ πάνυ δοκεῖ· τῷ γὰρ ὄντι ὁ οἶνος ἅρδων τὰς ψυχὰς τὰς μὲν λύπας, ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους, κοιμίζει, τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον φλόγα, ἐγείρει. δοκεῖ γε μέντοι μοι καὶ τὰ τῶν ἀνδρῶν συμπόσια ταῦτα πάσχειν, ἅπερ καὶ τὰ τῶν ἐν τῇ γῇ φυομένων. καὶ γὰρ ἐκεῖνα, ὅταν μὲν αὐτὰ ὁ θεὸς ἄγαν ἀθρόως ποτίζῃ, οὐ δύναται ὀρθοῦσθαι οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι· ὅταν δὲ ὅσῳ ἥδεται τοσοῦτον πίνῃ, καὶ μάλα ὀρθά τε αὔξεται καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν· οὕτω δὲ καὶ ἡμεῖς ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῶν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφάλλονται, καὶ οὐδὲ ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα· ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψακάζωσιν, ἵνα καὶ ἐγὼ ἐν Γοργιείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι μεθύειν ὑπὸ τοῦ οἴνου, ἀλλ' ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα. Ἡροδότου ἱστορίας ζ' (VII 160). Ὦ ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν. σὺ μέντοι ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ, οὔ μ' ἔπεισας ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι.

3.20 Θεόγνιδος (1223). Οὐδέν, Κύρν', ὀργῆς ἀδικώτερον, ἢ τὸν ἔχοντα πημαίνει. θυμῷ δειλὰ χαριζομένη. Εὐήνου (fr. 5 p. l. 4 II p. 270 Bergk.). Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν κρυπτόμενον, μανίας 〈οὐ〉 πολὺ χειρότερον. Μενάνδρου (fab. inc. fr. 64 com. IV p. 252). Ὀργῇ παραλογισμός ποτ' οὐδεὶς φεύγεται. Φιλήμονος (fab. inc. 59 a. b com. IV p. 54). Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα. τὸ γὰρ κατασχεῖν ἐστι τὴν ὀργὴν πόνος. Τοῦ αὐτοῦ. Ἅπανθ' ὅς' ὀργιζόμενος ἄνθρωπος ποεῖ, ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα. Μενάνδρου

(fab. inc. fr. 629 Kock.). Ἐπίσχες ὀργιζόμενος. — Ἀλλὰ βούλομαι. — Οὐδεὶς γὰρ ὀργῆς χάριν ἀπείληφεν, πάτερ. Εὐριπίδου Αἰόλῳ (fr. 31 N. 2). Ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται, κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς. Ἐπιχάρμου (fr. * 21 p. 261 Lor.). Μὴ ’πὶ μικροῖς αὐτὸς αὑτὸν ὀξύθυμον δείκνυε. Τοῦ αὐτοῦ (fr. * 22 ibid.). Ἐπιπολάζειν οὔ τι χρὴ τὸν θυμόν, ἀλλὰ τὸν νόον. Τοῦ αὐτοῦ (fr. * 23 ibid.). Εὐριπίδου Ἀρχελάῳ (fr. 257 N. 2). Πολλοὺς δ’ ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν ἥ τ’ ἀξυνεσία, δύο κακὼ τοῖς χρωμένοις. Εὐριπίδου Ἀρχελάῳ (fr. 259 N. 2). Ὀργῇ δὲ φαύλῃ πόλλ’ ἔνεστ’ ἀσχήμονα. (Eur. Hypsip. fr. 760 N. 2) Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος. (trag. fr. adesp. 523 N. 2) Πόλλ’ ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά. Αἰσχύλου. Ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι. Σοφοκλέους (Ant. 1028). Αὐθαδία τοι σκαιότητ’ ὀφλισκάνει. Χαιρήμονος (fr. 28 p. 789 N. 2). Ἡγοῦ δ’ ἐν ὀργῇ πάντα γίγνεσθαι κακά. Τοῦ αὐτοῦ (fr. 29 p. 789 N. 2). Ὀργὴ δὲ πολλοὺς δρᾶν ἀναγκάζει κακά. Εὐριπίδου Φιλοκτήτου (fr. 799 N. 2). Ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ’ ἡμῶν ἔφυ, οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται. Σωσιφάνους (fr. 2 p. 820 N. 2). Νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω, γέρον, νυνὶ δεῖ γ’ ὀργήν, ἡνίκ’ ουδείκου, λαβεῖν. Μενάνδρου (fab. inc. fr. 285 com. IV p. 294). Ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος. Τοῦ αὐτοῦ (fab. inc. fr. 84 com. IV p. 256). Τοῦ αὐτοῦ (fab. inc. fr. 25 com. IV p. 241). Εἰ καὶ σφόδρ’ ἀλγεῖς, μηδὲν ἠρεθισμένος πράξῃς [τι] προπετῶς· ὀργῆς γὰρ ἀλογίστου κρατεῖν ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ. Τοῦ αὐτοῦ (Georg. fr. 3 com. IV p. 96). Τὸ δ’ ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν δεῖγμ’ ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας. Θεοκρίτου (I 15). Οὐ θέμις, ὦ ποιμήν, τὸ μεσαμβρινόν, οὐ θέμις ἅμιν συρίσδειν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ’ ἄγρας τανίκα κεκμακὼς ἀμπαύεται, ἔστι δὲ πικρός, καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥῖνα κάθηται. Ὁμήρου (Il. I 103—104). Ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντ’, ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην. Εὐριπίδου Ἀρχελάῳ (fr. 258 N. 2). Τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν Τοῦ αὐτοῦ (fr. 1038 N. 2). Ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο δειναί, πλάνος τε καρδίᾳ προσίσταται. Σοφοκλέους Οἰδίποδος (Col. 592). Ὦ μωρέ, θυμὸς ἐν κακοῖς οὐ ξύμφορος. Ἀρχιλόχου (fr. 66 p. l. II 4 p. 400). Θυμέ, θύμ’ ἀμηχάνοισι κήδεσιν κυκώμενε, ἀναδευ, δυσμενῶν δ’ ἀλέξευ προσβαλὼν ἐναντίον στέρνον, ἐνδόκοισιν ἐχθρῶν πλησίον κατασταθεὶς ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο, μήτε νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο, ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα μὴ λίην· γίγνωσκε δ’ οἷος ῥυσμὸς ἀνθρώπους ἔχει. Σοφοκλέους ἐν Τυροῖ (fr. 600 N. 2). Εὐριπίδου Μηδείας (109—110). Μεγαλόσπλαγχνος δυσκατάπαυστος ψυχὴ δηχθεῖσα κακοῖσιν. Εὐριπίδου Ὑψιπύλῃ (fr. 760 N. 2). Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος. Σοφοκλέους Τηρεῖ (fr. 530 N. 2). Ἄνους ἐκεῖνος, αἱ δ’ ἀνούστεραί γ’ ἔτι ἐκεῖνον ἠμύναντο καρτερόν. ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον, ἰατρός ἐστιν οὐκ ἐπιστήμων ἀκῶν. Νεόφρονος ἐν Μηδείᾳ (fr. 2 p. 730 N. 2). Εἶεν· τί δράσεις, θυμέ; βούλευσαι καλῶς πρὶν ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα ἔχθιστα θέσθαι. ποῖ ποτ’ ἐξῆξας, τάλας; κάτισχε λῆμα καὶ σθένος θεοστυγές. καὶ πρὸς τί ταῦτα δύρομαι, ψυχὴν ἐμὴν ὁρῶς’ ἔρημον καὶ παρημελημένην οὐ μὴ προδώσεις, θυμέ, σαυτὸν ἐν κακοῖς; οἴμοι, δέδοκται· παῖδες, ἐκτὸς ὀμμάτων ἀπέλθετ’· ἤδη γάρ με φοινία μέγαν δέδυκε λύσσα θυμόν. ὦ χέρες χέρες, πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα· φεῦ, τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ. Εὐριπίδου Μηδείας (446—447). Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις, τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν. Ἐν ταὐτῷ (520—521). Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει, Εὐριπίδου Τήλεφος (fr. 718 N. 2). Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν. (Eur. Med. 1079—1080) Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων, ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς. Τοῦ αὐτοῦ (fr. 1039 N. 2). Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει. (trag. adesp. fr. 524 N. 2) Ἐν τοῖς κακοῖσι δ’ ηὐγένει’ ὅταν παρῇ τραχεῖα καὶ ὀξύθυμος, ἀμαθίαν ἔχει. Ὁμήρου (Il. IX 496—497). Ἀλλ’ Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί. Τοῦ αὐτοῦ (Il. XV 201—203). Οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα, τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε, ἤ τι μεταστρέψεις; στρεπταὶ δέ τε φρένες ἐσθλῶν. Πλάτωνος. Πλάτων ὀργισθείς ποτέ τινι τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἐκέλευεν αὐτὸν ὅτι ὀργίζεται· κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο. Ἀντιφῶντος (de caede Herodis 72). Οὐκ ἔστιν ὅ τι ἂν ὀργιζόμενος ἄνθρωπος εὖ γνοίη· αὐτὸ γὰρ ὃ βουλεύεται, τὴν γνώμην διαφθείρει τοῦ ἀνθρώπου. Ἡροδότου (VII 160). Τὰ ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν. Τοῦ αὐτοῦ (VII 39). Ὡς ἐν τοῖσιν ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός· χρηστὰ μὲν ἀκούσας τέρψιος ἐμπιπλεῖ τὸ σῶμα, ὑπεναντία δὲ τουτέοισιν ἀκούσας ἀνοιδαίνει. Ἀριστοτέλους (fr. 661 Rose 3). Ἢ οὐχ ὁρᾷς, ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμὸς ἀποδημεῖ φεύγων τὸν θυμὸν ὡς πικρὸν τύραννον; Ἀρριανοῦ (deest ap. Schweigh.). Μεγαλόθυμοι πρᾴως εἰσί τινες, ἡσυχῇ καὶ οἷον ἀοργήτως πράττοντες ὅσα καὶ οἱ σφόδρα τῷ θυμῷ φερόμενοι. φυλακτέον οὖν καὶ τὸ τούτων ἀβλέπτημα ὡς πολὺ χεῖρον ὂν τοῦ διατεινόμενον ὀργίζεσθαι. οὗτοι μὲν γὰρ ταχὺ κόρον τῆς τιμωρίας λαμβάνουσιν, οἳ δὲ εἰς μακρὸν παρατείνουσιν ὡς οἱ λεπτῶς πυρέττοντες. Ἀπολλώνιος Μακεδόνι (p. 126 Herch.). Τῆς ὀξυθυμίας τὸ ἄνθος μανία. Ἀπολλώνιος Ἀριστοκλεῖ (ibid. p. 126). Τὸ τῆς ὀργῆς πόθος μὴ καθομιλούμενον μηδὲ θεραπευόμενον φυσικὴ νόσος γίνεται. Ἀπολλώνιος Δημοκράτει (ibid. p. 127). Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον Διονυσίου Ἁλικαρνασέως. *** (Plut. quomodo adol. poetas audire debeat p. 31 A) Ὅτι μεγάλου καὶ δοκοῦντος εἶναι καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς ἡ πρόνοια καὶ ἡ φυλακὴ τοῦ μὴ περιπεσεῖν μεῖζον. Σωτίωνος ἐκ τοῦ Περὶ ὀργῆς β′. Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς Ἡρακλείτῳ μὲν δάκρυα, Δημοκρίτῳ δὲ γέλως ἐπῆει. Ὥσπερ δὲ πλοῖα γενναῖα οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ, ἀλλ' ὅσα πρὸς χειμῶνα ἀντέχει καὶ σῴζεται· οὕτω καὶ ἄνθρωποι ὀργῇ καὶ κινήσει ἀντέχοντες μεγάλοι καὶ ἀνδρεῖοι. Ὑποκριταῖς μὲν οὖν καὶ μὴ ὀργιζομένοις ὑποκριναμένοις ὀργὴν συνήνεγκεν, οἱ δὲ σπουδαῖοι ἄνδρες, οὐδ' ἐὰν ὡς ἀληθῶς ὀργίζωνται, οὕτω χρῶνται τῷ σχήματι. Ἀριστοτέλους (fr. 660 Rose 3). Ὥσπερ ὁ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ βλέπειν τὸ κείμενον ἐν τοῖς ποσίν· οὕτως ὁ θυμὸς ἐπαιρόμενος τῷ λογισμῷ ἐπισκοτεῖ καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἐφίησι τῇ διανοίᾳ προλαβεῖν. Δημοκρίτου (fr. mor. 77 Mullach.). Θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου. Πλάτων ὀργιζόμενος ποτὲ τῷ οἰκέτῃ ἐπιστάντος Ξενοκράτους ‘λαβών‘ ἔφη ‘τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι‘ Πλουτάρχου (de cohib. ira p. 458 F). Ἀριστοτέλης φησὶ Σατύρου τοῦ Σαμίου τοὺς φίλους φράξαι τὰ ὦτα κηρῷ δίκην ἔχοντος, ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμὸν ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος. Πλουτάρχου ἐκ τοῦ Περὶ διαβολῆς (fr. XXIII 1 Ῥούφου ἐκ τοῦ Ἐπικτήτου Περὶ φιλίας (fr. 69 III p. 89 Schweigh.). Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον, συνδῆσαι καὶ συναρμόσαι τὴν ὁρμὴν τῇ τοῦ προσήκοντος καὶ ὠφελίμου φαντασίᾳ. Τοῦ αὐτοῦ (fr. 70 l. c.). Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτους τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν καὶ ἀνοήτων ἀνθρώπων. φαμὲν γὰρ τὸν εὐκαταφρόνητον νοεῖσθαι μὲν καὶ κατὰ τὸ ἀδύνατον εἶναι βλάψαι· ἀλλὰ πολὺ μᾶλλον νοεῖται κατὰ τὸ ἀδύνατον εἶναι ὠφελεῖν. Δημοκρίτου (fr. mor. 147 Mullach.). Φιλονεικία πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει. Ἀριστίππου. Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος θεασάμενός τινα ὀργιζόμενον καὶ διὰ τῶν λόγων χαλεπαίνοντα ἔφη ‘μὴ τοὺς λόγους δι' ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων καταπαύωμεν‘. Ναυκράτους. Ναυκράτης ὁ σοφὸς τοὺς ὀξυθύμους ἔφη παραπλήσιον τοῖς λύχνοις πάσχειν· καὶ γὰρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι. Ἀριστοτέλους. Ὁ θυμός ἐστι πάθος θηριῶδες μὲν τῇ διαθέσει, συνεχὲς 〈δὲ〉 τῇ λήψει, σκληρὸν δὲ καὶ βίαιον τῇ δυνάμει, φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργόν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀτιμίας καὶ χρημάτων ἀπωλείας ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν. Ἀντιφῶντος (fr. 129 Blass. 2). Ὅστις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων δειμαίνει, μὴ ἃ θέλει ποιῆσαι, ἁμαρτὼν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος ἀπέπολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφοράς, ἃ δ' ἐδόκουν τοὺς πέλας ποιήσειν, παθόντες ταῦτα ἀνεφάνησαν αὐτοί. σωφροσύνην δὲ ἀνδρὸς οὐκ ἂν ἄλλος ὀρθότερόν τις κρίνειεν, ἢ ὅστις τοῦ θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς ἐμφράσσει αὐτὸς ἑαυτὸν κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν. ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ, παραχρῆμα θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων. Ἐπικτήτου (fr. 71 III p. 90 Schweigh.). Ὅτῳ μετὰ ἀνατάσεως καὶ ἀπειλῆς ἐπιχειρεῖς, μέμνησο προλέγειν, ὅτι ἥμερος εἶ· καὶ οὐδὲν ἄγριον δράσας ἀμετανόητος καὶ ἀνεύθυνος διαγενήσῃ. Κάτωνος πρεσβυτέρου (Ps.—Plut. apophth. reg. et duc. p. 199 A). Τὸν ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν. Ἀρίστωνος. Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα ὥστε Πλουτάρχου ἐκ τοῦ Περὶ ὀργῆς (fr. XXVII Wyttenb.). Ὅσα δὲ ὀργῇ χρώμενοι πράττουσιν ἄνθρωποι, ταῦτα ἀνάγκη τυφλὰ εἶναι καὶ ἀνόητα καὶ τοῦ παντὸς ἁμαρτάνειν. οὐ γὰρ οἷόν τε ὀργῇ χρώμενον λογισμῷ χρῆσθαι· τὸ δὲ ἄνευ λογισμοῦ ποιούμενον πᾶν ἄτεχνόν τε καὶ διεστραμμένον. λόγον οὖν ἡγεμόνα χρὴ ποιησάμενον οὕτως ἐπιχειρεῖν τοῖς κατὰ τὸν βίον ἔργοις τὰς ἑκάστοτε προσπιπτούσας ὀργὰς διωθούμενον καὶ διανέοντα ὥσπερ οἱ κυβερνῆται τὰ κύματα προσφερόμενα. ἔστι γοῦν οὐκ ἔλαττον τὸ δέος ὀργῆς ἀντιπρώρου κυλινδομένης, αὐτόν τε καὶ σύμπαντα οἶκον ἔστιν ἄρδην ἀπολέσαι καὶ ἀνατρέψαι μὴ διαπλεύσαντα δεξιῶς. οὐ μὴν ἀλλ' ἐπιμελείας εἰς αὐτὰ δεῖ καὶ μελέτης. ᾗ καὶ μάλιστα ἁλίσκονται κατ' ἄκρας οἱ παραδεξάμενοι τὸν θυμὸν ὡς σύμμαχον ἀρετῆς, ἀπολαύοντες ὅσον αὐτοῦ χρήσιμόν ἐστιν ἔν τε πολέμῳ καὶ νὴ Δία ἐν πολιτείαις, τὸ πολὺ δὲ αὐτοῦ καὶ τὸ ἐπιπόλαιον ἐκκρίνειν καὶ ἐκβάλλειν τῆς ψυχῆς, ὅπερ ὀργή τε καὶ πικρία δι' ὀξυθυμίαν λέγεται, νομίσματα ἥκιστα ταῖς ἀνδρείαις ψυχαῖς πρέποντα. τίς οὖν ἐν ἡλικίᾳ τούτων γίγνεται μελέτη; ἐμοὶ μὲν δοκεῖ μάλιστ' τῶν οἴκοι πεποιημένος αὐτῷ τῆς αὐτοῦ ψυχῆς εἶναι ἀγαθός.

3.21 Φιλήμονος (fab. inc. fr. 101 com. IV p. 62). Ἄνθρωπος ὢν τοῦτ' ἴσθι καὶ μέμνης' ἀεί. Μενάνδρου Κωνειαζομέναις (fr. 2 com. IV p. 156). Τὸ γνῶθι σαυτὸν ἔστιν, ἂν τὰ πράγματα ἴδῃς τὰ σαυτοῦ, καὶ τί σοὶ ποιητέον. Διφίλου (fab. inc. fr. 31 com. IV p. 425). Ἂν γνῷς τί ἐστ' ἄνθρωπος, ἡδίων ἔσῃ. Ἀντιφάνους (fr. inc. 42 a com. III p. 148). Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει. Μενάνδρου Θρασυλέοντος (fr. 1 com. IV p. 139). Κατὰ πόλλ' ἄρ' ἐστὶν οὐ καλῶς εἰρημένον τὸ γνῶθι σαυτόν· χρησιμώτερον γὰρ ἦν τὸ γνῶθι τοὺς ἄλλους. Ἐκ τῆς Αἰλιανοῦ συμμίκτου ἱστορίας (VIII 15). Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους ἡνίκα ἐνίκησεν ὁ Φίλιππος, ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ ἐκράτησε καὶ οὐχ ὕβρισε, καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἔωθεν, ὅτι ἄνθρωπός ἐστιν. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Ἡράκλειτος νέος ὢν πάντων γέγονε σοφώτερος, ὅτι Δημῶναξ ἐρωτηθεὶς πότε ἤρξατο φιλοσοφεῖν, 'ὅτε καταγιγνώσκειν' ἔφη 'ἐμαυτοῦ ἠρξάμην'. Σωκράτης ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, 'ὅτι' εἶπεν 'ὁρῶ τὰ χαρτία πολὺ τῶν γραφησομένων τιμιώτερα'. Θεόκριτος ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, 'ὅτι' εἶπεν 'ὡς μὲν βούλομαι, οὐ δύναμαι· ὡς δὲ δύναμαι, οὐ βούλομαι'. Βίαντος. Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς. Γνῶθι σαυτὸν ὡς παροιμία παραλαμβάνεται, μαρ-Χείλωνος. Χείλων ἐρωτηθεὶς τί χαλεπώτατον, 'τὸ γιγνώσκειν ἑαυτόν' ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι. Βίαντος. Τὸ δὲ γνῶθι σαυτὸν χρήσιμον εἰς νουθεσίαν τῶν ἀλαζόνων, οἳ ὑπὲρ τὴν ἑαυτῶν δύναμιν φλυαροῦσιν. Ἀλεξάνδρου (Ps.—Plut. apophth. reg. et duc. p. 182 B). Ἀλέξανδρος νοσήσας μακρὰν νόσον ὡς ἀνέρρωσεν, οὐδὲν ἔφη διατεθῆναι χεῖρον· 'ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν ὡς θνητοὺς ὄντας'. Πλουτάρχου ἐκ τοῦ

Περὶ εὐθυμίας (p. 472 B—C). Καὶ μὴν οἶνοί τε καὶ σαρκῶν ἐμφορήσεις σῶμα μὲν τον, ὑπεροψία δὲ καὶ σωφροσύνη μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὅθεν οὐ πάντα πάντων ἐστίν, ἀλλὰ δεῖ τῷ Πυθικῷ γράμματι πειθόμενον αὐτὸν καταμαθεῖν, εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν καὶ παραβιάζεσθαι τὴν φύσιν. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 6). Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος ὅτι ‘καλός εἰμι‘, ἀνεκτὸν ἂν ἦν· σὺ δὲ ὅταν λέγῃς ὅτι ‘ἵππον καλὸν ἔχω‘, ἴσθι ὅτι ἐφ’ ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν, ἣν ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι· τότε γὰρ ἐπὶ τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ. Δημοσθένους ἐν τῷ Πρὸς Λεπτίνην (XX § 161 p. 506). Καὶ τὰ ἀγαθὰ μὲν προσδοκᾶν, καὶ τοῖς θεοῖς εὔχεσθαι διδόναι· πάντα δ’ ἀνθρώπινα ἡγεῖσθαι. Ἐν ταὐτῷ (XX § 162 p. 506). Ἀλλ’ οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον, καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίγνονται· διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι. Πλάτωνος ἐκ τῶν Ἀντεραστῶν (p. 137 E—138 B). Τί δ’; ἐπειδὰν ἄνθρωπος ὢν τις ἀγνοῇ τοὺς χρηστοὺς καὶ τοὺς μοχθηροὺς ἀνθρώπους, ἆρ’ οὐ καὶ αὐτὸν ἀγνοεῖ, πότερον χρηστός ἐστιν ἢ μοχθηρός, ἐπειδὴ καὶ αὐτὸς ἄνθρωπός ἐστι; Συνεχώρει. Τὸ δὲ αὑτὸν ἀγνοεῖν σωφρονεῖν ἢ οὐ σωφρονεῖν ἐστιν; Οὐ σωφρονεῖν. Τὸ ἑαυτὸν ἄρα γιγνώσκειν ἐστὶ σωφρονεῖν; Φημί, ἔφη. Τοῦτο ἄρα, ὡς ἔοικε, καὶ τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην. Ἔοικεν. Τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; Φημί. Οὐκοῦν ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστίν, ᾗ δὲ γιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη; Ἔοικεν, ἔφη. Ταὐτὸν ἄρα ἐστὶ δικαιοσύνῃ σωφροσύνη; Φαίνεται. Καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν. Ἀληθῆ λέγεις. Ξενοφῶντος ἐν δ’ Ἀπομνημονευμάτων (IV 2, 24—36). σαυτόν; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σεαυτὸν ἐπισκοπεῖν ὅστις εἶης; Μὰ Δί’ οὐ δῆτα, ἔφη· καὶ γὰρ δὴ τοῦτο πάνυ ᾤμην εἰδέναι· σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴ γε μηδ’ ἐμαυτὸν ἐγίγνωσκον. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν ὅστις τοὔνομα μόνον τὸ ἑαυτοῦ οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι οὐ πρότερον οἴονται γιγνώσκειν ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται πότερον εὐπειθής ἐστιν ἢ δυσπειθής, καὶ πότερον ἰσχυρὸς ἢ ἀσθενής, καὶ πότερον ταχὺς ἢ βραδύς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν ἑαυτοῦ δύναμιν; Οὕτως ἔμοιγε δοκεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν. Ἐκεῖνο δὲ οὐ φανερόν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ ἴσχουσιν ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ διαγιγνώσκουσιν ἅ τε δύνανται καὶ ἃ δέονται καὶ εὖ πράττουσιν, ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι ἀναμάρτητοι γίγνονται καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τὸ αὐτὸ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται καὶ τὰ κακὰ φυλάττονται. οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς αὐτῶν δυνάμεως πρός τε τοὺς ἄλλους ἀνθρώπους καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν οὔτε ὅ τι πράττουσιν οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς περιπίπτουσι. καὶ οἱ μὲν εἰδότες ὅ τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται· καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι καὶ ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες τί ποιοῦσι, κακῶς τε αἱρούμενοι καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα καὶ καταγέλαστοι γίγνονται καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἂν οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι

ἐπισκοπεῖν ἑαυτόν, τοῦτο πρὸς σὲ ἀποβλέπω εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι πάντως που γιγνώσκεις; Νὴ Δί', ἔφη· εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. Ἴθι δή, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι ταῦτα. Ἀλλ' οὐ χαλεπόν, ἔφη· πρῶτον μὲν γὰρ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν καὶ ποτὰ καὶ βρωτὰ καὶ ἐπιτηδεύματα τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα ἀγαθά, τὰ δὲ πρὸς τὸ νοσεῖν κακά. Οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά; Πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν ἀγαθοῦ; Ὅταν νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς καὶ ναυτιλίας βλαβερᾶς καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. Ἀληθῆ λέγεις· ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται. Ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, τί μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν; Οὐδὲν μὰ Δία φαίνεται κατά γε τοῦτον τὸν λόγον. ἀλλ' ἥ γέ τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν· ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὢν ἢ ἀμαθής; Τί δαί; τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ τόν τε παῖδα ἀπώλεσε καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευεν; Λέγεται νὴ Δί', ἔφη, ταῦτα. Τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπόλλυται. Λέγεται καὶ ταῦτα, ἔφη. Ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀνασπάστους πρὸς βασιλέα γεγονέναι καὶ ἐκεῖ δουλεύειν; Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. Εἴ γε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. Τί δ' ἄν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; Οὐδέν, 〈ἔφη,〉 εἴ γε μὴ προσθήσομεν αὐτῷ κάλλος ἢ ἰσχὺν ἢ πλοῦτον ἢ δόξαν ἢ καί τι ἄλλο τῶν τοιούτων. Ἀλλὰ νὴ Δία προσθήσομεν, ἔφη· πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαίμων εἴη; Νὴ Δί', ἔφη, προσθήσομεν ἄρα, ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις· πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινημένων διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες οὐ μικροῖς κακοῖς περιπίπτουσιν, πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται, πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν. Ἀλλὰ μήν, ἔφη, εἴ γε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδὲ ὅ τι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ εἰδέναι. Ἀλλὰ ταῦτα μὲν, ἔφη ὁ Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι οὐδ' ἔσκεψαι. Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 48 C). Τῆς δ' αὖ πάσης πονηρίας ἐστὶ τοὐναντίον πάθος ἔχον, ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἐν Δελφοῖς γραμμάτων. — Τὸ Γνῶναι σαυτὸν λέγεις, ὦ Σώκρατες; — Ἔγωγε. τοὐναντίον μὴν ἐκεῖνο δῆλον ὅτι τὸ μηδαμῆ γινώσκειν αὐτὸν λεγόμενον ὑπὸ τοῦ γράμματος ἂν εἴη. — Τί μήν; — Ὦ Πρώταρχε, πειρῶ δὲ αὐτὸ τοῦτο τριχῇ τέμνειν. — Πῇ φής; οὐ γὰρ μὴ δυνατὸς ὦ. — Λέγεις δὴ δεῖν ἐμὲ τοῦτο διελέσθαι τὰ νῦν; — Λέγω καὶ δέομαί γε πρὸς τῷ λέγειν. — Ἆρ' οὖν οὐ τῶν ἀγνοούντων αὐτοὺς κατὰ τρία ἀνάγκη τοῦτο τὸ πάθος πάσχειν ἕκαστον; — Πῶς; — Πρῶτον μὲν κατὰ χρήματα δοξάζειν εἶναι πλουσιώτερον ἢ κατὰ τὴν αὐτῶν οὐσίαν. — Πολλοὶ γοῦν εἰσι τοιοῦτον πάθος ἔχοντες. — Πλείους δέ γε, οἳ μείζους καὶ καλλίους αὐτοὺς δοξάζουσι καὶ πάντα ὅσα κατὰ τὸ σῶμα εἶναι διαφερόντως τῆς οὔσης αὐτοῖς ἀληθείας. — Πάνυ γε. — Πολὺ δὲ πλεῖστοί γε, οἶμαι, περὶ τὸ τρίτον εἶδος τούτων ἐν ταῖς ψυχαῖς διημαρτήκασιν, ἀρετῇ δοξάζοντες βελτίους δ' ἆρα οὐ σοφίας πέρι τὸ πλῆθος πᾶν ἀντεχόμενον, μεστὸν ἐρίδων καὶ δοξοσοφίας ἐστὶ ψευδοῦς; — Πῶς δ' οὔ; — Κακὸν μὲν δὴ πᾶν ἄν τις τὸ τοιοῦτον εἰπὼν ὀρθῶς ἂν εἴποι πάθος. — Σφόδρα γε. Πλάτωνος Ἀλκιβιάδου α′ (p. 127 E—p. 131 D). Φέρε δή, τί ἐστι τὸ

ἑαυτοῦ ἐπιμελεῖσθαι; μὴ πολλάκις λάθωμεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι, οἰόμενοι δέ· καὶ πότ' ἄρ' αὐτὸ ποιεῖ ἄνθρωπος; ἆρ' ὅταν τῶν ἑαυτοῦ ἐπιμελῆται, τότε καὶ αὐτοῦ; — Ἐμοὶ γοῦν δοκεῖ. — Τί δαί; ποδῶν ἄνθρωπος πότε ἐπιμελεῖται; ἆρ' ὅταν ἐκείνων ἐπιμελῆται ἅ ἐστι τῶν ποδῶν; — Οὐ μανθάνω. — Καλεῖς δέ τι χειρός· οἷον δακτύλιον ἔστιν ὅτου ἂν ἄλλου τῶν τοῦ ἀνθρώπου φαίης ἢ δακτύλου; — Οὐ δῆτα. — Οὐκοῦν καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον; — Ναί. — [Καὶ ἱμάτια καὶ στρώματα τοῦ ἄλλου σώματος ὁμοίως; — Ναί.] — Ἆρ' οὖν ὅταν ὑποδημάτων ἐπιμελώμεθα, τότε ποδῶν ἐπιμελούμεθα; — Οὐ πάνυ μανθάνω, ὦ Σώκρατες. — Τί δ', ὦ Ἀλκιβιάδη; ὀρθῶς ἐπιμελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος; — Ἔγωγε. — Ἆρ' οὖν ὅταν τις βέλτιον ποιῇ, τότε ὀρθὴν λέγεις ἐπιμέλειαν; — Ναί. — Τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ; — Σκυτική. — Σκυτικῇ ἄρα ὑποδημάτων ἐπιμελούμεθα; — Ναί. — Ἦ — Ἐκείνῃ. — Βελτίους δὲ πόδας οὐχ ἧπερ καὶ τὸ ἄλλο σῶμα; — Ἔμοιγε δοκεῖ. — Αὕτη δ' οὐ γυμναστική; — Μάλιστα. — Γυμναστικῇ μὲν ἄρα ποδὸς ἐπιμελούμεθα, σκυτικῇ δὲ τῶν τοῦ ποδός; — Πάνυ γε. — Καὶ γυμναστικῇ μὲν χειρῶν, δακτυλιογλυφίᾳ δὲ τῶν τῆς χειρός; — Ναί. — Καὶ γυμναστικῇ μὲν σώματος, ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις τῶν τοῦ σώματος; — Παντάπασιν. — Ἄλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκάστου ἐπιμελούμεθα, ἄλλῃ δὲ τῶν αὐτοῦ. — Φαίνεται. — Οὐκ ἄρα, ὅταν τῶν ἑαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελῇ. — Οὐδαμῶς. — Οὐ γὰρ ἡ αὐτὴ τέχνη, ὡς ἔοικεν, ᾗ τις ἂν αὑτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὑτοῦ. — Οὐ φαίνεται. — Φέρε δή, ποίᾳ ποτ' ἂν ἡμῶν αὐτῶν ἐπιμεληθείημεν; — Οὐκ ἔχω λέγειν. — Ἀλλὰ τοσόνδε γε ὡμολόγηται, ὅτι οὐχ ᾗ ἂν τῶν ἡμετέρων καὶ ὁτιοῦν βέλτιον ποιῶμεν, ἀλλ' ᾗ ἡμᾶς αὐτούς. — Ἀληθῆ λέγεις. — Ἦ οὖν ἔγνωμεν ἄν ποτε, τίς τέχνη ὑπόδημα βέλτιον ποιεῖ, μὴ εἰδότες ὑπόδημα; — Ἀδύνατον. — Οὐδέ γε τίς τέχνη δακτυλίους βελτίους ποιεῖ, ἀγνοοῦντες δακτύαὐτοί; — Ἀδύνατον. — Πότερον οὖν ῥᾴδιον τυγχάνει τὸ γνῶναι ἑαυτόν, καί τις ἦν φαῦλος ὁ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν Πυθοῖ νεών, ἢ χαλεπόν τι καὶ οὐχὶ παντός; — Ἐμοὶ μέν, ὦ Σώκρατες, πολλάκις μὲν ἔδοξε παντὸς εἶναι, πολλάκις δὲ παγχάλεπον. — Ἀλλ' ὦ Ἀλκιβιάδη, εἴτε ῥᾴδιον εἴτε μή ἐστιν, ὅμως γε ἡμῖν ὧδ' ἔχει· γνόντες μὲν αὐτὸ τάχ' ἂν γνοίημεν τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν, ἀγνοοῦντες δὲ οὐκ ἄν ποτε. — Ἔστι ταῦτα. — Φέρε δή, τίν' ἂν τρόπον εὑρεθείη αὐτὸ τοῦτο; οὕτω μὲν γὰρ ἂν τάχ' εὕροιμεν τί ποτ' ἐσμὲν αὐτοί, τούτου δ' ἔτι ὄντες ἐν ἀγνοίᾳ ἀδύνατοί που. — Ὀρθῶς λέγεις. — Ἔχε οὖν πρὸς Διός, τῷ διαλέγῃ σὺ νῦν; ἄλλο τι ἢ ἐμοί; — Ναί. — Οὐκοῦν καὶ ἐγὼ σοί; — Ναί. — Σωκράτης ἄρ' ἐστὶν ὁ διαλεγόμενος; — Πάνυ γε. — Ἀλκιβιάδης δ' ὁ ἀκούων; — Ναί. — Οὐκοῦν λόγῳ διαλέγεται ὁ Σωκράτης; — Τί μήν; — Τὸ δὲ διαλέγεσθαι καὶ τὸ λόγῳ χρῆσθαι ταὐτόν που καλεῖς; — Πάνυ γε. — Ὁ δὲ χρώμενος καὶ ᾧ χρῆται οὐκ ἄλλο; — Πῶς λέγεις; — Ὥσπερ σκυτοτόμος τέμνει που τομεῖ καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις. — Ναί. — Οὐκοῦν ἄλλο μὲν ὁ τέμνων καὶ χρώμενος, ἄλλο δὲ οἷς τέμνων χρῆται; — Πῶς γὰρ οὔ; — Ἆρ' οὖν οὕτως καὶ οἷς ὁ κιθαριστὴς κιθαρίζει καὶ αὐτὸς ὁ καθαριστὴς ἄλλο ἂν εἴη; — Ναί. — Τοῦτο τοίνυν ἀρτίως ἠρώτων, εἰ ὁ χρώμενός τε καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι. — Δοκεῖ. — Τί οὖν; φῶμεν τὸν σκυτοτόμον τέμνειν ὀργάνοις μόνον ἢ καὶ χερσί; — Καὶ χερσί. — Χρῆται ἄρα καὶ ταύταις; — Ναί. — Ἦ καὶ τοῖς ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ; — Ναί. — Τὸν δὲ χρώμενον καὶ οἷς χρῆται ἕτερα ὁμολογοῦμεν; — 〈Ναί.〉 — Ἕτερον ἄρα σκυτοτόμος καὶ κιθαριστὴς χειρῶν καὶ ὀφθαλμῶν οἷς ἐργάζονται; — Φαίνεται. — Οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἄνθρωπος; — Πάνυ γε. — Ἕτερον δ' ἦν τό τε χρώμενον καὶ ᾧ χρῆται; — Ναί. — Ἕτερον ἄρ' ἄνθρωπός ἐστι τοῦ ἑαυτοῦ σώματος; — Ἔοικεν. — Τί ποτ' οὖν ἐστιν ἄνθρωπος; — Οὐκ ἔχω λέγειν. — Ἔχεις μὲν οὖν, ὅτι γε 〈τὸ〉 τῷ σώματι χρώμενον. — Ναί. — Ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ ἢ ψυχή; — Οὐκ ἄλλο. — Οὐκοῦν ἄρχουσα; — Ναί. — Καὶ μὴν τόδε γ' οἶμαι οὐδένα ἂν ἄλλως οἰηθῆναι. — Τὸ ποῖον; — Μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον. — Τίνων; — Ψυχὴν ἢ σῶμα ἢ συναμφότερον, τὸ ὅλον τοῦτο. — Τί μήν; — Ἀλλὰ μὴν αὐτό γε 〈τὸ〉 τοῦ σώματος ἄρχον ὡμολογήσαμεν ἄνθρωπον

εἶναι; — Ὡμολογήσαμεν. — Ἆρ' οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρχει; — Οὐδαμῶς. — Ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν; — ἔστι δὴ τοῦτο ὁ ἄνθρωπος; — Ἴσως δῆτα. — Πάντων γε ἥκιστα· μὴ γὰρ συνάρχοντος τοῦ ἑτέρου οὐδεμία που μηχανὴ τὸ συναμφότερον ἄρχειν. — Ὀρθῶς. — Ἐπειδὴ δὲ οὔτε τὸ σῶμα οὔτε τὸ συναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται, οἶμαι, ἢ μηδὲν αὐτὸ εἶναι, ἢ εἴπερ τί ἐστι, μηδὲν ἄλλο 〈τὸν〉 ἄνθρωπον συμβαίνειν ἢ ψυχήν. — Κομιδῆ μὲν οὖν. — Ἔτι οὖν σαφέστερον δεῖ ἀποδειχθῆναί σοι, ὅτι 〈ἡ〉 ψυχή ἐστιν ἄνθρωπος; — Μὰ Δί', ἀλλ' ἱκανῶς μοι δοκεῖ ἔχειν. — Εἰ δέ γε μὴ ἀκριβῶς ἀλλὰ καὶ μετρίως, ἐξαρκεῖ ἡμῖν· ἀκριβῶς μὲν γὰρ εἰσόμεθα τότε, ὅταν εὕρωμεν ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως. — Τί τοῦτο; — Ὃ ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον σκεπτέον εἴη αὐτὸ τὸ αὐτό· νῦν δ' ἀντὶ τοῦ αὐτοῦ αὐτὸν ἕκαστον ἐσκέμμεθα ὅ τι ἐστίν, καὶ ἴσως ἐξαρκέσει· οὐ γάρ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν ἢ τὴν ψυχήν. — Οὐ δῆτα. — Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις τοῖς λόγοις χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν; — Πάνυ μὲν οὖν. — Τοῦτο δ' σὸν πρόσωπον, ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους· τοῦτο δ' ἐστὶν 〈ἡ〉 ψυχή. — Ἐμοὶ γοῦν δοκεῖ. — Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίζειν [καὶ] ὁ ἐπιτάττων γνῶναι ἑαυτόν. — Ἔοικεν. — Ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὑτοῦ ἀλλ' οὐχ ἑαυτὸν ἔγνωκεν. — Οὕτως. — Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει, καθ' ὅσον ἰατρός, οὐδὲ τῶν παιδοτριβῶν, καθ' ὅσον παιδοτρίβης. — Οὐκ ἔοικεν. — Πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς· οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε, ὡς ἔοικε, γιγνώσκουσιν, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς τέχνας ἃς ἔχουσιν· τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. — Ἀληθῆ λέγεις. — Εἰ ἄρα σωφροσύνης ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. — Οὔ μοι δοκεῖ. — Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι, καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα. — Πάνυ μὲν οὖν. — Οὐκοῦν πάλιν τοῦ; — Ἔμοιγε δοκεῖ. — Οὐ τὰ αὑτοῦ ἄρ' ἔτι πράττει ὁ χρηματιστής. — Ὀρθῶς. — Εἰ δ' ἄρα τις γέγονεν ἐραστὴς τοῦ Ἀλκιβιάδου σώματος, οὐχὶ Ἀλκιβιάδου ἠράσθη, ἀλλά τινος τῶν Ἀλκιβιάδου; — Ἀληθῆ λέγεις. — Ὅστις δὲ σοῦ, τῆς ψυχῆς ἐρᾷ; — Ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου. — Οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται; — Φαίνεται. — Ὁ δὲ τῆς ψυχῆς ἐρῶν οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ; — Εἰκός γε. — Οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιὼν ἀλλὰ παραμένων λήγοντος τοῦ σώματος τῶν ἄλλων ἀπεληλυθότων; Ἐν ταὐτῷ (p. 132 B—p. 134 B). Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅντιν' ἂν τρόπον ἐπιμεληθείημεν ἡμῶν αὐτῶν. — Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθεν πεπέρανται; ὃ γὰρ ἐσμέν, ἐπιεικῶς ὡμολόγηται· ἐφοβούμεθα δὲ μὴ τούτου σφαλέντες λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι, ἀλλ' οὐχ ἡμῶν. — Ἔστι ταῦτα. — Καὶ μετὰ τοῦτο δὴ ὅτι ψυχῆς — Τί μήν; — Τίν' οὖν ἂν τρόπον γνοίημεν αὐτὰ ἐναργέστατα; ἐπειδὴ τοῦτο γνόντες, ὡς ἔοικεν, ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντος οὗ νῦν δὴ ἐμνήσθημεν τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν; — Τὸ ποῖόν τι διανοούμενος λέγεις, ὦ Σώκρατες; — Ἐγώ σοι φράσω, ὅ γε ὑποπτεύω λέγειν καὶ συμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα· κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον. — Πῶς τοῦτο λέγεις; — Σκόπει καὶ σύ. εἰ ἡμῶν τῷ ὄμματι ὥσπερ ἀνθρώπῳ συμβουλεύων εἶπεν ἰδὲ ἑαυτόν, πῶς ἂν ὑπελάβομεν τί παραινεῖν; ἆρ' οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὁ ὀφθαλμὸς ἔμελλεν αὐτὸν ἰδεῖν; — Δῆλον. — Ἐννοῶμεν δή, εἰς τί βλέποντες τῶν ὄντων ἐκεῖνό τε ὁρῷμεν ἅμα ἂν καὶ ἡμᾶς αὐτούς; — Δῆλον δή, ὦ Σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα. — Ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ, ᾧ ὁρῶμεν, ἔνεστι τῶν τοιούτων; — Πάνυ γε. — Ἐννενόηκας οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ — Ὀφθαλμὸς ἄρ' ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τουτὶ ὅπερ βέλτιστον αὐτοῦ καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὐτὸν ἴδοι. — Φαίνεται. — Εἰ δέ γ' εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι ἤ τι τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο

ὃ τυγχάνει ὅμοιον, οὐχὶ ὄψεται αὐτόν; — Ἀληθῆ λέγεις. — Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν αὐτόν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον, καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τυγχάνει ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη; ἔστι δὲ τοῦτό που ὄψις. — Οὕτως. — Ἆρ' οὖν, ὦ Ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὐτήν, εἰς ψυχὴν αὐτῇ βλεπτέον, καὶ μάλιστα εἰς τοῦτον αὐτῆς τὸν τόπον, ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς ἀρετή, σοφία, καὶ εἰς ἄλλο ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν; — Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. — Ἔχομεν οὖν εἰπεῖν, ὅ τι ἐστὶ τῆς ψυχῆς θειότερον ἢ τοῦτο, περὶ ὃ τὸ εἰδέναι καὶ φρονεῖν ἐστιν; — Οὐκ ἔχομεν. — Τῷ θείῳ ἄρα τοῦτ' ἔοικεν αὐτῆς, καί τις εἰς τοῦτο βλέπων καὶ πᾶν τὸ θεῖον γνούς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν 〈ἂν〉 γνοίη μάλιστα. — Φαίνεται. — Τὸ δὲ γιγνώσκειν αὐτὸν ὡμολογοῦμεν σωφροσύνην εἶναι; — Πάνυ γε. — Ἆρ' ὥσπερ κάτοπτρα σαφέστερά ἐστι τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν. — Ἔοικέ γε, ὦ Σώκρατες. — Εἰς τὸν θεὸν ἄρα βλέποντες, ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρώμεθ' ἂν καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν, καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς; — Ναί. — Τὸ δὲ γιγνώσκειν αὐτὸν ὡμολογοῦμεν σωφροσύνην εἶναι; — Πάνυ γε. — Ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς μηδὲ σώφρονες ὄντες δυνάμεθα εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά; — Καὶ πῶς ἂν τοῦτο γένοιτο, ὦ Σώκρατες; — Ἀδύνατον τερα, οὐδὲ τὰ τῶν ἡμετέρων; — Οὐ φαίνεται. — Οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν ὁμολογοῦντες ἄρτι εἶναι τινάς, οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ αὐτῶν· ἄλλους δὲ τὰ τῶν ἑαυτῶν· ἔοικε γὰρ πάντα ταῦτ' εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης, ἑαυτόν, τὰ αὐτοῦ, τὰ τῶν ἑαυτοῦ. — Κινδυνεύει. — Ὅστις δὲ τὰ αὐτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που 〈ἂν〉 ἀγνοοῖ κατὰ ταῦτα. — Τί μήν; — Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει; — Ἀνάγκη. — Οὐκ ἄρα ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός. — Οὐ δῆτα. — Οὐ μὴν οὐδὲ οἰκονομικός γε. — Οὐ δῆτα. — Οὐδέ γ' εἴσεται ὅ τι πράττει. — Οὐ γὰρ οὖν. — Ὁ δὲ μὴ εἰδώς, τί πράττει, οὐχ ἁμαρτήσεται; — Πάνυ γε. — Ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ; — Πῶς δ' οὔ; — Κακῶς δὲ πράττων οὐκ ἄθλιος; — Σφόδρα γε. — Τί δ' οἷς οὗτος πράττει; — Καὶ οὗτοι. — Οὐκ ἄρα οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι. — Οὐχ οἷόν τε. — Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι. — Σφόδρα γε. — Οὐκ ἄρα οὐδὲ ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεταί γε, ἀλλ' ὁ Πλάτωνος ἐκ τοῦ Χαρμίδου (p. 164 D—165 A). Καὶ οὐκ ἂν αἰσχυνθείην μὴ οὐχὶ ὀρθῶς φάναι ποτὲ ἢ τοῦτο συγχωρήσαιμ' ἂν ἀγνοοῦντα ἄνθρωπον αὐτὸν ἑαυτὸν σωφρονεῖν. σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν ἑαυτόν, καὶ συμφέρομαι τῷ ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα. καὶ γὰρ τοῦτο οὕτω μοι δοκεῖ τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις οὖσα τοῦ θεοῦ τῶν εἰσιόντων ἀντὶ τοῦ χαῖρε· ὡς τούτου μὲν οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος, τοῦ χαίρειν, οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλοις ἀλλὰ σωφρονεῖν. οὕτω μὲν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ ἱερὸν διαφέρον τι ἢ οἱ ἄνθρωποι, ὡς διανοούμενος ἀνέθηκεν 〈ὁ〉 ἀναθείς, ὡς ἐμοὶ δοκεῖ· καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι ἢ 'σωφρόνει', φησίν. αἰνιγματωδέστερον δὲ δή, ὡς μάντις, λέγει· τὸ γὰρ 'γνῶθι σαυτόν' καὶ τὸ 'σωφρόνει' ἔστι μὲν ταὐτόν, ὡς τὰ γράμματά φησι καὶ ἐγώ, τάχα δ' ἄν τις οἰηθείη ἄλλο εἶναι, ὃ δή μοι οὗτοι συμβουλὴν ᾠήθησαν εἶναι τὸ 'γνῶθι σαυτόν', ἀλλ' οὐ τῶν εἰσιόντων ἕνεκεν ὑπὸ τοῦ θεοῦ πρόσρησιν· ἵνα δὴ καὶ αὐτοὶ μηδὲν ἧττον χρησίμους συμβουλὰς ἀναθεῖεν, ταῦτα γράψαντες ἀνέθεσαν. Πορφυρίου ἐκ τοῦ α′ 〈Περὶ τοῦ γνῶθι σαυτόν〉. Τί ποτε ἦν ἄρα καὶ τίνος τὸ ἱερὸν πρόσταγμα τὸ ἐν Πυθοῖ, ὃ γνῶναι ἑαυτὸν τοῖς τοῦ θεοῦ δεησομένοις προσαγορεύει; μήτε γὰρ τιμῆσαι θεὸν τὰ προσήκοντα μηδ' αὖ τυχεῖν τοῦ θεοῦ δεηθέντα τὸν ἀγνοίᾳ τῇ ἑαυτοῦ ἐνισχόμενον παραγγέλλειν ἔοικεν. ἀλλ' εἴτε Φημονόη ἐπὶ πάντα λυσιτελοῦν τὰ ἀνθρώπινα τοῦτο ἐθέσπισεν, δι' ἧς πρώτης ὁ Πύθιος λέγεται τὰς εἰς ἀνθρώπους διαδοῦναι χάριτας, εἴτε Φανοθέα ἡ Δελφοῦ, εἴτε καὶ Βίαντος ἢ Θαλοῦ ἢ Χείλωνος

ἦν ἀνάθημα, ὁρμηθὲν ἀπό τινος θείας ἐπιπνοίας· εἴτε Κλεάρχῳ προσεκτέον μᾶλλον τοῦ μὲν Πυθίου φράζοντι εἶναι παράγγελμα, χρησθῆναι δὲ Χείλωνι, τί ἄριστον ἀνθρώποις μαθεῖν πυνθανομένῳ· εἴτε καὶ πρὸ Χείλωνος ἦν ἔτι ἀνάγραπτον ἐν τῷ ἱδρυθέντι νεῷ μετὰ τὸν πτέρινόν τε καὶ χαλκοῦν, καθάπερ Ἀριστοτέλης ἐν ὃ φράζει καὶ πρό γε τῶν περιρραντηρίων προτελεῖσθαι τῷ θεῷ ἐπιτάττει, ἀναγκαῖον ἂν εἴη γνῶναι. Πορφυρίου ἐκ τοῦ α′ Περὶ τοῦ Γνῶθι σαυτόν. Ἀλλὰ μήποτε ‘σωφρόνει‘ ἔνεστιν ἀκοῦσαι λέγοντος ἀντὶ τοῦ ‘σῷζε τὴν φρόνησιν‘· καὶ γὰρ σωφροσύνη σαοφροσύνη τις ἦν· οὕτω δὲ πρὸς τὸ φρονοῦν καὶ τοῦ φρονεῖν αἴτιον διαλέγοιτ’ ἂν, σῴζειν ἑαυτὸ παρακελευόμενος· τοῦτο δ’ ἂν εἴη ὁ νοῦς. ἀλλ’ εἰ τοῦτο, δεῖ πάλιν γνῶναι τὴν οὐσίαν ἡμῶν ἥ τις ἐστίν. ἄλλοι γε μὴν μικρὸν διάκοσμον καλῶς εἰρῆσθαι φάμενοι τὸν ἄνθρωπον, παρακελεύεσθαι μέν φασι τὸ γράμμα γνῶναι τὸν ἄνθρωπον· ὄντος δὲ μικροῦ διακόσμου τοῦ ἀνθρώπου, οὐδὲν ἄλλο κελεύειν ἢ φιλοσοφεῖν· εἴπερ οὖν ἀπταίστως φιλοσοφεῖν σπουδάζομεν, προθυμώμεθα γνῶναι ἑαυτούς, καὶ ἔσται ἡμῖν τεῦξις ὀρθῆς φιλοσοφίας ἐκ τῆς ἡμετέρας κατανοήσεως ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν. ἀλλ’ ὅτι μὲν ἀπὸ τῶν ἐν ἡμῖν συλλογιζόμεθα καὶ περὶ τῶν ἐν τῷ ὅλῳ καὶ ἡμᾶς ἐτάζοντες καὶ εὑρίσκοντες ῥᾷον μεταβαίνομεν ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν, λέγεται ὀρθῶς· μήποτε δὲ τὴν ἑαυτοῦ θεωρίαν οὐ φιλοσοφίας ἕνεκα θεὸς ποιεῖσθαι παρασοφία παρελήφθη. φιλοσοφία μὲν γὰρ ἐπετηδεύθη ἐκ προσπαθείας ἡμῶν τῆς πρὸς τὸ σοφὸν καὶ τῆς πρὸς τὴν θεωρητικὴν σοφίαν ἀγαπήσεως· ἡ δὲ σπουδὴ τῆς πρὸς τὸ γνῶναι ἑαυτὸν παρακελεύσεως εἰς τεῦξιν τῆς ἀληθινῆς εὐδαιμονίας ἀποτείνεται, ἥ τις συνίστατο ἐκ τῆς κατὰ σοφίαν διαθέσεως καὶ κατὰ κτῆσιν τῆς σοφίας θεωρίας τοῦ ἀγαθοῦ καὶ τῶν ὄντως ὄντων γνώσεως. θεωρεῖν οὖν καὶ μανθάνειν παρακελεύεται τοὺς ὄντως ἑαυτούς, οὐχ ἵνα φιλοσοφήσωμεν, ἀλλ’ ἵνα σοφοὶ γενόμενοι εὐδαιμονήσωμεν. ἡ γὰρ τεῦξις τῆς ὄντως οὔσης οὐσίας ἡμῶν καὶ ἡ ταύτης ἀληθὴς γνῶσις σοφίας ἦν τεῦξις, εἴ γε σοφίας ἴδιον ἡ τῆς ὄντως οὐσίας τῶν πραγμάτων ἀληθὴς ἐπιστήμη, διὰ σοφίας δὲ ἡ τῆς τελείας εὐδαιμονίας γίγνεται κτῆσις. Τοῦ αὐτοῦ ἐκ τοῦ δ′. Ἐπεὶ δὲ ἦν τις κατάβασις ἡμῖν εἰς τὰ τῇδε, καὶ τὸν ἐκτὸς περικειμένοις ἄνθρωπον καὶ ἠπατημένοις γε, ὅτι τοῦτό ἐσμεν τὸ ὁρώμενον, παραίνεσις οἰκεία εἰς τὴν γνῶσιν τῆς ἑαυτοῦ δυνάμεως. ὁ γὰρ δὴ Πλάτων ἐν τῷ Φιλήβῳ μνησθεὶς τοῦ γνῶθι σαυτὸν τριχῇ διαιρεῖται τὴν ἄγνοιαν. πανταχοῦ τοίνυν ἡ ἑαυτοῦ ἄγνοια πονηρόν, ἄν προσὸν αὐτῷ ταπεινὸν ἐπαίρηται ἐπ’ αὐτῷ. ἢ οὐ πᾶν γε τὸ θνητὸν ἄντικρυς ὡς ὅτε τις ψάμαθον πάις ἄγχι θαλάσσης; ὅς τ’ ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν, ἄψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων. πᾶς οὖν ἀγνοίᾳ ἑαυτοῦ τὸ καθ’ αὑτὸν ἐπαίρων ἁλίσκεται ὑπὲρ τῆς δημιουργησάσης αὐτὸν φύσεως πλεῖον ἢ ἐκείνη βεβούληται, τὰ αὐτῆς ὡς σεμνὰ θαυμάζων παίγνια· ἡ δὲ τηρεῖν ἔοικεν ἐν πᾶσι τῆς ἀξίας τὸ πρέπον, οὐδὲν τοῖς ἐπαίρουσι συνεξαπατωμένη. τὸ γνῶθι οὖν σαυτὸν διήκει εἰς πᾶσαν ὑπόληψιν τῆς προσούσης δυνάμεως, παραγγέλλον γιγνώσκειν τὰ μέτρα ἐπὶ πάντων. τὸ μὲν οὖν γιγνώσκειν ἑαυτὸν τὴν ἀναφορὰν ἔοικεν ἔχειν ἐπὶ τὸ γιγνώσκειν δεῖν τὴν ψυχὴν καὶ τὸν νοῦν, ὡς ἐν τούτῳ ἡμῶν οὐσιωμένων· τὸ δὲ πάντῃ γιγνώσκειν ἑαυτὸν συμπεριλαμβάνειν ἔοικεν ἡμᾶς καὶ τὰ ἡμέτερα καὶ τὰ τῶν ἡμετέρων. τοιαύτη μὲν καὶ ἡ ἐν τούτοις τοῦ Πλάτωνος ἀκρίβεια φιλοτιμηθέντος ἐκτὸς τῶν ἄλλων καὶ δίχα τῶν περὶ ἡμᾶς ἁπάντων γνῶναι ἑαυτόν, καὶ πάλιν πάντῃ γνῶναι ἑαυτόν, ἵνα καὶ ὁ ἐντὸς ἀθάνατος γνωσθῇ ἄνθρωπος καὶ ὁ ἐκτὸς εἰκονικὸς μὴ ἀγνοηθῇ καὶ τὰ τούτοις διαφέροντα γνώριμα γένηται. διαφέρει μὲν γὰρ τῷ ἐντὸς παντέλειος νοῦς, ἐν ᾧ αὐτὸς ἄνθρωπος, οὗ εἰκὼν ἕκαστος ἡμῶν· διαφέρει δὲ τῷ ἐκτὸς εἰδώλῳ τὰ περὶ τὸ σῶμα καὶ τὰς κτήσεις. ὧν δεῖ καὶ τὰς δυνάμεις γιγνώσκειν καὶ τὸ ἄχρι τίνος τούτων φροντιστέον, ἵνα μήτε τὴν τοῦ ἀθανάτου ὦμεν καὶ διὰ πάντων ἄδικοι τῇ τοῦ κατ’ ἀξίαν ἀγνοίᾳ.

3.22 Εὐριπίδου Γλαύκῳ (fr. 643 N. 2). Βαρὺ τὸ φόρημ’ οἴησις ἀνθρώπου κακοῦ. (Eur. fr. 425 N. 2) Ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ’ ἀνήρ, φίλοις τ’ ἄμικτός ἐστι καὶ πάσῃ πόλει. Σωσιφάνους

(fr. 3 p. 820 N. 2). Ὦ δυστυχεῖς μὲν πολλά, παῦρα δ' ὄλβιοι βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις, ἃς ἔν τ' ἔδωκε φέγγος ἔν τ' ἀφείλετο; ἢν δ' εὐτυχῆτε, μηδὲν ὄντες εὐθέως ἴς' οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον Ἅιδην παρεστῶτ' οὐχ ὁρᾶτε πλησίον. Φιλήμονος (fab. inc. fr. 60 com. IV p. 55). Τὸ γνῶθι σαυτόν, οὐ μάτην εὖ ἴσθ' ὅτι τὸ ῥῆμα τοῦτο δόξαν ἐν Δελφοῖς ἔχει. Εὐριπίδου (fr. 1040 N. 2). Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα, τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα. Τοῦ αὐτοῦ (fr. 1041 N. 2). Τοῦ αὐτοῦ Αὔγης (fr. 277 N. 2). Ποῖ; πῶς δὲ λήσει; τίς δὲ νῷν πιστὸς φίλος; ζητῶμεν· ἡ δόκησις ἀνθρώποις κακόν, καὶ τοὐπιχειρεῖν γ' ἐξαμαρτάνειν φιλεῖ. Τοῦ αὐτοῦ Ἀλκμέωνι (fr. 79 N. 2). Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους· θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν. Μενάνδρου Τίτθῃ (fr. 2 com. IV p. 205). Οἱ τὰς ὀφρῦς αἴροντες ὡς ἀβέλτεροι, καὶ 'σκέψομαι' λέγοντες· ἄνθρωπος γὰρ ὢν σκέψῃ σὺ περί του; δυστυχὴς ὅταν τύχῃ; αὐτόματα γὰρ τὰ πράγματ' ἐπὶ τὸ συμφέρον ῥεῖ, κἂν καθεύδῃς, ἢ πάλιν τἀναντία. Χαιρήμονος (fr. 30 N. 2). Ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα. Μενάνδρου Κυβερνήταις (fr. 2 com. IV p. 157). Ὦ τρισάθλιοι ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα. αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν. Μενάνδρου (fab. inc. fr. 195 com. IV p. 277). Πᾶς ὁ μὴ φρονῶν ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται. Εὐριπίδου Ἀλκμέωνος (fr. 76 N. 2). Ὁρᾶτε τὸν τύραννον, ὡς ἅπαις γέρων φεύγει· φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα. Εὐριπίδου Αἰόλου (fr. 29 N. 2). Σιγᾶν φρονοῦντα κρεῖσσον εἰς ὁμιλίαν πεσόντα· τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν πέποιθε δούλους τοὺς φίλους ἡγούμενος. Εὐριπίδου Ἀνδρομάχης (189). Δημώνακτος (fr. 1 p. 827 N. 2). Θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς. Εὐριπίδου Βάκχαις (395). Τὸ σοφὸν οὐ σοφία τό τε μὴ θνητὰ φρονεῖν. βραχὺς αἰών· ἐπὶ τούτῳ δέ τις ἂν μεγάλα διώκων τὰ παρόντ' οὐχὶ φέρει. μαινομένων δ' οἵδε τρόποι καὶ κακοβούλων παρ' ἔμοιγε φωτῶν. Εὐριπίδου Ἡρακλεῖδαι (388). Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων. Μενάνδρου (gubernat. fr. 1 com. IV p. 156). Τἀργύριον εἶναι, μειράκιόν, σοι φαίνεται οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον τιμὴν παρασχεῖν δυνατόν, ἄρτων, ἀλφίτων, ὄξους, ἐλαίου, μείζονος 〈δ'〉 ἄλλου τινός. πίστευε τούτῳ μήτε τῶν πτωχῶν πάλιν ἡμῶν καταφρόνει, τοῦ δέ γ' εὐτυχεῖν ἀεὶ πάρεχε σεαυτὸν τοῖς ὀρῶσιν ἄξιον. Σοφοκλέους Αἴαντι (125—130). Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν εἴδωλ', ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν. — Τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος, μηδ' ὄγκον ἄρῃ μηδέν', εἴ τινος πλέον ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει. Ἐν ταὐτῷ (758—761). Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονῇ. Σοφοκλέους Τηρεῖ (fr. 531 N. 2). ΧΟΡ. Θνητὰ φρονεῖν χρὴ θνητὴν φύσιν τοῦτο κατειδότας, ὡς οὐκ ἔστιν πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων ταμίας ὅ τι χρὴ τετελέσθαι. Σοφοκλέους Κολχίδες (fr. 321 N. 2). Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα. Εὐριπίδου Ἀλκμέωνι (fr. 81 N. 2). Ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας λέγειν, ἐξ ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης. Ἱππoθόου (Hippothoont. fr. 1 p. 827 N. 2). Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης. Σωτᾶ. Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον. ἂν μακρὰ πτύῃς, φλέγματί τῳ κρατεῖ περισσῷ. ἂν εὐιματῇς, ταῦτα πρὸ σοῦ προβάτιον εἶχεν. ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα. ἂν πλούσιος ᾖς, τοῦτο χρόνων ἄδηλος ἰσχύς. ἂν ἀλαζὼν ᾖς, τοῦτ' ἀνοίας ἐστὶ φρύαγμα. ἂν δὲ σωφρονῇς, τοῦτο θεῶν δῶρον ὑπάρχει. ἡ σωφροσύνη πάρεστιν, ἂν μετρῇς σεαυτόν. Ἰσιδώρου (fr. 2 p. 829 N. 2). Θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν. Μενάνδρου Ἐμπιμπραμένη (fr. 3 com. IV p. 114). Ἐφ' ᾧ φρονεῖς μέγιστον, ἀπολεῖ τοῦτό σε, τὸ δοκεῖν τιν' εἶναι· καὶ γὰρ ἄλλους μυρίους. Μενάνδρου Ἐπαγγελλόμενος (fr. 1 com. IV p. 115). Τὸ σὸν ταπεινόν, ἂν σὺ σεμνύνῃ, καλὸν ἔξω φανεῖται, φίλ' ἄνερ· ἂν δ' αὐτὸς ποιῇς ταπεινὸν αὐτὸ καὶ τιθῇς ἐν μηδενί, οἰκεῖος οὗτος κατάγελως νομίζεται. Τοῦ αὐτοῦ Κανηφόρος (fr. 1 com. IV p. 143). Τὸ γὰρ προθύμως μὴ πονήσαντας τυχεῖν εὐδαιμονίας εἴωθ' ὑπερηφανίας ποιεῖν.

Εὐριπίδου Τηλέφου (fr. 716 N. 2). Σὺ δ’ εἶκ’ ἀνάγκῃ καὶ θεοῖσι μὴ μάχου· τόλμα δὲ προσβλέπειν με καὶ φρονήματος χάλα. τά τοι μέγιστα πολλάκις θεὸς ταπείν’ ἔθηκε καὶ συνέστειλεν πάλιν. Αἰλιανοῦ ἱστοριῶν (var. hist. III 28). Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθ’ ἀναζητεῖν. ὡς δ’ εὗρε, προσέταξεν αὐτῷ καὶ τοὺς ἀγροὺς τοὺς ἰδίους αὐτοῦ διαθρῆσαι· τοῦ δὲ εἰπόντος ‘ἀλλ’ οὐδαμοῦ γεγραμμένοι εἰσίν‘ ‘ἐπὶ τούτοις οὖν‘ εἶπε ‘μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσίν;‘ Δημοσθένους (XVIII § 128 p. 269 sq.). Παιδείας τῶν μὲν ἀληθῶς τετυχηκότων οὐδ’ ἂν εἷς εἴποι μέγα οὐδὲν περὶ ἑαυτοῦ, ἀλλὰ καὶ ἑτέρου λέγοντος ἐρυθριάσειεν ἄν· τοῖς δ’ ἀπολειφθεῖσι μέν, προσποιουμένοις δὲ ὑπὸ ἀναισθησίας τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖ. Σωκράτους. Παρὰ τῷ τύφῳ, καθάπερ παρὰ κακῷ πλάστῃ, διεστραμμένας τὰς τῶν πραγμάτων εἰκόνας ἰδεῖν ἔστιν. Σωκράτους. Ἡ δεισιδαιμονία καθάπερ πατρὶ τῷ τύφῳ πείθεται. Τοῦ αὐτοῦ. Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι, τοὺς δὲ ἀνοήτους ἀνθρώπους τὸ οἴημα. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τίνες βάναυσοι, ‘οἱ τῶν ὁμοίων‘ ἔφη ‘καταφρονοῦντες‘. Φαβωρίνου (fr. 106 Marres.). Φρονήσῃς μὲν οὖν μηδέποτε ἐπὶ σεαυτῷ μέγα· ἀλλὰ μηδὲ καταφρονήσῃς σεαυτοῦ. Διογένους. Τῆς ἀλαζονείας καθάπερ τῶν κεχρυσωμένων ὅπλων οὐχ ὅμοιά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός. Τοῦ αὐτοῦ. Ὁ τῦφος ὥσπερ ποιμὴν οὗ θέλει τοὺς πολλοὺς ἄγει. Δημοκρίτου (fr. mor. 190 Mullach.). Τελευτᾷ γὰρ ἐς κακοδοξίην κακὴν ὁ παρεκτεινόμενος τῷ κρέσσονι. Δημοκράτους. Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ καὶ πνευστιῶν ποιεῖν ἔφη ὅπερ καὶ σύμπασα ἡ Ἀθηναίων πόλις· πνεῖν μὲν γὰρ μέγα, ἰσχύειν δὲ μικρόν. Ξενοφῶντος ἐν β′ Κύρου παιδείας (II 2, 12). Ὁ μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμένοις καὶ πλουσιωτέροις εἶναι ἢ εἰσὶ καὶ ἀνδρειοτέροις, καὶ ποιήσειν ἃ μὴ ἱκανοί εἰσιν ὑπισχνουμένοις, καὶ ταῦτα φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν τι ἕνεκα καὶ κερδᾶναι ποιοῦσιν· οἱ δὲ μηχανώμενοι γέλωτα τοῖς συνοῦσι μήτε ἐπὶ τῷ αὐτῶν κέρδει μήτε ἐπὶ ζημίᾳ τῶν ἀκουόντων μήτ’ ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς οὐχ οὗτοι ἀστεῖοι ἂν καὶ εὐχάριτοι δικαιότερον ὀνομάζοιντο ἢ ἀλαζόνες; Ξενοφῶντος ἐν τῷ η′ τῆς Κύρου παιδείας (VIII 4, 14). Δοκεῖ δέ μοι, ὦ Κῦρε, χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς ἢ τὰ κακὰ φέροντα. τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. Ἡροδότου ἱστορίας ζ′ (VII 10). Ὁρᾷς τὰ ὑπερέχοντα ζῷα ὡς κεραυνοῖ ὁ θεὸς οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ οὐδέν μιν κνίζει· ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δένδρεα τὰ τοιαῦτα ἀποσκήπτει βέλεα· φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. οὕτω δὲ καὶ στρατὸς πολὺς ὑπὸ ὀλίγου διαφθείρεται κατὰ τοιόνδε· ἐπεάν σφιν ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ ἢ βροντήν, δι’ ὧν ἐφθάρησαν ἀναξίως ἑωυτῶν. οὐ γὰρ ἐᾷ φρονέειν μέγα ὁ θεὸς ἄλλον ἢ ἑωυτόν.

3.23 Κριτίου (fr. 4 p. 774 N. 2). Δεινὸν δ’, ὅταν τις μὴ φρονῶν δοκῇ φρονεῖν. Σωσικράτους (inc. fab. com. IV p. 592). Ἀγαθοὶ δὲ τὸ κακὸν ἐσμὲν ἐφ’ ἑτέρων ἰδεῖν· αὐτοὶ δ’ ὅταν ποιῶμεν, οὐ γιγνώσκομεν. Μενάνδρου (inc. fab. fr. 85 com. IV p. 256). Οὐθεὶς ἑαυτοῦ τὰ κακὰ συνορᾷ, Πάμφιλε, σαφῶς, ἑτέρου δ’ ἀσχημονοῦντος ὄψεται. Μενάνδρου Ἀσπίδος (fr. 4 com. IV p. 92). Ὃ βούλεται γὰρ μόνον ὁρῶν καὶ προσδοκῶν ἀλόγιστος ἔσται τῆς ἀληθείας κριτής. Εὐριπίδου (inc. fab. fr. 1042 N. 2). Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί, αὐτοὶ δ’ ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν. Αἰσώπου. Αἴσωπος ἔφη δύο πήρας ἕκαστον ἡμῶν φέρειν, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν, διὸ οὐδὲ καθορῶμεν αὐτά. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Οὕτως ἔνιοι αὐτοῖς δοκοῦσι φιλοσοφεῖν ὡς καὶ νήφειν οἱ μεθύοντες. Σωκράτους. Σωκράτης ἔλεγεν, εἴ τις ἐν θεάτρῳ ὑποκηρύττοι ἀνίστασθαι τοὺς σκυτοτόμους, ἐκείνους μόνους ἀναστήσεσθαι, ὁμοίως εἰ τοὺς χαλκοτύπους, τοὺς ὑφάντας, τοὺς ἄλλους κατὰ γένος· εἰ δὲ τοὺς φρονίμους ἢ δικαίους,

πάντας ἀναστήσεσθαι. καὶ ἔστιν ἐν βίῳ βλάπτον μάλιστα τὸ Δημοσθένους (III § 19 p. 33). Διόπερ ῥᾴστόν ἐστιν ἁπάντων ἑαυτὸν ἐξαπατᾶν· ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται, τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν. Διογένους. Διογένης ἔφη τῶν ἀνθρώπων ἐνίους τὰ δέοντα λέγοντας ἑαυτῶν οὐκ ἀκούειν, ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας οὐκ αἰσθάνεσθαι. Ἡροδότου ἱστορίας γ' (III 38). Εἰ γάρ τις προθείη πᾶσιν ἀνθρώποισιν ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους ἐκ τῶν πάντων νόμων, διασκεψάμενοι ἂν ἑλοίατο ἕκαστοι τοὺς ἑαυτῶν· οὕτω νομίζουσι πολύ τι καλλίστους τοὺς ἑαυτῶν νόμους ἕκαστοι εἶναι. Ἐν ταὐτῷ (53). Ἡ φιλοτιμίη κτῆμα σκαιόν. μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθέασι, πολλοὶ δὲ ἤδη τὰ μητρώια διζήμενοι τὰ πατρώια ἀπέβαλον. Πλάτωνος. Πλάτων συνεβούλευεν, ὅτε καταγελάσομεν τινῶν, ἐπιστρέφειν ἐφ' ἑαυτοὺς καὶ σκοπεῖν, μὴ καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐσμὲν ἔνοχοι. πολλὰ γὰρ τὸ φίλαυτον ἐπικρύπτει καὶ περιβάλλει παρὰ τῷ μᾶλλον καταγελῶντι. Ἀπολλώνιος Σατύρῳ (ep. LXXXVIII p. 126 Herch.). Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι. Εὐσεβίου (fr. 28 phil. Graec. III p. 11 Mullach.). Πολλοὶ δοκέοντες ἑωυτοὺς φιλέειν οὐ φιλέουσιν ἀληθέως· πάντα γοῦν αὐτοῦ τούτου ἕνεκα εἴκοντες ἑωυτοῖσι καὶ παρὰ τὸ ἀτρεκὲς χαριζόμενοι αὐτοῖσι τοῖς ἐναντιωτάτοισι περιπίπτουσιν. Εὐσεβίου (ib. fr. 29). Πολλοὶ βουλόμενοι δοκέειν εἶναι εὐβουλότατοι πρὸς τῶν οἰκειοτάτων καὶ εὖ φρονεόντων ἀναποδιζόμενοι οὐκ ἀξιεῦσιν ἀπὸ τῶν δοξάντων ἅπαξ ἀναχωρέειν· ἀλλ' ὅκως μὴ ἐλεγχοίατο ὡς ἀπὸ ἡμαρτημένης ἀφιστάμενοι ἐμμένουσι τῇ γνώμῃ, ἐς ὃ δὴ καὶ τοῖς ἀπ' αὐτῆς κακοῖς Πλάτωνος ἐκ τοῦ Κρατύλου (p. 428 D). Τὸ ἐξαπατᾶσθαι αὐτὸν ὑφ' αὑτοῦ πάντων χαλεπώτατον· ὅταν γὰρ μηδὲ σμικρὸν ἀποστατῇ, ἀλλ' ἀεὶ παρῇ ὁ ἐξαπατήσων, πῶς οὐ δεινόν; Τοῦ αὐτοῦ Νόμων ε' (p. 731 D—732 B). Πάντων δὲ μέγιστον κακὸν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστιν, οὗ πᾶς αὐτῷ ξυγγνώμην ἔχων ἀποφυγὴν οὐδεμίαν μηχανᾶται· τοῦτο δ' ἔστιν ὃ λέγουσιν ὡς φίλος αὐτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον· τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε. τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν, ὥστε τὰ δίκαια καὶ τὰ ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὐτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος· οὔτε γὰρ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τὸν μέγαν ἄνδρα ἐσόμενον στέργειν, ἀλλὰ τὰ δίκαια, ἐάν τε παρ' αὐτῷ ἐάν τε παρ' ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ. ἐκ ταὐτοῦ δὲ ἁμαρτήματος τούτου καὶ τὸ τὴν ἀμαθίαν τὴν παρ' αὐτῷ δοκεῖν σοφίαν εἶναι γεγονέναι πᾶσιν· ὅθεν οὐκ εἰδότες ὡς ἔπος εἰπεῖν οὐδὲν οἰόμεθα τὰ πάντα εἰδέναι, οὐκ ἐπιτρέποντες δὲ ἄλλοις ἃ μὴ ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράττοντες. διὸ πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα φιλεῖν αὑτόν, τὸν δ' ἑαυτοῦ βελτίω διώκειν δεῖ, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούμενον.

3.24 Διφίλου (fab. inc. fr. 15 com. IV p. 421). Ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ, πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται; Πυθαγόρου (Aur. carm. 12 ed. Nauck.). Μενάνδρου (fab. inc. fr. 86 com. IV p. 257). Ὁ συνιστορῶν αὑτῷ τι κἂν ᾖ θρασύτατος, ἡ σύνεσις αὐτὸν δειλότατον εἶναι ποιεῖ. Σοφοκλέους (fr. 844 N. 2). Κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ, σιγᾶν ἀνάγκη, κἂν καλὸν φορῇ στόμα. Εὐριπίδου Ὀρέστῃ (395—396). Ὀρέστα τλῆμον, τίς ς' ἀπόλλυσιν νόσος; — Ἡ σύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος. Σοφοκλέους (fr. 845 N. 2). Ἦ δεινὸν ἀργεῖν, ἡνίκ' ἄν τις ἐσθλὸς ὢν αὑτῷ συνειδῇ. Ἀντιφάνους (fab. inc. 42 b com. III p. 149). Τὸ μὴ συνειδέναι γὰρ αὐτοῦ τῷ βίῳ ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει. Πυθαγόρου. Κακὰ μείζω πάσχει διὰ τοῦ συνειδότος ὁ ἀδικῶν βασανιζόμενος ἢ [ὁ] τῷ σώματι [καὶ ταῖς] πληγαῖς μαστιγούμενος. Ἰσοκράτους πρὸς Δημόνικον (§ 16 p. 5 b). Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ συνειδήσεις. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (§ 52 p. 37 d). Μηδὲν ἀποκρύπτεσθε μήθ' ὧν κέκτησθε μήθ' ὧν ποιεῖτε

μήθ' ὧν μέλλετε πράττειν, εἰδότες ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων ἀναγκαῖόν ἐστι πολλοὺς φόβους γίγνεσθαι. Βίαντος. Βίας ἐρωτηθεὶς τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον, Περιάνδρου. Περίανδρος ἐρωτηθεὶς τί ἐστιν ἐλευθερία, εἶπεν 'ἀγαθὴ συνείδησις'. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τίνες ἀταράχως ζῶσιν, εἶπεν 'οἱ μηδὲν ἑαυτοῖς ἄτοπον συνειδότες'. Διογένους. Τίς γὰρ ἂν ἧττον φοβοῖτό τι ἢ θαρσοίη μάλιστα, ἢ ὅστις αὐτῷ μηδὲν συνειδείη κακόν; Πλουτάρχου ἐκ τοῦ Περὶ εὐθυμίας (p. 476 F—477 A). Τὸ γὰρ συνειδὸς οἷον ἕλκος ἐν σαρκὶ τῇ ψυχῇ τὴν μεταμέλειαν αἱμάσσουσαν ἀεὶ καὶ νύσσουσαν ἐναπολείπει. τὰς μὲν γὰρ ἄλλας ἀναιρεῖ λύπας ὁ λόγος, τὴν δὲ μετάνοιαν αὐτὸς ἐνεργάζεται δακνομένῃ σὺν αἰσχύνῃ καὶ κολαζομένῃ ὑφ' αὑτῆς. ὡς γὰρ οἱ ῥιγοῦντες καὶ πυρετοῖς διακαιόμενοι τῶν ταὐτὰ πασχόντων ἔξωθεν ὑπὸ καύθεν ἐπιφερομένας. τὸ δὲ οὗ τις ἐμοὶ τῶν ἄλλος ἐπαίτιος, ἀλλ' ἐγὼ αὐτός ἐπιθρηνούμενον τοῖς ἁμαρτανομένοις ἔνδοθεν ἐξ αὐτοῦ, βαρύτερον ποιεῖ τῷ αἰσχρῷ τὸ ἀλγεινόν. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (§ 59 p. 39 a). Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας· μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιστα ἄν τις δύναιτο τὸν βίον διαγαγεῖν.

3.25 Ἐκ τοῦ Πορφυρίου Περὶ τῶν τῆς ψυχῆς δυνάμεων. Ὥσπερ γὰρ ἐκ τῶν ἐνεργειῶν καὶ τὰς ἄλλας κατελαβόμεθα, οὕτως ἀναθεωροῦντες κατὰ συναναφορὰν γιγνοῆ διὰ λόγου, ἐθέμεθα καὶ ταύτην ψυχῆς δύναμιν, ἣ τῇ συναναφορᾷ καλεῖται μνήμη, ἣν ἀφορίζεται Ἀριστοτέλης κατοχὴν φαντάσματος, ὡς εἰκόνος, οὗ φάντασμα εἰκών, οἷον ὅταν γένηται ἡ αἴσθησις, ἀνεδόθη ἐπὶ τὴν φανταστικὴν κατασκευήν· τὸ γενόμενον ἐν τῇ φανταστικῇ τὸ πάθος ὅ τι δή ποτε ὄν, φάντασμα καλεῖται, ἔτι οὖν καὶ ἀρθέντος τοῦ αἰσθητικοῦ ἐκ τῆς αἰσθήσεως, τὸ προσπῖπτον ἐν τῇ εἰκόνι τοῦ αἰσθητοῦ, ἀφ' οὗ συνέστηκε τὸ φάντασμα, εἰκόνος λόγον ἔχον πρὸς τὸ φανταστόν· οἷον γὰρ εἰκών τις ἐγένετο ἐν τῇ φανταστικῇ τοῦ ὑποπεσόντος ὑπὸ τὴν αἴσθησιν. ὅταν οὖν γένηται κατοχὴ περὶ τὴν φανταστικὴν τοῦ φαντάσματος, καλεῖται μνήμη. τοῦτο μὲν οὖν κοινὸν καὶ ἐν τοῖς ἀλόγοις ζῴοις· ἡ δὲ διηρθρωμένη, καθ' ἣν καὶ ἀναμιμνησκόμεθα, ἐν μόνοις ἐστὶ τοῖς λογικοῖς· ἴδιον γὰρ λογισμοῦ τὸ διηρθρωμένον. διὸ καὶ φασὶν οἱ περὶ τὸν Ἀριστοτέλην τὰ ἄλογα ζῷα μεμνῆσθαι μέν, ἀναμιμνήσκεσθαι δὲ μή, μόνον δὲ τὸν ἄνθρωπον καὶ μνημονεύειν καὶ ἀναμιμνήσκεσθαι. Πλάτωνος ἐκ τοῦ Κρατύλου (p. 437 B). Ἡ μνήμη παντί που μηνύει ὅτι μονή ἐστιν ἐν τῇ Ἀριστοτέλους Περὶ μνήμης (I p. 450 ed. Berol.). Τὴν δὲ κατοχὴν τῶν φαντασμάτων μνήμην ἐπονομάζεσθαι, τὴν δ' ἀναπόλησιν τούτων ἀνάμνησιν· οὐ τοὺς αὐτοὺς δ' εἶναι μνημονικούς τε καὶ ἀναμνηστικούς, ἀλλ' ὡς ἐπὶ πολὺ μνημονικωτέρους μὲν ὑπάρχειν τοὺς βραδεῖς, ἀναμνηστικωτέρους δὲ τοὺς ταχεῖς καὶ εὐμαθεῖς. διαφέρειν δὲ τῆς φαντασίας τὴν μνήμην, ὅτι ἡ μὲν κίνησίς ἐστιν αἰσθήσεως ἐνεργούσης ἢ διανοίας· φαντάσματα γὰρ ἄμφω λέγειν ὁμοίως ἡμᾶς· ἡ δ' οἷον ζωγράφημά τι τῆς ψυχῆς· τὴν γὰρ γινομένην κίνησιν τῆς αἰσθήσεως σημαίνεσθαί τινα τύπον ἐν αὐτῇ παραπλησίως τοῖς σφραγιζομένοις διὰ τῶν δακτυλίων. διὸ καὶ τοῖς μὲν ἐν κινήσει πολλῇ διὰ πάθος ἢ δι' ἡλικίαν οὖσιν οὐ γίνεσθαι, καθάπερ εἰς ὕδωρ ῥέον ἐμπιπτούσης τῆς κινήσεως καὶ τῆς σφραγῖδος, τοῖς δὲ διὰ τὸ ψύχεσθαι, καθάπερ καὶ τὰ παλαιὰ τῶν οἰκοδομημάτων, καὶ διὰ σκληρότητα δὲ τοῦ δεχομένου τὸ πάθος οὐ γίνεσθαι τοὺς τύπους. διόπερ τούς τε νέους σφόδρα καὶ τοὺς γέροντας ἀμνήμονας εἶναι· ὑπορρεῖν γὰρ τῶν μὲν διὰ τὴν αὔξησιν, τῶν δὲ διὰ τὴν φθίσιν. ὁμοίως δὲ καὶ [διὰ] τοὺς λίαν ταχεῖς ἢ βραδεῖς· οὐδετέρους γὰρ τούτων φαίνεσθαι μνημονεύοντας· τοὺς μὲν γὰρ ὑγροτέρους εἶναι τοῦ δέοντος, τοὺς δὲ σκληροτέρους, παρ' ὃ καὶ τῶν μὲν οὐ μένειν ἐν τῇ ψυχῇ τὸ Ἐκ τῆς Πλάτωνος πρὸς Διονύσιον ἐπιστολῆς (ep. II p. 496 Herch.). Μεγίστη δὲ φυλακὴ τὸ μὴ γράφειν ἀλλ' ἐκμανθάνειν· οὐ γὰρ ἔστι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν. διὰ ταῦτ' οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα, οὐδ' ἔστι σύγγραμμα Πλάτωνος οὐδὲν οὐδ' ἔσται, τὰ δὲ νῦν λεγόμενα Σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος. Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 34 A—C). Τὸ δ' ἐν ἑνὶ

πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δὴ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοι' ἄν. — Ἀληθέστατα λέγεις. — Οὐκοῦν ἤδη μανθάνομεν, ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν; — Τί μήν; — Σωτηρίαν τοίνυν αἰσθήσεως τὴν μνήμην λέγων ὀρθῶς ἄν τις λέγοι κατά γε τὴν ἐμὴν γνώμην. — Ὀρθῶς γὰρ οὖν. — Μνήμης δὲ ἀνάμνησιν ἆρ' οὐ διαφέρουσαν λέγομεν; — Ἴσως. — Ἆρ' οὐ τόδε; — Τὸ ποῖον; — Ὅταν ἃ μετὰ τοῦ σώματος ἔπασχε πάθη ψυχή, ταῦτα ἄνευ σώματος αὐτὴ ἐν ἑαυτῇ ὅ τι μάλιστα ἀναλαμβάνῃ, τότε ἀναμιμνήσκεσθαί που λέγομεν. ἦ γάρ; — Πάνυ μὲν οὖν. — Καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην, εἴτ' αἰσθήσεως εἴτ' αὖ μαθήματος, αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ ἐν ἑαυτῇ, καὶ ταῦτα ξύμπαντα ἀναμνήσεις καὶ μνήμας που λέγομεν. — Ὀρθῶς λέγεις. Ἰαμβλίχου ἐκ τοῦ Περὶ ψυχῆς. ματος.

3.26 Σοφοκλέους ἐκ Συνδείπνου (fr. 145 N. 2). Λάθα Πιερίδων στυγερὰ καὶ ἀνάρατος· ὦ δύνασις θανάτοις εὐποτμοτάτα μελέων Εὐριπίδου Ὀρέστου (213—214). Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφή, καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός. Σοφοκλέους Ὕβρεως σατύρου (fr. 609 N. 2). Λήθην τε τὴν πάντ' ἀπεστερημένην, κωφὴν ἄναυδον. Τοῦ αὐτοῦ Μυσῶν (fr. 375 N. 2). Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ κἂν βραχὺν χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν. Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 33 E). Ἔστι γὰρ λήθη μνήμης ἔξοδος. Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 208 A). Ὃ γὰρ καλεῖται μελετᾶν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστή-

3.27 Χοιρίλου Περσηίδος (fr. 7 Kink.). Ὅρκον δ' οὔτ' ἄδικον χρεὼν ὀμνύναι οὔτε δίκαιον. Αἰσχύλου (fr. 394 N. 2). Οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ. Ἀλέξιδος ἐκ Θητευόντων (com. III p. 420). Ὅρκος βέβαιός ἐστιν, ἂν νεύσω μόνον. Ἄμφιδος (fab. inc. fr. 8 com. III p. 319). Ὅστις γὰρ ὀμνύοντι μηδὲν πείθεται, αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται. Ἀντιφάνους (fab. inc. fr. 43 com. III p. 149). Δέσποιν', ὅταν τις ὀμνύοντος καταφρονῇ, ᾧ μὴ σύνοιδε πρότερον ἐπιωρκηκότι, οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ καὶ πρότερον ὁμόσας αὐτὸς ἐπιωρκηκέναι. Σοφοκλέους Ἱπποδαμείας (fr. 431 N. 2). Ὅρκου δὲ προστεθέντος ἐπιμελεστέρα ψυχὴ κατέστη· δισσὰ γὰρ φυλάσσεται, φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν. Ἀπολλοδώρου (fab. inc. fr. 6 com. IV p. 457). Μάστιγος οὔσης ὅρκον οἰκέτῃ δίδως; Ἀντιφάνους (fab. inc. fr. 44 com. III p. 149). Ὁ διδοὺς τὸν ὅρκον τῷ πονηρῷ μαίνεται· τοὐναντίον γὰρ νῦν ποιοῦσιν οἱ θεοί. ἐὰν ἐπιορκήσῃ τις, αὐτὸς εὐθέως ὁ δοὺς τὸν ὅρκον ἐγένετ' ἐμβρόντητος, 〈ὡσ〉 οἶμαι, δικαίως, ὅτι πεπίστευκέν τινι. Ἀλέξιδος Ὀλυνθίων (fr. 3 com. III p. 458). Οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ, τοῖς πράγμασιν δ' αὐτοῖσι πιστεύειν ἀεί. Λυκούργου (fr. 98 Sauppe). Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν ἄχρι τοῦ μὴ ἐπιορκεῖν. Ἰσοκράτους πρὸς Δημόνικον (§ 23 p. 6 e). Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασῴζων. ἕνεκα δὲ χρημάτων μηδένα θεῶν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 33, 5). Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μή, ἐκ τῶν ἐνόντων. Εὐσεβίου (fr. 30 phil. graec. III p. 12 Mullach.). Οἱ πολλοὶ τοῖς ἀνθρώποισι τὸ εὐόρκους εἶναι αὐτοῖς παραινέουσιν, ἐγὼ δὲ καὶ τὸ ἀρχὴν μηδ' εὐπετέως ὀμνύναι ὅσιον ἀποφαίνομαι. Ἡροδότου ἱστορίας ς' (VI 86). Ἔλεξέ σφιν Λευτυχίδης τάδε· ὦ Ἀθηναῖοι, ποιέετε μὲν ὁκότερα βούλεσθε αὐτοί· καὶ γὰρ ἀποδιδόντες ποιέετε μέντοι τι ἐν τῇ Σπάρτῃ συνηνέχθη γενέσθαι περὶ παραθήκης, βούλομαι ὑμῖν εἰπεῖν. λέγομεν ἡμεῖς οἱ Σπαρτιῆται [μὴ] γενέσθαι ἐν Λακεδαίμονι κατὰ τρίτην γενεὴν τὴν ἀπ' ἐμέο Γλαῦκον Ἐπικυδέος παῖδα· τοῦτον τὸν ἄνδρα φαμὲν τά τε ἄλλα πάντα περιήκειν τὰ πρῶτα, καὶ δὴ 〈καὶ〉 ἀκούειν ἄριστα δικαιοσύνης πέρι πάντων ὅσοι τὴν Λακεδαίμονα τοῦτον τὸν χρόνον οἴκεον. συνενεχθῆναι δέ οἱ χρόνῳ ἱκνευμένῳ τάδε λέγομεν. ἄνδρα Μιλήσιον ἀπικόμενον ἐς Σπάρτην βούλεσθαί οἱ ἐλθεῖν ἐς λόγους προϊσχόμενον τοιάδε· εἰμὶ μὲν Μιλήσιος, ἥκω δὲ τῆς σῆς, Γλαῦκε, δικαιοσύνης βουλόμενος

ἀπολαῦσαι· ἔδοξέ μοι οὖν τὰ ἡμίσεα τῆς οὐσίης ἐξαργυρώσαντα θέσθαι Μιλήσιοι συμφορὴν ποιεύμενοι ἀπηλλάσσοντο, Γλαῦκος δ' ἐπορεύετο ἐς Δελφοὺς χρησόμενος τῷ χρηστηρίῳ. ἐπερωτῶντα δὲ αὐτόν, εἰ ὅρκῳ τὰ χρήματα λήισεται, ἡ Πυθίη μετέρχεται τοῖσδε τοῖς ἔπεσι· Γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον οὕτω ὅρκῳ νικῆσαι καὶ χρήματα λήισσασθαι. ὄμνυ', ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα. ἀλλ' ὅρκου πάις ἐστίν, ἀνώνυμος, οὐδ' ἔπι χεῖρες οὐδὲ πόδες· κραιπνῶς δὲ μετέρχεται, εἰς ὅ κε πᾶσαν συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα. ἀνδρὸς δ' εὐόρκου γενεὴ κατόπισθεν ἀμείνων. ἀποδίδωσί σφιν τὰ χρήματα. τοῦ δὲ εἵνεκα ὁ λόγος ὅδε, ὦ Ἀθηναῖοι, ὡρμήθη λέγεσθαι ἐς ὑμέας, εἰρήσεται· Γλαύκου νῦν οὔτε τι ἀπόγονόν ἐστιν οὐδὲν οὔτε ἱστίη οὐδεμία νομιζομένη εἶναι Γλαύκου, ἐκτέτριπταί τε πρόρριζος ἐκ Σπάρτης. οὕτω ἀγαθὸν μηδὲ διανοέεσθαι περὶ παραθήκης ἄλλο γε ἢ ἀπαιτεόντων ἀποδιδόναι.

3.28 Εὐριπίδου (Hippol. 612). Ἡ γλῶσς' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος. Εὐριπίδου (Iph. Aul. 394—395). Οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι τοὺς κακῶς παγέντας ὅρκους καὶ κατηναγκασμένους. Εὐριπίδου (fr. 645 N. 2). Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δόκει, ἐάν τις ὅρκοις θάνατον ἐκφεύγειν θέλῃ ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά. Σοφοκλέους (fr. 846 N. 2). Ὅρκοισι γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν ὠδῖνα παίδων, ἀλλ' ἐπὰν λήξῃ κακοῦ, ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη. (trag. adesp. fr. 525 N. 2). Σοφοκλέους (fr. 847 N. 2). Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φιλήτῃ βαρύς. Μενάνδρου (fab. inc. fr. 286 com. IV p. 294). Συγκέχυκε νυν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος. Ἡσιόδου Θεογονίας (231—232). Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ. Καλλιμάχου (epigr. 25 Wilam.). Ὤμοσεν, ἀλλὰ λέγουσιν ἀληθέα τοὺς ἐν ἔρωτι ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων. Διφίλου (fab. inc. fr. 16 com. IV p. 421). Ὅρκος δ' ἑταίρας ταὐτὸ καὶ δημηγόρου· ἑκάτερος αὐτῶν ὀμνύει πρὸς ὃν λαλεῖ. Μενάνδρου (fab. inc. fr. 469 com. IV p. 325). Τιμοθέου (com. III p. 589). θ' ὁ πτερωτὸς ἰξὸς ὀμμάτων ἔρως, ὁ Κύπριδος κυναγός, ἡ φρενῶν ἀκίς, ὁ μὴ τίνων θεοῖσιν ὁρκίων δίκας. Δημοκρίτου. Ὅρκους οὓς ποιέονται ἐν ἀνάγκῃσιν ἐόντες, οὐ τηρέουσιν οἱ φλαῦροι ἐπὴν διαφύγωσιν. Εὔφρονος Θεῶν ἀγορᾶς (com. IV p. 491). Χρησμός (Herodot. VI 86). Γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον οὕτω ὅρκῳ νικῆσαι καὶ χρήματα λήισσασθαι. ὄμνυ', ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα. ἀλλ' ὅρκου πάις ἐστίν, ἀνώνυμος, οὐδ' ἔπι χεῖρες οὐδὲ πόδες· κραιπνῶς δὲ μετέρχεται, εἰς ὅ κε πᾶσαν συμμάρψας γενεὴν ὀλέσῃ καὶ οἶκον ἅπαντα. ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων. Εὐσεβίου (fr. 31 phil. graec. III p. 12 Mullach.). Φημὶ πάντα τὸν προαίρεσιν τοῦ ἐπιορκῆσαι ἀναδεξάμενον καὶ ἐπορμήσαντα ἐπὶ τὸν ὅρκον, εἰ καὶ μὴ ἐπελάσει τὸ ἔργον τῆς ἐπιορκίης τύχῃ τινὶ ἢ καὶ τῷ μὴ βουληθῆναι τὸν ἀπαιτέοντα, ὅμως αὐτὸν ἔχειν γνώμην Κλεάνθους. Κλεάνθης ἔφη τὸν ὀμνύοντα ἤτοι εὐορκεῖν ἢ ἐπιορκεῖν καθ' ὃν ὄμνυσι χρόνον. ἐὰν μὲν γὰρ οὕτως ὀμνύῃ ὡς ἐπιτελέσων τὰ κατὰ τὸν ὅρκον, εὐορκεῖν· ἐὰν δὲ πρόθεσιν ἔχων μὴ ἐπιτελεῖν, ἐπιορκεῖν. Χρυσίππου. Χρύσιππος διαφέρειν ἔφη τὸ ἀληθορκεῖν τοῦ εὐορκεῖν καὶ τὸ ἐπιορκεῖν τοῦ ψευδορκεῖν· τὸν μὲν ὀμνύντα καθ' ὃν ὀμνύει καιρὸν πάντως ἢ ἀληθορκεῖν ἢ ψευδορκεῖν· τὸ γὰρ ὀμνύμενον ὑπ' αὐτοῦ ἢ ἀληθὲς εἶναι ἢ ψεῦδος, ἐπειδὴ ἀξίωμα τυγχάνει ὄν· τὸν δὲ ὀμνύντα μὴ πάντως καθ' ὃν ὀμνύει χρόνον ἢ εὐορκεῖν ἢ ἐπιορκεῖν, ὅτε μὴ πάρεστιν ὁ χρόνος, εἰς ὃν ἡ ἀναφορὰ τῶν ὅρκων ἐγίγνετο. ὃν τρόπον γὰρ λέγεσθαί τινα εὐσυνθετεῖν ἢ ἀσυνθετεῖν, οὐχ ὅτε συντίθεται, ἀλλ' ὅτε οἱ χρόνοι ἐνίστανται τῶν κατὰ τὰς ὁμολογίας· οὕτω καὶ εὐορκεῖν τις καὶ ἐπιορκεῖν ῥηθήσεται, ὅταν οἱ καιροὶ παραστῶσι, καθ' οὓς ὡμολόγησεν ἐπιτελέσειν τὰ κατὰ τοὺς ὅρκους. Ξενοφῶντος ἐν τῇ Κύρου ἀναβάσει σύνοιδεν ἑαυτῷ παρημεληκώς, τοῦτον οὔ ποτ' ἂν ἐγὼ εὐδαιμονίσαιμι. τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτε ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφεύγοι, οὔτε εἰς ὁποῖον ἂν σκότος ἀποδραίη, οὔτε ὅπως ἂν εἰς ὀχυρὸν χωρίον ἀποσταίη. πάντη γὰρ πάντα τοῖς

θεοῖς ὕποχα, καὶ πάντη πάντων ἴσον οἱ θεοὶ κρατοῦσιν. Ἡροδότου ἱστορίας α′ (74). Ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς πίστιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν. [Ἡροδότου]. Χρυσὸν μὲν ἄνθρωποι βαναύσῳ τέχνῃ προσθάλψαντες ἔγνωσαν τὸ κρήγυον· ἄνδρα δὲ οὐκ ἔστι δεξιὸν γνώμῃ σταθμησάμενον ἀθρῆσαι. τοιήδε τις τὸ παλαιὸν ἡμέας ἐκ θεῶν συνέστησε μοῖρα. χρὴ δὲ πίστιν ἐν φιλίῃ τίθεσθαι κραδίῃ μὴ διπλόῃ πεφυρμένους, μηδ' ὅρκον ἐπιορκίης προσφιλέστερον ἡγεομένους· ὁ τοιόσδε τῶν ἀνδρῶν τὴν μὲν ἐκ θεῶν ἀναβάλλεται τιμωρίην, ἐπὶ δὲ τοῦ κατεστεῶτος πικρὴν ψυχαγωγίην ἔχων τέρπεται μωρὸς ἐών. τίς γὰρ οὐκ οἶδεν, ὡς μένει τὸν κακὸν δίκη; εἰ δ' οὐ παρὰ πόδα τιμωρίης ἔτυχεν, ἀλλ' ἐν χρόνῳ· κέρδος ἡγεέσθω τοὺς διεστεῶτας ἡλίους, οὓς περιεὼν ἐκτὸς ἀμηρύτους ἄθεος παρεπιδημέειν εἶχεν ἐν ζωοῖς. ὡς δ' οὐ νωθρὴν ἔχει τὸ δαιμόνιον ἀνθρώπων ἐπίσκεψιν, ἐξ ἔργων ἀληθείης εὐόρητόν ἐστι. λέγεται γὰρ ἐν Τενέδῳ θοι', δοκέοντός γε δὴ ὡς τὰ πρὸς ἑωυτὸν ἀρτίως ἐν φιλίῃ συγκεκρῆσθαι. ἔνθα Κυδίῃ κακὴν βουλὴν ἐς φρένας ἐμβάλλει φιλοκερδίη. ἀπαιτεύμενος γὰρ τὸν δοθέντα χρυσὸν ἐν παραθέσει, σκληρὴν ἄρνησιν ἐποιήσατο, τῶν δ' ἐς ἀμφιβολίην πιπτόντων τέλος ἔδοξεν ὅρκῳ κυρῶσαι. Κυδίης μὲν ὦν ἐς τρίτην ἡμέρην ἀναβαλλόμενος κυρώσειν πίστιν τοῖς θεοῖς ἐπιτρεφθεῖσαν, ἀπελθὼν ἐς οἶκον μηχανὴν τοιήνδε ἔθετο. νάρθηκα γὰρ κοιλήνας παντὸς χρυσοῦ φόρτον ἐς αὐτὸν ἤρεισε· πρὸς δὲ χερὸς ἀντίληψιν εἴλημα μίτρης ἐδέσμευσε πάντοθεν, ὡς ἂν κρύπτοιτο τὴν κατεσκευασμένην πρόφασιν· ἐπεὶ δ' ἡ τεταγμένη παρῆν ἡμέρη, 'νωθρὴν πορείης ἔκλυσιν ποιεύμενος', διήρειδε τὸν νάρθηκα νοσευτίην ἐπιφέρων σώματι· καταστὰς δὲ ἐναντίον τοῦ νεώ, ὅνπερ ἔμελλε συνίστορα ποιέεσθαι, δίδωσι Κυδίης Ἀρχετίμῳ νάρθηκα, τὸν ἐντὸς ἀδικίην πᾶσαν κεύθοντα, μέχρι περ τελευτήσῃ τὸν τεταγμένον ὅρκον· ἀνατείνας δὲ τῶν ἑῶν χερῶν φορὴν εἶπεν, ὡς λάβοι μὲν παρ' Ἀρχετίμου παραθήκην, ἀποδοίη δὲ ταύτην· ὅπερ ἦν ἐκ τέχνης πεπλασμένον ψεῦδος. βαρυνθεὶς δ' ἐπὶ τοῖς λελεγμένοις Ἀρχέτιμος, ῥήσσει πρὸς ἔδαφος νάρθηκα πληγῇ βαρείῃ· τοῦ δὲ ἀραχθέντος ἐκτὸς ἐρρύη παραθήκης ὄγκος. Ἀρχέτιμος μὲν ὢν ἐκ θεῶν προνοίης τοιῆσδε ἔτυχε, Κυδίῃ δὲ λέγεται κακὴν βίου καταστροφὴν γενέσθαι. ἐς ἃ δεῖ βλέποντας μὴ καταπους, οἷς ἐπισφαλὴς ὀπηδέει τύχη παντοίῃ φορῇ πνεύματος αἰωρευμένη.

3.29 Σοφοκλέους Θυέστῃ (fr. 236 N. 2). Ὡς νῦν τάχος στείχωμεν· οὐ γὰρ ἔσθ' ὅπως σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε. Ἡσιόδου Ἔργων (21—24). Εἰς ἕτερον γὰρ τίς τε ἰδὼν ἔργοιο χατίζων πλούσιον ὃς σπεύδει μὲν ἀρώμεναι ἠδὲ φυτεύειν οἰκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων εἰς ἄφενον σπεύδων. ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσιν. Τοῦ αὐτοῦ (308—313). Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε. καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν. ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος. εἰ δέ κεν ἐργάζῃ, τάχα σὲ ζηλώσει ἀεργὸς πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ. Ἐν ταὐτῷ (317—320). Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει, αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν. αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ. χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα, πολλὸν ἀμείνω. Εὐριπίδου Ἡρακλειδῶν (625). Εὐριπίδου Ἰφιγενείας (Taur. 114—115). Τοὺς πόνους γὰρ ἀγαθοὶ τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ. Εὐριπίδης Λικυμνίῳ (fr. 474 N. 2). Πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ. Ἐπιχάρμου (fr. 364 N. 2). Τῶν πόνων πωλοῦσιν ἁμὶν πάντα τἀγάθ' οἱ θεοί. Εὐριπίδου Ἐρεχθέως (fr. 264 N. 2). Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς. Εὐριπίδου Τηλέφῳ (fr. 701 N. 2). Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. Κριτίου (p. l. 4 II p. 282 fr. 6). Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί. Ἀναξανδρίδου (fr. 12 com. III p. 199). Τὸ συνεχὲς ἔργου παντὸς εὑρίσκει τέλος. Εὐριπίδου Ἀρχελάῳ (fr. 233 N. 2). Σοὶ δ' εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων θηρᾶν· ὁρᾷς γὰρ πατέρα σὸν τιμώμενον. Εὐριπίδου Ἀρχελάου (fr. 238 N. 2). Οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν εὔκλειαν εἶτ' ἐκτήσατ', ἀλλὰ χρὴ πονεῖν. Τοῦ αὐτοῦ Φιλοκτήτῃ (fr. 788 N. 2). Τοὺς γὰρ περισσοὺς καί τι πράττοντας πλέον τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν. (eiusdem fr. 789 N.

2). Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν. Μενάνδρου (fab. inc. fr. 93 com. IV p. 258). Δεῖ τούς 〈γε〉 πενομένους, μέχρι ἂν ζῶσιν, πονεῖν. ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον. Ἡσιόδου Ἔργων (361—362). Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο, καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο. Μενάνδρου (fab. inc. fr. 191 com. IV p. 276). Πάντα γὰρ ταῖς ἐνδελεχείαις καταπονεῖται πράγματα. Εὐριπίδου Ἀνδρομέδας (fr. 134 N. 2). Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων. Αἰσχύλου (fr. 395 N. 2). Εὐριπίδου Ἐρεχθεῖ (fr. 364 N. 2). Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς. ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀτολμία οὔτ' οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ. Εὐριπίδου Κρήσσαις (fr. 461 N. 2). Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν, αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν. Αἰσχύλου (fr. 396 N. 2). Καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά. Σοφοκλέους Μάντεων (fr. 365 N. 2). Οὗτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου. (Eur. fr. 701 N. 2). Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. (fr. 343a com. IV p. 689) Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται. (fr. 343b com. IV p. 689) Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος. Φιλήμονος Καταψευδομένου (com. IV p. 13). Πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις. (Philem. fab. inc. fr. 102 com. IV p. 62) Ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν. Φιλήμονος (fab. inc. fr. 61 com. IV p. 55). Ὡς ἡδέως μοι γέγονε τὰ πρότερον κακά. εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην. Καρκίνου (Eur. fr. inc. fab. 1043 N. 2) Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο. Εὐριπίδου Ἀρχελάου (fr. 237 N. 2). Οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ, ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν. Εὐριπίδου Ἱππολύτου (fr. 432 N. 2). Ἀλέξιδος Ἀχαιίδος (fr. 1 com. III p. 397). Ὅτι πάντα τὰ ζητούμεν' ἐξευρίσκεται, ἂν μὴ προαποστῇς μηδὲ τὸν πόνον φύγῃς. ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες μέρος τι τῶν θείων, τοσούτῳ τῷ τόπῳ ἀπέχοντες, ἄστρων ἐπιτολάς, δύσεις, τροπάς, ἔκλειψιν ἡλίου· τί τῶν κοινῶν ... καὶ συγγενικῶν δύναιτ' ἂν ἄνθρωπον φυγεῖν; Θεοδέκτου (fr. 11 p. 805 N. 2). Πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς· ῥᾳθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν λαβοῦσα λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ. Εὐριπίδου Σθενεβοίας (fr. 668 N. 2). Ἄνευ τύχης γάρ, ὥσπερ ἡ παροιμία, Σοφοκλέους Λαοκόωντος (fr. 346 N. 2). Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος. Σοφοκλέους Λαοκόωντος (fr. 345 N. 2). Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. Ἀγάθωνος (fr. 21 p. 767 N. 2). Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις. Φιλίσκου (p. 819 N. 2). Οὐκ ἔστιν, ὦ μάταιε, σὺν ῥᾳθυμίᾳ τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν. Ξενοφάνους (fr. XII Brandis. p. 60). Οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν, ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον. Ἱππώνακτος (fr. 28 p. l. 4 II p. 472 B.). Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός. Ἀπολλοδώρου (fr. 7 com. IV p. 457). Χρόνον γὰρ εἰς τὰ πράγματ' ἂν λάβῃς βραχύν, ἅπαντα λήξει καὶ κατασταλήσεται. Εὐριπίδου Ἀρχελάῳ (fr. 236 N. 2). Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις. Μενάνδρου Δυσκόλου (fr. 5 com. IV p. 109). Οὐδενὸς χρὴ πράγματος τὸν εὖ ποιοῦνθ' ὅλως ἀπογνῶναί ποτε. (ibid.) Ἁλωτὰ γίνετ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα. Μενάνδρου Εὐνούχου (fr. 4 com. IV p. 124). Πάντα τὰ ζητούμενα δεῖσθαι μερίμνης φασὶν οἱ σοφώτεροι. Σοφοκλέους Οἰδίποδος (tvr. 110—111). Τὸ ζητούμενον ἁλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον. Ἐπιχάρμου (fr. 15 Lor.). Τῶν πόνων πωλοῦσιν ἁμὶν πάντα τἀγάθ' οἱ θεοί. (Eur. Suppl. 323—325) Σὴ πατρὶς ἐν γὰρ τοῖς πόνοισιν αὔξεται· αἳ δ' ἥσυχοι σκοτειναὶ πράσσουσιν πόλεις. σκοτειναὶ καὶ βλέπουσιν εὐλαβούμεναι. Ἀντιφάνους (fab. inc. fr. 45 com. III p. 149). Τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται. Ἐκ τῶν Βίωνος Σμυρναίου βουκολικῶν (fr. XV Mein.). Ἐκ θαμινᾶς ῥαθάμιγγος, ὅκως λόγος, ἀισσοίσας χἀ λίθος ἐς ῥωχμὸν κοιλαίνεται. Τοῦ αὐτοῦ (fr. XIII Mein.). Οὐ καλόν, ὦ φίλε, πάντα λόγον ποτὶ τέκτονα φοιτῆν, μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτὸς Ἐπιχάρμου (fr. * 24 p. 261 Lorenz.). Ἃ δὲ μελέτα φύσιος ἀγαθᾶς πλέονα δωρεῖται φίλοις. Εὐριπίδου Τηλέφῳ (fr. 715 N. 2). Οὐ τἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος. χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν. Τοῦ αὐτοῦ (fr. 757, 9 N. 2). Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

Ἀνδρομέδᾳ (fr. 133 N. 2). Ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων. Αἰλιανοῦ (fr. 187 ed. Teubn.). τήσαντος δέ τινος διὰ ποίαν αἰτίαν τοῦτο ἐσπούδασεν, ὃ δὲ ἔφη 'ἵνα μαθὼν αὐτὸ ἀποθάνω'. Εὐσεβίου (fr. 32 phil. graec. III p. 12 Mullach). Πόνοι οἱ ἑκούσιοι πόνοισι τοῖσι μετὰ ταῦτα ἀναγκαίοις, ὥστε αὐτοὺς εὐπετεστέρους παρασκευασθῆναι, προπονέονται. Αἰλιανοῦ (var. hist. VII 7). Δημοσθένης ὁ Δημοσθένους, εἰ ἔμελλε τῆς ὑστεραίας ἔσεσθαι ἐκκλησία, ἀλλὰ ἐκεῖνός γε διὰ τῆς νυκτὸς ἠγρύπνει πάσης, διαφροντίζων δηλονότι καὶ ἐκμανθάνων ταῦτα, ἃ ἔμελλεν ἐρεῖν. ὁ τοίνυν Πυθέας ἐκ τούτων ἐμοὶ δοκεῖν ἐπέσκωπτεν εἰς αὐτὸν ἐπιλέγων αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν. Δημοσθένους κατὰ Φιλίππου (IV § 5 p. 41). Φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων. Θουκυδίδου (V 69). Ἔργων ἐκ πολλοῦ μελέτη πλεῖον σῴζει ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθέντων παραίνεσις. Δημοκρίτου (fr. mor. 86 Mullach.). Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι. Τοῦ αὐτοῦ (fr. mor. 84 Mullach.). Πόνος συνεχὴς ἐλαφρότερος ἑωυτοῦ συνηθίῃ γίνεται. Ἀντισθένους. Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων. Δημοκρίτου (fr. mor. 115 Mullach.). Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος. Τοῦ αὐτοῦ (fr. mor. 88 Mullach.). Τὸ αἰεὶ μέλλειν ἀτελέας ποιέει τὰς πρήξιας. Σωκράτους. Φαβωρίνου (fr. 107 Marres.). Γραῦν τινά φασι μόσχον μικρὸν ἀραμένην καὶ τοῦτο καθ' ἡμέραν ποιοῦσαν λαθεῖν βοῦν φέρουσαν. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Λᾶσος 〈ὁ〉 Ἑρμιονεὺς ἐρωτηθεὶς τί εἴη σοφώτατον, 'πεῖρα' ἔφη. Ξενοφῶντος ἐξ Ἀγησιλάου (XI 9). Δόξης δ' οὐδεμιᾶς ἦρα, ἧς οὐκ ἐξεπονεῖτο. Ξενοφῶντος ἐκ τοῦ πρώτου τῆς Παιδείας (I 4, 5). Οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι εἰς τὸ μὴ ποιεῖν ἃ ἡττᾶτο· ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις ἄμει- Ξενοφῶντος. Κῦρος ἐστὶ βασιλέως καὶ ἀδελφὸς καὶ υἱὸς καὶ ἄρχει πολλῆς χώρας, κἀκεῖνος οὔτ' ἂν ἀριστήσειεν οὔτε δειπνήσειεν, πρὶν ἱδρῶσαι. Ξενοφῶντος ἐκ τοῦ α′ τῆς Κύρου παιδείας (I 5. 9—10). Καίτοι ἔγωγε οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἀγαθοὶ γενόμενοι τῶν πονηρῶν· ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι οὐχ ἵνα μηδέποτ' εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται, οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται, τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ πείθοντες πολλοὺς ἀνθρώπους μεγάλα ἀγαθὰ διαπράξασθαι· οἵ τ' αὖ τὰ πολεμικὰ ἀσκοῦντες οὐχ ὡς μαχόμενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦνται, ἀλλὰ νομίζουσι καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ τῇ πόλει καὶ αὑτοῖς περιάψειν. εἰ δέ τινες ταῦτα ἐκπονήσαντες, πρίν τινα ἀπ' αὐτῶν καρπὸν κομίσασθαι περιεῖδον αὑτοὺς γήρᾳ ἀδυνάτους γενομένους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι καὶ εὖ σπείρων καὶ εὖ φυτεύων, ὅτε ἀποκαρποῦσθαι ταῦτα δέοι, ἐᾷη τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν γῆν πάλιν καταρρεῖν· καὶ εἴ τις ἀθλητὴς πολλὰ πονήσας καὶ ἀξιόνικος γενόμενος ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης. Μουσωνίου ἐκ τοῦ Ὅτι πόνου καταφρονητέον (rel. p. 182 Peerlk.). Πρὸς δὲ τὸ ῥᾷον καὶ προθυμότερον ὑφίστασθαι τῶν πόνων ἐκείνους, οὓς ἂν ὑπὲρ ἀρετῆς καὶ καλοκαγαθίας μέλλωμεν πονεῖν, ταῦτα λελογίσθαι χρήσιμα· πόσα μὲν πονοῦσιν ἔνιοι δι' ἐπιθυμίας κακάς, ὥσπερ οἱ ἐρῶντες ἀκολάστως, πόσα δ' ὑπομένουσιν ἄλλοι τοῦ κερδαίνειν χάριν, πόσα δ' αὖ κακοπαθοῦσιν ἔνιοι θηρώμενοι δόξαν· καὶ ὅτι οὗτοι πάντες ὑπομένουσιν αὐθαίρετοι πᾶσαν ταλαιπωρίαν. ἆρ' οὖν οὐχὶ δεινὸν ἐκείνους μὲν ὑπὲρ οὐδενὸς τῶν καλῶν ἀνέχεσθαι ταῦτα πάσχοντας, ἡμᾶς δ' ὑπὲρ καλοκαγαθίας καὶ τοῦ κακίαν μὲν ἐκφυγεῖν τὴν λυμῶς ὑφίστασθαι; καίτοι οὐδ' ἂν εἴποι τις ὅσῳ κρεῖττον, ἀντὶ μὲν τοῦ πονεῖν ἵνα τύχῃ τις γυναικὸς ἀλλοτρίας, τὸ πονεῖν ἵνα παιδαγωγήσῃ τὰς ἐπιθυμίας τὰς ἑαυτοῦ· ἀντὶ δὲ τοῦ περὶ χρημάτων ταλαιπωρεῖν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀσκεῖν ὥστε ὀλίγων δεῖσθαι· πρὸ δὲ τοῦ πράγματα ἔχειν ὑπὲρ δόξης τὸ πραγματεύεσθαι ὅπως μὴ δοξοκόπος ᾖ· πρὸ δέ γε τοῦ ζητεῖν ὅπως ᾧ φθονεῖ τις κακοποιήσῃ τοῦτον, τὸ σκοπεῖν ὅπως μηδὲν φθονήσῃ μηδενί· καὶ πρό γε τοῦ δουλεύειν τισὶ καλουμένοις φίλοις, ὥσπερ οἱ κόλακες, τὸ κακοπαθεῖν ἵνα κτήσηται φίλους ἀληθινούς· καθόλου δὲ τοῦ πονεῖν πᾶσιν ἀνθρώποις ἀναγκαίου ὄντος, τοῖς τε τῶν κρειττόνων ὀρεγομένοις καὶ τοῖς τῶν χειρόνων, τὸ μὴ πολλῷ εἶναι προθυμοτέρους πονεῖν τοὺς τὰ κρείττω μετιόντας 〈ἢ〉 οἷς ἐλπίδες μικραὶ τῶν πόνων εἰσίν, ἀτοπώτατον. ἀλλ' οἱ μὲν ἄρα θαυματοποιοὶ δύσκολα οὕτως ὑφίστανται πράγματα καὶ τὴν ζωὴν παραβάλλονται τὴν μεθα ταλαιπωρεῖν ὑπὲρ εὐδαιμονίας ὅλης; οὐ γὰρ ἄλλο τί γε τέλος ἐστὶ τοῦ γενέσθαι ἀγαθὸν ἢ τὸ εὐδαιμονεῖν καὶ ζῆν μακαρίως εἰς τὸ λοιπόν. εἰκότως δ' ἄν τις λογίζοιτο καὶ τὸ τῶν ζῴων ἐνίων ὁποῖόν ἐστι, πάνυ τι δυνάμενον ἐντρέπειν ἡμᾶς φιλοπόνους εἶναι. οἱ γοῦν ὄρτυγες καὶ ἀλεκτρυόνες οὔτ' ἀρετῆς ἐπαΐοντες οὐδὲν ὥσπερ ὁ ἄνθρωπος οὔτε τὸ καλὸν καὶ δίκαιον εἰδότες οὐδ' ὑπὲρ τοιούτου πονοῦντες οὐθενός, ὅμως μαχόμενοι πρὸς ἀλλήλους καὶ πηρούμενοι ἀνέχονται καὶ μέχρι θανάτου καρτεροῦσιν, ὥστε μὴ ἡττᾶσθαι θατέρου ὁ ἕτερος. πόσῳ δὴ μᾶλλον εἰκὸς ἡμᾶς ἀνέχεσθαί τε καὶ καρτερεῖν, ὅταν ἐπιστώμεθα διά τι τῶν καλῶν κακοπαθοῦντες, ἢ ἵνα φίλοις βοηθήσωμεν ἢ πόλιν ὠφελήσωμεν ἢ ἵνα γυναικῶν ἢ τέκνων ὑπερμαχήσωμεν, τὸ δὲ μέγιστον καὶ κυριώτατον, ἵνα ἀγαθοὶ ὦμεν καὶ δίκαιοι καὶ σώφρονες; ὃ δίχα πόνων οὐ παραγίνεται οὐδενί. ὅθεν ἔπεισί μοι λέγειν, ὡς ὁ μὴ θέλων πονεῖν σχεδὸν καταδικάζει αὐτὸς αὑτοῦ μηδενὸς Ξενοφῶντος (Cyneg. XII 1—5). Περὶ μὲν αὐτῶν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις εἴρηται. ὠφελήσονται δ' οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔργου πολλά. ὑγείαν τε γὰρ τοῖς σώμασι παρασκευάζει καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον, τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει. πρῶτον μὲν γὰρ τὰ ὅπλα ὅταν ἔχοντες πορεύωνται ὁδοὺς χαλεπάς, οὐκ ἀποροῦσιν· ἀνέξονται γὰρ τοὺς πόνους διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία. ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου. ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους ἅμ' οἷοί τε ἔσονται ἐπιέναι καὶ τὰ παραγγελλόμενα ποιεῖν διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. τεταγμένοι δὲ ἐν τῷ πρόσθεν οὐ λείψουσι τὰς τάξεις διὰ τὸ καρτερεῖν δύνασθαι. ἐν φυγῇ δὲ τῶν πολεμίων ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ διὰ συνήθειαν. δυστυχήσαντος δὲ οἰκείου στρατοπέδου ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις ἢ ἄλλως χαλεποῖς οἷοί τ' ἔσονται [τε] καὶ αὐτοὶ σῴζεσθαι μὴ αἰσχρῶς καὶ ἑτέρους σῴζειν· ἡ γὰρ συνήθεια τοῦ ἔργου παρέξει αὐτοῖς πλέον τι εἰδέναι. καὶ ἤδη τινὲς τῶν ἐστι τοῖς τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν ἐγγὺς τὸ εὐτυχῆσαι. (ibidem XII 10—13). Λέγουσι δέ τινες, ὡς οὐ χρὴ ἐρᾶν κυνηγεσίων, ἵνα μὴ τῶν οἰκείων ἀμελῶσιν, οὐκ εἰδότες ὅτι οἱ τὰς πόλεις καὶ τοὺς φίλους εὖ ποιοῦντες πάντες τῶν οἰκείων ἐπιμελέστεροί εἰσιν. εἰ οὖν οἱ φιλοκυνηγέται παρασκευάζουσιν αὑτοὺς τῇ πατρίδι χρησίμους εἶναι εἰς τὰ μέγιστα, οὐδ' ἂν τὰ ἴδια ἀργοῖεν· σὺν γὰρ τῇ πόλει καὶ σῴζεται καὶ ἀπόλλυται τὰ οἰκεῖα ἑκάστου· ὥστε πρὸς τοῖς αὑτῶν καὶ τὰ τῶν ἄλλων ἰδιωτῶν οἱ τοιοῦτοι σῴζουσιν. πολλοὶ δὲ ὑπὸ φόβου ἀλόγιστοι τῶν ταῦτα λεγόντων αἱροῦνται διὰ τὴν αὑτῶν κακίαν ἀπολέσθαι μᾶλλον ἢ ἑτέρων ἀρετῇ σῴζεσθαι. αἱ γὰρ ἡδοναὶ 〈αἱ〉 πολλαὶ καὶ κακαί, ὧν ἡττώμενοι λέγειν ἢ πράττειν ἐπαίρονται τὰ χείρω. εἶτα ἐκ μὲν τῶν ματαίων λόγων ἔχθρας ἀναιροῦνται, ἐκ δὲ τῶν κακῶν ἔργων νόσους καὶ ζημίας καὶ θανάτους καὶ αὐτῶν καὶ παίδων καὶ φίλων, ἀναισθήτως μὲν τῶν κακῶν ἔχοντες, τῶν δὲ ἡδονῶν πλέον τῶν πολ- Μουσωνίου Περὶ ἀσκήσεως (rel. p. 177 Peerlk.). Παρώρμα δὲ πρὸς ἄσκησιν τοὺς συνόντας ἐντεταμένως ἀεὶ τοιοῖσδέ τισι λόγοις χρώμενος. ἡ ἀρετή, ἔφη, ἐπιστήμη ἐστὶν οὐ θεωρητικὴ μόνον, ἀλλὰ καὶ πρακτικὴ καθάπερ ἥ τε ἰατρικὴ καὶ ἡ μουσική. δεῖ οὖν ὥσπερ τὸν ἰατρὸν καὶ τὸν μουσικὸν μὴ μόνον ἀνειληφέναι τὰ θεωρήματα τῆς αὐτοῦ τέχνης ἑκάτερον, ἀλλὰ καὶ γεγυμνάσθαι πράττειν κατὰ τὰ θεωρήματα, οὕτω καὶ τὸν ἐσόμενον ἀγαθὸν ἄνδρα μὴ μόνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκμανθάνειν ὅσα μαθήματα φέρει πρὸς ἀρετήν, ἀλλὰ καὶ γυμνάζεσθαι κατὰ ταῦτα φιλοτίμως καὶ φιλοπόνως. ἐπεὶ πῶς μὲν ἂν εὐθὺς γένοιτό τις σώφρων, εἰ μόνον εἰδείη ὅτι οὐ χρὴ ἡττᾶσθαι ἡδονῶν, ἀγύμναστος δ' εἴη ἀντέχειν ταῖς ἡδοναῖς; πῶς δ' ἂν δίκαιός τις γένοιτο, μεμαθηκὼς μὲν ὅτι χρὴ τὸ ἴσον ἀγαπᾶν, μὴ μεμελετηκὼς δὲ φεύγειν τὸ πλεονεκτεῖν; πῶς δ' ἂν ἀνδρείαν κτησαίμεθα, τὸ μὲν ὅτι μὴ φοβερὰ τὰ δοκοῦντα τοῖς πολλοῖς δεινὰ κατανενοηκότες, ἄφοβοι δ' εἶναι εἰς αὐτὰ μὴ μεμελετηκότες; πῶς δ' ἂν φρόνιμοι γενοίμεθα, τὰ μὲν ὡς ἀληθῶς ἀγαθὰ καὶ κακὰ τίνα ἐστὶν ἐγνωκότες, μὴ γεγυμνασμένοι δὲ καταφρονεῖν τῶν δοκούντων ἀγαθῶν; διὸ χρὴ τῇ μαθήσει τῶν προσηκόνἀσκεῖν τὸν φιλοσοφεῖν ἀξιοῦντα ἥπερ τὸν ἰατρικῆς ἤ τινος τέχνης ὁμοίας ἐφιέμενον, ὅσῳ μεῖζον καὶ δυσκατεργαστότερον φιλοσοφία παντὸς ἐπιτηδεύματος ἑτέρου. καὶ γὰρ οὖν ἐπὶ μὲν τὰς ἄλλας τέχνας εἶναι οἱ ἐφιέμενοι αὐτῶν, οὐ προδιεφθαρμένοι τὰς ψυχὰς οὐδ' ἐναντία μεμαθηκότες οἷς μαθήσεσθαι μέλλουσιν· οἱ δὲ φιλοσοφεῖν ἐπιχειροῦντες, ἐν διαφθορᾷ γεγενημένοι πρότερον πολλῇ καὶ ἐμπεπλησμένοι κακίας, οὕτω μετίασι τὴν ἀρετήν, ὥστε καὶ ταύτῃ πλείονος δεηθῆναι τῆς ἀσκήσεως. πῶς οὖν καὶ τίνα τρόπον τούτοις ἀσκητέον; ἐπεὶ τὸν ἄνθρωπον οὔτε ψυχὴν μόνον εἶναι συμβέβηκεν οὔτε σῶμα μόνον, ἀλλά τι σύνθετον ἐκ τοῖν δυοῖν τούτοιν, ἀνάγκη τὸν ἀσκοῦντα ἀμφοῖν ἐπιμελεῖσθαι, τοῦ μὲν κρείττονος μᾶλλον, ὥσπερ ἄξιον, τουτέστι τῆς ψυχῆς· καὶ θατέρου δέ, εἴγε μέλλει μηδὲν ἐνδεῶς ἔχειν τοῦ ἀνθρώπου μέρος. δεῖ γὰρ δὴ καὶ τὸ σῶμα παρεσκευάσθαι καλῶς πρὸς τὰ σώματος ἔργα τὸ τοῦ φιλοσοφοῦντος, ὅτι πολλάκις αἱ της τε καὶ τοῦ σώματος. κοινὴ μὲν οὖν ἄσκησις ἀμφοῖν γενήσεται, συνεθιζομένων ἡμῶν ῥίγει θάλπει, δίψει λιμῷ, τροφῆς λιτότητι κοίτης σκληρότητι, ἀποχῇ τῶν ἡδέων ὑπομονῇ τῶν ἐπιπόνων. διὰ γὰρ τούτων καὶ τῶν τοιούτων ῥώννυται μὲν τὸ σῶμα καὶ γίνεται δυσπαθές τε καὶ στερεὸν καὶ χρήσιμον πρὸς ἅπαν ἔργον, ῥώννυται δὲ ἡ ψυχὴ γυμναζομένη διὰ μὲν τῆς ὑπομονῆς τῶν ἐπιπόνων πρὸς ἀνδρείαν, διὰ δὲ τῆς ἀποχῆς τῶν ἡδέων πρὸς σωφροσύνην. ἰδία δὲ τῆς ψυχῆς ἄσκησίς ἐστι πρῶτον μὲν τὰς ἀποδείξεις προχείρους ποιεῖσθαι τάς τε περὶ τῶν ἀγαθῶν τῶν δοκούντων ὡς οὐκ ἀγαθά, καὶ τὰς περὶ τῶν κακῶν τῶν δοκούντων ὡς οὐ κακά, καὶ τὰ ἀληθῶς ἀγαθὰ γνωρίζειν τε καὶ διακρίνειν ἀπὸ τῶν μὴ ἀληθῶς ἐθίζεσθαι· εἶτα δὲ μελετᾶν μήτε φεύγειν μηδὲν τῶν δοκούντων κακῶν μήτε διώκειν μηδὲν τῶν δοκούντων ἀγαθῶν, καὶ τὰ μὲν ἀληθῶς κακὰ πάσῃ μηχανῇ ἐκτρέπεσθαι, τὰ δὲ ἀληθῶς ἀγαθὰ παντὶ τρόπῳ μετέρχεσθαι. Ἐν κεφαλαίῳ μὲν οὖν σχεδὸν εἴρηται ὁποῖος ἑκάτερος τρόπος ἀσκήσεως· οὐ μὴν ἀλλὰ καὶ κατὰ μέρος ὡς ποιητέον ἕκαστα. πειράσομαι εἰπεῖν, οὐ διακρίνων οὐδὲ χωρίζων οὐκέτι τά τε κοινὰ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀσκήματα καὶ τὰ ἴδια τῆς ψυχῆς, ἀλλὰ ἀναμὶξ τὰ ἑκαοὔτε πενία κακὸν οὐδαμῶς ἐστιν οὐδ' ἄλλο τι τῶν κακίας ἀπηλλαγμένων, οὐδ' αὖ πάλιν ἀγαθὸν πλοῦτος ζωὴ ἡδονὴ ἤ τι ἕτερον τῶν μὴ μετεχόντων ἀρετῆς· ὅμως δὲ καὶ ταῦθ' ὑπειληφότες διὰ τὴν ἀπὸ παίδων εὐθὺς γεγονυῖαν ἡμῖν διαφθορὰν καὶ τὴν ὑπὸ τῆς διαφθορᾶς συνήθειαν πονηρὰν πόνου μὲν προσερχομένου κακὸν ἡγούμεθα προσέρχεσθαι ἑαυτοῖς, ἡδονῆς δὲ παραγινομένης ἀγαθὸν ἡγούμεθα παραγίνεσθαι ἡμῖν, καὶ τὸν μὲν θάνατον ὡς ἐσχάτην συμφορὰν πεφρίκαμεν, τὴν δὲ ζωὴν ὡς τῶν ἀγαθῶν μέγιστον ἀσπαζόμεθα, καὶ διδόντες μὲν ἀργύριον ὡς βλαπτόμενοι λυπούμεθα, λαμβάνοντες δὲ ὡς ὠφελούμενοι χαίρομεν, παραπλησίως δὲ καὶ ἐπὶ πλειόνων ἄλλων οὐκ ἀκολούθως ταῖς ὀρθαῖς ὑπολήψεσι τοῖς πράγμασι χρώμεθα, τῷ δὲ φαύλῳ ἔθει μᾶλλον ἀκολουθοῦμεν· ἐπεὶ οὖν ταῦτα φημὶ ταύτῃ ἔχειν, δεῖ τὸν ἀσκοῦντα ζητεῖν περιγίνεσθαι ἑαυτῷ τῇ μὲν ἡδονῇ μὴ ἀσμενίζειν, τὸν πόνον δὲ μὴ ἐκτρέπεσθαι, καὶ τῷ μὲν ζῆν μὴ φιλεῖν, τὸν δὲ θάνατον μὴ δεδιέναι, καὶ ἐπὶ χρημάτων μὴ προτιμᾶν τοῦ προΐεσθαι τὸ λαμβάνειν. Πλουτάρχου ἐκ τοῦ Περὶ εὐθυμίας (p. 465 C—D). ἀπραξίας, οἷον ἀρρώστῳ παραινῶν ἑκάστῳ μέν' ὦ ταλαίπωρ' ἀτρέμα σοῖς ἐν δεμνίοις. καίτοι κακὸν μὲν ἀναισθησία σώματι φάρμακον ἀπονίας· οὐδὲν δὲ βελτίων ψυχῆς ἰατρὸς ὁ ῥαθυμίᾳ καὶ μαλακίᾳ καὶ προδοσίᾳ φίλων καὶ

οἰκείων καὶ πατρίδος ἐξαίρων τὸ ταραχῶδες αὐτῆς καὶ λυπηρόν. Ἐν ταὐτῷ (p. 465 F). Ὅθεν οὐδὲ Ἐπίκουρος οἴεται δεῖν ἡσυχάζειν, ἀλλὰ τῇ φύσει χρῆσθαι πολιτευομένους καὶ πράσσοντας τὰ κοινὰ τοὺς φιλοτίμους καὶ φιλοδόξους, ὡς μᾶλλον ὑπὸ ἀπραγμοσύνης ταράττεσθαι καὶ κακοῦσθαι πεφυκότας, ἂν ὧν ὀρέγονται μὴ τυγχάνωσιν. ἀλλ' ἐκεῖνος μὲν ἄτοπος οὐ τοὺς δυναμένους τὰ κοινὰ πράττειν προτρεπόμενος, ἀλλὰ τοὺς ἡσυχίαν ἄγειν μὴ δυναμένους. δεῖ δὲ μὴ πλήθει μηδὲ ὀλιγότητι πραγμάτων, ἀλλὰ τῷ καλῷ καὶ τῷ αἰσχρῷ τὸ εὔθυμον ὁρίζειν καὶ τὸ δύσθυμον. τῶν γὰρ καλῶν 〈ἡ〉 παράλειψις οὐχ ἧττον ἢ τῶν βλαβερῶν ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες. Πρωταγόρου. Πρωταγόρας ἔλεγε μηδὲν εἶναι μήτε τέχνην ἄνευ μελέτης μήτε μελέτην ἄνευ τέχνης. Πλάτωνος (de republ. VII p. 535 D). Πρῶτον μὲν φιλοπονίᾳ οὐ χωλὸν δεῖ εἶναι τὸν ἀψόμενον, τὰ μὲν ἡμίσεα φιλόπονον, τὰ δὲ ἡμίσεα ἄπονον. ἔστι δὲ τοῦτο, ὅταν τις φιλογυμναστὴς μὲν ᾖ καὶ φιλομόχθηρος καὶ πάντα τὰ διὰ τοῦ σώματος διαπονῇ, φιλομαθὴς δὲ 〈μή〉, μηδὲ φιλήκοος μηδὲ ζητητικός, ἀλλ' ἐν πᾶσι τούτοις μισοπονῇ. χωλὸς δὲ καὶ ὁ τἀναντία τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν. Ἀπολλώνιος Δίωνι (epist. XC p. 126 Herch.). Τὸ μὴ γενέσθαι οὐδέν, τὸ δὲ γενέσθαι πόνος. Ἀπολλώνιος Δαναῷ (epist. LXXXIX p. 126 Herch.). Οὐ κάμνει τὰ πράγματα πρασσόμενα. Ἐκ τῶν Ἐπικτήτου Ἀπομνημονευμάτων (fr. 72 III p. 90 Schweigh.). Εἰδέναι χρή, ὅτι οὐ ῥᾴδιον δόγμα παραγενέσθαι ἀνθρώπῳ, εἰ μὴ καθ' ἑκάστην ἡμέραν τὰ αὐτὰ καὶ λέγοι τις καὶ ἀκούοι καὶ ἅμα χρῷτο πρὸς τὸν βίον. Νικίας (Plut. an seni res p. gerenda sit p. 786 B). Νικίας οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν Ἀρχιμήδης (Plut. l. c. p. 786 C). Ἀρχιμήδην δὲ τῇ σανίδι προσκείμενον ἀποσπῶντες βίᾳ οἱ θεράποντες ἤλειφον· ὃ δὲ ἐπὶ τοῦ σώματος ἀληλιμμένου διέγραφε τὰ σχήματα. Λάμπις (Plut. l. c. p. 787 A). Λάμπις ὁ ναύκληρος ἐρωτηθεὶς πῶς ἐκτήσατο τὸν πλοῦτον, 'οὐ χαλεπῶς' ἔφη 'τὸν μέγαν, τὸν δὲ βραχὺν ἐπιπόνως'. Δημοκρίτου (fr. mor. 87 Mullach.). Τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες. ἓν δὲ ἄκος τῇ ἀποτυχίῃ τὸ πᾶν ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον. Αἰσχύλου (Plut. mor. p. 79 E). Αἰσχύλος ἐν Ἰσθμῷ ἀγῶνα ὁρῶν πυκτῶν καὶ ἐπὶ τῇ μενοι βοῶσιν'. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Δημοσθένης ἐρωτηθεὶς 'πῶς τῆς ῥητορικῆς περιεγένου;' 'πλέον' ἔφη 'ἔλαιον οἴνου δαπανήσας'. Δημάδης. Δημάδης ἐρωτηθεὶς τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, 'τὸ τῶν Ἀθηναίων' ἔφη 'βῆμα', ἐμφαίνων, ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν. Διογένους. Ὁ Διογένης ἔλεγε τὴν Μήδειαν σοφήν, ἀλλ' οὐ φαρμακίδα γενέσθαι· λαμβάνουσαν γὰρ μαλακοὺς ἀνθρώπους καὶ τὰ σώματα διεφθαρμένους ὑπὸ τρυφῆς ἐν τοῖς γυμνασίοις καὶ τοῖς πυριατηρίοις διαπονεῖν καὶ ἰσχυροὺς ποιεῖν σφριγῶντας· ὅθεν περὶ αὐτῆς ῥυῆναι τὴν δόξαν, ὅτι τὰ κρέα ἕψουσα νέους ἐποίει. Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 258 D). Τίς οὖν ὁ τρόπος τοῦ καλῶς τε καὶ μὴ γράφειν; δεόμεθά τι, ὦ Φαῖδρε, Λυσίαν τε περὶ τούτων ἐξετάσαι 〈καὶ ἄλλον, ὅστις πώποτέ τι γέγραφεν ἢ γράψει, εἴτε πολιτικὸν σύγγραμμα εἴτε ἰδιωτικόν, ἐν μέτρῳ ὡς ποιητής, ἢ ἄνευ μέτρου ὡς ἰδιώτης; —Ἐρωτᾷς εἰ δεόμεθα;〉 τίνος μὲν οὖν ἕνεκα 〈κἄν〉 τις ὡς εἰπεῖν ζῴη, ἀλλ' ἢ τῶν τοιούτων ἡδονῶν ἕνεκα; οὐ γάρ που ἐκείνων γε ὧν προλυπηθῆναι δεῖ ἢ μὴ ἡσθῆναι, ὃ δὴ ὀλίγου πᾶσαι αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἔχουσι· διὸ καὶ δικαίως ἀνδραποδώδεις κέκληνται. Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων (I 2, 57). Σωκράτης ἐπεὶ διομολογήσαιτο τὸ μὲν ἐργάτην εἶναι ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθόν, τὸ δὲ ἀργὸν βλαβερόν τε καὶ κακόν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθόν, τὸ δὲ ἀργεῖν κακόν, τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαι ἔφη καὶ ἐργάτας ἀγαθοὺς εἶναι, τοὺς δὲ κυβεύοντας ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας ἀργοὺς ἀπεκάλει. ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι 〈τὸ〉 ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος. Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων (I 2, 19—23). μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω· ὁρῶ γὰρ ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ τοῦ σώματος ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς

ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε γὰρ ἃ δεῖ πράττειν οὔτε ὧν δεῖ ἀπέχεσθαι δύνανται. διὸ 〈καὶ〉 τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν, ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν ὅ τε λέγων ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον καὶ ὁ λέγων αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός, ἄλλοτε δ' ἐσθλός. κἀγὼ δὲ μαρτυρῶ τοῦτό γε· ὁρῶ γὰρ ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγιγνομένην. ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπιθυμεῖ· τούτων δ' ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι. ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας καὶ τοὺς εἰς ἔρωτας ἐγκυλισθέντας ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι πρὶν ἐρᾶν, ἐρασθέντες οὐκέτι δύνανται, καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται. πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν αὖθις μὴ σωφρονεῖν καὶ δίκαια δυνηθέντα πράττειν αὖθις ἀδυνατεῖν; πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη· ἐν τῷ γὰρ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι. Ἐκ τῶν Σερήνου. Συβαρίτης ἐπιδημήσας Λακεδαίμοσι καὶ τὰ ἔθη ἰδὼν καὶ τὰς καρτερήσεις οἷς ἐκ παίδων ἀνατρέφονται, οὐδὲν ἔφη θαυμαστὸν αὐτοὺς ποιεῖν ῥᾳδίως ἐν τοῖς πολέμοις ἀποθνῄσκοντας ὑπὲρ τοῦ μὴ οὕτω ζῆν. Πλάτωνος (Theaet. p. 153 B). Ἡ τῶν σωμάτων ἕξις ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων ὡς ἐπὶ τὸ πολὺ σῴζεται· ἡ δ' ἐν τῇ ψυχῇ ἕξις ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων οὐσῶν, κτᾶται μαθήματα καὶ σῴζεται καὶ γίγνεται βελτίων· ὑπὸ δ' ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει ἅ τε ἂν μάθῃ ἐπιλανθάνεται. Κηφισοδώρου. Κηφισόδωρος ἔλεγεν, ὅτι οὐδεὶς οὐσίαν, ἣν αὐτὸς ἐκτήσατο, κατέφαγεν, ἣν δὲ παρ' ἄλλου παρέλαβεν. Πυθαγόρου. Πυθαγόρας παρῄνει τοῖς ἑταίροις αἱρεῖσθαι βίον τὸν ἄριστον· καὶ γὰρ εἰ ὁ ἐπιπονώτατος εἴη, ἀλλὰ τῇ συνηθείᾳ ἡδὺν αὐτὸν ποιήσειν. Διονυσίου. οἱ Λάκωνες· ὃ δὲ οὐκ ἔχειν ἔφη τοῦτον τὰ ἡδύσματα, ἃ ἐκείνους ἔχειν, διὰ τοῦτο αὐτῷ μὴ ἀρέσαι. καὶ ὃς ἐπύθετο τίνα εἴη ταῦτα, αὐτὸς γὰρ κελεῦσαι τῷ ταμίᾳ πάντα ἔκπλεα αὐτῷ δοῦναι· ὃ δ' εἶπεν 'ἃ μὴ ἔστι παρὰ σοί, 〈οἱ〉 πρὸ τοῦ δείπνου πόνοι καὶ τὸ ἐν τῷ Εὐρώτᾳ λουτρόν'. Πλάτωνος ἐκ τοῦ Λάχητος (p. 188 A). Καὶ οὐδὲν οἶμαι κακὸν εἶναι τὸ ὑπομιμνήσκεσθαι ὅ τι μὴ καλῶς ἢ πεποιήκαμεν ἢ ποιοῦμεν· ἀλλ' εἰς τὸν ἔπειτα βίον προμηθέστερον ἀνάγκη εἶναι τὸν ταῦτα μὴ φεύγοντα, ἀλλ' ἐθέλοντα κατὰ τὸ τοῦ Σόλωνος καὶ ἀξιοῦντα μανθάνειν ἕωσπερ ἂν ζῇ, καὶ μὴ οἰόμενον αὐτῷ τὸ γῆρας νοῦν ἔχον προσιέναι. Ἐν ταὐτῷ (p. 194 D). Πολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταὐτὰ ἀγαθὸς Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 258 E—259 D). Σχολὴ μὲν δή, ὡς ἔοικεν· καὶ ἅμα μοι δοκοῦσιν ὡς ἐν τῷ πνίγει ὑπὲρ κεφαλῆς ἡμῶν οἱ τέττιγες ᾄδοντες καὶ ἀλλήλοις διαλεγόμενοι καθορᾶν καὶ ἡμᾶς. εἰ οὖν ἴδοιεν καὶ νῶ καθάπερ τοὺς πολλοὺς ἐν μεσημβρίᾳ μὴ διαλεγομένους, ἀλλὰ νυστάζοντας καὶ κηλουμένους ὑφ' αὐτῶν δι' ἀργίαν τῆς διανοίας, δικαίως ἂν καταγελῷεν, ἡγούμενοι ἀνδράποδ' ἄττα σφίσιν ἐλθόντα εἰς τὸ καταγώγιον ὥσπερ προβάτια μεσημβριάζοντα περὶ τὴν κρήνην εὕδειν· ἐὰν δὲ ὁρῶσι διαλεγομένους καὶ παραπλέοντας σφᾶς ὥσπερ Σειρῆνας ἀκηλήτους, ὃ γέρας παρὰ θεῶν ἔχουσιν ἀνθρώποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες. — Ἔχουσι δὲ δὴ τί τοῦτο; ἀνήκοος γάρ, ὡς ἔοικε, τυγχάνω ὤν. —Οὐ μὲν δὴ πρέπει γε φιλόμουσον ἄνδρα τῶν τοιούτων ἀνήκοον εἶναι· λέγεται δ' ὥς ποτ' ἦσαν οὗτοι ἄνθρωποι τῶν πρὶν Μούσας γεγονέναι, γενομένων δὲ Μουσῶν καὶ φανείσης ᾠδῆς οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ' ἡδονῆς, ὥστε ᾄδοντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠμέλησαν σίτων τε καὶ ποτῶν, καὶ ἔλαθον τελευτήσαντες αὐτούς· ἐξ ὧν τὸ τεττίγων γένος μετ' ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μουσῶν λαβόν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ, καὶ χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες ποιοῦσι προσφιλεστέρους, τῇ δὲ Ἐρατοῖ τοὺς ἐν τοῖς ἐρωτικοῖς, καὶ ταῖς ἄλλαις οὕτω, κατὰ τὸ εἶδος ἑκάστης τιμῆς· τῇ δὲ πρεσβυτάτῃ Καλλιόπῃ καὶ τῇ μετ' αὐτὴν Οὐρανίᾳ τοὺς ἐν φιλοσοφίᾳ διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσιν, αἳ δὴ μάλιστα τῶν Μουσῶν περί τε οὐρανὸν καὶ λόγους οὖσαι θείους τε καὶ ἀνθρωπίνους ἱᾶσι καλλίστην φωνήν.

3.30 Εὐριπίδου Ἀντιόπῃ (fr. 187 N. 2). Ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ, μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται, ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται, φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται, ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ. Εὐριπίδου Ἱππολύτου (380—384). Τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν, οὐκ ἐκπονοῦμεν δ'· οἱ μὲν ἀργίας ὕπο, οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ ἄλλην τιν'· εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου, μακραὶ δὲ λέσχαι καὶ σχολὴ τερπνὸν κακόν. Εὐριπίδου Ἑκάβῃ (375—378). Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι πόνων, φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ· θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος ἢ ζῶν· τὸ γὰρ ζῆν ἐν κακοῖς πόνος μέγας. Φιλήμονος (fab. inc. fr. 1 com. IV p. 30). Ὦ Κλέων, παῦσαι φλυαρῶν· ἂν ὀκνῇς τὸ μανθάνειν, ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσεις ποῶν. οὔτε γὰρ ναυαγός, ἂν μὴ γῆς λάβηται φερόμενος, οὔποτ' ἂν σώσειεν αὐτόν· οὔτ' ἀνὴρ πένης γεγώς, μὴ οὐ τέχνην μαθὼν δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον. ἀλλὰ χρήματ' ἔστιν ἡμῖν. ἅ γε τάχιστ' ἀπόλλυται. κτήματ', οἰκίαι. τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς, κἂν μὲν ὁρμισθῇ τις ἡμῶν εἰς λιμένα τὸν 〈τῆσ〉 τύχης, ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα· ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος, τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν. ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις, νὴ Δία, ἔρανον εἰσοίσουσιν. εὔχου μὴ λαβεῖν πεῖραν φίλων. εἰ δὲ μή, γνώσῃ σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν. Ἡσιόδου Ἔργων καὶ ἡμερῶν (303 sqq.). Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅστις ἀεργὸς ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν, οἵ τε μελισσάων κάματον νήποινον ἔδουσιν. Σοφοκλέους Ἰφιγενείας (fr. 287 N. 2). Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή. (trag. adesp. fr. 527 N. 2) Θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται. Μενάνδρου Ἐπιτρεπόντων (fr. 2 com. IV p. 119). Ἀργὸς δ' ὑγιαίνων τοῦ πυρέττοντος πολὺ ἔστ' ἀθλιώτερος, διπλάσια γοῦν ἐσθίει μάτην. Ἀλέξιδος ἐξ Ἀτθίδος (fr. 3 com. V 1 p. CCII). Ὅστις ἥδεται γὰρ ἐσθίων ὁσημέραι, δεῖ καὶ ποιεῖν τῶν σιτίων ἐπάξιόν τι, μηδὲ περινοστεῖν [δὲ] σχολὴν ἄγοντα, τῷ ζῆν πολεμιώτατον κακόν. Εὐριπίδου Ἀντιόπης (fr. 220 N. 2). Πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν· γνώμῃ φρονοῦντες οὐ θέλους' ὑπηρετεῖν ψυχῇ, τὰ πολλὰ πρὸς φίλων νικώμενοι. Ἡσιόδου Ἔργων (498—501). Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων, χρηίζων βιότοιο, κακὰ προσελέξατο θυμῷ. ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη. Εὐριπίδου Μελανίππῃ (fr. 512 N. 2). Ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ. (Eur. El. 80—81) Ἀργὸς γὰρ οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων. Ἀναξάρχου. Ἀνάξαρχος ἔλεγεν, εἰ μέν τινί τις καταράσαιτο ἀχρήστους αὐτῷ γενέσθαι τὰς χεῖρας καὶ τοὺς πόδας, ὀργίζεσθαι ἂν αὐτῷ, τοὺς δὲ πλουσίους ἔργῳ ἀχρήστους τοὺς πόδας καὶ τὰς χεῖρας ποιοῦντας αὑτῶν μακαρίζειν σφᾶς ἐπὶ τούτῳ. Δημοσθένους Ὀλυνθιακῶν α′ (I § 15 p. 13). Πρὸς θεῶν, τίς οὕτως εὐήθης ὑμῶν, ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς ἂν ἐπὶ πολὺ φανῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν ἐβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ. Εὐσεβίου (fr. 33 phil. gr. III p. 12 Mull.). Σῶμα ἀργίη τήκει, ψυχὴν δὲ ἀμελετησίη ἀσκήσιος τῶν αὐτὴν ἀειρόντων πρὸς τὸ

θεοειδέστατον. Ξενοφῶντος ἐν γ' Ἀπομνημονευμάτων (III 9, 9). Σχολὴν δὲ σκοπῶν τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους εὑρίσκειν ἔφη· καὶ γὰρ τοὺς πεττεύοντας καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι, πάντας δὲ τούτους ἔφη σχολάζειν ἰέναι πράξοντας τὰ βελτίω τούτων· ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας αὐτῷ οὔσης τοῦτο πράττειν. Πλάτωνος (de leg. VII p. 807 E—808 C). Τὸ γὰρ ὅλην διατελεῖν ἡντινοῦν νύκτα καθεύδοντα, καὶ ὁντινοῦν τῶν πολιτῶν, καὶ μὴ φανερὸν εἶναι πᾶσι τοῖς οἰκέταις ἐγειρόμενόν τε καὶ ἐξανιστάμενον αἰεὶ πρῶτον, τοῦτ' αἰσχρὸν δεῖ δεδόχθαι πᾶσι, καὶ οὐκ ἐλευθέρου, εἴτ' οὖν νόμον εἴτ' ἐπιτήδευμα τὸ τοιοῦτον καλεῖν ἐστι χρεών. καὶ δέσποιναν ἐν οἰκίᾳ ὑπὸ θεραπαινίδων ἐγείρεσθαί τινων, καὶ μὴ πρώτην αὐτὴν ἐγείρειν τὰς ἄλλας, αἰσχρὸν λέγειν χρὴ πρὸς αὐτοὺς δούλην τε καὶ δοῦλον καὶ παῖδα καὶ εἴ πως οἷόν τε ὅλην καὶ πᾶσαν τὴν οἰκίαν. ἐξεγειρομένους δὲ νύκτωρ δεῖ πάντας πράττειν τῶν τε πολιτικῶν μέρη πολλὰ καὶ τῶν οἰκονομικῶν, ἄρχοντας μὲν κατὰ πόλιν, δεσποίνας δὲ καὶ δεσπότας ἐν ἰδίαις οἰκίαις. ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν οὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν. καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος· ἀλλ' ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κηδεμών, ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτοῦ φυλάττων μόνον χρήσιμον· ἔστι δὲ τοῦτο οὐ πολὺ

3.31 Εὐριπίδου Τημένῳ (fr. 746 N. 2). Αἰδὼς γὰρ ὀργῆς πλείον' ὠφελεῖ βροτούς. Εὐριπίδου Ἰφιγενείας (Aul. 378—380). Βούλομαί ς' εἰπεῖν κακῶς εὖ, βραχέα, μὴ λίαν ἄνω βλέφαρα πρὸς τἀναιδὲς ἀγαγών, ἀλλὰ σωφρονεστέρως, ὡς ἀδελφὸν ὄντ'. ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ. Εὐριπίδου Ἱππολύτου (fr. 436 N. 2). Ἡσιόδου Ἔργων (318). Αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν. Μενάνδρου Ὁμοπάτριοι (fr. 1 com. IV p. 178). Πᾶς ἐρυθριῶν χρηστὸς εἶναί μοι δοκεῖ. Μουσωνίου (p. 256 Peerlk.). Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰδεῖσθαι. Δημοκρίτου (cf. fr. mor. 98 Mullach.). Φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι. Πυθιάδος. Πυθιὰς ἡ Ἀριστοτέλους τοῦ φιλοσόφου θυγάτηρ ἐρωτηθεῖσα ποῖον κάλλιστον χρῶμα, ἔφη 'τὸ διὰ τὴν αἰδῶ' Ἰαμβλίχου Σωπάτρῳ περὶ ἀρετῆς. Τοιαῦτα δ' ἂν εἴη καὶ τὰ τῆς αἰδοῦς ἀντεχόμενα, τιμῶντα δὲ τὰ χρηστὰ ἤθη, δι' ἣν τῶν αἰσχρῶν πάντων ἀπεχόμεθα· τὴν δὲ ἀναίδειαν ἐξορίζοντα τῆς ψυχῆς, δι' ἣν ὑπὸ τῶν αἰσχρῶν οἱ πολλοὶ ἁλίσκονται. Θεοφράστου (fr. CLV Wimmer.). Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ. Κάτωνος. Μάλιστα δ' ἐνόμιζε δεῖν ἕκαστον αἰδεῖσθαι ἑαυτόν· μηδένα γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι. Στασίνου ἐκ τῶν Κυπρίων (fr. 20 Kinkel.). Ζῆνα δὲ τὸν ῥέξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν, οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. Ὁμήρου (Il. III 172). Αἰδοῖός τέ μοι ἐσσί, φίλε ἑκυρέ, δεινός τε. Τοῦ αὐτοῦ (Od. XVII 188). Εὐριπίδου ἐκ Κρεσφόντου (fr. 457 N. 2). Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον. Θεόγνιδος (1161—1162). Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι, Κύρνε, διδῷς. Ἀγάθωνος (fr. 22 p. 767 N. 2). Ἀδικεῖν νομίζων ὄψιν αἰδοῦμαι φίλων. Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος (p. 12 A—C). Λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας Ζῆνα δὲ τὸν ῥέξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν, οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. δὲ μηδὲν ταῦτα ἃ δεδίασιν. οὐ καὶ σοὶ δοκεῖ; — Πάνυ γε. — Ἀλλ' ἵνα γε αἰδώς, ἔνθα καὶ δέος εἶναι· ἐπεὶ ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; — Δέδοικε μὲν οὖν. — Οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ' ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος, οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς· ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς· μόριον γὰρ αἰδὼς δέους, ὥσπερ ἀριθμοῦ περιττόν, ὥστε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν, ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός.

3.32

Εὐριπίδου Μηδείᾳ (469—472). Οὔ τοι θράσος τόδ’ ἐστὶν, οὐδ’ εὐτολμία, φίλους κακῶς δράσαντ’ ἐναντίον βλέπειν· ἀλλ’ ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων πασῶν, ἀναίδει’. εὖ δ’ ἐποίησας μολών. (trag. fr. adesp. 556 N. 2) Αἰδὼς ἀπώλες’ αὐτόν, ἐρρέτω κακή· πολλὴν γὰρ αὐτὴν δειλὸς ὢν ἐκτήσατο. (Eur. fr. 285 N. 2) *** κἀγὼ μετ’ ἀνδρῶν ἡνίκ’ εὐτύχουν βίῳ. (trag. fr. adesp. 557 N. 2) Τοῖς γὰρ κακῶς πράσσουσιν οἱ σεμνοὶ λόγοι κόσμον μὲν ἂν δοίησαν· ἡ δ’ εὐπραξία ξὺν τοῖς ἀναισχύντοισιν ὥρισται βροτῶν. (trag. fr. adesp. 558 N. 2) Ὦ παῖ, τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα Ὁμήρου (Il. XXIV 44—45). Ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς γίνεται, ἥ τ’ ἄνδρας μέγα σίνεται ἠδ’ ὀνίνησιν. * ωκειῶν. Αἰδώς τοι ξυνετοῖσιν ἐπὶ βλεφάροισι κάθηται, ὕβρις δ’ ἀξυνέτοισι· σοφὸς δέ κε τοῦτο δαείη. Θεόγνιδος (647—648). Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν, αὐτὰρ ἀναιδείη γαῖαν ἐπέρχεθ’ ὁμῶς. Μενάνδρου (fab. inc. fr. 287 com. IV p. 294). Ἀπερυθριᾷ πᾶς, ἐρυθριᾷ δ’ οὐδεὶς ἔτι. (Menandri fab. inc. fr. 173 com. IV p. 273). Ὃς Μενάνδρου Καρίνῃ (fr. 2 com. IV p. 144). Ὦ μεγίστη τῶν θεῶν νῦν οὖς’ ἀναίδει’, εἰ θεὸν καλεῖν σε δεῖ. δεῖ δέ· τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός. ἐφ’ ὅσον βαδίζεις, ἐφ’ ὅσον ἥξειν μοι δοκεῖς. Διφίλου (fr. 29 com. IV p. 425). Οὐκ ἔστ’ ἀναιδοῦς ζῷον εὐθαρσέστερον. (trag. fr. adesp. 528 N. 2) Κακὴ γὰρ αἰδὼς ἔνθα τἀναιδὲς κρατεῖ. Θεοδέκτου (fr. 12 p. 805 N. 2). Ἅπαντ’ ἐν ἀνθρώποισι γηράσκειν ἔφυ καὶ πρὸς τελευτὴν ἔρχεται τακτοῦ χρόνου, πλὴν, ὡς ἔοικε, τῆς ἀναιδείας μόνον. αὕτη δ’ ὅσῳπερ αὔξεται θνητῶν γένος, τοσῷδε μείζων γίγνεται καθ’ ἡμέραν. Ἡροδότου ἱστορίας α′ (I 8). Ἅμα δὲ κιθῶνι ἐκδυομένῳ ἐκδύεται καὶ τὴν αἰδῶ γυνή. Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας (I 2, 7). Ἔπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία· καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. Δημοσθένους (I § 27 p. 17). Καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσιν. (Demosth. IV § 10 p. 43) Ἐγὼ μὲν οἶμαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὸ τῶν πραγμάτων αἰσχύνην εἶναι. Θουκυδίδου (I 84). Πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γινόμεθα, τὸ μὲν ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης

3.33 Καρκίνου (fr. 7 p. 800 N. 2). Πολλοῖς γὰρ ἀνθρώποισι φάρμακον κακῶν σιγή, μάλιστα δ’ ἐστὶ σώφρονος τρόπου. (deest Mein.: Soph. Ai. 293) Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Μενάνδρου (fab. inc. fr. 288 com. IV p. 294). Οὐθὲν σιωπῆς ἔστι χρησιμώτερον. Σοφοκλέους Ἀλεάδαις (fr. 78 N. 2). Ὦ παῖ, σιώπα· πόλλ’ ἔχει σιγὴ καλά. Χάρητος (fr. 2 p. 826 N. 2). Ἀθηνοδώρου (Ps.—Plut. apophth. reg. et duc. p. 207 C). Ἔστι καὶ τὸ σιγᾶν ἀκίνδυνον γέρας. Ἄμφιδος (fab. inc. fr. 9 com. III p. 319). Οὐκ ἔστι κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν. Φιλωνίδου (com. II 1 p. 425). Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην. Κλεάνθους. Σιωπῶντος τοῦ Κλεάνθους, ἐπεί τις ἔφη ‘τί σιγᾷς; καὶ μὴν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν‘, ‘ἡδύ‘ ἔφη ‘ἀλλ’ ὅσῳ ἥδιον, τοσῷδε μᾶλλον αὐτοῦ τοῖς φίλοις παραχωρητέον‘. Πλουτάρχου ἐκ τοῦ Πῶς ἔστιν ἀπὸ ἐχθρῶν ὠφεληθῆναι (p. 90 B). πειθήνιον ἔχειν *** Ζήνωνος. Ζήνων Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ’ αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν ἕξιν, αὐτὸς ἐσίγα. τῶν δὲ πρέσβεων ζητούντων τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον ‘τοῦτ’ αὐτό‘ ἔφη ‘ὃ βλέπετε‘ δυσκρατέστατον γὰρ πάντων ὁ λόγος. Ξενοκράτους. Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα καὶ τῇ σιωπῇ μέρος ἀπένεμεν. Σιμωνίδου (Plut. de tuenda sanit. p. 125 D). Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγή- Ἀπολλώνιος τοῖς γνωρίμοις (deest edit. Hercher.). Πολλὴν ἐπιμέλειαν ποιεῖσθε περὶ τοῦ μὴ λέγειν ἃ μὴ δεῖ. παντελῶς γὰρ ἀπαιδεύτου τινός ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν, ἀλλ’ ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα. Διογένους. Διογένης πρὸς τὸν φιλόσοφον εἶναι φήσαντα, ἐρωτῶντα δὲ ἐριστικῶς ‘κακόδαιμον‘ ἔφη ‘τὸ βέλτιστον τῶν ἐν τῷ βίῳ τοῦ φιλοσόφου λυμαινόμενος τῷ λόγῳ φιλοσοφεῖν φήσ‘. Θεοκρίτου. Θεόκριτος ἐρωτηθεὶς ὑπὸ ἀδολέσχου ὅπου αὐτὸν αὔριον ὄψοιτο, ‘ὅπου‘ ἔφη ‘ἐγὼ σὲ οὐκ ὄψομαι‘. Πλουτάρχου (fr. XXXIV 1). Περὶ τῆς καθ’ Ὅμηρον

ἐχεμυθίας διὰ τούτων σαφῶς δείκνυται. λέγει γάρ Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητὴς ἴσχεο μηδ' ἔθελ' οἷος ἐριζέμεναι βασιλῆι. καὶ τοῦ Τηλεμάχου εἰπόντος ἦ μάλα τις θεῶν ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν ἐπιλαμβανόμενος ὁ πατὴρ ἔφη σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε· αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι. Δημοσθένους (?). Μὴ νομίσητέ με, ὦ ἄνδρες Ἀθηναῖοι, ἀγνοεῖν, ὅτι ἀσφαλὲς τὸ σιγᾶν ἐστι.

3.34 Διονυσίου (fr. 6 p. 795 N. 2). Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε. Εὐριπίδου Ἀρχελάῳ (fr. 253 N. 2). Ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην. Εὐριπίδου Αἰγέως (fr. 5 N. 2). Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά. Ἀντιφάνους (fab. inc. fr. 46 com. III p. 149). Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα. Αἰσχύλου (fr. 397 N. 2). Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα. Ἐκ τοῦ Ἰσοκράτους πρὸς Δημόνικον (§ 41 p. 11 b). Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν. Πυθαγόρου. Ἔλεγεν ὁ Πυθαγόρας ‘χρὴ σιγᾶν ἢ κρείσσονα σιγῆς λέγειν‘. Τοῦ αὐτοῦ. Ἢ σιγὴν καίριον ἢ λόγον ὠφέλιμον ἔχε. Σόλωνος. Σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ. Αἰσχίνου (C. Fr. Hermann. disput. de Aesch. Socrat. rel. p. 11). Αἰσχίνης ὁ Σωκρατικὸς ἐπιπληχθείς. ὅτι Σωκράτει ἐσχολακὼς σιωπᾷ, ‘οὐ γὰρ μόνον‘ εἶπε ‘λέγειν ἔμαθον παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾶν‘. Πυθαγόρου. Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῆ βάλλειν, ἢ λόγον ἀργόν. Εὐριπίδου ἐν Ἀνδρομέδᾳ (fr. 126 N 2 .). Σιγᾷς· σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων. Θεόγνιδος (625—626). Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν, καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 33). ὀλίγων. σπανίως δέ ποτε καιροῦ καλοῦντος ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν εἰκαίων, μὴ περὶ ἀθλητῶν ἢ μονομάχων ἢ περὶ ἵππων ἢ βρωμάτων ἢ ποτῶν τῶν ἑκασταχοῦ, μὴ περὶ ἀνθρώπων ψέγοντα ἢ ἐπαινοῦντα ἢ συγκρίνοντα. λοιπὸν ἐκείνου ἔχου τοῦ μὴ καθιέναι εἰς ὁμιλίας ἰδιωτικάς, ἀλλὰ ἂν οἷός τε ᾖς, μέταγε τοὺς λόγους ἐπὶ τὸ προσῆκον· εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν. Σόλωνος. συμποσίῳ δύναιτο‘. Ἐκ τῶν Δίωνος Χρειῶν. Τῶν συνόντων τις μειρακίων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ ἐσιώπα· ὃ δὲ ἔφη ‘οὐκ οἴει τοῦ αὐτοῦ εἶναι εἰδέναι τε ἃ λεκτέον καὶ πότε, καὶ τίνα σιωπητέον, καὶ πρὸς τίνα; Κλεοστράτου. Κλεόστρατος πρὸς τὸν εἰπόντα ‘οὐκ αἰσχύνῃ μεθύων;‘ ‘σὺ δὲ οὐκ αἰσχύνῃ‘ ἔφη ‘μεθύοντα νουθετῶν;‘ Σωκράτους. Τῷ γελοίῳ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι. Ἀναξάρχου. Πολυμαθίη κάρτα μὲν ὠφελέει, κάρτα δὲ βλάπτει τὸν καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ οὗτος ὅρος. οἳ δὲ ἔξω καιροῦ ῥῆσιν μουσικὴν 〈ἀείδουσιν, κἢν〉 πεπνυμένως ἀείσωσιν, οὐ παραδέκονται ἐναργίῃ γνώμην, αἰτίην δ' ἔχουσι μωρίης.

3.35 Ἡσιόδου Ἔργων (719—720). Εὔπολις ἐν Δήμοις (fr. 18 com. II 1 p. 467). Καὶ τοῦ μὲν 〈ἐν〉 κύκλῳ γε παύσομαι λόγου, φράσω δέ σοι τὸ πρᾶγμα διὰ τῶν χωρίων. Εὐριπίδου Αἰόλῳ (fr. 28 N. 2). Παῖδες, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς. Σοφοκλέους Ἀλήτῃ (fr. 98 N. 2). Βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά. Μενάνδρου Ἐπαγγελλομένῳ (fr. 3 com. IV p. 115). Τοῖς ἀναιδέσιν βοηθεῖ γὰρ λόγοις τοῦθ' ἓν μόνον, ἂν βραχεῖς αὐτοὺς ποῇ τις τόν τε καιρὸν εὖ λάβῃ. Φιλωνίδου (com II 1 p. 425). Ἅπαντ' ἐρίζεις καὶ συνίης οὐδὲ ἕν. Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν. Φιλωνίδου (com. IV p. 690). Οὐκ ἄν τις εἴπῃ πολλά, θαυμασθήσεται, ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα. Πυθαγόρου. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις πολλά. Λυκούργου. Λυκοῦργος πρὸς τὸν εἰπόντα ‘διὰ τί Λακεδαιμόνιοι τὴν βραχυλογίαν ἀσκοῦσιν;‘ εἶπεν ‘ὅτι ἐγγύς ἐστι τοῦ σιγᾶν‘. (Epict. fr. 77 Schweigh.) Μηδενὸς οὕτως ἐν παντὶ προνόει ὡς τοῦ ἀσφαλοῦς· ἀσφαλέστερον γὰρ τοῦ λέγειν τὸ σιγᾶν. ἔα δὲ τὸ λέγειν ὅσα δίχα ἔσται νοῦ καὶ ψόγου .... Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 33). τῶν σοὶ συμβαινόντων ἀκούειν. Πλάτωνος Νόμων α′ (I p. 641 E). Τὴν πόλιν ἅπαντες ἡμῶν

Ἕλληνες ὑπολαμβάνουσιν, ὡς φιλόλογός τέ ἐστι καὶ πολύλογος, Λακεδαίμονα δὲ καὶ Κρήτην, τὴν μὲν βραχύλογον, τὴν δὲ πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦσαν.

3.36 Θεόγνιδος (421—424). Πολλοῖς ἀνθρώπων γλώσσῃ θύρα οὐκ ἐπίκειται ἐσθλὸν δ' ἐξελθεῖν λώιον ἢ τὸ κακόν. Εὐριπίδου Ἱππολύτῳ (395—397). Γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἢ θυραῖα μὲν φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται, αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά. Εὐριπίδου Μηδείας (292—293). Οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον, ἔβλαψε γλῶσσα, μεγάλα τ' εἴργασται κακά. Ἀστυδάμαντος (fr. 7 p. 780 N. 2). Γλώσσης περίπατός ἐστιν ἀδολεσχία. (comici ignoti fr. 345 IV p. 690) Ληρεῖς ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν. Ὁμήρου (Od. XIV 466). Καί τι ἔπος προέηκεν ὅ πέρ τ' ἄρρητον ἄμεινον. Τοῦ αὐτοῦ (Il. XXIII 478—479). Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι. οὐδέ τι σε χρὴ Νικοστράτου (inc. fab. fr. 1 com. III p. 288). Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ. Εὐριπίδου Πενθεῖ (Bacch. 268—269). Σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις, ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες. Εὐριπίδου Ἀντιόπῃ (fr. 219 N. 2). Κόσμος δὲ σιγὴ στεγανὸς ἀνδρὸς οὐ κακοῦ. τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται, κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει. Σοφοκλέους Ἀλεάδαις (fr. 79 N. 2). Τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἔστι σοι; Μενάνδρου. *** (trag. adesp. 529 N. 2). Αἰσχρόν γ' ὅταν τις ἐπὶ γλώσσῃ φυεὶς γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους. Εὐριπίδου Βάκχαις (386—388). Ἀχαλίνων στομάτων ἀνόμου τ' ἀφροσύνας τὸ τέλος δυστυχία. Μενάνδρου. (Eur. fr. 1044 N. 2) Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον ῥᾷον κατασχεῖν οὔτ' ἀπὸ γλώσσης λόγον. Τοῦ αὐτοῦ Δικτύοις (fr. 335 N. 2). Τυραννικόν τοι πόλλ' ἐπίστασθαι λέγειν. Σοφοκλῆς Ἀλήτῃ (fr. 99 N. 2). Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγων ἀεί, λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς. Αἰσχύλου (Prom. 329). Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται. Φιλήμονος (fab. inc. fr. 11 com. IV p. 37). Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς· τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρόν, μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον. τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε· οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει, ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν. Ζήνωνος. Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν 'νεανίσκε' εἶπεν 'ἡ φύσις ἡμῖν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλασίονα ὧν λέγομεν ἀκούωμεν'. Θεοκρίτου. Θεόκριτος Ἀναξιμένους λέγειν μέλλοντος 'ἄρχεται' εἶπεν 'λέξεων μὲν ποταμός, νοῦ δὲ σταλαγμός'. Διογένους. Διογένης ᾔτησέν ποτε Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδων τρεῖς· ὡς δ' ἐκεῖνος μέδιμνον ἀπέστειλεν, 'οὕτως' ἔφη 'καὶ ἀποκρίνῃ 〈ἓν〉 ἐρωτηθεὶς μυρία'. Πλάτωνος. Πλάτων Ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μακρολογήσαντος 'ἀγνοεῖσ' εἶπεν 'ὅτι τοῦ λόγου μέτρον ἐστὶν Ζήνωνος. Τῶν τις ἐν Ἀκαδημίᾳ νεανίσκων περὶ ἐπιτηδευμάτων διελέγετο ἀφρόνων· ὁ δὲ Ζήνων 'ἐὰν μὴ τὴν γλῶσσαν' ἔφη 'εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ πλείω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσεισ'. Δημοκρίτου (fr. mor. 144 Mullach.). Πλεονεξίη τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν. Ἰσοκράτους. Ἰσοκράτης ὁ ῥήτωρ Καρίωνος ὄντος λάλου καὶ σχολάζειν αὐτῷ βουλομένου, διττοὺς ᾔτησε μισθούς. τοῦ δὲ τὴν αἰτίαν πυθομένου 'ἕνα μέν' ἔφη 'ἵνα λαλεῖν μάθῃ· τὸν δ' ἕτερον, ἵνα σιγᾶν'. Ζήνωνος. Ζήνων τῶν μαθητῶν ἔφασκεν τοὺς μὲν φιλολόγους εἶναι, τοὺς δὲ λογοφίλους. Θεοκρίτου. 〈Θεόκριτοσ〉 ἐριστικοῦ ἀνδρὸς ἐρωτῶντος αὐτόν, εἰ ἡ ἀρετὴ ὠφέλιμος, ἀνένευσεν, οὐ βουλόμενος παρασχεῖν αὐτῷ ἐκ τῆς ἀποκρίσεως ἀφορμὴν εἰς ἔριν. Ἀπολλώνιος τοῖς γνωρίμοις (epistologr. gr. p. 126 Herch.). Πολυλογία πολλὰ σφάλματα ἔχει, τὸ δὲ σιγᾶν ἀσφαλές. Ἀπολλώνιος Εὐφράτῃ (ibid. p. 125). Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι, εἰ ἠνιῶντο ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν. Εὐσεβίου (fr. 34 phil. graec. III p. 12 Mull.). πολλάκις καὶ κατηλογήσαντα τοσούτου ἔρκεος ἄκριτα προεκθρώσκει. Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας (I 4, 3). Ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ μὲν αὐτὸς τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπὸ ἄλλων

ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο, ὥστ' ἐκ πάντων τούτων πολυλογία συνελέγετο αὐτῷ. ἀλλ' ὥσπερ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι αὐτοῖς νεαρὸν ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλὰ πρᾳότης τις καὶ φιλοστοργία, ὥστ' ἐπεθύμει ἄν τις ἔτι πλείω ἀκούειν αὐτοῦ ἢ

3.37 Μενάνδρου (fab. inc. fr. 273 com. IV p. 292). Οὐθεὶς πονηρὸν πρᾶγμα χρηστὸς ὢν ποεῖ. Τοῦ αὐτοῦ (ibid. fr. 274). Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη. Θεόγνιδος (319—322). Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί, τολμᾷ δ' ἔν τ' ἀγαθοῖς κείμενος ἔν τε κακοῖς. εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ, ἀφραίνων βίοτον οὐ δύναται κατέχειν. Σοφοκλῆς Ἠλέκτρᾳ (1082 sq.). ΧΟΡ. Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς εὔκλειαν αἰσχῦναι θέλει. Μενάνδρου (fab. inc. fr. 48 com. IV p. 249). Μενάνδρου (fab. inc. fr. 246 com. IV p. 288). Ὁ χρηστός ἐστι πολλαχοῦ σωτήριος. Μενάνδρου (ibid. fr. 246 b). Τὸ χρηστὰ πράττειν ἔργον ἔστ' ἐλευθέρου. Τοῦ αὐτοῦ (ibid. fr. 246 c). Μέγιστον ἀγαθόν ἐστι μετὰ νοῦ χρηστότης. Διφίλου (fab. inc. fr. 32 com. IV p. 425). Ὡς μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ. Μενάνδρου Ὁμοπάτριοι (fr. 2 com. IV p. 178). Χρηστοὺς νομιζομένους, ἐφόδιον ἀσφαλὲς εἰς πάντα καιρὸν καὶ τύχης πᾶσαν ῥοπήν. Μενάνδρου Παλλακῇ (fr. 2 com. IV p. 182). Ἀλλὰ τῶν χρηστῶν ἔχει τιν' ἐπιμέλειαν καὶ θεός. Μενάνδρου (fab. inc. fr. 479 com. IV p. 327). Κἀν ταῖς ἀπορίαις ἔσθ' ὁ χρηστὸς χρήσιμος. Ἀντιφάνους (fab. inc. fr. 47 com. III p. 150). Ποσειδίππου (fab. inc. fr. 6 com. IV p. 526). Διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους. Πειρίθου (Eur. fr. 597 N. 2). Τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου· τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ ῥήτωρ δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω λόγοις ταράσσων πολλάκις λυμαίνεται. Θεόγνιδος (635—636). Ἀνδράσι τοῖς ἀγαθοῖς ἔπεται γνώμη τε καὶ αἰδώς, οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι. Μενάνδρου Ὕμνις (fr. 1 com. IV p. 209). εὔνους ἐγὼ νῦν εἰμι. 'πειστικὸν λόγος' πρὸς τοῦτ' ἂν εἴποι τις μάλιστα τῶν σοφῶν· τί οὖν ἑτέρους λαλοῦντας εὖ βδελύττομαι; τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος. Ἐπιχάρμου (fr. * 25 p. 261 Lorenz.). Ὁ τρόπος ἀνθρώποισι δαίμων ἀγαθός, οἷς δὲ καὶ κακός. Εὐριπίδου Αὐγῆς (fr. 274 N. 2). Τὸ δ' ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς. Θεοφράστου (fr. CVI Wimmer.). Ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται· οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους, ἀλλ' οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται. Δημοσθένους (XXXVI § 52 p. 960). Πολλῶν χρημάτων τὸ χρηστὸν εἶναι λυσιτελέστερόν ἐστιν. Δημοκρίτου (fr. mor. 114 Mullach.). Ἀγαθὸν ἢ εἶναι χρεὼν ἢ μιμέεσθαι. Λυκούργου. Λυκοῦργος ὁ νομοθέτης εἶπεν τὸ μὲν ἀξιόχρεων τῶν ἀνθρώπων ἐν τῇ οὐσίᾳ κεῖσθαι, τὸ δὲ ἀξιόπιστον ἐν τοῖς τρόποις. Ἀριστίππου. Ἀρίστιππος ἐρωτηθεὶς τί θαυμαστόν ἐστιν ἐν τῷ βίῳ, εἶπεν 'ἄνθρωπος ἐπιεικὴς καὶ μέτριος, ὅτι ἐν πολλοῖς ὑπάρχων μοχθηροῖς οὐ διέστραπται'. Δημοκρίτου (fr. mor. 45 Mullach.). Οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τουτέοισι καὶ 〈ὁ〉 βίος εὖ τέτακται. Σωκράτους. Ἡ μὲν ἐσθὴς τὴν ἀρρυθμίαν, ἡ δὲ εὔνοια τὴν ἁμαρτίαν περιστέλλει. Ἐκτοῦ Ξενοφῶντος Οἰκονομικοῦ (VI 12—16). Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἐάν σοι ἐξ ἀρχῆς διηγήσωμαι ὡς συνεγενόμην ποτὲ ἀνδρί, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τούτων τῶν ἀνδρῶν ἐφ' οἷς τοῦτο τοὔνομα δικαίως ἐστὶν ὃ καλεῖται καλός τε καὶ ἀγαθὸς ἀνήρ; Πάνυ ἄν, ἔφη, βουλοίμην, ὁ Κριτόβουλος, οὕτως σου ἀκούειν, ὡς καὶ ἔγωγε ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι. Λέξω τοίνυν ἔφη σοι ὁ Σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῦ. τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, ἀγαθοὺς χαλκεῖς, ἀγαθοὺς ζωγράφους, ἀγαθοὺς ἀνδριαντοποιούς, καὶ πάντα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος ἐγένετο περιελθεῖν τε καὶ θεάσασθαι τὰ δεδοκιμασμένα καλὰ ἔργα αὐτῶν εἶναι. ὅπως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ σεμνὸν ὄνομα τοῦτο 〈τὸ〉 καλός τε κἀγαθὸς ἐπισκεψαίμην, τί ποτε ἐργασάμενοι τοῦτο ἀξιοῦνται καλεῖσθαι, πάνυ μοι ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι. καὶ πρῶτον μὲν ὅτι προσέκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὄνθόν. ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως, ἀλλ' ἐνίους ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς

μορφὰς πάνυ μοχθηροὺς ὄντας τὰς ψυχάς. ἔδοξεν οὖν μοι ἀφέμενον τῆς καλῆς ὄψεως, ἐπ' αὐτῶν τινα ἐλθεῖν τῶν καλουμένων καλῶν τε κἀγαθῶν. (eiusd. VII 43) Τὰ γὰρ καλά τε καὶ ἀγαθά, ἔφην ἐγώ, οὐ διὰ τὰς ὡραιότητας, ἀλλὰ διὰ τὰς ἐν τῷ βίῳ ἀρετὰς τοῖς ἀνθρώποις ἐπαύξεται. Θεμιστοκλέους (Ps.—Plut. apophth. reg. et duc. p. 185 E). Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει. Σόλωνος. Τρόπου καλοκαγαθίαν ὅρκου πιστοτέραν ἔχε. Ἀριστοτέλους. Ἀριστοτέλης ὁ φιλόσοφος αἰτηθείς ποτε ἔρανον ὑπὸ ἀνθρωπίνῳ'. Ἐκ τῆς Ἰαμβλίχου Σωπάτρῳ περὶ ἀρετῆς. Ἀγαθὸς νομιζέσθω ὁ τὴν τελειοτάτην κατὰ τὸν χωριστὸν νοῦν ἐνέργειαν διασῴζων καὶ τὴν μετουσίαν τοῦ νοητοῦ κάλλους παραδεχόμενος καὶ τῆς τοῦ θεοῦ οὐσίας καὶ δυνάμεως μέτοχος. Δημοσθένους. Δημοσθένης λέγων ποτὲ ἐπ' ἐκκλησίας ὡς εἶδε Φωκίωνα παριόντα, 'ἔρχεται' εἶπεν 'ἡ τῶν ἐμῶν λόγων σφῦρα καὶ κοπίς'. οὕτως οὐ τοσοῦτον ὁ λόγος, ὅσον ὁ τρόπος πείθειν δύναται. Σκηπίωνος (Ps.—Plut. apophth. reg. et duc. p. 199 F). Ὁ Σκηπίων τὸ Πολυβίου παράγγελμα διαφυλάττων ἐπειρᾶτο μὴ πρότερον ἐξ ἀγορᾶς ἀνελθεῖν, ἢ ποιήσασθαί τινα συνήθη καὶ φίλον. Βίαντος. Βίας ἔφη 'οἱ ἀγαθοὶ εὐαπάτητοι'. Φωκίωνος (Ps.—Plut. apophth. reg. et duc. p. 188 C). Ἀλεξάνδρου τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν τῷ Φωκίωνι πέμψαντος, ἠρώτησεν τοὺς κομίσαντας τί δὴ πολλῶν ὄντων Ἀθηναίων αὐτῷ μόνῳ ταῦτα δίδωσιν· εἰπόντων δ' ἐκείνων, ὅτι μόνον αὐτὸν ἡγεῖται καλόν τε κἀγαθόν, 'οὐκοῦν' ἔφη 'ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον'. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (hist. gr. min. ed. L. Dindorf. v. I p. 146 fr. 8. 9). Πραΰσιοι τοὺς ἀστυγείτονας, ἐὰν λιμῷ πιεσθῶσιν, τρέφουσιν. Θῦνοι τοὺς ναυαγοὺς φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται, τῶν δὲ ξένων τοὺς μὲν ἀκουσίως ἐλθόν-

3.38 Φιλήμονος (inc. fab. fr. 43 com. IV p. 50). Ὁ φθόνος [ἐν] ἑαυτῷ τοῦθ' ἓν ἐπιεικῶς ποεῖ· τὸν αἱρετιστὴν ὄντα τῶν αὐτοῦ τρόπων λυμαίνεται μάλιστα διὰ παντὸς συνών. Διονυσίου (com. III p. 555). Ἔπειτα δ' οὐδὲ τοῦτο γινώσκεις, ὅτι τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ; (trag. adesp. fr. 530 N. 2) Ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον. (trag. adesp. fr. 531 N. 2) Ἅπαν τὸ λίαν συνετόν ἐστ' ἐπίφθονον. Χάρητος (fr. 3 p. 826 N. 2). Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός. (trag. adesp. fr. 532 N. 2) Ἀδικώτατον πρᾶγμ' ἐστὶ τῶν πάντων φθόνος. (com. adesp. fr. 385 Kock.) Ἐγὼ δ' ἐν ἀνθρώποισι μέχρι τοῦδ' οὐ δοκῶ πράττειν 〈τιν'〉 εὖ, μέχρι ἂν φθονεῖσθαί μοι δοκῇ. Διονυσίου (fr. 8 p. 725 N. 2). Αὐτὸς πενόμενος τοῖς ἔχουσι μὴ φθόνει. (trag. adesp. fr. 533 N. 2) Εἰσίν τινες νῦν οὓς τὸ βασκαίνειν τρέφει. Ἀγάθωνος (fr. 23 p. 768 N. 2). Ὅλοιθ' ὁ τοῖς ἔχουσι τἀγαθὰ φθονῶν. Εὐριπίδου ἐξ Ἰνοῦς (fr. 403 N. 2). Τίς ἆρα μήτηρ ἢ πατὴρ κακὸν μέγα βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον; ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος; ἐν χερσὶν ἢ σπλάγχνοισιν ἢ παρ' ὄμματα ᾐσθημένοις ἦν μόχθος ἰατροῖς μέγας τομαῖς ἀφαιρεῖν ἢ ποτοῖσι φαρμάκοις πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων. Εὐριπίδου Οἰδίποδι (fr. 555 N. 2). Φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν ἀπώλες' αὐτὸν κἀμὲ συνδιώλεσεν. Νικομάχου Ναυμαχίας (com. IV p. 587). Ἐργῶδές ἐστιν ἐν βίῳ βεβιωκότα τοὺς τῶν φθονούντων πάντας ὀφθαλμοὺς λαθεῖν. Μενάνδρου (fab. inc. fr. 70 com. IV p. 254). Ὁ φθονερὸς αὐτῷ πολέμιος καθίσταται. αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί. Ἀγάθωνος (fr. 24 p. 768 N. 2). Οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος, εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες. Εὐριπίδου (fr. 294 N. 2). Φθονοῦσιν αὐτοὶ χείρονες πεφυκότες. εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ. Εὐριπίδου Φοίνικι (fr. 814 N. 2). ΧΟΡ. Φθόνον οὐ σέβω, φθονεῖσθαι δὲ θέλοιμ' ἂν ἐπ' ἐσθλοῖς. Ἱπποθόωντος (fr. 2 p. 827 N. 2). Φθόνος κάκιστος κἀδικώτατος θεός. κακοῖς τε χαίρει κἀγαθοῖς ἀλγύνεται. (trag. adesp. fr. 534 N. 2) Οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς, οὐδ' εἰ Φθόνου γένοιτο δυσμενέστερος. (trag. adesp. fr. 534 N. 2) Χρὴ δ' ἢ λέγειν τι χρηστὸν ἢ λέγουσιν εὖ μὴ δυσμεναίνειν τῷ φθόνῳ νικώμενον. Καρκίνου (fr. 8 p. 800 N. 2). Εὐριπίδου Βελλεροφόντης (fr. 295 N. 2). Ἤδη γὰρ εἶδον καὶ δίκης παραστάτας ἐσθλοὺς πονηρῷ τῷ

φθόνῳ νικωμένους. Εὐριπίδου Ἀλεξάνδρου (fr. 58 N. 2). Οἴμοι, θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν, ἣ τοῖσιν ἄλλοις γίγνεται σωτηρία. Ἐπιχάρμου (fr. * 33 Lorenz.). Τίς δέ κα λῴη γενέσθαι μὴ φθονούμενος, φίλοι; δῆλον ὡς ἀνὴρ παρ' οὐδέν ἐσθ' ὁ μὴ φθονούμενος. τυφλὸν ἠλέης' ἰδών τις, ἐφθόνησε δ' οὐδὲ εἷς. Πινδάρου (Pyth. I 164). Κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος. Ἀγάθωνος (fr. 25 p. 768 N. 2). Σοφίας φθονῆσαι μᾶλλον ἢ πλούτου καλόν. Φιλήμονος (fab. inc. fr. 62 com. IV p. 55). Πολλά με διδάσκεις ἀφθόνως διὰ φθόνον, ὅπως ἀκούων πολλὰ μηδὲ ἓν μάθω. Ἡσιόδου Ἔργων (25 sq.). Καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων, καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ. Σοφοκλέους Κρέουσα (fr. 327 N. 2). ΧΟΡ. Οὔτε γὰρ γάμον, ὦ φίλαι, οὔτ' ἂν ἔκμετρον ὄλβον ἔνδον εὐξαίμαν ἔχειν· φθονεραὶ γὰρ ὁδοὶ .. Σοφοκλέους Ἐπίγονοι (fr. 186 N. 2). Φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις νικᾶν ἐπ' αἰσχροῖς ἢ ἐπὶ τοῖς καλοῖς πλέον. Αἰσχύλου (Agam. 796—797). Παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε, φίλον τὸν εὐτυχοῦντ' ἄνευ ψόγου σέβειν. Μενάνδρου (fab. inc. fr. 12 com. IV p. 235). Μειράκιον, οὔ μοι κατανοεῖν δοκεῖς ὅτι οἷον ὁ μὲν ἰὸς τὸν σίδηρον ἂν σκοπῇς, τὸ δ' ἱμάτιον οἱ σῆτες, ὁ δὲ θρὶψ τὸ ξύλον. ᾧ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων φθόνος, φθισικὸν πεποίηκε καὶ ποήσει καὶ ποεῖ, ψυχῆς πονηρᾶς δυσσεβὴς παράστασις. Θεοφράστου (deest ap. Wimmer.). Θεόφραστος ἔφη τοὺς μοχθηροὺς τῶν ἀνθρώπων οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς. Πλουτάρχου ἐκ τοῦ διαβάλλειν (fr. XXIII 2). Πλουτάρχου ἐκ τοῦ διαβάλλειν (fr. XXIII 3). Ἱππίας λέγει δύο εἶναι φθόνους· τὸν μὲν δίκαιον, ὅταν τις τοῖς κακοῖς φθονῇ τιμωμένοις· τὸν δὲ ἄδικον, ὅταν τοῖς ἀγαθοῖς. καὶ διπλᾶ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται· οὐ γὰρ μόνον τοῖς ἰδίοις κακοῖς ἄχθονται, ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 29 E). Ἀγαθὸς ἦν· ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος. Σωκράτους. Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ νόσου τοῦ φθόνου ταχὺ μαραίνεται. Τοῦ αὐτοῦ. Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατ' ἀνάγκην σκιά, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκο- Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Ὁ φθόνος, ὥσπερ φαῦλος δημαγωγός, ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν. Ἐκ τῶν κοινῶν Ἀριστοτέλους διατριβῶν. Οὐχ ἡ λύπη μέγιστον κακὸν ἀκολουθεῖ τῷ φθόνῳ, ἀλλὰ πολὺ μεῖζον τὸ καὶ πρὸς τοὺς γνωρίμους γίνεσθαι· τῷ γὰρ αἰσχρῷ καὶ φαύλῳ τὴν ὑπεροχὴν δοτέον, οὐ τῇ λύπῃ. Εὐσεβίου (fr. 35 phil. graec. III p. 12 Mullach.). Ἀνδρὶ ἀγαθῷ εὖ πρήσσοντι φθονέων τις καὶ πατρίδι καὶ παντὶ τῷ κοινῷ καὶ ἑωυτῷ φθονέει. ἀνὴρ ἀγαθὸς γὰρ εὖ πρήσσων πόλιος καὶ παντὸς τοῦ δυναμένου τῆς εὐμοιρίης αὐτοῦ μεταλαγχάνειν κοινὴ εὐδαιμονίη. Τοῦ αὐτοῦ (fr. 36 l. s. p. 12). Φθόνος ὁ κατὰ τῶν εὐδοκιμεόντων ἐπὶ τοῖσι καλλίστοις ἀργῶν καὶ ἀπράκτων, τῶν δὲ ἀγαθῶν καὶ οἷων τε τεκέειν τι παρ' ἑωυτῶν χρηστὸν οὐκ ἅπτεται. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (§ 60 p. 39 b). Μὴ φθονεῖτε τοῖς παρ' ἐμοὶ πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι τοῖς προέχουσιν. Δημοσθένους (Lept. § 151). Πολὺ γὰρ βελτίονος ἀνδρός ἐστιν ἐφ' οἷς αὐτὸς εὖ πεποίηκεν ἀξιοῦν τιμᾶσθαι ἢ ἐφ' οἷς ἕτεροι ποιήσαντες ἐτιμήθησαν φθονεῖν. Θουκυδίδου (II 45, 1). Φθόνος τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. Ἰσοκράτους Εὐαγόρᾳ (§ 6 p. 190 b). Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. Θεοφράστου (fr. CLVI Wimmer.). Τοσούτῳ δέ εἰσιν οἱ φθονεροὶ δυστυχέστεροι τῶν ἄλλων, ὅσον οἱ μὲν ἐπὶ ταῖς αὑτῶν συμφοραῖς ἀλγοῦσιν· οἱ δὲ φθονοῦντες πρὸς τοῖς ἑαυτῶν κακοῖς καὶ ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς λυπούμενοι διατελοῦσιν. Ἀναξιμένους. Οἱ γὰρ μετὰ φθόνου κρίνοντες τὸ πρωτεῖον ἀπονέμουσι τοῖς χειρίστοις, οὐ τοῖς βελτίστοις. Τοῦ αὐτοῦ. Ὅσοι γὰρ τὰ καλῶς ῥηθέντα ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἂν τοῖς ἔργοις ὠφελήσειαν; Δημοκρίτου (fr. mor. 123 Mullach.). Μωμεομένων φλαύρων ὁ ἀγαθὸς οὐ ποιέεται λόγον. Τοῦ αὐτοῦ (fr. mor. 30 Mullach.). Ὁ φθονέων ἑωυτὸν ὡς ἐχθρὸν λυπέει. Σωκράτους. Σωκράτης τὸν φθόνον εἶπεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕλκος εἶναι τῆς ψυχῆς. Πλάτωνος ἐκ τοῦ Μενεξένου ἢ Ἐπιταφίου (p. 242 A). Εἰρήνης δὲ γενομένης καὶ τῆς πόλεως τιμωμένης ἦλθεν ἐπ᾽ αὐτήν, ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν, πρῶτον μὲν ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος. Βίωνος. Βίων ὁ σοφιστὴς ἰδών τινα φθονερὸν σφόδρα κεκυφότα εἶπεν ‘ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν ἢ ἄλλῳ μέγα ἀγαθόν‘. Κάτωνος πρεσβυτέρου (Ps.—Plut. apophth. reg. et duc. p. 199 A). Ἥκιστα φθονεῖσθαι ἔλεγε τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως· οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσιν. Ἐκ τῆς Νικολάου ἐθῶν συναγωγῆς (Hist. gr. min. ed. L. Dindorf v. I p. 147 fr. 10). Τελχῖνες ἄνθρωποι ὀνομαζόμενοι τὸ ἀνέκαθεν Κρῆτες, οἰκήσαντες δὲ καὶ ἐν Κύπρῳ, μεταναστάντες δ᾽ εἰς Ῥόδον καὶ πρῶτοι τὴν νῆσον κατασχόντες, βάσκανοί τε σφόδρα ἦσαν καὶ φθονεροί· τεχνῖται δὲ ὄντες καὶ τὰ τῶν προτέρων ἔργα μωμησάμενοι Ἀθηνᾶς Τελχινίας ἄγαλμα πρῶτοι ἱδρύσαντο, ὥσπερ εἴ τις λέγοι Ἀθηνᾶς βασκάνου. Δημοκρίτου (fr. mor. 196 Mullach.). Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ᾽ ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο. φθόνος γὰρ Ἀπολλώνιος τοῖς ἀδελφοῖς (ep. XCI p. 127 Herch.). Οὐδενὶ φθονητέον. ἀγαθοὶ μὲν γὰρ 〈εὐπραξιῶν〉 ἄξιοι, κακοὶ δ᾽ ἐὰν εὐτυχῶσι, κακῶς ζῶσιν. Εὐσεβίου (fr. 37 phil. graec. III p. 12 Mull.). Ἀνὴρ πολλὰ ἔχων χρηστὰ μαθήματα, ἔπειτα γνώμῃ πονηρῇ διαχρεόμενος καὶ μὴ βουλόμενος τοῖσι μεταποιευμένοις ὑπὸ φθόνου μεταδιδόναι, ἔοικεν ἀγγείῳ πονηρῷ πολλὰ καὶ χρηστὰ ἔχοντι ἐν ἑωυτῷ ἀποκείμενα καὶ τὰ ἐνεόντα πρὶν φανῆναι διαφθείροντι. Ξενοφῶντος ἐν τρίτῳ Ἀπομνημονευμάτων (III 9, 8). Φθόνον δὲ σκοπῶν ὅ τι εἴη, λύπην μέν τινα ἐξεύρισκεν αὐτὸν ὄντα, οὔτε μέντοι τὴν ἐπὶ φίλων ἀτυχίαις οὔτε τὴν ἐπ᾽ ἐχθρῶν εὐτυχίαις γιγνομένην, ἀλλὰ μόνους ἔφη φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους. θαυμαζόντων δέ τινων εἴ τις φιλῶν τινα ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνησκεν ὅτι πολλοὶ οὕτω πρός τινας ἔχουσιν ὥστε κακῶς μὲν πράττοντας μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν, εὐτυχούντων δὲ λυπεῖσθαι. τοῦτο μέντοι φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβῆναι, τοὺς ἠλιθίους δὲ πάσχειν αὐτό. Ἡροδότου ἱστορίας ζ′ (VII 237). Ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθονέει καὶ ἔστι δυσμενὴς τῇ σιγῇ· οὐδ᾽ ἂν συμβουλευομένου τοῦ ἀστοῦ πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα ὑποθέοιτο, εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι· σπάνιοι δέ εἰσιν οἱ τοιοῦτοι. ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντί ἐστιν εὐμενέστατον πάντων· συμβουλευομένου τε ἂν συμβουλεύσειε τὰ ἄριστα. Πλάτωνος ἐκ τοῦ Φιλήβου (p. 48 D). Ἀλλὰ μὴν ὁ φθονῶν γε ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος ἀναφανήσεται. —Σφόδρα γε. Ἰωσήπου ἐκ τῆς Ἁλώσεως (I 3, 4). Οὐδὲν οὕτως τῶν ἀγαθῶν παθῶν ἰσχυρὸν ὃ τῷ φθόνῳ μέχρι παντὸς ἀντέχει.

3.39 Εὐριπίδου Τημενίδαις (fr. 729 N. 2). Εἰκὸς δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ 〈Εὐριπίδου (fr. 1045 N. 2).〉 Μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος. Εὐριπίδου Φοινίσσαις (406—407). Ἡ πατρίς, ὡς ἔοικε, φίλτατον βροτοῖς· οὐδ᾽ ὀνομάσαι δύναι᾽ ἂν ὡς ἔστιν φίλον. Τοῦ αὐτοῦ (fr. 1046 N. 2). Πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα σώφρονι ναίειν. τὸ δὲ σύντροφον ἁδύ τι θνητοῖς ἐν βίῳ χωρεῖ. Τοῦ αὐτοῦ Αἰόλου (fr. 30 N. 2). Ἀλλ᾽ ὅμως οἰκτρός τις αἰὼν πατρίδος ἐκλιπεῖν ὅρους. Εὐριπίδου Αἰγέως (fr. 6 N. 2). Εὐριπίδου Δίκτυος (fr. 347 N. 2). Εἰ δ᾽ ἦσθα μὴ κάκιστος, οὔποτ᾽ ἂν πάτραν τὴν σὴν ἀτίζων, τήνδ᾽ ἂν εὐλόγεις πόλιν. Εὐριπίδου Δίκτυος (fr. 347 N. 2). Ὡς ἔν γ᾽ ἐμοὶ κρίνοιτ᾽ ἂν οὐ καλῶς φρονεῖν, ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους ἄλλην ἐπαινεῖ καὶ τρόποισιν ἥδεται. Εὐριπίδου Τήλεφος (fr. 723 N. 2). Σπάρτην ἔλαχες, κείνην κόσμει, τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ. Εὐριπίδου Φοίνικι (fr. 817 N. 2). Σὺ δ᾽ ὦ πατρῴα χθὼν ἐμῶν γεννητόρων, χαῖρ᾽. ἀνδρὶ γάρ τοι, κἂν ὑπερβάλλῃ κακοῖς, Μενάνδρου Ἑαυτὸν τιμωρουμένου (fr. 6 com. IV p. 111). Οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον, ἢ μηκέτ᾽ εἶναι τὸν καλῶς εὐδαίμονα. Σοφοκλέους Τηρέως (fr. 525 N. 2). Πολλά σε ζηλῶ βίου, μάλιστα δ᾽ εἰ γῆς μὴ πεπείρασαι ξένης. Εὐριπίδου Φιλοκτήτῃ (fr. 793 N. 2). Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει. Σοφοκλέους (fr. 848 N. 2). Οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα. Θεόγνιδος (947—948).

Πατρίδα κοσμήσω λιπαρὴν πόλιν οὔτ' ἐπὶ δήμῳ τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος. Σοφοκλέους (Ant. 187—191). πλέοντες ὀρθῆς τοὺς λόγους ποιούμεθα. τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν. Εὐριπίδου Φοινίσσαις (388—391). Τί τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα; — Μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ. — Τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές; — Ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν. Ὁμήρου (Il. XII 243). Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. Τοῦ αὐτοῦ (Il. XV 494—496). Ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες, εἰσόκεν ὑμέων βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ, τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης. Τοῦ αὐτοῦ (Od. I 57—59). Αὐτὰρ Ὀδυσσεὺς ἱμείρετο Τοῦ αὐτοῦ (Od. IX 34). Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος ἠδὲ τοκήων. Εὐριπίδου (Phoen. 357—360). Μῆτερ, φρονῶν εὖ κοὐ φρονῶν ἀφικόμην ἐχθροὺς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει, λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖς' ἔχει. Πλάτωνος ἐν τῷ Κρίτωνι (p. 51 A). Ἦ οὕτως εἶ σοφός, ὥστε λέληθέν σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερον πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα καὶ μητέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ᾗ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἢ καὶ πείθειν αὐτὴν δίκαιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα. Εὐσεβίου (fr. 38 phil. gr. III p. 13 Mull.). Πατράσι παῖδας ἐπιζώειν εὐτυχές, καὶ χρὴ τοῦτο παρὰ τῆς Τύχης αἰτέειν καὶ τοὺς μετὰ ταῦτα διαδεξομένους, καὶ ὅκως καὶ αὐτῶν ἕκαστοι τάξι τῇ εἰρημένῃ τοὺς πρὸ ἑωυτῶν διαδεχοίατο. κοινὴ δὲ εὐχὴ δικαιοτάτη αὕτη ἂν παρὰ πάντων φυλαχθείη ἐπὶ τῇ διαμονῇ τοῦ μηκίστου, τὴν ὑποδεχομένην ἑκάστοτε καὶ ἐκτρέφουσαν πάντας πατρίδα καὶ δοῦσαν τοὺς προηγησαμένους αὐτήν τε καὶ θεῶν τῶν ἐγχωρίων τὰς κατεστεώσας τιμὰς τῷ πλεῦνι αἰεὶ ὑπερβάλλειν. Πυθαγόρου. Πυθαγόρας ἐρωτηθεὶς πῶς δεῖ ἀγνωμονούσῃ πατρίδι προσφέρεσθαι, εἶπεν 'ὡς μητρί'. Τιμοθέου. Τιμόθεος ὁ τῶν Ἀθηναίων στρατηγὸς ἀκούσας τινὸς τῶν συστρατηγούντων αὐτῷ λέγοντος 'ἆρά γε, Τιμόθεε, ἡ πατρὶς ἡμῶν χάριτας ἀποδώσει;' ἔφη 'ἀλλ' ἡμῖν γένοιτο τὰς ἀξίας ἀποδοῦναι'. Ἐκ τῶν Σερήνου. Οἱ Λάκωνες οἱ ἐπὶ τῷ ὑποσχεῖν δίκας ὑπὲρ τῶν κηρύκων ὡς τὸν μέγαν βασιλέα ἐλθόντες ἀφείθησάν τε καὶ διὰ τὴν ἀρετὴν ἠξίου αὐτοὺς παρ' αὐτῷ μένειν. 'καὶ πῶσ' ἔφασαν 'ἂν δυναίμεθα τοιαύτην πατρίδα καταλιπεῖν, ὑπὲρ ἧς τοσαύτην ὁδὸν ἤλθομεν ἀποθανούμενοι;' Ἀριστείδου. Ἀριστείδης ἐρωτώμενος τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει, τὸ τῆς πατρίδος ὄνειδος ἔφη κακῶς ἀκουούσης ἐπὶ τῇ αὐτοῦ φυγῇ. Σεριφίου. Σερίφιος ὀνειδιζόμενος ὑπὸ Ἀθηναίου τὴν μικροπολιτείαν, 'ἐμοὶ μέν' ἔφη 'ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι'. Ἀριστείδου. Ἡ γυνὴ τῷ Ἀριστείδῃ περὶ τὰ πολιτικὰ διατρίβοντι 'εἴθε' ἔφη 'τὰ μὲν ἴδια κοινὰ ἐνόμισας, τὰ δὲ κοινὰ ἴδια'. Χρυσέρμου ἐν β′ Περσικῶν (Plut. parall. min. p. 308 B). Περσῶν τὴν Ἑλλάδα λεηλατούντων καὶ πάντων τῶν ἐγχωρίων συγκεχυμένων, Παυσανίας ὁ τῶν Λακεδαιμολαβὼν ἔμελλε προδιδόναι τὴν Σπάρτην. τῶν δὲ ἐπιστολῶν μεσολαβηθεισῶν, Ἡγησίλαος ὁ πατὴρ τοῦ προειρημένου περὶ τῶν συμβεβηκότων ἀκούσας τὸν υἱὸν μέχρι τοῦ ναοῦ τῆς χαλκιοίκου συνεδίωξεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθοις ἐμφράξας μετὰ τῆς γυναικὸς τὴν εἴσοδον ἐφρούρησε καὶ λιμῷ τὸν προδότην ἀνεῖλεν, ὃν ἡ μήτηρ ἀείρασα ὑπὲρ τοὺς ὅρους ἔρριψεν. Δημαράτου 〈ἐν〉 β′ Ἀρκαδικῶν (ib. p. 309 C). Τεγεατῶν πρὸς Φενεάτας πόλεμον ἐχόντων καὶ χρονίου τῆς παρατάξεως ὑπαρχούσης, συνεφώνησε τοῖς δήμοις τριδύμους ἀδελφοὺς πέμψαι τοὺς μαχησομένους ὑπὲρ τῆς νίκης. ἀρέσαντος δὲ τοῦ δόγματος ἔπεμψαν Τεγεᾶται μὲν τοὺς Ῥηξιμάχου παῖδας, Φενεᾶται δὲ τοὺς Δημοστράτου. συμβληθείσης δὲ τῆς παρατάξεως ἐφονεύθησαν ἐκ τῶν Ῥηξιμάχου δύο, ὁ δὲ τρίτος, τοὔνομα Κριτόλαος, στρατηγήματι τῶν ἀντιπάλων περιεγένετο· προσποιητὴν γὰρ

σκηψάμενος φυγὴν καθ’ ἕνα τῶν ἐπιδιωκόντων γυημένον ἄνδρα Δημόδικον. ἀναξιοπαθήσας δὲ ἐπὶ τούτοις ὁ νέος τὴν παρθένον ἀπέκτεινε, καὶ ὑπὸ τῆς μητρὸς φόνου κριθεὶς ἀπελύθη τοῦ ἐγκλήματος. Δημαράτου ἐν τρίτῳ Τραγῳδουμένων (Plut. parall. min. p. 310 D). Ἀθηναίων πρὸς Εὔμολπον τὸν Θρᾳκῶν βασιλέα πόλεμον ἐχόντων, Ἐρεχθεὺς ὁ τῆς Ἀττικῆς προϊστάμενος χρησμὸν ἔλαβεν, ὅτι νικήσει τοὺς ἐχθρούς, ἐὰν τὴν πρεσβυτάτην τῶν θυγατέρων Περσεφόνῃ θύσῃ. παραγενόμενος [ὁ] δ’ εἰς Ἀθήνας Πραξιθέᾳ τῇ γυναικὶ τὴν πυθόχρηστον μαντείαν ἀπήγγειλεν· εἶθ’ οὕτω τὴν κόρην προσαγαγὼν τοῖς βωμοῖς ἀνεῖλεν, καὶ συμβαλὼν τὸν πόλεμον ἐγκρατὴς ἐγένετο τῆς νίκης. Ἱεροκλέους ἐκ τοῦ Πῶς πατρίδι χρηστέον. Μετὰ τὸν περὶ θεῶν λόγον εὐλογώτατόν ἐστιν ὑποθέσθαι πῶς πατρίδι χρηστέον. ἔστι γὰρ ὡσανεὶ δεύτερός τις θεὸς αὕτη 〈ἢ〉 νὴ Δία πρῶτος καὶ μείζων γονεύς· παρ’ ὃ δὴ καὶ ὁ τοὔνομα τῷ πράγματι θέμενος οὐκ ἀνεντρεχὲς ἔθετο, παρασχηματίσας μὲν τῷ πατρί, θηλυκῶς δ’ ἐξενεγκών, ἵν’ οἷον μῖγμα τυγχάνοι τῆς τε τοῦ πατρὸς καὶ τῆς μητρῴας … καὶ δὴ οὗτος μὲν ὁ λόγος ὑπαγορεύει πατρίδα τιμᾶν ἐπίσης τοῖς δυσὶ γονεῦσι τὴν μίαν, ὥστε θατέρου μὲν τῶν γειναμένων ὁποτερουοῦν καὶ δὴ προκρίνειν τὴν πατρίδα, προτιμᾶν δ’ αὐτῆς μηδ’ ἅμα τοὺς δύο, δι’ ἴσης δὲ μοίρας ἄγειν. ἀλλ’ ἕτερος αὖ λόγος ἐστίν, ὃς παρακαλεῖ καὶ προτιμᾶν αὐτὴν τῶν γονέων ἅμα τοῖν δυεῖν, καὶ οὔ τοι μόνον τούτων, ἀλλὰ καὶ γυναικὸς σὺν αὐτοῖς καὶ τέκνων καὶ φίλων καὶ ἁπαξαπλῶς μετὰ θεοὺς τῶν ἄλλων ἁπάντων. Ἐν ταὐτῷ. Ὥσπερ οὖν ἀνόητος μὲν ὁ τῶν πέντε δακτύλων τὸν ἕνα προκρίνων, εὐλόγιστος δὲ ὁ τοὺς πέντε τοῦ ἑνός· ὁ μὲν γὰρ ἀτιμάζει καὶ τὸν προκεκριμένον, ὁ δ’ ἐν τοῖς πέντε καὶ τὸν ἕνα περισῴζει· τοῦτον δ’ αὖ τὸν τρόπον καὶ ὁ μὲν ἑαυτὸν τῆς πατρίδος πλέον σῴζειν βουλόμενος πρὸς τῷ δρᾶν ἀθέμιτα καὶ ἄλλως ἀνόητος ἱμείρων ἀδυνάτων, ὁ δὲ ἑαυτοῦ προτιμῶν τὴν πατρίδα θεοφιλής τε καὶ τοῖς λογισμοῖς ἀραρώς. εἴρηται δ’ ὅμως, ὡς κἂν εἰ μὴ συναριθμοῖτό τις τῷ συστήματι, κατ’ ἰδίαν δ’ ἐξετάζοιτο, καθήκειν τῆς ἑαυτοῦ σωτηρίας τὴν τοῦ συστήματος προκρίνειν, ὅτι τὴν ὡς πολίτου σωτηρίαν ἀνύπαρκτον ἀπέφαινεν ἡ τῆς πόλεως ἀπώλεια, καθάπερ καὶ τὴν ὡς δακτύλου, ὡς μέρους χειρός, ἡ τῆς χειρὸς ἀναίρεσις. καὶ δὴ κατὰ τούτων ἡμῖν συγκεκεφαλαιώσθω, διότι χρὴ τὸ κοινῇ συμφέρον τοῦ ἰδίᾳ μὴ χωρίζειν, ἀλλ’ ἓν ἡγεῖσθαι καὶ ταὐτόν· τό τε γὰρ τῇ πατρίδι συμφέρον κοινόν ἐστι καὶ τῶν κατὰ μέρος ἑκάστῳ, τὸ γὰρ ὅλον δίχα τῶν μεκαὶ τῇ πόλει, ἐάν γε ὡς πολίτῃ συμφέρον λαμβάνηται. καὶ γὰρ 〈τὸ〉 τῷ χορευτῇ ὡς χορευτῇ λυσιτελὲς καὶ τῷ ὅλῳ χορῷ κερδαλέον ἂν εἴη. τοῦτον οὖν τὸν λόγον ἐνθέμενοι πάντα ταῖς διανοίαις πολὺ φῶς ἔξομεν ἐν τοῖς κατὰ μέρος, ὥστε ἐν μηδενὶ παραλιπεῖν καιρῷ τὸ πρὸς τὴν πατρίδα καθῆκον. Ἐν ταὐτῷ. Ὧν οὕνεκα φημὶ δεῖν ἀποικονομεῖσθαι πᾶν καὶ πάθος καὶ νόσημα τῆς ἑαυτοῦ ψυχῆς τὸν πατρίδι χρησόμενον καλῶς. δεῖ δὲ καὶ τοὺς νόμους τῆς πατρίδος καθάπερ τινὰς θεοὺς δευτέρους συντηρεῖν αὐτόν τε βιοῦντα κατὰ τὴν τούτων ὑφήγησιν, κἂν εἰ παραβαίνειν τις αὐτοὺς ἢ νεοχμοῦν ἐπιχειροίη σπουδῇ πάσῃ κωλύοντα καὶ πάντα τρόπον ἐναντιούμενον. οὐ γὰρ ἀγαθὸν ἐπιτήδευμα πόλει δι’ ἀτιμίας ἀγόμενοι νόμοι καὶ τὰ νέα προκρινόμενα τῶν παλαιῶν. ὅθεν καὶ τῶν ψηφισμάτων καὶ τῆς παραθέρμου ταύτης καινουργίας εἰρκτέον τοὺς αὐθαδέστερον ἐπὶ τοῦτ’ ἰόντας. ἀποδέχομαι δ’ οὖν ἔγωγε καὶ τὸν τῶν Λοκρῶν νομοθέτην Ζάλευκον, ὃς ἐνομοθέτησε τὸν καινὸν εἰσοίσοντα νόμον βρόχου περικειμένου τῷ τραχήλῳ τοῦτο ποιεῖν, ὡς ἀκαρὴς οἴχοιτο πνιγείς, εἰ μὴ μάλα σφόδρα λυσιτελῶς τῷ κοινῷ παραδιατάττοιτο τὴν ἐξ ἀρχῆς τῆς πολιτείας κατάστασιν. οὐδὲν δ’ ἧττον τῶν νόμων καὶ τὰ ἔθη φυλακτέον τά γε ὄντως πάτρια καὶ τάχα που πρεσβύτερα καὶ τῶν νόμων αὐτῶν· ἐπεὶ τά τε χθιζὰ ταῦτα καὶ πρωιζά, τὰ νῦν εἰς ἅπασαν εἰσηγμένα πόλιν οὔτε πάτρια ἡγητέον καὶ τάχ’ οὐδὲ ἔθη τὸ σύνολον. εἶτα τὸ μὲν ἔθος ἄγραφός τις εἶναι βούλεται νόμος, καλὸν ἐπιγεγραμμένος νομοθέτην, τὴν τῶν χρωμένων ἁπάντων εὐαρέστησιν, ἴσως δέ που καὶ τοῖς φύσει δικαίοις ἐγγὺς βάλλων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.40 Εὐριπίδου Φιλοκτήτῃ (fr. 798 N. 2). Πατρὶς καλῶς πράσσουσα τὸν εὐτυχοῦντ’ ἀεὶ μείζω τίθησι, δυστυχοῦσα δ’ ἀσθενῆ. Τοῦ αὐτοῦ Φαέθοντι (fr. 777 N. 2). Ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ. Ἀριστοφάνους. Πατρὶς δὲ πᾶσα τῷ πένητι προσφιλής, ἀφ’ ἧς τροφήν τε καὶ τὸ μὴ πεινῆν ἔχει. Ἐκ τῶν Πλουτάρχου Περὶ φυγῆς (p. 600 F. 601 C. 601 F. 602 B. 605 A—B). Ὅθεν εὖ μὲν ὁ Ἡρακλῆς εἶπεν ἐρωτηθεὶς Ἀργεῖος, ἢ Θηβαῖος; οὐ γὰρ εὔχομαι μιᾶς· ἅπας μοι πύργος Ἑλλήνων πατρίς. ἀλλ’ ἡμεῖς, ὥσπερ μύρμηκες ἢ μέλιτται μυρμηκιᾶς μιᾶς ἢ κυψέλης ἐκπεσόντες, ἀδημονοῦμεν 〈καὶ ξενοπαθοῦμεν〉 , οὐκ εἰδότες οὐδὲ μεμαθηκότες οἰκεῖα τὰ πάντα ποιεῖσθαι, καὶ νομίζειν ὥσπερ ἐστίν. εἶτα· ἐὰν ἀμφιγνοῶμεν ἐπὶ ξένης γενόμενοι τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὸν οὐρανόν, ὡς ἕτερα καὶ διαφέροντα τῶν συνήθων. ἡ μὲν γὰρ φύσις ἐλευθέρους ἡμᾶς καὶ λελυμένους ἀφίησιν, αὐτοὶ δὲ ἡμεῖς συνδέομεν ἑαυτοὺς στενοχωροῦμεν … πλοῦτον δὲ ἀποβαλόντα ῥᾳδίως καὶ ταχέως οὐκ ἔστιν ἄλλον συναγαγεῖν· πατρὶς δὲ γίνεται πᾶσα πόλις εὐθὺς ἀνθρώπῳ χρῆσθαι μεμαθηκότι· ἂν γὰρ σκοπῇς ἄνευ κενῆς δόξης τὴν ἀλήθειαν, ὁ μίαν πόλιν ἔχων, ξένος ἐστὶ τῶν ἄλλων ἁπασῶν καὶ ἀλλότριος. Ἀριστοτέλης ἦν ἐκ Σταγείρων, Θεόφραστος ἐξ Ἐρέσου, Στράτων ἐκ Λαμψάκου, Γλαύκων [δὲ] ἐκ Τρωάδος, Ἀρίστων ἐκ Κέω. τίς οὖν τούτους ἐδίωξεν; ἐπὶ ξένης, οὐ μεταστάντες, ἀλλὰ μεταστάντες. Ἐν ταὐτῷ (p. 607 D). Τὸ δ’ ἀληθέστατον, ἡ ψυχὴ φεύγει καὶ πλανᾶται θείοις ἐλαυνομένη δόγμασι καὶ νόμοις, εἶτα ὥσπερ ἐν νήσῳ σάλον ἐχούσῃ, καθάπερ φησὶν ὁ Πλάτων, ὀστρέου τρόπον ἐνδεδεμένη τῷ σώματι, διὰ τὸ μὴ ἀναφέρειν μηδὲ μνημονεύειν, ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄλβου μεθέστηκεν, οὐ Σάρδεων Ἀθήνας οὐδὲ Κορίνθου Λῆμνον, ἀλλ’ οὐρανοῦ καὶ σελήνης γῆν ἀμειψαμένη καὶ τὸν ἐπὶ γῆς βίον· ἂν μικρὸν δὲ ἐνταῦθα τόπον ἐκ τόπου παραλλάξῃ, δυσανασχετεῖ καὶ ξενοπαθεῖ, καθάπερ φυτὸν ἀγεννὲς ἀπομαραινομένη. καίτοι φυτῷ μὲν ἔστι τις χώρα μᾶλλον ἑτέρας ἑτέρα πρόσφορος, ἐν ᾗ τρέφεται καὶ βλαστάνει βέλτιον· ἀνθρώπου δὲ οὐδεὶς ἀφαιρεῖται τόπος εὐδαιμονίαν, ὥσπερ οὐδὲ ἀρετὴν οὐδὲ φρόνησιν. Δημοκρίτου (fr. mor. 38 Mullach.). Ξενιτείη βίου αὐταρκείην διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰήματα. Τοῦ αὐτοῦ (fr. mor. 225 Mullach.). Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος. Τέλητος περὶ φυγῆς (p. 14 Hense.). Μήποτε πρὸς μὲν τὸν οἰόμενον ἀλογιστοτέρους τὴν φυγὴν ποιεῖν ὀρθῶς ἂν παραβάλλοιτο τὰ ἐπὶ τῶν τεχνῶν, ὅτι ὃν τρόπον οὐδὲ αὐλεῖν οὐδὲ ὑποκρίνεσθαι χεῖρον ἔστιν ἐπὶ ξένης ὄντα, οὕτως οὐδὲ βουλεύεσθαι· πρὸς δὲ τὸν κατ’ ἄλλο τι ἡγούμενον τὴν φυγὴν βλαβερὸν εἶναι, μὴ οὐδὲν λέγηται παρὰ τὸ τοῦ Στίλπωνος, ὃ καὶ πρῴην εἶπον· τί λέγεις, φησί, καὶ τίνων ἡ φυγὴ 〈ἢ〉 ποίων ἀγαθῶν τῶν ἐκτός; εὐλογιστίας, ὀρθοπραγίας, εὐπραγίας ἡ φυγὴ στερίσκει; οὐ δή. ἀλλὰ μὴ ἀνδρείας ἢ δικαιοσύνης ἢ ἄλλης τινὸς ἀρετῆς; οὐδὲ τοῦτο. ἀλλὰ μὴ τῶν περὶ τὸ σῶμά τινος ἀγαθῶν; ἢ οὐχ ὁμοίως ἔστιν ἐπὶ ξένης ὄντα ὑγιαίνειν καὶ ἰσχύειν καὶ ὀξὺ ὁρᾶν καὶ ὀξὺ ἀκούειν, ἐνίοτε δὲ μᾶλλον 〈ἢ〉 ἐν τῇ ἰδίᾳ μένοντα; καὶ μάλα. ἀλλὰ μὴ τῶν ἐκτὸς στερίσκει ἡ φυγή; ἢ οὐ πολλοῖς ὤφθη τὰ πράγματα κατὰ τὴν τῶν τοιούτων ὕπαρξιν ἐπιφανέστερα γεγονότα φυγάδων γενομένων; ἢ οὐ Φοῖνιξ ἐκ Δολοπίας ἐκπεσὼν ὑπὸ Ἀμύντορος εἰς Θετταλίαν φεύγει; Πηλέα δ’ ἐξικόμην, καί μ’ ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν. Θεμιστοκλῆς ἐκεῖνος ‘ὦ παῖ‘ φησίν ‘ἀπωλόμεθ’ ἂν εἰ μὴ ἀπωλόμεθα‘. νῦν δὲ πολλὴ τῶν τοιούτων ἀφθονία. ποίων οὖν ἀγαθῶν ἡ φυγὴ στερίσκει, ἢ τίνος κακοῦ παραιτία ἐστίν; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ. ἀλλ’ ἡμεῖς πολλαχοῦ αὐτοὺς κατορύττομεν καὶ φυγάδες γενόμενοι καὶ ἐν τῇ ἰδίᾳ μέσυντάξεις λαμβάνουσι. Λυκῖνος ἐκεῖνος οὐ παρ’ ἡμῖν ἐφρούρει φυγὰς ὢν ἐκ τῆς Ἰταλίας, πιστευόμενος παρ’ Ἀντιγόνῳ, καὶ τὸ προσταττόμενον ἐποιοῦμεν Λυκίνῳ ἡμεῖς ἐν τῇ ἰδίᾳ μένοντες; Ἱππομέδων ὁ Λακεδαιμόνιος ὁ νῦν ἐπὶ Θρᾴκης καθεσταμένος ὑπὸ Πτολεμαίου, Χρεμωνίδης καὶ Γλαύκων οἱ Ἀθηναῖοι οὐ πάρεδροι καὶ σύμβουλοι; ἵνα μὴ τὰ παλαιά σοι λέγω, ἀλλὰ τὰ καθ’ ἡμᾶς. καὶ τὸ τελευταῖον οὐκ ἐπὶ στόλου τηλικούτου ἐξαπεστάλη καὶ χρημάτων

τοσοῦτον πιστευόμενος καὶ τὴν ἐξουσίαν ἔχων ὡς βούλοιτο χρῆσθαι; — Ἀλλ' ἔν γε τῇ ἰδίᾳ οὐκ ἄρχουσιν οἱ φυγάδες. — Οὐδὲ γὰρ αἱ γυναῖκες οἴκοι μένουσαι, οὐδ' οἱ παῖδες, οὐδὲ τὰ μειράκια ταυτί, οὐδ' οἱ ἔξωροι τῇ ἡλικίᾳ. ἀλλὰ μή τι δυσχερὲς αὐτοῖς; εἰ δ' ὠδυνῶντο ἐπὶ τούτῳ, οὐκ ἂν ἦσαν βάκηλοι; τί δὲ καὶ διαφέρει ἄρχειν ἢ ἰδιωτεύειν; σὺ πολλῶν [ἢ ὀλίγων] καὶ ἡβώντων βασιλεύεις, ἐγὼ δὲ ὀλίγων καὶ ἀνήβων παιδαγωγὸς γενόμενος, καὶ τὸ τελευταῖον ἐμαυτοῦ· τῇ γὰρ αὐτῇ ἐμπειρίᾳ χειρούμενον καὶ τοὺς πολλοὺς καὶ τὸν ἕνα, καὶ δημοσιεύοντα καὶ κατ' οἰκίας ἐργολαβοῦντα, καὶ ἐπὶ ξένης ὄντα καὶ ἐν τῇ ἰδίᾳ μένοντα, καὶ κατὰ τὴν αὐτὴν εὐβουλίαν καὶ τῇ ἀρχῇ καλῶς καὶ τῇ ἰδιωτείᾳ ἔστι χρῆσθαι. τί οὖν διοίσει μοι, εἰ μὴ ἄρξω ἀλλὰ ἰδιωτεύσω; — Ἀλλ' οὐδὲ ἐξουσίαν ἕξεις εἰσελθεῖν εἰς τὴν ἰδίαν. — Οὐδὲ γὰρ νῦν εἰς τὸ Θεσμοφόριον ἐξουσίαν ἔχω, οὐδὲ γυναῖκες εἰς τὸ τοῦ Ἐνυαλίου, οὐδ' εἰς τὰ ἄβατα ἔξομεν. ἀλλ' εἰ ἐπὶ τούτῳ ἄχθοιτό τις, οὐκ ἂν παιδαριώδης εἴη; οὐδὲ εἰς τὸ γυμνάσιον ἐνίοτε ἐξουσίαν ἔχω, ἀλλ' ἀπελθὼν 〈ἂν〉 εἰς τὸ βαλανεῖον ἠλειψάμην τῇ αὐτῇ παλαιστρικῇ χρώμενος ᾗ καὶ πρὸ τοῦ ἐν τῷ γυμνασίῳ. οὕτω καὶ δεῦρο ἄβατον ἡγησάμενος τὴν ἰδίαν μεταβὰς ἀλλαχοῦ κατοικῶ, δύναμαι δὲ μεταβὰς ὥσπερ ἐξ ἑτέρας νεὼς εἰς ἑτέραν ὁμοίως εὐπλοεῖν, οὕτως ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν ὁμοίως εὐδαιμονεῖν. οὔκουν ἀκλήρημά τι καὶ ὄνειδος ἀηδῶς Φιλήμων· ἠγωνισμένου γάρ ποτε αὐτοῦ καὶ ἀπηλλαχότος ἀστείως συναντῶντές τινες 'ὡς εὐημέρηκασ' ἔφασαν 'Φιλῆμον'· 'ὑμεῖς μὲν οὖν' φησίν 'οἴεσθε οὕτω τεθεαμένοι· ἐγὼ μὲν γὰρ ἀεὶ ἀγαθὸς ὢν διατελῶ.' — Τί οὖν; ὑπὸ χειρόνων φυγαδεύεσθαι οὐ παροινία; — Σὺ δ' ἂν ἐβούλου, φησίν, ὑπὸ καλῶν καὶ ἀγαθῶν; ἢ οὐχ οὕτω μὲν σὸν ἔγκλημα; οὐθένα γὰρ ἀγνωμόνως καὶ ἀδίκως ἄνδρες ἀγαθοὶ φυγαδεύουσιν· οὐ γὰρ ἂν ἦσαν δίκαιοι. — Παρευδοκιμεῖσθαι οὖν ὑπὸ τῶν τοιούτων καὶ χειροτονίᾳ καὶ ψήφῳ οὐκ ὄνειδος; — Οὐ σόν γε, ἀλλὰ τῶν τούτους χειροτονούντων καὶ ψηφοφορούντων· ὥσπερ εἰ τὸν ἄριστον ἰατρὸν ἀφέντες φαρμακοπώλην εἵλοντο καὶ τούτῳ τὸ δημόσιον ἔργον ἐνεχείρισαν, πότερον τοῦ ἰατροῦ εἶπας ἂν ὄνειδος καὶ ἀκλήρημα τοῦτο ἢ τῶν ἑλομένων; ἀχάριστον οὖσαν, εἰς ἣν πολλά τις ἐπόνησε, πῶς οὐκ ἀκλήρημα; — Καὶ πῶς ἂν εἴη τοῦτο ἀκλήρημα, ἀλλ' οὐκ εἰ δεῖ εἰπεῖν οὕτως εὐκλήρημα τὸ γνῶναι ποία τις πρότερον μὴ εἰδότα; ἀλλ' εἰ μὲν τὴν γυναῖκα ᾔσθου πονηρὰν καὶ ἐπίβουλον οὖσαν πρότερον μὴ εἰδώς, ἂν ἔσχες χάριν, καὶ εἰ τὸν οἰκέτην δραπέτην καὶ κλέπτην, ἵνα φυλάττῃ· εἰ δὲ τὴν πατρίδα πονηρὰν καὶ ἀχάριστον ᾔσθου, ἀκληρεῖν ἡγῇ σύ, ἀλλ' οὐ χάριν ἔχεις; — Ἀλλ' ὅμως μέγα μοι δοκεῖ τὸ ἐν ᾗ ἐγένετό τις καὶ ἐτράφη, ἐν ταύτῃ καταγενέσθαι. — Πότερον καὶ ἐν οἰκίᾳ ἐν ᾗ ἐτράφης καὶ ἐγένου ἐν ταύτῃ καταγενέσθαι, κἂν ᾖ σαπρὰ καὶ ῥέουσα καὶ καταπίπτουσα; καὶ ἐν νηΐ ἐν ᾗ ἐγένου καὶ ἐκ παιδίου ἔπλεις, ἐνταῦθα κἂν ἀκάτιον ᾖ, οὐδ' εἰ κωπηλατοῦντα Μυκόνιος, ὅτι Βελβινείτης· ὅμως δὲ μέγα τι φασὶ τὸ ἐν ᾗ ἐγένετό τις καὶ ἐτράφη, ἐν ταύτῃ καταβιῶναι, καὶ τὰς πλείους μὲν ἐξώλεις τῶν πόλεων καὶ τοὺς ἐνοικοῦντας ἀσεβεῖς, μέγα δὲ καὶ προσηνὲς τὴν πατρίδα ὥσπερ καὶ αὐτή. ἀλλὰ καὶ ὅτι μέτοικος ὀνειδίζουσι δὲ πολλοὶ λέγοντες μέτοικε σύ, οὐδ' ἐγγενὴς ὢν τήνδε δουλώσας ἔχεις. καὶ Κάδμον μὲν τὸν κτίστην Θηβῶν θαυμάζεις, ἐμὲ δὲ εἰ μή 〈εἰμι〉 πολίτης, ὀνειδίζεις; καὶ Ἡρακλέα μὲν ὡς ἄριστον ἄνδρα γεγονότα ἐπαινοῦμεν, τὸ δὲ μέτοικον εἶναι ὄνειδος ἡγούμεθα; Ἡρακλῆς δ' ἐξ Ἄργους ἐκπεσὼν Θήβαις κατῴκει. Λακεδαιμόνιοι οὐδὲν τῶν τοιούτων ὄνειδος ἡγοῦνται· ἀλλὰ τὸν μὲν μετασχόντα τῆς ἀγωγῆς καὶ ἐμμείναντα, κἂν ξένος κἂν ἐξ εἵλωτος, ὁμοίως τοῖς ἀρίστοις τιμῶσι· τὸν δὲ μὴ ἐμμείναντα, κἂν ἐξ αὐτοῦ τοῦ βασιλέως, εἰς τοὺς εἵλωτας ἀποστέλλουσι, καὶ τῆς πολιτείας ὁ τοιοῦτος οὐ μετέχει. — Ἀλλὰ τό γε ἐν τῇ ἰδίᾳ μὴ ἐξεῖναι ταφῆναι πῶς οὐκ ὄνειδος; — Καὶ πῶς μέλλει τοῦτο ὄνειδος εἶναι ὃ τοῖς ἀρίστοις πολλάκις συνέβη; ἢ τίς τιμὴ αὕτη ἥ τις τοῖς κακίστοις περιγίνεται; καὶ Σωκράτην μὲν ἐπαινοῦσιν, ὅταν ἐπιλαμβανόμενος Ἀθηναίων λέγῃ· οἱ μὲν γὰρ στρατηγοὶ ἐφ' οἷς καλλωπίζονται, ὑπερόριοι τεθαμμένοι εἰσί, τὰ δὲ ὀνείδη τῆς δημοκρατίας ἐν τοῖς δημοσίοις τάφοις· ὅμως δὲ τὸ μὲν ἐπὶ ξένης ταφῆναι ὄνειδος, τὸ δ' ἐν τοῖς δημοσίοις τάφοις

τίμιον; τί δὲ καὶ διαφέρειν ἂν δόξαι ἐπὶ ξένης ταφῆναι ἢ ἐν τῇ ἰδίᾳ; οὐκ ἀηδῶς γάρ τις τῶν Ἀττικῶν φυγάδων λοιδορικῇ‘, ‘ὥσπερ μὲν οὖν οἱ εὐσεβεῖς Μεγαρέων ἐν τῇ Μεγαρικῇ‘. τί γὰρ τὸ διάφορον; ἢ οὐ πανταχόθεν, φησὶν ὁ Ἀρίστιππος, ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδός; ἢ τὴν ἀρχὴν εἰ μὴ ταφήσῃ, τί σοι μέλει; ἀλλ’ ἡ περὶ ταφῆς ἀγωνία, φησὶν ὁ Βίων, πολλὰς τραγῳδίας ἐποίησεν. ὥσπερ καὶ ὁ Πολυνείκης ἐντέλλεται θάψον δέ μ’ ὦ τεκοῦσα, καὶ σύ, σύγγονε, ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα. εἰ δὲ μὴ τύχοις χθονὸς πατρῴας, ἀλλ’ ἐπὶ ξένης ταφείης. τί ἔσται τὸ διάφορον; ἢ ἐκ Θηβῶν μὲν εἰς ᾅδου ὁ Χάρων πορθμεύει …; καὶ γῆς φίλης ὄχθοισι κρυφθῆναι καλόν. εἰ δὲ μὴ κρυφθείης, ἀλλὰ ἄταφος 〈ῥιφθείησ〉, τί τὸ δυσχερές; ἢ τί διαφέρει ὑπὸ πυρὸς κατακαυθῆναι ἢ ὑπὸ κυνὸς καταβρωθῆναι ἢ ἐπάνω τῆς γῆς ὄντα ὑπὸ κοράκων ἢ κατορυχθέντα ὑπὸ σκωλήκων; συνάρμοσον δέ μου βλέφαρα τῇ σῇ χερί, μῆτερ. ἂν δὲ μὴ συναρμόσῃ σου, ἀλλὰ βλέπων καὶ κεχηνὼς ἀποθάνῃς, τί ἔσται τὸ χαλεπόν; ἢ καὶ τῶν ἐν τῇ θαλάττῃ καὶ ἐν τοῖς πολέμοις ἀποθνῃσκόντων συναρμόζει τις; σκελετεύσαντες ἔνδον ἔχουσι ὡς καλόν τι καὶ ἐνέχυρα τοὺς νεκροὺς λαμβάνουσιν. οὕτως ἀντέστραπται τῷ ἡμετέρῳ ὁ ἐκείνων τρόπος. Μουσωνίου ἐκ τοῦ Ὅτι οὐ κακὸν ἡ φυγή (Muson. rel. ed. Peerlkamp. p. 163 sqq.). Φυγάδος δέ τινος ὀδυρομένου ὅτι φεύγει, οὕτω πως παρεμυθήσατο αὐτόν. φυγὴν γάρ, ἔφη, πῶς ἄν τις μὴ ἀνόητος ὢν βαρύνοιτο; ἥτις ὕδατος μὲν καὶ γῆς καὶ ἀέρος, ἔτι δὲ ἡλίου καὶ τῶν ἄλλων ἄστρων οὐκ ἀπείργει ἡμᾶς οὐδαμῶς, ἀλλ’ οὐδὲ ἀνθρώπων ὁμιλίας, ἁπανταχοῦ γὰρ καὶ πάντῃ τούτων μετουσία ἐστίν. εἰ δὲ μέρους τινὸς τῆς γῆς ἀφαιρούμεθα καὶ τινῶν ἀνθρώπων συνουσίας, τί τοῦτο δεινόν; οὐδὲ γὰρ οἴκοι ὄντες ἁπάσῃ τῇ γῇ ἐχρώμεθα, οὐδὲ ἀνθρώποις ἅπασι συνῆμεν· τοῖς μέντοι φίλοις καὶ νῦν συνείημεν ἄν, τοῖς γε ἀληθινοῖς καὶ ὧν προσήκει ποιεῖσθαί τινα λόγον· οὐ γὰρ ἂν οὗτοι προδοῖεν ποτὲ ἀληθινοὶ φίλοι εἰσί, τούτων ἀπηλλάχθαι κρεῖττον ἢ συνεῖναι αὐτοῖς. τί δ’; οὐχὶ κοινὴ πατρὶς ἀνθρώπων ἁπάντων ὁ κόσμος ἐστίν, ὥσπερ ἠξίου Σωκράτης; ὥστ’ οὐδὲ φεύγειν τῇ γε ἀληθείᾳ τὴν πατρίδα νομιστέον, ἂν ἀπέλθῃς ἐντεῦθεν ἔνθα ἔφυς τε καὶ ἐτράφης, πόλεως δὲ μόνον ἐστερῆσθαί τινος, ἄλλως τε κἂν ἀξιοῖς τις εἶναι ἐπιεικής. ὁ γὰρ τοιοῦτος χωρίον μὲν οὐδὲν οὔτε τιμᾷ οὔτ’ ἀτιμάζει οὕτως ὡς εὐδαιμονίας 〈ἢ κακοδαιμονίασ〉 αἴτιον· αὐτὸς δὲ ἐν αὑτῷ τίθεται τὸ πᾶν, καὶ νομίζει εἶναι πολίτης τῆς τοῦ Διὸς πόλεως, ἣ συνέστηκεν ἐξ ἀνθρώπων καὶ θεῶν. σύμφωνα δὲ τούτοις λέγει καὶ Εὐριπίδης ἐν οἷς φησιν ἅπας μὲν ἀὴρ ἀετῷ περάσιμος, ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς. ὥσπερ οὖν εἴ τις ἐν τῇ πατρίδι ὢν καὶ ἑτέραν οἰκίαν οἰκῶν, οὐκ ἐν ᾗ ἐτέχθη, δεινοπαθοίη διὰ τοῦτο καὶ ὀδύροιτο, μάταιος ἂν εἴη καὶ καταγέλαστος· οὕτω καὶ ὅστις ἑτέραν πόλιν οἰκῶν, οὐκ ἐν ᾗ τυγχάνει γεγονώς, συμφορὰν ἡγεῖται, ὁ τοιοῦτος εἰκότως ἂν ἄφρων νομίζοιτο καὶ καὶ πρὸς κτῆσιν ἀρετῆς πῶς ἂν τὸ φεύγειν ἐνίσταιτο; ὁπότε γε μήτε μαθήσεως μήτε ἀσκήσεως [καὶ] ὧν χρὴ εἴργεταί τις διὰ τὴν φυγήν. πῶς μὲν οὐκ ἂν ἡ φυγὴ καὶ συνεργοίη πρὸς τὸ τοιοῦτον, παρέχουσά γε σχολὴν καὶ ἐξουσίαν τοῦ μανθάνειν τε τὰ καλὰ καὶ πράττειν μᾶλλον ἢ πρότερον, ἅτε μήθ’ ὑπὸ πατρίδος τῆς δοκούσης περιελκομένοις εἰς ὑπηρεσίας πολιτικὰς μήτε ὑπὸ φίλων τῶν δοκούντων ἢ συγγενῶν ἐνοχλουμένοις, οἵ τινες ἐμποδίσαι δεινοὶ καὶ ἀποσπάσαι τῆς ἐπὶ τὰ κρείττω ὁρμῆς; ἤδη δέ τισι καὶ παντάπασι τὸ φεύγειν συνήνεγκεν, ὥσπερ Διογένει, ὃς ἐκ μὲν ἰδιώτου φιλόσοφος ἐγένετο φυγών, ἀντὶ δὲ τοῦ καθῆσθαι εἰς Σινώπην διέτριψεν ἐν τῇ Ἑλλάδι, ἀσκήσει δὲ τῇ πρὸς ἀρετὴν τῶν φιλοσόφων διήνεγκεν. ἄλλοις δέ γε κακῶς τὰ σώματα διακειμένοις ὑπὸ μαλακίας καὶ τρυφῆς ἔρρωσεν ἡ φυγή, βιασθεῖσιν ἀνδρικώτερον διαιτᾶσθαι· καὶ ἴσμεν τινὰς χρονίων νοσημάτων ἐν τῷ φεύγειν ἀπολυθέντας, ὥσπερ ἀμέλει Σπαρτιατικὸς οὗτος ὁ Λακεδαιμόνιος, ὃς ἀπὸ πολλοῦ ἔχων τὸ πλευρὸν κακῶς κἀκ τούτου πολλάκις νοσῶν διὰ τὴν τρυφήν, ἐπειδὴ δέ γε τῶν ἁβροδιαίτων ποδάγρας ἀπολυθῆναί φασι, πάνυ δὴ κατατεινομένους πρότερον ὑπὸ τούτου τοῦ πάθους, οὓς ἡ

φυγὴ σκληρότερον διαιτᾶσθαι συνεθίσασα κατ' αὐτὸ τοῦτο ὑγιεῖς γενέσθαι παρεσκεύασεν. οὕτως ἄρα 〈πρὸσ〉 τὸ διακεῖσθαι κρεῖττον αὐτοὺς ἑαυτῶν καὶ σῶμα καὶ ψυχὴν συνεργεῖ μᾶλλον ἢ ἀντιπράττει ἡ φυγή. Ἀλλ' οὐδ' ἀπορεῖν τῶν ἀναγκαίων πάντως ὑπάρχει τοῖς φεύγουσιν. ὅσοι μὲν γὰρ ἀργοὶ καὶ ἀμήχανοι καὶ οὐχ οἷοί τε ἀνδρίζεσθαι, οὗτοι μὲν κἀν τῇ πατρίδι ὄντες ἀποροῦσιν ὡς τὸ πολὺ καὶ ἀμηχανοῦσιν· οἱ δὲ γεννικοὶ καὶ φιλόπονοι καὶ συνετοί, κἂν ὅποι ποτὲ ἔλθωσιν, εὐποροῦσι καὶ διάγουσιν ἀνενδεῶς· καὶ γὰρ οὐδὲ δεόμεθα πολλῶν, ἂν μὴ βουλώμεθα τρυφᾶν· ἅπερ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν; λέγω δὲ τούς γε λόγου ἀξίους ἄνδρας οὐ τῶν ἀναγκαιοτάτων μόνον πρὸς τὸν βίον ῥᾳδίως ἂν εὐπορεῖν ἔξω τῆς οἰκίας ὄντας, ἀλλὰ καὶ πολλὰ περιποιήσεσθαι χρήματα πολλάκις. ὁ γοῦν Ὀδυσσεὺς παντὸς φυγάδος ὡς ἄν τις εἴποι ἀθλιώτερον διακείμενος καὶ μόνος ὢν καὶ γυμνὸς καὶ ναυαγός, ὅμως ἀφικόμενος εἰς ἀνθρώπους ἀγνῶτας τοὺς Φαίακας ἐδυνήθη χρηματίσασθαι ἀφθόνως. Θεμιστοκλῆς δ' ἐπεὶ ἔφευγεν οἴκοθεν, οὐ παρὰ μὴ φίλους μόνον, ἀλλὰ καὶ παρὰ πολεμίους καὶ βαρβάρους ἐλθὼν τοὺς Πέρσας, τρεῖς ἔλαβε πόλεις δῶρον, Μυοῦντα καὶ Μαγνησίαν καὶ Λάμψακον, ὥστ' ἀπὸ τούτων βιοῦν. Δίων δὲ ὁ Συρακούσιος, ἀφαιρεθεὶς ὑπὸ Διονυσίου τοῦ τυράννου τὴν οὐσίαν πᾶσαν, ὅτ' ἐξέπιπτε τῆς πατρίδος, κὸν θρέψαι στράτευμα, μεθ' οὗ ἦλθεν ἐπὶ Σικελίαν καὶ ἠλευθέρωσεν αὐτὴν ἀπὸ τοῦ τυράννου. τίς ἂν οὖν εὖ φρονῶν εἰς ταῦτ' ἀφορῶν, ἔτι τὴν φυγὴν ἀπορίας αἰτίαν εἶναι πᾶσι τοῖς φεύγουσιν ὑπολαμβάνοι; ἀλλ' οὐδὲ κακοδοξεῖν πάντως ἀνάγκη τοὺς φυγόντας διὰ τὴν φυγήν, γνωρίμου γε πᾶσιν ὄντος, ὅτι καὶ δίκαι πολλαὶ δικάζονται κακῶς καὶ ἐκβάλλονται πολλοὶ τῆς πατρίδος ἀδίκως, καὶ ὅτι ἤδη τινὲς ἄνδρες ἀγαθοὶ ὄντες ἐξηλάθησαν ὑπὸ τῶν πολιτῶν· ὥσπερ Ἀθήνηθεν μὲν Ἀριστείδης ὁ δίκαιος, ἐξ Ἐφέσου δὲ Ἑρμόδωρος, ἐφ' ᾧ καὶ Ἡράκλειτος ὅτι ἔφυγεν ἡβηδὸν ἐκέλευεν Ἐφεσίους ἀπάγξασθαι. ἔνιοι δέ γε καὶ ἐνδοξότατοι φεύγοντες ἐγένοντο, καθάπερ Διογένης ὁ Σινωπεύς, καὶ Κλέαρχος ὁ Λακεδαιμόνιος ὁ μετὰ Κύρου στρατεύσας ἐπ' Ἀρταξέρξην, καὶ ἄλλους ἄν τις ἔχοι βουλόμενος λέγειν πολλούς. καίτοι πῶς ἂν εἴη τοῦτο κακοδοξίας αἴτιον, ἐν ᾧ τινες ἐνδοξότεροι γεγόνασιν, ἢ πρότερον ἦσαν; Νὴ Δί' ἀλλ' Εὐριπίδης φησὶν ἐλευθερίας στέρεσθαι τοὺς φυγάδας, ἐπεὶ καὶ παρρησίας. πεποίηκε γὰρ τὴν μὲν Ἰοκάστην πυνθανομένην Πολυνείκους τοῦ υἱέος, τίνα δυσχερῆ τῷ φεύγοντί ἐστιν· ὃ δ' ἀποκρίνεται ὅτι ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν, ἢ δ' αὖ πρὸς αὐτὸν δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ. ἐγὼ δὲ φαίην ἂν πρὸς τὸν Εὐριπίδην ὅτι, ὦ Εὐριπίδη, τοῦτο μὲν ὀρθῶς ὑπολαμβάνεις, ὡς δούλου ἐστίν, ἃ φρονεῖ μὴ λέγειν, ὅταν γε δέῃ λέγειν· οὐ γὰρ ἀεὶ καὶ πανταχοῦ καὶ πρὸς ὁντινοῦν λεκτέον ἃ φρονοῦμεν. ἐκεῖνο δὲ οὔ μοι δοκεῖς εὖ εἰρηκέναι, τὸ μὴ μετεῖναι τοῖς φεύγουσι παρρησίας, εἴπερ παρρησία σοι δοκεῖ τὸ μὴ σιγᾶν ἃ φρονῶν τυγχάνει τις. οὐ γὰρ οἱ φεύγοντες ὀκνοῦσι λέγειν ἃ φρονοῦσιν, ἀλλ' οἱ δεδιότες μὴ ἐκ τοῦ εἰπεῖν γένηται αὐτοῖς πόνος ἢ θάνατος ἢ ζημία ἤ τι τοιοῦτον ἕτερον. τοῦτο δὲ τὸ δέος μὰ Δία οὐχ ἡ φυγὴ ποιεῖ. πολλοῖς γὰρ ὑπάρχει καὶ τῶν ἐν τῇ πατρίδι ὄντων, μᾶλλον δὲ τοῖς πλείστοις, τὰ δοκοῦντα δεινὰ δεδιέναι. ὁ δὲ ἀνδρεῖος οὐδὲν ἧττον φυγὰς ὢν ἅπερ οἴκοι θαρρεῖ πρὸς ἅπαντα τὰ τοιαῦτα, διὸ καὶ λέγει ἃ φρονεῖ θαρρῶν οὐδὲν μᾶλλον ἢ ὅταν ᾖ μὴ φυγάς, ὅταν φεύγων τύχῃ. ταῦτα μὲν πρὸς Εὐριπίδην εἴποι τις ἄν· σὺ δ' εἰπέ μοι, ὦ ἑταῖρε, ὅτε Διογένης φεύγων ἦν Ἀθήνησιν, ἢ ὅτε πραθεὶς ὑπὸ τῶν λῃστῶν ἦλθεν εἰς Κόρινθον, ἆρα τότε πλείω παρρησίαν ἄλλος τις ἐπεδείξατο Διογένους ἢ Ἀθηναῖος ἢ Κορίνθιος; τί δ'; ἐλευθεριώτερος ἄλλος τις ἢ πριαμένου αὐτὸν ὡς δεσπότης δούλου ἦρχεν. καὶ τί δεῖ τὰ παλαιὰ λέγειν; ἀλλ' ἐγώ σοι οὐ δοκῶ εἶναι φυγάς; ἆρ' οὖν ἐστέρημαι παρρησίας; ἆρα ἀφῄρημαι τὴν ἐξουσίαν τοῦ ἃ φρονῶ λέγειν; ἤδη δέ με εἶδες ἢ σὺ ἢ ἕτερος ὑποπτήσσοντά τῳ ὅτι φεύγω; ἢ χεῖρον ἔχειν τὰ πράγματα νομίζοντα νῦν ἢ πρότερον; ἀλλ' οὐδὲ μὰ Δία λυπούμενον ἢ ἀθυμοῦντα διὰ τὴν φυγὴν φαίης ἂν ἑωρακέναι με. καὶ γὰρ εἰ τὴν πατρίδα τις [ἡμᾶς] ἀφῄρηται, τό γε δύνασθαι φέρειν φυγὴν οὐκ ἀφῄρηται. Οἷς δὲ λογισμοῖς

χρῶμαι πρὸς ἐμαυτόν, ὥστε μὴ ἄχθεσθαι τῇ φυγῇ, τούτους καὶ πρὸς σὲ εἴποιμι ἄν. δοκεῖ μοι ἡ φυγὴ στερίσκειν μὲν ἄνθρωπον οὐ πάντως οὐδ' ὧν οἱ πολλοὶ νομίζουσιν ἀγαθῶν, καθάπερ ἄρτι ἐδείκνυον. εἰ δ' οὖν καὶ στερίσκοι ἢ τινὸς ἢ πάντων τούτων, τῶν γε ἀληθῶς ἀγαθῶν οὐ στερίσκει· οὔτε γὰρ ἀνδρείαν ἢ δικαιοσύνην ὁ φεύγων ἔχειν κωλύεται, διὸ ἀποφαίνουσαι καὶ ἀκλεῆ. τούτων δὲ ταύτῃ ἐχόντων, εἰ μὲν ἀγαθὸς εἶ οὗτος καὶ τὰς ἀρετὰς ἔχεις, οὐκ ἄν σε βλάπτοι ἡ φυγὴ οὐδ' ἂν ταπεινοίη, παρόντων γε τῶν ὠφελεῖν καὶ ἐπαίρειν μάλιστα δυναμένων· εἰ δὲ τυγχάνεις κακὸς ὤν, ἡ κακία σε βλάπτει καὶ οὐχ ἡ φυγή· καὶ τήν γε λύπην ἡ κακία σοι ἐπάγει, οὐχ ἡ φυγή· διὸ ταύτης ἀπολυθῆναι δεῖ σε σπεύδειν μᾶλλον ἢ τῆς φυγῆς. ταῦτα καὶ πρὸς ἐμαυτὸν ἔλεγον ἀεὶ καὶ πρὸς σὲ λέγω νῦν. σὺ δ', ἂν σωφρονῇς, οὐ τὴν φυγὴν δεινὸν ἡγήσῃ εἶναι, ἥν γε φέρουσιν ἕτεροι εὐπετῶς, τὴν δὲ κακίαν, ἧς ἐνούσης ἄθλιος πᾶς ὅστις ἂν ἔχῃ αὐτήν. καὶ γὰρ δὴ δυοῖν ἀνάγκη τὸ ἕτερον, ἢ ἀδίκως ἢ δικαίως σε φεύγειν· εἰ μὲν δὴ δικαίως, πῶς ποτε ὀρθὸν ἢ προσῆκον ἄχθεσθαι τοῖς δικαίοις; εἰ δ' ἀδίκως, τῶν ἐξελασάντων τοῦτ' ἂν εἴη κακόν, οὐχ ἡμέτερον· εἴπερ νὴ Δία τὸ μὲν ἀδικεῖν θεομισέστατόν ἐστιν, ὅπερ [ἐν] ἐκείνοις συμβέ-

3.41 Εὐριπίδου Ἰνοῖ (fr. 411 N. 2). Ἴστω δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών· μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας πρήσειεν ἄν τις· κἂν πρὸς ἕνα εἴποις ποτέ, πύθοιντ' ἂν ἀστοὶ πάντες ἃ κρύπτειν χρεών. Ἀναξανδρίδου (fab. inc. fr. IV com. III p. 197). Ὅστις λόγους. παρακαταθήκην γὰρ λαβὼν ἐξεῖπεν, ἄδικός ἐστιν ἢ ἀκρατὴς ἄγαν· ὁ μὲν διὰ κέρδος, ἄδικος· ὁ δὲ τούτου δίχα, ἀκρατής· ἴσως δέ γ' εἰσὶν ἀμφότεροι κακοί. Σοφοκλέους (fr. 849 N. 2). Μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος· κλῇθρον γὰρ οὐδέν· ὡς δ' ἂν εὐπετὲς λάβοις, γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται. Σοφοκλέους Ἀλεάδαις (fr. 80 N. 2). Μὴ πάντ' ἐρεύνα, πολλὰ καὶ λαθεῖν καλόν. Σωκράτους. Σωκράτης ἔλεγεν, ὅτι ῥᾷον ἄν τις διάπυρον ἄνθρακα ἐπὶ τῆς γλώττης κατάσχοι ἢ λόγον ἀπόρρητον. Εὐριπίδου. Εὐριπίδης, ὀνειδίζοντος αὐτῷ τινὸς ὅτι τὸ στόμα δυσῶδες ἦν, 'πολλὰ γάρ' εἶπεν 'αὐτῷ ἀπόρρητα ἐγκατεσάπη'. Περιάνδρου. Λόγων ἀπορρήτων ἐκφορὰς μὴ ποιοῦ. Ἀριστοτέλους. Ἀριστοτέλης ἐρωτηθεὶς τί δυσκολώτατόν ἐστιν ἐν τῷ βίῳ, εἶπε 'τὸ σιωπᾶν ἃ μὴ δεῖ λαλεῖν'. Πυθαγόρου. Ἀείσω συνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι. Ἰσοκράτους ἐκ τοῦ Πρὸς Δημόνικον (§ 22 p. 6 d). Μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον

3.42 Μενάνδρου Βοιωτία (fr. 1 com. IV p. 94). Οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρ' ᾖ ψευδής· ἐπίστανται αὐξάνειν αὐτήν τινες, δι' οὓς φυλάττεσθαι τὰ τοιαῦτ' ὀρθῶς ἔχει. Κλεάνθους. Κακουργότερον οὐδὲν διαβολῆς ἔστι πω. λάθρᾳ γὰρ ἀπατήσασα τὸν πεπεισμένον μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον. Εὐριπίδου Ἀλεξάνδρου (fr. 56 N. 2). Ἄναξ, διαβολαὶ δεινὸν ἀνθρώποις κακόν· ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ δίκαια λέξας ἧσσον εὐγλώσσου φέρει. Μενάνδρου (fab. inc. fr. 50 com. IV p. 249). Οὐδὲν διαβολῆς ἐστιν ἐπιπονώτερον. τὴν ἐν ἑτέρῳ γὰρ κειμένην ἁμαρτίαν Τοῦ αὐτοῦ (fab. inc. fr. 250 com. IV p. 289). Τὸ δοκεῖν διαβολὴν ἔσχε μείζω τοῦ ποιεῖν. Μενάνδρου (fab. inc. fr. 49 com. IV p. 249), Ὅστις δὲ διαβολαῖσι πείθεται ταχύ, ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους, ἢ παντάπασι παιδαρίου γνώμην ἔχει. Ἰσοκράτους Πρὸς Δημόνικον (§ 17 p. 5 c). Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. Δημοσθένους (fr. 36 Sauppe). Διαβολὴ καιρῷ μὲν ἰσχυρὰν ἀπεργάζεται τοῖς ἀκούουσι τὴν ὑπόληψιν, χρόνῳ δὲ πάντων ἀσθενεστέρα γίνεται. Θουκυδίδου (VI 41). Διαβολὰς οὐ σῶφρον οὔτε λέγειν πρὸς ἀλλήλους οὔτε ἀκούοντας ἀποδέχεσθαι. Πλουτάρχου ἐκ τοῦ διαβάλλειν (fr. XXIII 4 Wyttenb.). κτῆμα τὴν φιλίαν κλέπτουσιν, ὥστε ἡ ὕβρις κακοῦργος οὖσα, δικαιοτέρα ἐστὶ τῆς διαβολῆς διὰ τὸ μὴ ἀφανὴς εἶναι. Ῥηγίνου ἐκ τοῦ Περὶ φιλίας. Πολλοὶ γοῦν ἤδη μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβόλων ἢ τῶν πολεμίων· καὶ πολλοὶ ἤδη μείζω ἠδίκηνται ὑπὸ τῆς τῶν ὤτων ἀσθενείας ἢ

ὑπὸ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς. Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ. Ἀρξόμεθα δὲ ἀπὸ τοῦ μάλιστα ὠφελοῦντος οἰκίαν· εἴη δ' ἂν τοῦτο ἐπιτίμησις διαβολῆς. διαβολὴ γὰρ κακῶν τὸ πολλῷ ὀξύτατον. Πελοπίδου. Πελοπίδας, ἀνδρείου στρατιώτου διαβληθέντος αὐτῷ ὡς βλασφημοῦντος αὐτόν, ‘ἐγὼ τὰ μὲν ἔργα‘ ἔφη ‘αὐ- Φιλο.. ..λὰς ἄνδρα τοιοῦτον εἰς προκλήσεις αἰσχράς. τὸ γὰρ ‘ἔλεγξον‘ καὶ τὸ ‘προσταχθείσ‘, ταῦτα πάντα ἔρρωται μέν, τὸ δ' ἀνδρὸς ἀρετῇ πρέπον οὐκ ἔχει. ... Τὸ νικᾶν τὰ τοιαῦτα φέρει τινὰ αἰσχύνην τοῖς διαβληθεῖσιν, ἃ μηδὲ δοκεῖν ἔδει. Ἡροδότου Ἱστορίας ζ′ (VII 10). Διαβολὴ γάρ ἐστι δεινότατον· ἐν τῇ δύο μέν εἰσιν οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος. ὁ μὲν γὰρ διαβάλλων ἀδικέει οὐ παρεόντι κατηγορέων, ὁ δὲ ἀδικέει ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ. ὁ δὲ δὴ ἀπεὼν Ἰωσήπου ἐκ τῆς Ἁλώσεως (I 3, 4).

4.1 Εὐριπίδου Φοίνισσαι (1015 ss.). Εἰ γὰρ λαβὼν ἕκαστος ὅ τι δύναιτό τις χρηστὸν διέλθοι τοῦτο κεἰς κοινὸν φέροι πατρίδι, κακῶν 〈ἂν〉 αἱ πόλεις ἐλασσόνων πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν. Εὐριπίδου Φαέθοντι (fr. 784 N. 2). Ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν, ὅστις [τῶν] πατὴρ ὡς παισὶ μὴ φρονοῦσιν εὖ (eiusd. fr. 774 N. 2). Ναῦν τοι μί' ἄγκυρ' οὐδαμῶς σῴζειν φιλεῖ ὡς τρεῖς ἀφέντι· προστάτης θ' ἁπλοῦς πόλει σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πέλει. Εὐριπίδου Φρίξῳ (fr. 828 N. 2). Αἱ γὰρ πόλεις εἷς' ἄνδρες, οὐκ ἐρημία. Σοφοκλέους Φαίδρα (fr. 622 N. 2). Οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις, ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν πανοῦργα χερσὶν κέντρα κηδεύει πόλιν. Σοφοκλέους Ἀλεάδαι (fr. 81 N. 2). Κοὐκ οἶδ' ὅ τι χρὴ πρὸς ταῦτα λέγειν, ὅταν οἵ τ' ἀγαθοὶ πρὸς τῶν ἀγενῶν κατανικῶνται· ποία πόλις ἂν τάδ' ἐνέγκοι; Τοῦ αὐτοῦ Ἐριφύλη (fr. 193 N. 2). Ὅπου δὲ μὴ τἄριστ' ἐλευθέρως λέγειν Βίωνος Βουκολικά (fr. III p. 140 Wil.). Μηδὲ λίπῃς μ' ἀγέραστον, ἐπὴν χὼ Φοῖβος ἀείδειν μισθὸν ἔδωκε· τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ. Εὐπόλιδος (fr. 117 K.). Καὶ μὴν ἐγὼ πολλῶν παρόντων οὐκ ἔχω τί λέξω. οὕτω σφόδρ' ἀλγῶ τὴν πολιτείαν ὁρῶν παρ' ἡμῖν. ἡμεῖς γὰρ οὐχ οὕτω τέως ᾠκοῦμεν οἱ γέροντες, ἀλλ' ἦσαν ἡμῖν τῇ πόλει πρῶτον μὲν οἱ στρατηγοὶ ἐκ τῶν μεγίστων οἰκιῶν, πλούτῳ γένει τε πρῶτοι, οἷς ὡσπερεὶ θεοῖσιν ηὐχόμεσθα· καὶ γὰρ ἦσαν· ὥστ' ἀσφαλῶς ἐπράττομεν· νυνὶ δ', ὅταν τύχωμεν, στρατευόμεσθ' αἱρούμενοι καθάρματα στρατηγούς. Εὐριπίδου Ἱκετίδων (238 ss.). Τρεῖς γὰρ πολιτῶν μερίδες· οἱ μὲν ὄλβιοι ἀνωφελεῖς τε πλειόνων τ' ἐρῶς' ἀεί, οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου δεινοὶ νέμοντες τῷ φθόνῳ πλεῖον μέρος εἰς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακὰ γλώσσῃ πονηρῶν προστατῶν φηλούμενοι. Σοφοκλέους (fr. 850 N. 2). Ὅπου γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων, οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις. Εὐριπίδου Αὐγῇ (fr. 267 N. 2). Δεινὴ πόλις νοσοῦς' ἀνευρίσκειν κακά. Τοῦ αὐτοῦ (fr. 1048 N. 2). Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον. χρῆν γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψήλ' ἄγειν. ὅστις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο ἢ τόξα πάλλων ἢ μάχῃ δορὸς σθένων, τοῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν. Σοφοκλέους Αἴαντι (1071 ss.). Καίτοι κακοῦ πρὸς ἀνδρὸς ἄνδρα δημότην μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν. οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς φέροιντ' ἄν, ἔνθα μὴ παρεστήκῃ δέος, Μενάνδρου Ἐμπιμπραμένῃ (fr. 155 K.). Τρία γάρ ἐστι, δέσποτα, δι' ὧν ἅπαντα γίνετ', ἢ κατὰ 〈τοὺσ〉 νόμους, ἢ ταῖς ἀνάγκαις, ἢ 〈τὸ〉 τρίτον ἔθει τινί. Εὐριπίδου Φοίνικι (fr. 806 N. 2). Ἀλλ' οὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν παραινέσαιμ' ὃν παισὶ προσθεῖναι κράτη, πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ με καὶ σκότος, εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον. Σοφοκλῆς Αἴαντι (1081 ss.). Ὅπου δ' ὑβρίζειν δρᾶν θ' ἃ βούλεται παρῇ, ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν. ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον, καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα, οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα· ἕρπει [γὰρ] παραλλὰξ ταῦτα. Εὐριπίδου Ἑκάβῃ (306 ss.). Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ μηδὲν φέρηται τῶν

κακιόνων πλέον. Σοφοκλῆς Αἴαντι (157 ss.). Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει. καίτοι σμικροὶ μεγάλων χωρὶς σφαλερὸν πύργου ῥῦμα πέλονται· μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων. ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους τούτων γνώμας προδιδάσκειν. Εὐριπίδου Αἰόλῳ (fr. 21 N. 2). Δοκεῖτ' ἂν οἰκεῖν ῥᾷον, εἰ πένης ἅπας λαὸς πολιτεύοιτο πλουσίων ἄτερ; οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά, ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς. ἃ μὴ γὰρ ἔστι τῷ πένητι, πλούσιος δίδως'· ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα, τοῖσιν πένησι χρώμενοι τιμώμεθα. Μενάνδρου (fr. 265 K.). Τὸ καλῶς ἔχον που κρεῖττόν ἐστι καὶ νόμου. Εὐριπίδου Ἀντιγόνη (fr. 173 N. 2). Οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ πόλεμος ἐν ἀστοῖς, ἢν διχοστατῇ πόλις. Μενάνδρου (fr. 791 K.). Κοινὸν ἀγαθόν ἐστι τοῦτο χρηστὸς εὐτυχῶν. Εὐριπίδου Ἀλκμήνης (fr. 91 N. 2). Ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει. Σοφοκλέους (fr. 851 N. 2). Νόμοις ἔπεσθαι τοῖσιν ἐγχώροις καλόν. Τοῦ αὐτοῦ (Ant. 672). Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν. Ἡνιόχου (fr. 5 com. II p. 433 K.). Ἐγὼ δ' ὄνομα τὸ μὲν καθ' ἑκάστην αὐτίκα τάχ' ἄν τις ὑποκρούσειεν ὅ τι ποτ' ἐνθάδε νῦν εἰσι, κἂν ἔροιτο, παρ' ἐμοῦ πεύσεται· τὸ χωρίον μὲν γὰρ τόδ' ἐστὶ πᾶν κύκλῳ Ὀλυμπία, τηνδὶ δὲ τὴν σκηνὴν ἐκεῖ σκηνὴν ὁρᾶν θεωρικὴν νομίζετε. εἶεν· τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις; ἐλευθέρι' ἀφίκοντο θύσουσαί ποτε, ὅτε τῶν φόρων ἐγένοντ' ἐλεύθεραι σχεδόν. κἄπειτ' ἀπ' ἐκείνης τῆς θυσίας διέφθορεν αὐτὰς ξενίζους' ἡμέραν ἐξ ἡμέρας ἀβουλία κατέχουσα πολὺν ἤδη χρόνον. γυναῖκε δ' αὐτὴν δύο ταράττετόν τινε ἀεὶ συνοῦσαι, δημοκρατία θατέρᾳ ὄνομ' ἐστί, τῇ δ' ἀριστοκρατία θατέρᾳ, δι' ἃς πεπαρῳνήκασιν ἤδη πολλάκις. Ἀριστοφάνους (ran. 727—37). Τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώφρονας ἄνδρας ὄντας καὶ δικαίους καὶ καλούς τε κἀγαθοὺς καὶ τραφέντας ἐν παλαίστρᾳ καὶ χοροῖς καὶ μουσικῇ, προυσελοῦμεν, τοῖς δὲ χαλκοῖς καὶ ξένοις καὶ πυρρίαις καὶ πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμεθα ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ οὐδὲ φαρμακοῖσιν εἰκῆ ῥᾳδίως ἐχρήσατ' ἄν. ἀλλὰ καὶ νῦν, ὦ 'νόητοι, μεταβαλόντες τοὺς τρόπους χρῆσθε τοῖς χρηστοῖσιν αὖθις· καὶ κατορθώσασι γὰρ εὔλογον· κἄν τι σφαλῆτ', ἐξ ἀξίου γὰρ τοῦ ξύλου, ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε. Εὐριπίδου (Suppl. 312—13). Παῦσαι· τὸ γάρ 〈τοι〉 συνέχον ἀνθρώπων πόλεις τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σῴζῃ καλῶς. Μενάνδρου (fr. 542 K.). Εἴπερ τὸν ἀδικοῦντα μενως ἠμύνετο ἕκαστος ἡμῶν καὶ συνηγωνίζετο ἴσως, νομίζων ἴδιον εἶναι τὸ γεγονὸς ἀδίκημα, καὶ συνέπραττον ἀλλήλοις πικρῶς, Μενάνδρου (fr. 726 K.). Ἔργον ἐστί, Φανία, μακρὰν συνήθειαν [ἐν] βραχεῖ λῦσαι χρόνῳ. Αἰσχίνου ἐν τῷ κατὰ Τιμάρχου (30 p. 55). Τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὸ κοινὰ τὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν. Δημοκρίτου (fr. 248 Diels 2). Ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν 〈εὖ〉· τοῖσι γὰρ πειθομένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται. Τοῦ αὐτοῦ (fr. 249 Diels 2). Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορή. Αἰσχίνου (c. Ctes. 147 p. 537). Πονηρὰ φύσις μεγάλης ἐξουσίας λαβομένη μεγάλας ἀπεργάζεται συμφοράς. Δημοσθένους ἐκ τοῦ Κατ' Ἀνδροτίωνος (p. 613). Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι, καὶ σῴζειν ὑμῖν τοὺς τοιούτους, ὦ Ἀθηναῖοι, προσήκει, καὶ μισεῖν τοὺς οἷός περ οὗτος. ὡς ἐκεῖνο εἰδόσι μὲν ἴσως, ὅμως δὲ ἐρῶ· ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες καὶ σῴζοντες, τούτοις ὅμοιοι δόξετε εἶναι. Ξενοφῶντος ἐν δ′ Σωκρατικῶν ἀπομνημονευμάτων (IV 6, 12). Βασιλείας δὲ καὶ τυραννίδας ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ τοὺς νόμους τῶν πόλεων ἀρχὴν βασιλείαν ἡγεῖτο, τὴν δὲ ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην μὲν τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι, ὅπου δὲ ἐκ τιμημάτων, πλουτοκρατίαν, ὅπου δ' ἐκ πάντων, δημοκρατίαν. Ἡροδότου ἱστορίας ε′ (78). Δηλοῖ δὲ οὐ καθ' ἓν μοῦνον, ἀλλὰ πανταχῇ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ ἰσηγορίη ὡς ἐστὶ χρῆμα σπουδαῖον. Τοῦ αὐτοῦ ἱστορίας ς' (27). Φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι. Δημοκρίτου (fr. 250 Diels 2). Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλισι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ. Πολυαίνου ἐν τῷ Ὑπὲρ τοῦ συνεδρίου. Οὐ γὰρ ἀγνοεῖς ὡς ἐν τοῖς κοινοῖς, κἂν τοὐλάχιστόν τις παρέληται, ἀφορμὴ τῆς τῶν πλειόνων ἀπωλείας γίνεται. Δημοκρίτου (fr. 251 Diels 2). Ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης. (fr. 252 Diels 2). Τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ, μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικὲς μήτε ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ. πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σῳζομένου 〈τὰ〉 πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ (fr. 253 Diels 2) Τοῖς χρηστοῖσιν οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς 〈ἂν〉 ἔσχεν. εἰ δὲ ἀμελέοι τις τῶν δημοσίων, κακῶς ἀκούειν γίγνεται, καὶ ἦν μηδὲν μήτε κλέπτῃ μήτε ἀδικῇ. ἐπεὶ καὶ 〈μὴ〉 ἀμελέοντι ἢ ἀδικέοντι κίνδυνος κακῶς ἀκούειν καὶ δὴ καὶ παθεῖν τι. ἀνάγκη δὲ ἁμαρτάνειν, συγγιγνώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές. (fr. 254 Diels 2) Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται. (fr. 255 Diels 2) Ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι καὶ 〈τὸ〉 τοὺς πολιήτας ὁμονόους εἶναι καὶ ἄλλα ἀγαθά, ἅσσα οὐδεὶς ἂν δύναιτο καταλέξαι. Σωκράτους. Τῆς εὐτυχίας ὥσπερ τῆς πολιτικῆς ὁμιλίας κοινὴν εἶναι δεῖ τοῖς ἀξίοις τὴν ἀπόλαυσιν. Ὅρκος τῶν Ἀθήνησιν ἐφήβων. Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερά, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅτῳ ἂν στοιχήσω, ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὑπὲρ ὁσίων καὶ μόνος καὶ μετὰ πολλῶν· τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω, πλείω δὲ καὶ ἀρείω ὅσης ἂν παραδέξωμαι· καὶ εὐηκοήσω τῶν ἀεὶ κρινόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι καὶ οὕς τινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως· καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων· καὶ ἱερὰ Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων (Diels Vorsokr. 2 I p. 283). Καθόλου δὲ ᾠοντο δεῖν ὑπολαμβάνειν μηδὲν εἶναι μεῖζον κακὸν ἀναρχίας· οὐ γὰρ πεφυκέναι τὸν ἄνθρωπον διασῴζεσθαι μηδενὸς ἐπιστατοῦντος. περὶ δὲ ἀρχόντων καὶ ἀρχομένων οὕτως ἐφρόνουν· τοὺς μὲν γὰρ ἄρχοντας ἔφασκον οὐ μόνον ἐπιστήμονας ἀλλὰ καὶ φιλανθρώπους δεῖν εἶναι· καὶ τοὺς ἀρχομένους οὐ μόνον πειθηνίους ἀλλὰ καὶ φιλάρχοντας. ἐπιμελητέον δὲ πάσης ἡλικίας ἡγοῦντο καὶ τοὺς μὲν παῖδας ἐν γράμμασι καὶ τοῖς ἄλλοις μαθήμασιν ἀσκεῖσθαι· τοὺς δὲ νεανίσκους τοῖς τῆς πόλεως ἔθεσί τε καὶ νόμοις γυμνάζεσθαι· τοὺς δὲ ἄνδρας ταῖς πράξεσί τε καὶ δημοσίαις λειτουργίαις προσέχειν· τοὺς δὲ πρεσβύτας ἐνθυμήσεσι καὶ κριτηρίοις καὶ συμβουλίαις δεῖν ἐναναστρέφεσθαι μετὰ πάσης ἐπιστήμης ὑπελάμβανον, ὅπως μήτε οἱ παῖδες νηπιάζοιεν μήτε οἱ νεανίσκοι παιδαριεύοιντο μήτε οἱ ἄνδρες νεανιεύοιντο μήτε οἱ γέροντες παραφρονοῖεν. δεῖν δὲ ἔφασκον εὐθὺς ἐκ παίδων καὶ τὴν τροφὴν τεταγμένως προσφέρεσθαι, διδάσκουσαν ὡς ἡ μὲν τάξις καὶ συμμετρία καλὰ καὶ σύμφορα, ἡ δὲ ἀταξία καὶ Ξενοφῶντος ἐκ τῆς Ἀθηναίων πολιτείας (I 14). Ὅτι μισεῖσθαι μὲν ἀνάγκη τὸν ἄρχοντα ὑπὸ τοῦ ἀρχομένου. εἰ δὲ ἰσχύσουσιν οἱ πλούσιοι καὶ ἰσχυροὶ ἐν ταῖς πόλεσιν, ὀλίγιστον χρόνον ἡ ἀρχὴ ἔσται τοῦ δήμου. διὰ ταῦτα τοὺς μὲν χρηστοὺς ἀτιμοῦσι καὶ χρήματα ἀφαιροῦνται καὶ ἐξελαύνονται καὶ ἀποκτείνουσι, τοὺς δὲ πονηροὺς αὔξουσιν. Ἐν ταὐτῷ (II 20). Δημοκρατίαν δ' ἐγὼ αὐτῷ μὲν τῷ δήμῳ συγγιγνώσκω. ἑαυτὸν μὲν γὰρ εὖ ποιεῖν πάντη συγγνώμη ἐστίν· ὅστις δὲ μὴ ὢν τοῦ δήμου εἵλετο ἐν δημοκρατουμένῃ πόλει οἰκεῖν μᾶλλον ἢ 〈ἐν〉 ὀλιγαρχουμένῃ, ἀδικεῖν παρεσκευάσατο καὶ ἔγνω ὅτι μᾶλλον οἷόν τε διαλαθεῖν κακῷ ὄντι ἐν δημοκρατουμένῃ πόλει ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν ὀλιγαρχουμένῃ. Δημοσθένους Φιλιππικῶν (VI p. 71). Ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσιν πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ τάφροι καὶ τἆλλα ὅσα τοιαῦτα. καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα καὶ δαπάνης προσάντεχεσθε· ἂν ταύτην σῴζητε, οὐδὲν μὴ δεινὸν πάθητε. Ἐκ τοῦ Πολυαίνου Ὑπὲρ τοῦ κοινοῦ τῶν Μακεδόνων. Πρὸς μὲν δὴ τὸ μικρὸν τέλος φήμ' ἔγωγε· ἀλλὰ τὸ ἔθος μέγα. ἔστι δὲ ὁ λόγος οὐ περὶ τῆς ποσότητος, ἀλλὰ περὶ τοῦ δικαίου· καὶ πρόδηλον ὡς ἀεὶ τὰ πονηρὰ τῶν ἐθῶν ἄρχεται μὲν ἀπὸ μικρῶν, ἀμελούμενα δὲ ἰσχὺν μείζω λαμβάνει. Θουκυδίδου ἱστορίας 〈α′〉 (71). Νῦν δέ, ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δὲ ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν, καὶ ἡσυχαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ. Ἐκ τοῦ Πολυαίνου Ὑπὲρ Μακεδόνων. χεται. Θουκυδίδου ἱστορίας α′ δημηγορίας Ἀθηναίων (77, 5). Ὑπὸ γοῦν τοῦ Μήδου δεινότερα τούτων πάσχοντες ἠνείχοντο, ἡ δὲ ἡμετέρα ἀρχὴ χαλεπὴ δοκεῖ εἶναι, εἰκότως· τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις. Αἰσχίνου ἐν τῷ Κατὰ Τιμάρχου (2 p. 28). Αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσιν. Θουκυδίδου ἱστορίας τρίτης δημηγορίας Κλέωνος (37, 3). Πάντων δὲ δεινότατον, εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν ἢ καλῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας. Ἐν ταὐτῷ (III 37, 3 s.). Οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν τος μέμφεσθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον ἢ ἀγωνισταὶ διορθοῦνται τὰ πλείω. Δημοσθένους Φιλιππικῶν (X p. 132). Τοιγάρτοι διεστηκότων εἰς δύο ταῦτα τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν εἰς τὸ μήτ' ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς μήτε δουλεύειν ἄλλῳ, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι, τῶν δ' εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρατήκασι πανταχοῦ. Θουκυδίδου ἱστορίας ς′ ἐκ τῆς δημηγορίας Νικίου (9, 2). Νομίζω ὁμοίως ἀγαθὸν πολίτην εἶναι, ὃς ἂν καὶ τοῦ σώματός τι καὶ τῆς οὐσίας πρόηται· μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' αὐτὸν βούλοιτο ὀρθοῦσθαι. Αἰσχίνου ἐν τῷ Κατὰ Τιμάρχου (4). τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 291 D—292 A). Ἆρ' οὐ μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστι μία; — Ναί. — Καὶ μετὰ μοναρχίαν εἴποι τις ἂν οἶμαι τὴν ὑπὸ τῶν ὀλίγων δυναστείαν. — Πῶς δ' οὔ; — Τρίτον δὲ σχῆμα πολιτείας οὐχ ἡ τοῦ πλήθους ἀρχή, δημοκρατία τοὔνομα κληθεῖσα; — Καὶ πάνυ γε. — Τρεῖς δ' οὖσαι μῶν οὐ πέντε τρόπον τινὰ γίγνονται, δύ' ἐξ αὐτῶν ἄλλα πρὸς αὐταῖς ὀνόματα τίκτουσαι; — Ποῖα δή; — Πρὸς τὸ βίαιόν που καὶ ἑκούσιον ἀποσκοποῦντες νῦν καὶ πενίαν καὶ πλοῦτον καὶ νόμον καὶ ἀνομίαν ἐν αὐταῖς γιγνόμενα διπλῆν ἑκατέραν τοῖν δυοῖν διαιροῦντες μοναρχίαν μὲν προσαγορεύουσιν ὡς δύο παρεχομένην εἴδη δυοῖν ὀνόμασιν, τὸ μὲν τυραννίδι, τὸ δὲ βασιλικῇ; — Τί μήν; — Τὴν δὲ ὑπὸ ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν ἀριστοκρατίᾳ καὶ ὀλιγαρχίᾳ. — Καὶ πάνυ γε. — Δημοκρατίας γε μήν, ἐάν τ' οὖν βιαίως ἐάν τε ἑκουσίως τῶν τὰς οὐσίας ἐχόντων τὸ πλῆθος ἄρχῃ, καὶ ἐάν τε τοὺς νόμους ἀκριβῶς φυλάττον ἐάν τε μή, πάντως τοὔνομα οὐδεὶς αὐτῆς εἴωθε μεταλλάττειν. — Ἀληθῆ. Τοῦ αὐτοῦ ἐκ τοῦ Κριτίου ἢ Ἀτλαντικοῦ (p. 110 A—C). μάτων ἑκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους τὸ πολλὰ ἐπονομάζοντας 〈τοὺς ἱερέας〉 ἔφη Σόλων τὸν τότε διηγεῖσθαι πόλεμον, καὶ τὰ τῶν γυναικῶν κατὰ ταὐτά. καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότε ἦν ἐπιτηδεύματα ταῖς τε γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον, οὕτω κατ' ἐκεῖνον τὸν νόμον ὡπλισμένην τὴν θεὸν ἀνάθημα θεῖναι τοῖς τότε,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνδειγμα ὅτι πάνθ' ὅσα ξύννομα ζῷα θήλεα καὶ ὅσα ἄρρενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκεν. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (14 p. 29 c). Περὶ μὲν οὖν τῶν πολιτειῶν, ἐντεῦθεν γὰρ ὑποτιθέμενος ἠρξάμην, οἶμαι πᾶσι δεινότατον μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς, δικαιότατον δὲ τὸ διορθώσασθαι περὶ τούτων καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν. Θουκυδίδου δημηγορίας Ἀλκιβιάδου. (Thuc. VI 39, 1). Ἐγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ μέρος· ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετούς, κρῖναι δ' ἂν ἀκούσαντας ἄριστα τοὺς πολλούς, καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖ. ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δὲ ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμπαντ' ἀφελομένη ἔχει. Δημοσθένους Φιλιππικῶν (VIII p. 107). Οὐδέ γ' ἐμοὶ δοκεῖ δικαίου τοῦτ' εἶναι πολίτου, τοιαῦτα πολιτεύμαθ' εὑρίσκειν, ἐξ ὧν ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι· ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προσάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην. Θουκυδίδου δημηγορίας Εὐφήμου (VI 85, 1). Ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ τι μὴ πιστόν· πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. Δημοσθένους Φιλιππικῶν (X p. 133). Ἵν' ὑμῶν ἕκαστος, ὦ Ἀθηναῖοι, τοῦτο γνῷ καὶ εἰδῇ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω καὶ ταῖς πόλεσιν οὐκ εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ. Ἰαμβλίχου ἐκ τῶν Προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων (c. 2 p. 9, 8 Pist.) Ὁμοίως ἐπισφαλὲς μαινομένῳ δοῦναι μάχαιραν καὶ μοχθηρῷ δύναμιν. Δημοσθένους Φιλιππικῶν (X p. 142). Ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ τοὺς γονέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ προσήκειν τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται. Θεοφράστου. (fr. LXXXVI e Wimm.) Θεόφραστος ἐρωτηθεὶς ὑπό τινος, τί συνέχει τὸν τῶν ἀνθρώπων βίον, ἔφη ‘εὐεργεσία καὶ τιμὴ καὶ τιμωρία.‘ Χαρίλλου (Plut. reg. et imp. apophth. p. 189 F). Χάριλλος ὁ βασιλεὺς ἐρωτηθείς, διὰ τί νόμους ὀλίγους ὁ Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο τοὺς ὀλίγοις χρωμένους λόγοις μὴ πολλῶν δεῖσθαι νόμων. Ἡροδότου ἱστορίας β′ (35). Ἐσθίουσι δὲ ἔξω ἐν τῇσιν ὁδοῖσιν ἐπιλέγοντες ὡς τὰ μὲν αἰσχρὰ ἀναγκαῖα δὲ ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών, τὰ δὲ μὴ αἰσχρὰ ἀναφανδόν. Ξενοφῶντος ἐν α′ Ἀπομνημονευμάτων (c. 2, 10). Ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεστιν ἔχθρα καὶ κίνδυνος, διὰ δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας τὰ αὐτὰ γίγνεται. οἱ μὲν γὰρ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ πεισθέντες ὡς κεχαρισμένοι φιλοῦσιν. οὐκοῦν οὐ τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν. ἀλλὰ μὴν καὶ συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος οὐδενός· καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει· τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον ἢ ζῶντι πειθομένῳ χρῆσθαι; Σόλωνος. Σόλων ἐκείνην εἶπεν ἄριστα τὴν πόλιν οἰκεῖσθαι, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι, καὶ τὸ ἐναντίον ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι. Τοῦ αὐτοῦ. Σόλων ἐρωτηθεὶς πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν πόλει, εἶπεν ‘εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις‘. Δημοσθένους Φιλιππικῶν (X p. 142). Δεῖ γάρ, ὦ Ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολιτείας κοινωνεῖν, τοὺς μὲν εὐπόρους εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας καὶ ὑπὲρ τούτων μὴ δεδοικότας, εἰς δὲ τοὺς κινδύνους

κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ λοιποὺς τὰ μὲν κοινὰ κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος, τὰ δὲ ἑκάστου ἴδια τοῦ κεκτημένου. οὕτω καὶ ἡ μικρὰ πόλις μεγάλη γίγνεται καὶ μεγάλη σῴζεται. Περιάνδρου. Πυθαγόρου. Πυθαγόρας εἶπεν εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον. Ὁ αὐτὸς τῶν πόλεων ἐκείνην εἶπεν ἀρίστην τὴν ἄνδρας ἀγαθοὺς ἔχουσαν. Σωκράτους. Σωκράτης ἐρωτηθείς, ποία πόλις ἄριστα οἰκεῖται, 〈ἔφη〉 ‘ἡ μετὰ νόμου ζῶσα καὶ τοῖς ἀδικοῦσιν ἐπεξιοῦσα.‘ Τοῦ αὐτοῦ. Σωκράτης ἐρωτηθείς, ποία ἀνομεῖται πόλις, ‘ἐν ᾗ‘ ἔφη ‘οἱ ἄρχοντες μεθ’ ἑταιρείας καθίστανται.‘ Τοῦ αὐτοῦ. Σωκράτης ἐρωτηθείς, ποία ἰσχυροτάτη τῶν πόλεων, εἶπεν ‘ἡ ἄνδρας ἀγαθοὺς ἔχουσα.‘ Τοῦ αὐτοῦ. Σωκράτης ἐρωτηθείς, εἰς τὰς ἀρχὰς ὁποίους τινὰς δεῖ ἡλικίας λήμματος χάριν.‘ Πλάτωνος ἐκ τοῦ Μενεξένου ἢ Ἐπιταφίου (p. 238 C). Πολιτεία γὰρ ἀνατροφὴ ἀνθρώπων ἐστίν, καλὴ μὲν ἀγαθῶν, μὴ καλὴ δὲ κακῶν. Αἰσχίνου (Ctesiph. 180). Κἀκεῖνο ἐκλογίσασθε, ὅτι, ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε. Ζήνωνος (fr. 266 Arn.). Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς. Σόλωνος. Θουκυδίδου ἐκ τοῦ Ἐπιταφίου (II 46). Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσιν. Σόλωνος. Σόλων ἐρωτηθείς, τίς ἀρίστη πόλις, ‘ἐν ᾗ‘ ἔφη ‘πλεῖστα ἀρετῆς ἆθλα.‘ Ἀρκεσιλάου. Ἀρκεσίλαος ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοί, ἐνταῦθα νόσοι πλεῖσται, οὕτω δὴ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ καὶ ἀδικίαν εἶναι μεγίστην. Ἱπποδάμου Πυθαγορείου ἐκ τοῦ Περὶ πολιτείας. Φαμὶ δ’ ἐγὼν ἐς μοίρας τρεῖς διεστάσθαι τὰν σύμπασαν πολιτείαν· καὶ μίαν μὲν εἶμεν μοῖραν τῶν ἀρετᾷ κυβερνώντων τὰ κοινά, δευτέραν δὲ τῶν δυνάμει, τρίταν δὲ τῶν ἐκπλαρώσει καὶ χορηγίᾳ τῶν ἀναγκαίων. ὀνυμαίνω τον τῶν βιοπόνων. καὶ τὸ μὲν βουλευτικὸν ἄριστον εἶμεν, τὸ δὲ βάναυσον χερήϊον, τὸ δ’ ἐπίκουρον μέσον. καὶ τὸ μὲν βουλευτικὸν ἄρχεν δεῖ, τὸ δὲ βάναυσον ἄρχεσθαι, τὸ δὲ ἐπίκουρον καὶ ἄρχεν καὶ ἄρχεσθαι. τὸ μὲν γὰρ καὶ τί δεῖ πράσσεν προβουλεύει, τὸ δ’ ἐπίκουρον τῷ μὲν προπολεμὲν ἄρχει τῷ βαναύσω παντός, τῷ δὲ προβουλεύεσθαι ἄρχεται. Ἐν ταὐτῷ. Ταυτᾶν δὲ τᾶν μοιρᾶν ἑκάστα πάλιν ἐς τρία τέτακται. τῶ τε γὰρ βουλευτικῶ μέρεος τὸ μέν ἐστι πρόεδρον, τὸ δὲ ἀρχοντικόν, τὸ δὲ κοινοβουλευτικόν· πρόεδρον μὲν τὸ προσυνεδρεῦον καὶ [τὸ] προβουλευόμενον περὶ τῶν πραγμάτων καὶ ὕστερον ἐπαναφέρον ἐπὶ τὰν βουλάν· ἀρχοντικὸν δὲ τὸ ἤτοι ἄρχον ἢ γεγεναμένον ἀρχοντικόν· κοινοβουλευτικὸν δὲ τὸ ἄλλο πλᾶθος τὸ παραδεχόμενον τὰ προσυνηδρευμένα καὶ ἐπιψαφιζόμενον καὶ ἐπικυροῦν τὰ ἐπὶ κρίσει. ὡς δ’ ἁπλῶς εἰπέν, δεῖ τὼς μὲν προέδρως ἐπὶ τὸ κοινοβουλευτικὸν ἀναφέρεν, τὸ δὲ κοινοβουλευτιμέρος ἀγελαῖον καὶ στρατιωτικόν· ἀρχοντικὸν μὲν ὧν ἐστιν, ἐξ ὧν στρατοπεδάρχαι καὶ ταξιάρχαι καὶ λοχαγοὶ καὶ πρόμαχοι καθίστανται καὶ καθόλω πάντες οἱ ἀγεμονίαν ἔχοντες· προμαχατικὸν δὲ τὸ τῶν ἀνδρικωτάτων καὶ θυμικωτάτων καὶ τολματικωτάτων πᾶν γένος· ἀγελαῖον δὲ καὶ στρατιωτικὸν τὸ λοιπὸν πλᾶθος. τῶ δὲ βαναύσω καὶ βιοπονητικῶ τὸ μέν ἐστι γεωπόνον καὶ περὶ τὰν κατεργασίαν τᾶς χώρας κατασχολούμενον, τὸ δὲ τεχνατικόν, ὄργανα καὶ ἐπιμαχανάματα τοῖς τῶ βίω πράγμασιν ἐκποριζόμενον· τὸ δὲ μεταβλατικὸν καὶ ἐμπορικόν, ὃ τὰ μὲν ἐν τᾷ πόλει περιουσιάζοντα ἐπὶ τὰν ξέναν διάγεται, τὰ δὲ ἀπὸ τᾶς ξένας ἐς τὰν πόλιν. τὰ μὲν ὧν συστάματα τᾶς πολιτικᾶς κοινωνίας διὰ τοσούτων καὶ τοιῶνδε μερέων συντέτακται· ἔπειτα δὲ καὶ περὶ ἁρμογᾶς καὶ ἑνώσιος αὐτῶν ῥητέον. Ἐπεὶ δὲ πᾶσα πολιτικὰ κοινωνία λύρας παντελήᾳ ποτέοικεν, 〈ποθεκτέον〉 τῷ ἐξαρτύσιός τε δέεσθαι καὶ συναρμογᾶς καὶ τὸ τελευταῖον ἐπαφᾶς τινος καὶ προσχράσιος μωσικᾶς. συναρμογᾶς καὶ ἑνώσιος αὐτῶν πειρασοῦμαι νῦν λέγειν. φαμὶ δὲ ἔγωγε τρισὶ τούτοις συναρμόζεσθαι τὰν πολιτικὰν κοινωνίαν· λόγοις ἐπιταδεύμασιν ἐθῶν νόμοις, καὶ διὰ τριῶν τούτων παιδεύεσθαι τὸν ἄνθρωπον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σπουδαιότερον γίνεσθαι. τοὶ μὲν γὰρ λόγοι διδάσκοντι καὶ ἐπιθυμίας ἐμποιεῦντι προτρεπόμενοι πρὸς ἀρετάν· τοὶ δὲ νόμοι τὰ μὲν φόβοις κατέχοντες ἀπερύκοντι, τὰ δὲ τιμαῖς τε καὶ δωρεαῖς δελεάζοντες ἐκκαλέονται· τὰ δὲ ἔθεα καὶ ἐπιταδεύματα πλάσσει καὶ κηροχυτεῖ τὰν ψυχάν, φυσίωσιν ἐμποιεῦντα διὰ τᾶς συνεχέος ἐνεργᾴας. δεῖ δὲ τὰ τρία ταῦτα συντετάχθαι ποτί τε τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὸ δίκαιον, καὶ ἐν ἑκάστῳ αὐτῶν εἰ μὲν δυνατὸν στοχάζεσθαι πάντων, εἰ δὲ μή γε, δυῶν 〈ἢ〉 ἑνός· ὥστ' εἶμεν καὶ τὸν λόγον καλὸν καὶ δίκαιον καὶ συμφέροντα καὶ τὸ ἔθος καὶ τὸν νόμον· προτιμᾶσθαι δὲ πρᾶτον τὸ καλόν, δεύτερον δὲ τὸ δίκαιον, τρίτον δὲ τὸ συμφέρον. τὸ καθόλω δὲ πειρᾶσθαι διὰ τούτων ὡς ὅ τι μάλιστα ποιὲν τὰν πόλιν, ὅπως ὁμόλογος ᾖ καὶ σύμφωνος τοῖς αὐτᾶς μέρεσιν, ἀλλὰ μὴ στασιάζουσα καὶ διαμαχομένα. ἐσσεῖται δὲ τοῦτο, αἴκα τὰ πάθεα τᾶς ψυχᾶς παιδεύηται τῶν νέων καὶ ἐς τὸ μέτριον ἀγινῆται τοῖς ἀδέσι τε καὶ λυπαροῖς, καὶ αἴκα περὶ τὰς οὐσίας μέτρια καὶ ἀπὸ γεωπονίας ἔχοντα τὰν πρόσοδον· καὶ αἴκα τὰς ἀρχὰς ἄρχωντι τὰς μὲν ἀρετᾶς δεομένας τοὶ ἀγαθοί, τὰς δ' ἐμπειρίας τινὸς τοὶ ἔμπειροι, τὰς δὲ παροχᾶς τινος καὶ δαπάνας τοὶ εὔποροι, καὶ τούτοις πᾶσι κατὰ τρόπον ἄρξασι τὰς καταξίας [ἀρχὰς] διανέμωντι τιμάς. ἐπεὶ δὲ τᾶς ἀρετᾶς αἰτίαι τυγχάνοντι τρεῖς, φόβος ἐπιθυμία αἰδώς, δυνασεῖται τὸν μὲν φόβον ὁ νόμος ἐμπαρασκευάζεν, τὰν δὲ αἰδῶ τὰ ἔθεα (τοὶ γὰρ ἐθισθέντες καλῶς αἰδέονται τὰ αἰσχρὰ πράσσεν) ὁ δὲ λόγος τὰν ἐπιθυμίαν, ἀγωγὸν γὰρ τᾶς αἰτίας ἀπόδοσις ἅμα καὶ ἐφελκυστικὸν τᾶς ψυχᾶς, ἄλλως τε δὴ καὶ γινόμενον μετὰ προτροπᾶς. διὸ καὶ φρατρίας καὶ συσσίτια καὶ συσκανίας καὶ συναεγκατασκευάζεν δεῖ ταῖς τῶν νέων ψυχαῖς, συναρμόζεν δὲ καὶ τὸ τῶν πρεσβυτέρων γένος αὐτοῖς, ἐπειδήπερ τοὶ μὲν νέοι δέονται σωφρονισμῶ καὶ καταρτύσιος, τοὶ δὲ πρεσβύτεροι φιλοφροσύνας καὶ διαγωγᾶς ἀλύπω. Ἐν ταὐτῷ. Ἐπεὶ ὦν διὰ τριῶν ἐλέγομες σπουδαῖον ἀποτελέεσθαι τὸν ἄνθρωπον, διά τε τῶν ἐθέων καὶ τῶν νόμων καὶ τῶ λόγω, σκοπιάζεσθαι δεῖ πῶς τε διαφθείρεσθαι πέφυκε τὰ ἔθεα καὶ πῶς διαμένεν. εὑρήσομες δὴ τὰ ἔθεα φθειρόμενα κατὰ δύο τρόπως, ἢ γὰρ δι' αὐτὼς ἢ διὰ τὼς ἐκτός. καὶ διὰ μὲν αὐτώς, ἤτοι διὰ τὸ φεύγεν τὰς λύπας ἢ διὰ τὸ αἱρέεσθαι τὰς ἀδονάς· διὰ μὲν γὰρ τὸ φεύγεν τὰς λύπας τὼς πόνως οὐχ ὑπομένοντι, διὰ δὲ τὸ διώκεν τὰς ἀδονὰς τὰ ἀγαθὰ [τοῖς] ἀποβάλλοντι. ἐργατεύοντι δὲ τοὶ μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις, ταὶ δὲ ἀδοναὶ τὰ κακά· ἀκρατέες ὦν καὶ μαλακοὶ γινόμενοι θηλύτεροι γίνονται ταῖς ψυχαῖς καὶ ποτὶ τὰς ἀναλώσιας πολυὄχλος γένηται εὐαμερίαις ἐμπορικαῖς χαίρων, ἢ καὶ τοὶ ἀστυγείτονες φιλάδονοι καὶ τρύφακες ἐόντες μεταδιδῶντι τοῖς πλατιάζουσι τῶν παρ' αὐτοῖς ἐθέων. διὸ δεῖ τὼς νομοθέτας καὶ τὼς ἀγελάρχας ἐπιμελῶς παρατηρέν, εἰ ἐπιμελῶς συνασκεῖται τὰ ἔθεα καὶ ὁμαλῶς πορεύεται διὰ πάντων· ἔτι δ' εἰ τὸ γνάσιον καὶ τὸ αὐθιγενὲς πλᾶθος τᾶς πολιτείας διαμένει ἀκέραιον καὶ ἀπαράμικτον ὑπάρχον ἀπὸ τῶ ἄλλω γένεος· καὶ εἰ τὰ μεγέθεα τῶν βίων ἐν τοῖς αὐτοῖς διαμένει καὶ οὐ παρὰ πολὺ …· ἅμα γὰρ τῷ τὰ περισσὰ κτᾶσθαι καὶ τὰ περισσὰ μαστεύοντι. Καὶ τὰ μὲν ἔθεα οὕτως ἀσφαλίζεσθαι χρή· τὼς δὲ λόγως, τὸ τῶν σοφιστᾶν γένος ἐπικρίνοντας καὶ δοκιμάζοντας εἰ ποτὶ τὼς νόμως καὶ τὰ πολιτικὰ δόγματα καὶ τὰς ἰδίας οἰκονομίας τῶν βίων ὠφέλιμα λέγοντι· οὐ γὰρ τὰν τυχοῦσαν ἀλλὰ τὰν μεγίσταν κακοδαιμοσύναν ἐντίκτοντι τοὶ τῶν σοφιστᾶν λόγοι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, αἴκα τι τολμῶντι κινῆν παρὰ τὰς κοινὰς ἐννοίας ἢ τοιοῦτοι δὲ λόγοι τυγχάνοντι τοὶ φάντες, ἤτοι μὴ εἶμεν τὸ θεῖον ἢ καὶ ἐὸν μὴ ἔχεν οὕτως ποτὶ τὸ τῶν ἀνθρώπων γένος ὥστ' ἐπιβλέπεν αὐτὸ καὶ φροντίζεν, ἀλλ' ἐᾶν καὶ κατολιγωρέν. καὶ γὰρ ἁ τοιαύτα παραδοχὰ τοῖς ἀνθρώποις ἀφροσύναν καὶ ἀδικίαν ἐντίκτει 〈ὅσσαν〉 οὐδ' εἰπὲν δηλομένοις εὐμαρές ἐστι. πᾶς γὰρ ἄνθρωπος ἀναρχίας πλαρωθεὶς καὶ τὸν ὕποπτον ἀπωσάμενος φόβον σκιρτᾷ τε καὶ παρανομεῖ παντοδαπὸς γινόμενος. χρέεσθαι δὲ 〈δεῖ〉 τῷ λόγῳ πολιτικῷ καὶ σεμνῷ καὶ οἰκῄῳ τᾶς διαθέσιος τῶ λέγοντος, ἀλλὰ μὴ προσποιητῷ· οὕτω γὰρ ἁ λέξις ἐσσεῖται τὸ τῶ λέγοντος ἦθος ἐμφαίνουσα. Ἐκ δὲ τῶν νόμων δεῖ τὰν ἀσφάληαν

οὕτως ἐπιφέρεν, αἴκα σύνθετος ἁ πολιτεία ᾖ καὶ συντεταγμένα ἐκ πασᾶν τᾶν ἀλλᾶν, λέγω δὲ οὐ τᾶν παρὰ φύσιν, ἀλλὰ τᾶν κατὰ φύσιν. τυραννίδος γὰρ οὐδεμία χρῄα ταῖς πόλισιν, εἰ μή ποκα τᾶς ὀλιγαρχίας ἐπὶ βραχύ. δεῖ τοίνυν βασιλῄαν πρᾶτον ἐντετάχθαι, καὶ δεύτερον ἀριστοκρατίαν. βασιλῄα μὲν γὰρ θεομίματον πρᾶγμα καὶ δυσφύλακτον ὑπὸ ἀνθρωπίνας ψυχᾶς, ταχέως γὰρ ὑπὸ τρυφᾶς καὶ ὕβριος ἀλλάσσεται· διόπερ οὐ δεῖ κατὰ πᾶν αὐτᾷ χρέεσθαι, μέχρι δὲ τῶ δυνατῶ καὶ ποτὶ τὰν πολιτείαν χρησίμω· τὰν δ' ἀριστοκρατίαν ἐπιπλέον ἐμπλέκεν, τῷ πλῄονας εἶμεν τὼς ἄρχοντας καὶ φιλοζάλως διατίθεσθαι ποτ' αὐτὼς καὶ πολλάκις ἀντιμεταλαμβάνεσθαι τὰς ἀρχάς. δαμοκρατίαν 〈δ'〉 ἀναγκαῖον μὲν εἶμεν πάντως· δεῖ γὰρ τὸν πολίταν μέρος ὑπάρχοντα τᾶς συμπάσας πολιτείας φέρεσθαί τι ἀπ' αὐτᾶς γέρας· ἐπέχεσθαι δ' ἱκανῶς αὐτὰν δεῖ, θρασὺ γὰρ καὶ προπετὲς τὸ πολὺ πλᾶθος. Διωτογένους Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότητος. Τὼς δὲ νόμως οὐκ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν δεῖ, ἀλλ' ἐν τοῖς ἠθέεσσι τῶν πολιτευομένων. τίς ὦν ἀρχὰ πολιτείας ἁπάσας; νέων τροφά. οὐ γὰρ μήσχῆμα λαμβάνει. τοῖς 〈δ'〉 ἀνθρώποις περὶ μὲν ἀμπέλων πῶς χρὴ τμηθῆμέν τε καὶ ἐποφθῆμεν πεφρονημένως ἔχει, τὰ δ' ἐπὶ τῶν ἀνθρώπων ἀμελέως τε καὶ εἰκαίως· καί τοι οὐχ ἁ ἄμπελος οὐδ' ὁ οἶνος τᾶς πολιτείας ἀγεμών, ἀλλ' ὁ ἄνθρωπος καὶ ἁ ψυχὰ τῶ ἀνθρώπω. καὶ τῷ μὲν φυτῷ πλῄονος εἰώθαμες ἄξιον παρακαθιστάμεν καὶ τὸν ἐπιμελησόμενον οὐ μῆον ἢ δύο μνᾶν ἄξιον, τοῖς δὲ νέοις Ἰλλυριὸν ἢ Θρᾷκα οὐδενὸς ἄξιον. οἱ δ' ἐξ ἀρχᾶς νομοθέται τὸ μέσον τῶν ἀνθρώπων στάσιμον οὔ κα ἐδύναντο ποιῆσαι, κινάσι δὲ μονᾶς καὶ τάξιος κεκοινωνηκυῖαν παρακατέζευξαν ὄρχησιν καὶ ῥυθμόν, ἔτι δὲ παινον τὸ ἦθος δύναιτο καὶ κατακοσμεῖσθαι. Πλάτωνος Πολιτείας δ′ (p. 425 A). Ὅταν δὴ ἄρα καλῶς ἀρξάμενοι παῖδες παίζειν εὐνομίαν διὰ τῆς μουσικῆς εἰσδέξωνται, πάλιν τοὐναντίον ἢ ’κείνοις εἰς πάντα συνέπεταί τε καὶ αὔξει, ἐπανορθοῦσα εἴ τι καὶ πρότερον τῆς πόλεως ἔκειτο. Ἀληθῆ μέντοι, ἔφη. Καὶ τὰ σμικρὰ ἄρα, εἶπον, δοκοῦντα εἶναι νόμιμα ἐξευρίσκουσιν οὗτοι, ἃ οἱ πρότερον ἀπώλλυσαν ἅπαντα. Ποῖα; Τὰ τοιάδε· σιγάς τε τῶν νεωτέρων παρὰ πρεσβυτέροις ἃς πρέπει, καὶ κατακλίσεις καὶ ὑπαναστάσεις καὶ γονέων θεραπείας, καὶ κουράς τε καὶ ἀμπεχόνας καὶ ὑποδέσεις καὶ ὅλον τὸν τοῦ σώματος σχηματισμὸν καὶ τἆλλα ὅσα τοιαῦτα. ἢ οὐκ οἴει; Ἔγωγε. Νομοθετεῖν δ' αὐτὰ οἶμαι εὔηθες· οὔτε γάρ που γίγνεται οὔτ' ἂν μείνειεν λόγῳ τε καὶ γράμμασιν νομοθετηθέντα. Πῶς γάρ; Κινδυνεύει γοῦν, ἦν δ' ἐγώ, ὦ Ἀδείμαντε, ἐκ τῆς παιδείας ὅποι ἄν τις ὁρμήσῃ, τοιαῦτα καὶ τὰ ἑπόμενα εἶναι. ἢ οὐκ ἀεὶ τὸ ὅμοιον 〈ὂν〉 ὅμοιον παρακαλεῖ; Τί μήν; Καὶ τελευτῶν δὴ οἶμαι φαῖμεν ἂν εἰς ἕν τι τέλεον καὶ νεα- Ἐν ταὐτῷ (p. 429 C—430 B). Σωτηρίαν ἔγωγε, εἶπον, λέγω τινὰ εἶναι τὴν ἀνδρείαν. Ποίαν δὴ σωτηρίαν; Τὴν τῆς δόξης τῆς ὑπὸ νόμου διὰ τῆς παιδείας γεγονυῖαν περὶ τῶν δεινῶν, ἅ τέ ἐστι καὶ οἷα· διὰ παντὸς δὲ ἔλεγον αὐτὴν σωτηρίαν τὸ ἔν τε λύπαις ὄντα διασῴζεσθαι αὐτὴν καὶ ἐν ἡδοναῖς καὶ ἐν ἐπιθυμίαις καὶ ἐν φόβοις καὶ μὴ ἐκβάλλειν. ᾧ δέ μοι δοκεῖ ὅμοιον εἶναι ἐθέλω ἀπεικάσαι, εἰ βούλει. Ἀλλὰ βούλομαι. Οὐκοῦν οἶσθα, ἦν δ' ἐγώ, ὅτι οἱ βαφεῖς, ἐπειδὰν βουληθῶσι βάψαι ἔρια ὥστ' εἶναι ἁλουργά, πρῶτον μὲν ἐκλέγονται ἐκ τοσούτων χρωμάτων μίαν φύσιν 〈τὴν〉 τῶν λευκῶν, ἔπειτα προπαρασκευάζουσιν οὐκ ὀλίγῃ παρασκευῇ θεραπεύσαντες, ὅπως δέξεται ὅ τι μάλιστα τὸ ἄνθος, καὶ οὕτω δὴ βάπτουσιν. καὶ ὃ μὲν ἂν τούτῳ τῷ τρόπῳ 〈βαφῇ〉, δευσοποιὸν γίγνεται τὸ βαφέν, καὶ ἡ πλύσις οὔτ' ἄν 〈ευ ῥυμμάτων οὔτε〉 μετὰ ῥυμμάτων δύναται αὐτῶν τὸ ἄνθος ἀφαιρεῖσθαι· ἃ δ' ἂν μή, οἶσθα οἷα δὴ γίγνεται, ἐάν τέ τις ἄλλα χρώματα βάπτῃ ἐάν τε καὶ ταῦτα μὴ προθεραπεύσας. Οἶδα, ἔφη, ὅτι καὶ ἔκπλυτα καὶ γελοῖα. Τοιοῦτον τοίνυν, ἦν δ' ἐγώ, φρονῶ κατὰ δύναμιν ἐργάζεσθαι καὶ ἡμᾶς, ὅτε ἐξελεγόμεθα τοὺς στρασοποιὸς αὐτῶν ἡ δόξα γίγνοιτο καὶ περὶ δεινῶν καὶ περὶ τῶν ἄλλων διὰ τὸ τήν τε φύσιν καὶ τὴν τροφὴν ἐπιτηδείαν ἐσχηκέναι, καὶ μὴ αὐτῶν ἐκπλύναι τὴν βαφὴν τὰ ῥύμματα ταῦτα, δεινὰ ὄντα ἐκκλύζειν, ἥ τε ἡδονή, παντὸς χαλαστραίου δεινοτέρα οὖσα τοῦτο δρᾶν καὶ κονίας, λύπη τε καὶ φόβος καὶ ἐπιθυμία, παντὸς ἄλλου ῥύμματος. τὴν δὴ

τοιαύτην δύναμιν καὶ σωτηρίαν διὰ παντὸς δόξης ὀρθῆς τε καὶ νομίμου δεινῶν τε πέρι καὶ μὴ ἀνδρείαν ἔγωγε καλῶ καὶ τίθεμαι, εἰ μή τι σὺ ἄλλο λέγεις. Ἀλλ' οὐδέν, ἦ δ' ὅς, λέγω· δοκεῖς γάρ μοι τὴν ὀρθὴν δόξαν περὶ τῶν αὐτῶν τούτων ἄνευ παιδείας γεγονυῖαν, τήν τε θηριώδη καὶ ἀνδραποδώδη, οὔτε πάνυ νόμιμον ἡγεῖσθαι, ἄλλο τέ τι ἢ ἀνδρείαν καλεῖν. Ἐν ταὐτῷ (p. 430 E—432 B). Κόσμος πού τις, ἦν δ' ἐγώ, ἡ σωφροσύνη ἐστὶν καὶ ἡδονῶν τινων καὶ ἐπιθυμιῶν ἐγκράτεια, ὥς φασι κρείττω δὴ αὐτοῦ λέγοντες οὐκ οἶδα ὅντινα τρόπον, καὶ ἄλλα τινὰ τοιαῦτα ὥσπερ ἴχνη αὐτῆς λέγεται. ἦ γάρ; Πάντων μάλιστα, ἔφη. Οὐκοῦν τὸ μὲν κρείττω αὑτοῦ γελοῖον; ὁ λεσθαι λέγειν οὗτος ὁ λόγος ὥς τι ἐν αὐτῷ τῷ ἀνθρώπῳ περὶ τὴν ψυχὴν τὸ μὲν βέλτιον ἔνι, τὸ δὲ χεῖρον· καὶ ὅταν μὲν τὸ βέλτιον φύσει τοῦ χείρονος ἐγκρατέστερον ᾖ, τοῦτο λέγειν τὸ κρείττω αὐτοῦ· ἐπαινεῖ γοῦν· ὅταν δὲ ὑπὸ τροφῆς κακῆς ἤ τινος ὁμιλίας κρατηθῇ ὑπὸ πλήθους τοῦ χείρονος σμικρότερον τὸ βέλτιον ὄν, τοῦτο δὲ ὡς ἐν ὀνείδει ψέγειν τε καὶ καλεῖν ἥττω ἑαυτοῦ καὶ ἀκόλαστον τὸν οὕτω διακείμενον. Καὶ γὰρ ἔοικεν, ἔφη. Ἀπόβλεπε τοίνυν, ἦν δ' ἐγώ, πρὸς τὴν νέαν ἡμῖν πόλιν, καὶ εὑρήσεις ἐν αὐτῇ τὸ ἕτερον τούτων ἐνόν· κρείττω γὰρ αὐτὴν αὐτῆς δικαίως φήσεις προσαγορεύειν, εἴπερ οὖν τὸ ἄμεινον τοῦ χείρονος ἄρχει, σῶφρον κλητέον καὶ κρεῖττον αὐτοῦ. Ἀλλ' ἀποβλέπω, ἔφη, καὶ ἀληθῆ λέγεις. Καὶ μὴν καὶ τάς τε πολλὰς καὶ παντοδαπὰς ἐπιθυμίας καὶ ἡδονάς τε καὶ λύπας ἐν πᾶσι μάλιστ' ἄν τις εὕροι καὶ γυναιξὶ καὶ οἰκέταις καὶ τῶν ἐλευθέρων λεγομένων ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις. Πάνυ μὲν οὖν. Τὰς δέ γε ἁπλᾶς τε καὶ μετρίας, αἳ δὴ μετὰ νοῦ τε καὶ δόξης ὀρθῆς λογισμῷ ἄγονται, ἐν ὀλίγοις τε ἐπιτεύξῃ καὶ τοῖς βέλτιστα μὲν τραφεῖσιν βέλτιστα δὲ παιδευθεῖσιν; Ἀληθῆ, ἔφη. Οὐκοῦν καὶ ταῦτα ὁρᾷς ἐνόντα σοι ἐν τῇ πόλει καὶ κρατουμένας αὐτόθι τὰς ἐπιθυμίας τὰς ἐν τοῖς ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ αὐτὴν 〈αὐτῆς, καὶ ταύτην〉 προσρητέον. Παντάπασι μὲν οὖν, ἔφη. Ἆρ' οὖν οὐ καὶ σώφρονα κατὰ πάντα ταῦτα; Καὶ μάλα, ἔφη. Καὶ μὴν αὖ εἴπερ ἐν ἄλλῃ πόλει ἡ αὐτὴ δόξα ἔνεστι τοῖς τε ἄρχουσι καὶ ἀρχομένοις περὶ τοῦ οὕς τινας δεῖ ἄρχειν, καὶ ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν. ἢ οὐ δοκεῖ; Καὶ μάλα, ἔφη, σφόδρα. Ἐν ποτέροις οὖν φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι, ὅταν οὕτως ἔχωσιν; ἐν τοῖς ἄρχουσιν ἢ ἐν τοῖς ἀρχομένοις; Ἐν ἀμφοτέροις που, ἔφη. Ὁρᾷς οὖν, ἦν δ' ἐγώ, ὅτι ἐπιεικῶς ἐμαντευόμεθα ἀρτίως ὡς ἁρμονίᾳ τινὶ 〈ἡ〉 σωφροσύνη ὡμοίωται; Τί δή; Ὅτι οὐχ ὥσπερ ἡ ἀνδρεία καὶ ἡ σοφία ἐν μέρει τινὶ ἑκατέρα ἐνοῦσα ἡ μὲν σοφήν, ἡ δὲ ἀνδρείαν τὴν πόλιν παρείχετο, οὐχ οὕτω ποιεῖ αὕτη, ἀλλὰ δι' ὅλης ἀτεχνῶς τέταται διὰ πασῶν παρεχομένη ξυνᾴδοντας τούς τε ἀσθενεστάτους ταὐτὸν καὶ τοὺς ἰσχυροτάτους καὶ τοὺς μέσους, εἰ μὲν βούλει, φρονήσει, εἰ δὲ βούλει, ἰσχύι, εἰ δέ, καὶ πλήθει ἢ χρήμασιν ἢ ἄλλῳ ὁτῳοῦν τῶν τοιούτων· ὥστε ὀρθότατα ἂν φαῖμεν ταύτην τὴν ὁμόνοιαν σωφροσύνην εἶναι, ρον δεῖ ἄρχειν καὶ ἐν πόλει καὶ ἐν ἑνὶ ἑκάστῳ. Πάνυ μοι, ἔφη. ξυνδοκεῖ. Ἐν ταὐτῷ (p. 433 A—434 A). Ἀλλ', ἦν δ' ἐγώ, ἄκουε εἴ τι ἄρα λέγω. ὃ γὰρ ἐξ ἀρχῆς ἐθέμεθα 〈δεῖν〉 ποιεῖν διὰ παντός, ὅτε τὴν πόλιν κατῳκίζομεν, τοῦτό ἐστιν, ὡς ἐμοὶ δοκεῖ, ἤτοι τούτου εἶδος 〈ἡ〉 δικαιοσύνη. ἐθέμεθα δὲ δήπου καὶ πολλάκις ἐλέγομεν, εἰ μέμνησαι, ὅτι ἕνα ἕκαστον ἓν δέοι ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα εἴη. Ἐλέγομεν γάρ. Καὶ μὴν ὅτι γε 〈τὸ〉 τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν δικαιοσύνη ἐστί, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν καὶ αὐτοὶ πολλάκις 〈εἰρήκαμεν〉. Εἰρήκαμεν γάρ. Τοῦτο τοίνυν, ἦν δ' ἐγώ, ὦ φίλε, κινδυνεύει τρόπον τινὰ γιγνόμενον 〈ἡ〉 δικαιοσύνη εἶναι, τὸ τὰ αὑτοῦ πράττειν· οἶσθα ὅθεν τεκμαίρομαι; Οὔκ, ἀλλὰ λέγε, ἔφη. Δοκεῖ μοι, ἦν δ' ἐγώ, τὸ ὑπόλοιπον ἐν τῇ πόλει ὧν ἐσκέμμεθα, σωφροσύνης καὶ ἀνδρείας καὶ φρονήσεως, τοῦτο εἶναι τὸ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέχον, ὥστε ἐγγενέσθαι, καὶ ἐγγενομένοις σωτηρίαν παρέχειν, ἕως περ ἂν 〈ἐν〉 ᾖ. καίτοι ἔφαμεν δικαιοσύνην ἔσεσθαι τὸ ὑπολειφθὲν ἐκείνων, εἰ τὰ τρία εὕροιμεν. Καὶ γὰρ ἀνάγκη, ἔφη. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, εἰ δέοι κρῖναι, [τινα] τὴν πόλιν ἡμῖν δόξης ἐννόμου σωτηρία ἐν τοῖς στρατιώταις ἐγγενομένη, ἢ ἡ ἐν

τοῖς ἄρχουσι φρόνησίς τε καὶ φυλακὴ ἐνοῦσα, ἢ τοῦτο μάλιστα ἀγαθὴν αὐτὴν ποιεῖ ἐνὸν καὶ ἐν παιδὶ καὶ ἐν γυναικὶ καὶ δούλῳ καὶ ἐλευθέρῳ καὶ δημιουργῷ καὶ ἄρχοντι καὶ ἀρχομένῳ, ὅτι τὸ αὑτοῦ ἕκαστος εἷς ὢν ἓν ἔπραττεν καὶ οὐκ ἐπολυπραγμόνει. Δύσκριτον, ἔφη· πῶς δ' οὔ; Ἐνάμιλλον ἄρα, ὡς ἔοικε, [τι] πρὸς ἀρετὴν πόλεως τῇ τε σοφίᾳ αὐτῆς καὶ τῇ σωφροσύνῃ καὶ τῇ ἀνδρείᾳ ἡ τοῦ ἕκαστον ἐν αὐτῇ τὰ αὑτοῦ πράττειν δύναμις. Καὶ μάλα, ἔφη. Οὐκοῦν δικαιοσύνην τό γε τούτοις ἐνάμιλλον ἂν εἰς ἀρετὴν πόλεως θείης; Παντάπασι μὲν οὖν. Σκόπει δὴ καὶ τῇδε, εἰ οὕτω δόξει· ἆρα τοῖς ἄρχουσιν ἐν τῇ πόλει τὰς δίκας προστάξεις δικάζειν; Τί μήν; Ἢ ἄλλου τινὸς οὖν μᾶλλον ἐφιέμενοι δικάσουσιν ἢ τούτου, ὅπως ἂν ἕκαστοι μήτ' ἔχωσι τἀλλότρια μήτε τῶν αὑτῶν στέρωνται; Οὔκ, ἀλλὰ τούτου. Ὡς δικαίου ὄντος; Ναί. Καὶ ταύτῃ ἄρα πῃ ἡ τοῦ οἰκείου τε καὶ ἑαυτοῦ ἕξις τε καὶ πρᾶξις δικαιοσύνη ἂν ὁμολογοῖτο. Ἔστι ταῦτα. Ἐν ταὐτῷ (p. 445 C—E). Δεῦρο νῦν, ἦν δ' ἐγώ, ἵνα καὶ εἰδῇς, ὅσα εἴδη ἔχει σκοπιᾶς μοι φαίνεται, ἐπειδὴ ἐνταῦθα ἀναβεβήκαμεν τοῦ λόγου, ἓν μὲν εἶναι εἶδος τῆς ἀρετῆς, ἄπειρα δὲ τῆς κακίας, τέτταρα δὲ ἐν αὐτῇ ὄντα, ὧν καὶ ἄξιον ἐπιμνησθῆναι. Πῶς λέγεις; ἔφη. Ὅσοι, ἦν δ' ἐγώ, πολιτειῶν τρόποι εἰσὶν 〈εἴδη ἔχοντες, τοσοῦτοι κινδυνεύουσι καὶ ψυχῆς τρόποι εἶναι〉. Πόσοι δή; Πέντε μέν, ἦν δ' ἐγώ, πολιτειῶν, πέντε δὲ ψυχῆς. Λέγ', ἔφη, τίνες. Λέγω, εἶπον, ὅτι εἷς μὲν οὗτος ὃν ἡμεῖς διεληλύθαμεν πολιτείας εἴη ἂν τρόπος, ἐπονομασθείη δ' ἂν καὶ διχῇ· ἐγγενομένου γὰρ ἀνδρὸς ἑνὸς ἐν τοῖς ἄρχουσι διαφέροντος βασιλεία ἂν κληθείη, πλειόνων δὲ ἀριστοκρατία. Ἀληθῆ, ἔφη. Τοῦτο μὲν τοίνυν, ἦν δ' ἐγώ, ἓν εἶδος λέγω· οὔτε γὰρ ἂν πλείους οὔτε εἷς ἐγγενόμενος κινήσειεν ἄν τινα τῶν ἀξίων λόγου νόμων τῆς πόλεως, τροφῇ τε καὶ παιδείᾳ χρησάμενος ᾗ διεληλύθαμεν. Πλάτωνος Πολιτείας ε′ (p. 457 A—B). Ἀποδυτέον δὴ ταῖς τῶν φυλάκων γυναιξίν, ἐπείπερ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται, καὶ κοινωνητέον πολέμου τε καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν, καὶ οὐκ ἄλλο πρακτέον· τούτων δὲ αὐτῶν τὰ ἐλαφρότερα ταῖς γυναιξὶν ἢ τοῖς ἀνδράσιν ἀποδοτέον διὰ τὴν τοῦ γένους ἀσθένειαν. ὁ δὲ γελῶν ἀνὴρ ἐπὶ γυμναῖς γυναιξί, τοῦ βελτίστου ἕνεκα γυμναζομέναις, ἀτελῆ τοῦ γελοίου σοφίας δρέπων καρπόν, οὐδὲν οἶδεν, ὡς ἔοικεν, ἐφ' ᾧ γελᾷ, οὐδὲ τί πράττει· κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. Ἐν ταὐτῷ (p. 457 C—D). Τούτῳ, ἦν δ' ἐγώ, ἕπεται νόμος καὶ τοῖς ἔμπροσθεν τοῖς ἄλλοις, ὡς ἐγῷμαι, ὅδε. Τίς; Τὰς γυναῖκας ταύτας τῶν ἀνδρῶν τούτων 〈πάντων〉 πάσας εἶναι κοινάς, ἰδίᾳ δὲ μηδενὶ μηδεμίαν συνοικεῖν, καὶ τοὺς παῖδας αὖ κοινούς, καὶ μήτε γονέα εἰδέναι ἕκγονον τὸν αὑτοῦ μήτε παῖδα γονέα. Πολύ, ἔφη, τοῦτο ἐκείνου μεῖζον πρὸς ἀπιστίαν καὶ τοῦ δυνατοῦ πέρι καὶ ὠφελίμου· Οὐκ οἶμαι, ἦν δ' ἐγώ, περί γε τοῦ ὠφελίμου ἀμφισβητεῖσθαι ἄν, ὡς οὐ μέγιστον ἀγαθὸν κοινὰς μὲν τὰς γυναῖκας εἶναι, κοινοὺς δὲ τοὺς παῖδας. Ἐν ταὐτῷ (p. 461 E—465 E). Ἡ μὲν δὴ κοινωνία, ὦ Γλαύκων, αὕτη τε καὶ τοιαύτη γυναικῶν τε καὶ παίδων τοῖς φύλαξί σοι τῆς πόλεως· ὧδε ἑπομένη τε τῇ ἄλλῃ πολιτείᾳ καὶ μακρῷ βελτίστη, δεῖ δὴ τὸ μετὰ τοῦτο βεβαιώσασθαι παρὰ τοῦ λόγου· ἢ πῶς ποιῶμεν; Οὕτω νὴ Δία, ᾗ δ' ὅς. Ἆρ' οὖν οὐχ ἥδε ἀρχὴ τῆς ὁμολογίας, ἐρέσθαι ἡμᾶς τί ποτε τὸ μέγιστον ἀγαθὸν ἔχομεν εἰπεῖν εἰς πόλεως κατασκευήν, οὗ δεῖ στοχαζόμενον τὸν νομοθέτην τιθέναι τοὺς νόμους, καὶ τί μέγιστον κακόν, εἶτα ἐπισκέψασθαι, ἆρα ἃ νῦν διήλθομεν εἰς μὲν τὸ τοῦ ἀγαθοῦ ἴχνος ἡμῖν ἁρμόττει, τῷ δὲ τοῦ κακοῦ ἀναρμοστεῖ; Πάντων μάλιστα, ἔφη. Ἔχομεν οὖν τι μεῖζον κακὸν πόλει ἢ ἐκεῖνο ὃ ἂν αὐτὴν διασπᾷ καὶ ποιῇ πολλὰς ἀντὶ μιᾶς; ἢ μεῖζον ἀγαθὸν τοῦ ὃ δὴ ξυνδεῖ τε καὶ ποιεῖ μίαν; Οὐκ ἔχομεν. Οὐκοῦν ἡ μὲν ἡδονῆς τε καὶ λύπης κοινωνία ξυνδεῖ, ὅταν ὅ τι μάλιστα πάντες οἱ πολῖται τῶν αὐτῶν γιγνομένων τε καὶ ἀπολλυμένων παραπλησίως χαίρωσι καὶ λυπῶνται; Παντάπασι μὲν οὖν, ἔφη. Ἡ δέ γε τῶν τοιούτων ἰδίωσις διαλύει, ὅταν οἱ μὲν περιαλγεῖς, οἱ δὲ περιχαρεῖς γίγνωνται ἐπὶ τοῖς αὐτοῖς παθήμασι τῆς πόλεώς τε καὶ τῶν ἐν τῇ πόλει; Τί δ' οὔ; Ἆρ' οὖν ἐκ τοῦδε τὸ τοιόνδε γίγνεται, ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό τε

ἐμὸν καὶ τὸ οὐκ ἐμόν; καὶ περὶ τοῦ ἀλλοτρίου κατὰ ταὐτά; Κομιδῇ μὲν οὖν. Ἐν ᾗ τινι δὴ πόλει πλεῖστοί σοι τὸ αὐτὸ κατὰ ταὐτὰ τοῦτο λέγουσι τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμόν, αὕτη ἄριστα διοικεῖται; Πολύ γε. Καὶ ἥ τις δὴ ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει; οἷον ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη εἰς μίαν σύνταξιν τὴν τοῦ ἄρχοντος ἐν αὐτῇ ᾗσθετό τε καὶ πᾶσα ἅμα συνήλγησε μέρους πονήσαντος ὅλη, καὶ οὕτω δὴ λέγομεν ὅτι ὁ ἄνθρωπος τὸν δάκτυλον ἀλγεῖ· καὶ περὶ ἄλλου ὁτουνοῦντος μέρους καὶ περὶ ἡδονῆς ῥαΐζοντος. Ὁ αὐτὸς γάρ, ἔφη· καὶ τοῦτο ὃ ἐρωτᾷς, τοῦ τοιούτου ἐγγύτατα ἡ ἄριστα πολιτευομένη πόλις οἰκεῖ. Ἑνὸς δή, οἶμαι, πάσχοντος τῶν πολιτῶν ὁτιοῦν ἢ ἀγαθὸν ἢ κακὸν ἡ τοιαύτη πόλις μάλιστά τε φήσει ἑαυτῆς εἶναι τὸ πάσχον καὶ ἢ ξυνησθήσεται ἅπασα ἢ ξυλλυπήσεται. Ἀνάγκη, ἔφη, τήν γε εὔνομον. Ὥρα ἂν εἴη, ἦν δ' ἐγώ, ἐπανιέναι ἡμῖν ἐπὶ τὴν ἡμετέραν πόλιν, καὶ τὰ τοῦ λόγου ὁμολογήματα σκοπεῖν ἐν αὐτῇ, εἰ αὐτὴ μάλιστα ἔχει εἴτε καὶ ἄλλη τις μᾶλλον. Οὐκοῦν χρή, ἔφη. Τί οὖν; ἔστι μέν που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν ταύτῃ; Ἔστι. Πολίτας μὲν δὴ πάντες οὗτοι ἀλλήλους προσεροῦσι; Πῶς δ' οὔ; Ἀλλὰ πρὸς τῷ πολίτας τί ὁ ἐν ταῖς ἄλλαις δῆμος τοὺς ἄρχοντας προσαγορεύει; Ἐν μὲν ταῖς πολλαῖς δεσπότας, ἐν δὲ ταῖς δημοκρατουμέναις αὐτὸ τοῦτο τοὔνομα, ἄρχοντας. Τί δ' ὁ ἐν τῇ ἡμετέρᾳ δῆμος; πρὸς τῷ πολίτας τί τοὺς ἄρχοντάς φησιν εἶναι; Σωτῆράς τε καὶ ἐπικούρους, ἔφη. Τί δ' οὗτοι τὸν δῆμον; Μισθοδότας τε καὶ τροφέας. Οἱ δὲ ἐν ταῖς ἄλλαις ἄρχοντες τοὺς δήμους; Δούλους, ἔφη. Τί δ' οἱ ἄρχοντες ἀλλήλους; Ξυνάρχοντας, ἔφη. Ἔχεις οὖν εἰπεῖν τῶν ἀρχόντων ἐν ταῖς ἄλλαις πόλεσιν, εἴ τίς τινα ἔχει προσειπεῖν τῶν ξυναρχόντων τὸν μὲν ὡς οἰκεῖον, τὸν δ' ὡς ἑαυτοῦ; Οὕτω. Τί δ' οἱ παρὰ σοὶ φύλακες; ἔσθ' ὅστις αὐτῶν ἔχοι ἂν τῶν ξυμφυλάκων νομίσαι τινὰ ἢ προσειπεῖν ὡς ἀλλότριον; Οὐδαμῶς, ἔφη. παντὶ γὰρ ᾧ ἂν ἐντυγχάνῃ, ἢ ὡς ἀδελφῷ ἢ ὡς ἀδελφῇ ἢ ὡς πατρὶ ἢ ὡς μητρὶ ἢ ὡς υἱεῖ ἢ θυγατρὶ ἢ τούτων ἐγγόνοις ἢ προγόνοις νομιεῖ ἐντυγχάνειν. Κάλλιστα, ἦν δ' ἐγώ, λέγεις· ἀλλ' ἔτι καὶ τόδε εἰπέ· πότερον αὐτοῖς τὰ ὀνόματα μόνον οἰκεῖα νομοθετήσεις, ἢ καὶ τὰς πράξεις πάσας κατὰ τὰ ὀνόματα πράττειν, περί τε τοὺς πατέρας, ὅσα νόμος περὶ πατέρας αἰδοῦς τε πέρι καὶ κηδεμονίας καὶ τοῦ ὑπήκοον δεῖν εἶναι τῶν γονέων, ἢ μήτε πρὸς θεῶν μήτε πρὸς ἀνθρώπων αὐτῷ ἄμεινον ἔσεσθαι, ὡς οὔτε δίκαια οὔτε ὅσια πράττοντος ἄν, εἰ ἄλλα πράττοι ἢ ταῦτα; αὗταί σοι ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα καὶ περὶ πατέρων, οὓς ἂν αὐτοῖς τις ἀποφήνῃ καὶ περὶ τῶν ἄλλων ξυγγενῶν; Αὗται, ἔφη· γελοῖον γὰρ ἂν εἴη, εἰ ἄνευ ἔργων ὀνόματα οἰκεῖα διὰ τῶν στομάτων μόνον φθέγγοιντο. Πασῶν ἄρα πόλεων μάλιστα ἐν αὐτῇ ξυμφωνήσουσιν ἑνός τινος ἢ εὖ ἢ κακῶς πράττοντος ὃ νῦν δὴ ἐλέγομεν τὸ ῥῆμα, 〈τὸ〉 ὅτι τὸ ἐμὸν εὖ πράττει ἢ ὅτι τὸ ἐμὸν καῦ δὴ ἐμὸν ὀνομάσουσι; τούτου δὲ κοινωνοῦντες οὕτω δὴ λύπης τε καὶ ἡδονῆς μάλιστα κοινωνίαν ἕξουσι; Πολύ γε. Ἆρ' οὖν τούτων αἰτία πρὸς τῇ ἄλλῃ καταστάσει ἡ τῶν γυναικῶν τε καὶ παίδων κοινωνία τοῖς φύλαξι; Πάνυ μὲν οὖν μάλιστα, ἔφη. Ἀλλὰ μὴν μέγιστόν γε πόλει αὐτὸ ὡμολογήσαμεν ἀγαθόν, ἀπεικάζοντες εὖ οἰκουμένην πόλιν σώματι πρὸς μέρος αὐτοῦ λύπης τε πέρι καὶ ἡδονῆς ὡς ἔχει. Καὶ ὀρθῶς γε, ἔφη, ὡμολογήσαμεν. Τοῦ μεγίστου ἄρα ἀγαθοῦ τῇ πόλει αἰτία ἡμῖν πέφανται ἡ κοινωνία τοῖς ἐπικούροις τῶν τε παίδων καὶ τῶν γυναικῶν. Καὶ μάλα, ἔφη. Καὶ μὲν δὴ καὶ τοῖς πρόσθεν γε ὡμολογοῦμεν· ἔφαμεν γάρ που οὔτε οἰκίας τούτοις ἰδίας δεῖν εἶναι οὔτε γῆν οὔτε κτῆμα, ἀλλὰ παρὰ τῶν ἄλλων τροφὴν λαμβάνοντας, μισθὸν τῆς φυλακῆς, κοινῇ πάντας ἀναλίσκειν, εἰ μέλλοιεν ὄντως φύλακες εἶναι. Ὀρθῶς, ἔφη. Ἆρ' οὖν οὐχ, ὅπερ λέγω, τά τε πρόσθεν εἰρημένα καὶ τὰ νῦν λεγόμενα ἔτι μᾶλλον ἀπεργάζεται αὐτοὺς ἀληθινοὺς φύλακας, καὶ ποιεῖ μὴ διασπᾶν τὴν χωρὶς τῶν ἄλλων κτήσασθαι, τὸν δὲ εἰς τὴν ἑαυτοῦ ἑτέραν οὖσαν, καὶ γυναῖκά τε καὶ παῖδας ἑτέρους, ἡδονάς τε καὶ ἀλγηδόνας ἐμποιοῦντας ἰδίων ὄντων ἰδίας, ἀλλ' ἑνὶ δόγματι, [οὐ] τοῦ οἰκείου πέρι ἐπὶ τὸ αὐτὸ τείνοντας πάντας εἰς τὸ δυνατὸν ὁμοιοπαθεῖς λύπης τε καὶ

ἡδονῆς εἶναι; Κομιδῇ μὲν οὖν, ἔφη. Τί δέ; δίκαι τε καὶ ἐγκλήματα πρὸς ἀλλήλους οὐκ οἰχήσεται ἐξ αὐτῶν ὡς ἔπος εἰπεῖν διὰ τὸ μηδὲν ἴδιον κεκτῆσθαι πλὴν τὸ σῶμα, τὰ δὲ ἄλλα κοινά; ὅθεν δὴ ὑπάρχει τούτοις ἀστασιάστοις εἶναι, ὅσα γε διὰ χρημάτων ἢ παίδων ἢ ξυγγενῶν κτῆσιν ἄνθρωποι στασιάζουσι. Πολλή, ἔφη, ἀνάγκη ἀπηλλάχθαι. Καὶ μὴν οὐδὲ βιαίων γε οὐδὲ αἰκίας δίκαι δικαίως ἂν εἶεν ἐν αὐτοῖς· ἥλιξι μὲν γὰρ ἥλικας ἀμύνεσθαι καλὸν καὶ δίκαιόν που φήσομεν, ἀνάγκην σωμάτων ἐπιμελείᾳ τιθέντες. Ὀρθῶς, ἔφη. Καὶ γὰρ καὶ τόδε ὀρθὸν ἔχει, ἦν δ' ἐγώ, οὗτος ὁ νόμος· εἴ πού τίς τῳ θυμοῖτο, ἐν τῷ τοιούτῳ πληρῶν τὸν θυμὸν ἧττον ἐπὶ μείζους ἂν ἴοι στάσεις. Πάνυ μὲν οὖν. Πρεσβυτέρῳ μὴν ἄρχοντες προστάττωσιν, οὔτε ἄλλο βιάζεσθαι ἐπιχειρήσει ποτὲ οὔτε τύπτειν, ὡς τὸ εἰκός. οἶμαι δὲ οὐδ' ἄλλως ἀτιμάσει· ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε, δέος τε καὶ αἰδώς· αἰδὼς μὲν ὡς γονέων μὴ ἅπτεσθαι εἴργουσα, δέος δὲ τὸ τῷ πάσχοντι τοὺς ἄλλους βοηθεῖν, τοὺς μὲν ὡς υἱεῖς, τοὺς δὲ ὡς ἀδελφούς, τοὺς δὲ ὡς πατέρας. Ξυμβαίνει γὰρ οὕτως, ἔφη. Πανταχῇ δὴ ἐκ τῶν νόμων εἰρήνην πρὸς ἀλλήλους οἱ ἄνδρες ἄξουσι. Πολλήν γε. Τούτων μὴν ἐν ἑαυτοῖς μὴ στασιαζόντων οὐδὲν δεινὸν μή ποτε ἡ ἄλλη πόλις πρὸς τούτους ἢ πρὸς ἀλλήλους διχοστατήσῃ. Οὐ γὰρ οὖν. Τά γε μὴν σμικρότατα τῶν κακῶν δι' ἀπρέπειαν ὀκνῶ καὶ λέγειν, ὧν ἀπηλλαγμένοι ἂν εἶεν, κολακείας τε πλουσίων πένητες ἀπορίας τε καὶ ἀλγηδόνας ὅσας ἐν παιδοτροφίᾳ καὶ χρηματισμοῖς διὰ τροφὴν οἰκετῶν ἀναγκαίαν ἴσχουσι, τὰ μὲν δανειζόμενοι, τὰ δ' ἐξαρνούμενοι, τὰ δὲ πάντως πορισάμενοι θέμενοι παρὰ γυναῖκάς τε καὶ οἰκέτας, ταμιεύειν παραδόντες, ὅσα τε, ὦ φίλε, περὶ αὐτὰ καὶ οἷα πάσχουσι, δῆλά τε καὶ ἀγεννῆ καὶ οὐκ ἄξια λέγειν. Δῆλα γάρ, ἔφη, καὶ τυφλῷ. Πάντων τε δὴ τούτων ἀπαλλάξονται, ζήσουσί τε τοῦ μακαριστοῦ βίου ὃν οἱ ὀλυμπιονῖκαι ζῶσι μακαριώτερον. Πῇ; Διὰ σμικρόν που μέρος εὐδαιμονίζονται ἐκεῖνοι ὧν τούτοις ὑπάρχει. ἥ τε γὰρ τῶνδε νίκη καλλίων. ἥ τ' ἐκ λοις πᾶσιν, ὅσων βίος δεῖται, αὐτοί τε καὶ παῖδες ἀναδοῦνται καὶ γέρα δέχονται παρὰ τῆς αὐτῶν πόλεως ζῶντές τε καὶ τελευτήσαντες ταφῆς ἀξίας μετέχουσι. Καὶ μάλα, ἔφη, καλά. Ἐν ταὐτῷ (p. 470 B). Φαίνεταί μοι, ὥσπερ καὶ ὀνομάζεται δύο ταῦτα τὰ ὀνόματα, πόλεμός τε καὶ στάσις, οὕτω καὶ εἶναι δύο, ὄντα ἐπὶ δυοῖν τινοιν διαφοραῖν. λέγω δὲ τὰ δύο τὸ μὲν οἰκεῖον καὶ ξυγγενές, τὸ δὲ ἀλλότριον καὶ ὀθνεῖον. ἐπὶ μὲν οὖν τῇ τοῦ οἰκείου ἔχθρᾳ στάσις κέκληται, ἐπὶ δὲ τῇ τοῦ ἀλλοτρίου πόλεμος. Ἐν ταὐτῷ (p. 471 C—D). Τιθῶμεν δὴ καὶ τοῦτον τὸν νόμον τοῖς φύλαξι, μήτε γῆν τέμνειν μήτε οἰκίας ἐμπιμπράναι; Θῶμεν, ἔφη, καὶ ἔχειν γε καλῶς ταῦτά τε καὶ τὰ πρόσθεν. Ἀλλὰ γάρ μοι δοκεῖς, ὦ Σώκρατες, ἐάν τίς σοι τὰ τοιαῦτα ἐπιτρέπῃ λέγειν, οὐδέποτε μνησθήσεσθαι ὃ ἐν τῷ πρόσθεν παρωσάμενος πάντα ταῦτα εἴρηκας, τὸ ὡς δυνατὴ αὕτη ἡ πολιτεία γενέσθαι καὶ τίνα τρόπον ποτὲ δυνατή· ἐπεὶ ὅτι γε, εἰ γένοιτο, πάντ' ἂν εἴη ἀγαθὰ πόλει 〈ᾗ γένοιτο〉, καὶ ἃ σὺ παραλείπεις ἐγὼ λέγω, ὅτι καὶ τοῖς πολεμίοις Ἐν ταὐτῷ (p. 473 C—E). Σκόπει δὲ ὃ μέλλω λέγειν. Λέγε, ἔφη. Ἐὰν μή, ἦν δ' ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσιν ἀλλὰ μή, δοκῶ δὲ οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη ἡ πολιτεία μή ποτε πρότερον φυῇ τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν. ἀλλὰ τοῦτό ἐστιν ὃ ἐμοὶ πάλαι ὄκνον ἐντίθησι λέγειν ὁρῶντι ὡς πολὺ παρὰ δόξαν ῥηθήσεται. χαλεπὸν γὰρ ἰδεῖν, ὅτι οὐκ ἂν ἄλλη τις εὐδαιμονήσειεν οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ. Πλάτωνος Πολιτείας ς′ (p. 497 B—C). Ἀλλὰ τοῦτο καὶ ἐπαιτιῶμαι, μηδεμίαν ἀξίαν εἶναι τῶν νῦν κατάστασιν πόλεως φιλοσόφου· φύσεως· διὸ καὶ στρέφεσθαί τε καὶ ἀλλοιοῦσθαι αὐτήν· ὥσπερ ξενικὸν σπέρμα ἐν γῇ ἄλλῃ σπειρόμενον ἐξίτηλον εἰς τὸ ἐπιχώριον φιλεῖ κρατούμενον ἰέναι, οὕτω καὶ τοῦτο τὸ γένος νῦν μὲν οὐκ ἴσχειν τὴν αὑτοῦ δύναμιν, ἀλλ' εἰς ἀλλότριον ἦθος ἐκπίπτειν· εἰ δὲ λήψεται τὴν ἀρίστην πολιτείαν, ὥσπερ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸ ἄριστόν ἐστιν, τότε δηλώσει, ὅτι τοῦτο μὲν τῷ ὄντι θεῖον ἦν, τὰ δὲ ἄλλα ἀνθρώπινα, τά τε τῶν φύσεων καὶ τῶν ἐπιτηδευμάτων. Πλάτωνος Πολιτείας ζ′ (p. 520 D). Τὸ δέ που ἀληθὲς ὧδ’ ἔχει· ἐν πόλει ᾗ ἥκιστα πρόθυμοι ἄρχειν οἱ μέλλοντες ἄρξειν, ταύτην ἄριστα καὶ ἀστασιαστότατα ἀνάγκη οἰκεῖσθαι. Ἐν ταὐτῷ (p. 521 A). Ἐν μόνῃ γὰρ αὐτῇ ἄρξουσιν οἱ τῷ ὄντι πλούσιοι, οὐ χρυσίου, ἀλλ’ οὗ δεῖ τὸν εὐδαίμονα πλουτεῖν, ζωῆς ἀγαθῆς τε καὶ ἔμφρονος. εἰ δὲ πτωχοὶ καὶ πεινῶντες ἀγαθῶν ἰδίων ἐπὶ τὰ δημόσια ἴασιν, ἐντεῦθεν οἰόμενοι τἀγαθὸν δεῖν ἁρπάζειν, οὐκ ἔστι· περιμάχητον γὰρ τὸ ἄρχειν γιγνόμενον, οἰκεῖος ὢν καὶ ἔνδον ὁ τοιοῦτος πόλεμος αὐτούς τε ἀπόλλυσι καὶ τὴν ἄλλην πόλιν. (Platonis de re publ. V p. 472 E—473 D). 〈Τὸ μὲν〉 τοίνυν ἀληθές, ἦν δ’ ἐγώ, οὕτω· εἰ δὲ καὶ τοῦτο προθυμηθῆναι χρὴ σὴν χάριν, ἀποδεῖξαι πῇ μάτην τοιαύτην ἀπόδειξιν τὰ αὐτὰ διομολόγησαι. Τὰ ποῖα; Ἆρ’ οἷόν τέ τι πραχθῆναι ὡς λέγεται, ἢ φύσιν ἔχει πρᾶξιν λέξεως ἧττον ἀληθείας ἐφάπτεσθαι, κἂν εἰ μή τῳ δοκεῖ; ἀλλὰ σὺ πότερον ὁμολογεῖς οὕτως ἢ οὔ; Ὁμολογῶ, ἔφη. Τοῦτο μὲν δὴ μὴ ἀνάγκαζέ με, οἷα τῷ λόγῳ διήλθομεν, τοιαῦτα παντάπασι καὶ τῷ ἔργῳ δεῖν γιγνόμενα ἀποφαίνειν· ἀλλ’ ἐὰν οἷοί τε γενώμεθα εὑρεῖν ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειε, φάναι ἡμᾶς ἐξευρηκέναι ὡς δυνατὰ ταῦτα γίγνεσθαι, ἃ σὺ ἐπιτάττεις. ἢ οὐκ ἀγαπήσεις τούτων τυγχάνων; ἐγὼ μὲν γὰρ 〈ἂν〉 ἀγαπῴην. Καὶ γὰρ ἔγωγε, ἔφη. Τὸ δὲ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, πειρώμεθα ζητεῖν τε καὶ ἀποδεικνύναι τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται δι’ ὃ οὐχ οὕτως οἰκοῦνται, καὶ τίνος ἂν σμικροτάτου μεταβαλόντος ἔλθοι εἰς τοῦτον τὸν τρόπον τῆς πολιτείας πόλις, μάλιστα μὲν ἑνός, εἰ δὲ μή, δυοῖν, εἰ δὲ μή, ὅ τι ὀλιγίστων τὸν ἀριθμὸν καὶ σμικροτάτων τὴν δύναμιν. Παντάπασι μὲν οὖν, ἔφη. Ἑνὸς μὲν τοίνυν, ἦν δ’ ἐγώ, μεταβαλόντος δοκοῦμέν μοι ἔχειν δεῖξαι ὅτι μεταπέσοι ἄν, οὐ μέντοι μικροῦ γε οὐδὲ ῥᾳδίου, δυνατοῦ δέ. Τίνος; ἔφη. Ἐπ’ αὐτῷ δή, ἦν δ’ ἐγώ, εἶμι ὃ τῷ μεγίστῳ προσεικάζομεν σχήματι. εἰρήσεται δ’ οὖν, εἰ καὶ μέλλει γέλωτί τε ἀτεχνῶς ὥσπερ κῦμα ἐκγελῶν καὶ ἀδοξίᾳ κατακλύσειν· σκόπει δὲ ὃ μέλλω λέγειν. Λέγε, ἔφη. Ἐὰν μή, ἦν δ’ ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι .. φιλοσοφήσωσιν .... (Platonis de re p. II p. 376 B—C) Ἀλλὰ μέντοι, εἶπον, τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν ἐστι; Ταὐτὸν γάρ, ἔφη. Οὐκοῦν θαρροῦντες τιθῶμεν καὶ ἐν τῷ ἀνθρώπῳ, εἰ μέλλει πρὸς τοὺς οἰκείους γε καὶ γνωρίμους πρᾶός τις ἔσεσθαι, φύσει καὶ φιλόσοφον καὶ φιλομαθῆ αὐτὸν δεῖν εἶναι; Τιθῶμεν, ἔφη. Φιλόσοφος δὴ καὶ θυμοειδὴς καὶ ἰσχυρὸς καὶ ταχὺς ἡμῖν τὴν φύσιν ἔσται ὁ μέλλων καλὸς κἀγαθὸς φύλαξ ἔσεσθαι πόλεως; Παντάπασι μὲν οὖν, ἔφη. (Platonis de re p. VII p. 540 D—E) Χαλεπὸν μὲν οὖν πόλεώς τε καὶ πολιτείας μὴ παντάπασιν εὐχὰς εἰρηκέναι, ἀλλὰ χαλεπὸν μέν, δυνατὸν δέ πῃ, καὶ οὐκ ἄλλῃ ἢ εἴρηται, ὅταν οἱ ἀληθῶς φιλόσοφοι δυνάσται, ἢ πλείους ἢ εἷς, ἐν πόλει γενόμενοι τῶν μὲν νῦν τιμῶν καταφρονήσωσιν, ἡγησάμενοι ἀνελευθέρους εἶναι καὶ οὐδενὸς ἀξίας, τὸ δὲ ὀρθὸν περὶ πλείστου ποιησάμενοι καὶ τὰς ἀπὸ τούτου τιμός, μέγιστον δὲ καὶ ἀναγκαιότατον τὸ δίκαιον, καὶ τούτῳ δὴ ὑπηρετοῦντές τε καὶ αὔξοντες αὐτὸ διασκευωρήσωνται τὴν ἑαυτῶν πόλιν. Πῶς; ἔφη. Ὅσοι μὲν ἄν, ἦν δ’ ἐγώ, πρεσβύτεροι τυγχάνωσι δεκετῶν ἐν τῇ πόλει, πάντας ἐκπέμψωσιν εἰς τοὺς ἀγρούς, τοὺς δὲ παῖδας αὐτῶν παραλαβόντες ἐκτὸς τῶν σφετέροις τρόποις καὶ νόμοις, οὗσιν οἵοις διεληλύθαμεν τότε, καὶ οὕτω τάχιστά τε καὶ ῥᾷστα πόλιν τε καὶ πολιτείαν, ἣν ἐλέγομεν, καταστᾶσαν αὐτήν τε εὐδαιμονήσειν καὶ τὸ ἔθνος, ἐν ᾧ ἂν ἐγγένηται, πλεῖστα ὀνήσειν. Τοῦ αὐτοῦ (Men. p. 80 E—82 A). Ὁρᾷς τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις, ὡς οὐκ ἄρα ἐστὶ ζητεῖν ἀνθρώπῳ, οὔτε ὃ οἶδεν, οὔτε ὃ μὴ οἶδεν; οὔτε γὰρ ἂν ὅ γε οἶδε ζητοῖ· οἶδε γάρ, καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητήσεως· οὔτε ὃ μὴ οἶδεν· οὐδὲ γὰρ οἶδεν ὅ τι ζητήσει. —Οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι ὁ λόγος οὗτος, ὦ Σώκρατες; —Οὐκ ἔμοιγε. —Ἔχεις λέγειν ὅπῃ; —Ἔγωγε· ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα—Τίνα λόγον λεγόντων; —Ἀληθῆ, ἔμοιγε δοκεῖν, καὶ καλόν. —Τίνα τοῦτον, καὶ τίνες οἱ λέγοντες; —Οἱ μὲν

λέγοντές εἰσι τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν, ὅσοις μεμέληκε περὶ ὧν μεταχειρίζονται λόγον οἵοις τε εἶναι διδόναι· λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν. ἃ δὲ λέγουσι, ταυτί ἐστιν· ἀλλὰ σκόπει, εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τοτὲ μὲν τελευτᾶν, ὃ δὴ ἀποθνῄσκειν, τοτὲ δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δὲ οὐδέποτε· δεῖν δὴ διὰ ταῦτα 〈ὡσ〉 ὁσιώτατα διαβιῶναι τὸν βίον· Οἷσι γὰρ ἂν Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξηται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ ἀνδιδοῖ ψυχὰν πάλιν, ἐκ τῶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες αὔξονται· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται. Ἅτε οὖν ἡ ψυχὴ ἀθάνατος οὖσα καὶ πολλάκις γεγονυῖα, καὶ ἑωρακυῖα καὶ τὰ ἐνθάδε καὶ τὰ ἐν Ἅιδου καὶ πάντα πράγματα, οὐκ ἔστιν ὅ τι οὐ μεμάθηκεν· ὥστε οὐδὲν θαυμαστὸν καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλλων οἷόν τε εἶναι αὐτὴν ἀναμνησθῆναι, ἅ γε καὶ πρότερον ἠπίστατο. ἅτε γὰρ τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης, καὶ μεμαθηκυίας ἅπαντα τῆς ψυχῆς, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἆλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀνδρεῖος ᾖ καὶ μὴ ἀποκάμῃ ζητῶν· τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον ἐστίν. Οὔκουν [οὐ] δεῖ πείθεσθαι τούτῳ 〈τῷ〉 ἐριστικῷ λόγῳ· οὗτος μὲν γὰρ 〈ἂν〉 ἡμᾶς ἀργοὺς ποιήσειε καὶ ἔστι τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι, ὅδε δὲ ἐργαστικούς τε καὶ ζητητικοὺς ποιεῖ· ᾧ ἐγὼ πιστεύων ἀληθεῖ εἶναι ἐθέλω διὰ τὸ ζητεῖν ὅ τι ἀνάμνησίς ἐστιν; ἔχεις με τοῦτο διδάξαι ὡς οὕτως ἔχει; —Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς εἰ ἔχω σε διδάξαι, ὃς οὐ φημι διδαχὴν εἶναι ἀλλ’ ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων. —Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πρὸς τοῦτο βλέψας .... Πλάτωνος (De leg. V p. 726—731 A). Ἀκούοι δὴ πᾶς ὅσπερ νῦν τὰ περὶ θεῶν τε ἥκουε καὶ τῶν φίλων προπατόρων· πάντων γὰρ τῶν ἐν τῷ βίῳ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν. τὰ δ’ αὐτοῦ διττὰ παρὰ πᾶσι, τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δ’ ἥττω καὶ χείρω δοῦλα· τῶν οὖν δύο τὰ δεσπόζοντα προτιμητέον τῶν δουλευόντων. οὕτω δὴ τὴν αὑτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας δεσπότας καὶ τοὺς τούτοις ἑπομένους τιμᾶν δεῖν λέγων δευτέραν ὀρθῶς παρακελεύομαι. τιμᾷ δ’ ὡς ἔπος εἰπεῖν ἡμῶν οὐδεὶς ὀρθῶς, δοκεῖ δέ· θεῖον γὰρ ἀγαθόν που τιμή, τῶν δὲ κακῶν οὐδὲν τίμιον, ὁ δ’ ἡγούμενος ἤ τισι λόγοις ἢ δώροις αὐτὴν αὔξειν ἤ τισιν ὑπείξεσι, 〈μηδὲν〉 βελτίω δ’ ἐκ χείρονος αὐτὴν ἀπεργαζόμενος τιμᾶν μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα παῖς γενόμενος εὐθὺς ἄνθρωπος πᾶς ἡγεῖται πάντα ἱκανὸς εἶναι γινώσκειν, καὶ τιμᾶν φαμεν, μετά γε θεοὺς δευτέραν. οὐδέ γε ὅταν ἄνθρωπος τῶν αὑτοῦ ἑκάστοθ’ ἁμαρτημάτων μὴ ἑαυτὸν αἴτιον ἡγῆται καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλὰ ἄλλους, ἑαυτὸν δὲ αἰεὶ ἀναίτιον ἐξαιρῇ τιμῶν τὴν αὑτοῦ ψυχήν, ὡς δὴ δοκεῖ· ὁ δὲ πολλοῦ δεῖ δρᾶν τοῦτο, βλάπτει γάρ. οὐδὲ ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ, ἀτιμάζει δὲ κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν. οὐδέ γε ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους φόβους καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν ἀλλ’ ὑπείκῃ, τότε οὐ τιμᾷ ἀτιμάζων· ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται δρῶν τὰ τοιαῦτα σύμπαντα. οὐδ’ ὁπόταν ἡγῆται ζῆν τοῦτο ἀγαθὸν εἶναι, τιμᾷ, ἀτιμάζει δ’ αὐτὴν καὶ τότε· τὰ γὰρ ἐν Ἅιδου πράγματα πάντα κακὰ ἡγούμενος τῆς ψυχῆς εἶναι ὑπείκει τε καὶ οὐκ ἀντιτείνει διδάσκων τε καὶ ἐλέγχων, ὡς οὐκ οἶδεν οὐδ’ εἰ τἀναντία πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν τὰ περὶ τοὺς θεοὺς 〈τοὺσ〉 ἐκεῖ. οὐδὲ μὴν πρὸ ἀρετῆς ὁπόταν αὖ προτιμᾷ τις κάλλος, τοῦτ’ ἔστιν οὐχ ἕτερον ἢ 〈ἡ〉 τῆς ψυχῆς ὄνφησὶν εἶναι, ψευδόμενος· οὐδὲν γὰρ γηγενὲς Ὀλυμπίων ἐντιμότερον, ἀλλ’ ὁ περὶ ψυχῆς ἄλλως δοξάζων ἀγνοεῖ, ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ. οὐδέ γε ὁπόταν χρήματά τις 〈ἐρᾷ〉 κτᾶσθαι μὴ καλῶς ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος, δώροις ἄρα τιμᾷ τότε τὴν αὑτοῦ ψυχήν· παντὸς μὲν οὖν λείπει· τὸ γὰρ αὐτῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται τοῦ χρυσοῦ. πᾶς γὰρ ὅ τ’ ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος, οὐδ’, ὡς εἰπεῖν

ξυλλήβδην, ὅσα περ νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος τάττῃ καὶ τοὐναντίον ἀγαθὰ καὶ καλά, τῶν μὲν ἀπέχεσθαι μὴ ἐθέλῃ πάσῃ μηχανῇ, τὰ δ' ἐπιτηδεύειν ξύμπασαν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι πᾶς ἄνθρωπος ψυχὴν θειότατον ὂν ἀτιμότατα καὶ κακοσχημονέστατα διατιθείς. τὴν γὰρ λεγομένην δίκην τῆς κακουργίας τὴν μεγίστην οὐδεὶς ὡς ἔπος εἰπεῖν λογίζεται, ἔστι δὲ ἡ μεγίστη τὸ ὁμοιοῦσθαι τοῖς οὖσι κακοῖς ἀνδράσιν, ὁμοιούμενον δὲ τοὺς μὲν ἀγαθοὺς φεύγειν ἄνδρας καὶ λόγους, καὶ τῶν μὲν ἀποσχίζεσθαι, τοῖς δὲ προσκολλᾶσθαι διώκοντα κατὰ τὰς ξυνουσίας· προσπεφυκότα δὲ τοῖς τοιούτοις ἀνάγκη ποιεῖν καὶ πάσχειν ἃ πεφύκασιν ἀλλήλους οἱ τοιοῦτοι ποιεῖν καὶ λέγειν. τοῦτο οὖν δὴ τὸ πάθος δίκη μὲν οὐκ ἔστι, καλὸν γὰρ τό γε δίμενος. τιμὴ δ' ἐστὶν ἡμῖν, ὡς τὸ ὅλον εἰπεῖν, τοῖς μὲν ἀμείνοσιν ἕπεσθαι, τὰ δὲ χείρονα, γενέσθαι 〈δὲ〉 βελτίω δυνατά, τοῦτ' αὐτὸ ὡς ἄριστα ἀποτελεῖν. Ψυχῆς οὖν ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν εὐφυέστερον εἰς τὸ φυγεῖν μὲν τὸ κακόν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ πάντων ἄριστον, καὶ ἑλόντα αὖ ξυνοικεῖν κοινῇ τὸν ἐπίλοιπον βίον· διὸ δεύτερον ἐτάχθη 〈τιμῇ〉. τὸ δὲ τρίτον, πᾶς ἂν τοῦτό γε νοήσειε τὴν τοῦ σώματος εἶναι κατὰ φύσιν τιμήν· τὰς δ' αὖ τιμὰς δεῖ σκοπεῖν, καὶ τούτων τίνες ἀληθεῖς καὶ ὅσαι κίβδηλοι· τοῦτο δὲ νομοθέτου. μηνύειν δὴ φαίνεται τάσδε καὶ τοιάσδε τινὰς αὐτὰς εἶναι, τίμιον εἶναι σῶμα οὐ τὸ καλὸν οὐδὲ τὸ ἰσχυρὸν οὐδὲ τὸ τάχος ἔχον οὐδὲ μέγα οὐδὲ τὸ ὑγιεινόν (καί τοί γε πολλοῖς ἂν τοῦτο δοκοῖ), καὶ μὴν οὐδὲ τὰ τούτων γε ἐναντία, τὰ δ' ἐν τῷ μέσῳ ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτόμενα σωφρονέστατα ἅμα τε ἀσφαλέστατα εἶναι μακρῷ· τὰ μὲν γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινάς τε καὶ ἀνελευθέρους· ὡς δ' αὕτως ἡ τῶν χρημάτων κτῆσις καὶ τιταῖς πόλεσι καὶ ἰδίᾳ, τὰ δ' ἐλλείποντα δοῦλον. μὴ δή τις φιλοχρηματείτω παίδων γε ἕνεκα, ὅ τι πλουσιωτάτους καταλείπει· οὔτε γὰρ 〈ἐκείνοισ〉 [καλὸν] οὔτε αὖ τῇ πόλει ἄμεινον. ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δὲ ἀναγκαίων μὴ ἐνδεχομένη μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς πάντα ἄλυπον 〈τὸν βίον〉 ἀπεργάζεται. παισὶ δὲ αἰδῶ χρὴ πολλήν, οὐ χρυσὸν καταλείπειν. οἰόμεθα δὲ ἐπιπλήττοντες 〈τοῖς νέοισ〉 ἀναισχυντοῦσι τοῦτο καταλείψειν· τὸ δ' ἐστὶν οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες ὡς δεῖ πάντα αἰσχύνεσθαι τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι, μή ποτέ τις ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν, ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους· παιδεία γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ αὐ 〈τῶν οὐ〉 τὸ νουθετεῖν, ἀλλ' ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τις, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα διὰ βίου. ξυγγένειαν δὲ καὶ ὁμογνίων θεῶν κοινωνίαν πᾶσαν ταὐτοῦ φύσιν αἴθλίους θεοὺς εἰς παίδων αὐτοῦ σπορὰν ἴσχοι κατὰ λόγον· καὶ μὴν 〈τό γε〉 φίλων καὶ ἑταίρων πρὸς τὰς ἐν βίῳ ὁμιλίας 〈εὐμενεῖσ〉 ἄν τις κτῷτο μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὐτὸν ἡγούμενος ἢ 'κεῖνοι, ἐλάττους δ' αὖ τὰς αὐτοῦ διανοούμενος εἰς τοὺς φίλους χάριτας ὑπὲρ αὐτῶν τῶν φίλων καὶ ἑταίρων· εἷς γε μὴν πόλιν καὶ πολίτας μακρῷ ἄριστος, ὅστις πρὸ τοῦ [νικῆσαι] Ὀλυμπίασι καὶ ἁπάντων ἀγώνων πολεμικῶν τε καὶ εἰρηνικῶν νικᾶν δέξαιτ' ἂν δόξῃ ὑπηρεσίας τῶν οἴκοι νόμων, ὡς ὑπηρετικὼς πάντων μάλιστ' ἀνθρώπων αὐτοῖς ἐν τῷ βίῳ. πρὸς δ' αὖ τοὺς ξένους διανοητέον ὡς ἀγιώτατα ξυμβόλαια ὄντα· σχεδὸν γὰρ πάντα ἐστὶ τὰ τῶν ξένων καὶ εἰς τοὺς ξένους ἁμαρτήματα παρὸ τῶν πολιτῶν εἰς θεὸν ἀνηρτημένα τιμωρὸν μᾶλλον· ἔρημος γὰρ ὢν ὁ ξένος ἑταίρων τε καὶ ξυγγενῶν ἐλεεινότερος ἀνθρώποις καὶ θεοῖς. ὁ δυνάμενος οὖν τιμωρεῖν μᾶλλον βοηθεῖ προθυμότερον· δύναται δὲ διαφερόντως ὁ ξένιος ἑκάστων δαίμων καὶ θεὸς τῷ ξενίῳ συνεπόμενοι Διί· πολλῆς οὖν εὐλαβείας, ᾧ καὶ σμικρὸν προμηθείας ἔνι, μηδὲν ἁμάρτημα περὶ ξένους ἁμαρτόντα ἐν τῷ βίῳ πρὸς τὸ τέλος αὐτοῦ πορευθῆναι. ξενικῶν δ' αὖ καὶ ἐπιχωρίων ἁμαρτημάτων τὸ περὶ τοὺς ἱκέτας μέγιστον γίνεται ἁμάρτημα ἑκάστοις· μεθ' οὗ γὰρ ἱκετεύσας μάρτος πάθοι ὁ τυχὼν ὧν ἔπαθε. τὰ μὲν οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ γονέας τε καὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, περὶ πόλιν τε καὶ φίλους καὶ ξυγγένειαν ξενικά τε καὶ ἐπιχώρια διεληλύθαμεν σχεδὸν ὁμιλήματα· τὸ δὲ ποῖός τις ὢν 〈αὐτὸσ〉 ἂν κάλλιστα διαγάγοι τὸν βίον, ἑπόμενον τούτῳ διεξελθεῖν· ὅς’ οὖν μὴ νόμος ἀλλ’ ἔπαινος παιδεύων καὶ ψόγος ἑκάστους εὐηνίους μᾶλλον τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται, ταῦτ’ ἐστὶ μετὰ τοῦτο ἡμῖν ῥητέον. ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς ὅ τι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ· καὶ 〈πιστὸς γάρ· ὁ δὲ〉 ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον· ὅτῳ δὲ ἀκούσιον, ἄνους. ὧν οὐδέτερον ζηλωτόν· ἀλλὰ πᾶς ὅ γε ἄπιστος καὶ ἀμαθής, χρόνου δὲ προϊόντος γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας κατὰ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου, ὥστε ζώντων καὶ μὴ ἑταίρων καὶ παίδων σχεδὸν ὀρφαό δὲ ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν· ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται καλὰ μὴ μόνον αὐτὸν ἔχειν ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι· 〈καὶ〉 τὸν μὲν μεταδιδόντα ὡς ἀκρότατον χρὴ τιμᾶν, τὸν δὲ αὖ μὴ δυνάμενον, ἐθέλοντα δέ, ἐᾶν δεύτερον, τὸν δὲ φθονοῦντα καὶ θέλοντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινῶν αὐτὸν μὲν ψέγειν, τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν, ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν. Πλάτωνος Πολιτείας η′ (p. 543 A—B). Εἶεν· ταῦτα μὲν δὴ ὡμολόγηται, ὦ Γλαύκων, τῇ μελλούσῃ ἄκρως οἰκεῖν πόλει κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ παῖδας εἶναι καὶ πᾶσαν παιδείαν, ὡσαύτως δὲ τὰ ἐπιτηδεύματα κοινὰ ἐν πολέμῳ τε καὶ εἰρήνῃ, βασιλέας δὲ αὐτῶν εἶναι τοὺς ἐν φιλοσοφίᾳ τε καὶ πρὸς τὸν πόλεμον γεγονότας ἀρίστους. Ὡμολόγηται, ἔφη. Καὶ μὴν καὶ τάδε ξυνεχωρήσαμεν, ὡς, ὅταν δὴ καταστῶσιν οἱ ἄρχονοῖας προείπομεν, ἴδιον μὲν οὐδὲν οὐδενὶ ἐχούσας, κοινὰς δὲ πᾶσι. Ἐν ταὐτῷ (p. 543 C—544 E). Σχεδὸν γάρ, καθάπερ νῦν, ὡς διεληλυθὼς περὶ τῆς πόλεως τοὺς λόγους ἐποιοῦ, λέγων ὡς ἀγαθὴν μὲν τὴν τοιαύτην, οἵαν τότε διῆλθες, τιθείης πόλιν, καὶ ἄνδρα τὸν ἐκείνῃ ὅμοιον. ἀλλ’ οὖν δὴ τὰς ἄλλας ἡμαρτημένας ἔλεγες, εἰ αὕτη ὀρθή. τῶν δὲ λοιπῶν πολιτειῶν ἔφησθα, ὡς μνημονεύω, τέτταρα εἴδη εἶναι. Καὶ μήν, ἦ δ’ ὅς, ἐπιθυμῶ γε καὶ αὐτὸς ἀκοῦσαι, τίνας λέγεις τὰς τέτταρας πολιτείας. Οὐ χαλεπῶς, ἦν δ’ ἐγώ, ἀκούσῃ. εἰσὶ γὰρ ἃς λέγω, αἵπερ καὶ ὀνόματ’ ἔχουσιν, ἥ τε ὑπὸ τῶν πολλῶν ἐπαινουμένη, ἡ Κρητική τε καὶ Λακωνικὴ αὕτη· καὶ δευτέρα καὶ δευτέρως ἐπαινουμένη, καλουμένη δὲ ὀλιγαρχία, συχνῶν γέμουσα κακῶν πολιτεία· ἥ τε ταύτῃ διάφορος καὶ ἐφεξῆς γιγνομένη δημοκρατία, καὶ ἡ γενναία δὴ τυραννὶς καὶ πασῶν τούτων διαφέρουσα, τέταρτόν τε καὶ ἔσχατον πόλεως νόσημα. ἦ τινα ἄλλην ἔχεις ἰδέαν πολιτείας, ἥτις καὶ ἐν εἴδει διαφανεῖ τινι κεῖται; δυναστεῖαι γὰρ καὶ ὠνηταὶ βασιλεῖαι καὶ τοιαῦταί τινες πολιτεῖαι μεἐλάττους περὶ τοὺς βαρβάρους ἢ τοὺς Ἕλληνας. Πολλαὶ γοῦν καὶ ἄτοποι, ἔφη, λέγονται. Οἶσθ’ οὖν, ἦν δ’ ἐγώ, ὅτι καὶ ἀνθρώπων εἴδη τοσαῦτα ἀνάγκη τρόπων εἶναι, ὅσαπερ καὶ πολιτειῶν; ἢ οἴει ἐκ δρυός ποθεν ἢ ἐκ πέτρας τὰς πολιτείας γίγνεσθαι, ἀλλ’ οὐχὶ ἐκ τῶν ἠθῶν τῶν ἐν ταῖς πόλεσιν, ἃ ἂν ὥσπερ ῥέψαντα τὰ ἄλλα ἐφελκύσηται; Οὐδαμῶς ἔγωγ’, ἔφη, ἄλλοθεν ἢ ἐντεῦθεν. Οὐκοῦν εἰ τὰ τῶν πόλεων πέντε, καὶ αἱ τῶν ἰδιωτῶν κατασκευαὶ τῆς ψυχῆς πέντε ἂν εἶεν. Τί μήν; Ἐν ταὐτῷ (p. 564 A). Ἡ γὰρ ἄγαν ἐλευθερία ἔοικεν οὐκ εἰς ἄλλο τι ἢ εἰς ἄγαν δουλείαν μεταβάλλειν καὶ ἰδιώτῃ καὶ πόλει. Εἰκὸς γάρ. Εἰκότως τοίνυν, εἶπον, οὐκ ἐξ ἄλλης πολιτείας τυραννὶς καθίσταται ἢ ἐκ δημοκρατίας. Τοῦ αὐτοῦ Πολιτείας θ′ (p. 576 D—E). Μὴ ἐκπληττώμεθα πρὸς τὸν τύραννον ἕνα ὄντα βλέποντες, μηδ’ εἴ τινες ὀλίγοι περὶ ἐκεῖνον, ἀλλ’ ὡς χρὴ ὅλην τὴν πόλιν εἰσελθόντας θεάσασθαι, καταδύντες εἰς ἅπασαν καὶ ἰδόντες, οὕτω δόξαν ἀποφαινώμεθα. Ἀλλ’ ὀρθῶς, ἔφη, προκαλῇ· καὶ δῆλον παντὶ ὅτι τυραννουμένης μὲν οὐκ ἔστιν ἀθλιωτέρα, βασιλευομένης δὲ οὐκ εὐδαιμονεστέρα. Ἐν ταὐτῷ (p. 580 A—C). λους ἑξῆς πέντε ὄντας κρῖνε, βασιλικόν,

τιμοκρατικόν, ὀλιγαρχικόν, δημοκρατικόν, τυραννικόν. Ἀλλὰ ῥᾳδία, ἔφη, 〈ἡ〉 κρίσις. καθάπερ γὰρ εἰσῆλθον ἔγωγε ὥσπερ χοροὺς κρίνω ἀρετῇ καὶ κακίᾳ καὶ εὐδαιμονίᾳ καὶ τῷ ἐναντίῳ. Μισθωσώμεθα οὖν κήρυκα, ἦν δ' ἐγώ, ἢ αὐτὸς ἀνείπω, ὅτι ὁ Ἀρίστωνος υἱὸς τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε, τοῦτον 〈δ'〉 εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα αὑτοῦ, τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον [καὶ] ἀθλιώτατον· τοῦτον δ' αὖ τυγχάνειν ὄντα ὃς ἂν τυραννικώτατος ὢν ἐαυτοῦ τε ὅ τι μάλιστα τυραννῇ καὶ τῆς πόλεως; Πλάτωνος Νόμων γ′ (p. 679 B—680 C). Ἦι δ' ἄν ποτε ξυνοικίᾳ μήτε πλοῦτος ξυνοικῇ μήτε πενία, σχεδὸν ἐν ταύτῃ γενναιότατα ἤθη γίγνοιτ' ἄν· οὔτε γὰρ ὕβρις οὔτ' ἀδικία, ζῆλοί τε αὖ καὶ φθόνοι οὐκ ἐγγίγνονται. ἀγαθοὶ μὲν δὴ διὰ ταῦτά τε ἦσαν καὶ διὸ τὴν λεγομένην εὐήθειαν· ἃ γὰρ ἤκουον καλὰ καὶ αἰσχρά, εὐήθεις ὄντες ἡγοῦντο ἀληθέστατα λέγεσθαι καὶ ἐπείθοντο. ψεῦδος γὰρ ὑπονοεῖν οὐδεὶς ἠπίστατο διὰ σοφίαν, ὥσπερ τὰ νῦν, ἀλλὰ περὶ θεῶν τε καὶ ἀνθρώπων τὰ λεγόμενα ἀληθῆ νομίζοντες ἔζων κατὰ ταῦτα· διόπερ ἦσαν τοιοῦτοι παντάπασιν, οἵους αὐτοὺς ἡμεῖς ἄρτι διεληλύθαμεν. — Ἐμοὶ γοῦν δὴ καὶ τῷδε οὕτως ταῦτα ξυνδοκεῖ. — Οὐκοῦν εἴπομεν, ὅτι γενεαὶ διαβιοῦσαι πολλαὶ τοῦτον τὸν τρόπον τῶν πρὸ κατακλυσμοῦ γεγονότων καὶ τῶν νῦν ἀτεχνότεροι μὲν καὶ ἀμαθέστεροι πρός τε τὰς ἄλλας μέλλουσιν εἶναι τέχνας καὶ πρὸς τὰς πολεμικάς, ὅσαι τε πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν γίγνονται τὰ νῦν, καὶ ὅσαι δὴ κατὰ πόλιν μόνον αὐτοῦ, δίκαι καὶ στάσεις λεγόμεναι, λόγοις ἔργοις τε μεμηχανημέναι πάσας μηχανὰς εἰς τὸ κακουργεῖν τε ἀλλήλους καὶ ἀδικεῖν, εὐηθέστεροι δὲ καὶ ἀνδρειότεροι καὶ ἅμα σωφρονέστεροι καὶ ξύμπαντα δικαιότεροι; τὸ δὲ τούτων αἴτιον ἤδη διεληλύθαμεν. — Ὀρθῶς λέγεις. — Λελέχθω δὴ ταῦτα ἡμῖν καὶ τὰ τούτοις ξυνεπόμενα ἔτι πάντα εἰρήσθω τοῦδ' ἕνεκα, ἵνα νοήσωμεν, τοῖς τότε νόμων τίς ποτ' ἦν χρεία καὶ τίς ἦν ὁ νομοθέτης αὐτοῖς. — Καὶ καλῶς γε εἴρηκας. — Ἆρ' οὖν ἐκεῖνοι μὲν οὔτε ἐδέοντο νομοθετῶν οὔτε πω ἐφίλει κατὰ τούτους τοὺς χρόνους γίγνεσθαι τὸ τοιοῦτον; οὐδὲ γὰρ γράμματα ἔστι πω τοῖς ἐν τούτῳ τῷ μέρει τῆς περιόδου γεγονόσιν, ἀλλ' ἔθεσι καὶ τοῖς λεγομένοις πατρίοις νόμοις ἑπόμενοι ζῶσιν. — Εἰκὸς γοῦν. — Πολιτείας δέ γε ἤδη καὶ τρόπος ἐστίν τις οὗτος. — Τίς; — Δοκοῦσί μοι πάντες τὴν ἐν τούτῳ τῷ χρόνῳ πολιτείαν δυναστείαν καλεῖν, ἣ καὶ νῦν ἔτι πολλαχοῦ καὶ ἐν Ἕλλησι καὶ κατὰ βαρβάρους ἐστίν· λέγει δ' αὐτήν που καὶ Ὅμηρος γεγονέναι περὶ τὴν τῶν Κυκλώπων οἴκησιν, εἰπὼν τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες, ἀλλ' οἵ γ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσιν. — Ἔοικέν γε ὁ ποιητὴς ὑμῖν οὗτος γεγονέναι χαρίεις. καὶ γὰρ δὴ καὶ ἄλλα αὐτοῦ διεληλύθαμεν μάλα ἀστεῖα, οὐ μὴν πολλά γε· οὐ γὰρ σφόδρα χρώμεθα οἱ Κρῆτες τοῖς ξενικοῖς ποιήμασιν. (Ibid. p. 690 E) Ἆρ' οὐκ ἀγνοήσαντες τὸν Ἡσίοδον ὀρθότατα λέγοντα, ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἐστὶ πλέον; ὁπόταν ᾖ τὸ μὲν ὅλον λαμβάνειν ζημιῶδες, τὸ δ' ἥμισυ μέτριον, τότε τὸ μέτριον τοῦ ἀμέτρου πλέον ἡγήσατο, ἄμεινον ἂν χείρονος. Ἐν ταὐτῷ (p. 688 A—B) Τὸ δὲ ἐμὸν ἔλεγον, ὅτι τοῦτο μὲν πρὸς μίαν ἀρετὴν οὐσῶν τεττάρων κελεύοι τίθεσθαι τοὺς νόμους, δέοι δὲ δὴ πρὸς πᾶσαν μὲν βλέπειν, μάλιστα δὲ πρὸς τὴν πρώτην καὶ τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς, φρόνησις δ' εἴη τοῦτο καὶ νοῦς καὶ δόξα μετ' ἔρωτός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένης. Ἐν ταὐτῷ (p. 688 E—689 E). Φαμὲν δὲ δὴ νῦν καθ' ὁδὸν ἰόντες τὴν λοιπὴν τοῦ λόγου, τὴν μεγίστην ἀμαθίαν τότε ἐκείνην τὴν δύναμιν ἀπολέσαι καὶ νῦν ταὐτὸ πεφυκέναι ποιεῖν, ὥστε τόν γε νομοθέτην, εἰ τοῦθ' οὕτως ἔχει, πειρατέον ταῖς πόλεσι φρόνησιν μὲν ὅσην δυνατὸν ἐμποιεῖν, τὴν δὲ ἄνοιαν ὅ τι μάλιστα ἐξαιρεῖν. — Δῆλον. — Τίς οὖν ἡ μεγίστη δικαίως ἂν λέγοιτο ἀμαθία; σκοπεῖτε εἰ συνδόξει καὶ σφῷν λεγόμενον· ἐγὼ μὲν δὴ τὴν τοιάνδε τίθεμαι. — Ποίαν; — Τὴν ὅταν τῳ τι δόξῃ καλὸν ἢ ἀγαθὸν εἶναι μὴ φιλῇ τοῦτο ἀλλὰ μισῇ, τὸ δὲ πονηρὸν καὶ ἄδικον δοκοῦν εἶναι φιλῇ τε καὶ ἀσπάζηται. ταύτην διαφωνίαν λύπης τε καὶ ἡδονῆς πρὸς τὴν κατὰ λόγον δόξαν ἀμαθίαν φημὶ εἶναι τὴν ἐσχάτην, μεγίστην δέ, ὅτι τοῦ πλήθους ἐστὶ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχῆς· τὸ γὰρ λυπούμενον καὶ ἡδόμενον αὐτῆς ὅπερ δῆμός τε καὶ πλῆθος πόλεώς ἐστιν. ὅταν οὖν ἐπιστήμαις ἢ δόξαις ἃ λόγῳ ἐναντιῶται, τοῖς φύσει ἀρχικοῖς, ἡ ψυχή, τοῦτο ἄνοιαν προσαγορεύω, πόλεώς τε, ὅταν ἄρχουσι καὶ νόμοις μὴ πείθηται τὸ πλῆθος, ταὐτόν, καὶ δὴ καὶ ἑνὸς ἀνδρός, ὁπόταν καλοὶ ἐν ψυχῇ λόγοι ἐνόντες μηδὲν ποιῶσι πλέον, ἀλλὰ ζῇ τούτοις πᾶν τοὐναντίον. ταύτας πάσας ἀμαθίας τὰς πλημμελεστάτας ἔγωγ' ἂν θείην πόλεώς τε καὶ ἑνὸς ἑκάστου καταμανθάνετε, ὦ ξένοι, ὃ λέγω. — Μανθάνομέν γε, ὦ φίλε, καὶ ξυγχωροῦμεν ἃ λέγεις. — Τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς εἰς ταῦτα ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον καὶ ὡς ἀμαθέσιν ὀνειδιστέον, ἂν καὶ πάνυ λογιστικοί τε ὦσι καὶ πάντα τὰ κομψὰ καὶ ὅσα πρὸς τάχος τῆς ψυχῆς πεφυκότα διαπεπονημένοι ἅπαντα, τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων ὡς σοφούς τε προσρητέον, ἂν καὶ τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπίστωνται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφροσιν· πῶς γὰρ ἄν, ὦ φίλοι, ἄνευ ξυμφωνίας γένοιτ' ἂν φρονήσεως καὶ τὸ σμικρότατον εἶδος; οὐκ ἔστιν, ἀλλ' ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν μεγίστη δικαιότατ' ἂν λέγοιτο σοφία, ἧς ὁ μὲν κατὰ λόγον ζῶν μέτοχος, ὁ δὲ ἀπολειπόμενος οἰκοφθόρος καὶ περὶ πόλιν οὐδαμῇ σωτήρ, ἀλλὰ πᾶν τοὐναντίον ἀμαθαίνων εἰς ταῦτα ἑκάστοτε φαίνεται. Ἐν ταὐτῷ (p. 691 C). Ἐάν τις μείζονα διδῷ τοῖς ἐλάττοσι παρεὶς τὸ μέεἰς νόσους θεῖ, τὰ δ' εἰς ἔκγονον ὕβρεως ἀδικίαν. Ἐν ταὐτῷ (p. 697 A—C). Λέγομεν τοίνυν, ὅτι πόλιν, ὡς ἔοικεν, τὴν μέλλουσαν σῴζεσθαί τε καὶ εὐδαιμονήσειν εἰς δύναμιν ἀνθρωπίνην δεῖ καὶ ἀναγκαῖον τιμάς τε καὶ ἀτιμίας διανέμειν ὀρθῶς. ἔστιν δὲ ὀρθῶς ἄρα τιμιώτατα μὲν καὶ πρῶτα τὰ περὶ τὴν ψυχὴν ἀγαθὰ κεῖσθαι, σωφροσύνης ὑπαρχούσης αὐτῇ, δεύτερα δὲ τὰ περὶ τὸ σῶμα καλὰ καὶ ἀγαθά, καὶ τρίτα τὰ περὶ τὴν οὐσίαν καὶ χρήματα λεγόμενα· τούτων δὲ ἂν ἐκτός τις βαίνῃ νομοθέτης ἢ πόλις, εἰς τιμὰς 〈ἢ〉 χρήματα προάγουσα ἤ τι τῶν ὕστερον εἰς τὸ πρόσθεν τιμαῖς τάττουσα, οὔθ' ὅσιον οὔτε πολιτικὸν ἂν δρῴη πρᾶγμα. Τοῦ αὐτοῦ Νόμων δ′ (p. 705 A—B). Πρόσοικος γὰρ θάλαττα χώρᾳ τὸ μὲν παρ' ἑκάστην ἡμέραν ἡδύ, μάλα γε μὴν ὄντως ἁλμυρὸν καὶ πικρὸν γειτόνημα· ἐμπορίας γὰρ καὶ χρηματισμοῦ διὰ καπηλείας ἐμπιπλᾶσα αὐτήν, ἤθη παλίμβολα καὶ ἄπιστα ταῖς ψυφορός τε εἴη καὶ πάμφορος ἅμα· τοῦτο γὰρ ἔχουσα, πολλὴν ἐξαγωγὴν ἂν παρεχομένη, νομίσματος ἀργύρου καὶ χρυσοῦ πάλιν ἀντεμπίπλαιτ' ἄν, οὗ μεῖζον κακόν, ὡς ἔπος εἰπεῖν, πόλει ἀνθ' ἑνὸς ἓν οὐδὲν ἂν γίγνοιτο εἰς γενναίων καὶ δικαίων ἠθῶν κτῆσιν, ὡς ἔφαμεν, εἰ μεμνήμεθα, τοῖς πρόσθεν λόγοις. — Ἀλλὰ μεμνήμεθα, καὶ συγχωροῦμεν τότε λέγειν ἡμᾶς ὀρθῶς καὶ τὰ νῦν. Ἐν ταὐτῷ (p. 709 A—C). Ὡς οὐδείς ποτε ἀνθρώπων οὐδὲν νομοθετεῖ, τύχαι δὲ καὶ ξυμφοραὶ παντοῖαι πίπτουσαι παντοίως νομοθετοῦσιν ἅπαντα ἡμῖν. ἢ γὰρ πόλεμός τις βιασάμενος ἀνέτρεψε πολιτείας καὶ μετέβαλε νόμους, ἢ πενίας χαλεπῆς ἀπορία· πολλὰ δὲ καὶ νόσοι ἀναγκάζουσι καινοτομεῖν λοιμῶν τε ἐμπιπτόντων καὶ χρόνον ἐπὶ πολὺν ἐνιαυτῶν πολλῶν πολλάκις ἀκαιρία. ταῦτα δὴ πάντα προϊδών τις ἄρξειεν ἂν εἰπεῖν, ὅπερ ἐγὼ νῦν δή, θνητὸν 〈μὲν〉 μηδένα νομοθετεῖν μηδέν, τύχας δ' εἶναι σχεδὸν ἅπαντα τἀνθρώπινα πράγματα. τὸ δ' ἔστιν περί τε ναυτιλίαν καὶ κυβερνητικὴν καὶ ἰατρικὴν καὶ στρατηγικὴν πάντα ταῦτ' εἰπόντα δοκεῖν εὖ λέγειν, ἀλλὰ γὰρ ὅμως αὖ καὶ τόδ' ἔστιν εὖ λέγοντα λέγειν ἐν τοῖς αὐτοῖς τούτοις. — Τὸ ποῖον; — ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἡμερώτερον μὴν τρίτον συγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τέχνην· καιρῷ γὰρ χειμῶνος συλλαβέσθαι κυβερνητικήν, μέγα πλεονέκτημα ἔγωγ' ἂν θείην. ἢ πῶς; — 〈Οὕτως.〉 — Οὐκοῦν καὶ τοῖς ἄλλοις ὡσαύτως κατὰ τὸν αὐτὸν ἂν ἔχοι λόγον, καὶ δὴ καὶ νομοθεσίᾳ ταὐτὸν τοῦτο δοτέον· τῶν ἄλλων ξυμπιπτόντων, ὅσα δεῖ χώρᾳ συντυχεῖν, εἰ μέλλει ποτὲ εὐδαιμόνως οἰκήσειν, τὸν νομοθέτην ἀληθείας ἐχόμενον τῇ τοιαύτῃ παραπεσεῖν ἑκάστοτε πόλει δεῖν. — Ἀληθέστατα λέγεις. Τοῦ αὐτοῦ Νόμων ε′ (p. 743 C—744 A). Ἡμῖν δὲ ἡ τῶν νόμων ὑπόθεσις ἐνταῦθα ἔβλεπεν, ὅπως ὡς εὐδαιμονέστατοι ἔσονται καὶ ὅ τι μάλιστα ἀλλήλοις φίλοι·

εἶεν δὲ οὐκ ἄν ποτε πολῖται φίλοι, ὅπου πολλαὶ μὲν δίκαι ἐν ἀλλήλοις εἶεν, πολλαὶ δὲ ἀδικίαι, ἀλλ᾽ ὅπου ὡς ὅ τι σμικρόταται καὶ ὀλίγισται. λέγομεν φέρει, καὶ τούτων ὁπόσα μὴ χρηματιζόμενον ἀναγκάσειεν ἀμελεῖν ὧν ἕνεκα πέφυκε τὰ χρήματα· ταῦτα δ᾽ ἐστὶ ψυχὴ καὶ σῶμα, 〈ἃ〉 χωρὶς γυμναστικῆς καὶ τῆς ἄλλης παιδείας οὐκ ἄν ποτε γένοιτο ἄξια λόγου. διὸ δὴ χρημάτων ἐπιμέλειαν οὐχ ἅπαξ εἰρήκαμεν ὡς χρὴ τελευταῖον τιμᾶν· ὄντων γὰρ τριῶν τῶν ἁπάντων, περὶ ἃ πᾶς ἄνθρωπος σπουδάζει, τελευταῖον καὶ τρίτον ἐστὶν ἡ τῶν χρημάτων ὀρθῶς σπουδαζομένη σπουδή, σώματος δὲ πέρι μέση, πρώτη δὲ ἡ τῆς ψυχῆς. καὶ δὴ καὶ νῦν ἦν διεξερχόμεθα πολιτείαν, εἰ μὲν τὰς τιμὰς οὕτω τάττεται, ὀρθῶς νομοθετεῖται· εἰ δέ τις τῶν προσταττομένων αὐτόθι νόμων σωφροσύνης ἔμπροσθεν ὑγίειαν ἐν τῇ πόλει φανεῖται ποιῶν τιμίαν ἢ πλοῦτον ὑγιείας καὶ τοῦ σωφρονεῖν, οὐκ ὀρθῶς ἀναφανεῖται τιθέμενος. Ἐν ταὐτῷ (p. 744 D). Δεῖ γὰρ ἐν πόλει που, φαμέν, τῇ τοῦ μεγίστου νοσήματος οὐ μετεχούσῃ, ὃ διάστασιν ἢ στάσιν ὀρθότερον ἂν εἴη κεκλῆσθαι, μήτε πενίαν τὴν χαλεπὴν ἐνεῖναι παρά τισι τῶν πολιτῶν μήτ᾽ αὖ πλοῦτον, ὡς ἀμφότερα τικτόντων ταῦτα ἀμφότερα. Πλάτωνος Νόμων θ′ (p. 874 E—875 A). Ὡς ἄρα νόμους ἀνθρώποις ἀναγκαῖον τίθεσθαι καὶ ζῆν κατὰ νόμους ἢ μηδὲν διαφέρειν τῶν πάντῃ ἀγριωτάτων θηρίων. ἡ δὲ αἰτία τούτων ἥδε, ὅτι φύσις ἀνθρώπων οὐδενὸς ἱκανὴ φύεται, ὥστε γνῶναί τε τὰ συμφέροντα ἀνθρώποις εἰς πολιτείαν καὶ γνοῦσα τὸ βέλτιστον ἀεὶ δύνασθαι καὶ ἐθέλειν πράττειν. γνῶναι μὲν γὰρ πρῶτον χαλεπόν, ὅτι πολιτικῇ καὶ ἀληθεῖ τέχνῃ οὐ τὸ ἴδιον ἀλλὰ τὸ κοινὸν ἀνάγκη μέλειν· τὸ μὲν γὰρ κοινὸν ξυνδεῖ, τὸ δὲ ἴδιον διασπᾷ τὰς πόλεις· καὶ ὅτι ξυμφέρει τῷ κοινῷ τε καὶ ἰδίῳ τοῖν ἀμφοῖν, ἢν τὸ κοινὸν τιθῆται καλῶς. Ἀρχύτα. Πονηρῶν ἀθέων νόμοι θεῶν ἄγραφοι ἀντινομιζόμενοι πονηρὰν μοῖραν καὶ ζημίαν τῷ μὴ πειθομένῳ διδόντες, πατέρες καὶ ἀγεμόνες τῶν γεγραμμένων νόμων καὶ δογμάτων ἀνθρώποις τεθέντων. Διωτογένους Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότητος. οὑτων, ἀλλ᾽ ἐς τὸ μνασθέντας κατακοσμηθῆμεν τὰν ψυχάν· ἐπειδὴ γὰρ ἀπ᾽ αὐτῶν ἐσμὲν καὶ κεκοινωνήκαμεν τῶ θείω, 〈τῷ θείῳ〉 ποθᾶκόν τι κρίνοντι ἄμμε· διὸ καὶ βούλονται ἰκέλως αὐτοῖς ἅπαντα ἡμᾶς ἐπιτελὲν δικαιοπραγέοντας. ἔπειτα γὰρ τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι καὶ ἐπὶ τέλος ἐπιτίθεντι, φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα· καὶ τῶν μὲν … 〈τῶν δὲ〉 ἐξ ἄθεος ποτὶ συμφωνίαν πολιτικὰν φερόντων νόμος ἐπιστάτας καὶ δαμιουργός· τῶν δὲ διὰ φρονάσιος ἀνθρωπίνας τελεωθέντων, τέχνα 〈κα〉 λέγοιτο δικαίως μάτηρ τε καὶ ἀγεμὼν ἦμεν· τῶν δὲ εἰκᾷ τε καὶ ὡς ἔτυχεν ἀπὸ τῶ αὐτομάτω ὁμοίως ποτιπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς τύχαν τῶν τοιούτων αἰτίαν φασοῦμες· ταύταν δ᾽ οὔτ᾽ ἐν μέτρῳ οὔτ᾽ ἐν ὅρῳ τεταγμέναν καὶ πεφρονημένως ἕκαστα ποιέν· γενναθείσα δὲ δὴ ἐξ αὐταυτῶ γένεος ἄμφω κινεῖσθαι. Τῶν ἑπτὰ σοφῶν Περὶ πολιτείας (Plut. Septem sap. conviv. p. 154 D—F.) Εἰ δὲ βούλει καὶ νῦν, ἔφη ὁ Σόλων, περὶ πολιτείας ἀκοῦσαι, δοκεῖ μοι πόλις ἄριστα πράττειν καὶ μάλιστα σῴζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα τοῦ ἀδικηθέντος 〈οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες〉 προβάλλονται καὶ κολάζουσι. Δεύτερος δὲ ὁ Βίας ἔφη κρατίστην εἶναι δημοκρα- Ἔπειτα Θαλῆς τὴν μήτε πλουσίους ἄγαν μήτε πένητας ἔχουσαν πολίτας. Μετὰ δὲ τοῦτον ὁ Περίανδρος, ἐν ᾗ τῶν ἄλλων ἴσων νομιζομένων ἀρετῇ τὸ βέλτιον ὁρίζεται, κακίᾳ δὲ τὸ χεῖρον. Πέμπτος δὲ ὁ Κλεόβουλος ἔφη μάλιστα σωφρονεῖν δῆμον, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν ἢ τὸν νόμον. Ἕκτος δὲ Πιττακός, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν. Ὁ δὲ Χίλων ἀπεφήνατο τὴν μάλιστα νόμων ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι. Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ νόμου καὶ δικαιοσύνης. Νόμος ποτ᾽ ἀνθρώπω ψυχάν τε καὶ βίον ὅπερ ἁρμονία ποτ᾽ ἀκοάν τε καὶ φωνάν· ὅ τε γὰρ νόμος παιδεύει μὲν τὰν ψυχάν, συνίστησι δὲ τὸν βίον, ἅ τε ἁρμονία ἐπιστάμονα μὲν ποιεῖ τὰν ἀκοάν, ὁμόλογον δὲ τὰν φωνάν. φαμὶ δὴ ἐγὼ πᾶσαν κοινωνίαν ἐξ ἄρχοντος καὶ ἀρχομένω συνεστάμεν καὶ τρίτον νόμων. νόμων δὲ ὁ μὲν νόμος· τούτω γὰρ 〈ἐμμονᾷ〉 ὁ μὲν βασιλεὺς νόμιμος, ὁ δ᾽ ἄρχων ἀκόλουθος, ὁ δ᾽

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχόμενος ἐλεύθερος, ἁ δ’ ὅλα κοινωνία εὐδαίμων· καὶ τούτω παραβάσει 〈ὁ〉 μὲν βασιλεὺς τύραννος, ὁ δ’ ἄρχων ἀνακόλουθος, ὁ δ’ ἀρχόμενος δοῦλος, ὁ δ’ ὅλα κοινωνία κακοδαίμων. συνείρονται μὲν γὰρ ταὶ πράξιες ἐκ τῶ ἄρχεν καὶ τῶ ἄρχεσθαι καὶ τρίτον ἐκ τῷ κρατέν. τὸ μὲν ὦν ἄρχεν τῶ κρέσσονος οἰκῆον, τὸ δ’ ἄρχεσθαι τῶ χερῆονος, τὸ δὲ κρατὲν ἀμφοτέρων· ἄρχει μὲν γὰρ τὸ λόγον ἔχον τᾶς ψυχᾶς, ἄρχεται δὲ τὸ ἄλογον, κρατοῦντι δὲ τῶν παθέων ἀμφότερα. γίνεται γὰρ ἐκ τᾶς ἑκατέρων συναρμογᾶς ἀρετά, αὔτα δὲ καὶ ἀπὸ τᾶν ἀδονᾶν καὶ ἀπὸ τᾶν λυπᾶν ἐς ἀρεμίαν καὶ ἀπάθειαν ἀπάγει τὰν ψυχάν. Ἐν ταὐτῷ. Δεῖ δὲ τὸν νόμον ἀκόλουθον ἦμεν τᾷ φύσει, δυνατὸν τοῖς πράγμασι, συμφέροντα τᾷ πολιτικᾷ κοινωνίᾳ· αἴτε γὰρ ἑνὸς τούτων αἴτε πλῄόνων αἴτε πάντων ἀπολείπεται, ἤτοι οὐ νόμος ἢ οὐ τέλῃος νόμος ἐσεῖται. ἀκόγὰρ τὸ τᾷ φύσει καὶ πρᾶτον ἀγαθὸν 〈οὐχ〉 ἱκανοὶ δέξασθαι, τὸ δὲ ποθ’ αὐτὼς καὶ τὸ ἐνδεχόμενον· οὕτω γὰρ καὶ τοὶ νοσέοντες καὶ τοὶ κάμνοντες τυγχάνοντι ἐπιμελείας. Ἐν ταὐτῷ. Συμφέρων δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελὴς ὁ νόμος, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων· δεῖ δὲ καὶ ποτὶ τὰν χώραν καὶ ποτὶ τὼς τόπως ἀποβλέπεν τὸν νόμον, οὔτε γὰρ γᾶ τὼς αὐτὼς καρπὼς οὔτε ψυχὰ ἀνθρώπων τὰν αὐτὰν ἀρετὰν παραδέξασθαι δύναται. διὸ τὸ δίκαιον τοὶ μὲν ἀριστοκρατικὸν τοὶ δὲ δαμοκρατικὸν τοὶ δὲ ὀλιγαρχικὸν ποιοῦντι· καὶ τὸ ἀριστοκρατικὸν κατὰ τὰν ὑπεναντίαν μεσότατα· τοῖς μὲν γὰρ μέζοσι μέζονας τὼς [δὲ] λόγως, τοῖς δὲ μῄοσι μῄονας διανέμει ἁ ἀναλογία αὔτα· τὸ δὲ δαμοκρατικὸν κατὰ τὰν γεωμετρικάν· ἐν γὰρ ταύτᾳ τοὶ λόγοι ἶσοι τῶν μεζόνων καὶ μῄόνων μεγεθέων· τὸ δὲ ὀλιγαραῦτα τᾷ ὑπεναντίᾳ· τοῖς γὰρ μῄοσι μέζονας τὼς λόγως, τοῖς δὲ μέζοσι μῄονας. ταὶ μὲν ὦν ἰδέαι τᾶς διανομᾶς τοσαῦται, ταὶ δὲ εἰκόνες ἐν ταῖς πολιτείαις καὶ τοῖς οἴκοις θεωρέονται· τιμαί τε γὰρ καὶ κολάσιες καὶ ἀρχαὶ 〈ᾗ〉 ἐξ ἴσω τοῖς μέζοσι καὶ μῄοσι διανέμονται, ἢ ἐξ ἀνίσω ἢ τῷ ἀρετᾷ ὑπερέχεν ἢ τῷ πλούτῳ ἢ καὶ δυνάμει. τὸ μὲν ὦν ἐξ ἴσω δαμοκρατικόν, τὸ δὲ ἐξ ἀνίσω ἀριστοκρατικὸν ἢ ὀλιγαρχικόν. Ἐν ταὐτῷ. Δεῖ δὲ τὸν νόμον τὸν κάρρονα καὶ τὰν πόλιν ἐκ πασᾶν σύνθετον εἶμεν τᾶν ἀλλᾶν πολιτειᾶν· καὶ ἔχεν τι δαμοκρατίας, ἔχεν τι ὀλιγαρχίας, ἔχεν τι βασιλῆας καὶ ἀριστοκρατίας· ὥσπερ καὶ ἐν τᾷ Λακεδαίμονι· τοὶ μὲν γὰρ βασιλέες τᾶς μοναρχίας, τοὶ δὲ γέροντες τᾶς ἀριστοκρατίας, τοὶ δὲ ἔφοροι τᾶς ὀλιγαρχίας, ἱππαγρέται δὲ καὶ κόροι τᾶς δαμοκρατίας. δεῖ τοίνυν τὸν νόμον μὴ μόνον ἀγαθὸν καὶ καλὸν ἦμεν, ἀλλὰ καὶ ἀντιπεπονθέναι τοῖς αὐτῶ μερέεσσιν· οὗτος γὰρ ἰσχυρὸς καὶ βέβαιος· τὸ δ’ ἀντιπεπονθέναι λέγω αὐτῶ, καὶ ἄρχεν καὶ ἄρχεσθαι τὰν αὐτὰν ἀρχάν, ὥσπερ καὶ ἐν τᾷ εὐνομωτάτᾳ Λακεδαίμονι. τοῖς μὲν γὰρ βασιλεῦσιν τοὶ ἔφοροι ἀντικάθηνται, τούἐφ’ ὃ γὰρ ἂν ῥέψωντι τοὶ πλεονεκτίοντες τῶν ἀρχόντων, οὗτοι τοῖς ἄλλοις ὑποτίθενται. Δεῖ τὸν νόμον τὰ περὶ θεὼς καὶ δαίμονας καὶ γονέας καὶ ὅλως τὰ καλὰ καὶ τίμια πρᾶτα τίθεσθαι, δεύτερον δὲ τὰ συμφέροντα· τὰ γὰρ μῄονα τοῖς μέζοσιν ἀκολουθὲν ποθάκει· καὶ μὴ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν, ἀλλ’ ἐν τοῖς ἤθεσι τῶν πολιτευομένων. οὐδὲ γὰρ ἐν Λακεδαίμονι τᾷ εὐνομωτάτᾳ πλάθει γραμμάτων ἁ πόλις διοικῆται, πολὺ δὲ μᾶλλον [ἐν] τοῖς τρόποις τῶν πολιτευομένων. συμφέροντι δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελής, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων ὁ νόμος καὶ τὰν ζαμίαν ἐς τὰν αἰσχύναν καὶ τὰν ἀτιμίαν ἀμφέρῃ, μὴ ἐς τὰν τῶν χρημάτων ἀποβολάν. ἐκ μὲν γὰρ τῶ αἰσχύνᾳ ζαμιοῦσθαι κοσμιότατα καὶ χρηστότατα σπουδάζοντι, ὅπως τὰν ἐν τοῖς νόμοις ζαμίαν ἀκοινώνατον ἔχωντι· ἐκ δὲ τῶ χρήμασι χρήματα περὶ πλείστω ποιησοῦνται, μέγιστον φάρμακον ὑπολαμβάνοντες ἦμεν τῶν ἁμαρτημάτων. ἄριστον μὲν ὦν τὰν ὅλαν πόλιν οὕτως συντετάχθαι, ὥστε μηδενὸς ποτιδεῖσθαι ἔξωθεν, μήτε κατ’ ἀρετὰν μήτε κατὰ δύναμιν μήτε κατ’ ἄλλαν μηδεμίαν αἰτίαν· οὕτω γὰρ καὶ σῶμα καὶ οἰκία καὶ στράτευμα συντέτακται καλῶς, τὸ ἐν αὐτῷ ἔχον τὰν αἰτίαν τᾶς σωτηρίας, ἀλλὰ μὴ ἔξωθεν· σῶμα μὲν τὸ κάρρον, οἰκία δ’ ἁ συγκειμένα καλῶς, στράτευμα δὲ τὸ μὴ μισθοφόρον μηδ’ ἀγύμναστον· κρέσσονα γὰρ τὰ οὕτως συνταχθέντα γίνεται τῶν ἄλλων· καὶ ἐλεύθερα μὲν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδούλωτα, οὐ πολλῶν ποτιδεόμενα ποτὶ τὰν διαμονάν, ὀλίγων δὲ καὶ εὐπαρακομίστων. οὕτω γὰρ ὧν ὁ μὲν ἰσχυρὸς τῶ βάρεος, ὁ δὲ γυμνάτας τῶ ῥίγεος περιγίνεται· γυμνάζοντι γὰρ ταὶ τύχαι καὶ ταὶ συμφοραὶ τὼς ἀνθρώπως· ἐπεὶ καὶ τᾧ σώφρονι καὶ διαποναθέντι καὶ σώματι καὶ ψυχᾷ καὶ τροφὰ ἀδέα φαίνεται πᾶσα καὶ ποτόν, καὶ εὐνὰ δὲ ἁ μετὰ φυλλάδος, τᾧ δὲ τρυφᾶν καὶ συβαρίζεν ἐκποριουμένῳ καὶ ἁ τῶ μεγάλω βασιλέος παρασκευὰ δυσάρεστος καὶ ἀλλοτρία. τὸν νόμον ὧν ἐν τοῖς ἤθεσι καὶ τοῖς ἐπιταδεύμασι τῶν πολιτᾶν ἐγχρῴζεσθαι δεῖ· τὼς γὰρ πολίτας αὐτάρκεας θήσει καὶ διανεμεῖ τὸ κατ' ἀξίαν ἑκάστῳ καὶ τὸ ἐπιβάλλον· οὕτω γὰρ καὶ ὁ ἅλιος φερόμενος διὰ τῶ ζῳοφόρω διανέμει τοῖς ἐπὶ γᾶς πᾶσι καὶ γενέσιος καὶ τροφᾶς καὶ βιοτᾶς τὰν ποθάκουσαν μοῖραν, οἷον εὐνομίαν τὰν εὐκρασίαν τᾶν ὡρᾶν παραἀειδόμενα. Ἐκ τοῦ Ἀρχύτου Περὶ μαθημάτων (Diels fragm. d. Vorsokr. 2 p. 262). Δεῖ γὰρ ἢ μαθόντα παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα, ὧν ἀνεπιστάμων ἦσθα, ἐπιστάμονα γενέσθαι. τὸ μὲν ὧν μαθὲν παρ' ἄλλω καὶ ἀλλοτρίᾳ, τὸ δ' ἐξευρὲν αὐτὸν δι' αὐτῶ καὶ ἰδίᾳ. ἐξευρὲν δὲ μὴ ζατοῦντα 〈ἄπορον καὶ σπάνιον, ζατοῦντα δὲ〉 εὔπορον καὶ ῥᾴδιον· μὴ ἐπιστάμενον δὲ ζατὲν ἀδύνατον. Στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς· πλεονεξία τε γὰρ οὐκ ἔστι τούτω γενομένω καὶ δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων 〈ἐὼν〉 τὼς μὲν ἐπισταμένως λογίζεσθαι πρὶν ἀδικὲν ἔπαυσε, πείσας ὅτι οὐ δυνασοῦνται λαθέν, ὅταν ἐπ' αὐτὸν ἔλθωντι, τὼς δὲ μὴ ἐπισταμένως, ἐν αὐτῷ δηλώσας ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι. Πλουτάρχου ἐκ τοῦ Ὅτι 〈καὶ〉 γυναῖκα παιδευτέον (Plut. mor. vol. VII p. 126 Bern.). Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην 〈ἄν〉, μὴ παιδὶ πλοῦτον μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν. Αἰσώπου. Αἴσωπος τότε ἔλεγεν κακῶς ἔσεσθαι πᾶσιν, ὅταν Ἐκ τῶν Δημοσθένους Φιλιππικῶν (VI p. 66). Αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις δέον. Ἐπικούρου (fr. 530 p. 320 Vs.) Οἱ νόμοι χάριν τῶν σοφῶν κεῖνται, οὐχ ὅπως μὴ ἀδικῶσιν, ἀλλ' ὅπως μὴ ἀδικῶνται. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Δημοσθένης ὁ ῥήτωρ ἔφη πόλεως εἶναι ψυχὴν τοὺς νόμους· 'ὥσπερ γὰρ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων νόμων καταλύεται'. 〈Πλάτωνος〉 Πολιτείας η′ (p. 550 E —551 D). Τοὐντεῦθεν τοίνυν, εἶπον, προϊόντες εἰς τὸ πρόσθεν χρηματίζεσθαι, ὅσῳ ἂν τοῦτο τιμιώτερον ἡγῶνται, τοσούτῳ ἀρετὴν ἀτιμοτέραν· ἢ οὐχ οὕτω πλούτου ἀρετὴ διέστηκεν, ὥσπερ ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου, ἀεὶ τοὐναντίον ῥέποντε; Καὶ μάλ', ἔφη. Τιμωμένου δὴ πλούτου ἐν πόλει καὶ τῶν πλουσίων ἀτιμοτέρα ἀρετή τε ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. Οὕτω. Ἀντὶ δὴ φιλονίκων καὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ καὶ φιλοχρήματοι τελευτῶντες ἐγένοντο, καὶ τὸν μὲν πλούσιον ἐπαινοῦσί τε καὶ θαυμάζουσι καὶ εἰς τὰς ἀρχὰς ἄγουσι, τὸν δὲ πένητα ἀτιμάζουσι. Πάνυ γε. Οὐκοῦν τότε δὴ νόμον τίθενται ὅρον πολιτείας ὀλιγαρχικῆς ταξάμενοι πλῆθος χρημάτων, οὗ μὲν μᾶλλον ὀλιγαρχία, πλέον, οὗ δ' ἧττον, ἔλαττον, προειπόντες ἀρχῶν μὴ μετέχειν ᾧ ἂν μὴ 〈ᾖ〉 οὐσία εἰς τὸ ταχθὲν τίμημα, ταῦτα δὲ ἢ βίᾳ μεθ' ὅπλων διαπράττονται, ἢ καὶ πρὸ τούτου φοβήσαντες κατεστήσαντο τὴν τοιαύτην πολιτείαν. ἢ οὐχ οὕτως; Οὕτω μὲν οὖν. Ἡ μὲν δὴ κατάστασις ὡς ἔπος εἰπεῖν αὕτη. Ναί, ἔφη· ἀλλὰ τίς δὴ ὁ τρόπος τῆς πολιτείας; καὶ ποῖά ἐστιν ἃ ἔφαμεν αὐτὴν ἁμαρτήματα ἔχειν; Πρῶτον μέν, ἔφην, τοῦτο αὐτό, ὅρος αὐτῆς οἷός ἐστιν· ἄθρει γάρ, εἰ νεῶν οὕτω τις ποιοῖτο κυβερνήτας, ἀπὸ τιμημάτων, τῷ δὲ πένητι, εἰ καὶ κυβερνητικώτερος εἴη, μὴ ἐπιτρέποι. —Πονηράν, ἦ δ' ὅς, τὴν ναυτιλίαν αὐτοὺς ναυτίλλεσθαι. Οὐκοῦν καὶ περὶ ἄλλου οὕτως ὁτουοῦν ἥ τινος ἀρχῆς; Οἶμαι ἔγωγε. Πλὴν πόλεως; ἦν δ' ἐγώ· ἢ καὶ πόλεως πέρι; Πολύ γ', ἔφη, μάλιστα, ὅσῳ χαλεπωτάτη καὶ μεγίστη ἡ ἀρχή. Ἓν μὲν δὴ τοῦτο τοσοῦτον ὀλιγαρχία ἂν ἔχοι ἁμάρτημα. Φαίνεται. Θουκυδίδου ἱστορίας ε′ δημηγορίας Ἀθηναίων (111, 4). Ὡς οἵτινες τοῖς μὲν ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείττοσι καλῶς προσφέρονται, πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ' ἂν ὀρθοῖντο. Εὐσεβίου (fr. 39 Mull.). Πλοῦτος ἐν πόλι τῇ μελλούσῃ εὐδαιμονέειν ἀρετῆς μήκοτε προτιμηθείη, ὅκως μὴ διὰ τοῦτο ἐς

τὴν ἐκείνου ἐπιθυμίην πάντων συρρεόντων ὀλιγωρίη καὶ ἀνασκησίη ἀρετῆς ψυχαῖς τῶν κατὰ τὴν πόλιν ἐμφύῃ. ἀρετῆς γὰρ ἀτιμαζομένης πλοῦτος μοῦνος σπουδαζόμενος καὶ ἐνδυναστεύσας ὕβριός τε καὶ ὑπερηφανίης ὑπηρέτης καὶ πάντων κακῶν ὑπ' ἐξουσίης τε καὶ τοῦ ἀνεπιπλήκτου τὰ ἀπεστώσης ἀρετῆς οὐδεὶς ἀνακαλέσεται χορηγὸς γίνεται. Εὐσεβίου (fr. 40 Mull.). Ἄρχουσιν ἡ ὀφειλομένη αἰδὼς καὶ τιμὴ φυλασσομένη κόσμον σῴζει πόλιος καὶ διατηρέει. Πλάτωνος ἐκ τοῦ Γοργίου (p. 476 A —479 C). Μετὰ τοῦτο δὲ περὶ οὗ τὸ δεύτερον ἠμφισβητήσαμεν σκεψώμεθα, τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστιν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ᾤμην. σκοπώμεθα δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα ἆρα τὸ αὐτὸ καλεῖς; — Ἔγωγε. — Ἔχεις οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστιν, καθ' ὅσον καὶ δίκαια; καὶ διασκεψάμενος εἰπέ. — Ἀλλά μοι δοκεῖ, ὦ Σώκρατες. — Σκόπει δὴ καὶ τόδε· ἆρα εἴ τίς τι ποιεῖ, τοιόνδε· εἴ τις τύπτει, ἀνάγκη τι τύπτεσθαι; — Ἀνάγκη. — Καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ τυπτόμενον τύπτεσθαι; — Ναί. — Τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστίν, οἷον ἂν τὸ τύπτον ποιῇ; — Πάνυ γε. — Οὐκοῦν καὶ εἰ καίει τις, ἀνάγκη τι καίεσθαι; — Πῶς γὰρ οὔ; — Καὶ εἰ σφόδρα γε καίει ἢ ἀλγεινῶς, οὕτως καίεσθαι τὸ καιόμενον, ὡς ἂν τὸ καῖον καίῃ; — Πάνυ γε. — Οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος; τέμνεται γάρ τι. — Ναί. — Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον τμῆμα τέμνεται τὸ τεμνόμενον, οἷον τὸ τέμνον τέμνει; — Φαίνεται. — Συλλήβδην δὴ ὅρα εἰ ὁμολογεῖς, ὃ ἄρτι ἔλεγον, περὶ πάντων, οἷον ἂν ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν. — Ἀλλ' ὁμολογῶ. — Τούτων δὴ ὁμολογουμένων, τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν; — Ἀνάγκη, ὦ Σώκρατες, πάσχειν. — Οὐκοῦν ὑπό τινος ποιοῦντος; — Πῶς γὰρ οὔ; ὑπό γε τοῦ κολάζοντος. — Ὁ δὲ ὀρθῶς κολάζων δικαίως κολάζει; — Ναί. — Δίκαια ποιῶν ἢ οὔ; — Δίκαια. — Οὐκοῦν ὁ κολαζόμενος δίκην διδοὺς δίκαια πάσχει; — Φαίνεται. — Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται; — Πάνυ γε. — Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει, ὁ κολαζόμενος; — Ναί. — Οὐκοῦν εἴπερ ᾿Ωφελεῖται ἄρα; — Ναί. — Ἆρα ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλειαν; βελτίων τὴν ψυχὴν γίγνεται, εἴπερ δικαίως κολάζεται; — Εἰκός γε. — Κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς; — Ναί. — Ἆρ' οὖν τοῦ μεγίστου ἀπαλλάττεται κακοῦ; ὧδε δὲ σκόπει· ἐν χρημάτων κατασκευῇ ἀνθρώπου κακίαν ἄλλην τινὰ ἐνορᾷς ἢ πενίαν; — Οὔκ, ἀλλὰ πενίαν. — Τί δ' ἐν σώματος κατασκευῇ; κακίαν 〈ἂν〉 φήσαις ἀσθένειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα; — Ἔγωγε. — Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν ἡγῇ τινα εἶναι; — Πῶς γὰρ οὔ; — Ταύτην οὖν οὐκ ἀδικίαν καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα; — Πάνυ μὲν οὖν. — Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας πονηρίας, πενίαν, νόσον, ἀδικίαν; — Ναί. — Τίς τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρία; — Πολύ γε. — Εἰ δὴ αἰσχίστη, καὶ κακίστη; — Πῶς, ὦ Σώκρατες, λέγεις; — Ὧδί· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρέχον ἢ βλάβην ἢ ἀμφότερον αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν. — Μάλιστα. — Αἴσχιστον δὲ ἀδικία καὶ ξύμπασα ψυχῆς πονηρία νῦν δὴ ὡμολόγηται ἡμῖν; — Ὡμολόγηται γάρ. — Οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι καὶ ἀνίᾳ ἀμαθῆ; — Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπὸ τούτων γε. — Ὑπερφυεῖ τινι ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα τὰ ἄλλα ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν ἐστι πάντων, ἐπειδὴ οὐκ ἀλγηδόνι γε, 〈ὡς ὁ σὸς〉 λόγος. — Φαίνεται. — Ἀλλὰ μήν που τὸ μεγίστῃ βλάβῃ ὑπερβάλλον μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων. — Ναί. — Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστιν; — Φαίνεται. — Τίς οὖν τέχνη πενίας ἀπαλλάττει; οὐ χρηματιστική; — Ναί. — Τίς δὲ νόσου; οὐκ ἰατρική; — Ἀνάγκη. — Τίς δὲ πονηρίας καὶ ἀδικίας; εἰ μὴ οὕτως εὐπορεῖς, ὧδε σκόπει· ποῖ ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα; — Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες [φής]. — Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ ἀκολασταίνοντας; — Παρὰ τοὺς δικαστὰς λέγεις; — Οὐκοῦν δίκην

δώσοντας; — Φημί. — Ἆρ’ οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες; — Δῆλον δή. — Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰατρικὴ δὲ νόσου, δίκη δὲ ἀκολασίας καὶ ἀδικίας. — Φαίνεται. — Τί Χρηματιστικῆς, ἰατρικῆς, δίκης. — Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ δίκη. — Οὐκοῦν αὖ ἤτοι ἡδονὴν πλείστην ποιεῖ ἢ ὠφέλειαν ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν; — Ναί. — Ἆρ’ οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι; — Οὐκ ἔμοιγε δοκεῖ. — Ἀλλὰ ὠφέλιμόν γε. ἦ γάρ; — Ναί. — Μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται, ὥστε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὑγιῆ εἶναι. — Πῶς γὰρ οὔ; — Ἆρ’ οὖν οὕτως ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη, ἰατρευόμενος, ἢ μηδὲ κάμνων ἀρχήν; — Δηλονότι μηδὲ κάμνων. — Οὐ γὰρ τοῦτ’ ἦν εὐδαιμονία, ὡς ἔοικεν, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις. — Ἔστι ταῦτα. — Τίς δέ; ἀθλιώτερος πότερος δυοῖν ἐχόντοιν κακὸν εἴτε ἐν σώματι εἴτε ἐν ψυχῇ, ὁ ἰατρευόμενος καὶ ὁ ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος, ἔχων δέ; — Φαίνεται ὁ μὴ ἰατρευόμενος. — Οὐκοῦν τὸ δίκην διδόναι μεγάλου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας; — Ἦν γάρ. — Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη. — Ναί. — Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων κακίαν ἐν ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη. — Δῆλον δή. — Δεύτερος δέ που ὁ ἀπαλλαττόμενος. — Ἔοικεν. — Οὗτος δ’ ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς. — Ναί. — Κάκιστ’ ἄρα ζῇ ὁ νος μεγίστῃ ἀδικίᾳ διαπράξηται ὥστε μήτε νουθετεῖσθαι μήτε κολάζεσθαι μήτε δίκην διδόναι, ὥσπερ σὺ φῂς Ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους καὶ ῥήτορας καὶ δυνάστας; σχεδὸν γάρ που οὗτοι, ὦ ἄριστε. τὸ αὐτὸ διαπεπραγμένοι εἰσὶν ὥσπερ ἂν 〈εἴ〉 τις τοῖς νοσήμασι συνισχόμενος διαπράξαιτο μὴ διδόναι δίκην τῶν περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς μηδὲ ἰατρεύεσθαι, φοβούμενος ὥσπερ ἂν εἰ εἴποις τὸ καίεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι ἀλγεινόν. ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτως; — Ἔμοιγε. — Ἀγνοῶν γε, ὡς ἔοικεν, οἷόν ἐστιν ἡ ὑγίεια καὶ ἀρετὴ σώματος. κινδυνεύουσι γὰρ ἐκ τῶν νῦν ἡμῖν ὡμολογημένων τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, ὦ Πῶλε, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν καὶ ἀγνοεῖν ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγιεῖ ψυχῇ συνοικεῖν, ἀλλὰ σαθρᾷ καὶ ἀδίκῳ καὶ ἀνοσίῳ, ὅθεν καὶ πᾶν ποιοῦσιν ὥστε δίκην μὴ διδόναι μηδὲ ἀπαλλάττεσθαι τοῦ μεγίστου κακοῦ, καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν. Τοῦ αὐτοῦ Νόμων η′ (p. 846 D). Τέχνην γὰρ ἱκανήν, πολλῆς ἀσκήσεως ἅμα καὶ μαθημάτων πολλῶν δεομένην, κέκτηται πολίτης ἀνὴρ τὸν κοινὸν τῆς πόλεως κόσμον σῴζων καὶ κτώμενος, οὐκ ἐν παρέργῳ δεόμενον ἐπιτηδεύειν. δύο δὲ ἐπιτηδεύματα ἢ δύο Πλάτωνος ἐκ τοῦ Ἀλκιβιάδου (p. 162 B—127 D). Τί δὲ δή; πόλις τίνος παραγιγνομένου καὶ ἀπογιγνομένου βελτίων τε γίγνεται καὶ ἄμεινον θεραπεύεται καὶ διοικεῖται; — Ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες, ὅταν φιλία μὲν αὐτοῖς γίγνηται πρὸς ἀλλήλους, τὸ δὲ μισεῖν τε καὶ στασιάζειν ἀπογίγνηται. — Ἆρ’ οὖν φιλίαν λέγεις ὁμόνοιαν ἢ διχόνοιαν; — Ὁμόνοιαν. — Διὰ τίνα οὖν τέχνην ὁμονοοῦσιν αἱ πόλεις περὶ ἀριθμούς; — Διὰ τὴν ἀριθμητικήν. — Τί δέ οἱ ἰδιῶται; οὐ διὰ τὴν αὐτήν; — Ναί. — Οὐκοῦν καὶ αὐτὸς αὑτῷ ἕκαστος; — Ναί. — Διὰ τίνα δὲ τέχνην αὐτὸς αὑτῷ ἕκαστος ὁμονοεῖ περὶ σπιθαμῆς καὶ πήχεως πότερον μεῖζον; οὐ διὰ τὴν μετρητικήν; — Τί μήν; — Οὐκοῦν καὶ οἱ ἰδιῶται ἀλλήλοις καὶ αἱ πόλεις; — Ναί. — Τί δὲ [αἱ] περὶ σταθμοῦ οὐχ ὡσαύτως; — Φημί. — Ἦν δὲ δὴ σὺ λέγεις ὁμόνοιαν, τίς ἐστι καὶ περὶ τοῦ, καὶ τίς αὐτὴν τέχνην παρασκευάζει; καὶ ἆρα ἥπερ πόλει, αὐτὴ καὶ ἰδιώτῃ, αὐτῷ τε πρὸς αὐτὸν καὶ πρὸς ἄλλον; — Εἰκός γέ 〈τοι〉. — Τίς οὖν ἔστι; μὴ κάμῃς ἀποκρινόμενος, ἀλλὰ προνασθαι ὁμονοεῖν, τὸν μὴ ἐπιστάμενον τῇ ἐπισταμένῃ; — Οὐ δῆτα. — Οὐδέ γε δεῖ οὐδέν· γυναικεῖον γὰρ τοῦτο μάθημα. — Ναί. — Τί δέ; γυνὴ ἀνδρὶ περὶ ὁπλιτικῆς δύναιτ’ ἂν ὁμονοεῖν μὴ μαθοῦσα; — Οὐ δῆτα. — Ἀνδρεῖον γὰρ τοῦτό γε ἴσως ἂν φαίης εἶναι; — Ἔγωγε. — Ἔστιν ἄρα τὰ μὲν γυναικεῖα, τὰ δὲ ἀνδρεῖα μαθήματα κατὰ τὸν σὸν λόγον. — Πῶς δ’ οὔ; — Οὐκ ἄρα ἔν γε τούτοις

ἐστὶν ὁμόνοια γυναιξὶ πρὸς ἄνδρας. — Οὔ. — Οὐδ’ ἄρα φιλία, εἴπερ ἡ φιλία ὁμόνοια ἦν. — Οὐ φαίνεται. — Ἦι ἄρα αἱ γυναῖκες τὰ αὑτῶν πράττουσιν, οὐ φιλοῦνται ὑπὸ τῶν ἀνδρῶν. — Οὐκ ἔοικεν. — Οὐδ’ ἄρα οἱ ἄνδρες ὑπὸ τῶν γυναικῶν ᾖ τὰ αὑτῶν. — Οὔ. — Οὐδ’ εὖ ἄρα ταύτῃ οἰκοῦνται αἱ πόλεις, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν; — Οἶμαί [γε] ἔγωγε, ὦ Σώκρατες. — Πῶς λέγεις, φιλίας μὴ παρούσης, ἧς ἔφαμεν ἐγγιγνομένης εὖ οἰκεῖσθαι τὰς πόλεις, ἄλλως δ’ οὔ; — Ἀλλά μοι δοκεῖ καὶ κατὰ τοῦτ’ αὐτοῖς φιλία ἐγγίγνεσθαι, ὅτι τὰ αὑτῶν ἑκάτεροι πράττουσιν. — Οὐκ ἄρτι γε· νῦν δὲ πῶς αὖ λέγεις; ὁμονοίας μὴ ἐγγιγνομένης φιλία ἐγγίγνεται; ἢ οἷόν τε ὁμόνοιαν ἐγγίγνεσθαι περὶ τούτων ὧν οἱ μὲν ἴσασιν, οἱ δ’ οὔ; — Ἀδύνατον. — Δίκαια δὲ πράττουσιν ἢ ἄδικα, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν; — Δίκαια· πῶς γὰρ οὔ; — Τὰ δίκαια οὖν πραττόντων ἐν τῇ πόλει τῶν πολιτῶν φιλία οὐκ ἐγγίγνεται πρὸς ἀλλήλους; — Ἀνάγκη αὖ δοκεῖ μοι εἶναι, ὦ Σώκρατες. — Τίν’ οὖν ποτε λέγεις τὴν φιλίαν ἢ ὁμόνοιαν περὶ ἧς δεῖ ἡμᾶς σοφούς τε εἶναι καὶ εὐβούλους, ἵνα ἀγαθοὶ ἄνδρες ὦμεν; Ἐν ταὐτῷ (p. 134 B—135 C). Οὐκ ἄρα τειχῶν οὐδὲ τριήρων οὐδὲ νεωρίων δέονται αἱ πόλεις, ὦ Ἀλκιβιάδη, εἰ μέλλουσιν εὐδαιμονεῖν. οὐδὲ πλήθους οὐδὲ μεγέθους ἄνευ ἀρετῆς. — Οὐ μέντοι. — Εἰ δὲ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι μεταδοτέον τοῖς πολίταις. — Πῶς γὰρ οὔ; — Δύναιτο δ’ ἄν τις μεταδιδόναι οὗ μὴ ἔχοι; — Καὶ πῶς; — Αὐτῷ ἄρα σοὶ πρῶτον κτητέον ἀρετήν, καὶ ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ τε καὶ τῶν αὑτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως. — Ἀληθῆ λέγεις. — Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ’ ἀρχὴν παρασκευαστέον σεαυτῷ ποιεῖν ὅ τι ἂν βούλῃ, οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην, — Φαίνεται. — Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις θεοφιλῶς πράξετε. — Εἰκός γε. — Καὶ ὅπερ γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ τὸ λαμπρὸν ὁρῶντες πράξετε. — Φαίνεται. — Ἀλλὰ μὴν ἐνταῦθά γε εὖ πράξετε; — Ναί. — Ἀλλὰ μὴν οὕτω γε πράττοντας ὑμᾶς ἐθέλω ἐγγυήσασθαι ἢ μὲν εὐδαιμονήσειν. — Ἀσφαλὴς γὰρ εἶ ἐγγυητής. — Ἀδίκως δὲ πράττοντες, εἰς τὸ ἄθεον καὶ τὸ σκοτεινὸν βλέποντες, ὡς τὰ εἰκότα, ὅμοια τούτοις πράξετε ἀγνοοῦντες ὑμᾶς αὐτούς. — Ἔοικεν. — Ὦι γάρ, ὦ φίλε Ἀλκιβιάδη, ἐξουσία μὲν ᾗ ποιεῖν ὃ βούλεται, νοῦν δὲ μὴ ἔχῃ, τί τὸ εἰκὸς συμβαίνειν, ἰδιώτῃ ἢ καὶ πόλει; οἷον νοσοῦντι ἐξουσίας οὔσης δρᾶν ὃ βούλεται, νοῦν ἰατρικὸν μὴ ἔχοντι, τυραννοῦντι δὲ ὡς μηδ’ ἐπιπλήττοι τις αὐτῷ, τί τὸ συμβησόμενον; ἆρ’ οὐχ, ὡς τὸ εἰκός, διαφθαρῆναι τὸ σῶμα; τί δ’ ἐν νηί, εἴ τῳ ἐξουσία εἴη ποιεῖν ὃ δοκεῖ, νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς ἐστερημένῳ, καθορᾷς ὃ ἂν ξυμβαίη αὐτῷ τε καὶ τοῖς συνναύταις; — Ἔγωγε, ὅτι ἀπόλοιντο πάντες ἄν. — Οὐκοῦν ὡσαύτως ἐν πόλει τε καὶ πάσαις ἀρχαῖς καὶ ἐξουσίαις ἀπολειπομέναις ἀρετῆς ἕπεται τὸ κακῶς πράττειν; — Ἀνάγκη. — Οὐκ ἄρα τυραννίδα χρή, ὦ ἄριστε Ἀλκιβιάδη, παρασκευάζεσθαι οὔτε ἑαυτῷ οὔτε τῇ πόλει, εἰ μέλλετε εὐδαιμονεῖν, ἀλλ’ ἀρετήν. — Ἀληθῆ λέγεις. — Πρὶν ονος ἢ τὸ ἄρχειν ἀνδρί, οὐ μόνον παιδί. — Φαίνεται. — Οὐκοῦν τό γ’ ἄμεινον καὶ κάλλιον; — Ναί. — Τὸ δὲ κάλλιον πρεπωδέστερον; — Πῶς δ’ οὔ; — Πρέπει ἄρα τῷ κακῷ δουλεύειν· ἄμεινον γάρ. — Ναί. — Δουλοπρεπὲς ἄρα ἡ κακία. — Φαίνεται. — Ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή. — Ναί. — Οὐκοῦν φεύγειν χρή, ὦ ἑταῖρε, τὴν δουλοπρέπειαν; — Μάλιστά γε, ὦ Σώκρατες. — Αἰσθάνῃ δὲ νῦν πῶς ἔχεις, δουλοπρεπῶς ἢ οὔ; — Δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι. Ξενοφῶντος ἐν τῷ η′ τῆς Κύρου παιδείας (c. 1, 2—3). Ἐννοήσατε γὰρ τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη· [ἢ] τίς δ’ ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη· ποῖον δ’ ἂν ἀπειθοῦν στράτευμα νίκης τύχοι· πῶς δ’ ἂν μᾶλλον ἡττῶντ’ ἐν μάχαις ἄνθρωποι ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς σωτηρίας βουλεύεσθαι· τί δ’ ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ μὴ πειθομένων· ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν· ποῖοι δ’ οἶκοι σωθείησαν· πῶς δ’ ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο· ἡμεῖς δέ γ’ ἃ νῦν ἔχομεν ἀγαθὰ διὰ τί ἄλλο μᾶλλον κατεπράξαμεν ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι; εἰ τοίνυν τὸ διασῴζειν ἃ δεῖ μέγιστον ἀγαθόν ἐστιν. Πλάτωνος Πολιτείας β′ (p. 374 E- 376 A). Ἡμέτερον

δ’ ἂν εἴη ἔργον, ὡς ἔοικεν, εἴπερ οἷοί τε ἐσμέν, ἐκλέξασθαι, τίνες τε καὶ ποῖαι φύσεις ἐπιτήδειαι εἰς πόλεως φυλακήν. Ἡμέτερον μέντοι. Μὰ Δί’, ἦν δ’ ἐγώ, οὐκ ἄρα φαῦλον πρᾶγμα ἡράμεθα· ὅμως δὲ οὐκ ἀποδειλιατέον εἰς ὅσον δὴ δύναμις παρήκει. Οὐ γὰρ οὖν, ἔφη. Οἴει οὖν τι, ἦν δ’ ἐγώ, διαφέρειν τὴν φύσιν γενναίου σκύλακος εἰς φυλακὴν νεανίσκου εὐγενοῦς; Τὸ ποῖον λέγεις; Οἷον ὀξύν τέ που δεῖ αὐτοῖν ἑκάτερον εἶναι καὶ ἐλαφρὸν πρὸς τὸ αἰσθανόμενον διωκάθειν, καὶ ἰσχυρὸν αὖ, ἐὰν δέῃ ἑλόντα διαμάχεσθαι. Δεῖ γὰρ οὖν, ἔφη, πάντων τούτων. Καὶ μὴν ἀνδρεῖόν γε, εἴπερ εὖ μαχεῖται. Πῶς δ’ οὔ; Ἀνδρεῖος δ’ εἶναι ᾖ’ ἂν ἐθέλοι ὁ μὴ θυμοειδὴς 〈εἴτε〉 ἵππος εἴτε κύων εἴτε ἄλλο ὁτιοῦν ζῷον; ἢ οὐκ ἐννενόηκας ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός, οὗ παρόντος ψυχὴ πᾶσα πρὸς πάντα ἄφοβός τε καὶ ἀήττητος; Ἐννενόηκα. Τὰ μὲν τοίνυν τοῦ σώματος οἷον χῆς, ὅτι γε θυμοειδῆ. Καὶ τοῦτο. Πῶς οὖν, ἦν δ’ ἐγώ, ὦ Γλαύκων, οὐκ ἄγριοι ἀλλήλοις τε ἔσονται καὶ τοῖς ἄλλοις πολίταις, ὄντες τοιοῦτοι τὰς φύσεις; Μὰ Δί’, ᾗ δ’ ὅς, οὐ ῥᾳδίως. Ἀλλὰ μέντοι δεῖ γε πρὸς μὲν τοὺς οἰκείους πράους αὐτοὺς εἶναι, πρὸς δὲ τοὺς πολεμίους χαλεπούς· εἰ δὲ μή, οὐ μενοῦσιν ἄλλους σφᾶς διολέσαι, ἀλλ’ αὐτοὶ φθήσονται αὐτὸ δράσαντες. Ἀληθῆ, ἔφη. Τί οὖν, ἦν δ’ ἐγώ, ποιήσομεν; πόθεν πρᾶόν τε ἅμα καὶ μεγαλόθυμον ἦθος εὑρήσομεν; ἐναντία γάρ που θυμοειδεῖ πραεῖα φύσις. Φαίνεται. Ἀλλὰ μέντοι τούτων γε ὁποτέρου ἂν στέρηται, φύλαξ ἀγαθὸς οὐ μὴ γένηται· ταῦτα δὲ ἀδυνάτοις ἔοικεν, καὶ οὕτω δὴ ξυμβαίνει ἀγαθὸν φύλακα ἀδύνατον γενέσθαι. Κινδυνεύει, ἔφη. Καὶ ἐγὼ ἀπορήσας τε καὶ ἐπισκεψάμενος τὰ ἔμπροσθεν, εἶπον, Δικαίως γε, ἦν δ’ ἐγώ, ὦ φίλε, ἀποροῦμεν· ἧς γὰρ προυθέμεθα εἰκόνος ἀπελείφθημεν. Πῶς λέγεις; ἔφη. Οὐκ ἐνενοήσαμεν, ὅτι ἄρα τοιαῦταί εἰσι φύσεις οἵας ἡμεῖς οὐκ ᾠήθημεν, ἔχουσαι τἀναντία ταῦτα; Ποῦ δή; Ἴδοι μὲν ἄν τις καὶ ἐν ἄλλοις πολλοῖς ζῴοις, οὐ μεντἂν ἥκιστα ἐν ᾧ ἡμεῖς παρεβάλλομεν τῷ φύλακι. οἶσθα γάρ που τῶν γενναίων κυνῶν, ὅτι τοῦτο αὐτῶν φύσει τὸ ἦθος, πρὸς ἔοικεν. Ἆρ’ οὖν σοι δοκεῖ ἔτι τοῦδε προσδεῖσθαι ὁ φυλακικὸς ἐσόμενος, πρὸς τῷ θυμοειδεῖ ἔτι προσγενέσθαι φιλόσοφος τὴν φύσιν; Πῶς δή; ἔφη· οὐ γὰρ ἐννοῶ. Καὶ τοῦτο, ἦν δ’ ἐγώ, ἐν τοῖς κυσὶ κατόψει, ὃ καὶ ἄξιον θαυμάσαι τοῦ θηρίου. Τὸ ποῖον; Ὅτι ὃν μὲν ἂν ἴδῃ ἀγνῶτα, μισεῖ καὶ χαλεπαίνει, οὐδὲν κακὸν πεπονθώς· ὃν δ’ ἂν γνώριμον, ἀσπάζεται, κἂν μηδὲν πώποτε ὑπ’ αὐτοῦ πεπόνθῃ ἀγαθόν. ἢ οὔπω τοῦτο ἐθαύμασας; Οὐ πάνυ, ἔφη, μέχρι τούτου προσέσχον τὸν νοῦν· ὅτι δέ που δρᾷ ταῦτα, δῆλον. Ἐν ταὐτῷ (p. 376 C). Φιλόσοφος δὴ καὶ θυμοειδὴς καὶ ἰσχυρὸς καὶ ταχὺς ἡμῖν τὴν φύσιν ἔσται ὁ μέλλων καλὸς κἀγαθὸς φύλαξ ἔσεσθαι πόλεως. Παντάπασι μὲν οὖν, ἔφη. Πλάτωνος Πολιτείας γ′ (p. 395 B—D). Εἰ ἄρα τὸν πρῶτον λόγον διασώσομεν, τοὺς φύλακας ἡμῖν τῶν ἄλλων πασῶν δημιουργιῶν ἀφειμένους δεῖν εἶναι δημιουργοὺς ἐλευθερίας τῆς πόλεως πάνυ ἀκριβεῖς καὶ μηδὲν ἄλλο ἐπιτηδεύειν ὅ τι μὴ εἰς τοῦτο φέρει, οὐδὲν δὲ δὴ δέοι ἂν αὐτοὺς ἄλλο πράττειν οὐδὲ μιμεῖσθαι 〈ἢ〉 τὰ τούτοις προσήκοντα εὐθὺς ἐκ παίδων ἀνδρείους. σώφρονας, ὁσίους, ἐλευθέρους, καὶ τὰ τοιαῦτα πάντα, τὰ δὲ ἀνελεύθερα μήτε ποιεῖν μήτε δεινοὺς εἶναι μιμήσασθαι, μηδ’ ἄλλο μηδὲν τῶν αἰσχρῶν, ἵνα μὴ ἐκ τῆς μιμήσεως τοῦ εἶναι ἀπολαύσωσιν. ἢ οὐκ ᾔσθησαι, ὅτι αἱ μιμήσεις, ἐὰν ἐκ νέων πόρρω διατελέσωσιν, εἰς ἤθη τε καὶ φύσιν καθίστανται καὶ κατὰ σῶμα καὶ φωνὰς καὶ κατὰ τὴν διάνοιαν; Καὶ μάλα, ᾗ δ’ ὅς. Ἐν ταὐτῷ (p. 412 B—414 B). Τὸ δὴ μετὰ τοῦτο τί ἂν ἡμῖν διαιρετέον εἴη; ἆρ’ οὐκ αὐτῶν τούτων οἵτινες ἄρξουσί τε καὶ ἄρξονται; Τί μήν; Οὐκοῦν ὅτι μὲν πρεσβυτέρους τοὺς ἄρχοντας δεῖ εἶναι, νεωτέρους δὲ τοὺς ἀρχομένους, ..; Δῆλον. Καὶ ὅτι γε τοὺς ἀρίστους αὐτῶν τούτων; Καὶ τοῦτο. Οἱ δὲ γεωργῶν ἄριστοι ᾆρ’ οὐ γεωργικώτατοι γίγνονται; Ναί. Νῦν δ’, ἐπειδὴ φυλάκων αὐτοὺς ἀρίστους δεῖ εἶναι, ᾆρ’ οὐ φυλακικωτάτους πόλεως; Ναί. Οὐκοῦν φρονίμους τε εἰς τοῦτο δεῖ ὑπάρχειν καὶ δυνατοὺς καὶ ἔτι κηδεμόνας τῆς πόλεως; Ἔστι ταῦτα. Κήδοιτο δ’ ἄν τις μάλιστα καὶ ἑαυτῷ εὖ πράττειν, μὴ δέ, τοὐναντίον. Οὕτως, ἔφη. Λεκτέον ἄρα ἐκ τῶν ἄλλων φυλάκων τοιούτους ἄνδρας, οἳ ἂν σκοποῦσιν ἡμῖν φαίνωνται παρὰ πάντα τὸν βίον, ὃ μὲν ἂν τῇ πόλει

ἡγήσωνται ξυμφέρειν, πάσῃ προθυμίᾳ ποιεῖν, ὃ δ’ ἂν μή, μηδενὶ τρόπῳ πρᾶξαι ἂν ἐθέλειν. Ἐπιτήδειοι γάρ, ἔφη. Δοκεῖ δή μοι τηρητέον αὐτοὺς εἶναι ἐν ἁπάσαις ταῖς ἡλικίαις, εἰ φυλακικοί εἰσι τούτου τοῦ δόγματος καὶ μήτε γοητευόμενοι μήτε βιαζόμενοι οἳ ἐκβάλλοιεν ἐπιλανθανόμενοι δόξαν τὴν τοῦ ποιεῖν δεῖν ἃ τῇ πόλει βέλτιστα. Τίνα, ἔφη, λέγεις τὴν ἐκβολήν; Ἐγώ σοι, ἔφην, ἐρῶ. φαίνεταί μοι δόξα ἐξιέναι ἐκ διανοίας ἢ ἑκουσίως ἢ ἀκουσίως, ἑκουσίως μὲν ἡ ψευδὴς τοῦ μεταμανθάνοντος, ἀκουσίως δὲ πᾶσα ἡ ἀληθής. Τὸ μὲν τῆς ἑκουσίου, ἔφη, μανθάνω, τὸ δὲ τῆς ἀκουσίου δέομαι μαθεῖν. Τί δαί; οὐ καὶ σὺ ἡγῇ, ἔφην ἐγώ, τῶν μὲν ἀγαθῶν ἀκουσίως στέρεσθαι τοὺς ἀνθρώπους, τῶν δὲ κακῶν ἑκουσίως; ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δὲ ἀληθεύειν ἀγαθόν; ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν ἀληθεύειν δοκεῖ σοι εἶναι; Ἀλλ’, ἦ δ’ ὅς, ὀρθῶς λέγεις, καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι. Οὐκοῦν κλαπέντες ἢ γοητευθέντες ἢ βιασθέντες τοῦτο πάσχουσιν; Οὐδὲ νῦν, ἔφη, μανθάνω. Τραγικῶς ἄρα, ἦν δ’ ἐγώ, κινδυνεύω λέγειν. κλαπέντας γὰρ τοὺς μεταπεισθέντας λέγω καὶ τοὺς ἐπιλανθανομένους, ὅτι τῶν μὲν χρόνος, τῶν δὲ λόγος ἐξαιρούμενος λανθάνει· νῦν γάρ που μανθάνεις; Ναί. Τοὺς τοίνυν βιασθέντας λέγω οὓς ἂν ὀδύνη τις ἢ ἀλγηδὼν μεταδοξάσαι ποιήσῃ. Καὶ τοῦτο, ἔφη, ἔμαθον, καὶ ὀρθῶς λέγεις. Τοὺς μὴν γοητευθέντας, ὡς ἐγῷμαι, κἂν σὺ φαίης εἶναι οἳ ἂν μεταδοξάσωσιν ἢ ὑφ’ ἡδονῆς κηληθέντες ἢ ὑπὸ φόβου τι δείσαντες. Ἔοικε γάρ, ἦ δ’ ὅς, γοητεύειν πάντα ὅσα ἀπατᾷ. Ὃ τοίνυν ἄρτι ἔλεγον, ζητητέον τίνες ἄριστοι φύλακες τοῦ παρ’ αὐτοῖς δόγματος, τοῦτο ὡς ποιητέον ὃ [δ’] ἂν τῇ πόλει ἀεὶ δοκῶσι βέλτιστον εἶναι αὐτοῖς ποιεῖν. τηρητέον δὴ εὐθὺς ἐκ παίδων προθεμένοις ἔργα ἐν οἷς ἄν τις τὸ τοιοῦτον μάλιστα ἐπιλανθάνοιτο καὶ ἐξαπατῷτο, καὶ τὸν μὲν μνήμονα καὶ δυσεξαπάτητον ἐγκριτέον, τὸν δὲ μὴ ἀποκριτέον. ἦ γάρ; Ναί. Καὶ πόνους γε αὖ καὶ ἀλγηδόνας καὶ ἀγῶνας αὐτοῖς θετέον, ἐν οἷς ταὐτὰ ταῦτα τηρητέον. Ὀρθῶς, ἔφη. Οὐκοῦν, ἦν δ’ ἐγώ, καὶ τρίτου εἴδους τοῦ τῆς γοητείας ἅμιλλαν ποιητέον καὶ θεατέον, ὥσπερ τοὺς πώλους ἐπὶ τοὺς ψόφους τε καὶ θοήτευτος καὶ εὐσχήμων ἐν ἅπασι φαίνεται, φύλαξ αὐτοῦ ὢν ἀγαθὸς καὶ τῆς μουσικῆς ἧς ἐμάνθανεν, εὔρυθμόν τε καὶ εὐάρμοστον ἑαυτὸν ἐν πᾶσι τούτοις παρασχών, οἷος δὴ ὢν καὶ ἑαυτῷ καὶ πόλει χρησιμώτατος ἂν εἴη. καὶ τὸν ἀεὶ ἔν τε παισὶ καὶ νεανίσκοις καὶ ἀνδράσι βασανιζόμενον καὶ ἀκήρατον ἐκβαίνοντα καταστατέον ἄρχοντα τῆς πόλεως καὶ φύλακα, καὶ τιμὰς δοτέον καὶ ζῶντι καὶ τετελευτηκότι, τάφων τε καὶ τῶν ἄλλων μνημείων μέγιστα γέρα λαγχάνοντα· τὸν δὲ μὴ τοιοῦτον ἀποκριτέον. τοιαύτη τις, ἦν δ’ ἐγώ, ὦ Γλαύκων, δοκεῖ μοι ἡ ἐκλογὴ εἶναι καὶ κατάστασις τῶν ἀρχόντων τε καὶ φυλάκων, ὡς ἐν τύποις, μὴ δι’ ἀκριβείας, εἰρῆσθαι. Καὶ ἐμοί, ἦ δ’ ὅς, οὕτω πῃ φαίνεται. Ἆρ’ οὖν ὡς ἀληθῶς ὀρθότατον καλεῖν τούτους μὲν φύλακας παντελεῖς τῶν τε ἔξωθεν πολεμίων τῶν τε ἐντὸς φίλων, ὅπως 〈οἱ μὲν〉 μὴ βουλήσονται, οἱ δὲ μὴ δυνήσονται κακουργεῖν, τοὺς δὲ νέους, οὓς δὴ νῦν φύλακας ἐκαλοῦμεν, ἐπικούρους τε καὶ βοηθοὺς τοῖς τῶν ἀρχόντων δόγμασιν; Ἐν ταὐτῷ (p. 416 B—417 B). Ὃ μέντοι ἄρτι ἐλέγομεν, ἄξιον, ὅτι δεῖ αὐτοὺς τῆς φυλαττομένους ὑπ’ αὐτῶν. Καὶ ὀρθῶς γε, ἦ δ’ ὅς. Πρὸς τοίνυν τῇ παιδείᾳ ταύτῃ φαίη ἄν τις νοῦν ἔχων δεῖν καὶ τὰς οἰκήσεις καὶ τὴν ἄλλην οὐσίαν τοιαύτην αὐτοῖς παρεσκευάσθαι, ἥτις μήτε τοὺς φύλακας ὡς ἀρίστους εἶναι παύσει αὐτούς, κακουργεῖν τε μὴ ἐπαίρει περὶ τοὺς ἄλλους πολίτας. Καὶ ἀληθῶς γε φήσει. Ὅρα δή, εἶπον ἐγώ, εἰ τοιόνδε τινὰ τρόπον δεῖ αὐτοὺς ζῆν τε καὶ οἰκεῖν, εἰ μέλλουσι τοιοῦτοι ἔσεσθαι· πρῶτον μὲν οὐσίαν κεκτημένον μηδεμίαν μηδένα ἰδίαν, ἢν μὴ πᾶσα ἀνάγκη· ἔπειτα οἴκησιν καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσεισι· τὰ δ’ ἐπιτήδεια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου σώφρονές τε καὶ ἀνδρεῖοι, ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν μήτε ἐνδεῖν· φοιτῶντας δ’ εἰς ξυσσίτια ὥσπερ ἐξεστρατοπεδευμένους κοινῇ ζῆν· χρυσίον δὲ καὶ ἀργύριον εἰπεῖν αὐτοῖς ὅτι θεῖον παρὰ θεῶν ἀεὶ ἐν τῇ ψυχῇ ἔχουσι καὶ οὐδὲν

προσδέονται τοῦ ἀνθρωπείου, οὐδὲ ὅσια τὴν ἐκείνου κτῆσιν τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει ξυμμιγνύντας μιαίνειν, διότι πολλὰ καὶ ἀνόσια περὶ τὸ τῶν πολλῶν νόμισμα γέγονε, τὸ παρ' ἐκείνοις δὲ ἀκήρατον· ἀλλὰ μόνοις αὐτοῖς τῶν ἐν τῇ πόλει μεταχειρίζεσθαι καὶ ἅπτεσθαι χρυσοῦ καὶ ἀργύρου οὐ θέμις, οὐδὲ ὑπὸ τὸν αὐτὸν ὄροφον ἰέναι οὐδὲ περιάψασθαι οὐδὲ πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ. καὶ οὕτω μὲν σῴζοιντό τε ἂν καὶ σῴζοιεν τὴν πόλιν· ὁπότε δὲ αὐτοὶ γῆν τε ἰδίαν καὶ οἰκίας καὶ νομίσματα κτήσονται, οἰκονόμοι μὲν καὶ γεωργοὶ ἀντὶ φυλάκων ἔσονται, δεσπόται δὲ καὶ ἐχθροὶ ἀντὶ ξυμμάχων τῶν ἄλλων πολιτῶν γενήσονται, μισοῦντες δὲ καὶ μισούμενοι καὶ ἐπιβουλεύοντες καὶ ἐπιβουλευόμενοι διάξουσι πάντα τὸν βίον, πολὺ πλείω καὶ μᾶλλον δεδιότες τοὺς ἔνδον ἢ τοὺς ἔξωθεν πολεμίους, θέοντες ἤδη τότε ἐγγύτατα ὀλέθρου αὐτοί τε καὶ ἡ ἄλλη πόλις. Πλάτωνος Πολιτείας δ′ (p. 421 A). Νευρορράφοι γὰρ φαῦλοι γενόμενοι καὶ διαφθαρέντες καὶ προσποιησάμενοι εἶναι μὴ ὄντες πόλει οὐδὲν δεινόν, φύλακες δὲ νόμων τε καὶ πόλεως μὴ ὄντες ἀλλὰ δοκοῦντες ὁρᾷς δὴ ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύασιν. Ἐν ταὐτῷ (p. 421 D—422 A). Τοὺς ἄλλους αὖ δημιουργοὺς σκόπει εἰ τάδε διαφθείρει, ὥστε κακοὺς γίγνεσθαι. Τὰ ποῖα δὴ ταῦτα· Πλοῦτος, ἦν δ' ἐγώ, καὶ πενία. Πῶς δή; Ὧδε· πλουτήσας χυτρεὺς δοκεῖ σοι ἔτι θελήσειν ἐπιμελεῖσθαι τῆς τέχνης; τε ἔργα πονηρότερα ἐργάσεται καὶ τοὺς υἱεῖς ἢ ἄλλους οὓς ἂν διδάσκῃ χείρους δημιουργοὺς διδάξεται; Πῶς δ' οὔ; Ὑπ' ἀμφοτέρων δή, πενίας τε καὶ πλούτου, χείρω μὲν τὰ τῶν τεχνῶν ἔργα, χείρους δὲ αὐτοί. Φαίνονται. Ἕτερα δή, ὡς ἔοικε, τοῖς φύλαξιν εὑρήκαμεν, ἃ παντὶ τρόπῳ φυλακτέον ὅπως μή ποτε αὐτοὺς λήσῃ εἰς τὴν πόλιν παραδύντα. Τὰ τοῖα ταῦτα; Πλοῦτος, ἦν δ' ἐγώ, καὶ πενία, ὡς τοῦ μὲν τρυφὴν καὶ ἀργίαν καὶ νεωτερισμὸν ἐμποιοῦντος, τοῦ δὲ ἀνελευθερίαν καὶ κακουργίαν πρὸς τῷ νεωτερισμῷ. Πάνυ μὲν οὖν, ἔφη. Ἐν ταὐτῷ (p. 423 D—424 E). Οὗτοι, ἦν δ' ἐγώ, ὦ ἀγαθὲ Ἀδείμαντε, ὡς δόξειεν ἄν τις, ταῦτα πολλὰ καὶ μεγάλα αὐτοῖς προστάττομεν ἀλλὰ πάντα φαῦλα, ἐὰν τὸ λεγόμενον [μὴ] ἓν μέγα φυλάττωσι, μᾶλλον δὲ ἀντὶ μεγάλου ἱκανόν. Τί τοῦτο; ἔφη. Τὴν παιδείαν, ἦν δ' ἐγώ, καὶ τροφήν. ἐὰν γὰρ εὖ παιδευόμενοι μέτριοι ἄνδρες γίγνωνται, πάντα ταῦτα ῥᾳδίως διόψονται καὶ ἄλλα γε, ὅσα νῦν ἡμεῖς παραλείπομεν, τήν τε τῶν γυναικῶν κτῆσιν καὶ γάμων καὶ παιδοποιίας, ὅτι δεῖ ταῦτα κατὰ τὴν παροιμίαν πάντα ὅ τι μάλιστα κοινὰ τὰ φίλων ποιεῖσθαι. Ὀρθότατα γάρ, ἔφη. γίγνοιτ' ἄν. Καὶ μήν, εἶπον, πολιτεία, ἐάν περ ἅπαξ ὁρμήσῃ εὖ, ἔρχεται ὥσπερ κύκλος αὐξανομένη. τροφὴ γὰρ καὶ παίδευσις χρηστὴ σῳζομένη φύσεις ἀγαθὰς ἐμποιεῖ, καὶ αὖ φύσεις χρησταὶ τοιαύτης παιδείας ἀντιλαμβανόμεναι ἔτι βελτίους τῶν προτέρων φύονται εἵς τε τἆλλα καὶ εἰς τὸ γεννᾶν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις. Εἰκός γ', ἔφη. Ὡς τοίνυν διὰ βραχέων εἰπεῖν, τούτου ἀνθεκτέον τοῖς ἐπιμεληταῖς τῆς πόλεως, ὅπως ἂν αὐτοὺς μὴ λάθῃ διαφθαρέν, ἀλλὰ παρὰ πάντα αὐτὸ φυλάττωσι. τὸ 〈μὴ〉 νεωτερίζειν περὶ γυμναστικήν τε καὶ μουσικὴν παρὰ τὴν τάξιν, ἀλλ' ὡς οἷόν τε μάλιστα φυλάττειν, φοβουμένους ὅταν τις λέγῃ, ὡς τὴν ἀοιδὴν μᾶλλον ἐπιφρονέους' ἄνθρωποι, ἥ τις ἀειδόντεσσι νεωτάτη ἀμφιπέληται, μὴ πολλάκις τὸν ποιητήν τις οἴηται λέγειν οὐκ ἄσματα νέα ἀλλὰ τρόπον ᾠδῆς νέον, καὶ τοῦτ' ἐπαινῇ. δεῖ δὲ οὔτ' ἐπαινεῖν τὸ τοιοῦτον οὔτε ὑπολαμβάνειν. εἶδος γὰρ καινὸν μουσικῆς μεταβάλλειν εὐλαβητέον ὡς ἐν ὅλῳ κινδυνεύοντα· οὐδαμοῦ γὰρ κινοῦνται μουσικῆς τρόποι ἄνευ γοῦν παρανομία, ἔφη, ῥᾳδίως αὖτη λανθάνει παραδυομένη. Ναί, ἔφην, ὡς ἐν παιδιᾶς γε μέρει καὶ ὡς κακὸν οὐδὲν ἐργαζομένη. Οὐδὲ γὰρ ἐργάζεται, ἔφη, ἄλλο γε ἢ κατὰ σμικρὸν εἰσοικησαμένη ἠρέμα ὑπορρεῖ πρὸς τὰ ἤθη τε καὶ τὰ ἐπιτηδεύματα· ἐκ δὲ τούτων εἰς τὰ πρὸς ἀλλήλους ξυμβόλαια μείζων ἐκβαίνει, ἐκ δὲ δὴ τῶν ξυμβολαίων ἔρχεται ἐπὶ τοὺς νόμους καὶ πολιτείας πολλή, ὦ Σώκρατες, ἀσέλγεια, ἕως ἂν τελευτῶσα πάντα ἰδίᾳ καὶ δημοσίᾳ ἀνατρέψαι. Εἶεν, ἦν δ' ἐγώ· οὕτω τοῦτ' ἔχει; Δοκεῖ μοι, ἔφη. Οὐκοῦν, ὃ ἐξ ἀρχῆς ἐλέγομεν, τοῖς ἡμετέροις παισὶν ἐννομωτέρου εὐθὺς παιδιᾶς μεθεκτέον ὡς παρανόμου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γιγνομένης αὐτῆς καὶ παίδων τοιούτων ἐννόμους τε καὶ σπουδαίους ἐξ αὐτῶν ἄνδρας αὐξάνεσθαι

4.2 Εὐριπίδου (fr. 1107 N. 2). Ἄρχεσθαι χρεὼν κακοὺς ὑπ' ἐσθλῶν καὶ κλύειν τῶν κρεισσόνων. Εὐριπίδου Δικτύος (fr. 337 N. 2). Μὴ νεῖκος, ὦ γεραιέ, κοιράνοις τίθου. σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος. Μενάνδρου Ἀδελφοῖς (fr. 5 K.). Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν, ἀλλ' ἀντιτάττεσθ'· εἰ δὲ μή, τἄνω κάτω ἡμῶν ὁ βίος λήσει μεταστραφεὶς ὅλος. Εὐριπίδου Ἐρεχθεῖ (fr. 362, 28 N. 2). Καὶ τοὺς πονηροὺς μή ποτ' αὔξαν' ἐν πόλει. σκιρτῶσιν ἀδόκητ' εὐτυχησάντων δόμων. Μενάνδρου Ἀνδρογύνῳ (fr. 53 K.). Τὸ γὰρ σύνηθες οὐδαμοῦ παροπτέον. Εὐριπίδου Ἱκετίδων (433 ss.). Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ νόμοι πόλει καλῶς τεθέντες· ὅ τε γὰρ ἀσθενέστερος ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει, νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων. Μενάνδρου (fr. 635 K.). Καλὸν οἱ νόμοι σφόδρ' εἰσίν· ὁ δ' ὁρῶν τοὺς νόμους λίαν ἀκριβῶς, συκοφάντης φαίνεται. Σοφοκλῆς Αἴαντι (666—676). Τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν. καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει· ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν· δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 17 C—19 B). Χθές που τῶν ὑπ' ἐμοῦ ῥηθέντων λόγων περὶ πολιτείας ἦν τὸ κεφάλαιον, οἵα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη κατεφαίνετ' ἄν μοι γενέσθαι. — Καὶ μάλα γε ἡμῖν, ὦ Σώκρατες, ῥηθεῖσα πᾶσι κατὰ νοῦν. — Ἆρ' οὖν οὐ τὸ τῶν γεωργῶν ὅσαι τε ἄλλαι τέχναι πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμησόντων; — Ναί. — Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα, μίαν ἑκάστην τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν, εἴπομεν, ὡς ἄρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴτε τις ἔξωθεν ἢ καὶ τῶν ἔνδοθεν ἴοι κακουργήσων, δικάζοντας μὲν πράως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν καὶ φύσει φίλοις οὖσι, χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους. — Παντάπασι μὲν οὖν. — Φύσιν γὰρ οἶμαί τινα τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν ἅμα μὲν θυμοειδῆ, ἅμα δὲ φιλόσοφον δεῖν εἶναι διαφερόντως, ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς πρᾶοι καὶ χαλεποὶ γίγνεσθαι. — Ναί. — Τί δὲ τροφήν; ἆρ' οὐ γυμναστικῇ καὶ μουσικῇ μαθήμασί τε ὅσα προσήκει τούτοις, ἐν ἅπασι τεθράφθαι; — Πάνυ μὲν οὖν. — Τοὺς δέ γε οὕτω τραφέντας ἐλέχθη που μήτε χρυσὸν μήτε ἄργυρον μήτε ἄλλο ποτὲ μηδὲν κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σῳζομένων ὑπ' αὐτῶν. ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμένους μετ' ἀλλήλων ζῆν, ἐπιμέλειαν ἔχοντας διὰ παντὸς ἀρετῆς, τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν. — Ἐλέχθη καὶ ταῦτα ταύτῃ. — Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον, καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἀπάντων ἐτίθεμεν, μηχανωμένους ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτῶν ἰδίᾳ γνώσοιτο, νομιοῦσι δὲ πάντες πάντας αὐτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφοὺς ὅσοιπερ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται, τοὺς δὲ ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους, τοὺς δὲ εἰς τὸ κάτωθεν ἐκγόνους παῖδάς τε ἐκγόνων; — Ναὶ καὶ ταῦτα εὐμνημόνευτα ᾖ λέγεις. — Ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοινθ' ὡς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων σύνερξιν λάθρᾳ μηχανᾶσθαι κλήροις τισὶν ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι συλλήξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς συλλήξεως; — Μεμνήμεθα. — Καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρεπτέον ἔφαμεν εἶναι, τὰ δὲ τῶν κακῶν εἰς τὴν ἄλλην λάθρᾳ διαδοτέον

πόλιν· ἐπαυξανομένων δὲ σκοποῦντας ἀεὶ τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους εἰς τὴν τῶν ἐπανιδιεληλύθαμεν ἤδη καθάπερ χθές, ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν, ἢ ποθοῦμέν τι τῶν ῥηθέντων; — Οὐδαμῶς. Πλάτωνος ἐκ τοῦ Μίνωος (p. 317 C — 318 A). Οὐκοῦν καὶ ἐν τοῖς συγγράμμασι τοῖς περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ ὅλως περὶ πόλεως διακοσμήσεώς τε καὶ περὶ τοῦ ὡς χρὴ πόλιν διοικεῖν, τὸ μὲν ὀρθὸν νόμος ἐστὶ βασιλικός, τὸ δὲ μὴ ὀρθὸν οὔ, ὃ δοκεῖ νόμος εἶναι τοῖς μὴ εἰδόσιν· ἔστι γὰρ ἄνομον. — Ναί. — Ὀρθῶς ἄρα ὡμολογήσαμεν νόμον εἶναι τοῦ ὄντος εὕρεσιν. — Φαίνεται. — Ἔτι δὲ καὶ τόδε ἐν αὐτῷ θεασώμεθα· τίς ἐπιστήμων διανεῖμαι ἐπὶ γῇ τὰ σπέρματα; — Γεωργός. — Οὗτος δὲ τὰ ἄξια σπέρματα ἑκάστῃ γῇ διανέμει; — Ναί. — Ὁ γεωργὸς ἄρα νομεὺς ἀγαθὸς τούτων, καὶ οἱ τούτου νόμοι καὶ διανομαὶ ἐπὶ ταῦτα ὀρθαί εἰσιν; — Ναί. — Τίς δὲ κρουμάτων ἐπὶ τὰ μέλη ἀγαθὸς νομεύς, καὶ τὰ ἄξια νεῖμαι; καὶ οἱ τίνος νόμοι ὀρθοί εἰσιν; — Οἱ τοῦ αὐλητοῦ καὶ κιθαριστοῦ. — Ὁ νομικώτατος ἄρα ἐν τούμαὶ καὶ οἱ νόμοι βέλτιστοι· καὶ ὅστις περὶ ταῦτα νομικώτατος, καὶ νομεὺς ἄριστος. — Πάνυ γε. — Τίς οὖτος; — Παιδοτρίβης. — Οὗτος τὴν ἀνθρωπείαν ἀγέλην τοῦ σώματος νέμειν κράτιστος; — Ναί. — Τίς δὲ τὴν τῶν προβάτων ἀγέλην κράτιστος νέμειν; τί ὄνομα αὐτῷ; — Ποιμήν. — Οἱ τοῦ ποιμένος ἄρα νόμοι ἄριστοι τοῖς προβάτοις. — Ναί. — Οἱ δὲ τοῦ βουκόλου τοῖς βουσί. — Ναί. — Οἱ δὲ τοῦ τίνος νόμοι ἄριστοι ταῖς ψυχαῖς τῶν ἀνθρώπων; οὐχ οἱ τοῦ βασιλέως; φάθι. — Φημὶ δή. Στωϊκῶν. Τόν τε νόμον σπουδαῖον εἶναί φασι, λόγον ὀρθὸν ὄντα, προστακτικὸν μὲν ὧν ποιητέον, ἀπαγορευτικὸν δὲ ὧν οὐ ποιητέον. τοῦ δὲ νόμου ἀστείου ὄντος καὶ ὁ νόμιμος ἀστεῖος ἂν εἴη· νόμιμον μὲν γὰρ εἶναι ἄνδρα καὶ ἀκολουθητικὸν τῷ νόμῳ καὶ πρακτικὸν τῶν ὑπ' αὐτοῦ προσταττομένων· νομικὸν δὲ τὸν ἐξηγητικὸν τοῦ νόμου. μηδένα δὲ τῶν φαύλων μήτε νόμιμον εἶναι μήτε νομικόν. Αἰσχίνου ἐκ τοῦ Κατὰ Τιμάρχου (30). Οὐδ' ὡς ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλὰ τοῦ βίου. Δημοκρίτου (fr. 75 Diels 2). Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν ἢ ἄρχειν. (fr. 256 Diels 2). Δίκη μέν ἐστιν ἔρδειν τὰ χρὴ ἐόντα, ἀδικίη δὲ μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι. Τοῦ αὐτοῦ (fr. 257 Diels 2). Κατὰ δὲ ζῴων ἔστιν ὧν φόνου καὶ μὴ φόνου ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστοῦν τοῦτο ἔρδειν μᾶλλον ἢ μή. (fr. 258 Diels 2) Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ ἕξει. (fr. 259 Diels 2) Ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων 〈νόμοι〉 γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι ποιεῖν· κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει· νόμος δὲ ἀπείργει ἱερὰ ἑκάστοισιν ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι. (fr. 260 Diels 2) Κιξάλλην καὶ λῃστὴν πάντα κτείνων τις ἀθῷος ἂν εἴη καὶ αὐτοχειρίῃ καὶ κελεύων καὶ ψήφῳ. Ζαλεύκου Προοίμια νόμων. κόσμησιν καὶ τάξιν· οὐ γὰρ τύχης οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα· σέβεσθαι δὲ τούτους καὶ τιμᾶν, ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν τῶν κατὰ λόγον γιγνομένων. ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὐτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν· ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου οὐδὲ θεραπεύεται δαπάναις οὐδὲ τραγῳδίαις τῶν ἀναλισκομένων καθάπερ μοχθηρὸς ἄνθρωπος, ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων. διὸ ἕκαστον εἰς δύναμιν ἀγαθὸν εἶναι καὶ πράξει καὶ προαιρέσει τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ, καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας μᾶλλον τῶν εἰς αἰσχύνην τεινόντων, καὶ πολίτην ἀμείνονα νομίζειν τὸν τὴν οὐσίαν προϊέμενον μᾶλλον τοῦ καλοῦ καὶ δικαίου. ὅσοις δὲ μὴ ῥᾴδιον πρὸς ταῦτα τὴν ὁρμὴν ποιῶδ' ἡμῖν παρηγγέλθω πᾶσι τοῖς τοιούτοις πολίταις καὶ συνοίκοις, μεμνῆσθαι θεῶν ὡς ὄντων καὶ δίκας ἐπιπεμπόντων τοῖς ἀδίκοις, καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν. πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν, μεμνημένοις ὧν ἠδικήκασι, καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς. διὸ δεῖ ἕκαστον παρ' ἑκάστην πρᾶξιν αἰεὶ συνοικειοῦν τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καιρὸν τοῦτον ὡς δὴ παρόντα· οὕτω γὰρ ἂν μάλιστα τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντιεῖν. ἐὰν δέ τῳ παραστῇ δαίμων κακὸς τρέπων πρὸς ἀδικίαν, διατρίβειν πρὸς ναοῖς καὶ βωμοῖς καὶ τεμένεσι, φεύγοντα τὴν ἀδικίαν ὡς δέσποιναν ἀσεβεστάτην καὶ χαλεπωτάτην, ἱκετεύοντα τοὺς θεοὺς συναποτρέπειν αὐτήν. ἰέναι δὲ καὶ πρὸς ἄνδρας δόξαν ἔχοντας ἐπ’ ἀνδραγαθίᾳ, ἀκουσόμενον περὶ εὐδαίμονος βίου καὶ κακῶν ἀνδρῶν τιμωρίας, ἵνα ἀποτρέπηται τῶν ἀδίκων ἔργων, δεισιδαιμονῶν δαίμονας ἀλάστορας. πάντας καὶ τοὺς ἄρχοντας αἰδεῖσθαι καὶ ἐξίστασθαι καὶ ποιεῖν τὸ παραγγελλόμενον· ὡς μετὰ θεοὺς καὶ δαίμονας καὶ ἥρωας γονεῖς τε καὶ νόμοι καὶ ἄρχοντες σύνεγγύς εἰσι ταῖς τιμαῖς παρ’ ἀνθρώποις 〈τοῖσ〉 νοῦν ἔχουσι καὶ σωθησομένοις. πόλιν δὲ φιλαιτέραν μηδεὶς ἄλλην ποιείσθω τῆς αὐτοῦ πατρίδος, ὡς θεῶν πατρῴων νεμεσώντων· ἀρχὴ γὰρ προδοσίας φύεται τοῖς τοιαῦτα βουλομένοις. ἔτι δὲ χαλεπώτερον τῆς οἰκείας γῆς στερόμενον ζῆν ἐπ’ ἀλλοτρίας· οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. μηδὲ ἐχθρὸν ἀκατάλλακτον μηδεὶς μηδένα νομιζέτω τῶν πολιτῶν, οἷς ἐφείκασιν οἱ νόμοι μετέχειν τῆς πολιτείας· ὡς ὁ τοιοῦτος οὔτε ἄρξαι δύναιτ’ ἂν οὔτε δικάσαι καλῶς, τὸν θυμὸν ἔχων κυριώτερον τοῦ λογισμοῦ. μηδεὶς δὲ λεγέτω κακῶς μήτε κοινῇ τὴν πόλιν μήτε ἰδίᾳ τὸν πολίτην· ἀλλ’ οἱ τῶν νόμων φύλακες ἐπιμελείσθωσαν τῶν πλημμελούντων, πρῶτον μὲν νουθετοῦντες, ἐὰν δὲ μὴ πείθωνται, ζημιοῦντες. τῶν δὲ κειμένων νόμων ἐάν τις δοκῇ μὴ καλῶς κεῖσθαι, μετατιθέναι ἐπὶ τὸ βέλτιον· μενόντων δέ, πάντας πειθαρχεῖν· οὐ καλὸν οὐδὲ συμφέρον· ὑπὸ δὲ νόμου βελτίονος ἡττώμενον κατακρατεῖσθαι καὶ καλὸν καὶ συμφέρον. τοὺς δὲ ταῦτα παραβαίνοντας χρὴ καὶ κολάζειν ὡς κατασκευάζοντας τῇ πόλει μεγίστων κακῶν ἀρχήν, ἀναρχίαν. ἄρχοντας δὲ μὴ εἶναι αὐθάδεις, μηδὲ πρὸς ἐπήρειαν κρίνειν, μηδὲ μεμνῆσθαι κρίνοντας φιλίας ἢ ἔχθρας, ἀλλὰ τοῦ δικαίου· οὕτω γὰρ ἀποδώσουσι τὰς κρίσεις δικαιοτάτας καὶ τῆς ἀρχῆς ἔσονται ἄξιοι. τοὺς μὲν οὖν δούλους προσήκει διὰ φόβον πράττειν τι τῶν δικαίων, τοὺς δ’ ἐλευθέρους δι’ αἰδῶ καὶ τὸ καλόν· διὸ χρὴ καὶ τοὺς ἄρχοντας εἶναι τοιούτους, ἵν’ ἔχωσιν οἱ ἀρχόμενοι τοὺς ἀξίους αἰσχύνης. ἐὰν δέ τις βούληται τῶν κειμένων νόμων κινεῖν ἢ ἄλλον εἰσφέρειν νόμον, εἰς βρόχον εἴρας τὸν τράχηλον λεγέτω τοῖς πολίταις περὶ αὐτοῦ· καὶ ἐὰν μὲν διαψηφιζομένων δόξῃ λελύσθαι τὸν νόμον ἢ ὑπάρχειν τὸν εἰσφερόμενον, καὶ αὐτὸν ἀθῷον εἶναι· ἐὰν δὲ ὁ προϋπάρχων μᾶλλον δοκῇ καλῶς ἔχειν ἢ ὁ εἰσφερόμενος ᾖ ἄδικος, τεθνάναι τὸν κινοῦντα ἢ εἰσφέροντα νόμον ἐπισπασθέντος τοῦ βρόχου. Ἐκ τῶν Θεοφράστου Περὶ συμβολαίων (fr. 97 Wimm.). Οἱ μὲν οὖν ὑπὸ κήρυκος κελεύουσι πωλεῖν καὶ προκηρύττειν ἐκ πλειόνων ἡμερῶν, οἱ δὲ παρ’ ἀρχῇ τινι, καθάπερ καὶ Πιττακὸς παρὰ βασιλεῦσι καὶ πρυτάνει. ἐωνημένος φανερὸς ᾖ τῷ τέλει. παρὰ δέ τισι προκηρύττειν κελεύουσι πρὸ τοῦ κατακυρωθῆναι πένθ’ ἡμέρας συνεχῶς, εἴ τις ἐνίσταται ἢ ἀντιποιεῖται τοῦ κτήματος ἢ τῆς οἰκίας· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ὑποθέσεων, ὥσπερ καὶ ἐν τοῖς Κυζικηνῶν. οἱ δὲ Θουριακοὶ τὰ μὲν τοιαῦτα πάντα ἀφαιροῦσιν, οὐδ’ ἐν ἀγορᾷ προστάττουσιν, ὥσπερ τἄλλα, διδόναι δὲ κελεύουσι κοινῇ τῶν γειτόνων τοῖς ἐγγυτάτω τρισὶ νόμισμά τι βραχὺ μνήμης ἕνεκα καὶ μαρτυρίας. ἀναγκαῖον δηλονότι τοῖς μὲν τὰς ἀρχὰς ὑπευθύνους ποιεῖν, τοῖς δὲ τοὺς γείτονας, ἐὰν μὴ λάβωσιν ἢ δὶς παρὰ τοῦ αὐτοῦ λάβωσιν ἢ ἔχοντες μὴ λέγωσι τῷ ὠνουμένῳ. οὐ χρὴ δ’ ἀγνοεῖν, ὅτι αἱ προγραφαὶ καὶ αἱ προκηρύξεις καὶ ὅλως ὅσα πρὸς τὰς ἀμφισβητήσεις ἐστὶ πάντ’ ἢ τὰ πλεῖστα δι’ ἔλλειψιν ἑτέρου νόμου τίθεται· παρ’ οἷς γὰρ ἀναγραφὴ τῶν κτημάτων ἐστὶ καὶ τῶν συμβολαίων, ἐξ ἐκείνων ἔστι μαθεῖν, εἰ ἐλεύθερα καὶ ἀνέπαφα καὶ τὰ αὐτοῦ πωλεῖ δικαίως· εὐθὺς γὰρ καὶ μετεγγράφει ἡ ἀρχὴ τὸν ἐωνημένον. Ἐπεὶ δὲ καὶ προκαὶ ποιοῦσιν, ἅμα ταῦτά τε βουλόμενοι κωλύειν καὶ τὴν 〈ὠνὴν〉 ἐμφανῆ ποιεῖν, ὥσπερ ἐν τοῖς Αἰνίων. κελεύουσι γάρ, ἐὰν μέν τις οἰκίαν πρίηται, θύειν ἐπὶ τοῦ Ἀπόλλωνος τοῦ ἐπικωμαίου, ἐὰν δὲ χωρίον ἐπὶ τῆς κώμης ᾗ αὐτὸς οἰκεῖ, … καὶ ὀμνύειν ἐναντίον τῆς ἀρχῆς 〈τῆσ〉 ἐγγραφούσης καὶ κωμητῶν τριῶν, ἢ μὴν ὠνεῖσθαι δικαίως, μηδὲν συγκακουργοῦντα μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ· τὸν

αὐτὸν δὲ τρόπον καὶ τὸν πωλοῦντα πωλεῖν ἀδόλως· τὸν δὲ μὴ οἰκοῦντα ἐν ἄστει θύειν τὸν ὅρκον ἐπὶ τοῦ Διὸς τοῦ ἀγοραίου, τὴν δὲ θυσίαν τῶν ἐλαττόνων εἶναι θυλήμασιν, ἄνευ δὲ τούτων μὴ ἐγγράφειν τὴν ἀρχήν· ἅμα καὶ ἐν τῷ ὅρκῳ προσορκίζειν αὐτήν, ἐὰν μὴ ὀμνύωσι, μηδὲ ἐγγράψειν τὴν ὠνήν· οὗτοι μὲν δὴ πρὸς ἀμφότερα. μᾶλλον δὲ πρὸς πάντα βούλονται πεφυλάχθαι, καθάπερ ἴσως καὶ δεῖ. κυρία ἡ ὠνὴ καὶ ἡ πρᾶσις εἰς μὲν κτῆσιν, ὅταν ἡ τιμὴ δοθῇ καὶ τὰ ἐκ τῶν νόμων ποιήσωσιν, οἷον ἀναγραφὴν ἢ ὅρκον ἢ τοῖς γείτοσι τὸ γιγνόμενον· εἰς δὲ τὴν παράδοσιν καὶ εἰς αὐτὸ τὸ πωλεῖν, ὅταν ἀρραβῶνα λάβῃ· σχεδὸν γὰρ οὕτως οἱ πολλοὶ νομοθύοντος μηδ' ἐξ ὀργῆς μηδὲ φιλονεικίας, μηδὲ παρανοοῦντος, ἀλλὰ φρονοῦντος, καὶ τὸ ὅλον δικαίως, ὅπερ κἀκεῖ προσθετέον, ὅταν ἀφορίζῃ παρ' ὧν δεῖ ὠνεῖσθαι. ἔοικε γὰρ ἐκ καιροῦ τὰ τοιαῦτα καὶ πάθους γίγνεσθαι· δεῖ δ' ἐκ προαιρέσεως· οὕτω γὰρ ἔσται τὸ δίκαιον. τάττουσι δέ τινες καὶ τὸν ἀρραβῶνα πόσον δεῖ διδόναι, πρὸς τὸ πλῆθος τῆς τιμῆς μερίζοντες· ἄτοπον γὰρ ἐὰν δακτύλιον δῷ τῶν δέκα ταλάντων. ἐὰν δὲ λαβὼν ἀρραβῶνα μὴ δέχηται τὴν τιμὴν ἢ δοὺς μὴ καταβάλῃ ἐν τῷ ὡρισμένῳ χρόνῳ· δεῖ γὰρ ὡρίσθαι, καθάπερ ἐν τοῖς Θουρίων τὸν μὲν ἀρραβῶνα παραχρῆμα τὴν δὲ τιμὴν αὐθημερόν, οἱ δὲ καὶ πλείους ἡμέρας τίθενται τῆς τιμῆς, οἱ δ' ἁπλῶς ὅσας ἂν ὁμολογήσωσι· τὸ δ' ἐπιτίμιον ἑκατέρῳ, πότερον τῷ μὲν στέρησις τοῦ ἀρραβῶνος; οὕτω γὰρ σχεδὸν οἵ τ' ἄλλοι κελεύουσι καὶ οἱ Θουριακοί· τῷ δὲ μὴ δεχομένῳ ἔκτισις ὅσου ἂν ἀποδῶται; καὶ γὰρ τοῦτο ἐν τοῖς Θουρίων, ἢ ἄνισος 〈ἡ〉 ζημία; πολλαπλασία γὰρ ἡ τιμὴ τοῦ ἀρραβῶνος· ἔτι δὲ καὶ βλάπτοιτ' ἂν ὁ ἀποδόμενος ἀφεὶς ἑκάτερον, ἐπειδή τις ἐφ' ἡμέραν μίαν ὁρίσειεν, οὕτω γὰρ μάλιστ' ἐνδέχεται· παρ' ἐνίοις δὲ δικάσασθαι κελεύουσι τῷ μὴ δεχομένῳ τὴν τιμήν. πότερον δὲ ἕως ἂν κομίσηται κύριον εἶναι τοῦ κτήματος; οὕτω γὰρ οἱ πολλοὶ νομοθετοῦσιν· ἢ ὥσπερ Χαρώνδας καὶ Πλάτων; οὗτοι γὰρ παραχρῆμα κελεύουσι διδόναι καὶ λαμβάνειν, ἐὰν δέ τις πιστεύσῃ, μὴ εἶναι δίκην· αὐτὸν γὰρ αἴτιον εἶναι τῆς ἀδικίας. Πλάτωνος ἐκ τῆς πρὸς τοὺς οἰκείους Δίωνος Ἐπιστολῆς (p. 355 A—C). Δέξασθε, ὦ Συρακούσιοι, πάντων πρῶτον νόμους, οἵ τινες ἂν ὑμῖν φαίνωνται μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν μετ' ἐπιθυμίας, ἀλλ' ὄντων τριῶν, ψυχῆς καὶ σώματος ἔτι δὲ χρημάτων, τὴν τῆς ψυχῆς ἀρετὴν ἐντιμοτάτην ποιοῦντες, δευτέραν δὲ τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην, τρίτην δὲ καὶ ὑστάτην τὴν τῶν χρημάτων τιμήν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος, ὄντως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους· ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος αὐτός τε ἄθλιος, γυναικῶν καὶ παίδων ὢν λόγος ἄνους, τοὺς πειθομένους τε ἀπεργάζεται τοιούτους. ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ παρακελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νόμων, ἔργῳ γνώσεσθε· ἡ δὴ βάσανος ἀληθεστάτη δοκεῖ γίνεσθαι τῶν πάντων πέρι. Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας (I 2, 1—15). θρωπότατος καὶ φιλομαθέστατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις· οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι οὐκ ἔνθεν ὅθεν περ ἐν ταῖς πλείσταις πόλεσιν ἄρχονται. αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τις ἐθέλει τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν μηδ' ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως· ἐὰν δέ τις τούτων παραβαίνῃ τι, ζημίας αὐτοῖς ἐπανέθεσαν. οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμέλονται ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται οἷοι πονηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι. ἐπιμέλονται δὲ δὴ ὧδε. ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. ἐντεῦθεν τὰ μὲν ὤνια καὶ οἱ ἀγοραῖοι καὶ αἱ τούτων φωναὶ καὶ αἱ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν

πεπαιδευμένων χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες ἅμα τῇ ἡμέρᾳ καὶ οἱ τέλειοι ἄνδρες, οἱ δὲ γεραίτεροι ἡνίκα ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, αἷς αὐτοὺς δεῖ παρεῖναι. οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνητικοῖς ὅπλοις πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἂν μὴ προρρηθῇ παρεῖναι, οὔτε πολλάκις ἀπεῖναι καλόν. ἄρχοντες δὲ ἐφ' ἑκάστοις τούτων τῶν μερῶν εἰσι δώδεκα· δώδεκα γὰρ καὶ φυλαὶ Περσῶν διῄρηνται. καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ᾑρημένοι εἰσὶν οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι· ἐπὶ δὲ τοῖς ἐφήβοις ἐκ τῶν τελείων ἀνδρῶν οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέξειν· ... αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ καὶ τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν. ἃ δὲ ἑκάστῃ ἡλικίᾳ προστέτακται ποιεῖν διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται, ᾗ ἐπιμέλονται ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. οἱ μὲν δὴ παῖδες οἱ εἰς τὰ διδασκαλεῖα φοιτῶντες διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ λέγουσιν ὅτι ἐπὶ τούτῳ ἔρχονται ὥσπερ παρ' ἡμῖν ὅτι γράμματα μαθησόμενοι. οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς. γίγνεται γὰρ δὴ πρὸς ἀλλήλους καὶ παισὶν ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων οἵων εἰκός. οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι· δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ οὐχ ἥκιστα, ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδοῦναι, μὴ ἀποδιδόντα δέ, κολάζουσι τοῦτον ἰσχυρῶς. οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν καὶ περὶ γονέας καὶ περὶ πατρίδα καὶ περὶ φίλους. ἔπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία· καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται καὶ εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. διδάσκουσι δὲ καὶ πείθεσθαι αὐτοὺς τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους πειθομένους ἰσχυρῶς τοῖς ἄρχουσι. διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι καὶ γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες, καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσιν. φέρονται δὲ οἴκοθεν σῖτον μὲν ἄρτους, ὄψον δὲ κάρδαμον, πιεῖν δ', ἐάν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. πρὸς δὲ τούτοις μανθάνουσι καὶ τοξεύειν καὶ ἀκοντίζειν. μέχρι μὲν δὴ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν, ἐκ τούτου δ' εἰς τοὺς ἐφήβους ἐξέρχονται. οὗτοι δὲ αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. δέκα ἔτη ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· δοκεῖ γὰρ αὕτη ἡ ἡλικία ἐπιμελείας μάλιστα δεῖσθαι· παρέχουσι ἐπὶ θήραν, τὰς ἡμισείας φυλὰς καταλείπει· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν, ἔτι 〈δὲ〉 γέρρον καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δέ, ἐὰν δέῃ, ἐκ χειρὸς χρῆσθαι. διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς ὥσπερ καὶ ἐν πολέμῳ ἡγεμὼν αὐτοῖς ἐστι καὶ αὐτός τε θηρᾷ καὶ τῶν ἄλλων ἐπιμελεῖται ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι, γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις, ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον καὶ ἀκοντίσαι ὅπου ἂν παραπίπτῃ. καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γινόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν ἐπικαταμεῖναι ἢ ἄλλως βουληθῶσι διατρῖψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες τῇ ὑστεραίᾳ θηρῶσι μέχρι δείπνου, καὶ μίαν ἄμφω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ ἄν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι ὅ τι ἂν θηράσωσιν· εἰ δὲ μή, τὸ κάρδαμον. εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἐσθίωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ πιεῖν διψῶντι. αἱ δ' αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα ἃ παῖδες ὄντες ἐμάνθανον καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διαπροτίθεται· ἐν ᾗ δ' ἂν φυλῇ πλεῖστοι ὦσιν δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις παῖδας ὄντας αὐτοὺς ἐπαίδευσε. χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ πᾶσαι, ἤν τι ἢ φρουρῆσαι δέῃ ἢ κακούργους ἐρευνῆσαι ἢ λῃστὰς ὑποδραμεῖν ἢ καὶ ἄλλα ὅσα τάχους καὶ ἰσχύος ἔργα ἐστίν. ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη ὧδε διάγουσι· πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἐάν τι δέῃ περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. ἐὰν δέ που δέῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω παιδευόμενοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται, τὰ δὲ ἀγχίμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται πλὴν οἱ τῶν παίδων διδάσκαλοι. μὲν ἂν οὗτοι πλέον ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς αὐτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ πάντα καὶ τὰ ἴδια. καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι αἱροῦνται πάσας· καὶ ἐάν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον καὶ τῶν ἄλλων ὁ βουλόμενος, οἱ δὲ γεραίτεροι ἀκούσαντες ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμον τὸν λοιπὸν βίον διατελεῖ. ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη διὰ τὰ προειρημένα. λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δὲ οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς ἑαυτῶν παῖδας ἀργοῦντας πέμπουσιν, οἱ δὲ μὴ δυνάμενοι οὐ πέμπουσιν, ἵνα παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις· ἔξεστι δὲ αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι· τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. οἳ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας ἔρχονται εἰς τοὺς τελείους· οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίγνονται. οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν διεληλυθότες καθίστανται. Ξενοφῶντος ἐκ τῆς Λακώνων πολιτείας (I 4 ss. II 1. 2—6. 7—8. 10 III 4—5 IV 1. 2—4. 6. 7 VI 1—2 VII 2 IX 1 X 1—3 XI 3—4 VIII 3. 4. 5). Ὁ δὲ Λυκοῦργος ἐσθῆτας μὲν καὶ δούλας παρέχειν ἱκανὰς ἡγήσατο εἶναι, ταῖς δὲ ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν τεκνοποιίαν πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου· ἔπειτα δὲ δρόμου καὶ ἰσχύος, ὥσπερ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ὡς ἀμφοτέρων ἰσχυρῶν καὶ ἔκγονα ἐρρωμενέστερα γίγνεσθαι. ἐπεί γε μὴν 〈γυνὴ〉 πρὸς ἄνδρα ἔλθοι, ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω· ἔθηκε γὰρ αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι δὲ ἐξιόντα· οὕτω δὲ συνόντων ποθεινοτέρως μὲν ἀνάγκη σφῶν αὐτῶν ἔχειν, ἐρρωμενέστερα δὲ γίγνεσθαι, εἴ τι βλαστάνοιεν οὕτω, μᾶλλον ἢ 〈εἰ〉 διάκοροι ἀλλήλων εἶεν. πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ ὁπότε βούλοιντο ἕκαστοι γυναῖκας ἄγεσθαι, ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, καὶ τοῦτο συμφέρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῇ εὐγενείᾳ νομίζων. εἴ γε μέντοι συμβαίη γεραιῷ νέαν ἔχειν, ὁρῶν τοὺς τηλικούτους φυλάττοντας μάλιστα τὰς γυναῖκας, τἀναντία καὶ τούτου ἐνόμισε· τῷ γὰρ πρεσβύτῃ ἐποίησεν, ὁποίου ἀνδρὸς καὶ σῶμα καὶ ψυχὴν ἀγασθείη, τοῦτον ἐπαγαγομένῳ τεκνοποιήσασθαι. εἰ δέ τις αὖ γυναικὶ μὲν συνοικεῖν μὴ βούλοιτο, τέκνων δὲ ἀξιολόγων ἐπιθυμοίη, καὶ τοῦτο νόμιμον ἐποίησεν, ἥν τινα εὔτεκνον καὶ γενναίαν ὁρῴη, πείσαντα τὸν ἔχοντα ἐκ ταύτης ποιεῖσθαι. καὶ πολλὰ μὲν τοιαῦτα συνεχώρει· αἱ μὲν γὰρ γυναῖκες διττοὺς οἴκους βούλονται κατέχειν, οἱ δὲ ἄνδρες ἀδελφοὺς τοῖς παισὶ λαμβάνειν, οἳ 〈τοῦ〉 μὲν γένους καὶ τῆς δυνάμεως κοινωνήσουσι, τῶν δὲ χρημάτων οὐκ ἀντιποιοῦνται. περὶ μὲν δὴ τεκνοποιίας οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις εἴ τι διαφέροντας καὶ μέγεθος καὶ ἰσχὺν ἄνδρας τῇ Σπάρτῃ ἀπετέλεσεν, ὁ βουλόμενος σκοπείτω. βούλομαι δὲ καὶ τὴν παιδείαν σαφηνίσαι Ὁ γὰρ Λυκοῦργος ἀντὶ μὲν τοῦ ἰδίᾳ ἑκάστοις παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρας ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃ δὴ καὶ παιδονόμος καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε καὶ καθίζειν τοὺς παῖδας καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, κολάζειν. ἔδωκε δ’ αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὅτε δέοι, ὡς πολλὴν μὲν αἰδῶ πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ δὲ τοῦ ἱματίοις διαθρύπτεσθαι ἐνόμισε δερματίῳ δι’ ἔτους προσεθίζεσθαι. σῖτόν γε μὴν τοσοῦτον ἔχειν συνεβούλευεν, ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν, ὑγιεινοτέρως δ’ ἂν διάγειν, καὶ εἰς μῆκος δ’ ἂν αὐξάνεσθαι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν μᾶλλον συλλαμβάνειν ἡγησάμενος ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν οὐκ τὸς ἀγρυπνεῖν δεῖ καὶ μεθ’ ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψεσθαι. ταῦτα οὖν δῆλον ὅτι πάντα μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν καὶ πολεμικωτέρους οὕτως ἐπαίδευεν. πολλὰς δὲ πληγὰς ἐπέβαλε τῷ ἁλισκομένῳ, ὅτι, φημὶ ἐγώ, καὶ τἄλλα, ὅσα ἄνθρωποι διδάσκουσι, κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα. Ὅπως δὲ μηδ’ εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν αἰεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι καὶ ἐπιτάττειν τοῖς παισίν, εἴ τι ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, εἴ τι ἁμαρτάνοιεν. Πρὸς δὲ τούτοις τό τε αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι βουλόμενος αὐτοῖς καὶ ἐν ταῖς ὁδοῖς ἐπέδειξεν ἐντὸς μὲν πεῖν δὲ μηδαμῶς, ἀλλ’ αὐτὰ τὰ πρὸ ποδῶν ὁρᾶν. ἔνθα δὴ καὶ δῆλον γεγένηται, ὅτι τὸ ἄρρεν φῦλον καὶ εἰς τὸ σῶφρον ἰσχυρότερόν ἐστι τῆς τῶν θηλειῶν φύσεως. [ὡς] ἐκείνων γοῦν ἧττον μὲν ἂν φωνὴν ἦν ἀκοῦσαι ἢ τῶν λιθίνων, ἧττον δὲ ὄμματα στρεψάντων ἢ τῶν χαλκῶν, αἰδημονεστέρους δ’ ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς παρθένων. καὶ ἐπειδὰν εἰς τὸ φιλίτιον ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. περί γε μὴν τῶν ἤδη ἡβώντων πολὺ μάλιστα ἐσπούδασεν. Ὡς οὖν τούτους αὖ συνέβαλλεν, ἐξηγήσομαι. αἱροῦνται τοίνυν οἱ ἔφοροι αὐτῶν ἐκ τῶν ἀκμαζόντων τρεῖς ἄνδρας· οὗτοι δὲ ἱππαγρέται καλοῦνται. τούτων δὲ ἕκαστος ἄνδρας ἑκατὸν καταλέγει διασαφηνίζων, ὅτου ἕνεκα τοὺς μὲν τοῖς αἱρεθεῖσιν ἀντ’ αὐτῶν. Διαλύειν μέντοι τοὺς μαχομένους πᾶς ὁ παραγιγνόμενος κύριος. Τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσιν, ἐξ ὧν ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὁ Λυκοῦργος νόμιμον ἐποίησε κάλλιστον εἶναι τὸ θηρᾶν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως καὶ οὗτοι δύνωνται μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους ὑποφέρειν. Ὡσαύτως ὁ Λυκοῦργος ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ καὶ τῶν ἀλλοτρίων ἄρχειν. ὅταν δέ τις εἰδῇ, ὅτι οὗτοι πατέρες εἰσὶ τῶν παίδων, ὧν αὐτὸς ἄρχει, ἀνάγκη ἄρχειν οὕτως, ὥσπερ ἂν καὶ τῶν ἑαυτοῦ ἐλευθερίαν ἐν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξεν μόνα ἔργα ἑαυτῶν νομίζειν· οὐ γὰρ δή τι πλοῦτος ἐκεῖ γε ἐσπούδασται. Ἄξιον δὲ τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι, τὸ κατεργάζεσθαι ἐν τῇ πόλει αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου. Καλῶς δέ μοι δοκεῖ Λυκοῦργος

νομοθετῆσαι καὶ ᾗ μέχρι γήρως ἀσκοῖτ' ἂν ἡ ἀρετή. ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας προθεὶς ἐποίησε μηδ' ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκαγαθίαν. ἀξιάγαστον δ' αὐτοῦ καὶ τὸ ἐπικουρῆσαι τῷ τῶν ἀγαθῶν γήρᾳ. θεὶς γὰρ τοὺς γέροντας κυρίους τοῦ περὶ τῆς ψυχῆς ἀγῶνος διέπραξεν ἐντιμότερον εἶναι τὸ γῆρας τῆς τῶν ἀκμαζόντων ῥώμης. εἰκότως δέ τοι καὶ σπουδάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν ἀνθρωπίνων. καλοὶ μὲν γὰρ οἱ γυμνικοί· ἀλλ' οὗτοι μὲν σωμάτων, ὁ δὲ περὶ τῆς γεροντίας ἀγὼν ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. ὅσῳ οὖν κρείσσων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν ἢ οἱ τῶν σωμάτων ἀξιοσπουδαστότεροι. Εἴς γε μὴν τὸν ἐν ὅπλοις ἀγῶνα τοιάδε ἐμηχανήσατο· στολὴν μὲν ἔχειν φοινικίδα καὶ χαλκῆν ἀσπίδα. Ἐφῆκε δὲ καὶ κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν, νομίζων οὕτω καὶ μείζους ἂν καὶ ἐλευθεριωτέρους φαίνεσθαι. οὕτω γε μὴν κατεσκευασμένων μοίρας ἔδειξεν ἓξ καὶ ἱππέων καὶ ὁπλιτῶν. ἑκάστη δὲ τῶν ὁπλιτικῶν ἔχει μοιρῶν πολέμαρχον ἕνα, λοχαγοὺς τέτταρας, πεντηκοστῆρας ὀκτώ, ἐνωμοτάρχους ις'. ἐκ δὲ τούτων τῶν μερῶν διὰ παρεγγυήσεως καθίστανται τοτὲ μὲν εἰς ἐνωμοτίας, τοτὲ δὲ εἰς τρεῖς, τοτὲ δὲ εἰς ἕξ. Ἐπεὶ δὲ ἔγνω τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐπ' οἴκῳ, τὴν τῆς ἐφορείας εἰς ἀγῶνα καταστῆσαι. Πολλῶν δὲ ὄντων καλῶν μηχανημάτων τῷ Λυκούργῳ εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν τοὺς πολίτας, ἐν τοῖς καλλίστοις καὶ τό μοι δοκεῖ εἶναι, ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ οἷς αὐτὸς ἔθηκε νόμοις. ἐπεὶ δ' ἀνεῖλε τῷ παντὶ ἄμεινον εἶναι, τότε ἀπέδωκεν οὐ μόνον ἄνομον δείξας ἀλλὰ καὶ ἀνόσιον τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι. Χαρώνδα Καταναίου Προοίμια νόμων. πράξεων ἀπέχεσθαι καὶ μάλιστα διὰ τὰν πρὸς τὸν θεὸν ξυμβουλίαν· οὐδενὸς γὰρ ἀδίκου θεὸν κοινωνεῖν. βοηθεῖν δὲ ἕκαστον ἑαυτῷ καὶ ποτικελεύεσθαι κατ' ἀξίαν τῶν δικαίων μεταλαμβάνεν καὶ πράσσεν· τὸ γὰρ ὑπὲρ μικρῶν καὶ μεγάλων ὁμοίως διατείνεσθαι ἄγαν μικροπρεπὲς δοκεῖ ἦμεν καὶ ἀνελεύθερον. διὸ δεῖ φροντίζεν τῶ μὴ σφόδρα ἐς τὰ μάκιστα καὶ τὰ μεγάλα ἐμπίπτεν· ἀλλὰ κατ' ἀξίαν τὰν ἑαυτῶ καὶ δυναμίαν μετρέοντα ἑκάστῳ πράγματι ἐπιβάλλεν, ὅπως τίμιος ᾖς καὶ σεμνός. Ἀδίκῳ δὲ ἀνδρὶ ἢ γυναικὶ κεκριμένοις ὑπὸ πόλεως ἐπαρωγὴν μὴ ποιεῖσθαι μηδὲ ὁμιλεῖν μηδένα ἢ ὀνειδίζεσθαι ὡς ὄντα ὅμοιον ᾧ ὁμιλεῖ. τοὺς δὲ προκεκριμένους ἄνδρας ἀγαθοὺς ἀγαπᾶν καὶ ἐντυγχάνειν αὐτοῖς, τελεῖσθαι τε τὴν μεγίστην καὶ τελειοτάτην τελετήν, ἀνδραγαθίαν, μιμουγὰρ ἀνὴρ τέλειος ἄνευ ταύτης. πολίτῃ δὲ ἀδικουμένῳ βοηθεῖν καὶ οἴκοι καὶ ἐπὶ ξένης· ξένον δὲ πάντα τὸν ἐν τῇ ἑαυτοῦ πατρίδι σεβόμενον καὶ κατὰ τοὺς οἰκείους νόμους εὐφήμως καὶ οἰκείως προσδέχεσθαι καὶ ἀποστέλλειν, μεμνημένους Διὸς ξενίου ὡς παρὰ πᾶσιν ἱδρυμένου κοινοῦ θεοῦ καὶ ὄντος ἐπισκόπου φιλοξενίας τε καὶ κακοξενίας. Ἡγεῖσθαι δὲ καὶ παραγγέλλειν πρεσβυτέρους νεωτέροις τὸ αἰδεῖσθαι καὶ αἰσχύνεσθαι τὰ κακά, φανεροὺς ὄντας αὐτοὺς αἰσχυνομένους καὶ αἰδουμένους· ὡς ἐν αἷς πόλεσι πρεσβυτέρων ἀναισχυντίαι, φύονται παῖδες αὐτῶν καὶ παίδων παῖδες ἀναίσχυντοι. ἀκολουθεῖ δὲ ἀναισχυντίᾳ καὶ ἀναιδείᾳ ὕβρις καὶ ἀδικία, τούτοις δ' ἕπεται ὄλεθρος. μηδεὶς δ' ἔστω ἀναιδής, ἀλλὰ σωφρονείτω ἕκαστος, ὡς οὕτω τευξόμενος θεῶν ἵλεων καὶ σωτηρίας· οὐδεὶς γὰρ κακὸς θεοφιλής. τιμάτω δὲ ἕκαστος τὸ καλὸν καὶ τὸ ἀληθὲς καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος· ταῦτα γὰρ ἀρετῆς σημεῖα καὶ κακίας. διὸ χρὴ συνεθίζειν ἐκ παίδων κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς. προσποιείσθω δὲ ἕκαστος τῶν πολιτῶν σωφρονεῖν μᾶλλον ἢ φρονεῖν· ὡς ἡ προσποίησις τοῦ φρονεῖν μέγα σημεῖον ἀπειροκαλίας καὶ σμικρότητος. ἔστω δὲ ἡ προσποίησις τοῦ σωφρονεῖν ἀληθής· μηδεὶς γὰρ πλαττέσθω γλώσσῃ καλὰ ἔργα, πρά- Χρὴ δὲ καὶ πρὸς τοὺς ἄρχοντας εὔνοιαν διαφυλάττειν καθάπερ πατράσιν εὐπειθοῦντας καὶ σεβομένους· ὡς ὁ μὴ διανοούμενος οὕτω τίσει δίκην κακῆς βουλῆς δαίμοσιν ἑστιούχοις. ἄρχοντες γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑστιουχοῦσι πόλεως καὶ πολιτῶν σωτηρίας. Χρὴ δὲ καὶ τοὺς ἄρχοντας δικαίως προεστάναι τῶν ἀρχομένων καθάπερ τέκνων ἰδίων, ἔχθραν καὶ φιλίαν καὶ θυμὸν ἐν τῷ κρίνειν κοιμίσαντας. Ἐπαινείσθωσαν δὲ καὶ εὐδοκιμείτωσαν, ὅσοι ἂν ὄντες εὔποροι τοῖς ἐνδεεστέροις ἐπαρκῶσιν, ὡς τέκνα καὶ ἀμύντορας σῴζοντες τῆς ἑαυτῶν πατρίδος. ἐπαρκείτωσαν δὲ τοῖς διὰ τύχην πενομένοις, καὶ μὴ διὰ βίον ἀργὸν καὶ ἀκρατῆ. ἡ μὲν γὰρ τύχη πᾶσι κοινόν, ὁ δὲ ἀργὸς καὶ ἀκρατὴς βίος κακοῖς ἀνδράσιν ἴδιος. Καλὸν δ' ἔστω καὶ μηνύειν ἐάν τίς τῳ συνειδῇ ἀδικοῦντι, ἵνα ἡ πολιτεία σῴζηται πολλοὺς ἔχουσα τῆς εὐκοσμίας φύλακας. ὁ δὲ μηνύων εὐσεβὴς ἔστω καὶ κατὰ τῶν οἰκειοτάτων ἐξαγγέλλων· οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. ἐμφανιζόντων δὲ μὴ τὰ δι' ἀκούσιον ἄγνοιαν γιγνόμενα, ἀλλ' ὅσον ἂν ἐκ προνοίας τι ἁμαρτάνωσιν. ὁ δ' ἐμφανισθείς, ἂν ἐθελεχθρῇ τῷ μηνύσαντι, μισείσθω ὑπὸ πάντων, δίκην διδοὺς ἀχαριστίας, 〈ᾗ τιμ〉ῆς ἀποστερεῖ τὸν ἰατρεύοντα, μεγίστην νόσον ἰατρευόμενος ἀδικίαν. ρία καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης. δικαιότατος δὲ ἔστω καὶ ὁσιώτατος πολίτης ὁ ταῦτα τιμῶν καὶ ἐμφανίζων πρὸς πολίτας καὶ ἄρχοντας κατὰ τῶν καταφρονούντων. Ὑπὲρ πατρίδος ἀποθνῄσκειν σεμνότερον ἔστω ἢ γλιχόμενον τοῦ ζῆν ἐγκαταλιπεῖν αὐτὴν καὶ τὸ καλόν. κρεῖττον γὰρ τεθνάναι καλῶς ἢ ζῆν αἰσχρῶς καὶ ἐπονειδίστως. Χρὴ δὲ καὶ τῶν τελευτώντων ἕκαστον τιμᾶν μὴ δακρύοις μηδὲ οἰκτοις, ἀλλὰ μνήμῃ ἀγαθῇ καὶ τῇ τῶν κατ' ἔτος ὡραίων ἐπιφορᾷ, ὡς ἀχαριστίας οὔσης πρὸς δαίμονας χθονίους λύπης ὑπὲρ τὸ μέτρον γιγνομένης. Βλασφημείτω δὲ μηδεὶς ἐπ' ἀδίκῳ βλάβῃ περὶ μηδενός· ὁσιώτερον γὰρ εὐφημία κακηγορίας. Νομιζέσθω δὲ πολίτης ἀμείνων ὁ τῆς ὀργῆς κρείττων μᾶλλον τοῦ διὰ ταύτην πλημμελοῦντος. Ὁ 〈τὰ〉 ἱερὰ καὶ ἀρχεῖα ὑπεραίρων τῇ πολυτελείᾳ τῶν ἰδίων μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω· μηδὲν γὰρ ἔστω ἰδιωτικὸν μεγαλοπρεπέστερον καὶ σεμνότερον τῶν δημοσίων. Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων καταφρονείσθω ὡς μικρόψυχος ὢν καὶ ἀνελεύθερος καὶ καταπληττόμενος ὑπὸ κτημάτων πολυτελῶν καὶ βίου τραγῳδουμένου, καὶ εὐτελὴς εἶναι τὴν ψυχὴν ὑπολαμβανέσθω. ὁ γὰρ μεγατὴν διάνοιαν ἔργοις αἰσχροῖς μηδὲ ἀναπιμπλῇ τὴν ψυχὴν ἀναιδείας καὶ μιασμάτων. τὰ μὲν γὰρ εὐσχήμονα καὶ φίλα τοῖς οἰκείοις ὀνόμασι καὶ κειμένοις ὑπὸ τοῦ νόμου προσαγορεύομεν, πρὸς ἃ δ' ἂν ἐχθρῶς ἔχωμεν, ἐξιστάμεθα καὶ τῆς προσηγορίας διὰ τὸ αἰσχρόν. ἔστω δὲ καὶ αἰσχρὸν εἰπεῖν τὸ αἰσχρόν. Γυναῖκα δὲ τὴν κατὰ νόμους ἕκαστος στεργέτω καὶ ἐκ ταύτης τεκνοποιείσθω, εἰς ἄλλο δὲ μηδὲν προϊέσθω τέκνων τῶν αὐτοῦ σποράν· μηδὲ τὸ φύσει καὶ νόμῳ τίμιον ἀνόμως ἀναλισκέτω καὶ ὑβριζέτω. ἡ γὰρ φύσις τεκνοποιίας ἕνεκεν, οὐκ ἀκολασίας ἐποίησε τὴν σποράν. Γυναῖκα δὲ σωφρονεῖν χρὴ καὶ μὴ προσδέχεσθαι συνουσίαν ἀσεβῆ παρ' ἄλλων ἀνδρῶν, ὡς ἀπαντώσης νεμέσεως παρὰ δαιμόνων ἐξοικιστῶν καὶ ἐχθροποιῶν. Ὁ μητρυιὰν ἐπιγαμῶν μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω ὡς παραίτιος ὢν οἰκείας διαστάσεως. Χρὴ δὲ ἐμμένειν τοῖς εἰρημένοις, τὸν δὲ παραβαίνοντα ἔνοχον εἶναι τῇ πολιτικῇ ἀρᾷ. Προστάσσει δὲ ὁ νόμος, ἐπίστασθαι τὰ προοίμια παιᾶνας λέγειν ᾧ ἂν προστάσσῃ ὁ ἱστιάτωρ, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὰ παραγγέλματα. Ἐκ τῶν Νικολάου Περὶ ἐθῶν (fr. hist. Gr. III p. 457 Mueller). Παρὰ Ταρτησίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἔξεστι. Λευκανοὶ δικάζονται ἀλλήλοις ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας. ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ. καὶ Ἀθήνησι δὲ τῆς ἀργίας εἰσὶ δίκαι. Παρὰ Σαυνίταις κατ' ἔτος οἵ τε ἥθεοι κρίνονται δημοσίᾳ καὶ αἱ παρθένοι· ὁ δὲ κριθεὶς ἄριστος εἶναι λαμβάνει ἣν βούλεται, εἶθ' ὁ μετ' ἐκεῖνον δεύτερος καὶ οὕτως ἐφεξῆς. Λιβύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι καὶ τὰ τέκνα ἐν κοινῷ τρέφουσι μέχρι ἐτῶν πέντε· εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι, καὶ ἑκάστῳ τὸ ὅμοιον ἀποδιδόασι πατρί· ἀφ' ἧς δ' ἂν ἀπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ὑπολαμβάνει. τουσι. μείζω δ' ἐστὶν ἐπιτίμια κατὰ τοῦ ξένον ἀνελόντος ἢ πολίτην· ὑπὲρ τοῦ μὲν γὰρ θάνατος ἡ ζημία, ὑπὲρ τοῦ δὲ [πολίτου] φυγή. τιμῶσι δὲ μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι. Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλήρωσιν. ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον, πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ. Κερκέται τοὺς ἀδικήσαντας ὁτιοῦν τῶν ἱερῶν ἀπείργουσιν. ἐὰν δέ τις κυβερνῶν σκάφος διαμάρτῃ, προσιόντες ἐφεξῆς ἕκαστοι ἐμπτύουσιν αὐτῷ. Μόσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον· ἐὰν δέ τις δόξῃ κακῶς ποτὲ βεβουλεῦσθαι τῷ λιμῷ αὐτὸν ἀποκτείνουσι. τὸν δὲ τρεφόμενον σῖτον ἐξ ἴσου διαιροῦσι, μέρος κοινῇ ἐξελόντες τοῖς ἀφικνουμένοις ξένοις. Φρύγες ὅρκοις οὐ χρῶνται οὔτ' ὀμνύντες οὔτε ἄλλους ζημιοῦσι. Λύκιοι τὰς γυναῖκας μᾶλλον ἢ τοὺς ἄνδρας τιμῶσι καὶ καλοῦνται μητρόθεν τός τε κληρονομίας ταῖς θυγατράσι λείπουσιν, οὐ τοῖς υἱοῖς. ὃς δ' ἂν ἐλεύθερος ἁλῷ κλέπτων, δοῦλος γίνεται. τὰς δὲ μαρτυρίας ἐν ταῖς δίκαις οὐκ εὐθὺ παρέχονται ἀλλὰ μετὰ μῆνα. Πισίδαι δειπνοῦντες ἀπάρχονται τοῖς γονεῦσιν, ὡς ἡμεῖς τοῖς θεοῖς παρασπονδίοις. ἡ δὲ μεγίστη κρίσις ἐστὶ περὶ παρακαταθήκης· τὸν δὲ ἀποστερήσαντα θανατοῦσιν. ἐὰν δὲ μοιχὸς ἁλῷ, περιάγεται τὴν πόλιν ἐπὶ ὄνου μετὰ τῆς γυναικὸς ἐπὶ ἡμέρας τακτάς. Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ' ὁ διαδεξόμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα. ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην. ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι, καὶ ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν Βασουλιεῖς Λίβυες ὅταν πολεμῶσι, τὰς μὲν νύκτας μάχονται, τὰς δ' ἡμέρας εἰρήνην ἄγουσι. Δαψολίβυες ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων κατασβέσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχὼν ἣν ἂν τύχῃ λαμβάνει. Μαχλυεῖς Λίβυες ὅταν πολλοὶ μνηστεύωνται γυναῖκα, παρὰ τῷ κηδεστῇ δειπνοῦσι παρούσης τῆς γυναικός· πολλὰ δὲ σκωπτόντων, ἐφ' ᾧ ἂν ἡ γυνὴ γελάσῃ, τούτῳ συνοικεῖ. Σαρδολίβυες οὐδὲν κέκτηνται σκεῦος ἔξω κύλικος καὶ μαχαίρας. Ἀλιτέμνιοι Λίβυες τοὺς ταχυτάτους αὐτῶν αἱροῦνται βασιλεῖς, τῶν δ' ἄλλων τιμῶσι τὸν δικαιότατον. Οἱ Νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις ἀλλὰ ταῖς νυξὶν αὐτῶν ἀριθμοῦσι τὸν χρόνον. Βοιωτῶν ἔνιοι τοὺς χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ· ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίνεται. δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδου πατὴρ Βοιωτὸς ὢν τὸ γένος. Ἀσσύριοι τὰς παρθένους ἐν ἀγορᾷ πωλοῦσι τοῖς θέλουσι συνοικεῖν, πρώτας μὲν τὰς εὐγενεστάτας καὶ καλλίστας, εἶτα τὰς λοιπὰς ἐφεξῆς· ὅταν δ' ἔλθωσιν ἐπὶ τὰς φαυλοτάτας, κηρύττουσι πόσον τις θέλει προσλαβὼν ταύταις συνοικεῖν, καὶ τὸ συναχθὲν ἐκ τῆς τῶν εὐπρεπῶν τιμῆς ταύταις προστίθενται. ἀσκοῦσι δὲ μάλιστα βαθύτητα καὶ ἀοργησίαν. Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν οὐδὲ λέγουσιν. ἐὰν δέ τις πατέρα κτείνῃ, ὑποβλητὸν αὐτὸν οἴονται. ἐὰν δέ τινα προστάξῃ βασιλεὺς μαστιγῶσαι, εὐχαριστεῖ ὡς ἀγαθοῦ τυχὼν ὅτι αὐτοῦ ἐμνήσθη βασιλεύς. ἆθλα δὲ λαμβάνουσι παρὰ βασιλέως πολυτεκνίας. οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ μάθημα τὸ ἀληθεύειν διδάσκονται. Παρ' Ἰνδοῖς ἐάν τις ἀποστερηθῇ δανείου ἢ παρακαταθήκης, οὐκ ἔστι κρίσις, ἀλλ' αὐτὸν αἰτιᾶται ὁ πιστεύσας. ὁ δὲ τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν θανάτῳ ζημιοῦται. τὸν δὲ μέγιστα ἀδικήσαντα ὁ βασιλεὺς κελεύει κείρασθαι, ὡς ἐσχάτης οὔσης ταύτης ἀτιμίας. Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας ἢ τὰς εἰς πόλεμον εὐθέτους αἰσχρόν ἐστιν. ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. τοὺς δὲ γέροντας αἰσχύνονται οὐδὲν ἧττον ἢ πατέρας. γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστιν, οὕτω καὶ παρθένων. ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ οὐδὲ Σπαρτιάταις ξενιτεύειν. ταῖς δὲ αὐτῶν γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι καὶ ἀστῶν καὶ ξένων. χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάτῃ. νομίσματι δὲ χρῶνται σκυτίνῳ· ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. σεμνύνονται δὲ πάντες ἐπὶ τῷ ταπεινοὺς αὐτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς. μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς ζῶντες. οἱ δὲ παῖδες νομίμως περί κακῶς

ζήσασιν. ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ Ἀγήτορος Διὸς ἐναυσάμενος 〈ὁ〉 πυρφόρος λεγόμενος σύνεστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ τηρῶν. συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις καὶ ἰατροὶ καὶ αὐληταί, οἷς ἐν ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται. μάχονται δ' ἐστεφανωμένοι. ὑπανίστανται δὲ τῷ βασιλεῖ πάντες πλὴν ἐφόρων. ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν. Κρῆτες πρῶτοι Ἑλλήνων νόμους ἔσχον Μίνωος θεμένου, ὃς καὶ πρῶτος ἐθαλασσοκράτησεν. προσεποιεῖτο δὲ Μίνως παρὰ τοῦ Διὸς αὐτοῦ μεμαθηκέναι, δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νόμους φέρων τοῖς Κρησί. μέμνηται δὲ τούτου καὶ Ὅμηρος, ἐν οἷς λέγει· τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἔνθα γε Μίνως ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής. οἱ δὲ Κρητῶν παῖδες ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκληραγωγούμενοι, καὶ θήρας καὶ δρόμους τε ἀνάντεις ἀνυπόδητοι κατανύοντες, καὶ τὴν ἐνόπλιον Πυρρίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύρριχος Κυδωνιάτης [Κρὴς] τὸ γένος. συσσιτοῦσι δ' ἐν κοινῷ οἱ ἄνδρες τὴν αὐτὴν δίαιταν ἔχοντες ἐξ ἴσου πάντες. δῶρα δὲ αὐτοῖς ἐστιν ὅπλα τιμιώτατα. Ἐκ τῶν Σερήνου. Οἱ Περσῶν βασιλεῖς πρὸ μὲν τῶν θυσιῶν περὶ εὐσεβείας διαλέγονται, πρὸ δὲ τοῦ πίνειν περὶ σωφροσύνης, πολεμεῖν δὲ μέλλοντες περὶ ἀνδρείας. Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέντε ἡμερῶν, ἵν' αἴσθοιντο ὅσου ἄξιός ἐστιν ὁ βασιλεὺς καὶ ὁ νόμος. Ἐκ τῶν Πλουτάρχου Περὶ Ἴσιδος (p. 354 B). Οἱ δὲ βασιλεῖς ἀπεδείκνυντο μὲν ἐκ τῶν ἱερέων ἢ γένους ἀξίωμα καὶ τιμὴν ἔχοντος. ὁ δ' ἐκ μαχίμων ἀποδεικνύμενος εὐθὺς ἐγίνετο τῶν ἱερέων, καὶ μετεῖχε τῆς φιλοσοφίας ἐπικρυπτομένης τὰ πολλὰ μύθοις καὶ λόγοις ἀμυδρὰς ἐμφάσεις τῆς ἀληθείας ἔχουσιν· ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες, ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης. τὸ δὲ ἐν Σάι τῆς Ἀθηνᾶς ἣν Ἶσιν νομίζουσιν, ἔδος, ἐπιγραφὴν εἶχε τοιαύτην 'ἐγώ εἰμι πᾶν τὸ γεγονὸς καὶ ὂν καὶ ἐσόμενον, καὶ τὸν ἐμὸν πέπλον οὐδείς πω θνητὸς ἀνεκάλυψεν'. Ἡροδότου ἱστορίας τετάρτης (104). Ἀγάθυρσοι ἁβρότατοι ἄνδρες εἰσὶ καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μῖξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι καὶ οἰκήιοι ἐόντες πάντες μήτε φθόνῳ μήτε ἔχθεϊ χρέωνται ἐς ἀλλήλους. Πλάτωνος Νόμων β′ (p. 666 A—C). Ἆρ' οὖν νομοθετήσομεν πρῶτον μὲν τοὺς παῖδας μέχρι ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι, διδάκαὶ τὴν ψυχήν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν ἐμμανῆ εὐλαβουμένους ἕξιν τῶν νέων· μετὰ τοῦτο οἴνου μὲν δὴ γεύεσθαι τοῦ μετρίου μέχρι τριάκοντα ἐτῶν, μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν τὸν νέον ἀπέχεσθαι. τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν ἐν τοῖς ξυσσιτίοις εὐωχηθέντα καλεῖν τούς τε ἄλλους θεοὺς καὶ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτέρων τελετὴν ἅμα καὶ παιδιάν, ἣν τοῖς ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο τὸν οἶνον φάρμακον, ὥστε ἀνηβᾶν ἡμᾶς, καὶ δυσθυμίας λήθην γίγνεσθαι μαλακώτερον ἐκ σκληροτέρου τὸ τῆς ψυχῆς ἦθος, καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα γιγνόμενον, καὶ οὕτως εὐπλαστότερον εἶναι; πρῶτον μὲν δὴ διατεθεὶς οὕτως ἕκαστος ἆρ' οὐκ ἂν ἐθέλοι προθυμότερόν τε, ἧττον αἰσχυνόμενος, οὐκ ἐν πολλοῖς ἀλλὰ ἐν μετρίοις, οὐκ ἐν ἀλλοτρίοις ἀλλ' ἐν οἰκείοις, ᾄδειν τε καὶ ὃ πολλάκις εἰρήκαμεν ἐπᾴδειν; — Καὶ πολύ γε. Ἐν ταὐτῷ (p. 674 A—C). Μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πόματος, ἀλλὰ ὑδροποσίᾳ συγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα, καὶ κατὰ πόλιν μήτε δούλην μήτε δοῦλον γεύεσθαι μηδέποτε, μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτὸν ὃν ἂν ἄρχωσιν, μηδ' αὖ κυβερνήτας μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας οἴνου γεύεσθαι τὸ παράπαν, μηδ' ὅστις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου ξυνέρχεται, μηδέ γε μεθ' ἡμέραν μηδένα τὸ παράπαν, εἰ μὴ σωμασκίας ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ, ὅταν ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ καὶ γυνή. καὶ ἄλλα δὲ πάμπολλα ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν οὐ ποτέος οἶνος· ὥστε κατὰ τὸν λόγον τοῦτον οὐδ' ἀμπέλων

ἂν πολλῶν δέοι οὐδ' ἥτινι πόλει, τακτὰ δὲ τὰ ἄλλα 〈ἂν〉 εἴη γεωργήματα καὶ πᾶσα ἡ δίαιτα, καὶ δὴ τά γε περὶ οἶνον σχεδὸν ἁπάντων ἐμμετρότατα καὶ ὀλίγιστα γίγνοιτ' ἄν. οὗτος, ὦ ξένοι, ἡμῖν, εἰ ξυνδοκεῖ, κολοφὼν ἐπὶ τῷ Τοῦ αὐτοῦ Νόμων γ′ (p. 689 E—690 C). Ἄρχοντας δὲ δὴ καὶ ἀρχομένους ἀναγκαῖον ἐν ταῖς πόλεσιν εἶναί που. — Τί μήν; — Εἶεν· ἀξιώματα δὲ δὴ τοῦ τε ἄρχειν καὶ ἄρχεσθαι ποῖά ἐστι καὶ πόσα, ἔν τε πόλεσι μεγάλαις καὶ σμικραῖς ἔν τε οἰκίαις ὡσαύτως; ἆρ' οὐχὶ ἓν μὲν τό τε πατρὸς καὶ μητρός; καὶ ὅλως γονέας ἐκγόνων ἄρχειν ἀξίωμα ὀρθὸν πανταχοῦ ἂν εἴη; — Καὶ μάλα. — Τούτῳ δέ γε ἑπόμενον γενναίους ἀγεννῶν ἄρχειν· καὶ τρίτον ἔτι τούτοις ξυνέπεται τὸ πρεσβυτέρους μὲν ἄρχειν δεῖν, νεωτέρους δὲ ἄρχεσθαι. — Τί μήν; — Τέταρτον δ' αὖ δούλους μὲν ἄρχεσθαι, δεσπότας δὲ ἄρχειν. — Πῶς γὰρ οὔ; — Καὶ πέμπτον γε οἶμαι τὸν κρείττονα μὲν ἄρχειν, τὸν ἥττω δὲ ἄρχεσθαι. — Μάλα γε ἀναγκαίαν ἀρχὴν εἴρηκας. — Καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζῴοις οὖσαν καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος. τὸ δὲ μέγιστον. ὡς ἔοικεν, ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιστήμονα κελεῦον, τὸν δὲ φρονοῦντα ἡγεῖσθαί τε καὶ ἄρχειν. καίτοι τοῦτό γε, ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι, κατὰ φύσιν δὲ τὴν τοῦ νόμου ἑκόντων ἀρχὴν ἀλλ' οὐ βίαιον πεφυκυῖαν. — Ὀρθότατα λέγεις. — Θεοφιλῆ δέ γε καὶ εὐτυχῆ τινα λέγοντες ἑβδόμην ἀρχὴν εἰς κλῆρόν τινα προάγομεν καὶ λαχόντα μὲν ἄρχειν, δυσκληροῦντα δὲ ἀπιόντα ἄρχεσθαι τὸ δικαιότατον εἶναί φαμεν. — Ἀληθέστατα λέγεις. Τοῦ αὐτοῦ Νόμων δ' (p. 715 B—E). Λέγεται δὲ τοῦδ' ἕνεκα ταῦθ' ἡμῖν, ὡς ἡμεῖς τῇ σῇ πόλει ἀρχὰς οὔθ' ὅτι πλούσιός ἐστί τις δώσομεν, οὔθ' ὅτι τῶν τοιούτων ἄλλο οὐδὲν κεκτημένος, ἰσχὺν ἢ μέγεθος ἤ τι γένος· ὃς δ' ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατός τε ᾖ καὶ νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει, τούτῳ φαμὲν καὶ τὴν τῶν θεῶν ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώτῳ, καὶ δευτέραν τῷ τὰ δεύτερα κρατοῦντι, καὶ κατὰ λόγον οὕτω τοῖς ἐφεξῆς τὰ μετὰ ταῦθ' ἕκαστα ἀποδοτέον εἶναι. τοὺς δ' ἄρχοντας λεγομένους νῦν ὑπηρέτας τοῖς νόμοις ἐκάλεσα οὔ τι καινοτομίας ὀνομάτων ἕνεκα, ἀλλ' ἡγοῦμαι παντὸς μᾶλλον εἶναι παρὰ τοῦτο σωτηρίαν τε πόλει καὶ τοὐναντίον. ἐν ᾗ μὲν γὰρ ἂν ἀρχόμενος ᾖ καὶ ἄκυρος νόμος, φθορὰν ὁρῶ τῇ τοιαύτῃ ἑτοίμην οὖσαν· ἐν ᾗ δὲ ἂν δεσπότης τῶν ἀρχόντων, οἱ δὲ ἄρχοντες δοῦλοι τοῦ νόμου, σωτηρίαν καὶ πάντα ὅσα οἱ θεοὶ πόλεσιν γέρων δὲ ὀξύτατα. — Ἀληθέστατα. Ἐν ταὐτῷ (p. 720 E—721 D). Φέρε δὴ πρὸς θεῶν, τίνα πρῶτον νόμον θεῖτ' ἂν 〈ὁ〉 νομοθέτης; ἆρ' οὐ κατὰ φύσιν τὴν περὶ γενέσεως ἀρχὴν πρώτην πόλεων πέρι κατακοσμήσει ταῖς τάξεσι; — Τί μήν; — Ἀρχὴ δ' ἐστὶ τῶν γενέσεων πάσαις πόλεσιν ἆρ' οὐχ ἡ τῶν γάμων σύμμιξις καὶ κοινωνία; — Πῶς γὰρ οὔ; — Γαμικοὶ δὴ νόμοι πρῶτοι κινδυνεύουσι τιθέμενοι καλῶς ἂν τίθεσθαι πρὸς ὀρθότητα πάσῃ πόλει. Παντάπασι μὲν οὖν. Λέγωμεν δὴ πρῶτον τὸν ἁπλοῦν, ἔχοι δ' ἄν πως ἴσως ὧδε· γαμεῖν δέ, ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα, μέχρι ἐτῶν πέντε καὶ τριάκοντα, εἰ δὲ μή, ζημιοῦσθαι χρήμασί τε καὶ ἀτιμίᾳ, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇδε καὶ τῇδε ἀτιμίᾳ. ὁ μὲν ἁπλοῦς ἔστω τις τοιοῦτος περὶ γάμων, ὁ δὲ διπλοῦς ὅδε· γαμεῖν δέ, ἐπει 〈δὰν〉 ἐτῶν ᾖ τις τριάκοντα, μέχρι τῶν πέντε καὶ τριάκοντα, διανοηθέντα ὡς ἔστιν ᾗ τὸ ἀνθρώπινον γένος θυμία. γένος οὖν ἀνθρώπων ἐστίν τι ξυμφυὲς τοῦ παντὸς χρόνου, ὃ διὰ τέλους αὐτῷ ξυνέπεται καὶ συνέψεται, τούτῳ τῷ τρόπῳ ἀθάνατον ὄν, τῷ παῖδας παίδων καταλειπόμενον ταὐτὸν καὶ ἓν ὂν ἀεὶ γενέσει τῆς ἀθανασίας μετειληφέναι· τούτου δὴ ἀποστερεῖν ἑκόντα ἑαυτὸν οὐδέποτε ὅσιον, ἐκ προνοίας δὲ ἀποστερεῖ ὃς ἂν παίδων καὶ γυναικὸς ἀμελῇ. πειθόμενος μὲν οὖν τῷ νόμῳ ἀζήμιος ἀπαλλάττοιτο ἄν, μὴ πειθόμενος δὲ αὖ, μηδὲ γαμῶν ἔτη τριάκοντα γεγονὼς καὶ πέντε, ζημιούσθω μὲν κατ' ἐνιαυτὸν τόσῳ καὶ τόσῳ, ἵνα μὴ δοκῇ τὴν μοναυλίαν οἱ κέρδος καὶ ῥᾳστώνην φέρειν, μὴ μετεχέτω δὲ τιμῶν, ὧν ἂν οἱ νεώτεροι ἐν τῇ πόλει τοὺς πρεσβυτέρους αὐτῶν τιμῶσιν ἑκάστοτε. Νόμων ε′ (p. 734 E—736 C). Καθάπερ οὖν δή τινα ξυνυφὴν 〈ἢ〉 καὶ πλέγμα ἄλλ' ὁτιοῦν, οὐκ ἐκ τῶν αὐτῶν οἷόν τέ ἐστι τήν τε ἐφυφὴν καὶ τὸν στήμονα

ἀπεργάζεσθαι, διαφέρειν δὲ ἀναγκαῖον τὸ τῶν στημονίων πρὸς ἀρετὴν γένος· ἰσχυρόν τε γὰρ καί τινα βεβαιότητα ἐν τοῖς τρόποις εἰληφός, τὸ δὲ μαλακώτερον καὶ ἐπιεικείᾳ τινὶ δικαίᾳ χρώμενον· ὅθεν δὴ τοὺς μεγάλας ἀρχὰς ἐν ταῖς πόλεσιν ἄρξοντας δεῖ διακρίνεσθαί τινα τρόπον ταύτῃ καὶ τοὺς σμικρᾷ παιδείᾳ βασανισθέντας ἑκάστοτε καὶ κατὰ λόγον. ἐστὸν γὰρ δὴ δύο πολιτείας εἴδη τὸ μὲν ἀρχῶν καταστάσεις ἑκάστοις, τὸ δὲ νόμοι ταῖς ἀρχαῖς ἀποδοθέντες. τὸ δὲ πρὸ τούτων ἁπάντων δεῖ διανοεῖσθαι τὰ τοιάδε. πᾶσαν ἀγέλην ποιμὴν καὶ βουκόλος τροφεύς τε ἵππων καὶ ὅσα ἄλλα παραλαβὼν τοιαῦτα, οὐκ ἄλλως μή ποτε ἐπιχειρήσῃ θεραπεύειν ἢ πρῶτον μὲν τὸν ἑκάστῃ προσήκοντα καθαρμὸν καθάρῃ τῇ ξυνοικήσει, διαλέξας δὲ τά τε ὑγιῆ καὶ τὰ μὴ καὶ τὰ 〈γενναῖα καὶ〉 ἀγεννῆ, τὰ μὲν ἀποπέμψει πρὸς ἄλλας τινὰς ἀγέλας τὰ δὲ θεραπεύσει, διανοούμενος ὡς μάταιος ἂν ὁ πόνος εἴη καὶ ἀνήνυτος περί τε σῶμα καὶ ψυχάς, ἃς φύσις καὶ πονηρὰ τροφὴ διεφθαρκυῖα προσαπόλλυσι τὸ τῶν ὑγιῶν καὶ ἀκηράτων ἠθῶν τε καὶ σωμάτων γένος ἐν ἑκάστοις, ἄν τις τὰ ὑπάρχοντα μὴ διακαθαίρηται. τὰ μὲν δὴ τῶν ἄλλων ζῴων ἐλάττων τε σπουδὴ καὶ παραδείγματος ἕνεκα μόνον ἄξια παραθέσθαι τῷ λόγῳ, τὰ δὲ τῶν ἀνθρώπων σπουδῆς τῆς μεγίστης τῷ γε νομοθέτῃ διερευνᾶσθαι καὶ φράζειν τὸ προσῆκον ἑκάστοις καθαρμοῦ τε πέρι καὶ ξυμπασῶν τῶν ἄλλων πράξεων. αὐτίκα γὰρ τὸ περὶ καθαρμοὺς πόλεως ὧδ' ἔχον ἂν εἴη· πολλῶν οὐσῶν τῶν διακαθάρσεων αἱ μὲν ῥᾴους εἰσίν, αἱ δὲ χαλεπώτεραι, καὶ τὰς μὲν τύραννος μὲν ὢν καὶ νομοθέτης ὁ αὐτός, ὅσαι χαλεπαί εἰσι καὶ ἄρισται, δύναιτ' ἂν καθῆραι, νομοθέτης δὲ ἄνευ τυραννίδος καθιστὰς πολιτείαν καινὴν καὶ νόμους, εἰ καὶ τὸν πραότατον τῶν καθαρμῶν καθήρειεν, ἀγαπώντως ἂν καὶ τὸ τοιοῦτον δράσειεν. ἔστι δ' ὁ μὲν ἄριστος ἀλγεινός, καθάπερ ὅσα τῶν φαρμάκων τοιουτότροπα, ὁ τῇ δίκῃ μετὰ τιμωρίας εἰς τὸ κολάζειν ἄγων, θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς· τοὺς γὰρ μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δὲ ὄντας, μεγίστην βλάβην οὖσαν πόλεως, ἀπαλλάττειν εἴωθεν. ὁ δὲ πραότερός ἐστι τῶν καθαρμῶν ὁ τοιόσδε ἡμῖν· ὅσοι διὰ τὴν τῆς τροφῆς ἀπορίαν τοῖς ἡγεμόσιν ἐπὶ τὰ τῶν ἐχόντων μὴ ἔχοντες ἑτοίμους αὑτοὺς ἐνδείκνυνται παρεσκευακότες ἔπεσθαι, τούτοις ὡς νοσήματι πόλεως ἐμπεφυκότι, δι' εὐφημίας ἀπαλλαγήν, ὄνομα ἀποικίαν τιθέμενος, εὐμενῶς ὅ τι μάλιστα ἐξεπέμψατο. παντὶ μὲν οὖν νομοθετοῦντι τοῦτο ἁμῶς γέ πως κατ' ἀρχὰς δραστέον, ἡμῖν μὴν ἔτι τούτων ἀτοπώτερα τὰ περὶ ταῦτ' ἐστὶ ξυμβεβηκότα νῦν· οὔτε γὰρ ἀποικίαν οὔτ' ἐκλογήν τινα καθάρσεως δεῖ μηχανᾶσθαι πρὸς τὸ παρὸν, οἷον δέ τινων ξυρρεόντων ἐκ πολλῶν τὰ μὲν πηγῶν τὰ δὲ χειμάρρων εἰς μίαν λίμνην, ἀναγκαῖον προσέχοντας τὸν νοῦν φυλάττειν, ὅπως ὅ τι καθαρώτατον ἔσται τὸ ξυρρέον ὕδωρ, τὰ μὲν ἐξαντλοῦντας, τὰ δ' ἀποχετεύοντας καὶ παρατρέποντας. πόνος δ', ὡς ἔοικε, καὶ κίνδυνός ἐστιν ἐν πάσῃ πολιτικῇ κατασκευῇ· τὰ δ' ἐπειδήπερ λόγῳ γε ἐστὶ τὰ νῦν ἀλλ' οὐκ ἔργῳ πραττόμενα, πεπεράνθω τε ἡμῖν ἡ ξυλλογὴ καὶ κατὰ νοῦν ἡ καθαρότης αὐτῆς ἔστω ξυμβεβηκυῖα. τοὺς γὰρ κακοὺς τῶν ἐπιχειρούντων εἰς τὴν νῦν πόλιν ὡς πολιτευσομένους ξυνιέναι πειθοῖ πάσῃ καὶ ἱκανῷ χρόνῳ διαβασανίσαντες, διακωλύσωμεν ἀφικνεῖσθαι, τοὺς δ' ἀγα- Τοῦ αὐτοῦ Νόμων ε′ (p. 742 A—C). Μηδὲ ἐξεῖναι χρυσὸν μηδὲ ἄργυρον κεκτῆσθαι μηδένα μηδενὶ ἰδιώτῃ, νόμισμα δὲ ἕνεκα ἀλλαγῆς τῆς καθ' ἡμέραν, ἣν δημιουργοῖς τε. ἀλλάττεσθαι σχεδὸν ἀναγκαῖον, καὶ πᾶσιν ὁπόσων χρεία τῶν τοιούτων μισθοὺς μισθωτοῖς, δούλοις καὶ ἐποίκοις, ἀποτίνειν. ὧν ἕνεκά φαμεν τὸ νόμισμα κτητέον αὐτοῖς μὲν ἔντιμον, τοῖς δὲ ἄλλοις ἀνθρώποις ἀδόκιμον· κοινὸν δὲ Ἑλληνικὸν νόμισμα ἕνεκά τε στρατειῶν καὶ ἀποδημιῶν εἰς τοὺς ἄλλους ἀνθρώπους, οἷον πρεσβειῶν ἢ καί τινος ἀναγκαίας ἄλλης τῇ πόλει κηρυκείας, ἐκπέμπειν τινὰ ἂν δέῃ, τούτων χάριν ἀνάγκη ἑκάστοτε κεκτῆσθαι τῇ πόλει νόμισμα Ἑλληνικόν. ἰδιώτῃ δὲ ἂν ἄρα ποτὲ ἀνάγκη τις γίγνηται ἀποδημεῖν, παρέμενος μὲν τοὺς ἄρχοντας ἀποδημείτω, νόμισμα δὲ ἄν ποθεν ἔχων ξενικὸν οἴκαδε ἀφίκηται περιγενόμενον, τῇ πόλει αὐτὸ καταβαλλέτω πρὸς λόγον ἀπολαμβάνων τὸ ἐπιχώριον· ἰδιούμενος δὲ ἐάν τις φαίνηται, δημόσιόν τε γιγνέσθω καὶ ὁ

ξυνειδὼς καὶ μὴ φράζων ἀρᾷ καὶ ὀνείδει μετὰ τοῦ ἀγαγόντος ἔνοχος ἔστω, καὶ ζημίᾳ πρὸς τούτοις μὴ ἐλάττονι τοῦ ξενικοῦ κομισθέντος νομίσματος. γαμοῦντα δὲ καὶ ἐκδιδόντα μήτ' οὖν διδόναι μήτε δέχεσθαι προῖκα τὸ παράπαν μηδ' ἡντινοῦν, μηδὲ νόμισμα παρακατατίθεσθαι, ὅτῳ μή τις πιστεύει· μηδὲ δανείζειν ἐπὶ τόκῳ, ὡς ἐξὸν μὴ ἀποδιδόναι τὸ παράπαν τῷ δανεισαμένῳ μήτε τόκον μήτε κεφάλαιον. Τοῦ αὐτοῦ Νόμων ς′ (p. 757 A—758 A). Δοῦλοι γὰρ ἂν καὶ δεσπόται οὐκ ἄν ποτε γένοιντο φίλοι, οὐδ' ἐν ἴσαις τιμαῖς διαγόμενοι φαῦλοι καὶ σπουδαῖοι· τοῖς γὰρ ἀνίσοις τὰ ἴσα ἄνισα γίγνοιτ' ἄν, εἰ μὴ τυγχάνοι τοῦ μέτρου· διὰ γὰρ ἀμφότερα ταῦτα στάσεων αἱ πολιτεῖαι πληροῦνται. παλαιὸς γὰρ λόγος ἀληθὴς ὤν, ὡς ἰσότης φιλότητα ἀπεργάζεται, μάλα μὲν ὀρθῶς εἴρηται καὶ ἐμμελῶς· ἥτις δ' ἐστί ποτε ἰσότης ἡ τοῦτο αὐτὸ δυναμένη, διὰ τὸ μὴ σφόδρα σαφὴς εἶναι σφόδρα ἡμᾶς διαταράττει. δυοῖν γὰρ ἰσοτήτοιν οὔσαιν ὁμωνύμοιν μέν, ἔργῳ δὲ εἰς πολλὰ σχεδὸν ἐναντίαιν, τὴν μὲν ἑτέραν εἰς τὰς τιμὰς πᾶσα πόλις ἱκανὴ παραγαγεῖν καὶ πᾶς νομοθέτης, τὴν μέτρῳ ἴσην καὶ σταθμῷ καὶ ἀριθμῷ, κλήρῳ ἀπευθύνων εἰς τὰς διανομὰς αὐτήν· τὴν δὲ ἀληθεστάτην καὶ ἀρίστην ἰσότητα οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν. Διὸς γὰρ πρὸς τὴν αὐτῶν φύσιν ἑκατέρῳ· καὶ δὴ καὶ τιμὰς μείζοσι μὲν πρὸς ἀρετὴν ἀεὶ μείζους, τοῖς δὲ τοὐναντίον ἔχουσιν ἀρετῆς τε καὶ παιδείας τὸ πρέπον ἑκατέροις ἀπονέμει κατὰ λόγον. ἔστι γὰρ δήπου καὶ τὸ πολιτικὸν ἡμῖν ἀεὶ τοῦτ' αὐτὸ τὸ δίκαιον· οὗ καὶ νῦν ἡμᾶς ὀρεγομένους δεῖ καὶ πρὸς ταύτην τὴν ἰσότητα, ὦ Κλεινία, ἀποβλέποντας, τὴν νῦν φυομένην κατοικίζειν πόλιν. ἄλλην τε ἄν ποτέ τις οἰκίζῃ πρὸς ταὐτὸ τοῦτο σκοπούμενον χρεὼν νομοθετεῖν, ἀλλ' οὐ πρὸς ὀλίγους τυράννους ἢ πρὸς ἕνα ἢ καὶ κράτος δήμου τι, πρὸς δὲ τὸ δίκαιον ἀεί, τοῦτο δ' ἐστὶ τὸ νῦν δὴ λεχθέν, τὸ κατὰ φύσιν ἴσον ἀνίσοις ἑκάστοτε δοθέν· ἀναγκαῖόν γε μὴν καὶ τούτοις παρωνυμίοισί ποτε προσχρήσασθαι πόλιν ἅπασαν, εἰ μέλλει στάσεων ἑαυτῇ μὴ προσκοινωνήσειν κατά τι μέρος· τὸ γὰρ ἐπιεικὲς καὶ ξύγγνωμον τοῦ τελέου καὶ ἀκριβοῦς παρὰ δίκην τὴν ὀρθήν ἐστι παρατεθραυσμένον, ὅταν γίγνηται· διὸ τῷ τοῦ κλήρου ἴσῳ ἀνάγκη προσχρήσασθαι δυσκολίας τῶν πολλῶν ἕνεκα, θεὸν καὶ ἀγαθὴν τύχην καὶ τότε ἐν εὐχαῖς ἐπικαλουμένους ἀπορθοῦν αὐτοὺς τὸν κλῆρον πρὸς τὸ δικαιότατον. οὕτω δὴ χρηστέον ἀναγκαίως μὲν τοῖν ἰσοτήτοιν ἀμφοῖν, ὡς δ' ὅ τι μάλιστα ἐπ' ὀλιγίστοις τῇ ἑτέρᾳ, τῇ τῆς τύχης δεομένῃ. ταῦτα οὕτω διὰ ταῦτα, Ἐν ταὐτῷ (p. 759 A—D). Ἑλέσθαι δὲ δεῖ τρία μὲν ἀρχόντων εἴδη, περὶ μὲν τὸ νῦν δὴ λεχθὲν ἀστυνόμους ἐπονομάζοντα, τὸ δὲ περὶ ἀγορᾶς κόσμον ἀγορανόμους, ἱερῶν δὲ ἱερέας, οἷς μέν εἰσι πάτριαι ἱερωσύναι καὶ αἷς, μὴ κινεῖν· εἰ δέ, οἷον τὸ πρῶτον κατοικιζομένοις εἰκὸς γίγνεσθαι περὶ τὰ τοιαῦτα, ἢ μηδενὶ ἥ τισιν ὀλίγοις, οἷς μὴ καθεστήκοι καταστατέον ἱερέας τε καὶ ἱερείας νεωκόρους γίγνεσθαι τοῖς θεοῖς· τούτων δὴ πάντων τὰ μὲν αἱρετὰ χρή, τὰ δὲ κληρωτὰ ἐν ταῖς καταστάσεσι γίγνεσθαι, μιγνύντας πρὸς φιλίαν ἀλλήλοις δῆμον καὶ μὴ δῆμον ἐν ἑκάστῃ χώρᾳ καὶ πόλει, ὅπως ἂν μάλιστα ὁμονοῶν εἴη. τὰ μὲν οὖν τῶν ἱερέων, τῷ θεῷ ἐπιτρέποντα αὐτῷ τὸ κεχαρισμένον γίγνεσθαι, κληροῦν οὕτω τῇ θείᾳ τύχῃ ἀποδιδόντα, δοκιμάζειν δὲ τὸν ἀεὶ λαγχάνοντα πρῶτον μὲν ὁλόκληρον καὶ γνήσιον, ἔπειτα ὡς ὅ τι μάλιστα ἐκ καθαρευουσῶν οἰκήσεων, φόνου δὲ ἁγνὸν καὶ πάντων τῶν περὶ τὰ τοιαῦτα εἰς τὰ θεῖα ἁμαρτανομένων αὐτὸν καὶ πατέρα καὶ μητέρα κατὰ ταὐτὰ βεβιωκότας. ἐκ Δελφῶν δὲ χρὴ νόμους περὶ τὰ θεῖα πάντα κομισαμένους καὶ καταστήσαντας ἐπ' αὐτοῖς ἐξηγητάς, τούτοις χρῆσθαι. κατ' ἐνιαυτὸν δὲ εἶναι καὶ μὴ μακρότερον τὴν ἱερωσύνην ἑκάστην, ἔτη δὲ μὴ ἔλαττον τῶν ἱερειῶν ἔστω τὰ νόμιμα. τοὺς δ' ἐξηγητὰς τρὶς φερέτωσαν μὲν αἱ τέτταρες φυλαὶ τέτταρας, ἕκαστον ἐξ αὐτῶν, τρεῖς δέ, οἷς ἂν πλείστη γένηται ψῆφος, δοκιμάσαντας ἐννέα πέμπειν εἰς Δελφοὺς ἀνελεῖν ἐξ ἑκάστης τριάδος ἕνα· τὴν δὲ δοκιμασίαν αὐτῶν καὶ τοῦ χρόνου τὴν ἡλικίαν εἶναι καθάπερ τῶν ἱερέων. Ἐν ταὐτῷ (p. 762 D—E). Τούτων δὲ οἱ νομοφύλακες ἐπίσκοποι ἀκριβεῖς ἔστωσαν, ὅπως ἢ μὴ γίγνηται τὴν ἀρχὴν ἢ γιγνόμενα τῆς ἀξίας δίκης τυγχάνῃ. δεῖ δὴ πάντ' ἄνδρα διανοεῖσθαι περὶ ἁπάντων ἀνθρώπων, ὡς ὁ μὴ

δουλεύσας οὐδ’ ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου, καὶ καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον ἢ τῷ καλῶς ἄρξαι, πρῶτον μὲν τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν, ἔπειτ’ ἀεὶ τοῖς πρεσβυτέροις τε καὶ ἐντίμως βεβιωκόσι τοὺς νέους. Ἐν ταὐτῷ (p. 765 D—766 C). Λοιπὸς δὲ ἄρχων περὶ τὰ προειρημένα ἡμῖν ὁ τῆς γεγονὼς μὴ ἔλαττον ἢ πεντήκοντα, παίδων δὲ γνησίων πατήρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μή, θάτερα· διανοηθήτω δὲ αὐτός τε ὁ προκριθεὶς καὶ ὁ προκρίνων ὡς οὖσαν ταύτην τὴν ἀρχὴν τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν πολὺ μεγίστην. παντὸς γὰρ δὴ φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὐτοῦ φύσεως κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν καὶ τῶν ζῴων ἡμέρων καὶ ἀγρίων καὶ ἀνθρώπων· ἄνθρωπος δέ, ὥς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς, θειότατον ἡμερώτατόν τε ζῷον γίγνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον, ὁπόσα φύει γῆ. ὧν ἕνεκα οὐ δεύτερον οὐδὲ πάρεργον δεῖ τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι, πρῶτον δὲ ἄρξασθαι χρεὼν τὸν μέλλοντα αὐτῶν ἐπιμελήσεσθαι καλῶς αἱρεθῆναι, τῶν ἐν τῇ πόλει ὃς ἂν ἄριστος εἰς πάντα ᾖ, τοῦτον κατὰ δύναμιν ὅ τι μάλιστα αὐτοῖς καθιστάντα προστάττειν ἐπιμελητήν. αἱ πᾶσαι τοίνυν ἀρχαὶ πλὴν βουλῆς καὶ πρυτάνεων εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἐλθοῦσαι φερόντων ἡγῆται κάλλιστα ἂν τῶν περὶ παιδείαν ἄρξαι γενομένων· ᾧ δ’ ἂν πλεῖσται ψῆφοι ξυμβῶσι, δοκιμασθεὶς ὑπὸ τῶν ἄλλων ἀρχόντων τῶν ἑλομένων, πλὴν νομοφυλάκων, ἀρχέτω ἔτη πέντε, ἕκτῳ δὲ κατὰ ταὐτὰ ἄλλον ἐπὶ ταύτην τὴν ἀρχὴν αἱρεῖσθαι. Τοῦ αὐτοῦ Νόμων ζ′ (p. 801 E—802 A). Μετά γε μὴν ταῦτα ὕμνοι θεῶν καὶ ἐγκώμια κεκοινωνημένα εὐχαῖς ᾄδοιτ’ ἂν ὀρθότατα, καὶ μετὰ θεοὺς ὡσαύτως περὶ δαίμονάς τε καὶ ἥρωας μετ’ ἐγκωμίων εὐχαὶ γίγνοιντ’ ἂν τούτοις πᾶσι πρέπουσαι. —Πῶς γὰρ οὔ; —Μετά γε μὴν ταῦτ’ ἤδη νόμος ἄνευ φθόνων εὐθὺς γίγνοιντ’ ἂν ὅδε· τῶν πολιτῶν ὁπόσοι τέλος ἔχοιεν τοῦ βίου, κατὰ σώματα ἢ κατὰ ψυχὰς ἔργα ἐξειργασμένοι καλὰ καὶ ἐπίπονα καὶ τοῖς νόμοις εὐπειθεῖς γεγονότες, ἐγκωμίων αὐτοὺς τυγχάνειν πρέπον ἂν εἴη. —Πῶς δ’ οὔ; —Τούς γε μὴν ἔτι ζῶντας ἐγκωμίοις τε καὶ ὕμνοις τιμᾶν οὐκ ἀσφαλές, πρὶν ἂν ἅπαντά τις τὸν βίον διαδραμὼν τέλος ἐπιστήσηται καλόν· ταῦτα δὲ πάντα ἡμῖν ἔστω κοινὰ ἀνδράσι τε καὶ γυναιξὶν ἀγαθοῖς καὶ ἀγαθαῖς διαφανῶς γενομένοις. Τοῦ αὐτοῦ Νόμων θ′ (p. 856 C—D). Πατρὸς ὀνείδη καὶ τιμωρίας παίδων μηδενὶ ξυνέπεσθαι, πλὴν ἐάν τινι πατὴρ καὶ πάππος καὶ πάππου πατὴρ ἐφεξῆς ὄφλωσι θανάτου δίκην. Ἐν ταὐτῷ (p. 879 A). Δοῦλος δ’ ἐάν τις ἐλεύθερον ὀργῇ τρώσῃ, παραδότω τὸν δοῦλον ὁ κεκτημένος τῷ τρωθέντι χρῆσθαι ὅ τι ἂν ἐθέλῃ. Ἐν ταὐτῷ (p. 879 B). Ὃς δ’ ἂν ἄκων ἄλλος ἄλλον τρώσῃ, τὸ βλάβος ἁπλοῦν ἀποτινέτω· τύχης γὰρ νομοθέτης οὐδεὶς ἱκανὸς ἄρχειν. Ἐν ταὐτῷ (p. 879 B—D). Ὧδε οὖν χρὴ περὶ τῶν τοιούτων πάντ’ ἄνδρα καὶ παῖδα καὶ γυναῖκα ἀεὶ διανοεῖσθαι, τὸ πρεσβύτερον ὡς οὐ σμικρῷ τοῦ νεωτέρου ἐστὶ πρεσβευόμενον ἔν τε θεοῖσι καὶ ἐν ἀνθρώποις τοῖς μέλλουσι σῴζεσθαι καὶ εὐδαιμονεῖν. αἰκίαν οὖν περὶ πρεσβύτερον ἐν πόλει γενομένην ὑπὸ νεωτέρου ἰδεῖν αἰσχρὸν καὶ θεομισές· ἔοικε δὲ νέῳ παντὶ ὑπὸ γέροντος πληγέντι ῥᾳθύμως ὀργὴν ὑποφέρειν, αὐτῷ τιθεμένῳ τιμὴν ταύτην εἰς γῆρας. ὧδ’ οὖν ἔστω· πᾶς ἡμῖν αἰδείσθω τὸν ἑαυτοῦ πρεσβύτερον ἔργῳ τε καὶ ἔπει· τὸν δὲ προέχοντα εἴκοσιν ἡλικίας ἔτεσιν, ἄρρενα ἢ θῆλυν, νομίζων ὡς πατέρα ἢ μητέρα διευλαβείσθω, καὶ πάσης τῆς δυνατῆς ἡλικίας αὐτὸν φυτεῦσαι καὶ τεκεῖν ἀπέχοιτ’ ἀεὶ θεῶν γενεθλίων χάριν. Ἐν ταὐτῷ (p. 880 D—881 B). Νόμοι δὲ, ὡς ἔοικεν, οἱ μὲν τῶν χρηστῶν ἀνθρώπων ἕνεκα γίγνονται, διδαχῆς χάριν τοῦ τίνα τρόπον ὁμιλοῦντες ἀλλήλοις ἂν φιλοφρόνως οἰκοῖεν, οἱ δὲ τῶν τὴν παιδείαν διαφυγόντων, ἀτεράμονι χρωμένων τινὶ φύσει καὶ μηδὲν τεγχθέντων, ὥστε μὴ οὐκ ἐπὶ πᾶσαν ἰέναι κάκην. οὗτοι τοὺς μέλλοντας λόγους ῥηθήσεσθαι πεποιηκότες ἂν εἶεν· οἷς δὴ τοὺς νόμους ἐξ ἀνάγκης ὁ νομοθέτης 〈ἂν〉 νομοθετοῖ. βουλόμενος αὐτῶν μηδέποτε χρείαν γίγνεσθαι. πατρὸς γὰρ ἢ μητρὸς ἢ τούτων ἔτι προγόνων ὅστις τολμήσει ἅψασθαί ποτε βιαζόμενος αἰκίᾳ

τινί, μήτε τῶν ἄνω δείσας θεῶν μῆνιν μήτε τῶν ὑπὸ γῆς τιμωριῶν λεγομένων, ἀλλ' ὡς εἰδὼς ἃ μηδαμῶς οἶδε, καταφρονῶν τῶν παλαιῶν καὶ ὑπὸ πάντων εἰρημένων, παρανομεῖ. τούτῳ δεῖ τινος ἀποτροπῆς ἐσχάτης. θάνατος μὲν οὖν οὐκ ἔστιν ἔσχατον, οἱ δ' ἐν Ἅιδου τούτοισι λεγόμενοι πόνοι ἔτι τε τούτων εἰσὶ μᾶλλον ἐν ἐσχάτοις, καὶ ἀληθέστατα λέγοντες οὐδὲν ἀνύτουσι ταῖς τοιαύταις ψυχαῖς τῶν ἄλλων γεννητόρων ἀνόσιοι πληγῶν τόλμαι· δεῖ δὴ τὰς ἐνθάδε κολάσεις περὶ τὰ τοιαῦτα τούτοισι τὰς ἐν τῷ ζῆν μηδὲν τῶν ἐν Ἅιδου λείπεσθαι κατὰ δύναμιν. 〈Τοῦ αὐτοῦ〉 Νόμων ια′ (p. 917 B—C). Ὁ πωλῶν ὁτιοῦν ἐν ἀγορᾷ μηδέποτε δύο εἴπῃ τιμὰς ὧν ἂν πωλῇ, ἁπλῆν δὲ εἰπών, ἂν μὴ τυγχάνῃ ταύτης. ἀποφέρω 〈ν ὀρθ〉 ὃς ἂν ἀποφέροι πάλιν καὶ ταύτης τῆς ἡμέρας μὴ τιμήσῃ πλέονος μηδὲ ἐλάττονος, ἔπαινος δὲ ὅρκος τε περὶ παντὸς τοῦ πωλουμένου ἀπέστω. ἐὰν δέ τις ἀπειθῇ τούτοις, ὁ παρατυγχάνων τῶν ἀστῶν, μὴ ἔλαττον ἢ τριάκοντα γεγονὼς ἔτη, κολάζων μὲν τὸν ὀμνύντα ἀνατεὶ τυπτέτω τις, ἀφροντιστῶν δὲ καὶ ἀπειθῶν ἔνοχος ἔστω ψόγῳ προδοσίας νόμων. Ἐν ταὐτῷ (p. 918 C—E). Σμικρὸν γένος ἀνθρώπων καὶ φύσει ὀλίγον καὶ ἄκρᾳ τροφῇ τεθραμμένον, ὅταν εἰς χρείας τε καὶ ἐπιθυμίας τινῶν ἐμπίπτῃ, καρτερεῖν πρὸς τὸ μέτριον δυνατόν ἐστι, καὶ ὅταν ἐξῇ χρήματα λαβεῖν πολλά, νήφει καὶ πρότερον αἱρεῖται τοῦ πολλοῦ τὸ τοῦ μέτρου ἐχόμενον· τὰ δὲ τῶν ἀνθρώπων πλήθη πᾶν τοὐναντίον ἔχει τούτοις, δεόμενά τε ἀμέτρως δεῖται καὶ ἐξὸν κερδαίνειν τὰ μέτρια, ἁπλήστως αἱρεῖται κερδαίνειν. διὸ πάντα τὰ περὶ τὴν καπηλείαν καὶ ἐμπορίαν καὶ πανδοκείαν γένη 〈δια〉βέβληταί τε καὶ 〈ἐν〉 αἰσχροῖς γέγονεν ὀνείδεσιν· ἐπεὶ εἴ τις, ὃ μή ποτε πράττειν, ἢ καὶ γυναῖκας ἔκ τινος ἀνάγκης εἱμαρμένης τοῦ τοιούτου μετασχεῖν τρόπου, γνοίημεν ἂν ὡς φίλον καὶ ἀγαπητόν ἐστιν ἕκαστον τούτων, καὶ εἰ κατὰ λόγον ἀδιάφθορον γίγνοιτο, ἐν μητρὸς ἂν καὶ τροφοῦ σχήματι τιμῷτο 〈τὰ〉 τοιαῦτα πάντα. Ἐν ταὐτῷ (p. 934 D—935 C). Μαίνονται μὲν οὖν πολλοὶ πολλοὺς τρόπους· οὓς μὲν νῦν εἴπομεν, ὑπὸ νόσων, εἰσὶ δὲ οἳ διὰ θυμοῦ κακὴν φύσιν ἅμα καὶ τροφὴν γενομένην, οἳ δὴ σμικρᾶς ἔχθρας γενομένης, πολλὴν φωνὴν ἱέντες κακῶς ἀλλήλους βλασφημοῦντες λέγουσιν, οὐ πρέπον εὐνόμων πόλεως γίγνεσθαι τοιοῦτον οὐδὲν οὐδαμῇ οὐδαμῶς. εἷς δὴ περὶ κακηγορίας ἔστω νόμος περὶ πάντας ὅδε· μηδένα κακηγορείτω μηδείς. ὁ δὲ ἀμφισβητῶν ἔν τισι λόγοις ἄλλος ἄλλῳ διδασκέτω καὶ μανθανέτω τόν τε ἀμφισβητοῦντα καὶ τοὺς παρόντας ἀπεχόμενος πάντως τοῦ κακηγορεῖν. ἐκ γὰρ τοῦ κατεύχεσθαί τε ἀλλήλοις ἐπαρωμένους καὶ δι' αἰσχρῶν ὀνομάτων ἐπιφέρειν γυναικείους ἑαυτοῖς φήμας, πρῶτον μὲν ἐκ λόγων, κούφου πράγματος, ἔργῳ μίση τε καὶ ἔχθραι βαρύταται γίγνονται· πράγματι γὰρ ἀχαρίστῳ, θυμῷ, χαριζόμενος ὁ λέγων, ἐμπιπλὰς ὀργὴν κακῶν ἑστιαμάτων, ὅσον ὑπὸ παιδείας ἡμερώθη ποτέ, πάλιν ἐξαγριῶν τῆς ψυχῆς τὸ τοιοῦτον, θηριούμενος ἐν δυσκολίᾳ ζῶν γίγνεται, πικρὰν τοῦ θυμοῦ χάριν ἀποδεχόμενος. μετεκβαίνειν δὲ αὖ πως εἰώθασι πάντες θαμὰ ἐν τοῖς τοιούτοις εἰς τό τι γελοῖον περὶ τοῦ ἐναντίου φθέγγεσθαι· ὅ τις ἐθιζόμενος οὐδεὶς πώποτε ὃς οὐ τοῦ σπουδαίου τρόπου ἥ 〈τοι〉 τὸ παράπαν διήμαρτεν ἢ μεγαλονοίας ἀπώλεσε μέρη πολλά. ὧν δὴ χάριν ἐν μὲν ἱερῷ τὸ παράπαν μηδεὶς τοιοῦτον φθέγξηται μηδέποτε μηδὲν μηδ' ἔν τισι δημοτελέσι θυσίαις, μηδ' αὖ ἐν ἄθλοις μηδ' ἐν ἀγορᾷ μηδ' ἐν δικαστηρίῳ μηδ' ἐν ξυλλόγῳ κοινῷ μηδενί· κολαζέτω δὲ ὁ τούτων ἄρχων ἕκαστον ἀνατεί, ἢ μηδέποτ' ἀριστείων πέρι φιλονεικήσῃ, νόμων ὡς οὐ κηδόμενος οὐδὲ ποιῶν τὰ προσταχθέντα ὑπὸ τοῦ νομοθέτου. Ἐν ταὐτῷ (p. 930 C). Παίδων δὲ ἱκανότης ἀκριβὴς ἄρρην καὶ θήλεια ἔστω τῷ νόμῳ. 〈Τοῦ αὐτοῦ〉 Νόμων 〈ι〉 β′ (p. 955 C—D). Τοὺς τῇ πατρίδι διακονοῦντάς τι δώρων χωρὶς χρὴ διακονεῖν, πρόφασιν δ' εἶναι μηδεμίαν μηδὲ λόγον ἐπαινούμενον, ὡς ἐπ' ἀγαθοῖς μὲν δεῖ δέχεσθαι δῶρα, ἐπὶ δὲ φλαύροις οὔ· τὸ γὰρ γνῶναι καὶ γνόντα καρτερεῖν οὐκ εὐπετές, ἀκούοντα δὲ ἀσφαλέστατον πείθεσθαι τῷ νόμῳ, μηδὲν ἐπὶ δώροις διακονεῖν. ὁ δὲ μὴ πειθόμενος ἁπλῶς

4.3 deest.

4.4 Εὐριπίδου Θησεῖ (fr. 389 N. 2). Ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής, δρᾶσαι δὲ χειρὶ δυνατός, οὐκ ἀνέξεται, Εὐριπίδου Πενθεῖ (Bacch. 270 s.). Θρασύς τε δυνατὸς καὶ λέγειν οἷός τ' ἀνὴρ κακὸς πολίτης γίνεται νοῦν οὐκ ἔχων. Τοῦ αὐτοῦ Γλαύκῳ (fr. 644 N. 2). Ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς, νοσεῖν τίθησι τὰς ἀμεινόνων φρένας παράδειγμ' ἐχόντων τὴν κακῶν ἐξουσίαν. Ἐν ταὐτῷ (Ion. 605 s.). Οἱ τὰς πόλεις ἔχοντες ἀξίωμά τε τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι. Εὐριπίδου Ὀρέστῃ (907 ss.). Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα· ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύους' ἀεί, κἂν μὴ παραυτίκ', αὖθίς εἰσι χρήσιμοι. Εὐριπίδου Ἑκάβης (293 ss.). Τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃ, τὸ σὸν Ἀλκμήνη (fr. 94 N. 2). Τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος. Μενάνδρου (fr. 578 K.). Δεῖ τὸν πολιτῶν προστατεῖν αἱρούμενον τὴν τοῦ λόγου μὲν δύναμιν οὐκ ἐπίφθονον, ἦθει δὲ χρηστῷ συγκεκραμένην ἔχειν. Εὐριπίδου Ἀλκμήνης (fr. 92 N. 2). Ἴστω τ' ἄφρων ὢν ὅστις ἄνθρωπος γεγὼς δῆμον κολούει χρήμασιν γαυρούμενος. Εὐριπίδου Μηδείας (222 ss.). Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει. οὐδ' ἀστὸν ᾔνες' ὅστις αὐθάδης γεγὼς πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο. Σοφοκλέους (fr. 852 N. 2). Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ· μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος. Εὐριπίδου Ἀλκμήνη (fr. 99 N. 2). Εὐριπίδου Αἰόλῳ (fr. 16 N. 2). Λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις, μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο, ἀλλ' ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ. Αἰσχύλου (fr. 398 N. 2). Κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί. Σοφοκλέους (Ant. 175 ss.). Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ. ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων, ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει, κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ. καὶ μείζον' εἴ τις ἀντὶ τῆς αὐτοῦ πάτρας φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω. ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί, οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας. Ξενοφῶντος ἐν δ' Ἀπομνημονευμάτων (c. 6, 5—6). Ἀνθρώποις δὲ ἆρα ἔστιν ὃν ἄν τις τρόπον βούληται χρῆσθαι; Οὐκ ἀλλὰ καὶ περὶ τούτους ὁ εἰδὼς ἃ ἐστι κατὰ ταῦτα χρώμενοι ἀλλήλοις ὡς δεῖ χρῶνται; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε ὡς δεῖ χρώμενοι καλῶς χρῶνται; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμενοι καλῶς πράττουσι τἀνθρώπεια πράγματα; Εἰκός, ἔφη. Οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι δίκαια οὗτοι ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Δίκαια δὲ οἶσθα, ἔφη, ὁποῖα καλεῖται; Ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. Οἱ ἄρα ποιοῦντες ἃ οἱ νόμοι κελεύουσι δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοί εἰσι; Οἶμ' ἔγωγε, ἔφη. Οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις μὴ εἰδότας ἃ οἱ νόμοι κελεύουσιν; Οὐκ ἔγωγ', ἔφη. Εἰδότας δὲ καὶ ἃ δεῖ ποιεῖν οἴει τινὰς οἴεσθαι δεῖν μὴ ταῦτα ποιεῖν; Οὐκ οἶομαι, ἔφη. Οἶδας δέ τινας ἄλλα ποιεῖν, εἰ οἴονται ποιεῖν ἐθέλοντας δεῖν; Οὐκ ἔγωγε, 〈ἔφη〉 . Οἱ ἄρα τὰ περὶ ἀνθρώπους νόμιμα εἰδότες οὗτοι τὰ δίκαια ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοί εἰσι; Τίνες γὰρ ἄλλοι; ἔφη. Ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα; Ἔμοιγε δοκεῖ, ἔφη. Θουκυδίδου ἱστοριῶν ε′ (89). Ἐπισταμένους πρὸς εἰδότας ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπίνῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται, δυνατὰ Ἀριστοτέλους (epist. ad Philipp. 1 p. 172 Herch.). Δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται. Ἐπικτήτου (fr. 57 p. 476 Schenkl). Ὥσπερ οἱ ἐπὶ τῶν λιμένων πυρσοὶ δι' ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα ταῖς ἁλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν, οὕτω καὶ ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένη αὐτὸς ὀλίγοις ἀρκούμενος μεγάλα τοὺς πολίτας εὐεργετεῖ. Ἐκ τοῦ Πλουτάρχου Εἰ πολιτευτέον πρεσβυτέρῳ (p. 783 E). Τῶν μέντοι πολιτικῶν ἀνδρῶν καλὸν ἐντάφιον ἡ πολιτεία· τοῦτο γὰρ 'ἔσχατον δύεται κατὰ γᾶς' ὥς φησι Σιμωνίδης, ὁ τῶν καλῶν ζῆλος. οὐ γὰρ τὸ φιλότιμον παρακμάσωσιν, οἴκοι καθημένους

σιτεῖσθαι. Ἐκ τῶν κοινῶν Ἀριστοτέλους διατριβῶν. Αἱ πλεῖσται στάσεις διὰ φιλοτιμίαν ἐν· ταῖς πόλεσι γίγνονται· περὶ τιμῆς γὰρ οὐχ οἱ τυχόντες, ἀλλ᾽ οἱ δυνατώτατοι διαμφισβητοῦσι. Δημοσθένους (fr. 38 Sauppe). Δημοσθένης εἶπε ‘πάντων ἐστὶ δυσχερέστατον τὸ πολλοῖς ἀρέσκειν‘. Τοῦ αὐτοῦ (fr. 39 Sauppe). Δημοσθένης δυοῖν ἔφησεν οὔσαιν ὁδοῖν, τῆς μὲν ἐπὶ τὸ βῆμα τῆς δὲ εἰς ᾅδου, μᾶλλον ἂν ἐλέσθαι τὴν εἰς ᾅδου τὸν εὖ φρονοῦντα. Πλάτωνος ἐκ τῆς πρὸς Ἀρχύταν ἐπιστολῆς (p. 357 E—358 B). ὅτι μὲν οὖν ἥδιστόν γ᾽ ἐστὶν ἐν τῷ βίῳ τὸ τὰ αὑτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἔχοι τοιαῦτα πράττειν οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον· ἀλλὰ κἀκεῖνο δεῖ 〈σ᾽〉 ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι οἱ γεννήσαντες, τὸ δὲ οἱ λοιποὶ φίλοι, πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι. καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινά, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν· ἅμα γὰρ συμβαίνει καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται. Ζαλεύκου. Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης τοὺς νόμους ἔφησε τοῖς ἀραχνίοις ὁμοίους εἶναι· ὥσπερ γὰρ εἰς ἐκεῖνα ἐὰν μὲν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται· ἐὰν δὲ σφὴξ ἢ μέλιττα, διαρρήξασα ἀφίπταται· οὕτω καὶ εἰς τοὺς νόμους ἐὰν μὲν ἐμπέσῃ πένης, συνέχεται· ἐὰν δὲ πλούσιος Μητροδώρου (fr. 60 Koerte). Ἐν πόλει μήτε ὡς λέων ἀναστρέφου μήτε ὡς κώνωψ· τὸ μὲν γὰρ ἐκπατεῖται, τὸ δὲ καιροφυλακεῖται. Δημοκρίτου (fr. 49 Diels 2). Χαλεπὸν ἄρχεσθαι ὑπὸ χερείονος. Ἀντισθένους (apophth. 13 Winck.). Ἀντισθένης ἐρωτηθείς. πῶς ἄν τις προσέλθοι πολιτείᾳ, εἶπε ‘καθάπερ πυρί, μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς‘. Χρυσίππου (fr. mor. 694 Arn.). Χρύσιππος ἐρωτηθείς, διὰ τί οὐ πολιτεύεται, εἶπε· διότι εἰ μὲν πονηρὰ πολιτεύεται, τοῖς θεοῖς ἀπαρέσει· εἰ δὲ χρηστά, τοῖς πολίταις. Πλάτωνος ἐκ τοῦ Λάχητος (p. 180 B). Ὡς ὅ γε ἔλεγεν Λυσίμαχος ἄρτι περὶ τοῦ πατρὸς τοῦ αὑτοῦ καὶ τοῦ Μελησίου, πάνυ μοι δοκεῖ εὖ εἰρῆσθαι καὶ εἰς ἐκείνους καὶ εἰς ἡμᾶς καὶ εἰς ἅπαντας ὅσοι τὰ τῶν πόλεων πράττουσιν, ὅτι αὐτοῖς σχεδόν τι ταῦτα συμβαίνει ἃ οὗτος λέγει καὶ περὶ παῖδας καὶ περὶ τἆλλα τὰ ἴδια ὀλιγωρεῖσθαί τε καὶ ἀμελῶς διατίθεσθαι. Πλάτωνος ἐκ τοῦ Γοργίου (p. 466 D—469 C). Λέγω τοίνυν σοι ὅτι δύο ταῦτ᾽ ἐστὶ τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα. φημὶ γάρ, ὦ Πῶλε, ἐγὼ καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν ἐν ταῖς πόλεσι σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται ὡς ἔπος εἰπεῖν, ποιεῖν μέντοι ὅ τι ἂν αὐτοῖς δόξῃ βέλτιστον εἶναι. — Οὐκοῦν τοῦτ᾽ ἐστὶν τὸ μέγα δύνασθαι; — Οὔχ, ὥς γέ φησιν ὁ Πῶλος. Ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε. — Μὰ τὸν κύνα, οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ. — Φημὶ γὰρ οὖν. — Ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ ταῦτα ἃ ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι, νοῦν μὴ ἔχων; καὶ τοῦτο καλεῖς σὺ μέγα δύνασθαι; — Οὐκ ἔγωγε. — Οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας καὶ τέχνην τὴν ῥητορικὴν ἀλλὰ μὴ κολακείαν, ἐμὲ ἐξελέγξας; εἰ δέ με ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται, εἰ δὲ δύναμίς ἐστιν, ὡς σὺ φῄς, ἀγαθόν, τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι· ἢ οὔ; — Ἔγωγε. — Πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου ὅτι ποιλόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι τούτου πρόσθεν; — Καὶ γὰρ νῦν ὁμολογῶ. — Οὐκ οὖν ποιοῦσιν ἃ βούλονται; — Οὔ φημι. — Ποιοῦντες ἃ δοκεῖ αὐτοῖς; — Φημί. — Σχέτλιά γε λέγεις καὶ ὑπερφυῆ, ὦ Σώκρατες. — Μὴ κατηγόρει, ὦ λῷστε Πῶλε, ἵνα προσείπω σε κατὰ σέ· ἀλλ᾽ εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι, εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. — Ἀλλ᾽ ἐθέλω ἀποκρίνεσθαι, ἵνα καὶ εἰδῶ ὅ τι λέγεις. — Πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο οὗ ἕνεκα πράττουσιν τοῦθ᾽ ὃ πράττουσιν; οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν πότερόν σοι δοκοῦσιν τοῦτο βούλεσθαι ὅπερ ποιοῦσιν, πίνειν τὸ φάρμακον καὶ ἀλγεῖν, ἢ ἐκεῖνο, τὸ

ὑγιαίνειν, οὗ ἕνεκα πίνουσι; — Δῆλον ὅτι τὸ ὑγιαίνειν. — Οὐκοῦν καὶ οἱ πλέοντές τε καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ τοῦτ' ἐστὶν ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε; τίς γὰρ βούλεται πλεῖν καὶ κινδυνεύειν καὶ πράγματα ἔχειν; ἀλλ' ἐκεῖνο οἶμαι οὗ ἕνεκα πλέουσι, πλουτεῖν· πλούτου γὰρ ἕνεκα πλέουσι. — Πάνυ γε. — Ἄλλο τι οὖν οὕτω καὶ περὶ ἁπάντων; ἐάν τις πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα πράττει; — Ναί. — Ἆρ' οὖν ἔστι τι τῶν ὄντων ὃ οὐχὶ ἤτοι ἀγαθόν γε ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων, οὔτε ἀγαθὸν οὔτε κακόν; — Πολλὴ ἀνάγκη, ὦ Σώκρατες. — Οὐκοῦν λέγεις ἀγαθὰ μὲν σοφίαν καὶ ὑγίειαν καὶ πλοῦτον καὶ τἆλλα τὰ τοιαῦτα, κακὰ δὲ τὰ ἐναντία τούτων; — Ἔγωγε. — Τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ οὐδετέρου, οἷον καθῆσθαι καὶ βαδίζειν καὶ τρέχειν καὶ πλεῖν, καὶ οἷον αὖ λίθους καὶ ξύλα καὶ τἆλλα τὰ τοιαῦτα; οὐ ταῦτα λέγεις; ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά; — Οὔκ, ἀλλὰ ταῦτα. — Πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν ὅταν πράττωσιν, ἢ τἀγαθὰ τῶν μεταξύ; — Τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν. — Τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν ὅταν βαδίζωμεν, οἰόμενοι βέλτιον εἶναι, καὶ τὸ ἐναντίον ἕσταμεν ὅταν ἑστῶμεν, τοῦ αὐτοῦ ἕνεκα, τοῦ ἀγαθοῦ· ἢ οὔ; — Ναί. — Οὐκοῦν καὶ ἀποκτείνυμεν, εἴ τινα ἀποκτείνυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα ποιεῖν ἢ μή; — Πάνυ γε. — Ἕνεκα ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες. — Φημί. — Οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ 'κεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα ταῦτα ποιοῦμεν; — Μάλιστα. — Οὐκ ἄρα σφάττειν βουλόμεθα οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως, ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά, βλαβερὰ δ' ὄντα οὐ ἀποκρίνῃ; — Ἀληθῆ. — Οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀποκτείνει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον, οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ; ἦ γάρ; — Ναί. — Ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; τί οὐκ ἀποκρίνῃ; — Ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται. — Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ πόλει ταύτῃ, εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν; — Οὐκ ἔστιν. — Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύνασθαι μηδὲ ποιεῖν ἃ βούλεται. — Ὡς δὴ σύ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον ἢ μή, οὐδὲ ζηλοῖς ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ ἢ ἀφελόμενον χρήματα ἢ δήσαντα; — Δικαίως λέγεις ἢ ἀδίκως; — Ὁπότερ' ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν; — Εὐφήμει, ὦ Πῶλε. — Τί δή; — Ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν. — Τί δέ; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων; — Πῶς γὰρ οὔ; — Ὅστις ἀποκτείνυσιν ὃν ἂν δόξῃ αὐτῷ, δικαίως ἀποκτεινύς, ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεεινός; — Οὐκ ἔμοιγε, οὐδὲ μέντοι ζηλωτός. δικαίως ἀζήλωτον. — Ἦ που ὅ γε ἀποθνῄσκων ἀδίκως ἐλεεινός τε καὶ ἄθλιός ἐστιν; — Ἧττον ἢ ὁ ἀποκτεινύς, ὦ Πῶλε, καὶ ἧττον ἢ ὁ δικαίως ἀποθνῄσκων. — Πῶς δή, ὦ Σώκρατες; — Οὕτως, ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν. — Ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον; — Ἥκιστά γε. — Σὺ ἄρα βούλοι' ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν; — Βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δὲ ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοί-

4.5 Εὐριπίδου ἐκ Συλέως (fr. 692 N. 2). Τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς πάντων μέγιστος πολέμιος κατὰ χθόνα. Εὐριπίδου Ἡρακλειδῶν (179). Τίς ἂν δίκην κρίνοιεν ἢ δοίη λόγον, πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς; Μενάνδρου (fr. 636 K.). Ὁ προκαταγιγνώσκων δὲ πρὶν ἀκοῦσαι σαφῶς αὐτὸς πονηρός ἐστι πιστεύσας κακῶς. Χαιρήμονος (fr. 31 N. 2). Σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς κρίνειν, τὸ δ' εἰκῆ καὶ μετὰ σπουδῆς κακόν. Εὐριπίδου ἐξ Αὔγης (fr. 270 N. 2). Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης. Τοῦ αὐτοῦ

Σκίρωνι (678 N. 2). Ἔστι τοι καλὸν [τοὺς] κακοὺς κολάζειν. Μενάνδρου (fr. 579 K.). Πινδάρου (Nem. IV 51). Ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικε. Σοφοκλέους ἐν Ἰνάχῳ (fr. 260 N. 2). Ἐπῄνες'· ἴσθι δ', ὥσπερ ἡ παροιμία, ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ. Μοσχίωνος (fr. 5 p. 813 N. 2). Μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους οὓς σοὶ κομίζω· τὸν κλύοντα γὰρ λαβὼν ὁ μῦθος εὖνουν οὐ μάτην λεχθήσεται. Εὐριπίδου (fr. 1049 N. 2). Ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ βωμὸν προσίζει, τὸν νόμον χαίρειν ἐῶν πρὸς τὴν δίκην ἄγοιμ' ἂν οὐ τρέσας θεούς· κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί. Σοφοκλέους Τυροῖ (fr. 604 N. 2). Ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός. Εὐριπίδου Ἱκετίδων (875 ss.). τοὺς δ' ἐξαμαρτάνοντας, οὐχὶ τὴν τύχην, ἤχθαιρ'· ἐπεί τοι κοὐδὲν αἰτία πέλει κακῶς ἀκούειν διὰ κυβερνήτην κακόν. Τοῦ αὐτοῦ Ὀρέστῃ (696 ss.). Ὅταν γὰρ ὀργῇ δῆμος εἰς θυμὸν πέσῃ, ὅμοιον ὥσπερ πῦρ κατασβέσαι λάβρον. εἰ δ' ἡσύχως τις αὐτὸν ἐντείνοντι μὲν χαλῶν ἕποιτο καιρὸν εὐλαβούμενος, ἴσως ἂν ἐκπνεύσειεν· ὅταν δ' ἀνῇ πνοάς, τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις. Ἀπολλοδώρου (Com. III p. 291 K.). Δεῖ τὸν ἀκροατὴν καὶ συνετὸν ὄντως κριτὴν πρὸ τοῦ λεγομένου τὸν βίον διασκοπεῖν, ποῖός τις ὁ λέγων καὶ πόθεν καὶ τὴν ἀκμὴν ἐκ παιδὸς αὐτοῦ πρὸς τί καταθέμενος αὐτοῦ προδότης κακός τε τῆς ὥρας φύλαξ· πᾶσαν ἀπολωλέκασι καθ' ἑτέρας θύρας. ὅθεν ἐπιχειρεῖ πάντ' ἀπηρυθριακότως ἕκαστος αὐτῶν, πρὸς δὲ πάντ' ἐστὶν θρασύς, ψεύδετ', ἐπιορκεῖ, μαρτυρεῖ, δικορραφεῖ, κλέπτει, τελωνεῖ, ῥᾳδιουργεῖ· τὸ δὲ πέρας, οὐ πόλιν ὅλην, φυλὴν δὲ μαλακὸς ἀνατρέπει. ἐπεὶ κατὰ μέρος τὰς πόλεις, ὦ φίλε, θεῶ, ὑπὸ λεσπριδίων εἰσὶν γὰρ ἀνατετραμμέναι. σκόπει· νεῶν δὲ κατάλογον δόξεις μ' ἐρεῖν. Πλάτωνος ἐκ τοῦ Γοργίου (p. 478 D). Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας; Ἦν γάρ. —Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη. Λυσίου (fr. 87 p. 376 Th.). Τὴν αὐτὴν γνώμην ἔχειν δικάζοντας ἄξιον, ἥνπερ νομοθετοῦντας. Αἰσχίνου (c. Ctesiph. 16). τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ. Ἀντιφῶντος (De caede Her. 91 p. 91 Blass 2). Εἰ δέοι τι ἁμαρτεῖν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἢ τὸ ἀδίκως ἀπολέσαι· τὸ μὲν γὰρ ἁμάρτημά ἐστι· τὸ δὲ ἀδίκως ἀποκτεῖναι ἀσέβημα. Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος (p. 8 D). Ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμάσιε, οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ γε ἀδικοῦντι δοτέον δίκην. Ἐκ τοῦ Ἰσοκράτους πρὸς Δημόνικον (10 p. 37 b). Εἰς ἀρχὴν καταστα θεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. Σόλωνος. Ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι· ἄρχεσθαι γὰρ μαθὼν ἄρχειν ἐπιστήσῃ. Βίωνος. Βίων ἔφη δεῖν τὸν ἀγαθὸν ἄρχοντα παυόμενον τῆς Ἀγάθωνος. Ἀγάθων ἔφη τὸν ἄρχοντα τριῶν δεῖ μεμνῆσθαι· πρῶτον μὲν ὅτι ἀνθρώπων ἄρχει, δεύτερον ὅτι νόμους ἄρχει, τρίτον ὅτι οὐκ ἀεὶ ἄρχει. Ἰσαίου (ed. Schoem. p. 168 fr. IV). Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσιν. Πλουτάρχου ἐκ τοῦ Περὶ Ἴσιδος (p. 355 A). Ἐν δὲ Θήβαις εἰκόνες εἰσὶν ἀνακείμεναι δικαστῶν ἄχειρες, ἡ δὲ τοῦ ἀρχιδικαστοῦ καταμύουσα τοῖς ὄμμασιν, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν. Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου (p. 414, 11 Dind.). Ὅτι μοι δοκεῖ ὁ ἄρχων ἐκεῖνος ἐπαληθεύειν τοὔνομα τῆς ἀρχῆς, ὅστις δυσάλωτος μὲν ὑπὸ χρυσίου, εὐάλωτος δὲ ὑπὸ λόγου, ἐλευθερίας δὲ ἐραστής, μεγαλοφροσύνην δὲ ἐπαινῶν φυλάττεται ἐγγὺς οὖσαν τὴν αὐθάδειαν. Εὐσεβίου (fr. 41 Mullach). Τοῦ αὐτοῦ (fr. 42 Mull.). Πρὸς τοὺς παρὰ δίκην ζώοντας ἔπειτα ἀξιεῦντας ἄλλων ἡγέεσθαι ἀπειθέες ἄνθρωποι. εὐπειθείην δὲ εὐπετέα ἐπὶ τὰ παραγγελλόμενα ἑωυτῷ καὶ ἄλλῳ παρὰ τῶν ἀρχομένων παρασκευάζει ἅπας ὅ γε παρ' ἑωυτοῦ τὰ δέοντα σπουδῇ ποιέειν ἐπιστάμενος καὶ παράδειγμα τῶν περ χρὴ πρήσσειν τοῖς ὑποτεταγμένοις ἑωυτὸν παρεχόμενος. Τοῦ αὐτοῦ (fr. 43 Mull.). Ἄρχοντος ἀγαθοῦ κέρδος μοῦνον τοῦτο οἰκήιον καὶ μυρίων κερδέων ἄλλων ἀντάξιον, πάντα μιν πρήσσειν, ὥστε καὶ παρὰ τὸν καιρὸν τῆς ἀρχῆς καὶ παυσαμένῳ οἱ πάντα χρηστὰ καὶ δικαιοσύνην παρὰ τῶν ἀρχθέντων μαρτυρέεσθαι. Τοῦ αὐτοῦ (fr. 44 Mull.). Ἀνὴρ ἄρχων, καὶ

ἰδιώτης δὲ ἅπας, ἵστω ἀπὸ τῆς φύσιος τῶν πρηγμάτων, ὁκοῖα ἂν αὐτὰ παρέχηται, τοιαύτευξόμενος· καὶ τοῦτο ἐπιφρασθεὶς οὕτω κρινέτω, ἐπ᾽ ὁκοτέρην τῶν ὁδῶν καὶ τὴν ἐπ᾽ ὁκοτέρην τῶν μνημέων ἄγουσαν τρέψηται, καὶ κοίην αὐτέων τῶν μνημέων αὐτῷ ἄμεινον προτιμῆσαι. Τοῦ αὐτοῦ (fr. 45 Mull.). Ἀρχὴν ἔχων μὴ ἀπομνησικάκεε πρὸς τοὺς ἐν διχοστασίῃ σοι πρότερον γεγενημένους· οὐ γὰρ ὅκως ἀμύνηαι ἔχθρην ἐπὶ τὴν ἀρχὴν εἶ ἀραιρημένος, ἀλλ᾽ ὅκως καὶ τῆς παρ᾽ ἄλλων ἐπιβουλῆς ἀσφαλέας καὶ ἀνεπιβουλεύτους φυλάξῃς τοὺς ὑπὸ σοὶ τεταγμένους, καὶ ὅκως τοῦ ὀρθοῦ φύλαξ ἔῃς καὶ θεοῦ μεγάλης, Δικαιοσύνης, ὑπηρέτης τε καὶ ἐξηγητής. ὥστε παρὰ τὰ αὐτῇ δοκέοντα ποιέων καὶ αὐτῆς καταψευδόμενος, ὡς ἐς θεὸν μεγίστην ἁμαρτάνων, καὶ παρ᾽ αὐτῆς καὶ τῶν περὶ αὐτὴν τεταγμένων δαιμόνων ἐφόρων τε καὶ τιμωρῶν εἶναι τῶν ποιευμένων μῆνιν προσδέχεο. Τοῦ αὐτοῦ (fr. 46 Mull.). δικαιότεροι. Τοῦ αὐτοῦ (fr. 47 Mull.). Ἐν ἀρχῇ ἐὼν ἔπειτα ἔχθρης μεμνημένος τῇ χείρονι μοίρᾳ σεωυτὸν νεμέεις καὶ τῆς ἀπαιτεομένης ἐν τῷ ἄρχοντι σεμνότητος σεωυτὸν ἀποστερήσεαι παρὰ τῶν ξυνεπισταμένων ὅτι ἔχθρῃ 〈ἐν〉 διδοῖς ἀντὶ τῶν σεμνοτάτων οὐνομάτων [ἀντὶ δικαστοῦ καὶ ἄρχοντος] τὸ εὐδιαβλητότατον οὔνομα ἀντιλαβὼν τῶν δικαζομένων ἐχθρὸς κεκλήσεαι. Τοῦ αὐτοῦ (fr. 48 Mull.). Τοῦ ἐπιτιμᾶν τινι θανάτου ζημίην τὴν ἐξουσίην εἶναι ἡγέομαι οὐκ ἐν τῷ κύριόν τινα εἶναι τούτου τοῦ τὴν ἐξουσίην ἑωυτοῦ κρατέειν ἐν οὕτω ἀσφαλεστάτῃ ὀφειλεύσῃ εἶναι κρίσει, ὥστε καὶ ἐς ὁμογενέας, εἴ τι ἁμαρτηθείη, καὶ τὴν οὐκ οἷά τέ ἐστι ἔτι ἀνακαλέσασθαι γινομένης τῆς ἁμαρτάδος. Τοῦ αὐτοῦ (fr. 49 Mull.). Ἃ τοῖς ἄλλοισιν ὡς φαῦλα ἐπιτιμᾷς, ταῦτα πρότερος αὐτὸς ποιέειν φυλάσσεο. Τοῦ αὐτοῦ (fr. 50 Mull.). Ἄνθρωποι ἀνθρώπων ἐπὶ κατηγορίας ἀφικνέονται οἱ μὲν ἐκ συγκειμένων ψευδέων ἐγκλημάτων οἱ δὲ ἀληθέα κατηγορέοντες, οἱ δ᾽ αὖ ἐπαινέουσιν. οἱ μὲν τὰ ἐόντα μαρτυρέοντες οἱ δὲ παρὰ τὸ ἀληθὲς χαριζόμενοι. ἄριστον ὦν ἐν τοῖσι τοιούτοισι καὶ ἰδιώτῃ καὶ ἄρχοντι μήτε αὐτὸν πιστεύειν αὐτόθεν μήτε ἀπιστέειν παντελέως, ἐκ δὲ τῶν πρηγμάτων ἐξεταζομένων ὅκως χρὴ περὶ αὐτῶν διανοέεσθαι καὶ τὸ ἀτρεκὲς αὐτῶν μανθάνειν. Τοῦ αὐτοῦ (fr. 51 Mull.). θήσεαι. Τοῦ αὐτοῦ (fr. 52 Mull.). Ἀρχὴν λαβὼν μὴ ἐπαίρεο, ὡυτὸς δὲ διατέλεε· οὕτω γὰρ καὶ ἀποθέμενος οὐκ ἀπαραιρῆσθαι τοῦ σεμνύνοντός σε νομισθήσεαι. Τοῦ αὐτοῦ (fr. 53 Mull.). Ἀνὴρ ἀγαθὸς ἔθνεός τευ ἢ πόλιος ἀρχὴν εἰληφὼς οὐκ ἕνεκα τῶν δημοσίων χρημάτων καὶ τοῦ δωροδοκέεσθαι καὶ τοῦ παρὰ τῶν πλουσίων χρηματίζεσθαι, ἔοικε τῷ ἀνδρὶ παρακαταθήκην εἰληφότι μεγάλων χρημάτων· ὥσπερ γὰρ καὶ ἐκεῖνος οὐκ ἐπὶ τῷ κατασχεῖν λαμβάνει οὐδὲ κτῆμα ἴδιον ποιήσασθαι τὰ δοθέντα ἀλλ᾽ ὥστε φυλάξαι καὶ ἀποδοῦναι σῷα τῷ παραθεμένῳ, ἐπεὰν ἀπαιτέηται· οὕτω δὲ καὶ αὐτὸν χρὴ οὐκ ἐπὶ κέρδεσιν οἰκείοις ἀλλ᾽ ἐπὶ σωτηρίῃ καὶ φυλακῇ πάντα πρήσσειν τῶν ἀρχομένων, ὥστε αὐτοὺς τὸ ἐς ἑωυτὸν ἧκον ἀσινέας καὶ εὐθηνέοντας Τοῦ αὐτοῦ (fr. 54 Mull.). Ἀνὴρ ἀνυποίστους καὶ ἀγρίας καὶ ἀμέτρους ζητέων τὰς τιμωρίας καὶ ταῖς κατὰ νόμον οὐκ ἀρκεόμενος θυμῷ ἀλόγῳ ξυγχωρέων καὶ γυναικείως ἐμπικραινόμενος, οὐκ αἰσθάνεται ἔξω τῆς δίκης ἐς τὸ ὁμογενὲς ἐξυβρίζων. ἀγνοέει δὲ τὸ μέγιστον, καὶ τόπερ χρὴ εἰδέναι πάντα τὸν μέλλοντα ἀνθρώπου καταδικᾶν, ὅτι καὶ ὁ θάνατος αὐτὸς παρὰ τῶν πρώτως δικαιωσάντων οὐκ ὥς τι κακὸν ἐπετιμήθη, ἀλλ᾽ ὡς ἔσχατον καὶ ἐν φαρμάκου λόγῳ κατὰ τῶν οὐ δυναμένων τῆς κακίης ἐλευθερωθῆναι, ὅκως, ἐπειδὴ οὐκ οἷά τε ἦν ἄλλως, τούτῳ γε ὧν τῷ τρόπῳ ἀπολυθέντες τοῦ ἐνταῦθα δεσμοῦ αὐτῆς πορίσωνται φυγήν. Πυθαγόρου. Ποίει ἃ κρίνεις εἶναι καλά, κἂν ποιῶν μέλλῃς ἀδοξεῖν. φαῦλος γὰρ κριτὴς παντὸς καλοῦ πράγματος ὄχλος. διόπερ ὧν ἂν τῶν ἐπαίνων καταφρονῇς, καὶ τῶν ψόγων καταφρόνει. Δημοκρίτου (fr. 261 Diels 2). Ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ καὶ μὴ παριέναι· τὸ μὲν γὰρ τοιοῦτον δίκαιον καὶ ἀγαθόν, τὸ δὲ μὴ τοιοῦτον ἄδικον καὶ κακόν. Δημοκρίτου (fr. 262 Diels 2). Καὶ οἳ φυγῆς ἄξια ἔρδουσιν ἢ δεσμῶν, ἢ θωιῆς ἄξιοι, καταψηφιστέον, καὶ μὴ ἀπολύειν· ὃς δ᾽ ἂν παρὰ νόμον ἀπολύῃ κέρδει ὁρίζων ἢ ἡδονῇ, ἀδικεῖ, καί οἱ τοῦτο ἐγκάρδιον

ἀνάγκη εἶναι. Τοῦ αὐτοῦ (fr. 263 Diels 2). Δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ [τιμὰς] ἀξίας τὰς μεγίστας τάμνων. Τοῦ αὐτοῦ (fr. 264 Diels 2). Μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ μηδέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλλει μηδεὶς εἰδήσειν ἢ 〈εἰ〉 οἱ πάντες ἄνθρωποι· ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε Τοῦ αὐτοῦ (fr. 265 Diels 2). Τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ πεποιημένων. καὶ γὰρ δίκαιον οὕτως· ὥσπερ 〈γὰρ τὸν〉 τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν καὶ πάσχειν οὕτω καὶ τὸν ἄρχοντα. οὐ γὰρ ἐπὶ τούτῳ ἡρέθη ὡς κακῶς ποιήσων, ἀλλ' ὡς εὖ. Τοῦ αὐτοῦ (fr. 266 Diels 2). Οὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥυθμῷ μὴ οὐκ ἀδικέειν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσιν. οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν ἢ ἑωυτῷ τὸν αὐτὸν ὑφ' ἑτέροισι γίγνεσθαι· δεῖ δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας, μὴ ὑπ' ἐκείνοις γενήσεται, ἀλλά τις ἢ θεσμὸς ἤ τι ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιεῦντι. Θουκυδίδου ἱστορίας πρώτης δημηγορίας Κορινθίων β (69, 1). Οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, Στωϊκῶν. Φασὶ μηδὲ συγγνώμην ἔχειν μηδενὶ τὸν νοῦν ἔχοντα τοῦ γὰρ αὐτοῦ συγγνώμην ἔχειν καὶ νομίζειν τὸν ἡμαρτηκότα μὴ παρ' αὐτὸν ἡμαρτηκέναι, πάντων ἁμαρτανόντων παρὰ τὴν ἰδίαν κακίαν· διὸ καὶ δεόντως λέγεσθαι τὸ μηδὲ συγγνώμην ἔχειν τοῖς ἁμαρτάνουσιν. οὐκ ἐπιεικῆ δέ φασιν εἶναι τὸν ἀγαθὸν ἄνδρα, τὸν γὰρ ἐπιεικῆ παραιτητικὸν εἶναι τῆς κατ' ἀξίαν κολάσεως καὶ τοῦ αὐτοῦ εἶναι ἐπιεικῆ τε εἶναι καὶ ὑπολαμβάνειν τὰς ἐκ τοῦ νόμου τεταγμένας κολάσεις τοῖς ἀδικοῦσι σκληροτέρας εἶναι καὶ τὸ ἡγεῖσθαι παρὰ τὴν ἀξίαν ἀπονέμειν τὰς κολάσεις τὸν νομοθέτην. Ἐκ τῆς Σωπάτρου ἐπιστολῆς πρὸς Ἡμέριον τὸν ἀδελφὸν τὸ Πῶς δεῖ πράττειν τὴν ἐγκεχειρισμένην αὐτῷ ἡγεμονίαν. Τίς οὖν οὕτω κατὰ τὸν Σιμωνίδου λόγον τετράγωνος ὃς κατὰ πᾶσαν τύχην καὶ πραγμάτων μετάστασιν ἀσφαλῶς ἑστήξεται, συναρμόζων μὲν ἑαυτὸν τοῖς τε ἄρχουσι καὶ ἀρχομένοις καὶ πρὸς ἑαυτὸν ἁρμόζων ἅπαντας, πᾶσαν δὲ πάντων διαφορὰν πρὸς ἕνα τὸν τοῦ καλοῦ συνυφαίνων λόγον; τίς δὲ ἀνδρῶν καὶ πραγμάτων πολυειδεῖ δουλεύων φύσει τὸ τῆς ψυχῆς ἀδούλωτον διαφυλάξει φρόνημα; τῷ μέν γε τὸν λόγον διατιθεμένῳ χαλεπὸν οὐδὲν ἐκ τῶν ἄκρων παραγγελμάτων τὸν ὄρθιον τῆς ἀρετῆς ᾄδειν νόμον, τῷ δ' εἰς πράξεις ἀληθινὰς τοὺς λόγους ἐντείνειν μέλλοντι τὸν ἐκ τῶν δοθέντων ἄριστον ἀντὶ τοῦ πρώτου τὴν φύσιν δοκιμάζειν ὁ τῆς ὑποθέσεως προστάττει λόγος. Ἐν ταὐτῷ. Τιμῆς μὲν ὁπόσης ἐν γράμμασί τε καὶ προσηγορίαις καὶ πάσῃ τῇ φαινομένῃ ταύτῃ τοῦ βίου δραματουργίᾳ οἱ μείζους τῶν ἀρχόντων μεταποιοῦνται, μὴ ὅπως ἐλλείπων τὸ μέτρον, ἀλλ' εἰ δυνατὸν καὶ πρὸς πλεονάζων φαίνου. γελοῖον γὰρ περὶ ὀνομάτων διαφερόμενον τῶν πραγμάτων, ἐφ' οἷς τὰ ὀνόματα κεῖται, μηδεμίαν ἔχειν φροντίδα· καὶ τῆς ψευδωνύμου τιμῆς ἀφιέμενον ὀλίγου μὲν ἄγαν ἑαυτὸν ἀξιοῦντα φαίνεσθαι, τοῖς δ' ἀρχομένοις πολλὴν ἐνίοτε βλάβην προξενεῖν. Τῶν δ' ἔργων ἃ μὲν οὐκ ἔστι προσταττόντων ἀρνήσασθαι, τῷ τρόπῳ καὶ χρόνῳ τῆς πράξεως πειθοῖ τε ἐμμελεῖ τὸ φαινόμενον ἐπαχθὲς παραμυθητέον. ἔνια δ' οὐκ ἔστιν ἀναγκασθῆναι, φησὶν Ἀριστοτέλης, οὐδ' εἰ τὸν λεγόμενον Ταντάλου λίθον ἐπηρτημένον τις ἔχοι, ἀλλ' ὑπομενετέον πάντα ἑτοίμως τὸ δρᾶν κακῶς πρὸ τοῦ παθεῖν κακῶς εὐλαβουμένῳ. ἃ δ' οὐκ ἔχει μὲν ἀπαραίτητον τὴν ἀποπλήρωσιν, λαθεῖν δὲ ἢ ἀγνοῆσαι τοὺς ἐπιτάξαντας συνέβη, διδασκαλίαν ἐμμελῆ προσβαρὺ γὰρ ἔλεγχος ἐμφανὴς τοῖς ἐν ἐξουσίᾳ· ἀλλ' ὡς εἰδότας ὑπομιμνήσκων ἢ προβάλλων εἰς κρίσιν ἢ πυνθανόμενος, ἃ γιγνώσκων οὐδὲν ἧττον αὐτὸς τυγχάνεις, καὶ φιλοτίμους μὲν ὄντας τιμῇ καὶ θεραπείᾳ προσάγου, τῶν δὲ ἀρχομένων ἐπιστρεφομένους τῆς προαιρέσεως ὑπομίμνησκε. Ἐν ταὐτῷ. Ἔστω δέ ποτε καὶ παρρησίας ἐλευθερίου καιρός, ἥτις μὴ βλάβην τοῖς ἀρχομένοις παρασκευάζειν μέλλει. τὸ μὲν γὰρ αὐτόν τινα, ἤν τι καὶ δέῃ, παθεῖν αἱρετώτερον τῆς λεγομένης εὐπραξίας πολλάκις· τὸ δ' ἐφ' οἷς ἂν αὐτὸς νεανιεύεσθαι δόξῃ λαθεῖν τοσούτους προδόντα κενοδοξίας ἐσχάτης ὑπεύθυνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποφαίνει. Αἰδοῦ πρὸς τὰς διημαρτημένας τῶν πολλῶν ἀποβλέπειν δόξας, τὸν δ' ἀπὸ τῆς ἀληθείας λόγον πάντων ἐπίπροσθεν ἄγε· καὶ οὔτε φαινομένην εὐπρέπειαν μετὰ βλάβης τῶν ἀρχομένων αἱρεῖσθαι οὔτε δοκοῦσαν ἀδοξίαν ἐπ' ὠφελείᾳ τῶν ὑπηκόων φεύγειν, εἰ μὴ τῆς τυχούσης φαντασίας, ἀλλὰ τῆς ἀρίστης ζωῆς μεταποιεῖσθαι μέλλοιμεν. τὴν μὲν πολιτικὴν τιμὴν ἡ τῆς πολιτείας ἀπονέμει τάξις τοῖς μείζοσι παρὰ τῶν ἐλαττόνων· τὴν δὲ ἄλλην λειαν τῶν ἀρχομένων ἐν εἴδει φαρμάκου προσάγομεν. ἐπεὶ κολακείας μὲν τὰ φαῦλα ἐπαινεῖν αὐτῆς ἕνεκα μόνης τῆς ἀρεσκείας, πολιτικῆς δὲ φρονήσεως τοὺς ἐν δυνάμει καθομιλεῖν πρὸς ὠφέλειαν ἀνθρώπων. ὁ μὲν γὰρ κόλαξ τὴν πονηρὰν ἀποδέχεται πρᾶξιν οὐδένα ὠφελῆσαι μέλλων, ὁ δ', ἵνα τῆς πονηρᾶς ἀπαγάγῃ προθέσεως, φιλότιμον ὄντα ἐπαινέσει. ὥσθ' ὁ μὲν δι' ὧν ἐπαινεῖ βλάπτει τὸν ἐπαινούμενον καὐτὸς καθ' ἑαυτοῦ πονηρίας ἐσχάτης ἐκφέρει δεῖγμα, ὁ δ' εἰς τὸ πράττειν ἄξια ἐπαίνου τῷ τρόπῳ τῆς θεραπείας ἐπάγεται. Ἐν τῷ αὐτῷ. Καὶ γίγνου μὲν ἄξιος τῆς ἀρχῆς οὐ θέσει πολιτείας, ἀλλ' ἀρετῆς καὶ προαιρέσεως τῇ πρὸς τοὺς ἀρχομένους ὑπεροχῇ· πλέον δ' ἔχειν ἑκάστου τῶν ὑπηκόων ταῖς κοιναῖς ὑπὲρ ἁπάντων ἐπιμελείαις καὶ τῇ μεμεριμνημένῃ τῶν ὅλων ἐπιστασίᾳ γίγνωσκε. Οὓς δὲ ἠγνόεις πρότερον καὶ σαυτῷ προσήκειν οὐδὲν ὑπελάμβανες, πλὴν ὅσον ὡς ἄνθρωπος τὴν κοινὴν φύσιν ἀνθρώπων αἰδούμενος, τούτους ὡς ἤδη γνωρίμους καὶ φίλους ἅπαντας θεώμενος εἶναι. Ὁμήρῳ γοῦν οὐκ ἀπέχρησε πατέρα ἁπλῶς τῶν ἀρχομένων τὸν ἄρχοντα προσειπεῖν· καίτοι τί ποτ' ἂν εὑρεθείη τούτου πραότερον ἀνθρώποις ὄνομα; ἀλλὰ καὶ τὸν ἧπιον φέρων ἐπέθηκε τῷ πατρί, ὁμοῦ μὲν γονεῦσιν ὁμοῦ δὲ ἄρχουσιν ἀγαθοῖς ταύτην πρέπειν τὴν προσηγορίαν ἡγούμενος. Τὴν μὲν οὖν ὡς ἀρχομένων πρόνοιαν κοινὴν ἀπονέμειν πᾶσι, τοῖς δ' ἐκ πείρας φαινομένοις χρηστοῖς δευτέραν τὴν ἐκ τῶν τρόπων οἰκειότητα προστιθέναι προαιροῦ. καὶ ὑπεροψίαν μὲν καὶ τὰς συνερίθους ταύτῃ κακίας, ἀλαζονείαν καὶ αὐθάδειαν, ὡς μικροπρεπεῖς ψυχῆς διαθέσεις ἀποδιδράσκωμεν· τὸ γὰρ ἑαυτῶν ἐπιλανθάνεσθαι διὰ τὴν ἐφήμερον τῆς ἀρχῆς φαντασίαν πολλὴν διανοίας ἀπελέγχει σμικρότητα. οὐ μὴν τὰς ἐπονειδίστους ταύτας τῆς κακίας ὑπερβολὰς ἀποδιδράσκοντες πρὸς θάτερον τῆς πονηρίας ἄκρον αἰσχρῶς ἂν μεταπίπτοιμεν, εὐτέλειαν καὶ ταπεινότητα ἤθους, φαῦλα ἀντὶ φαύλων τῶν πρόσθεν ἠθῶν ἀνταλλαττόμενοι· ἀλλ' ἥμερον χρὴ καὶ σεμνὸν τοῖς ὑπηκόοις δοκεῖν τε καὶ εἶναι τὸν ἀληθῶς ἄρχοντα. Ἐν ταὐτῷ. Δεῖ δὲ μήτε ὀργῇ προσομιλεῖν τοῖς ἀρχομένοις μήτε ἀνεπίπληκτον τοῖς ἁμαρτάνουσι τὴν προαίρεσιν καταλείπειν. τὸ μὲν γὰρ οὐδὲν τῶν μαινομένων διαφέρειν τὸν ἄρχοντα δείκνυσι, τὸ δ' εὐχέρειαν ἁμαρτημάτων τοῖς ὑπηκόοις ἐντίκτει. Ἀνεξίκακον δὲ ὁμοῦ καὶ μισοπόνηρον σεαυτὸν ἐπιδείκνυε, τῷ μὲν [γὰρ] ἠρέμα κολάζειν τὴν ἀνεξικακίαν, τῷ δ' ἀπεχθάνεσθαι τοῖς κακοῖς τὴν μισοπονηρίαν ἐλέγχων, ἵνα τὸ μὲν φεύγειν τὰ φαῦλα, τὸ δὲ μὴ λίαν ἀπαραμύθητον εἶναι τοῖς ἐπταικόσι τὴν τύχην ἀποδεικνύῃ. Ἀφεκτέον δὲ καὶ σκωμμάτων τοῖς ὡς ἀληθῶς ἄρχουσιν, ἢ καθαιρήσει τις τὸ σεμνὸν τῆς ἀρχῆς γελωτοποιεῖν Καὶ λοιδοριῶν καθαρευτέον· ἰδιωτικῆς γὰρ ἀκροχολίας τοῦτο σύμβολον. Νουθετήσεις δὲ καὶ παραινέσεων τὸ διττὸν εἶδος, πῇ μὲν σφοδρῶς καθαπτόμενον πῇ δὲ προσηνῶς θεραπεῦον, γνωρίσματα ἐμοὶ δοκεῖν ἐπιεικοῦς ἄρχοντος. Ἐν ταὐτῷ. Συνάρμοζε δὲ τοῖς ἤθεσιν ἑκάστων τὸν πρόσφορον τῆς ἐπιστασίας τρόπον, τοῖς μὲν ἐπιεικέσιν ἐμμελῶς, τοῖς δ' ὑπτίοις συντόνως, αὐστηρῶς δὲ τοῖς θρασέσι, πράως δὲ τοῖς εὐλαβεστέροις προσιών. Ἐν ταὐτῷ. Δεῖ δὲ ἀπείργειν μὲν τῶν ἁμαρτημάτων ἀνάγκῃ πειθὼ συναρμόσαντα, σφαλεῖσι δὲ σύμμετρον τῆς δίκης ἐπάγειν τὴν ἐπανόρθωσιν, ὅσα μὲν μικρὰ καὶ συνήθη τῶν ἁμαρτημάτων ἀγνοεῖν δοκοῦντα (οὔτε γὰρ ἐπὶ πᾶσιν ἁπλῶς καὶ τοῖς τυχοῦσιν ἐπεξιέναι οὔτε γιγνώσκοντα παρορᾶν ὠφέλιμον), τὰ δὲ ἤδη τοῖς ἀρχομένοις ἐπαχθῆ ταῖς ἐκ τῶν νόμων θεραπείαις ἰώμενον. Ἐν ταὐτῷ. Καὶ βούλου μὲν ἁμαρτημάτων τὴν ψυχὴν ὡς δυνατὸν καθαρεύειν· ἐννόει δὲ ὡς σύμφυτον τὸ ἁμαρτάνειν ἀνθρώποις· ὥσθ' ἕως τις ὡς ἀναμαρτήτους κολάζῃ, τὸ μέτρον ὑπερβαίνει τῆς κατὰ φύσιν ἐπανορθώσεως. ἀπόδειξον δὲ

σαυτὸν τῆς ἀρχῆς πρέποντα κόσμον, ἀλλὰ μὴ ταῖς ἔξωθεν καὶ ἐφημέροις σκιαγραφίαις καλλωπίζου. Ἐν ταὐτῷ. Χάριτας μὲν τὸ δίκαιον ὑπερβαινούσας οὐδ' ὀνομαμενος τύχοι. ἐπεὶ γὰρ πολλάκις ὁ νόμος πικροτέρας τῶν ἁμαρτημάτων ὁρίζει τὰς τιμωρίας, τὸ λεγόμενον ἐπιεικὲς δίκαιον, τὴν αὐστηρὰν τῶν νόμων φωνὴν παραμυθούμενον, ἀμεμφὴς ἐμοὶ δοκεῖ χαρίτων ἀληθινῶν καὶ ἐλευθέρων πρόφασις. τὸ μὲν οὖν περὶ τὰ συναλλάγματα τῆς δίκης ἐπανορθωτικὸν ἐκφεύγει παντελῶς τὸ τῶν χαρίτων γένος, τὸ δ' ἐπὶ τοῖς ἐγκλήμασι κείμενον οὐκ ἀναίνεται τὸ πρᾶον καὶ φιλάνθρωπον τῶν χαρίτων πρόσωπον. Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ νόμου καὶ δικαιοσύνης. Δεῖ δὲ τὸν ἀλαθινὸν ἄρχοντα μὴ μόνον ἐπιστάμονά τε καὶ δυνατὸν ἦμεν περὶ τὸ καλῶς ἄρχεν, ἀλλὰ καὶ φιλάνθρωπον· ἄτοπον γὰρ ἦμεν ποιμένα μισοπρόβατον καὶ τοιοῦτον οἷον καὶ δυσμενῶς ἔχεν τοῖς αὐτῶ θρεμμάτεσσι. δεῖ δ' αὐτὸν καὶ νόμιμον ἦμεν· οὕτω γὰρ ἐσσεῖται τὰν τῶ ἄρχοντος ἐπίστασιν ἔχων. διὰ μὲν γὰρ τᾶς ἐπιστάμας κρίνεν ὀρθῶς δυνασεῖται, διὰ δὲ τᾶς δυνάμιος κολάζεν, διὰ δὲ τᾶς χρηστότατος τὸ εὐεργετέν, διὰ δὲ τῶν νόμων τὸ ποτὶ τὸν λόγον πάντα ταῦτα ποιέν. Ἰαμβλίχου. Πᾶν γὰρ τὸ τιμώμενον αὔξεται, ἐλαττοῦται δὲ τὸ ἀτιμαζόμενον· καὶ τοῦτό ἐστι τὸ διαφανέστατον σημεῖον ἀρχῆς εὖ διοικουμένης. προτρέπει τε γὰρ τοὺς ἀρχομένους ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, 〈ὡσ〉 καὶ τὴν ἐπιβάλλουσαν ἀξίαν ἑκάστοις διανέμει, καὶ πληροῖ τὰς πόλεις τῶν ἀρίστων ἐπιτηδευμάτων. Ὑπερίδου (fr. 204 Bl. 3). Ἀρχομένων δεῖ τῶν ἀδικημάτων ἐμφράσσειν τὰς ὁδούς· ὅταν δ' ἅπαξ ῥιζωθῇ κακία καὶ παλαιὰ γένηται, καθάπερ σύντροφος ἀρρωστία, χαλεπὸν αὐτὴν κατασβέσαι. Πλάτωνος ἐκ τοῦ Δημοδόκου (p. 383 A—C). Πῶς γὰρ ἄν τις ἢ δίκην καλῶς δικάσαι ἢ ἀνθρώπους κατὰ τρόπον κρῖναι δύναιτο, μὴ ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσας; τοὺς γὰρ λόγους παραβαλλομένους, ὥσπερ τὴν πορφύραν καὶ τὸ χρυσίον, ἄμεινον κρίνεσθαι. ἢ τίνος ἕνεκεν ἢ χρόνον ἀμφοτέροις δίδοσθαι τοῖς ἀντιδίκοις, ἢ ὀμνύειν τοὺς δικαστὰς ἀκροάσασθαι ὁμοίως ἀμφοτέρων, εἰ μὴ ὑπελάμβανεν ὁ νομοθέτης τὰς δίκας δικαιότερον δοκεῖς οὐδὲ τοῦτο τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον ἀκηκοέναι. Τὸ ποῖον; ἔφη. Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. καίτοι οὐκ ἂν οὕτω τοῦτο περιεφέρετο, εἰ μὴ καλῶς ἐλέγετο καὶ ὡς προσήκει. ξυμβουλεύω οὖν σοι, ἔφη, τοῦ λοιποῦ μὴ προπετῶς οὕτω τοὺς ἀνθρώπους μήτε μέμφεσθαι μήτε ἐπαινεῖν. Ἀντιφῶντος. Οὐ δίκαιον οὔτε ἔργῳ ἁμαρτόντα ῥήματι σωθῆναι οὔτε ἔργῳ ὀρθῶς πράξαντα διὰ ῥῆμα ἀπολέσθαι· τὸ μὲν γὰρ ῥῆμα τῆς γλώσσης ἁμάρτημά ἐστι, τὸ δὲ ἔργον τῆς γνώμης. Δημοσθένους (c. Aphob. XXVII p. 835). Δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας. Βίαντος. Βίας θανάτῳ μέλλων καταδικάζειν ἐδάκρυσεν. εἰπόντος δέ τινος 'τί παθὼν αὐτὸς καταδικάζεις καὶ κλαίεις;' εἶπεν 'ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.' Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (Plut. v. VII p. 115 Bernard.). Μάρτυς δ' ἄριστος ὁ μηθὲν μὲν εὖ παθών, ἀπὸ δὲ τῆς εἰς ἄλλους εὐνοίας κρίνων. Ὀβρίμου 〈ὑπὲρ〉 Πρωτογόνου κρινομένου φαρμάκων. Ἀεὶ δὲ ἐν πάσαις μὲν ταῖς δίκαις ἐξετάζειν χρὴ τὰ βεβιωμένα, μάλιστα δ' ἐν τοῖς τοιούτοις τῶν ἀγώνων ἐν οἷς ὁ βίος ἔστι τὸ ἔγκλημα. Ἰαμβλίχου ἐκ τῶν Προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων (c. 2 p. 9, 10 Pist.). Καθάπερ τῷ ὑποπύῳ βέλτιον τὸ κάεσθαι τοῦ διαμένειν, οὕτω καὶ τῷ μοχθηρῷ τὸ τεθνάναι τοῦ ζῆν. Τοῦ αὐτοῦ. Ἡ κακὴ κρίσις παντὸς κακοῦ αἰτία. Δημοσθένους (XLV p. 1121. LVII p. 1313). Μᾶλλον ἄξιον ὀργίλως ἔχειν τοῖς μετ' εὐπορίας πονηροῖς, ἢ τοῖς μετ' ἐνδείας. τοῖς μὲν γὰρ ὁ τῆς ἀνάγκης χρεία φέρει τινὰ συγγνώμην παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις· οἱ δ' ἐκ περιουσίας πονηροὶ οὐδεμίαν δικαίαν Διονυσίου ὑπὲρ τῶν παίδων. Ἀξιοπιστότερός ἐστιν ἀντιδίκων καταψευδομένων ἀληθεύων πατήρ. Ἰαμβλίχου ἐκ τῆς Ἐπιστολῆς τῆς πρὸς Δυσκόλιον. Προηγεῖται δ' ὡς ἀληθῶς ἄρχων μειζόνως αὐτῶν καὶ ἔτι βελτιόνως, 〈ὅσ〉 τὴν μεγαλοπρεπῆ δόσιν τῶν ἀγαθῶν παρέχει χορηγίαν τε ἄπλετον τοῦ βίου καὶ σωτηρίαν πλείστην καὶ ζωῆς ῥᾳστώνην ἐντίθησιν. καὶ γὰρ δὴ καὶ τοῦτό ἐστι τέλος ἄρχοντος σπουδαίου τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχομένους ποιεῖν εὐδαίμονας· καὶ τότε δὴ διαφερόντως εὐσθενεῖ ὁ προεστηκὼς τῶν ὑφ' ἑαυτοῦ διοικουμένων, ὅταν οἱ ἐπιτρέψαντες αὐτῷ ἑαυτοὺς μακαρίως διάγωσιν. οὐ γὰρ δὴ κεχώρισται τὸ κοινὸν συμφέρον τοῦ ἰδίου· πολὺ δὲ μᾶλλον ἐν τῷ ὅλῳ καὶ τὸ καθ' ἕκαστα λυσιτελοῦν περιέχεται καὶ σῴζεται ἐν τῷ παντὶ τὸ κατὰ μέρος ἐπί τε τῶν ζῴων καὶ τῶν πόλεων καὶ τῶν ἄλλων φύσεων. Ἐν ταὐτῷ. Ἄγαμαι δ' ἔγωγε καὶ τὴν μεγαλοφροσύνην καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασι τοῖς τῆς ἀρχῆς ἔργοις, καὶ διαφερόντως ἐν ταῖς τῶν ἀνθρώπων εὐεργεσίαις, ὅταν μήτε ἀκριβολογῶνται μήτε φείδωνταί τινος ἐν ταῖς δόσεσι μήτε ὥσπερ ἐν πλάστιγγι ζυγοῦ ἴσα ἀντὶ ἴσων ἀντικαταλλάττωνται, εὐγενῶς δὲ τὰς χάριτας ὀρέγωσι, μὴ μόνον ἐκ πίθου αὐτὰς προχέοντες, ὡς οἱ ποιηταὶ λέγουσιν, γυμνὰς δὲ καὶ ἀπαρακαλύπτους καὶ χωρὶς τῶν ἔξωθεν παραπετασμάτων συνεχεῖς ἐχομένας ἀλλήλων προτείνωσι χρηστῶς καὶ εὐμενῶς, οἷα δὴ καὶ χαρίεντα. τῶν χαρίτων γὰρ δὴ τοιοῦτον κόσμον στέφανον ἂν εἰκότως εἴποιμι τῆς ἀρχῆς. Τοῦ αὐτοῦ ἐκ τῆς Ἐπιστολῆς τῆς πρὸς Ἀγρίππαν. Ἐπίφθονος εἶναι δοκεῖ τοῖς πολλοῖς ἡ ὑπεροχὴ τῆς ἀρχῆς, καὶ τὸ ὑπέρογκον μισητὸν αὐτοῖς καθίσταται· ἀλλ' ὅταν χρηστότητι καὶ φιλανθρωπίᾳ κραθῇ τὸ σεμνὸν καὶ αὐστηρὸν τῆς ἐπικρατείας, ἐμμελὲς καὶ πρᾶον καὶ προσηνὲς καὶ εὐπρόσιτον καθίσταται. καὶ τοῦτο μάλιστα τὸ εἶδος ἡγεμονίας φιλεῖται ὑπὸ τῶν ἀρχομένων. Τοῦ αὐτοῦ. Λέγεται μὲν εἶναι πάντων βασιλεὺς ὁ νόμος· ὁ δὲ αὐτὸς δοκεῖ καὶ προστάττειν τἀγαθὰ καὶ τἀναντία ἀπαγορεύειν. τί δὴ οὖν οἰόμεθα τὴν παρισουμένην πρὸς αὐτὸν εὐνομίαν οἵῳ δὴ κάλλει τινὶ προέχειν μεγέθει τε ἡλίκῳ [δικαιοσύνῃ] ὑπερβάλλειν πάντα πράγματα; ὅσα γὰρ δήπου καὶ οἷα γένη καὶ εἴδη τῶν ἀρετῶν ἐστι, κατὰ τοσαῦτα καὶ τοιαῦτα διήκει κάλλη τὰ τῶν νόμων ἐπιτάγματα, καὶ δὴ καθ' ὅλας τὰς διοικήσεις τῶν πόλεων καὶ τοὺς ὅλους τῶν ἀνθρώπων βίους διατείνει τὸ ἀπ' αὐτῶν ὄφελος. ἔστι μὲν οὖν κοινὸν ἀγαθὸν ὁ νόμος, καὶ ἄνευ ὀρθότητα, καὶ μήτε παραγωγαῖς ἢ φενακισμοῖς ἐξαπατᾶσθαι δι' ἄγνοιαν, μήτε βιαζομένοις τισὶ συγχωρεῖν, μήτε ἀδίκῳ προφάσει μηδεμιᾷ δελεάζεσθαι. τὸν γὰρ σωτῆρα καὶ φύλακα τῶν νόμων ἀδιάφθορον εἶναι δεῖ εἰς δύναμιν ἀνθρωπίνην. Κάτωνος πρεσβυτέρου (Ps.—Plut. reg. et imp. apophth. p. 198 E). Κάκιστον ἔλεγεν ἄρχοντα εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον. Ἐπικτήτου (fr. 58 p. 476 Schenkl). Ὥσπερ εἰ ναῦν κυβερνᾶν ἐπεχείρεις, πάντως ἂν τὴν κυβερνητικὴν ἐξεμάνθανες τέχνην ..... ἐξέσται γάρ σοι ὥσπερ ἐκεῖσε πᾶσαν 〈ναῦν〉, οὕτω κἀνθάδε πᾶσαν κυβερνᾶν πόλιν. Τοῦ αὐτοῦ (fr. 59 Sch.). Εἰ πρόκειταί σοι τὴν πόλιν ἀναθήμασι κοσμεῖν, σεαυτῷ πρῶτον ἀνάθες τὸ κάλλιστον ἡμερότητος καὶ Τοῦ αὐτοῦ (fr. 60 Sch.). Εὖ ποιήσεις σὺ τὰ μέγιστα τὴν πόλιν, εἰ μὴ τοὺς ὀρόφους ὑψώσεις, ἀλλὰ τὰς ψυχὰς αὐξήσεις. ἄμεινον γὰρ ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχὰς ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα. Τοῦ αὐτοῦ (fr. 61 Sch.). Μὴ τοῖς ἐξ Εὐβοίας καὶ Σπάρτης λίθοις τοὺς τοίχους τῆς κατασκευῆς ποίκιλλε, ἀλλὰ γὰρ τῇ ἐκ τῆς Ἑλλάδος παιδείᾳ τὰ στέρνα τῶν πολιτῶν καὶ τῶν πολιτευομένων διακόσμει. 'γνώμαις γὰρ ἀνδρῶν εὖ οἰκοῦνται πόλεις' ἀλλ' οὐ λίθοις καὶ ξύλοις. Τοῦ αὐτοῦ (fr. 62 Sch.). Ὥσπερ εἰ λέοντας ἐβούλου τρέφειν, οὐκ ἄν σοι τῆς πολυτελείας τῶν ζωγρείων ἔμελεν, ἀλλὰ τῆς πράξεως τῶν ζῴων, οὕτως εἰ πολιτῶν πειρᾷ προΐστασθαι, μὴ τοσοῦτον τῆς πολυτελείας τῶν ἀναστημάτων φρόντιζε, ὁπόσον τῆς ἀνδρείας τῶν ἐνδιατριβόντων ἐπιμελοῦ. Τοῦ αὐτοῦ (fr. 63 Sch.). Καθάπερ ἀγαθὸς πωλοδάμνης οὐ τῶν πώλων τοὺς μὲν ἀγαθοὺς τρέφει, τοὺς δὲ δυσηνίους λιμώττειν ἐᾷ, ἀλλὰ τρέφει μὲν ἐπίσης ἄμφω, κολάζει δὲ μᾶλλον θάτερον ἐξισοῦν θατέρῳ βιαζόμενος μέρει, οὕτω καὶ κηδεμονικὸς ἀνὴρ καὶ πολιτικῆς ἐπιστήμων δυνάμεως τῶν πολιτῶν τὸν ἀντιβαίνοντα τῷ λόγῳ καὶ τῷ νόμῳ. Τοῦ αὐτοῦ (fr. 64 Sch.). Καθάπερ οὔτε κλαγγῇ χὴν οὔτε βληχῇ καταπλήσσεται πρόβατον, οὕτω μηδὲ πλήθους ἀνοήτου σε δεδιττέσθω φωνή. Τοῦ αὐτοῦ (fr. 65 Sch.). Ὥσπερ πλῆθος ἀκρίτως αἰτοῦν τί σε τῶν ἰδίων οὐ δυσωπεῖ, οὕτω μηδὲ ὄχλον ἀδίκως σε δυσωποῦντα διατραπῇς. Τοῦ αὐτοῦ (fr. 66 Sch.). Ὅπερ ἐπιβάλλει τῇ πόλει, τοῦτο εἴσφερε φθάνων, καὶ

οὐδέποτε αἰτηθήσῃ τὰ μὴ ἐπιβάλλοντα. Τοῦ αὐτοῦ (fr. 67 Sch.). Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας, ἵνα ἀνατείλῃ, ἀλλ᾽ εὐθὺς λάμπει καὶ πρὸς ἁπάντων ἀσπάζεται, οὕτω μηδὲ σὺ περίμενε κρότους καὶ ψόφους καὶ ἐπαίνους ἵν᾽ εὖ ποιήσῃς, ἀλλ᾽ ἑκοντὶς εὐεργέτει, καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ. Πλάτωνος ἐκ τοῦ Λάχητος (p. 184 E). Ἐπιστήμῃ γὰρ οἶμαι δεῖ κρίνεσθαι ἀλλ᾽ οὐ πλήθει Ἐν ταὐτῷ (p. 197 E). Πρέπει μέν που, ὦ μακάριε, τῷ τῶν μεγίστων προστατοῦντι μεγίστης φρονήσεως μετέχειν. Πλάτωνος ἐκ τοῦ Πρωταγόρου (Gorg. p. 474 B). Ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι. Τοῦ αὐτοῦ Νόμων ιβ′ (p. 944 D). Τὸν γὰρ κακὸν ἀεὶ δεῖ κολάζειν, ἵν᾽ ᾖ ἀμείνων, οὐ τὸν δυστυχῆ. Τοῦ αὐτοῦ ἐκ τοῦ Πρωταγόρου (p. 324 A—B). Οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας πρὸς τούτῳ τὸν νοῦν ἔχων καὶ τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται, οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη, ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα. Ἐν ταὐτῷ (Gorg. p. 486 E—487 A). Ἐννοῶ γὰρ ὅτι τὸν μέλλοντα βασανιεῖν ἱκανῶς ψυχῆς [τε] πέρι ὀρθῶς τε ζώσης καὶ μὴ τρία ἄρα δεῖ ἔχειν ἃ σὺ Πλάτωνος Πολιτείας γ′ (p. 389 B—D). Ἀλλὰ μὴν καὶ ἀλήθειάν γε περὶ πολλοῦ ποιητέον. εἰ γὰρ ὀρθῶς ἐλέγομεν ἄρτι, καὶ τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει, δῆλον ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον. Δῆλον, ἔφη. Τοῖς ἄρχουσι δὴ τῆς πόλεως, εἴπερ τισὶν ἄλλοις, προσήκει ψεύδεσθαι ἢ πολεμίων ἢ πολιτῶν ἕνεκα ἐπ᾽ ὠφελείᾳ τῆς πόλεως, τοῖς δ᾽ ἄλλοις πᾶσιν οὐχ ἁπτέον τοῦ τοιούτου· ἀλλὰ πρός γε δὴ τοὺς τοιούτους ἄρχοντας ἰδιώτῃ ψεύσασθαι ταὐτὸν καὶ μεῖζον ἁμάρτημα φήσομεν ἢ κάμνοντι πρὸς ἰατρὸν ἢ ἀσκοῦντι πρὸς παιδοτρίβην περὶ τῶν τοῦ αὐτοῦ σώματος παθημάτων μὴ τἀληθῆ λέγειν, ἢ πρὸς κυβερνήτην περὶ τῆς νεώς τε καὶ τῶν ναυτῶν μὴ τὰ ὄντα λέγοντι ὅπως ἢ αὐτὸς ἤ τις τῶν ξυνναυτῶν πράξεως ἔχει. Ἀληθέστατα, ἔφη. Ἆν ἄρ᾽ ἄλλον τινὰ λαμβάνῃ ψευδόμενον ἐν τῇ πόλει τῶν οἳ δημιουργοί ἔασιν, μάντιν ἢ ἰητῆρα 〈κακῶν〉 ἢ τέκτονα δούρων, κολάσει ὡς ἐπιτήδευμα εἰσάγοντα πόλεως ὥσπερ νεὼς ἀνατρεπτικόν τε καὶ ὀλέθριον. Ἐάνπερ, ἦ δ᾽ ὅς, ἐπὶ Ἐν ταὐτῷ (p. 408 C—410 A). Ἀλλὰ περὶ τοῦδε τί λέγεις, ὦ Σώκρατες; ἆρα οὐκ ἀγαθοὺς δεῖ ἐν τῇ πόλει κεκτῆσθαι ἰατρούς; εἶεν δ᾽ ἄν που μάλιστα τοιοῦτοι ὅσοι πλείστους μὲν ὑγιεινούς, πλείστους δὲ νοσώδεις μετεχειρίσαντο, καὶ δικασταὶ αὖ ὡσαύτως οἱ παντοδαπαῖς φύσεσιν ὡμιληκότες. Καὶ μάλα, εἶπον, ἀγαθοὺς λέγω. ἀλλ᾽ οἶσθα οὓς ἡγοῦμαι τοιούτους; Ἐὰν εἴπῃς, ἔφη. 〈Ἀλλὰ πειράσομαι, ἦν δ᾽ ἐγώ· σὺ μέντοι οὐχ ὅμοιον πρᾶγμα τῷ αὐτῷ λόγῳ ἤρου. Πῶς; ἔφη.〉 Ἰατροὶ μέν, εἶπον, δεινότατοι ἂν γένοιντο, 〈εἰ〉 ἐκ παίδων ἀρξάμενοι πρὸς τὸ μανθάνειν τὴν τέχνην ὡς πλείστοις τε καὶ πονηροτάτοις σώμασιν ὁμιλήσαιεν καὶ αὐτοὶ πάσας νόσους κάμοιεν καὶ εἶεν μὴ πάνυ ὑγιεινοὶ φύσει. οὐ γὰρ οἶμαι σώματι σῶμα θεραπεύουσιν· οὐ γὰρ ἂν αὐτὰ κακὰ εἶναι ἐνεχώρει ποτὲ καὶ γενέσθαι· ἀλλὰ ψυχῇ σῶμα, ᾗ οὐκ ἐγχωρεῖ κακὴν γενομένην τε καὶ οὖσαν εὖ τι θεραπεύειν. Ὀρθῶς, ἔφη. Δικαστὴς δέ γε, ὦ φίλε, ψυχῇ ψυχῆς ἄρχει, ᾗ οὐκ ἐγχωρεῖ ἐκ νέας ἐν πονηραῖς ψυχαῖς τεθράφθαι τε καὶ ὡμιληκέναι καὶ πάντα ἀδικήματα αὐτὴν ἠδικηκυῖαν 〈διεξεληλυθέναι〉, ὥστε ὀξέως ἀφ᾽ ἑαυτῆς τεκμαίρεσθαι τὰ τῶν ἄλλων ἀδικήματα οἷον κατὰ σῶμα νόσους· ἀλλ᾽ ἄπειρον αὐτὴν καὶ ἀκέραιον δεῖ κακῶν ἠθῶν νέαν οὖσαν γεγονέναι, εἰ μέλλει καλὴ κἀγαθὴ οὖσα κρίνειν ὑγιῶς τὰ δίκαια. διὸ δὴ καὶ εὐήθεις νέοι ὄντες οἱ ἐπιεικεῖς φαίνονται καὶ εὐεξαπάτητοι ὑπὸ τῶν ἀδίκων, ἅτε οὐκ ἔχοντες ἐν αὑτοῖς παραδείγματα ὁμοιοοΐόν ἐστιν, οὐκ οἰκείαν ἐν τῇ αὐτοῦ ψυχῇ ἐνοῦσαν ᾐσθημένον, ἀλλ᾽ ἀλλοτρίαν ἐν ἀλλοτρίαις μεμελετηκότα ἐν πολλῷ χρόνῳ διαισθάνεσθαι οἷον πέφυκε κακόν, ἐπιστήμῃ, οὐκ ἐμπειρίᾳ οἰκείᾳ κεχρημένον. Γενναιότατος γοῦν, ἔφη, ἔοικεν εἶναι ὁ τοιοῦτος δικαστής. Καὶ ἀγαθός, ἦν δ᾽ ἐγώ, ὃ σὺ ἠρώτας· ὁ γὰρ ἔχων ψυχὴν ἀγαθὴν ἀγαθός. ὁ δὲ δεινὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκεῖνος καὶ καχύποπτος, 〈ὁ〉 πόλλ᾽ αὐτὸς ἠδικηκὼς καὶ πανοῦργός τε καὶ σοφὸς οἰόμενος εἶναι, ὅταν μὲν ὁμοίοις ὁμιλῇ, δεινὸς φαίνεται ἐξευλαβούμενος, πρὸς τὰ ἐν αὑτῷ παραδείγματα ἀποσκοπῶν· ὅταν δὲ ἀγαθοῖς καὶ πρεσβυτέροις ἤδη πλησιάσῃ, ἀβέλτερος αὖ φαίνεται, ἀπιστῶν παρὰ καιρὸν καὶ ἀγνοῶν ὑγιὲς ἦθος, ἅτε οὐκ ἔχων παράδειγμα τοῦ τοιούτου. πλεονάκις δὲ πονηροῖς ἢ χρηστοῖς ἐντυγχάνων σοφώτερος ἢ ἀμαθέστερος δοκεῖ εἶναι αὑτῷ τε καὶ ἄλλοις. Παντάπασι μὲν οὖν, ἔφη, ἀληθῆ. Οὐ τοίνυν, ἦν δ᾽ ἐγώ, τοιοῦτον χρὴ τὸν δικαστὴν ζητεῖν τὸν ἀγαθόν τε καὶ σοφόν, ἀλλὰ τὸν πρότερον· πονηρία μὲν γὰρ ἀρετήν τε καὶ αὑτὴν οὔποτ᾽ ἂν γνοίη, ἀρετὴ δὲ φύσεως παιδευομένης χρόνῳ ἅμα αὑτῆς τε καὶ πονηρίας ἐπιστήμην λήψεται. σοφὸς οὖν οὗτος, ὡς ἐμοὶ δοκεῖ, ἀλλ᾽ οὐχ ὁ κακός [τι] γίγνεται. Καὶ ἐμοί, ἔφη, ξυνδοκεῖ. Οὐκοῦν καὶ ἰατρικήν, οἵαν εἴπομεν, μετὰ τῆς τοιαύτης δικαστικῆς κατὰ πόλιν νομοθετήσεις, αἳ τῶν πολιτῶν σοι τοὺς μὲν εὐφυεῖς τὰ σώματα καὶ τὰς ψυχὰς θεραπεύσουσι, τοὺς δὲ μή, ὅσοι μὲν κατὰ τὸ σῶμα τοιοῦτοι, ἀποθνῄσκειν ἐάσουσι, τοὺς δὲ κατὰ τὴν ψυχὴν κακοφυεῖς τε καὶ ἀνιάτους καὶ αὐτοὶ ἀποκτενοῦσι; Τὸ γοῦν ἄριστον, ἔφη, αὐτοῖς τε τοῖς πάσχουσι καὶ τῇ πόλει οὕτω πέφανται. Ἐκ τοῦ Πλουτάρχου Πρὸς ἡγεμόνα ἀπαίδευτον (p. 779 F—780 A). Ὁ δὲ ἐκ φιλοσοφίας τῷ ἄρχοντι πάρεδρος καὶ φύλαξ ἐγκατοικισθεὶς λόγος, ὥσπερ εὐεξίας τῆς δυνάμεως τὸ ἐπισφαλὲς ἀφαιρῶν, ἀπολείπει τὸ ὑγιαῖνον. ἀλλὰ νοῦν οὐκ ἔχοντες οἱ πολλοὶ τῶν βασιλέων καὶ ἀρχόντων μιμοῦνται τοὺς ἀτέχνους ἀνδριαντοποιούς, οἳ νομίζουσι μεγάλους φαίνεσθαι τοὺς κολοσσούς, ἂν διαβεβηκότας σφόδρα καὶ διατεταμένους καὶ κεχηνότας πλάσωσι· καὶ γὰρ οὗτοι βαρύτητι φωνῆς καὶ βλέμματος τραχύτητι καὶ δυσκολίᾳ τρόπων καὶ ἀμιξίᾳ διαίτης ὄγκον ἡγεμονίας καὶ σεμνότητα μιμεῖσθαι δοκοῦσι. Ἐν ταὐτῷ (p. 780 B). Δεῖ δέ, ὥσπερ ὁ κανὼν αὐτός, ἀστραβὴς γενόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς τὸν ἄρχοντα πρῶτον ἀρχὴν κτησάμενον ἐν ἑαυτῷ καὶ κατευθύναντα τὴν ψυχὴν καὶ καταστησάμενον τὸ ἦθος οὕτω συναρμόττειν τὸ ὑπήκοον· οὔτε γὰρ πίπτοντος [τρέχειν] 〈... οὔτε ...〉 ἢ τάττειν ἀτακτοῦντος ἢ ἄρχειν μὴ ἀρχομένου. Ἐν ταὐτῷ (p. 780 E). Ἀλλὰ τῶν τοιούτων καὶ τοσούτων ἃ θεοὶ χαρίζονται δώρων καὶ ἀγαθῶν οὐκ ἔστιν ἀπόλαυσις οὐδὲ χρῆσις ὀρθὴ δίχα νόμου καὶ δίκης καὶ ἄρχοντος. δίκη μὲν οὖν νόμου τέλος ἐστί, νόμος δὲ ἄρχοντος ἔργον, ἄρχων δὲ εἰκὼν θεοῦ τοῦ πάντα κοσμοῦντος. Ἐν ταὐτῷ (p. 782 B—C. D). Ἐν μὲν τοῖς ταπεινοῖς καὶ ἀσθενέσι καὶ ἰδιώταις τῷ ἀδυνάτῳ δεδεμένον τὸ ἀνόητον εἰς τὸ ἁμαρτάνειν, ὥσπερ ἐν ὀνείρασι φαύλοις τοῖς πάθεσι τὴν ψυχὴν διαταράττει συνεξαναστῆναι ταῖς ἐπιθυμίαις μὴ δυναμένην· ἡ δὲ ἐξουσία παραλαβοῦσα τὴν κακίαν νεῦρα τοῖς πάθεσι προστίθησι. καὶ τὸ Διονυσίου ἀληθές ἐστιν· ἔφη γὰρ ἃ βούλεται ποιεῖν δυνάμενον. ὀξὺν ἡ κακία 〈διὰ〉 τῆς ἐξουσίας δρόμον ἔχουσα πᾶν πάθος ἐξωθεῖ, ποιοῦσα τὴν ὀργὴν φόνον, τὸν ἔρωτα μοιχείαν, τὴν πλεονεξίαν δήμευσιν, ἐὰν μὴ βάρος ἔχων ὁ λόγος ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν. Ὀβρίμου ὑπὲρ Σεβήρου. Πολλὰ γὰρ αὐτὰ μὲν καθ᾽ ἑαυτὰ λεγόμενα ἕτερα ἔδοξε, συγκριθέντα δὲ ταῖς αἰτίαις ἀλλοιότερα ἐνομίσθη. Δημοσθένους Ὀλυνθιακῶν β′ (II p. 25). Τηνικαῦτα δὲ ἀπ᾽ αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾶν, τοὺς δὲ ἀδικοῦντας κολάζειν. Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 311 A). Τὰ μὲν γὰρ σωφρόνων ἀρχόντων ἤθη σφόδρα μὲν εὐλαβῆ καὶ δίκαια καὶ σωτήρια, δριμύτητος δὲ καί τινος ἰταμότητος ὀξείας καὶ πρακτικῆς ἐνδεῖται. Δοκεῖ γοῦν δή. Πλάτωνος Νόμων ιβ′ (p. 957 C—958 A). Πρὸς ἅπαντα χρὴ τὸν μέλλοντα δικαστὴν ἴσον ἔσεσθαι κατὰ δίκην βλέπειν τε καὶ κεκτημένον γράμματα αὐτῶν πέρι μανθάνειν· πάντων γὰρ μαθημάτων κυριώτατον μανθάνοντα βελτίω γίγνεσθαι τὰ περὶ τοὺς νόμους ὅσοι καταλογάδην, εἴτ᾽ ἐν γράμμασιν εἴτε καθ᾽ ἡμέραν ἐν ταῖς ἄλλαις πάσαις ξυνουσίας διὰ φιλονεικίας τε ἀμφισβητοῦνται καὶ διὰ ξυγχωρήσεων ἔστιν ὅτε καὶ μάλα ματαίων, τούτων πάντων ἂν βάσανος εἴη σαφὴς τὰ τοῦ νομοθέτου γράμματα, ἃ δεῖ κεκτημένον ἐν αὑτῷ, καθάπερ ἀλεξιφάρμακα τῶν ἄλλων λόγων, τὸν ἀγαθὸν δικαστὴν αὐτόν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε ὀρθοῦν καὶ αὖ τὴν πόλιν, τοῖς μὲν ἀγαθοῖς μονὰς τῶν δικαίων καὶ ἐπαύξησιν παρασκευάζοντα, τοῖς δὲ κακοῖς ἐξ ἀμαθίας καὶ ἀκολασίας καὶ δειλίας καὶ ξυλλήβδην πάσης ἀδικίας εἰς τὸ δυνατὸν μεταβολήν, ὅσοις ἰάσιμοι δόξαι τῶν κακῶν· οἷσι δὲ ὄντως ἐπικεκλωσμέναι, θάνατον ἵαμα ταῖς οὕτω διατεθείσαις ψυχαῖς διανέμοντες, ὃ δικαίως εἴη πολλάκις ἂν εἰρημένον, ἄξιοι ἐπαίνου γίγνοιντ' ἂν τῇ πάσῃ πόλει τοιοῦτοι δικασταὶ καὶ δικαστῶν ἡγεμόνες. Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Δίωνα ἐπιστολῆς (p. 321 B). Ἐνθυμοῦ δὲ καὶ ὅτι δοκεῖς τισιν ἐνδεεστέρως τοῦ ἐστίν, ἡ δ' αὐθάδεια ἐρημίᾳ ξύνοικος. Ξενοφῶντος ἐκ τοῦ Οἰκονομικοῦ (4, 19). Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ἕπωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 305 B—C). Ἴθι δὴ καὶ τὴν τῶν δικαστῶν [τὴν] τῶν ὀρθῶς δικαζόντων θεασώμεθα δύναμιν. — Πάνυ μὲν οὖν. — Ἆρ' οὖν ἐπὶ πλέον τι δύναται τοῦ περὶ τὰ ξυμβόλαια πάνθ' ὅσα κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαβοῦσα, κρίνειν εἰς ἐκεῖνα σκοποῦσα τά τε δίκαια ταχθέντ' εἶναι καὶ ἄδικα, τὴν αὑτῆς ἰδίαν ἀρετὴν παρεχομένη τοῦ μήθ' ὑπό τινων δώρων μήθ' ὑπὸ φόβων μήτ' οἴκτων μήθ' ὑπό τινος ἄλλης ἔχθρας μηδὲ φιλίας ἡττηθεῖσα παρὰ τὴν τοῦ νομοθέτου τάξιν ἐθέλειν ἂν τἀλλήλων ἐγκλήματα διαιρεῖν; — Οὔκ, ἀλλὰ σχεδὸν ὅσον εἴρηκας ταύτης ἐστὶ τῆς δυνάμεως ἔργον. Ξενοφῶντος ἐν τῷ η′ τῆς Κύρου παιδείας (c. 1, 1). Πολλάκις μὲν δή, ὦ ἄνδρες, καὶ ἄλλοτε κατενόησα ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ· οἵ τε τἀγαθὰ ἐπιλείψῃ, Κῦρός τε μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν ἀφ' ὧν ἂν μάλιστα εὐδαιμονοῦντες διατελοίημεν. Ξενοφῶντος ἐκ τοῦ Ἱέρωνος (9, 1—8. 10). Ἐπιμέλειαί γε μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. τὸ μὲν γὰρ διδάσκειν τε ἅ ἐστι βέλτιστα καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν 〈καὶ〉 τιμᾶν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται, τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα λοιδορεῖν τε καὶ ἀναγκάζειν καὶ ζημιοῦν καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη δι' ἀπεχθείας μᾶλλον γίγνεσθαι. ἐγὼ οὖν φημι ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δεόμενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι δι' ἑαυτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. καὶ γὰρ ὅταν χοροὺς βουλώμεθα ἡμῖν ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἀθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς καὶ ἄλλοις διδάσκειν καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις τὰ μὲν ἐπιχάριτα διὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ δὲ ἀντίτυπα δι' ἄλλων. τί οὖν κωλύει καὶ τἆλλα τὰ καὶ δικαιοσύνης 〈τῆσ〉 ἐν τοῖς συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίας ἐντόνως ἀσκεῖσθαι. καὶ νὴ Δία ὁρμᾠντό γ' ἂν θᾶσσον ὅποι δέοι τιμῆς ὀρεγόμενοι καὶ χρήματα θᾶσσον ἂν εἰσφέροιντο, ὁπότε τούτου καιρὸς εἴη, καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράσσεσθαι, ἡ γεωργία καὶ αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη τοῖς μάλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ 〈αἱ〉 πρόσοδοι αὔξοιντ' ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτοῖ. καὶ μὴν κακουργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖσθαί τι ἀγαθόν. καὶ ὅταν πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τε μᾶλλον καὶ ἐπιτελεῖσθαι. Λυσίου (fr. 88 p. 376 Th.). Εἰ μὲν οἷόν τ' ἦν ἐκ τῶν προτέρων λόγων τὰ δίκαια τόν ἐστι τοῖς κατηγοροῦσι, δίκαιον ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσαντας τηνικαῦτα τὴν περὶ τοῦ δικαίου ψῆφον φέρειν. Τοῦ αὐτοῦ (fr. 89 p. 376 Th.). Προσήκει δ' ὑμῖν περὶ ψυχῆς δικάζουσι μὴ παρανομεῖν, ἀλλ' εὐσεβεῖν· μηδὲ θορύβῳ τὰ πράγματα κρίνειν, ἀλλὰ σιωπῇ τὰ δίκαια γιγνώσκειν. Πυθαγόρου. Οἱ μὴ κολάζοντες τοὺς κακοὺς βούλονται ἀδικεῖσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμήρου (Il. II 204). Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς. Τοῦ αὐτοῦ (Il. II 196). Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων. τιμὴ δ' ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς. Εὐριπίδου Φοινίσσαις (503 ss.). Ἐγὼ γὰρ οὐδέν, μῆτερ, ἀποκρύψας ἐρῶ, ἄστρων ἂν ἔλθοιμ' αἰθέρος πρὸς ἀντολὰς καὶ γῆς ἔνερθε δυνατὸς ὢν δρᾶσαι τάδε, τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα. Τοῦ αὐτοῦ Φοινίσσαις (524 s.). Εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι Τοῦ αὐτοῦ Ἀρχελάῳ (fr. 250 N. 2). Τυραννίδ' ἢ θεῶν δευτέρα νομίζεται· τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει. Τοῦ αὐτοῦ Αἰγεῖ (fr. 8 N. 2). Ἀνδρὸς ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν. Ἡσίοδος ἐν Θεογονίᾳ (96 s.). Ἐκ δὲ Διὸς βασιλῆες· ὃ δ' ὄλβιος, ὅν τινα Μοῦσαι φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή. Πλάτωνος ἐκ τοῦ Κλειτοφῶντος (p. 408 B). Ἔστιν ἄρα καθάπερ πλοίου παραδόντι τὰ πηδάλια τῆς διανοίας ἄλλῳ, τῷ μαθόντι τὴν κυβερνητικήν, ἣν δὴ σὺ πολιτικήν, ὦ Σώκρατες, ἐπονομάζεις πολλάκις, τὴν αὐτὴν δὲ ταύτην δικαστικήν τε καὶ δικαιοσύνην ὡς ἔστιν λέγων. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (§ 15 p. 29 d). Αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι, καὶ τοῦτο πλέον ἔχειν, ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν. αἱ δὲ μοναρχίαι πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δευτέρῳ δὲ τῷ μετ' ἐκεῖνον, τρίτῳ δὲ καὶ τετάρτῳ καὶ τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. καὶ ταῦτ' εἰ μὴ πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολιτείας τοιοῦτόν ἐστι. Τοῦ αὐτοῦ (§ 16 p. 29 e). Καὶ μὴν εἰ δεῖ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων καὶ τὰς πράξεις, ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν. καίτοι τίς οὐκ ἂν εὔξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν, ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὤν, μᾶλλον ἢ φέρεσθαι μετὰ τοῦ πλήθους μὴ γιγνωσκόμενος, ὁποῖός τίς ἐστιν; Τοῦ αὐτοῦ (§ 16 p. 30 a). Ἀλλὰ μὴν καὶ πραοτέραν τοσούτῳ δικαίως ἂν αὐτὴν εἶναι κρίναιμεν, ὅσῳ περ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν. Τοῦ αὐτοῦ (§ 17 p. 30 b). Οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶται γίγνονται πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν· οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλὰ ταῖς ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν. Τοῦ αὐτοῦ (§ 18 p. 30 c). Τοῦ αὐτοῦ (§ 18 p. 30 c). Πρὸς δὲ τούτοις, οἱ μὲν 〈ἐν〉 ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλονεικίας λυμαίνονται τοῖς κοινοῖς· οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσιν, περὶ ἁπάντων ὡς οἷόν τε ἐστὶ τὰ βέλτιστα πράττουσιν. Τοῦ αὐτοῦ (§ 19 p. 30 d). Ἔπειθ' οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων· τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν, ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσι, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους ἢ κοινῇ βουλευομένους· οἱ δ' οὔτε συνεδρίων οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. Τοῦ αὐτοῦ (§ 20 p. 30 e). Ἔτι δὲ οἱ μὲν δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας καὶ τοὺς ἐφ' αὐτοῖς ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσιν· οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες εἰς ἅπαντα τὸν χρόνον καὶ τὰς εὐνοίας ἔχουσι. Τοῦ αὐτοῦ (§ 21 p. 31 a). οἱ δὲ ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους, καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, 〈οἱ δὲ τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους〉 . Τοῦ αὐτοῦ (§ 22 p. 31 b). Οὐ μόνον δὲ ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι. καὶ γὰρ παρασκευάσασθαι δυνάμεις καὶ χρήσασθαι ταύταις, ὥστε καὶ λαθεῖν καὶ ὀφθῆναι, καὶ τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιάσασθαι, τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις προσαγαγέσθαι μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τε εἰσί· καὶ ταῦτα ἐκ τῶν ἔργων ἄν τις οὐχ ἧττον ἢ τῶν λόγων πιστεύσειεν. Τοῦ αὐτοῦ (Nicocl. § 55 p. 38 c). Μὴ μόνον δὲ τὰς φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς ἢ πράους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τὸν τῶν πολιτῶν· πολλοὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἤδη διὰ τὴν κακίαν τὴν τῶν ἀρχομένων τραχύτερον ἢ κατὰ τὴν αὐτῶν γνώμην ἄρχειν ἠναγκάσθησαν. Δημοκρίτου (fr. 267 Diels 2). Ἐκ τῶν Σερήνου ἀπομνημονευμάτων. Ὅτε Κροῖσος ἦρχε Λυδῶν, τὸν ἀδελφὸν μεθ' αὑτοῦ κατέστησεν ἄρχοντα· προσελθὼν δέ τις τῶν Λυδῶν 'ὦ βασιλεῦ' εἶπε 'πάντων ἐπὶ γῆς καλῶν ὁ ἥλιος τοῖς ἀνθρώποις αἴτιός ἐστι, καὶ οὐδὲν ἂν εἴη τῶν ἐπὶ γῆς μὴ τοῦ ἡλίου ἐπιλάμποντος· ἀλλ' εἰ θέλουσι δύο ἥλιοι γενέσθαι, κίνδυνος πάντα συμφλεχθέντα διαφθαρῆναι. οὕτως ἕνα μὲν βασιλεύοντα δέχονται Λυδοὶ καὶ σωτῆρα πιστεύουσιν εἶναι, δύο δὲ ἅμα οὐκ ἂν ἀνάσχοιντο'. Κρισπίνου κατὰ Διονυσίου. Ὅτι βασιλέως μὲν καὶ τὸ βλέμμα ἀρκεῖ μόνον· κἂν ἴδῃ μόνον, τὸ ἀληθὲς βεβασάνισται. Ἐκφάντου 〈Πυθαγορείου〉 ἐκ τοῦ Περὶ βασιλείας. Ἐπὶ δὲ γᾶς ἄνθρωποι ἀπῳκισμένον χρῆμα καὶ πολὺ τᾶς καθαρωτέρας φύσιος ἐλαττούμενον καὶ πολλᾷ τᾷ γᾷ βαρυνόμενον, ὡς ἀπὸ τᾶς ματρὸς αὐτὸ μόγις ἐπᾶρθαι 〈ἄν〉, αἰ μὴ θεόμοιρός τις ἐμπνοίησις ἐλέῳ ζῴῳ συνᾶψεν αὐτὸ τῷ κρέσσονι μέρει δεικνῦσα τὰν ἱερὰν τῶ γεννάτορος τὸ μὲν σκᾶνος τοῖς λοιποῖς ὅμοιος, οἷα γεγονὼς ἐκ τᾶς αὐτᾶς ὕλας, ὑπὸ τεχνίτα δ' εἰργασμένος λῴστω, ὃς ἐτεχνίτευσεν αὐτὸν ἀρχετύπῳ χρώμενος ἑαυτῷ ... ὡς εἴθε ἦν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφελὲν τὸ καὶ πειθοῦς τινος δέεσθαι· τόδε γὰρ τᾶς ἐπιγήῳ φαυλότατος 〈τὸ〉 λείψανον, καθ' ἃν ἐπίκαρον ὂν τὸ ζῷον αὐτᾶς οὐκ ἀμοιρεῖ· αἰ δέ πού τις καὶ ἐν αὐτῷ θειότερος ἢ κατ' ἄλλα συσταίη, ποτ' οὐδὲν ἂν τᾶς πειθοῦς δέοιτο. Πλάτωνος ἐκ τῆς πρὸς τοὺς οἰκείους Δίωνος ἐπιστολῆς (p. 354 A—C). Λέγω γὰρ δὴ διαιτητοῦ τινα τρόπον διαλεγόμενος ὡς δυοῖν, τυραννεύσαντί τε καὶ τυραννευθέντι, ὡς ἑνὶ ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλήν· καὶ νῦν δὲ ὅ γ' ἐμὸς λόγος ἂν Ἄργει καὶ Μεσσήνῃ ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δείσας περὶ τῆς αὐτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχὴν καὶ τὸν τῶν ἐφόρων δεσμὸν τῆς βασιλικῆς ἀρχῆς σωτήριον, ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σῴζεσθαι, νόμος ἐπειδὴ κύριος ἐγένετο βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων. Ἡροδότου Ἱστορίας τρίτης Δαρείου δημηγορίας (80. 82). Ὀτάνης μὲν ἐκέλευεν ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα. Ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι, τὰ δὲ ἐς ὀλιγαρχίην οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων, καὶ πάντων τῶν λέγω ἀρίστων ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρώμενος ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω νικᾶν ἐς ἔχθεα μεγάλα ἀλλήλοισιν ἀπικνέονται, ἐξ ὧν στάσιες ἐγγίνονται, ἐκ δὲ τῶν στασίων φόνος· ἐκ δὲ τοῦ φόνου ἀπέβη εἰς μουναρχίην, καὶ ἐν τούτῳ διέδεξε, ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος ἀδύνατον μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος τοίνυν ἐγγινομένης, ἐς τὰ κοινὰ ἔχθεα μὲν οὐκ ἐγγίνεται τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιέουσι. τοῦτο δὲ τοιοῦτο γίνεται ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὐτῶν θωμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωμαζόμενος ἐφάνη ἐὼν μούναρχος· καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος, ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δ' ἔπει πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο καὶ τεῦ δόντος; κότερα παρὰ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν. Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 276 B—E). Ἐπιμέλεια δέ γε ἀνθρωπίνης ξυμπάσης κοινωνίας οὐδεμία ἂν ἐθελήσειεν ἑτέρα μᾶλλον καὶ προτέρα τῆς βασιλικῆς φάναι καὶ κατὰ πάντων ἀνθρώπων ἀρχῆς εἶναι τέχνη. — Λέγεις ὀρθῶς. — Μετὰ ταῦτα δέ γε, ὦ Σώκρατες, ἆρα ἐννοοῦμεν ὅ τι πρὸς αὐτῷ δὴ τῷ τέλει συχνὸν αὖ διημαρτάνετο; — Τὸ ποῖον; — Τόδε, ὡς ἄρ' εἰ καὶ διενοήθημεν ὅ τι μάλιστα τῆς δίποδος ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην, οὐδέν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν αὐτὴν εὐθὺς καὶ πολιτικὴν ὡς ἀποτετελεσμένην προσαγορεύειν. — Τί μήν; — Πρῶτον μέν, ὁ λέγομεν, τοὔνομα

μετασκευωρήσασθαι, πρὸς τὴν ἐπιμέλειαν μᾶλλον προσαγαγόντας ἢ τὴν τροφήν, ἔπειτα ταύτην τέμνειν· οὐ γὰρ σμικρὰς ἂν ἔχοι τμήσεις ἔτι. — Ποίας; — Ἧι τε τὸν θεῖον ἄν που διελοίμεθα νομέα χωρὶς καὶ τὸν ἀνθρώπινον ἐπιμελητήν. — Ὀρθῶς. — Αὖθις δέ γε τὴν ἀπονεμηθεῖσαν ἐπιμελητικὴν δίχα τέμνειν ἀναγκαῖον ἦν. — Τίνι; — Τῷ βιαίῳ τε καὶ ἑκουσίῳ. — Τί δή; — Καὶ ταύτῃ που τὸ πρότερον ἁμαρτάνοντες εὐηθέστερα τοῦ δέοντος εἰς ταὐτὸν βασιλέα καὶ τύραννον ξυνέθεμεν, ἀνομοιοτάτους ὄντας αὐτούς τε καὶ τὸν τῆς ἀρχῆς ἑκα-

4.7 Εὐριπίδου Πλεισθένει (fr. 626 N. 2). Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς, μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ μηδ' αὖξε καιροῦ μείζον', οὐ γὰρ ἀσφαλές, μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ. κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον· πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος. Σοφοκλῆς Οἰδίποδι (tyr. 54 ss). Ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς, σὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν· ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς ἔρημος, ἀνδρῶν μὴ ξυνοικούντων πόλιν. Μενάνδρου (fr. 637 K.). Καλόν γε βασιλεὺς τῇ μὲν ἀνδρείᾳ κρατῶν, τὰ δὲ τοῦ βίου δίκαια διατηρῶν κρίσει. Εὐριπίδου (fr. 1050 N. 2). Ὁμήρου (Il. II 24 s.). Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε. Εὐριπίδου Ἀντιγόνης (fr. 171 N. 2). Δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἀνδάνειν. Θεοκρίτου (XIV 60 ss.). Τὰ δ' ἄλλα δ' ἀνήρ τις ἐλευθέρῳ οἷος ἄριστος, εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἀδύς, εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον, πολλοῖς πολλὰ διδούς, αἰτεύμενος οὐκ ἀνανεύων, οἷον χρὴ βασιλῆ'· αἰτεῖν δὲ χρὴ οὐκ ἐπὶ παντί. Ὁμήρου (Il. II 53. Od. II 234. IV 690 s.). Βουλὴν μὲν πρῶτον μεγαθύμων ἶζε γερόντων. Λαῶν οἷσι ἄνασσε, πατὴρ δ' ὡς ἤπιος ἦεν. Οὔτε τινὰ ῥέξας [κακὸν] ἐξαίσιον οὔτε τι εἰπὼν ἐν δήμῳ· ἥ τ' ἐστὶ δίκη θείων βασιλήων. (Hesiodi Theog. 88 ss.) Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι ῥηιδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσι. Εὐριπίδου Ἀντιόπης (fr. 194 N. 2). Ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος πόλει τ' ἄριστος· μὴ τὰ κινδυνεύματα αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ τολμῶντα λίαν οὔτε προστάτην χθονός. Εὐριπίδου (Soph. fr. 13 N. 2). Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ. Ἡσιόδου Θεογονίας (79 ss.). γινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων, τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἀοιδήν, τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε. Δημοκρίτου (fr. 268 Diels 2). Φόβος κολακείην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει. Μουσωνίου (fr. XXXI H.). Οὐ πολὺν διάγουσι χρόνον οἱ πρὸς τοὺς ὑπηκόους ὑπὲρ ὧν ἂν πράττωσι μὴ τὸ 'καθήκει μοι' λέγειν μεμελε- Τοῦ αὐτοῦ (fr. XXXII H.). Μὴ θέλε ἐπιτάσσειν τὰ καθήκοντα τοῖς συγγιγνώσκουσί σοι τὰ μὴ καθήκοντα πράττοντι. Τοῦ αὐτοῦ (fr. XXXIII H.). Πειρατέον καταλλακτικὸν μᾶλλον τοῖς ὑπηκόοις ἢ φοβερὸν θεωρεῖσθαι· τῷ μὲν γὰρ σεμνότης, τῷ δὲ ἀπήνεια παρακολουθεῖ. Ἀναξιλάου. Ἀναξίλαος ὁ Ῥηγίου τύραννος ἐρωτηθεὶς ὑπό τινος, τί τῆς τυραννίδος μακαριώτερον, ἔφη 'τὸ μηδέποτε εὐεργετοῦντα νικηθῆναι'. Ξενοφῶντος. Ξενοφῶν ὁ Σωκρατικὸς φιλόσοφος ἔφη τῷ βασιλεῖ κάλλιον εἶναι τὸ τῶν χαρίτων ἀπολιπεῖν ἢ τροπαίων πλῆθος. Ἡροδότου ἱστορίας γ′ (127). Πυθαγόρου. Θέλε μᾶλλον τοὺς συνόντας σοι αἰδεῖσθαί σε ἢ φοβεῖσθαι· αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος. Φιλίππου. Φίλιππος ὁ βασιλεὺς ἔλεγε δεῖν τὸν βασιλέα μνημονεύειν ὅτι ἄνθρωπος ὢν ἐξουσίαν εἴληφεν ἰσόθεον, ἵνα προαιρῆται καλὰ μὲν καὶ θεῖα, φωνῇ δὲ ἀνθρωπίνῃ χρῆται. Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 305 C—D). Τόδε δὴ κατανοητέον ἰδόντι ξυναπάσας τὰς ἐπιστήμας, ὅτι πολιτική γε αὐτῶν οὐδεμία ἀνεφάνη· τὴν γὰρ ὄντως βασιλικὴν οὐκ αὐτὴν δεῖ πράττειν ἀλλ' ἄρχειν τῶν δυναμένων πράττειν, γιγνώσκουσαν τὴν ἀρχήν τε καὶ ὁρμὴν τῶν μεγίστων ἐν ταῖς πόλεσιν εὐκαιρίας τε πέρι καὶ ἀκαιρίας· τὰς δ' ἄλλας τὰ προσταχθέντα δρᾶν. — Ὀρθῶς. Θεοβούλου. Φεῦγε μὲν τὸν φθόνον τῶν πολλῶν, φυλάσσου δὲ Χείλωνος. Μετὰ τῆς

ἰσχύος τὴν πραότητα σῷζε· ἵνα μὴ φοβερός, ἀλλ' αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσιν. Ἰσαίου (ed. Schoem. p. 168 fr. V). Χρὴ τοὺς νόμους μὲν τίθεσθαι σφοδρῶς, πραοτέρως δὲ κολάζειν ἢ ὡς ἐκεῖνοι κελεύουσι. Σωκράτους. Σωκράτης ἔλεγεν ἀμείνονα βασιλέα εἶναι τὸν ἑαυτοῦ δυνάμενον ἄρχειν τῶν παθῶν. Δημητρίου (Ps.—Plut. reg. et imper. apophth. p. 189 D). Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται. Ἰσοκράτους (ad Nicocl. § 27 p. 20 b). Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν ἥδιστα συν- Τοῦ αὐτοῦ (ibid. § 27 p. 20 b). Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων ὧν ἂν ἐκεῖνοι πράξωσι. Τοῦ αὐτοῦ (ibid. § 28 p. 20 c). Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. Τοῦ αὐτοῦ (ibid. § 28 p. 20 c). Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς ἔχῃς τοὺς ἐπιδοκιμάζοντας. Τοῦ αὐτοῦ (ibid. § 28 p. 20 c). Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. Τοῦ αὐτοῦ (ibid. § 28 p. 20 c). Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων καὶ πειρῶ γνωρίζειν ἅμα τούς τε λέγοντας, ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν ἂν λέγωσι. Τοῦ αὐτοῦ (ibid. § 29 p. 20 d). Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς διαβάλλοντας αἷς Τοῦ αὐτοῦ (ib. § 29 p. 20 d). Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. Τοῦ αὐτοῦ (ib. § 30 p. 20 e). Νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσι. Τοῦ αὐτοῦ (ib. § 31 p. 21 a). Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως· ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων ὅτι τὸ τῆς πόλεως ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι. Τοῦ αὐτοῦ (ib. § 32 p. 21 d). Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δ' ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή, καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίγνεται, τὴν δὲ Τοῦ αὐτοῦ (ib. § 33 p. 21 c). Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ μᾶλλον ἢ πλεονάζειν· αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπεροχαῖς ἰσχύουσιν. Τοῦ αὐτοῦ (ib. § 35 p. 21 e). Ὅ τι ἂν ἀκριβῶσαι βουληθῇς, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι ἄμεινόν σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. Τοῦ αὐτοῦ (ibid. § 35 p. 22 a). Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις· ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ. Πλουτάρχου ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (fr. XVIII 4 Bernard.). Ἡμερότητι τοίνυν καὶ εὐεργεσίᾳ μᾶλλον ἢ φόβῳ πρὸς εὔνοιαν ὑπακτέον. Ἐν ταὐτῷ (fr. XVIII 5 Bern.). Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἔμφρονος εἰς τὸ κοινῇ Ἀγριππίνου. Ὁ Ἀγριππῖνος ἡγεμονεύων ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν, ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι. οὐ γὰρ ὡς πολέμιος αὐτοῖς, ἔφη, οὐδ' ὡς λῃστὴς καταφέρω τὴν ψῆφον αὐτῶν, ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών, ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται καὶ πείθει παρέχειν ἑαυτόν. Κότυς. Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν φίλων τις πρὸς αὐτὸν εἶπε 'μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία'· ὁ δὲ 'ἀλλ' ἡ ἐμή' ἔφη 'αὕτη μανία τοὺς ἀρχομένους σώφρονας ποιεῖ'. Ἀναξιλάου. Ἀναξίλαος ὁ Ῥηγίου τύραννος ἐρωτηθείς, τί μακαριστότερον τῆς τυραννίδος, ἔφη 'τὸ εὖ πάσχοντα δύνασθαι ὑπερβάλλεσθαι.' Δημοσθένους Ὀλυνθιακῶν δευτέρου (II p. 25). Πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτήσασθαι Τῶν ἑπτὰ σοφῶν (Plutarchi septem sap. conviv. p. 152 A). Ἐμοὶ μέν, ἔφη ὁ Σόλων, δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ

βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειεν τοῖς πολίταις. δεύτερος δὲ Βίας εἶπεν, εἰ ἀτρόποις χρῷτο τοῖς νόμοις τῆς πατρίδος. ἐπὶ τούτῳ δὲ ὁ Θαλῆς ἔφησεν, εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ τελευτήσειε γηράσας κατὰ φύσιν. τέταρτος Ἀνάχαρσις, εἰ μὴ μόνος εἴη φρόνιμος. πέμπτος δὲ Κλεόβουλος, εἰ μηδενί, ἔφη, πιστεύοι τῶν συνόντων. ἕκτος δ' ὁ Πιττακός, εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσειε φοβεῖσθαι μὴ αὐτόν, ἀλλ' ὑπὲρ αὐτοῦ. ὕστατος δ' ὁ Χείλων εἶπε, κάλλιστον εἶναι βασιλέα τὸν μὴ μόνου τοῦ Ἰσοκράτους Εὐαγόρᾳ (§ 43 p. 197 c). Ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν ἢ τοὺς ἀρχομένους τῆς ἐκείνου βασιλείας. ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν· καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων. Τοῦ αὐτοῦ (§ 44 p. 197 d). Οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος. Τοῦ αὐτοῦ (§ 44 p. 197 d). Πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος, ἁπάντων δὲ τῶν ἐχθρῶν περιγιγνόμενος. Τοῦ αὐτοῦ (§ 44 p. 197 d). Σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδὲ ἀνωμάλως διακείμενος, ἀλλ' ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας ὥσπερ τὰ ἐν τοῖς ἱεροῖς διαφυλάττων. Τοῦ αὐτοῦ (§ 45 p. 197 e). Τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ' αὑτὸν ποιούμενος, τοὺς δὲ ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος. Τοῦ αὐτοῦ (§ 45 p. 197 e). Μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ' ἐπὶ τοῖς Τοῦ αὐτοῦ (§ 45 p. 198 a). Φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τῶν ἄλλων ὑπερβάλλειν. Τοῦ αὐτοῦ (§ 45 p. 198 a). Ἡγούμενος τῶν ἡδονῶν, οὐκ ἀγόμενος ὑπ' αὐτῶν. Τοῦ αὐτοῦ (§ 45 p. 198 a). Ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος, ἀλλ' οὐ διὰ μικρᾶς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος. Τοῦ αὐτοῦ (§ 46 p. 198 a). Ὅλως οὐδὲν παραλείπων ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει, ἀλλ' ἐξ ἑκάστης πολιτείας ἐκλεγόμενος τὸ βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ τῷ πᾶσι τούτοις διαφέρειν. Ἰσοκράτης Νικοκλεῖ (ad Nic. § 23 p. 19 c). Ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. καὶ δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. Πλάτωνος ἐκ τῆς πρὸς τοὺς Δίωνος οἰκείους ἐπιστολῆς (p. 354 E). Δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον, ἔμμετρος δὲ οὖσα πανάγαθον· μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις· θεὸς δὲ ἀνθρώποις σώφροσι νόμος, ἄφροσι δὲ ἡδονή. Ξενοφῶντος ἐν τῷ η′ τῆς Κύρου Παιδείας (c. 2, 14). Καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὡς λέγοι παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ καὶ βασιλέως ἀγαθοῦ. τόν τε γὰρ νομέα χρῆναι ἄρα, ἔφη, εὐδαίμονα ποιοῦντα τὰ κτήνη χρῆσθαι αὐτοῖς, ἡ δὴ προβάτων εὐδαιμονία, τόν τε βασιλέα ὡσαύτως εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα χρῆσθαι αὐτοῖς. Διωτογένεος Πυθαγορείου ἐκ τοῦ Περὶ βασιλείας. Βασιλεύς κ' εἴη ὁ δικαιότατος, δικαιότατος δὲ ὁ νομιμώτατος. ἄνευ μὲν γὰρ δικαιοσύνας οὐδεὶς ἂν εἴη βασιλεύς, ἄνευ δὲ νόμω δικαιοσύνα. τὸ μὲν γὰρ δίκαιον ἐν τῷ νόμῳ ἐντί, ὁ δέ γε νόμος αἴτιος τῶ δικαίω, ὁ δὲ βασιλεὺς ἤτοι νόμος ἔμψυχός ἐντι ἢ νόμιμος ἄρχων· διὰ ταῦτ' ὢν 〈ὁ〉 δικαιότατος καὶ νομιμώτατος. ἔργα δὲ πολεμὲν καλῶς ἐπισταθείς, δικασπολὲν δὲ καὶ διακούεν πάντων τῶν ὑπ' αὐτὸν φύσιν δικαίω καὶ νόμω καλῶς ἐκμαθών, θεραπεύεν δὲ τὼς θεὼς εὐσεβῶς καὶ ὁσίως φύσιν θεῶ καὶ ἀρετὰν ἐκλογισάμενος. ὥστε ἀνάγκα τὸν τέλῃον βασιλέα στραταγόν τε ἀγαθὸν ἦμεν καὶ δικαστὰν καὶ ἱερέα· ταῦτα γὰρ καὶ ἀκόλουθα καὶ πρέποντα ἐντὶ βασιλέως ὑπεροχᾷ τε καὶ ἀρετᾷ. κυβερνάτα μὲν γὰρ ἔργον ἐντὶ τὰν ναῦν σῴζεν, ἀνιόχω δὲ τὸ ἅρμα, ἰατρῶ δὲ τὼς νοσίοντας, βασιλέως δὲ καὶ στραταγῶ τὼς ἐν πολέμῳ κινδυνεύοντας. ὦ γὰρ ἕκαστος ἀγεμών ἐντι συστάματος, τούτω καὶ ἐπιστάτας καὶ δαμιουργός. καὶ μὰν τό τε δικασπολὲν καὶ διανέμεν τὸ δίκαιον, ξυνᾷ μὲν καθόλω ἰδίᾳ δὲ καθ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕκαστον, οἰκῆον βασιλέως ὥσπερ θεῶ ἐν τῷ κόσμῳ 〈ᾧ〉 ἀγεμών τε καὶ προστάτας ἐντί, ξυνᾷ μὲν τῷ ποτὶ μίαν ἀρχάν τε καὶ ἀγεμονίαν τὸ ὅλον ξυναρμόσθαι, καθ' ἕκαστον δὲ τῷ καὶ τὰ κατὰ μέρος 〈ποτ〉τὰν αὐτὰν ἁρμονίαν τε καὶ ἀγεμονίαν συναρμόζεσθαι. ἔτι δ' ἐν τῷ ἀντάξιον· δεῖ γὰρ τὸ ἄριστον ὑπὸ τῶ ἀρίστω τιμᾶσθαι καὶ τὸ ἀγεμονέον ὑπὸ τῶ ἀγεμονέοντος. τῶν μὲν ὦν φύσει τιμιωτάτων ἄριστον ὁ θεός, τῶν δὲ περὶ γᾶν καὶ τὼς ἀνθρώπως ὁ βασιλεύς. ἔχει δὲ καὶ ὡς θεὸς ποτὶ κόσμον βασιλεὺς ποτὶ πόλιν· καὶ ὡς πόλις ποτὶ κόσμον βασιλεὺς ποτὶ θεόν. ἁ μὲν γὰρ πόλις ἐκ πολλῶν καὶ διαφερόντων συναρμοσθεῖσα κόσμω σύνταξιν καὶ ἁρμονίαν μεμίμαται, ὁ δὲ βασιλεὺς ἀρχὰν ἔχων ἀνυπεύθυνον, καὶ αὐτὸς ὢν νόμος ἔμψυχος, θεὸς ἐν ἀνθρώποις παρεσχαμάτισται. Ἐν ταὐτῷ. Ὅθεν δεῖ τὸν βασιλέα μὴ νικῆσθαι ὑφ' ἁδονᾶς, ἀλλ' αὐτὸν νικῆν ταύταν, μηδ' ὅμοιον ἦμεν τοῖς πολλοῖς ἀλλὰ ἐπὶ πολλὸν διαφέροντα τούτων, μηδ' ἔργον ἀγεῖσθαι τὰν ἁδονὰν ἀλλὰ μᾶλλον τὰν ἀνδραγαθίαν· ἅμα δὲ καὶ πρέπει τὸν ἀτέρων ἄρχεν χρῄζοντα τῶν αὐταυτῶ παθέων πρᾶτον δύνασθαι ἄρχεν. περί γε μὰν τᾶς πλεονεκτίας ὅδε λόγος· δεῖ γὰρ ἐς τοῦτο πεπᾶσθαι τὰ χρήματα, ὥστε φίλως εὐεργετὲν καὶ δεομένως ὑπολαμβάνεν, καὶ ἐχθρὼς δὲ μετὰ δίκας ἀμύνεσθαι· ἀδίστα γὰρ ἁ μετ' ἀρετᾶς ἀπόλαυσις τᾶς εὐτυχίας. ὁ δ' αὐτὸς τρόπος καὶ περὶ τᾶς ὑπεροχᾶς· δεῖ γὰρ καθυπερέχεν τὼς ἄλλως ἀρετᾷ καὶ κατταύταν ἄξιον κρίνεσθαι τῶ ἄρχεν, ἀλλὰ μὴ καττὸν πλοῦτον ἢ τὰν δύναμιν ἢ τὰν ῥώμαν τὰν τῶν ὅπλων· ὃ μὲν γάρ τι κοινόν ἐντι καὶ τῶν τυχόντων, ὃ δὲ κοινὸν καὶ τῶν ἀλόγων ζῴων, ὃ δὲ κοινὸν καὶ τῶν τυράννων, ὃ δὲ μόνον ἴδιον τῶν ἀγαθῶν ἀνθρώπων. ὥστε ὅστις βασιλεὺς σώφρων μέν ἐντι περὶ τὰς ἁδονάς, κοινωνατικὸς δὲ περὶ τὰ χρήματα, φρόνιμος δὲ καὶ δεινὸς περὶ τὰν ἀρετάν, οὗτός κα εἴη καττὰν ἀλάθῃαν βασιλεύς. ἔχει δὲ καὶ ὁ δᾶμος τῶν μερέων τᾶς τῶ ἀνθρώπω ψυχᾶς τὰν ἀναλογίαν ταύταν τῶν ἀγαθῶν καὶ τῶν κακῶν· ἁ μὲν γὰρ πλεονεκτία γίνεται περὶ τὸ ἀγούμενον μέρος τᾶς ψυχᾶς, λογικὰ γὰρ ἁ ἐπιθυμία· ἁ δὲ φιλοτιμία καὶ θηριότας περὶ τὸ θυμοειδές, τοῦτο γὰρ τὸ ζέον καὶ δυναμικὸν μέρος τᾶς ψυχᾶς· ἁ δὲ φιλαδονία περὶ τὸ ἐπιθυματικόν. τοῦτο γὰρ 〈τὸ〉 θῆλυ καὶ ὑγρὸν μέρος τᾶς ψυχᾶς· ἁ δέ γε ἀδικία τελῃοτάτα κακία καὶ σύνθετος ἔασσα περὶ ὅλαν γίνεται τὰν ψυχάν. ὅθεν ὡς λύραν καὶ πόλιν εὐνομουμέναν δεῖ συναρμόσασθαι βασιλέα ὅρον δικαιότατον καὶ νόμω τάξιν ἐν αὐτῷ πρᾶτον καταστασάμενον, εἰδότα διότι τῶ πλάθεος, ᾧ δέδωκεν ὁ θεὸς αὐτῷ τὰν ἀγεμονίαν, ἁ ἐπιταδεύεν τὸν ἀγαθὸν βασιλέα, πολιτικῶς αὐτὸν πλάσσοντα καὶ πραγματειωδέως, ὅπως μήτε τραχὺς φαίνηται τοῖς πλάθεσι μήτ' εὐκαταφρόνητος, ἀλλὰ καὶ ἁδὺς καὶ ἀμφιστραφής. τεύξεται δὲ τούτων, αἴκα πρᾶτον μὲν σεμνὸς ᾖ καὶ ἐκ τῶ ἰδὲν καὶ ἐκ τῶ ἀκοῦσαι καὶ ἐκ τῶ ἄξιος ἐπιφαίνεσθαι τᾶς ἀρχᾶς, δεύτερον δὲ χρηστὸς καὶ ἐκ τᾶς ἐντεύξιος καὶ ἐκ τᾶς ποτιβλέψιος καὶ ἐκ τᾶς εὐεργεσίας. τρίτον δὲ δεινὸς καὶ ἐκ τᾶς μισοπονορίας καὶ ἐκ τᾶς κολάσιος καὶ ἐκ τᾶς ἐπιταχύσιος καὶ ὅλως ἐκ τᾶς ἐμπειρίας καὶ τριβᾶς τᾶς περὶ τὸ βασιλεύεν. ἁ μὲν γὰρ σεμνότας θεόμιμον ὑπάρχουσα πρᾶγμα δύναται θαυμαζόμενον καὶ τιμώμενον αὐτὸν παρέχεσθαι τοῖς πλάθεσιν, ἁ δὲ χρηστότας φιλεύμενον καὶ ἀγαπαζόμενον, ἁ δὲ δεινότας φοβερὸν μὲν καὶ ἀνίκατον ποτὶ πολεμίως, μεγαλόψυχον δὲ καὶ θαρσαλέον ποτὶ φίλως. δεῖ δὲ τὰν σεμνότατα καθεστάσθαι περὶ αὐτὸν μηδὲν ταπεινὸν ἐπιταδεύοντα μηδὲ τῶν πολλῶν ἀντάξιον ἀλλὰ τῶν θαυμαινομένων καὶ τῶν ἀγεμονίᾳ καὶ σκαπτουχίᾳ ποτιφυῶν, ἁμιλλώμενον ἀεὶ μὴ τοῖς μῃόνεσσι μηδὲ τοῖς ἴσοις ἀλλὰ τοῖς λαμβάνοντα μεγίστας ἦμεν τὰς ἐπὶ τοῖς καλοῖς ἔργοις καὶ μεγάλοις, ἀλλὰ μὴ τὰς ἐπὶ τοῖς ἀπολαύστοις, χωρίζοντα μὲν ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων παθέων, συνεγγίζοντα δὲ τοῖς θεοῖς, οὐ δι' ὑπεραφανίαν ἀλλὰ διὰ μεγαλοφροσύναν καὶ μέγεθος ἀρετᾶς ἀνυπέρβλατον, τοιαύταν αὐτῷ ἐπιπρέπῃαν καὶ προστασίαν ἀμφιβαλλόμενον καὶ καττὰν ὄψιν καὶ καττὼς λογισμὼς καὶ καττὰ ἐνθυμάματα καὶ καττὸ ἄθος τᾶς ψυχᾶς καὶ καττὰς πράξιας καὶ καττὰν κίνασιν καὶ καττὰν θέσιν τῶ σώματος, ὥστε τὼς ποταυγασμένως αὐτὸν κατακοσμαθῆμεν καταπεπλαγμένως αἰδοῖ καὶ σωφροσύνᾳ τε 〈καὶ〉 διαθέσει τᾷ περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰν ἐπιπρέπηαν. οὐ γὰρ μῆον αὐλῶ καὶ ἁρμονίας 〈ἁ〉 τῶ ἀγαθῶ βασιλέως ποταύγασις ὀφείλει τρέπεν τὰς ψυχὰς τῶν ποταυγασμένων. καὶ περὶ μὲν σεμνότατος ἅλις εἰρήσθω· περὶ δὲ χρηστότατος νῦν ὑποθέσθαι πειρασοῦμαι. χρηστὸς γὰρ ἐσσεῖται πᾶς βασιλεὺς τὸ μὲν καθόλω δίκαιός φωνάν, τοῦτον ἔχει τὸν λόγον δικαιότας ποτὶ κοινωνίαν· κοινὸν γὰρ ἀγαθόν ἐντι καὶ ἀρχόντων καὶ ἀρχομένων, εἴ γε δὴ συναρμοστικά ἐντι κοινωνίας πολιτικᾶς. ἁ δὲ ἐπιείκῃα καὶ εὐγνωμοσύνα πάρεδροί τινές ἐντι τᾶς δικαιοσύνας, ἁ μὲν [τὸ ἐπιεικὲς ἁ δὲ] τὸ ἀπότομον τᾶς βλάβας μαλθαίνοισα, ἁ δὲ τοῖς ἐπὶ ποσὸν ἀμπλακίσκουσι συγγνώμας ἀπομερίζουσα. δεῖ δὲ τὸν ἀγαθὸν βασιλέα βοηθατικόν τε ἦμεν τῶν δεομένων καὶ εὐχάριστον, 〈καὶ ἀβαρέα〉 δέ· βοήθῃαν δὲ μὴ καθ' ἕνα ποιήσασθαι τρόπον, ἀλλ' ὅπως δυνατὸν ἂν ᾖ· εὐχάριστον δ' ἦμεν δεῖ μὴ ποττὸ μέγεθος ἀποβλέποντα τᾶς τιμᾶς, ἀλλὰ ποττὸν τρόπον καὶ τὰν προαίρεσιν τῶ τιμέοντος· ἀβαρέα δὲ δεῖ ἦμεν ποτὶ πάντας ἀνθρώπως, μάλιστα δὲ ποττὼς μῄονας καὶ καταδεεστέγὰρ τὰς διαθέσιας τοιαύτας καὶ οἱ θεοὶ καὶ μάλιστα ὁ κρατέων πάντων Ζεύς· καὶ γὰρ οὗτος σεμνὸς μέν ἐντι καὶ τίμιος διά τε τὰν ὑπεροχὰν καὶ τὸ μέγεθος τᾶς ἀρετᾶς, χραστὸς δὲ διὰ τὸ εὐεργετικός τε ἦμεν καὶ ἀγαθοδότας, ὅκως δὴ καὶ λέγεται ὑπὸ τῶ Ἰωνικῶ ποιητᾶ ὥς κ' εἴη 'πατὴρ ἀνδρῶν τε θεῶν τε'· δεινὸς δὲ διὰ τὸ κολάζεν τὼς ἀδικέοντας καὶ κρατὲν καὶ κυριεύεν πάντων· ἔχει δὲ καὶ τὸν κεραυνὸν μετὰ χεῖρα, σύμβολον τᾶς δεινότατος. ἐπὶ πᾶσι δὲ τούτοις μναμονεύεν δεῖ ὅτι θεόμιμόν ἐντι πρᾶγμα βασιλῄα. Σθενίδα Λοκροῦ Πυθαγορείου Περὶ βασιλείας. Χρὴ τὸν βασιλέα σοφὸν ἦμεν· οὕτω γὰρ ἐσσεῖται ἀντίμιμος καὶ ζαλωτὰς τῶ πράτω θεῶ. οὗτος γὰρ καὶ φύσει ἐντὶ καὶ πρᾶτος βασιλεύς τε καὶ δυνάστας, ὁ δὲ γενέσει καὶ μιμάσει. καὶ ὁ μὲν ἐν τῷ παντὶ καὶ ὅλῳ, ὁ δὲ ἐπὶ γᾶς, καὶ ὁ μὲν ἀεὶ τὰ πάντα διοικεῖ τε καὶ ζώει αὐτὸς ἐν αὑτῷ κεκταμένος τὰν σοφίαν, ὁ δ' ἐν χρόνῳ ἐπιστάμαν. ἄριστα δέ κα μιμέοιτο τοῦτον, εἰ μεγαλόφρονά τε καὶ ἄμερον καὶ ὀλιγοδεέα παρασκευάζοι αὐτόν, πατρικὰν διάθεσιν ἐνδεικνύμενος τοῖς ὑφ' αὑτῷ· διὰ τοῦτο γάρ που μάλιστα καὶ νενομίχθαι τὸν πρᾶτον θεὸν πατέρα μὲν θεῶν, πατέρα δὲ ἀνθρώπων ἦμεν, ὅτι ἥπιος πρὸς πάντα τὰ ὑπ' αὐτῶ γενόμενα ἐντί, καὶ ἀντεχόμενος τᾶς προστασίας οὐδέποκα παύεται, οὐδὲ ἥρκεσται τῷ ποιητὰς μόνον πάντων γεγονέναι, ἀλλὰ καὶ τροφεὺς διδάσκαλός τε τῶν καλῶν πάντων καὶ νομοθέτας πέφυκε πᾶσιν ἐπίσας. τοιοῦτον θέμις ἦμεν καὶ τὸν ἐπὶ γᾶς καὶ παρ' ἀνθρώποις ἀγεμονὲν μέλλοντα βασιλέα· οὐδὲν δὲ ἀβασίλευτον καλὸν οὐδὲ ἄναρχον· ἄνευ δὲ σοφίας καὶ ἐπιστάμας οὔτε μὰν βασιλέα οὔτε ἄρχοντα οἷόν τε ἦμεν. μιματὰς ἄρα καὶ ὑπηρέτας ἐσσεῖται νόμιμος τῶ θεῶ ὁ σοφός τε καὶ βασιλεύς. Ἐκφάντου Πυθαγορείου ἐκ τοῦ Περὶ βασιλείας. Ὅτι μὲν ἅπαντος ζῴω φύσις ποτί τε τὸν κόσμον ἅρμοκται καὶ τὰ ἐν τῷ κόσμῳ πολλοῖς μοι δοκεῖ τεκμαρίοις φανερὸν ἦμεν. συμπνείουσα γὰρ οὕτω καὶ συνδεδεμένα τὰν ἀρίσταν τε ἅμα καὶ ἀναγκαίαν ἀκολουθίαν ὀπαδεῖ ῥύμᾳ τῶ παντὸς περιαγεομένα ποτί τε τὰν κοικαὶ διαφόροις τὰν φύσιν ἐξάρχει τι ζῷον καὶ οἰκειότατον ἐν γενοῖν καὶ διὰ τὸ μετέχεν πλέον τῶ θείω. καὶ ἐν μὲν τᾷ τῶ θεῶ ὄντος ἀεὶ φύσει τὰ τὰν πράταν καὶ μεγίσταν ἀκολουθίαν ἔχοντα ἀσπάζεται … καὶ τοὶ πλάνατες ἀστέρες· ἐν δὲ τᾷ χώρᾳ τᾷ σελάνας ἔνερθεν τὰ δι' εὐθείας ἰόντα σώματα ἁ τῶ δαίμονος φύσις ἔχει τὰν διεξαγωγάν· ἐν δὲ τᾷ γᾷ καὶ παρ' ἁμῖν ἀριστοφυέστατον μὲν ἄνθρωπος, θειότατον δ' ὁ βασιλεὺς ἐν τᾷ κοινᾷ φύσει πλεονεκτῶν τῶ κρέσσονος, τὸ μὲν σκᾶνος τοῖς λοιποῖς ὅμοιος, οἷα γεγονὼς ἐκ τᾶς αὐτᾶς ὕλας, ὑπὸ τεχνίτα δ' εἰργασμένος λῴστω, ὃς ἐτεχνίτευσεν αὐτὸν ἀρχετύπῳ χρώμενος ἑαυτῷ· κατασκεύασμα δὴ ὧν ὁ βασιλεὺς ἓν καὶ μάζεται, ὡς τὸ κράτιστον ἐν πτανοῖς ζῷον ἀετὸς ἀντωπὸν ἁλίω γενόμενον· χὠπὶ τᾶς βασιλῄας δὲ λόγος ὠυτός, θείας τε ἐάσσας καὶ δι' ὑπερβολὰν λαμπρότατος δυσοράτω, αἰ μὴ τοῖς γνασίοις· μαρμαρυγαί τε γὰρ πολλαὶ καὶ σκοτοδινιάσεις ὡς ἐφ' ὕψος ὀθνεῖον ἐπιβάντας τὼς νόθως ἀπήλεγξαν· τοῖς δὲ προσηκόντως κατ' οἰκῄότατα πρὸς αὐτὰν ἐπὶ τοῦτο ἀφιγμένοις οἰκήσιμος, κεχρῆσθαι δυναμένοις αὐτᾷ. 〈ἁ〉 μὲν ὦν βασιλῄα χρῆμα εἰλικρινές τε καὶ ἀδιάφθορόν ἐντι καὶ δι' ὑπερβολὰν θειότατος δυσέφικτον ἀνθρώπῳ. δεῖ δὲ καὶ τὸν ἐς

αὐτὰν καταστάντα καθαρώτατόν τε ἦμεν καὶ διαυγέστατον τὰν φύσιν, ὡς μὴ τὸ λαμπρότατον ἀφανίζῃ ἐν σπίλοις τοῖς αὐταυτῶ· καθὸ καὶ τὼς ἁγιωτάτως τόπως ἐκαλίδωσάν τινες, καὶ τῶν ἀντιασάντων ἔνιοι μιαροὶ τὼς ἀντιάξαντας αὐτοῖς. ἔχεν, ἐπιστάμεν τε αὐτὸν ὅσῳ τῶν ἄλλων ἐντὶ θειότερος, ὅσῳ τε ἄτεροι αὐτῶ, οἷς δὴ κατὰ λόγον ἀπεικάζων ἑαυτὸν ἄριστ' ἂν ἑαυτῷ τε χρῷτο καὶ τοῖς ὑποτεταγμένοις. καὶ τοῖς μὲν ἄλλοις· ἀνθρώποις, αἴκα ἁμαρτάνωντι, ὁσιωτάτα κάθαρσις ἐξομοιωθῆμεν τοῖς ἀρχόντεσσιν, αἴτε νόμος αἴτε βασιλεὺς διέποι τὰ κατ' αὐτώς· οἱ δ' εἴ τι τῶ κρέσσονος δέοντος διὰ τὰν φύσιν ἀμπλακόντες οὐ μακρὰν οὐδ' ἀπῳκισμένως οἱ χρὴ θεῷ μὲν εὐθὺ τᾶς ὠφελείας τυγχάνεν. οὔτε γὰρ τὸν κόσμον δίζοιτο ἄν τις ἐν αὐτῷ τε ὢν καὶ μέρος ἐκείνω, οὔτ' ἂν ἀνόητος εἴη τῶ διέποντος αὐτὸν ὁ ἀτέρων αὐτὸς ἄρχων. ἁ δ' εὐκοσμία πολλὰ καὶ τὸ μηδὲν ἄναρχον εὑρὲν δύνασθαι καὶ τῷ τρόπῳ τᾶς ἀρχᾶς διδάσκαλον. ἐκλάμπει γὰρ αὐτᾶς εὐθὺ τὸ καλόν, ἂν ὁ μιμασόμενος δι' ἀρετὰν αὐτῷ τε φίλος, ὃν μεμίμαται, καὶ πολὺ πλέον τοῖς ὑπ' αὐτὸν τεταγμένοις. οὐ γὰρ ἄν τις θεοφιλὴς ὢν μισέοιτο ὑπ' ἀνθρώπων, ἐπεὶ οὐδὲ τὰ ἄστρα οὐδ' ὁ σύμπας κόσμος ἐχθαίρει τὸν θεόν· αἰ δέ γα ἐμίσει τὸν ἁγεμονεύοντα, οὔ κα εἴπετο [ἂν] πειθόμενος αὐτῷ· τὸ δ' ἐκεῖνον ἄρχεν εὖ αἴτιον τῶ καὶ τώσδε ἄρχεσθαι καλῶς. ἐγὼ μὲν ὦν ὑπολαμβάνω καὶ τὸν ἐπὶ τᾶς γὰς βασιλέα δύνασθαι μηδεμιᾷ τᾶν ἀρετᾶν ἐλαττοῦσθαι τῶ κατ' ὠρανὸν βασιλέως· ἀλλ' ὥσπερ αὐτὸς ἀπόδαμόν τι ἐντὶ χρῆμα καὶ ξένον ἐκεῖθεν ἀφιγμένον πρὸς ἀνθρώπως, καὶ τὰς ἀρετὰς ἄν τις αὐτῶ ἔργα ὑπολάβοι τῶ θεῶ καὶ δι' ἐκεῖνον αὐτῶ. σκοπέοντι δ' ἀρχᾶθεν ἀλάθῃα λόγος· κοινωνία τε γὰρ πράτα τε πάντων καὶ ἀναγκαιοτάτα τῷ τῶν ἀνθρώπων γένει, ἃς μετέχει μὲν ὁ παρ' ἁμῖν βασιλεύς, μετέχει δὲ καὶ ὁ ἐν τῷ παντὶ πάντα διέπων· συνεστάναι γὰρ χωρὶς φιλίας καὶ κοινωνίας ἀμάχανον. σκοποίη δ' ἄν τις ταῦτα καὶ ἐπὶ τῶν συμπολιτευομένων, ἐξελὼν τῶ λόγω τὰν κατὰ συνάθῃαν κοινωνίαν· ἐλάττω γὰρ αὖτα τᾶς τε θείας φύσιος καὶ τᾶς βασιλικᾶς· οὐ γὰρ δέονται τὰν τοιαύταν δέησιν ἀλλάλων, καθ' ἃν συνεκπορεῦντες τῶν ὑστεροῦντι, ἀναπλαροῦντι κοινὰν τὰν βοήθῃαν· τέλῃοι γὰρ κατ' ἀρετάν. ἁ δ' ἐν τᾷ πόλει φιλία κοινῶ τινος τέλεος ἐχομένα τὰν τῶ παντὸς ὁμόνοιαν μεμίμαται· ἄνευ δὲ τᾶς περὶ τὰς ἀρχὰς διατάξιος οὐδεμία ἂν πόλις οἰκοῖτο· εἰς δὲ ταύταν νόμων τε δεῖται καὶ τινὸς προστασίας πολιτικᾶς τό τε τούτων κοινὸν ἀγαθὸν εὐαρμοστία τις καὶ τῶν πολλῶν ὁμοφωνία μετὰ πειθοῦς συνᾳδοίσας. ὁ κατ' ἀρετὰν ἐξάρχων καλέεταί τε βασιλεὺς καὶ ἔντι, ταύταν ἔχων φιλίαν τε καὶ κοινωνίαν ποτὶ τὼς ὑπ' αὔταυτον, ἅνπερ ὁ θεὸς ἔχει ποτί τε τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ. ὅλαν δὲ τὰν εὔνοιαν χρὴ παρασκευάζεσθαι πρᾶτον μὲν παρὰ τῶ βασιλέως ἐς τὼς βασιλευομένως, δεύτερον δὲ παρὰ τῶνδε ἐς τὸν βασιλέα, ὁποία γεννάτορος ποτὶ υἱέα καὶ ποτὶ ποίμναν νομέως καὶ νόμω ποτὶ χρωμένως αὐτῷ. Ἐν ταὐτῷ. Μιᾷ γὰρ ἀρετᾷ πρὸς τὸ ἄρχεν ἀνθρώπων καὶ πρὸς τὸν αὐτῶ βίον χρήσεται οὐδὲν ὡς δι' ἔνδειαν ποτιλαμβάνων εἰς ὑπηρεσίαν τὰν αὐτὸς αὐτῶ, ἀλλ' ὡς κατὰ φύσιν συνεργῶν· κοινωνίας γὰρ ἐάσσας οὐδὲν ἔλαττον ἕκαστος αὐτάρκως βιώσει καθ' αὐτόν. δοκεῖ μὲν γὰρ ὁ αὐτάρκης μηδενὸς ἂν ἄλλω πρός γε τὰν αὐτῶ διεξαγωγὰν ποτιδεήσεσθαι· αἰ δ' ἄρα δεῖ βίον ἐνεργέα ζώεν, δᾶλον ὡς κεα ποιήσει· φίλως τε γὰρ ἕξει διὰ τὰν αὐτῶ ἀρετάν, καὶ τοῖσδε χρώμενος οὐ κατ' ἄλλαν ἀρετὰν χρήσεται ἢ ᾗπερ καὶ ποττὸν αὐτῶ βίον. ἀνάγκα δὲ ἀκολουθὲν καὶ τὰ τοιάδε, οὐχ ἀτέρας τινὸς ἐξαιρέτω ποτταῦτα παρεσκευασμένας. χὠ μὲν θεὸς οὔτε διακόνως ἔχων οὔτε ὑπηρέτας οὔτ' αὖ προστάξει τινὶ χρώμενος οὐδὲ στεφανῶν ἢ ἀναγορεύων τὼς πειθομένως ἢ ἀτιμάζων τὼς ἀπειθέοντας, οὗτος αὐτὸς ἄρχει ποτὶ τοσόνδε μέγεθος ἀρχᾶς, ἀλλ' οἶμαι παρέχων ἀξιομίματον ἑωυτὸν ζᾶλον ἐντίθητι πᾶσι τᾶς αὐτῶ φύσιος. ἔντι δὲ αὐτὸς μὲν ἀγαθός, καὶ τόδε μόνον τε καὶ ῥᾴδιον ἔργον αὐτῶ· οἱ δὲ μιμεύμενοι τῶν ἄλλων κρέσσον τῷδε πάντα ἐργάζονται· ἁ δὲ ὁμοίωσις καὶ ἑκάστω τῶδε αὐταρκές ἐντι. οὐ γὰρ ἄλλα μὲν ἀρετὰ ποιεῖ τὰ ἀρεστὰ τῷ θεῷ, μιμέεται δ' αὐτὸν ἀτέρα. ὁ δ' ἐπίγῃος ἁμῖν βασιλεὺς πῶς οὐχ ὁμοίως αὐτάρκης; ἀπεικάζων τε γὰρ αὐτὸν ἑνὶ ἂν ἀπεικάσειε τῷ κρατίστῳ, καὶ πᾶς ἑωυτῷ πειρώμενος ὁμοιοῦν αἴθος ἔσσεται·

τὰ δ’ ὅσα βίας καὶ ἀνάγκας τὰς τῶν ὑποτεταῦ μάλιστα πάντων ἀφανίζει τὸ φοβερόν. ὡς εἴθε ἦν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφελὲν τὸ καὶ πειθοῦς τινος δέεσθαι. τόδε γὰρ τᾶς ἐπιγῄω φαυλότατος τὸ λείψανον, καθ’ ἂν ἐπίκαρον ὂν τὸ ζῷον ταύτας οὐκ ἀμοιρεῖ· ἐπειδήπερ πειθὼ ἔργον τι ἐντὶ παροικέον ἀνάγκᾳ· πράτα γὰρ ἀφ’ αὐτᾶς αὐτὰ κατεργάζεται, τάπερ ἐκείναν διέφυγεν. ὅσα δ’ αὐτοφυῶς τῷ καλῷ χρῆται, τούτοις οὐδεμία πειθοῦς αἰδώς, ἐπειδήπερ οὐδὲ φόβος ἀνάγκας. ἐνεργάσαιτο δ’ ἂν μόνος ὁ βασιλεὺς ἀνθρώπω φύσει καὶ τόδε τὸ ἀγαθόν, ὡς διὰ μίμασιν αὐτῶ τῶ κρέσσονος ποτὶ τὸ δέον ἔπεσθαι. τὼς δὲ ὥσπερ ὑπὸ μέθας διεφθαρμένως καὶ διὰ κακὰν τροφὰν ἐς λάθαν ἐμπεσόντας αὐτῶ παραλαφθεὶς ὁ λόγος ἐπέρρωσέν τε καὶ κάμνοντας ἰάσατο καὶ τὰν ἐκ τᾶς κακίας ἐνοικεῦσαν αὐτοῖς λάθαν ἐκβαλὼν τὰν μνάμαν ἐσῴκισεν, ἐξ ἇς ἀπετέχθη ἁ καλεομένα πειθώ· καὶ τὰν ἀρχὰν ἐκ φαύλων σπερμάτων λαβοῦσα αὖτα τι σπουδαῖον ἐφύη τὰν ἐπίγῃον οἰκεῦσα χώραν, ἐν ᾇ δι’ ἀσθένῃαν τᾶς ἁμῶν φύσιος ὁ λόγος ἀνθρώποις ὁμιλέων ἀναπλαροῖ τὰ τῶν διὰ κακίαν ὑστερούντων. Ἐν ταὐτῷ. Ἅπερ ἱερὰν καὶ θείαν ἔχων ἔννοιαν τῷ ὄντι βασιδίκαιος ἐσσεῖται κοινωνικὸς ὢν παντί τῳ δᾶλον· ἰσότατι γὰρ ἁ κοινωνία, καὶ ἐν τᾷ ταύτας ἀποδιανομᾷ ἐξάρχει μὲν ἁ δικαιοσύνα, μετέχει δ’ ἁ κοινωνία· οὐ γὰρ δυνατὸν ἄδικον μὲν ἦμεν, μεταδιδόμεν δὲ ἰσότατος, ἢ μεταδιδόμεν 〈μὲν〉 ἰσότατος, μὴ κοινωνικὸν δὲ ἦμεν. ἐγκρατέα δὲ πῶς οὐκ ἂν ὑπολάβοι τις τὸν αὐτάρκη; ἁ γὰρ πολυτέλῃα μάτηρ τᾶς ἀκρασίας, αὖτα δὲ τᾶς ὕβριος, ἐξ ἇς τῶν ἐν ἀνθρώποις κακῶν τὰ πολλά. ἁ δ’ αὐτάρκῃα οὐδ’ ἂν τέκοι πολυτέλῃαν οὔτε τὰ ἀπ’ αὐτᾶς· ἀλλὰ αὐτά τις οὖσα ἀρχὰ πάντα μὲν ἄγοι, ἄγοιτο δ’ ἂν ὑπ’ οὐδενός. ὅπερ ἔντι μὲν τῷ θεῷ, ἔντι 〈δὲ〉 καὶ τῷ βασιλεῖ, αὐτῷ μὲν ἄρχεν (ἀφ’ ὥπερ καὶ ὁ αὐτάρκης καλέεται), ἄρχεσθαι δ’ ὑπ’ οὐδενός· ταῦτα δ’ ὅτι μὲν φρονάσιος χωρὶς οὐκ ἂν γένοιτο, δᾶλον, ὅτι δ’ ἁ τῶ κόσμω φρόνασις ὁ θεός ἐντι, φανερόν· συνέχεται γὰρ εὐκοσμίᾳ τε καὶ τάξει τᾷ δεούσᾳ· νόω δὲ χωρὶς οὐκ ἂν αὐτὰ γενοίατο. οὐδ’ ὁ βασιλεὺς δὴ χωρὶς φρονάσιος ταύτας ἂν ἔχοι τὰς ἀρετάς, δικαιοσύναν φαμὶ καὶ ἐγκράτῃαν καὶ κοινωνίαν καὶ ὅσα τούτων ἀδελφά. Μουσωνίου ἐκ τοῦ Ὅτι φιλοσοφητέον καὶ τοῖς βαλεῖς Ῥωμαίων ὑπήκοοι, ἄλλα τε πολλὰ εἶπε πρὸς τὸν ἄνδρα καὶ δὴ καὶ ταῦτα. Μὴ οἴου, ἔφη, ἄλλῳ τινὶ μᾶλλον προσήκειν φιλοσοφεῖν ἢ σοί, μηδ’ ἄλλου του χάριν μᾶλλον ἢ ὅτι βασιλεὺς τυγχάνεις ὤν. δεῖ μὲν γὰρ δήπου δύνασθαι τὸν βασιλέα σῴζειν ἀνθρώπους καὶ εὐεργετεῖν· τὸν δέ γε σώσοντα καὶ εὐεργετήσοντα χρὴ ἐπίστασθαι, τί μὲν ἀγαθὸν ἀνθρώπῳ τί δὲ κακόν, καὶ τί μὲν ὠφέλιμον τί δὲ βλαβερόν, καὶ συμφέρον γε καὶ ἀσύμφορον· εἴ γε ἀπόλλυνται μὲν οἱ περιπίπτοντες τοῖς κακοῖς, σῴζονται δὲ οἱ τυγχάνοντες τῶν ἀγαθῶν, καὶ εὐεργετοῦνται μὲν οἱ ἀξιούμενοι τῶν ὠφελίμων καὶ συμφερόντων, κακοποιοῦνται δὲ οἱ ἐμβαλλόμενοι τοῖς ἀσυμφόροις καὶ βλαβεροῖς. ἀγαθὸν μέντοι καὶ κακὸν ἢ συμφέρον καὶ ἀσύμφορον ἢ ὠφέλιμον καὶ βλαβερὸν οὐκ ἄλλου του διαγινώσκειν ἢ τοῦ φιλοσόφου ἐστίν, ὃς αὐτὸ τοῦτο διατελεῖ πραγματευόμενος, ὅπως μηδὲ ἓν τούτων ἀγνοήσει, καὶ τέχνην πεποίηται ταύτην εἰδέναι τί φέρει πρὸς ἀνθρώπου εὐδαιμονίαν ἢ κακοδαιμονίαν. διὸ φαίνεται δεῖν τὸν βασιλέα φιλοσοφεῖν. καὶ μὴν προσήκει μὲν τῷ βασιλεῖ, μᾶλλον δ’ ἀνάγκη ἐστὶν αὐτῷ, τὰ δίκαια βραβεύειν τοῖς ὑπηκόοις, ὡς μήτε πλέον ἔχειν μήτε ἐλαττοῦσθαι μηδένα παρὰ τὴν ἀξίαν, ἀλλὰ καὶ τιμῆς καὶ τιμωρίας τυγχάνειν τοὺς ἀξίους. ταῦτα δὲ πῶς ποτε δυνηθείη ἄν τις δίκαιος σοφητέον τῷ βασιλεῖ, ὅτι δικαιοσύνην καὶ τὸ δίκαιον οὐκ ἂν ἄλλως φαίνοιτο γνούς, εἰ μὴ φιλοσοφήσειεν. οὐ γὰρ οὔθ’ ὡς οὐχ ὁ μαθὼν μᾶλλον εἰδήσει τὰ δίκαια τοῦ μὴ μαθόντος ἔστιν εἰπεῖν, οὔθ’ ὡς οὐκ ἀμαθεῖς εἰσι τῶν τοιούτων πάντες οἱ μὴ φιλοσοφήσαντες. στασιάζουσι γοῦν καὶ πολεμοῦσι περὶ τῶν δικαίων πρὸς ἀλλήλους, οἱ μὲν ταῦτα φάσκοντες οἱ δὲ ἐκεῖνα δικαιότερα εἶναι. καίτοι περί γε ὧν ἐπίστανται ἄνθρωποι, περὶ τούτων οὐ διαφέρονται· οὔτε περὶ λευκῶν ἢ μελάνων, ἢ θερμῶν ἢ ψυχρῶν, οὔτε περὶ μαλακῶν ἢ σκληρῶν· ἀλλὰ κατὰ τὰ αὐτὰ περὶ τούτων ἅπαντες φρονοῦσί τε καὶ λέγουσιν· ὥστε καὶ περὶ τῶν δικαίων ὠμονόουν ἂν παραπλησίως, εἴπερ ᾔδεσαν ἅ τινα ἐστίν· ἐν

ᾧ δ’ οὐχ ὁμονοοῦσιν, ἀγνοοῦντες φαίνονται. καὶ οὐδὲ σὺ ταύτης ἐκτὸς εἶ τῆς ἀγνοίας, ὡς ἐγὼ δοκῶ· ὅθεν ἐπιμελητέον σοι τῆς γνώσεως μᾶλλον ἢ ἄλλῳ ὁτῳοῦν, καὶ τοσούτῳ γε μᾶλλον 〈ὅσῳ περ〉 αἴσχιον ἀνδρὶ βασιλεῖ ἢ ἰδιώτῃ εἶναι ἐν ἀγνοίᾳ δικαιοσύνης. Ἔτι τοίνυν δεῖ μὲν τὸν βασιλέα σωφρονεῖν αὐτόν, δεῖ δὲ τοὺς ὑπηκόους σωφρονίζειν, ἵν’ ὁ μὲν ἄρχῃ σωφρόνως, οἱ δ’ ἄρχωνται κοσμίως, μηδέτεροι δὲ τρυφῶσι· πλὴν φιλοσοφίας, οὐκ ἔστιν εἰπεῖν· αὕτη γὰρ διδάσκει. μὲν ἐπάνω ἡδονῆς εἶναι, διδάσκει δ’ ἐπάνω πλεονεξίας, διδάσκει δὲ ἀγαπᾶν εὐτέλειαν, διδάσκει δὲ φεύγειν πολυτέλειαν, ἐθίζει δ’ αἰδῶ ἔχειν, ἐθίζει δὲ γλώττης κρατεῖν, τάξιν δὲ καὶ κόσμον καὶ εὐσχημοσύνην περιποιεῖ καὶ ὅλως τὸ ἐν κινήσει καὶ σχέσει πρέπον. ταῦτα δὲ ἀνθρώπῳ προσόντα παρέχεται σεμνὸν καὶ σώφρονα αὐτόν. καὶ δὴ καὶ βασιλεύς, ὅτῳ ὑπάρχει ταῦτα, μάλιστα ἂν εἴη θεοπρεπής τε καὶ αἰδοῦς ἄξιος. τό γε μὴν ἄφοβον καὶ ἀνέκπληκτον καὶ θαρσαλέον ἔστι μὲν ἀνδρείας ἔργον, πῶς δ’ ἂν ἄλλως μᾶλλον ἀνθρώπῳ ὑπάρξειεν ἢ εἴ τις περὶ θανάτου καὶ πόνου λάβοι πίστιν ἰσχυρὰν ὡς οὐ κακοῖν ὄντοιν αὐτοῖν; ταῦτα γὰρ δὴ τὰ ἐξιστάντα καὶ φοβοῦντα τοὺς ἀνθρώπους ἐστίν, ὅ τε θάνατος καὶ ὁ πόνος, ὅταν ὡς περὶ κακῶν πεπεισμένοι ὦσιν αὐτῶν· μὴ κακὰ δ’ εἶναι ταῦτα φιλοσοφία διδάσκει μόνη. ὥστ’ εἴπερ ἀνδρείαν κτητέον τοῖς βασιλεῦσι, κτητέον δὲ παντὸς 〈ὁτου-〉 δύνασθαι κρατεῖν ὥσπερ ὅπλοις τῶν μαχομένων, οὕτω λόγοις 〈τῶν〉 διαλεγομένων· ὡς ἄν γε ταύτῃ ἀσθενήσωσιν οἱ βασιλεῖς, ἀνάγκη πολλάκις περιάγεσθαι αὐτοὺς καὶ βιάζεσθαι τὰ ψευδῆ ὡς ἀληθῆ προσίεσθαι, ὅπερ ἀφροσύνης ἔργον καὶ ἀμαθίας τῆς ἐσχάτης. φιλοσοφία δ’ οὐκ οἶδ’ εἴ τι μᾶλλον ἢ τοῦτο παρέχειν τοῖς μετιοῦσιν αὐτὴν πέφυκεν, ὥστε περιεῖναι λόγῳ τῶν πλησίον καὶ τὰ ψευδῆ διακρίνειν ἀπὸ τῶν ἀληθῶν καὶ τὰ μὲν ἐλέγχειν τὰ δὲ βεβαιοῦν. οἱ γοῦν ῥήτορες, ὁπόταν ἔλθωσιν εἰς ταὐτὸ τοῖς φιλοσόφοις καὶ διδῶσι καὶ λαμβάνωσι λόγον, ἔστιν ὁρᾶν αὐτοὺς συγκρουομένους ἀπορουμένους, ἐναντία λέγειν αὐτοῖς ἀναγκαζομένους· καίτοι ὁπόταν οἱ ῥήτορες, οἱ τοῦτο πεποιημένοι ἔργον λόγους μελετᾶν, ἀσθενέστεροι περὶ λόγους ἁλίσκωνται τῶν φιλοσόφων ὄντες, τί χρὴ τοὺς ἄλλους ἀνθρώπους ὑπολαμβάνειν; ὅθεν εἴ τινι ὄντι βασιλεῖ ἔστιν ἐπιθυμία τοῦ ἐν λόγῳ κράτους, φιλοσοφητέον αὐτῷ, ἵνα μὴ δεδίῃ μηδὲ ταύτῃ μηδένα ὡς περιγενησόμενον αὐτοῦ, δέον ἀπανταχοῦ ἀδεῆ εἶναι τὸν βασιλέα καὶ θαρραλέον καὶ ἀήττητον. Καθόλου δὲ τὸν μὲν βασιλέα τὸν ἀγαθὸν ἀνάγκη πᾶσα καὶ λόγῳ καὶ ἔργῳ εἶναι ἀναμάρτητον καὶ τέλειον· εἴ περ δεῖ αὐτόν, ὥσπερ ἐδόκει τοῖς παλαιοῖς, νόμον ἔμψυχον εἶναι, εὐνομίαν μὲν καὶ ὁμόνοιαν μηχανώμενον, ἀνομίαν δὲ καὶ στάσιν ἀπείργοντα, ζηλωτὴν δὲ τοῦ Διὸς οὗτος δὲ πῶς ἂν εἴη τις μὴ φύσει τε διαφερούσῃ κεχρημένος παιδείαν τε τὴν ἀρίστην πεπαιδευμένος ἀρετάς τε ἁπάσας ἔχων, ὅσαι περ ἀνθρώπῳ προσήκουσιν; εἰ μὲν οὖν καὶ ἑτέρα ἐπιστήμη ἐστὶν ἡ ποδηγοῦσα πρὸς ἀρετὴν ἀνθρώπου φύσιν καὶ ἀσκεῖν καὶ μετιέναι τὰ καλὰ διδάσκουσα, παραβλητέον ἂν εἴη καὶ συγκριτέον, εἴτε ἐκείνη εἴτε φιλοσοφία κρείττων καὶ ἀποχρῶσα μᾶλλον ἀγαθὸν ἀποδεῖξαι βασιλέα· καὶ τῇ κρείττονι χρῷτ’ ἂν εἰκότως ὁ βασιλεὺς βουλόμενός γε δὴ εἶναι ἀγαθός. εἰ δ’ ἄλλη μὲν οὐδ’ ὑπισχνεῖται τέχνη οὐδεμία παράδοσιν καὶ διδασκαλίαν ἀρετῆς, 〈ἀλλ’ εἰσὶν〉 αἱ μὲν περὶ τὸ σῶμα τὸ ἀνθρώπινον καὶ τὰ τούτῳ χρήσιμα πραγματευόμεναι μόνον, ὅσαι δὲ τῆς ψυχῆς ἐφάπτονται, πάντα σκοπούμεναι μᾶλλον, ἢ ὅθεν αὕτη σωφρονήσει· μόνη δὲ φιλοσοφία τοῦτο σκοπεῖται καὶ τοῦτο μηχανᾶται, πῶς 〈ἂν〉 ὁ ἄνθρωπος κακίαν μὲν ἐκφύγοι, κτήσαιτο δὲ ἀρετήν—εἰ ταῦτα ταύτῃ ἔχει, τί ἂν ἄλλο εἴη βασιλεῖ τῷ γε ἀγαθῷ εἶναι τὸν ἀγαθὸν εὐθὺς καὶ φιλόσοφον ἐξ ἀνάγκης εἶναι καὶ τόν γε φιλόσοφον εὐθὺς καὶ βασιλικὸν εἶναι. Πρῶτον δὲ τὸ πρότερον θεασώμεθα. ἆρ’ ἔσθ’ ὅπως βασιλεὺς ἀγαθὸς εἴη τις ἂν μὴ ἄνθρωπος ἀγαθὸς ὤν; οὐκ ἔστιν εἰπεῖν. ἀγαθὸς δέ τις ἀνὴρ ὢν οὐ καὶ φιλόσοφος εἴη ἄν; νὴ Δία, εἰ τὸ φιλοσοφεῖν καλοκαγαθίας ἐπιτήδευσίς ἐστιν. ὥσθ’ ὁ βασιλεὺς ὁ ἀγαθὸς ἐξ ἀνάγκης εὐθὺς καὶ φιλόσοφος εὑρίσκεται ὤν. καὶ μὴν ὅ γε φιλόσοφος ὅτι πάντως καὶ βασιλικός, οὕτως ἂν μάθοις. τοῦ γὰρ βασιλικοῦ δήπου ἐστὶ τὸ δύνασθαι καλῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιτροπεύειν ἔθνη καὶ πόλεις καὶ εἶναι ἄξιον ἀνθρώπων ἄρχειν. τίς δ' ἂν ἢ ἱκανώτερος εἴη πόλεως προστάτης ἢ ἀξιώτερος ἀνθρώπων ἄρχειν τοῦ φιλοσόφου; ᾧ γε προσήκει (ἄν περ ᾖ ἀληθῶς φιλόσοφος) εἶναι φρονίμῳ σώφρονι μεγαλόφρονι, τῶν δικαίων κριτικῷ καὶ τῶν πρεπόντων, καταπρακτικῷ τῶν νοηθέντων, καρτερικῷ τῶν ἐπιπόνων· πρὸς δὲ τούτοις θαρραλέος ἀδεὴς ὑποστατικὸς τῶν δοκούντων δεινῶν εἴη ἄν, ἔτι δὲ εὐεργετικὸς χρηστὸς φιλάνθρωπος. τοῦ δὲ τοιούτου τίς ἂν εὑρεθείη ἄρχειν ἐπιτηδειότερος ἢ δυνατώτερος; οὐδείς. ἂν δὲ μὴ ἔχῃ πολλοὺς τοὺς ὑπακούοντας καὶ πειθομένους αὐτῷ, οὕπω διὰ τοῦτο τοῦ βασιλικὸς εἶναι ἐστέρηται· ἐξαρκεῖ γὰρ καὶ τὸ τῶν φίλων ἄρχειν τῶν ὑπαρχόντων ἢ γυναικός τε καὶ παίδων, ἢ καὶ νὴ Δία αὐτὸν αὐτοῦ μόνον. καὶ γὰρ πεύων ὀλίγους, εἴ γε ἔχει τὴν ἐμπειρίαν τὴν ἰατρικήν· καὶ μουσικὸς οὐδὲν ἧττον τοῦ διδάσκοντος πολλοὺς ὁ διδάσκων ὀλίγους, εἴ γε ἔχει τὴν μουσικήν· καὶ ἱππικὸς ὁμοίως τῷ χρωμένῳ πολλοῖς ἵπποις ὁ χρώμενος ἑνὶ ἢ δυοῖν, ἄν γε ἐπιστήμων τῆς ἱππικῆς ᾖ· καὶ δὴ καὶ βασιλικὸς παραπλησίως τῷ κεκτημένῳ πολλοὺς ὑπηκόους ὁ ἔχων ἕνα ἢ δύο τοὺς πειθομένους αὐτῷ, μόνον ἐχέτω τὴν τοῦ βασιλεύειν ἐμπειρίαν· ὥστε καὶ βασιλικὸς εἴη ἄν. διὰ τοῦτό μοι δοκεῖ καὶ Σωκράτης τὴν φιλοσοφίαν πολιτικήν τε καὶ βασιλικὴν ἐπιστήμην ὀνομάζειν, ὅτι ὁ ταύτην ἀναλαβὼν εὐθὺς πολιτικός ἐστι. Τοιαῦτα τοῦ Μουσωνίου εἰπόντος, ἡσθεὶς ὁ βασιλεὺς τοῖς λόγοις χάριν τε ἔχειν ὡμολόγει τῶν εἰρημένων αὐτῷ, καὶ ἀντὶ τούτων, ἔφη, αἴτησον ὅ τι βούλει με, οὐ γὰρ ἂν ἀντείποιμί σοι περὶ οὐδενός. ὁ οὖν Μουσώνιος, αἰτῶ σε, ἔφη, τούτοις στοιχεῖν καὶ ἕπεσθαι τοῖς λόγοις, οὓς ἐπαινεῖς· καὶ γὰρ ἐμοὶ οὕτω χαριεῖ μάλιστα καὶ ὠφεληθήσῃ αὐτὸς οὐχ ἑτέρως μᾶλλον. Ξενοφῶντος ἐν τῇ Κύρου παιδείᾳ α′ (c. 6, 3). Καὶ μὲν δή, ἔφη, ὦ πάτερ, ὁ Κῦρος, ὅπως ἂν ἵλεῳ 〈οἱ〉 θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι κατὰ τὸν σὸν λόγον διατελέσω ἐπιμελούμενος. μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν πρακτικώτερος εἴη ὥσπερ καὶ παρ' ἀνθρώπων ὅστις μὴ ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι, ἀλλ' ὅτε ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῆτο· μελεῖσθαι. Οὐκοῦν 〈νῦν〉, ἔφη, ὦ παῖ, δι' ἐκείνας τὰς ἐπιμελείας ἥδιον ἔρχῃ πρὸς τοὺς θεοὺς δεησόμενος, ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι ὧν ἂν δέῃ, ὅτι ξυνειδέναι ἑαυτῷ δοκεῖς οὐ πώποτε ἀμελήσας αὐτῶν; Πάνυ μὲν οὖν, ὦ πάτερ, ὡς πρὸς φίλους μοι τοὺς θεοὺς ὄντας οὕτω διάκειμαι. Τί γάρ, ἔφη, ὦ παῖ, ἐκεῖνα μέμνησαι ἅ ποτε ἐδόκει ἡμῖν; ὁπόσα γὰρ δήπου δεδώκασιν ἡμῖν οἱ θεοὶ μαθόντας ἀνθρώπους βέλτιον πράσσειν ἢ ἀνεπιστήμονας αὐτῶν ὄντας καὶ ἐργαζομένους μᾶλλον ἀνύειν ἢ ἀργοῦντας καὶ ἐπιμελομένους ἀσφαλέστερον ἂν διάγειν ἢ ἀφυλακτοῦντας καὶ παρέχοντας ἑαυτοὺς οἵους δεῖ, οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι τἀγαθὰ παρὰ τῶν θεῶν. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, ... καὶ γὰρ ἀνάγκη ἦν πείθεσθαι τῷ λόγῳ τούτῳ· καὶ οἶδα προστιθέντα αὐτῷ, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν οὔτε ἱππεύειν μὴ μαθόντας ἱππομαχοῦντας νικᾶν, οὔτε μὴ ἐπισταμένους τοξεύειν τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων τοξεύειν, οὔτε μὴ ἐπισταμένους κυβερνᾶν σῴζειν εὔχεσθαι ναῦν κυβερνῶντας, οὔτε μὴ σπείραντάς γε σῖτον εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι, οὐδὲ μὴ φυλασσομένους γε ἐν πολέμῳ σωτηρίαν αἰτεῖσθαι· παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς ταῦτα καὶ τὰ τοιαῦτα πάντα εἶναι· τοὺς δὲ ἀθέμιστα εὐχομένους ὁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν ὥσπερ καὶ παρ' ἀνθρώπων ἀπρακτεῖν τοὺς παράνομα δεομένους. Ἐν ταὐτῷ (ibid. c. 6, 8). Καὶ τοῦτό σου λέγοντος, συνεδόκει καὶ ἐμοὶ ὑπερμέγεθες ἔργον εἶναι τὸ καλῶς ἄρχειν· καὶ νῦν, ἔφη, ταῦτά μοι δοκεῖ, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. ὅταν μέντοι πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων ἡγουμένους δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν τῷ πολυτελέστερον δειπνεῖν καὶ πλεῖον ἔχειν ἔνδον χρυσίον καὶ πλείονα χρόνον καθεύδειν καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. ἐγὼ δ' οἶομαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν καὶ φιλοπονεῖν. Ἐν ταὐτῷ (ib. c. 6, 10). Ἐρωτᾷς, ἔφη, τοῦτο, ὦ

παῖ, εἴ τις ἀπὸ σοῦ πόρος προσγένοιτο. Ἀπὸ τίνος δὲ μᾶλλον εἰκὸς πόρον γενέσθαι Ἐν ταὐτῷ (ib. c. 6, 10). Τόδε δὲ πάντων μαλιστά μοι μέμνησο μηδέποτ' ἀναμένειν πορίζεσθαι τὰ ἐπιτήδεια, ἔστ' ἂν ἡ χρεία σε ἀναγκάσῃ· ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μᾶλλον μηχανῶ. καὶ γὰρ τεύξει μᾶλλον παρ' ὧν ἂν δέῃ μὴ ἀπορεῖν δοκῶν, καὶ ἀναίτιος ἔσῃ παρὰ τοῖς σαυτοῦ στρατιώταις· ἐκ τούτου δὲ μάλιστα καὶ ὑπὸ τῶν ἄλλων αἰδοῦς τεύξῃ, καὶ ἐάν τινα βούλῃ τῇ δυνάμει ἢ εὖ ποιῆσαι ἢ κακῶς, μᾶλλον ὑπηρετήσουσιν οἱ στρατιῶται ἔχοντες τὰ δέοντα· καὶ πιστικωτάτους δὲ λόγους σάφ' ἴσθι τότε δυνήσῃ λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ ποιεῖν ἱκανὸς ὢν καὶ εὖ καὶ κακῶς. Ἐν ταὐτῷ (ib. c. 6, 14). Τὸ τέλος δή με ἐπήρου, τί ποτε διδάσκων στρατηγίαν φαίη με διδάσκειν. κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην ὅτι τὰ τακτικά. καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον τί εἴη ὄφελος στρατηγίᾳ τακτικῶν ἄνευ τῶν ἐπιτηδείων, τί δὲ ἄνευ τοῦ ὑγιαίνειν, τί δὲ ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας, τί δὲ ἄνευ τοῦ των σύ με διδάξαι ἱκανὸς εἴης. Ἐν ταὐτῷ (ibid. c. 6, 17—19). Δεῖ γὰρ δήπου στρατιάν, εἰ μέλλει πράξειν τὰ δέοντα, μήποτε παύεσθαι τοῖς πολεμίοις κακὰ πορσύνουσαν ἢ αὐτοῖς ἀγαθά· ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον, πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὴν τρέφειν, πλεῖστά τε γὰρ ἐσθίει στρατιὰ καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρωμένη· ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. Λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην στρατηγόν, ἔφη, ἀναδέχομαι, ἢν μή τις θεὸς βλάπτῃ, ἅμα καὶ τὰ ἐπιτήδεια μάλιστα ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέντοι τό γε μελετᾶσθαι, ἔφη, ἕκαστα τῶν πολεμίων ἔργων, ἀγῶνας ἄν τίς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάστοις καὶ ἆθλα προτιθεὶς μάλιστα ποιεῖν ἀσκεῖσθαι ἕκαστα, ὥστε ὁπότε δέοιτο ὦ παῖ, ἔφη· τοῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥσπερ χοροὺς τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ. Ἀλλὰ μήν, ἔφη ὁ Κῦρος, τό γ' εὐθυμίαν ἐμβαλεῖν τοῖς στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλὰ μήν, ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν οἷόν περ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει οἵᾳπερ ὅταν 〈τὸ〉 θηρίον ὁρᾷ. τὸ μὲν γὰρ πρῶτον προθύμως οἶδ' ὅτι ἔχει ὑπακουούσας, ἂν δὲ πολλάκις ψεύδηται αὐτάς, τελευτῶσαι οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ πείθονται αὐτῷ. οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβάλλων ψεύδηταί τις, τελευτῶν οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος πείθειν δύναται. ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν ἃ μὴ σαφῶς εἰδείη φείδεσθαι δεῖ, ὦ παῖ· τὴν δὲ αὐτοῦ παρόρμησιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασῴζειν. Ἐν ταὐτῷ (ibid. c. 6, 20—21). Νόμοι δὲ δοκοῦσί μοι οἱ πολλοὶ ταῦτα δύο μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. καὶ τοίνυν κατανοῶν περὶ τούτων ἐν πᾶσιν ὁρᾶν μοι δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὂν τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε ταιπερὶ τὰ συμφέροντα ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. γνοίης δ' ἂν ὅτι τοῦθ' οὕτως ἔχει ἐν ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάσσῃ 〈δὲ〉 ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται. Ἐν ταὐτῷ (ibid. c. 6, 23—28). Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἄν τις τῷ ὄντι γένοιτο; Δῆλον ὅτι, ἔφη, ὦ παῖ, ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἄν, ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ τι δὲ γνοίης βέλτιον ἂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου ὡς πραχθείη. καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς ἢ τὸ ἀμελεῖν. Ἀλλὰ μέντοι ἐπί γε τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ὅπερ ἐμοὶ ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι, δῆλον ὅτι ἡ αὐτὴ ὁδὸς ἥπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη· εὖ γάρ, οἶμαι, δεῖ ποιοῦντα φανερὸν εἶναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλλὰ τοῦτο μέν, ἔφη, ὦ παῖ, χαλεπὸν τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν οὓς ἄν τις θέλῃ τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς λωνται, ταῦτά πως δεῖ παρομαρτεῖν. καὶ τὸ τῶν πράξεών γε, ἢν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα εἶναι· ἢν δ' ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. Λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερὸν δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων μᾶλλον εἶναι. Ἐγὼ γὰρ οὖν, ἔφη. θάρρει μέντοι, ὦ παῖ· εὖ γὰρ ἴσθι τοῦτο, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου, ἀλλὰ κουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι καὶ τὸ αὐτὸν εἰδέναι ὅτι οὐ λανθάνει ὅ τι ἄν ποτε ποιῇ. Ὁπότε δέ, ὦ πάτερ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δέ, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δὲ ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα σωφρονεῖν ἄν τίς σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλέον ἕξειν· εἰ δὲ μή, ἔγωγ' ἂν ὅσῳ τίονας ἔχειν, τοσῷδ' ἂν μᾶλλον φυλαττοίμην, ὥσπερ καὶ τὰ ἄλλα ἂν οἰώμεθα πλείστου ἄξια ἡμῖν εἶναι. ταῦτα πειρώμεθα ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. Πλέον δ' ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο; οὐκέτι τοῦτο, ὦ παῖ, φαῦλον οὐδὲ ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ' εὖ ἴσθι ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν καὶ ἐπίβουλον εἶναι καὶ κρυψίνουν καὶ ἀπατεῶνα καὶ κλέπτην καὶ ἅρπαγα καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν· Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ ἐννομώτατος ἀνὴρ εἴη. Πῶς μήν, ἔφη, παῖδας ὄντας ἡμᾶς ἐναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε πρὸς τοὺς φίλους τε καὶ τοὺς πολίτας. Ξενοφῶντος ἐν γ' Ἀπομνημονευμάτων (c. 9, 10—13). Βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη 〈εἶναι〉 οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας οὐδὲ τοὺς κλήρῳ λαχόντας οὐδὲ τοὺς βιασαμένους οὐδὲ τοὺς ἐξαπατήσαντας ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείπάντας πειθομένους τῷ ἐπισταμένῳ, καὶ ἐν γεωργίᾳ τοὺς κεκτημένους ἀγρούς, καὶ ἐν νόσῳ τοὺς νοσοῦντας, καὶ ἐν σωμασκίᾳ τοὺς σωμασκοῦντας, καὶ τοὺς ἄλλους πάντας οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι ἐπιμελεῖσθαι· εἰ δὲ μή, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν· ἐν δὲ ταλασίᾳ καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν διὰ τὸ τὰς μὲν εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι. εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσι, Καὶ πῶς ἄν, ἔφη, ἐξείη μὴ πείθεσθαι, ἐπικειμένης γε ζημίας, ἐάν τις τῷ εὖ λέγοντι μὴ πίθηται; ἐν ᾧ γὰρ ἄν τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπου, ἁμαρτάνων δὲ ζημιωθήσεται. εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι τὸν εὖ φρονοῦντα, Τὸν δὲ ἀποκτείναντα, ἔφη, τοὺς κρατίστους τῶν συμμάχων οἴει ἀζήμιον γίγνεσθαι ἢ ὡς ἔτυχε ζημιοῦσθαι; πότερα γὰρ ἂν μᾶλλον οἴει σῴζεσθαι τὸν τοῦτο ποιοῦντα

4.8 Εὐριπίδου Ἱκετίσιν (429 ss.). Οὐδὲν τυράννου δυσμενέστερον 〈πόλει〉, ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι κοινοί, κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος. Εὐριπίδου Ἴωνι (621 ss). Τυραννίδος δὲ τῆς πάλαι θρυλουμένης τὸ μὲν πρόσωπον ἡδύ, τὰν δόμοισι δὲ λυπηρά. τίς γὰρ μακάριος, τίς εὐτυχής, ὅστις δεδοικὼς καὶ περιβλέπων βίον αἰῶνα τείνει; δημότης ἂν εὐτυχὴς ζῆν ἂν θέλοιμι μᾶλλον ἢ τύραννος ὤν, οἷς τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν, ἐσθλοὺς δὲ μισεῖν, κατθανεῖν φοβουμένους, Εὐριπίδου Αὐγῇ (fr. 275 N 2). Κακῶς δ' ὄλοιντο πάντες, οἳ τυραννίδι κἂν μίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται. Εὐριπίδου Ἠλέκτρα. *** (Eur. inc. fab. fr. 850 N 2) Ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι. Εὐριπίδου Ἀντιγόνης (fr. 172 N. 2). Οὔτ' εἰκὸς ἄρχειν οὔτ' ἐχρῆν εἶναι νόμον τύραννον εἶναι·

μωρία δὲ καὶ θέλειν, ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος. Εὐριπίδου Ἀλκμέωνος (fr. 80 N. 2). Φεῦ 〈φεῦ〉 , τὰ μεγάλα μεγάλα καὶ πάσχει κακά. Μενάνδρου Ἀσπίδος (fr. 74 K.). Ὦ τρισάθλιοι, τί πλέον ἔχουσι τῶν ἄλλων; βίον ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια τηροῦντες, οἱ τὰς ἀκροπόλεις κεκτημένοι. εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥᾳδίως ἐγχειρίδιον ἔχοντας αὐτοῖς προσιέναι, οἵαν δίκην διδόασιν. Διονυσίου τυράννου (fr. 4 p. 794 N. 2). Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ. Εὐριπίδου Πελιάδων (fr. 605 N. 2). Τὸ δ’ ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον. φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών, πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι. Σοφοκλέους Οἰδίποδι (T. 380 ss.). Ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ, ὅσος παρ’ ὑμῖν ὁ φθόνος φυλάσσεται. Ἐν ταὐτῷ (873 s.). Ὕβρις φυτεύει τύραννον, Σοφοκλέους Αἴαντι (1350). Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον. Τοῦ αὐτοῦ Πολυξένῃ (fr. 481 N. 2). Οὐ γάρ τις ἂν δύναιτο πρῳρατὴς στρατοῦ τοῖς πᾶσιν εἶξαι καὶ προσαρκέσαι χάριν. ἐπεὶ οὐδ’ ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι οὔτ’ ἐξεπομβρῶν οὔτ’ ἐπαυχμήσας φίλος· βροτοῖς 〈δ’〉 ἂν ἐλθὼν ἐς λόγον δίκην ὄφλοι. πῶς δῆτ’ ἔγωγ’ ἂν θνητὸς ἐκ θνητῆς τε φὺς Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος; Φαβωρίνου (fr. 80 p. 135 Marr.). Ὥσπερ γὰρ τὰ θηρία τὴν σαγήνην ὑποχωροῦντα 〈ἀεὶ〉 εἰς ἐλάττω τόπον συνάγεται, οὕτω δὲ καὶ τοὺς τυράννους ἔστιν ἰδεῖν ἐπαναχωροῦντας ἐκ μὲν τῆς Ἑλλάδος εἰς τὴν πόλιν, ἐκ δὲ τῆς πόλεως εἰς τὴν ἀκρόπολιν, εἶτ’ εἰς τὴν οἰκίαν, ἔπειτ’ εἰς τὸ δωμάτιον. εἶτα δύναται καταφυγεῖν ἄνθρωπος θεὸν φεύγων; ὅπου γὰρ ἂν καταφύγῃ, Δημοσθένους ἐκ τῶν Φιλιππικῶν α′ (I p. 10). Καὶ ὅλως ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς. Ἐκ τῆς Φαλάριδος πρὸς Δημοτέλη ἐπιστολῆς (38 p. 418 Herch.). Συγγνώμην ἔχω σοι τῶν παραινέσεων· τύραννος γὰρ οὐ γεγονὼς τυράννῳ συμβουλεύεις καταθέσθαι τὴν τυραννίδα, οὐκ εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν ἀρχὴν ἐπισφαλέστερόν ἐστι τὸ καταθέσθαι. Ἀναξιμένους. Ἀναξιμένης ὁ Λαμψακηνὸς ῥήτωρ ἐρωτηθεὶς ὑπὸ τοῦ βασιλέως Φαίδρου, τί ἀκοινώνητόν ἐστιν, εἶπε ‘τυραννίς‘. Ἀριστίππου. Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος τοσοῦτον ἔφη διαφέρειν βασιλείαν τυραννίδος, ὅσον νόμος ἀνομίας καὶ ἐλευθερία δουλείας. Φιλιππίδου (Ps.—Plut. reg. et imp. apophth. p. 183 E). Λυσίμαχος ὁ τύραννος πρὸς Φιλιππίδην τὸν κωμωδιοποιὸν φίλον ὄντα καὶ συνήθη ‘τίνος σοι‘, εἶπε ‘μεταδῶ;‘ κἀκεῖνος ‘οὗ βούλει πλὴν τῶν ἀπορρήτων‘. Ἀντιγόνου. μενον ἐβάστασας‘. Πτολεμαίου. Πτολεμαῖος ὁ ἐπικληθεὶς Φιλάδελφος ἔλεγε τὴν τυραννίδα ἄλλα τε πολλὰ δύσκολα ἔχειν καὶ τὸ μέγιστον, τὸ ἀναγκάζεσθαι τοὺς μηθὲν ἀδικοῦντας κτείνειν τοῦ συμφέροντος ἕνεκα. Δημοσθένους Φιλιππικῶν (VI p. 72). Βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸν ἐλευθερίᾳ καὶ νόμοις ἐναντίον. Ἀριστίππου. Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον ‘οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ‘ ‘ἀληθῆ λέγεις‘ εἶπεν· ‘εἰ γὰρ ὠφέλησο, ἐπέπαυσο ἂν τῆς τυραννίδος ὥσπερ ἱερᾶς νόσου.‘ Αἰλιανοῦ (v. h. 10, 5). Φρύγιος οὗτος 〈ὁ〉 λόγος, ἔστι γὰρ Αἰσώπου τοῦ Φρυγός. ὁ δὲ λόγος φησὶ τὴν ὖν, ἐὰν αὐτῆς τις ἅψηται, βοᾶν καὶ μάλα γε εἰκότως· οὔτε γὰρ ἔρια ἔχει ὗς οὔτε γάλα οὔτε ἄλλο τι πλὴν τῶν κρεῶν. παραχρῆμα οὖν ὀνειροπολεῖν τὸν θάνατον εἰδυῖαν εἰς ὅ τι τοῖς χρησομένοις αὐτῇ πέφυκε λυσιτελὴς εἶναι. ἐοίκασι δὲ τῇ ὑὶ τῇ Αἰσώπου οἱ τύραννοι ὑποπτεύοντες καὶ δεδοικότες πάντα· ἴσασι γὰρ ὅτι, ὥσπερ οὖν αἱ ὗς, ὀφείλουσι καὶ ἐκεῖνοι τὴν ψυχὴν πᾶσι. Ἰσοκράτης Νικοκλεῖ (ad Nicocl. § 2—4 p. 15 B—C). Τοὺς μὲν ἰδιώτας ἔστι πολλὰ τὰ παιδεύοντα· καὶ μάλιστα μὲν τὸ μὴ τρυφᾶν ἀλλ’ ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ’ ἑκάστην βουλεύεσθαι τὴν ἡμέραν, ἔπειθ’ οἱ νόμοι, καθ’ οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν, ἔτι δὲ ἡ παρρησία καὶ τὸ μὴ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις· πρὸς δὲ τούτοις καὶ τῶν ποιητῶν τινες τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν· ὥστ’ ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίγνεσθαι. τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον, οὓς ἔδει παιδεύεσθαι μᾶλλον τῶν ἄλλων, ἐπειδὰν δ’ εἰς τὴν ἀρχὴν ὀντες πρὸς χάριν ὁμιλοῦσιν. Φαλάριδος ἐκ τῆς πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παυρόλαν τὸν υἱὸν ἐπιστολῆς (ep. LXVII p. 425 Herch.). Εἴ γε σὺ μὴ τοῦθ' ὃ κατηγοροῦσί τινες ὥρμηκας ἐπὶ τὸ ζηλοῦν καὶ μιμεῖσθαι τὸν ἐν τυραννίδι βίον, ὅπερ ἂν εὖ φρονῶν τυγχάνῃς, παρὰ τοῦ μεταμελομένου εἰς γνώμην λάβε. ὁ γὰρ ἀμφοτέρων πεπειραμένος τυραννηθῆναι μᾶλλον εὐξαίμην ἂν ἢ τυραννῆσαι. ὁ μὲν γὰρ ἕνα φοβεῖται τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος, τὸν τύραννον, ὁ τύραννος δὲ τοὺς ἔξωθεν ἐπιβουλεύοντας καὶ δι' οὓς σῴζεται. Ἐκ τῶν Διογένους Διατριβῶν (Dionis Prus. or. VI 46 vol. I p. 92 Arn.). Δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων ὁ οἱ δ' αὖ κακῶς ζῶντες τὸν μὲν βίον δυσχερέστερον φέρουσι, τὸν δὲ θάνατον ἥδιον προσδέχονται. τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα ἢ τοῖς ἄλλοις· ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ ἐπιθυμούντων τεθνάναι, τὸν δὲ θάνατον οὕτω δεδοίκασιν ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ. Ἡροδότου ἱστορίας γ' (53). Τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσιν. Ἡροδότου ἱστορίας τρίτης δημηγορίας Ὀτάνου (80). Πῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστιν ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γὰρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν· φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε. φθονέει μετρίως θαυμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινεῖ πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν ὄνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν· πάλῳ μὲν ἀρχὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι οὖν γνώμην μεθέντας ἡμέας μουναρχίην τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα. Ξενοφῶντος ἐκ τοῦ Ἱέρωνος (1, 1—10). Σιμωνίδης ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν εἶπεν ὁ Σιμωνίδης· Ἆρ' ἄν μοι ἐθελήσαις, ὦ Ἱέρων, διηγήσασθαι ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; Καὶ ποῖα ταῦτ' ἐστίν, ἔφη ὁ Ἱέρων, ὁποῖα ἂν ἐγὼ βέλτιον εἰδείην σοῦ οὕτως ὄντος σοφοῦ ἀνδρός; Οἶδά σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον καὶ νῦν τύραννον ὄντα· εἰκὸς οὖν ἀμφοτέρων ὁ τυραννικός τε καὶ ἰδιωτικὸς βίος εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις. Τί οὖν, ἔφη ὁ Ἱέρων, οὐχὶ 〈καὶ〉 σύ, ἐπεὶ νῦν γ' ἔτι ἰδιώτης εἶ, ὑπέμνησάς με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ; οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ. Οὕτω δὴ ὁ Σιμωνίδης εἶπε· Τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε, Ἱέρων, δοκῶ μοι καταμεμαθηκέναι διὸ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους, διὰ δὲ τῶν ὤτων ἀκούσμασι. διὰ δὲ τῶν ῥινῶν ὀσμαῖς, διὰ δὲ τοῦ στόματος σίτοις καὶ ποτοῖς, τὰ δὲ ἀφροδίσια δι' ὧν δὴ πάντες ἐπιστάμεθα, τὰ δὲ ψύχη καὶ θάλπη καὶ σκληρὰ καὶ στριφνὰ καὶ μαλθακὰ καὶ βαρέα καὶ κοῦφα ὅλῳ τῷ σώματί μοι δοκοῦμεν, ἔφη, κρίνοντες καὶ ἥδεσθαι καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς ἀγαθοῖς τε καὶ κακοῖς. ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαί τε καὶ λυπεῖσθαι· ἔστι δὲ ὅτε κοινῇ διά 〈τε〉 τῆς ψυχῆς καὶ τοῦ σώματος. τῷ δὲ ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ 〈μοι〉 αἰσθάνεσθαι, ὅπως δὲ καὶ ᾧτινι καὶ ὁπότε, ταῦτα μᾶλλόν πως, ἔφη, δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν δὴ ἴσως τοῦτο θαυμαστόν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται ἢ τὰ ἐν τῷ ὕπνῳ. Πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρίνατο· Ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σὺ οὐδ' ὅπως ἂν αἴσθοιτό τινος ὁ τύραννος, ἔχοιμ' ἂν εἰπεῖν, ὥστε μέχρι γε τούτων οὐκ οἶδα ὅ τι διαφέρει ὁ τυραννικὸς τοῦ ἰδιωτικοῦ βίου. Καὶ ὁ Σιμωνίδης εἶπεν· Ἀλλὰ ἐν μὲν τοῖσδε διαφέροι ἄν, εἰ πολλαπλάσια μὲν 〈δι'〉 ἑκάστου τούτων εὐφραίνεται, πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. Καὶ ὁ Ἱέρων εἶπεν, Οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα· ἀλλ' εὖ ἴσθ', ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων ὑπηρετῶν, πολὺ δὲ πλείω καὶ μείζω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λυποῦνται. Ἄπιστα, ἔφη, λέγεις, ὁ Σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτα εἶχε, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους; Ὅτι ναὶ μὰ Δί', ἔφη ὁ Ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν, ὡς ἀληθῆ λέγω. ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις ἃς ἂν βούλωνται θεαμάτων ἕνεκα καὶ εἰς τὰς κοινὰς πανηγύρεις. οἱ δὲ τύραννοι οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν· οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλές. (Ibid. 13. 14—17) Ἀλλ' ἆρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἵκοι μένουσιν, ὀλίγα γε τῶν πολλῶν καὶ ταῦτα τίμια πωλεῖται τοῖς τυράννοις. Καὶ ὁ Σιμωνίδης εἶπεν· Ἀλλὰ εἰ ἐν τοῖς θεάμασι μειονεκτεῖτε, ἐν ταῖς ἀκοαῖς πλεονεκτεῖτε. ἐπειδὴ τοῦ μὲν ἡδίστου ἀκροάματος, ἐπαίνου, οὔποτε σπανίζετε· πάντες γὰρ οἱ παρόντες πάντα καὶ ὅσα ἂν λέγητε καὶ ὅσα ἂν ποιῆτε ἐπαινοῦσι. τοῦ δ' αὖ χαλεπωτάτου ἀκροάματος, λοιδορίας, ἀνήκοοί ἐστε· τες οὗτοι πάντα κακὰ νοοῦσι τῷ τυράννῳ; ἢ τοὺς ἐπαινοῦντας τί δοκεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους ποιούμενοι; Καὶ ὁ Σιμωνίδης εἶπε· Συγχωρῶ τὸ τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθεριωτάτων ἡδίστους εἶναι, ἀλλ', ὁρᾷς, ἐκεῖνο οὐκ ἂν ἔτι πείσαις οὐδένα ἀνθρώπων, ὡς οὐχὶ δι' ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε. Καὶ οἶδά γε, ἔφη, ὦ Σιμωνίδη, ὅτι τοῦτο κρίνουσιν οἱ πλεῖστοι ἥδιον ἡμᾶς καὶ ἐσθίειν καὶ πίνειν τῶν ἰδιωτῶν. (Ibid. 17—21. 23—27. 29—30) Τὸ γὰρ 〈τὰ〉 εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς. διὸ καὶ πάντες ἄνθρωποι τὰς ἑορτὰς ἡδέως προσδέχονται πλὴν οἱ τύραννοι· ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι μειονεκτοῦσιν. ἔπειτα δέ, ἔφη, ἐκείνου εὖ οἶδ' ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἂν πλείω 〈τισ〉 παραθῆται τὰ περισσὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶσσον κόρος ἐμπίπτει τῆς ἐδωδῆς· ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ ὁ πολλὰ παρατιθέμενος τῶν μετρίως διαιτωμένων. Ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι. Οὐκοῦν, ἔφη ὁ Ἱέρων, ὁρᾷς τι τοὺς τυράννους ἥδιον ἐπὶ τὴν αὐτῶν παρασκευὴν ἰόντας ἢ τοὺς ἰδιώτας; Οὐ μὰ τὸν Δί', ἔφη. οὐ μὲν δή. Ἄλλο τι οὖν, ἔφη ὁ Ἱέρων, οἴει ταῦτα ζητήματα εἶναι ἢ ἅμα κακῆς καὶ ἀσθενοῦς τῆς ψυχῆς τροφῆς ἐπιθυμήματα; ἐπεὶ εὖ οἶδ' ἔγωγε. ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. Ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν τούτων ὀσμῶν, αἷς χρίεσθε, τοὺς πλησιάζοντας μᾶλλον οἶομαι ἀπολαύειν ἢ αὐτοὺς ὑμᾶς, ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. Οὕτω μέντοι, ἔφη ὁ Ἱέρων, καὶ τῶν σίτων ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει· ὁ δὲ σπανίσας τινος, οὗτός ἐστιν ὁ καὶ χαρμονῆς ἐμπιπλάμενος, ὅταν αὐτῷ προσεπιφανῇ τι. Κινδυνεύουσιν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν· ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν ὅ τι ἂν κάλλιστον ἴδητε τούτῳ συνεῖναι. Νῦν γε, ἔφη ὁ Ἱέρων, εἴρηκας ἐν ᾧ δὴ πλεῖστον μειονεκτοῦμεν. ὅτι μὲν γὰρ ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν δίψης τοῦ πιεῖν ἀπολαύοι, οὕτω καὶ ὁ 〈ἄπειρος ὢν ἔρωτος〉 ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων. (Ib. c. 2, 2. 4. 7. 11) Ἀλλ' ἐν ἐκείνοις γε, ἔφη ὁ Σιμωνίδης, πολὺ διαφέρετε τῶν ἰδιωτῶν, ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ ταῦτα κατεργάζεσθε, πλεῖστα δὲ περισσὰ ἔχετε, κέκτησθε δὲ διαφέροντας ἀρετῇ ἵππους, διαφέροντα ὅπλα κάλλει, ὑπερέχοντα κόσμον γυναιξί, μεγαλοπρεπεστέρας οἰκίας. ἔτι δὲ πλήθει τε καὶ ἐπιστήμῃ θεράποντας ἀρίστους, ἱκανώτατοι δέ ἐστε ὀνῆσαι φίλους, κακῶσαι δὲ ἐχθρούς. Πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν· Ἡ τυραννὶς τὰ μὲν δοκοῦντα πολλοῦ ἄξια κτήματα εἶναι ἀνεπτυγμένα θεάσασθαι φανερὰ πᾶσι παρέχεται, τὰ δὲ αἴσπερ καὶ τὸ εὔδαιμον 〈καὶ τὸ κακόδαιμον〉 τοῖς ἀνθρώποις ἀπόκειται .... αὐτίκα γάρ, 〈εἰ μὲν〉 εἰρήνη δοκεῖ μέγα ἀγαθὸν ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον μέρος μέτεστι τοῖς τυράννοις· εἰ δὲ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μετέχομεν οἱ τύραννοι. ἔπειτα δὲ τοῖς

μὲν ἰδιώταις καὶ διὰ σπονδῶν καὶ δι' εἰρήνης γίνεται πολέμου ἀνάπαυσις, τοῖς δὲ τυράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους γίνεται οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαρρήσειε. (Ib. c. 3, 5. 7—9. c. 4, 1. 2. 3—5. 7—11) τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὡς νομίζω τῷ ὄντι ὡς αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίνεσθαι πρὸς ἄνδρας καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις τοὺς μὲν ἰδιώτας ὑπὸ τούτων πάντων μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας, πολλοὺς δὲ ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας, πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γιγνομένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους καὶ ὑπὸ ἑταίρων γε 〈τῶν〉 μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες οὖν ὑπὸ τῶν φύσει τε πεφυκότων μάλιστα φιλεῖσθαι οὕτω μισοῦνται, πῶς ὑπό γε ἄλλου τινὸς οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι; ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; καὶ τούτου τοίνυν γεύεσθαι. τοῦ δὲ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν οὕτω πόρρω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον τῷ μιαιφόνῳ μηδὲ τὸν συνόντα καθαρεύειν· ὅθεν διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν. τοῖς δὲ τυράννοις καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν αἱ πόλεις αὐτοῖς μεγάλως τιμῶσι τὸν κατακτείναντα τὸν τύραννον, καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις. οὐδέ γε θᾶσσόν τι γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης ἢ ἀγροῦ ἢ οἰκέτου ἐπιθυμεῖ, ὁ δὲ τύραννος ἢ πόλεως ἢ χώρας πολλῆς ἢ λιμένων ἢ ἀκροπόλεων ἰσχυρῶν, ἃ πολύ ἐστι χαλεπώτερα καὶ ἐπικινδυνότερα κατεργάζεσθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. ἀλλὰ μὴν καὶ πένητας ὄψει ὀλίγους τῶν ἰδιωτῶν, πολλοὺς δὲ τῶν τυράννων. οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις· ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ πολλά ἐστι, τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα ὀλίγα. τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧσσον ἱκανά ἐστιν ἢ τἀναγκαῖα δαπανήματα τῷ ἰδιώτῃ. καὶ γὰρ τοῖς μὲν ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν, τοῖς δὲ τυράννοις μέγισται μέν εἰσι δαπάναι εἰς τὰς τῆς ψυχῆς φυλακάς· τὸ δὲ τούτων τι συντέμνειν ὄλεθρος δοκεῖ εἶναι. ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἀπὸ τοῦ δικαίου ἔχειν ὧν δέονται, τί ἂν τούτους οἰκτείροις ὡς πένητας; ὅσοι δὲ ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ (Ib. c. 5, 1. c. 6, 4—6). γιγνώσκουσι δὲ οὐδὲν ἧττον τῶν ἰδιωτῶν καὶ τοὺς ἀλκίμους καὶ τοὺς σοφοὺς καὶ τοὺς δικαίους. τούτους δὲ ἀντὶ τοῦ ἄγασθαι φοβοῦνται, τοὺς μὲν ἀνδρείους, μή 〈τι〉 τολμήσωσι τῆς ἐλευθερίας ἕνεκα, τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται, τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον. φοβεῖσθαι δὲ ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φύλακας καὶ μήτε ἀόπλους ἔχειν ἐθέλειν μήτε ὡπλισμένους ἡδέως θεᾶσθαι πῶς οὐ χαλεπόν ἐστι πρᾶγμα; ἔτι δὲ ξένοις μᾶλλον ἢ πολίταις πιστεύειν, βαρβάροις μᾶλλον ἢ Ἕλλησιν, ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν. τοὺς δὲ δούλους ἐλευθέρους ἀναγκάζεσθαι ποιεῖν, οὐ πάντα ταῦτά σοι δοκεῖ ψυχῆς ὑπὸ φόβων παραπεπληγμένης τεκμήρια εἶναι; ὁ δέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν Ἀντισθένους (apophth. XIV Winck.). Ἀντισθένης ὁ φιλόσοφος τοὺς δημίους εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων· πυθομένου δέ τινος τὴν αἰτίαν ἔφη, ὅτι ὑπὸ μὲν τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται, ὑπὸ δὲ τῶν τυράννων οἱ μηδὲν ἁμαρτάνοντες. Φαβωρίνου (fr. 81 Marres). Ἀλλ' ἐγὼ βούλομαι ἡδονήν τινα τῷ τυράννῳ μηνῦσαι. εἰ μὲν ἀνθρωπίνην θέλεις, ὦ Διονύσιε, πείνησον, ἵνα φάγῃς, δίψησον, ἵνα πίῃς· εἰ δὲ δεξιάν τινα καὶ ὑπέρσπουδον καὶ τηλικαύτην ἡλίκην οὐδεὶς πρὸ σοῦ, ἀπόθου τὴν τυραννίδα. τὸν γὰρ μυρίων καὶ πεντακισχιλίων χλαμύδων δεόμενον οὐκ ἔστι μὴ πλειόνων δεῖσθαι· οἷς γὰρ ἔχω προσδεόμενος, ἀφελὼν ὧν ἔχω, ἀρκοῦμαι οἷς ἔχω. Δωροθέου ἐν α′ Σικελικῶν (script.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

rerum Alex. M. p. 155 Muell.). Φάλαρις Ἀκραγαντίνων τύραννος, ἀπότομος καὶ ἀπαθὴς ὑπάρχων, ξέναις καὶ παρευρημέναις βασάνοις ἔτρυχε καὶ ἐστρέβλου τοὺς ὁμοφύλους. Πέριλλος δὲ τῇ τέχνῃ τεχνίτην πρῶτον ἐνέβαλεν. Πλάτωνος Πολιτείας θ′ (p. 579 B- 580 A). Ἆρ’ οὖν οὐκ ἐν τοιούτῳ δεσμωτηρίῳ δέδεται ὁ τύραννος, φύσει ὢν οἷον διεληλύθαμεν, πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μεστός· λίχνῳ δὲ ὄντι αὐτῷ τὴν ψυχὴν μόνῳ τῶν ἐν τῇ πόλει οὔτε ἀποδημῆσαι ἔξεστιν οὐδαμόσε, οὔτε θεωρῆσαι ὅσων δὴ καὶ οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι, καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ τὰ πολλὰ ὥσπερ γυνὴ ζῇ, φθονῶν καὶ τοῖς ἄλλοις πολίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι ἀγαθὸν ὁρᾷ; Παντάπασι μὲν οὖν, ἔφη. Οὐκοῦν τοῖς τοιούτοις κακοῖς πλείω καρποῦται ἀνὴρ ὃς ἂν κακῶς ἐν ἑαυτῷ πολιτευόμενος, ὃν νῦν δὴ σὺ ἀθλιώτατον ἔκρινας, τὸν τυραννικόν, μὴ ὡς ἰδιώτης καταβιῷ, ἀλλ’ ἀναγκασθῇ ὑπό τινος τύχης τυραννεῦσαι καὶ ἑαυτοῦ ὢν ἀκράτωρ ἄλλων ἐπιχειρήσῃ ἄρχειν, ὥσπερ εἴ τις κάμνοντι σώματι καὶ ἀκράτορι ἑαυτοῦ μὴ ἰδιωτεύων ἀλλ’ ἀγωνιζόμενος πρὸς ἄλλα σώματα καὶ μαχόμενος ἀναγκάζοιτο διάγειν τὸν βίον. Παντάπασιν, ἔφη, ὁμοιότατά τε καὶ ἀληθέστατα λέγεις, ὦ Σώκρατες. Οὐκοῦν, ἦν δ’ ἐγώ, ὦ φίλε Γλαύκων, παντελῶς τὸ πάθος ἄθλιον, καὶ τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν; Κομιδῇ γε, ἔφη. Ἔστιν ἄρα τῇ ἀλητῶν πονηροτάτων, καὶ τὰς ἐπιθυμίας οὐδ’ ὁπωστιοῦν ἀποπιμπλάς, ἀλλὰ πλείστων ἐπιδεέστατος καὶ πένης τῇ ἀληθείᾳ φαίνεται, ἐὰν δέ τις ὅλην ψυχὴν ἐπίστηται θεάσασθαι, καὶ φόβου γέμων διὰ παντὸς τοῦ βίου, σφαδασμῶν τε καὶ ὀδυνῶν πλήρης, εἴπερ τῇ τῆς πόλεως διαθέσει ἧς ἄρχει ἔοικεν· ἔοικε δέ· ἦ γάρ; Καὶ μάλα, ἔφη. Οὐκοῦν καὶ πρὸς τούτοις ἔτι ἀποδώσομεν τῷ ἀνδρὶ καὶ ἃ τὸ πρότερον εἴπομεν, ὅτι ἀνάγκη καὶ εἶναι καὶ ἔτι μᾶλλον γίγνεσθαι αὐτῷ ἢ πρότερον διὰ τὴν ἀρχὴν φθονερῷ, ἀπίστῳ, ἀδίκῳ, ἀφίλῳ, ἀνοσίῳ καὶ πάσης κακίας πανδοκεῖ τε καὶ τροφεῖ, καὶ ἐξ ἁπάντων τούτων μάλιστα μὲν αὐτῷ δυστυχεῖ εἶναι, ἔπειτα δὲ καὶ τοὺς πλησίον αὐτῷ τοιούτους ἀπεργάζεσθαι. Οὐδείς σοι, ἔφη, τῶν νοῦν

4.9 Εὐριπίδου Τημενιδῶν (fr. 728 N. 2). .. φιλεῖ τοι πόλεμος οὐ πάντ’ εὐτυχεῖν. ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανιῶν, κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος τόδ’ ἐστί, τοῖς δὲ κατθανοῦσιν εὐκλεές. Ἀράτου Φαινομένων (130—32). Χαλκείη γενεή, προτέρων ὀλοώτεροι ἄνδρες, οἳ πρῶτοι κακόεργον ἐχαλκεύσαντο μάχαιραν, εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ’ ἀροτήρων. Πινδάρου Ὑπορχημάτων (fr. 110 Schr.). Γλυκὺ δὲ πόλεμος ἀπείροισιν· ἐμπείρων δέ τις Ὅμηρος Ἰλιάδος ι′ (63 s.). Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος. (IX 593 s.). Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δέ τ’ ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας. Εὐριπίδου Αἰόλῳ (fr. 38 N. 2). Τὰ πόλλ’ ἀνάγκη διαφέρει τολμήματα. Θουκυδίδου ἱστορίας α′ δημηγορίας Ἀθηναίων (c. 78, 1). Τοῦ πολέμου τὸ παράλογον ὅσον ἐστί, πρὶν ἐν αὐτῷ γενέσθαι, προδιάγνωτε· μηκυνόμενος γὰρ φιλεῖ εἰς τύχας τὰ πολλὰ περιίστασθαι. Τοῦ αὐτοῦ ἱστορίας α′ δημηγορίας Κορινθίων (c. 122, 1). Ἄλλα τε ὅσα οὐκ ἄν τις νῦν προΐδοι. ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δ’ ἀφ’ αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ 〈παρα〉 τυγχάνον· ἐν ᾧ ὁ μὲν εὐοργήτως αὐτῷ προσομιλήσας βεβαιότερος, ὁ δὲ ὀργισθεὶς περὶ αὐτὸν οὐκ ἐλάσσω πταίει. Δημοσθένους. Ἀντισθένους (apophth. 15 Winck.). Ἀντισθένης ὁ Σωκρατικὸς εἰπόντος τινὸς ὅτι ὁ πόλεμος ἀπολεῖ τοὺς πένητας ‘πολλοὺς μὲν οὖν‘ 〈ἔφη〉 ‘ποιήσει‘. Ἀρχιδάμου (Ps.—Plut. reg. et imp. apo- phth. p. 191 E). Ἀρχίδαμος ὁ Ἀγησιλάου ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν ἀνεβόησεν ‘ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά‘. Θουκυδίδου δημηγορίας Κορινθίων (I 120, 3—5). Ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν, ἀγαθῶν δὲ ἀδικουμένους ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι, καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι μήτε τῷ ἡσύχῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν τάχιστ’ ἂν ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνὸν δι’ ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι, ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ

πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. πολλὰ γὰρ κακῶς γνωσθέντα ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα κατώρθωκε, καὶ ἔτι πλέω ἃ καλῶς δοκοῦντα βουλευθῆναι ἐς τοὐναντίον αἰσχρῶς περιέστη. ἐνθυμεῖται γὰρ οὐδεὶς ὅμοια τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεται, ἀλλὰ μετ' ἀσφαλείας μὲν δοξάζομεν, μετὰ δέους δ' ἐν τῷ ἔργῳ Πλάτωνος Νόμων α′ (p. 626 A). Ἣν γὰρ καλοῦσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰρήνην, τοῦτ' εἶναι μόνον ὄνομα, τῷ δὲ ἔργῳ πάσαις πρὸς πάσας τὰς πόλεις ἀεὶ πόλεμον ἀκήρυκτον κατὰ φύσιν εἶναι. καὶ σχεδὸν ἀνευρήσεις. οὕτω σκοπῶν, τὸν Κρητῶν νομοθέτην ὡς εἰς τὸν πόλεμον ἅπαντα δημοσίᾳ καὶ ἰδίᾳ τὰ νόμιμα ἡμῖν ἀποβλέπων ξυνετάξατο, καὶ κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους. ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὂν οὔτε κτημάτων οὔτε ἐπιτηδευμάτων, ἂν μὴ τῷ πολέμῳ ἄρα κρατῇ τις, πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεσθαι. Ξενοφῶντος ἐν γ′ τῆς Κύρου ἀναβάσεως (c. 1, 42). Ἐπίστασθε γὰρ δή, ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα. ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ πολὺ οἱ ἐναντίοι οὐ δέχονται. Πλάτωνος ἐκ τοῦ Μενεξένου 〈ἢ〉 Ἐπιταφίου (p. 234 C). Καὶ μήν, ὦ Μενέξενε. πολλαχῇ κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀποθνῄσκειν. καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει, καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ, καὶ ἐπαίνου αὖ ἔτυχεν, καὶ ἐὰν φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε καὶ οὐκ εἰκῇ ἐπαινούντων, ἀλλ' ἐκ πολλοῦ Τυρταίου (11 B.). Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ, θαρσεῖτ'· οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει· μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε, ἰθὺς δ' εἰς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω, ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας κῆρας αὐγαῖς' ἠελίοιο φίλας. ἴσιε γὰρ ὡς Ἄρεος πολυδακρύου ἔργ' ἀίδηλα, εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου, καὶ μετὰ φευγόντων τε διωκόντων τ' ἐγένεσθε, ὦ νέοι, ἀμφοτέρων δ' ἐς κόρον ἠλάσατε. οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι, παυρότεροι θνῄσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω· τρεσσάντων δ' ἀνδρῶν πᾶς' ἀπόλωλ' ἀρετή. οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα, ὅσ', ἢν αἰσχρὰ πάθῃ, γίνεται ἀνδρὶ κακά. ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν ἀνδρὸς φεύγοντος δηίῳ ἐν πολέμῳ· αἰσχρὸς δ' ἔστι νέκυς κακκείμενος ἐν κονίῃσι ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος· δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος, κινείτω δὲ λόγον δεινὸν ὑπὲρ κεφαλῆς· ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν, μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων, ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ, ἢ ξίφει οὐτάζων δήιον ἄνδρ' ἐλέτω· καὶ πόδα πὰρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας, ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω, ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών. ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις, δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,

4.10 Τυρταίου (12 B). Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης, οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε, νικῴη δὲ θέων Θρηίκιον Βορέην, οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη, πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον, οὐδ' εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη, γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι, οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς· οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ, εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ. Εὐριπίδου Τημενιδῶν (fr. 731 N. 2). Οὐκ ἔστι κρεῖσσον ἄλλο πλὴν κρατεῖν δορί. Εὐριπίδου Τημένῳ (fr. 745 N. 2). Τολμᾶν δὲ χρεών. ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν. Εὐριπίδου Ἀρχελάῳ (fr. 237 N. 2). Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί. οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ· ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν. Εὐήνου (fr. 4 Bergk p. l. II 4 p. 270). Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστι, χωρὶς δὲ βλαβερὴ καὶ κακότητα φέρει. Τυρταίου (12, 15 ss. B.). Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ ψυχὴν καὶ θυμὸν τλήμονα

παρθέμενος, θαρσύνῃ δ’ ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς· οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ· αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας τρηχείας, σπουδῇ δ’ ἔσχεθε κῦμα μάχης· αὐτὸς δ’ ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν ἄστυ τε καὶ λαοὺς καὶ πατέρ’ εὐκλεΐσας, πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος, τὸν δ’ ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες, ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις, καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις’ ἀρίσημοι καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω, οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ’ ὄνομ’ αὐτοῦ, ἀλλ’ ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος, ὅντιν’ ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ. εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο, νικήσας δ’ αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ, πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί, πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀίδην· γηράσκων δ’ ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν βλάπτειν οὔτ’ αἰδοῦς οὔτε δίκης ἐθέλει, πάντες δ’ ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ’ αὐτὸν ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου. Εὐριπίδου (fr. 1051 N. 2). Σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς. Εὐριπίδου Ἀρχελάῳ (fr. 240 N. 2). Ἐμὲ δ’ ἄρ’ οὐ μοχθεῖν δίκαιον; τίς δ’ ἄμοχθος εὐκλεής; τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο; Ἀντιφάνους (fr. 267 K.). Ἐπεὶ γὰρ ἀποθνῄσκειν ἀνάγκη γίγνεται, τὸ προῖκ’ ἀποθανεῖν ἔστι φανερὰ ζημία. Εὐριπίδου ἐκ Τηλέφου (fr. 702 N. 2). Τόλμα σύ, κἄν τι τραχὺ νείμωσιν θεοί. Εὐριπίδου Ἀρχελάῳ (fr. 244 N. 2). Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν. Καλλίνου (fr. 1 B). Μέχρις τεῦ κατάκεισθε; κότ’ ἄλκιμον ἔξετε θυμόν, ὦ νέοι; οὐδ’ αἰδεῖσθ’ ἀμφιπερικτίονας ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει. *** καί τις ἀποθνῄσκων ὕστατ’ ἀκοντισάτω. τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι γῆς πέρι καὶ παίδων κουριδίης τ’ ἀλόχου δυσμενέσιν· θάνατος δέ ποτ’ ἔσσεται, ὁππότε κεν δὴ μοῖραι ἐπικλώσως’· ἀλλά τις ἰθὺς ἴτω ἔγχος ἀνασχόμενος καὶ ὑπ’ ἀσπίδος ἄλκιμον ἦτορ ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου. οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν ἄνδρ’, οὐδ’ εἰ προγόνων ᾗ γένος ἀθανάτων. πολλάκι δηιοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων ἔρχεται, ἐν δ’ οἴκῳ μοῖρα κίχεν θανάτου. ἀλλ’ ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός, τὸν δ’ ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ· λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς θνήσκοντος, ζώων δ’ ἄξιος ἡμιθέων· ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν· ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών. Εὐριπίδου Ἱππολύτῳ (fr. 434 N. 2). Τοῦ αὐτοῦ Ἰξίονι (fr. 426 N. 2). Τά τοι μέγιστα πάντ’ ἀπείργασται βροτοῖς τόλμ’ ὥστε νικᾶν. οὔτε γὰρ τυραννίδες χωρὶς πόνου γένοιντ’ ἂν οὔτ’ οἶκος μέγας. Μενάνδρου (fr. 792 K.). Οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου. Πινδάρου Ὀλυμπιονικῶν (I 129). Ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει. Μοσχίωνος ἐκ Θεμιστοκλέους (fr. 1 p. 812 N. 2). Καὶ γὰρ ἐν νάπαις βραχεῖ πολὺς σιδήρῳ κείρεται πεύκης κλάδος· καὶ βαιὸς ὄχλος μυρίας λόγχης κρατεῖ. Σωσιθέου ἐξ Ἀεθλίου (fr. 1 p. 821 N. 2). Εἷς μυρίους ὄρνιθας ἀετὸς σοβεῖ, λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ. Εὐριπίδου Ἐρεχθεῖ (fr. 356 N. 2). Ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς. Τοῦ αὐτοῦ Ἀνδρομάχης (764 s.). Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ (Trag. ignoti fr. 537 N. 2). Κρεῖττόν τ’ ἀμύνειν. κατθανεῖν γὰρ εὐκλεῶς ἢ ζῆν θέλοιμ’ ἂν δυσκλεῶς γε κατθανών. Σοφοκλῆς Σκυρίοις (fr. 510 N. 2). Φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους. Μενάνδρου (fr. 793 K.). Οὐκ ἔστι τόλμης ἐπιφανεστέρα θεός. Αἰσχύλου Καρῶν (fr. 100 N. 2). Ἀλλ’ Ἄρης φιλεῖ ἀεὶ τὰ λῷστα πάντα τ’ ἀνθρώπων στρατοῦ. Μενάνδρου Ἐπαγγελλόμενος (fr. 161 K.). Τὰ γὰρ τολμηρὰ τῶν ὄχλων ἔχει ἐν τοῖς λογισμοῖς μὲν τὰς ἐπιδείξεις δυσκόλους· ἐν τῷ δὲ πράττειν, ἂν λάβῃ τὸν καιρὸν εὖ, ἀπροσδόκητον τὴν τέχνην ἐξηύρατο. Εὐριπίδου (fr. 1052 N. 2). Νεανίας γὰρ ὅστις ὢν Ἄρῃ στυγῇ, κόμῃ μόνον καὶ σάρκες, ἔργα δ’ οὐδαμοῦ. ὅ τ’ ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων· ἀλλ’ οὐκ ἔνεστι στέφανος, οὐδ’ εὐανδρία, εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα· οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν, ἡ δ’ εὐλάβεια σκότον ἔχει καθ’ Ἑλλάδα, τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη. Ὁμήρου (Il. XIII 279

ss.). Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ, οὐδέ οἱ ἀτρέμας 〈ἧσθαι〉 ἐρητύετ' ἐν φρεσὶ θυμός· ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει, κῆρας ὀιομένῳ, πάταγος δέ τε γίνετ' ὀδόντων. τοῦ δ' ἀγαθοῦ οὔτ' ἄρ τρέπεται χρὼς οὔτε τι ταρβεῖ. Δημοκρίτου (fr. 269 Diels 2). Τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη. Ἰσοκράτους πρὸς Δημόνικον (43 p. 11 c). Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι τοῖς μὲν φαύλοις φοβερὰν τὴν τοῦ βίου τελευτήν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ βίῳ ἀδοξίαν. 〈μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν·〉 ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς Ἰσοκράτους Εὐαγόρα (3 p. 189 b). Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους. ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνῄσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψωσιν. Πλάτωνος ἐκ τοῦ Μενεξένου ἢ Ἐπιταφίου (p. 246 C—247 G). Ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν ἃ οἱ πατέρες ἡμῖν ἐπέσκηπτον ἀπαγγέλλειν τοῖς ἀεὶ λειπομένοις, εἴ τι πάσχοιεν, ἡνίκα κινδυνεύσειν ἔμελλον. ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων, ἃ ἂν ἀπαγγέλλω. ἔλεγον δὲ τάδε· Ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μηνύει καταστῆσαι καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι, ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετὰ ἀνανδρίας· ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ καὶ οὐχ ἑαυτῷ· οὔτε κάλλος σώματος καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα πρέποντα φαίνεται, ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα καὶ ἐκφαίνει τὴν δειλίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, οὐ σοφία φαίνεται. ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστερον καὶ διὰ παντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθ' ἔχειν, ὅπως μάλιστα μὲν ἀσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι μηδ' ἀναλώσαντες αὐτήν, γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι οὐκ ἔστιν αἴσχιον 〈ἢ〉 παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτόν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε καὶ εὐδοξιῶν. καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντας δὲ ὑμᾶς καὶ κακισθέντας οὐδεὶς εὐμενῶς δέξεται.

4.11 Εὐριπίδου Ἀνδρομάχης (184—185). Κακόν γε θνητοῖς τὸ νέον, ἐν δὲ τῷ νέῳ τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει. Ἀγάθωνος (fr. 26 p. 768 N. 2). Νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες. Μητροδώρου (fr. 56 Koerte). Νέος φιλοδοξῶν πρώιμος πονηρία. Εὐριπίδου Ἀνδρομέδας (fr. 149 N. 2). Νεότης μ' ἐπῆρε καὶ σθένος τοῦ νοῦ πλέον. Μητροδώρου (fr. 57 Koerte). Μενάνδρου (fr. 638 K.). Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω, ἀλλ' εἰ φρονοῦντος τοὺς λόγους ἀνδρὸς ἐρῶ. Εὐριπίδου Μελανίππη (fr. 510 N. 2). Παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ. Μενάνδρου (fr. 639 K.). Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν, ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων. Εὐριπίδου Ἀρχελάῳ (fr. 246 N. 2). Νεανίας τε καὶ πένης σοφός θ' ἅμα, ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως. Τοῦ αὐτοῦ Δίκτυϊ (fr. 344 N. 2). Νέος, πόνοις δέ γ' οὐκ ἀγύμναστος φρένας. Κρατῖνος ἐν Εὐνείδαις (fr. 65 K.). Ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν [κατάλληλος]. Θεόγνιδος (629 s.). Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός, Πλάτωνος ἐκ τοῦ Θεαιτήτου (p. 146 B). Τῷ γὰρ ὄντι ἡ νεότης εἰς πᾶν ἐπίδοσιν ἔχει. Πλάτωνος Νόμων β' (p. 662 B). Τὸ δὲ τοσόνδε οἶδα, ὅτι πᾶν ζῷον ὅσον αὐτῷ προσήκει νοῦν ἔχειν τελεωθέντι, τοῦτον καὶ τοσοῦτον οὐδὲν ἔχον ποτὲ φύεται· ἐν τούτῳ δὴ τῷ χρόνῳ ἐν ᾧ μήπω κέκτηται τὴν οἰκείαν φρόνησιν,

πᾶν μαίνεταί τε καὶ βοᾷ ἀτάκτως, καὶ ὅταν ἀκταινώσῃ ἑαυτὸ τάχιστα, ἀτάκτως αὖ πηδᾷ. Πλάτωνος Νόμων ια′ (p. 929 C). Τὰ γὰρ τῶν νέων ἤθη πολλὰς μεταβολὰς ἐν τῷ βίῳ μεταβάλλειν ἑκάστοτε πέφυκε. Θεοφράστου. Χαλεπὸν καταμαντεύεσθαι περὶ τῶν νέων· ἀστόχαστος γὰρ ἡλικία καὶ πολλὰς ἔχουσα μεταβολὰς ἄλλοτε ἐπ' ἄλλο φερομένη. Ὁμήρου (Il. III 108). Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται. Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 181 D). Χρῆν δὲ καὶ νόμον εἶναι μὴ ἐρᾶν παίδων, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο. τὸ γὰρ τῶν παίδων τέλος ἄδηλον οἷ τελευτᾷ κακίας καὶ ἀρετῆς ψυχῆς τε πέρι καὶ σώματος.

4.12 Μενάνδρου (fr. 145 K.). Οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον. Ἀπολλοδώρου Παιδίου (fr. 10 K.). Ταχύ γε στρατιώτης γέγονας ἀντ' ἐλευθέρου. Μενάνδρου Παρακαταθήκη (fr. 382 K.). Στρατεία δ' οὐ φέρει περιουσίαν οὐδεμί', ἐφήμερον δὲ καὶ προπετῆ βίον, Μενάνδρου Σικυωνίῳ (fr. 439 K.). Εὐλοιδόρητον, ὡς ἔοικε, φαίνεται τὸ τοῦ στρατιώτου σχῆμα καὶ τὸ τοῦ ξένου. Ἀπολλοδώρου ἐξ Ἀφανιζομένου (fr. 2 Com. III p. 289 K.). Στρατιώτην ἔργον ἄχρι γήρως λαβεῖν ἔστιν διευτυχηκότ', ἂν μὴ δειλὸς ᾖ. Μενάνδρου Ἀσπίδος (fr. 76a b K.). Στρατιώτην, Σμικρίνη, σωτηρίας ἔστ' ἔργον εὑρεῖν πρόφασιν, ὀλέθρου δ' εὔπορον. Φιλήμονος (fr. 155 K.). Στρατιῶτα κοὐκ ἄνθρωπε, καὶ σιτούμενε ὥσπερ ἱερεῖον, ἵν' ὅταν ᾖ καιρὸς τυθῇς. Ἀντιφάνους (fr. 266 K.). Τίς δ' οὐχὶ Θανάτου μισθοφόρων, ὦ φιλτάτη, ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος; Μενάνδρου (fr. 732 K.). Κομψὸς στρατιώτης οὐδ' ἂν εἰ πλάττοι θεὸς οὐθεὶς γένοιτ' ἄν. Ἰσοκράτους πρὸς Δημόνικον (2, 6). Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ἐπεσκότησεν. Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (Plutarchi v. VII p. 116, 8 Bernard.). Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος αἴτιός ἐστιν ἀπονοίας· ὁ γὰρ ὄλεθρον αὐτοῦ προλαβὼν ὁμόσε χωρεῖ κινδύνοις. Ἀρχιδάμου. Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς θεασάμενος τὸν ἴδιον παῖδα Ἄγιν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις εἶπεν 'ἢ τῇ δυνάμει πρόσθες ἢ τοῦ θράσους ἄφελε'. Κλειτάρχου (fr. 26 Muell.). Κλείταρχος ὁ ἱστοριογράφος εἶπε 'πᾶσα τόλμη καὶ τὰ τῆς δυνάμεως ὑπερβαίνει μέτρα'. Πλουτάρχου ἐκ τοῦ Κατ' ἰσχύος (Plut. v. VII p. 129 Bernard.). Τί δέ σοι τοιοῦτον ἀγαθὸν εὐτυχεῖται μᾶλλον, ὡς ἕνεκα τούτου μητρυιὰν μὲν τῶν ἀνθρώπων, μητέρα δὲ τῶν ἀλόγων ζῴων γεγενῆσθαι τὴν φύσιν, μεγέθους καὶ δεδυκότα δικτύοις ἀνήγαγε· τοῦτ' ἐστὶν ἰσχύς. ἡ δὲ ἔτι μείζων, ὅταν γῆς περιόδους καὶ οὐρανοῦ μεγέθη καὶ ἀστέρων κύκλους διώκουσα μὴ κάμῃ· ταῦτ' ἦν Ἡρακλέους ἄξια. τίς γὰρ οὐκ ἂν βούλοιτο μᾶλλον Ὀδυσσεὺς εἶναι ἢ Κύκλωψ; Ἀράτου. Ἄρατος ὁ Σικυώνιος, ἐπαινοῦντός τινος ἄνθρωπον ἀπονενοημένον καὶ θρασὺν καὶ διὰ τοῦτο καὶ ἐν τοῖς πολέμοις ἐκπρεπῆ, 'διαφέρειν' ἔφη 'τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν εἶναι νομίζειν καὶ τὸ ζῆν τοῦ μηδενός.' Εὐσεβίου (fr. 55 Mull.). Ἄνθρωποι ἰσχὺν καὶ ῥώμην καὶ τάχος μοῦνα ἀσκέοντες, καὶ ὅκως ταῦτα ἔχοντες ἀπὸ μούνων τούτων εὐδοκιμέωσιν ἐσπουδακότες, τοῦ [δὲ] τῆς ψυχῆς ἐπιμέλεσθαι [οὗ] ἔκητι γινόμενοι ἀγνοεῦσι, [καὶ] τούτων μὲν ὁκόσα κοινὰ πρὸς θηρία ἔχουσι καὶ τῶν πολλῶν ἀσθενέστερα, τούτων μὲν ἐπιμελόμενοι, τοῦ δὲ ἐν ἑωυτοῖσι θειοτάτου καὶ κατότι αὐτοῖς ἔστιν εἰ οἷόν τε τοῖς θεοῖς ἐξομοι- Τοῦ αὐτοῦ (fr. 56 Mull.). Θάρσος τὸ πρὸς τὰ φοβερὰ σὺν λόγῳ αἴνεε· ἀνδρηίη γάρ· τὴν δὲ μετὰ ἀλογίης ἐπ' αὐτὰ ὁρμὴν θράσος νόμιζε

4.13 (Trag. adesp. 539 N. 2) Γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις τροφοί. (trag. adesp. 540 N. 2) Βουλαὶ τάδ' ἐξέπραξαν. οὐ χερῶν σθένος. Εὐριπίδου Ἀντιόπη (fr. 200 N. 2). Γνώμῃ γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλέον κακόν. Εὐριπίδου Αἰόλῳ (fr. 27 N. 2). Βραχύ τοι σθένος ἀνδρός, ἀλλὰ ποικιλίαι πραπίδων. Τοῦ αὐτοῦ Βελλεροφόντῃ (fr. 290 N. 2). Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ. Εὐριπίδου Παλαμήδει (fr. 581 N. 2). Στρατηλάται τἂν μυρίοι γενοίμεθα, σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ. Σοφοκλέους (fr. 853 N. 2). Εὐριπίδου Ῥήσῳ (105—8). Εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος ὡς δρᾶσαι χερί. ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι χερὶ πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας,

σὲ μὲν μάχεσθαι, τοὺς δὲ βουλεύειν καλῶς. Μενάνδρου (fr. 640 K.). Ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος, οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις. Εὐριπίδης Ἀρχελάῳ (fr. 243 N. 2). Ὀλίγον ἄλκιμον δόρυ κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος. Ἐν ταὐτῷ (fr. 242 N. 2). Ἔχει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν, εὐγενὴς ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν. Εὐριπίδου Ἐρεχθεῖ (fr. 352 N. 2). Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ στρατηλάτας χρή, τῶν θεῶν δὲ μὴ βίᾳ. Ἐν ταὐτῷ (fr. 353 N. 2). Οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν. Εὐριπίδου (fr. 1053 N. 2). Μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης (Eur. Belleroph. fr. 287 N. 2) Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών· μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὐντυγχάνων, τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς. Ἀγάθωνος (fr. 27 p. 768 N 2). Γνώμη δὲ κρεῖσσόν ἐστιν ἢ ῥώμη χερῶν. Εὐριπίδου Τημένῳ (fr. 743 N. 2). Τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς γνῶναι τὸν ἐχθρὸν ᾗ μάλισθ' ἁλώσιμος. Ἐν ταὐτῷ (fr. 744 N. 2). Ἄρξεις ἄρ' οὕτω· χρὴ δὲ τὸν στρατηλάτην ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν. Εὐριπίδου Τημενιδῶν (fr. 732 N. 2). Ῥώμη δέ γ' ἀμαθὴς πολλάκις τίκτει βλάβην. Εὐριπίδου Φοινίσσαις (599). Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων ἢ θρασὺς στρατηλάτης. Εὐριπίδου ἐκ Βελλεροφόντου (fr. 289 N. 2). Εὐριπίδου Ἑλένης (811). Εἴσῃ· τὸ τολμᾶν δ' ἀδύνατ' ἀνδρὸς οὐ σοφοῦ. Σοφοκλέους Ἀλεαδῶν (fr. 82 N. 2). Δοκῶ μέν, οὐδείς. ἀλλ' ὅρα μὴ κρεῖσσον ᾖ καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν. Εὐριπίδου Ἴωνι (1045 ss.). Τὴν δ' εὐσέβειαν εὐτυχοῦσι μὲν καλὸν τιμᾶν· ὅπου δὲ πολεμίους δρᾶσαι κακῶς θέλει τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος. Θουκυδίδου ἱστορίας α′ δημηγορίας Κορινθίων (124, 2). Ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον. Ἱστορίας δ′ δημηγορίας Δημοσθένους (10, 1). Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τόδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται. Ξενοφῶντος ἐν β′ τῆς Κύρου ἀναβάσεως (6, 10). Καὶ λέγειν αὐτὸν ἔφασαν ὡς δέοι τὸν στρατιώτην φοβεῖϊέναι εἰς τοὺς πολεμίους. Ξενοφῶντος ἐν γ′ Ἀπομνημονευμάτων (c. 1, 1. 5—11). Ἀκούσας δέ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεγε πρός τινα τῶν συνόντων, ὃν ᾐσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυχεῖν, ἵνα κἂν ἡμῶν τις ἢ ταξιαρχῇ ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν, λέξον ἡμῖν πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν. καὶ ὅς, Ἐκ τοῦ αὐτοῦ, ἔφη, εἰς ὅπερ καὶ ἐτελεύτα· τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ ἄλλ' οὐδὲν ἐδίδαξεν. Ἀλλὰ μήν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις καὶ μηχανικὸν καὶ ἐργαστικὸν καὶ ἐπιμελῆ καὶ καρτερικὸν καὶ ἀγχίνουν καὶ φιλόφρονά τε καὶ ὠμὸν καὶ ἁπλοῦν καὶ ἐπίβουλον καὶ φυλακτικόν τε καὶ κλέπτην καὶ προετικὸν καὶ ἅρπαγα καὶ φιλόδωρον καὶ πλεονέκτην καὶ ἀσφαλῆ καὶ ἐπιθετικόν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι. πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου, ὥσπερ λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως μὲν τὰ ξύλα. ὥσπερ ἐν οἰκοδομίᾳ συντίθεται, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα, οἰκία. Ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὦ Σώκρατες, ὅμοιον εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τοὺς πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς χείρους, ἵνα ὑπὸ μὲν τῶν ἄγωνται, ὑπὸ δὲ τῶν ὠθῶνται. Εἰ μὲν τοίνυν, ἔφη, καὶ διαγιγνώσκειν σε τοὺς ἀγαθοὺς καὶ τοὺς κακοὺς ἐδίδαξεν· εἰ δὲ μή, τί σοι ὄφελος ὧν ἔμαθες; οὐδὲ γὰρ εἴ σε ἀργύριον ἐκέλευσε πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, μέσον δὲ τὸ χείριστον, μὴ διδάξας διαγιγνώσκειν τό τε καλὸν καὶ τὸ κίβδηλον, οὐδὲν ἄν σοι ὄφελος ἦν. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. Τί οὖν οὐ σκοποῦμεν, ἔφη, πῶς ἂν αὐτῶν μὴ διαμάρτοιμεν; Βούλομαι, ἔφη ὁ νεανίσκος. Οὐκοῦν, ἔφη, εἰ μὲν ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυρωτάτους πρώτους καθιστάντες ὀρθῶς ἂν τάττοιμεν; Ἔμοιγε δοκεῖ. Τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα τοὺς

φιλοτιμοτάτους προτακτέον; Οὗτοι γοῦν εἰσιν, ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. οὐ εὐαίρετοι ἂν εἶεν. Ἀτάρ, ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅποι καὶ ὅπως χρηστέον ἑκάστῳ τῶν ταγμάτων; Οὐ πάνυ, ἔφη. Καὶ μὴν πολλά γ' ἐστὶ πρὸς ἃ οὔτε τάττειν οὔτε ἄγειν ὡσαύτως προσήκει. Μὰ Δί', ἔφη, οὐ διεσαφήνιζεν. Ἐν ταὐτῷ (III 2, 1—4). Ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ τῳ, Τοῦ ἕνεκα. 〈ἔφη,〉 Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι ὥσπερ τὸν ποιμένα δεῖ ἐπιμελεῖσθαι ὅπως σῶαί τε ἔσονται αἱ οἷες καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα τρέφονται, τοῦτ' ἔσται, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται καὶ τὰ ἐπιτήδεια ἕξουσι καί, οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δέ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν· ἢ τί δή ποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα εἰπών· ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής; ἆρά γε ὅτι αἰχμητής τε κρατερὸς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ' εἰ καὶ παντὶ τῷ στρατοπέδῳ τούτου αἴτιος εἴη, καὶ βασιλεὺς καὶ στρατεύονται δὲ πάντες ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος ᾖ, καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο αὐτοῖς ἡγεμόνες ὦσιν. δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγόν· καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν οὔτε αἴσχιον τοῦ ἐναντίου. καὶ οὕτως ἐπισκοπῶν τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετὴ τὰ μὲν ἄλλα περιῄρει, κατέλιπε δὲ τὸ εὐδαίμονας ποιεῖν ὧν ἂν ἡγῆται. Ἐν ταὐτῷ (c. 4, 7—12). Καὶ ὁ Νικομαχίδης, Μὰ Δί', ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ᾤμην ἐγώ σου ἀκοῦσαι, ὡς οἱ ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ στρατηγοὶ ἂν εἶεν. Ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν πότερον τὰ αὐτά ἐστιν ἢ διαφέρει τι. Πάνυ γε, ἔφη. Οὐκοῦν, ἔφη, τὸ μὲν τοὺς ἀρχομένους κατηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς κατασκευάζειν ἀμφοτέρων ἐστὶν ἔργον; Καὶ μάλα ἔφη. Τί δέ; τὸ προστάττειν ἕκαστα τοῖς ἐπιτηδείοις πράττειν; Καὶ τοῦτο, ἔφη. Καὶ μὴν 〈τὸ〉 τοὺς κακοὺς κολάζειν καὶ τοὺς ἀγαθοὺς τιμᾶν ἀμφοτέροις, οἶμαι, προσήκει. Πάνυ μὲν οὖν, ἔφη. Τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι πῶς οὐκ ἀμφοτέροις; Καὶ τοῦτ', ἔφη. Συμμάχους δὲ καὶ βοηθοὺς μὲν οὖν, ἔφη. Ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶναι προσήκει; Σφόδρα γ', ἔφη. Οὐκοῦν καὶ ἐπιμελεῖς καὶ φιλοπόνους ἀμφοτέρους εἶναι προσήκει περὶ τὰ αὐτῶν ἔργα; Ταῦτα μέν, ἔφη, πάντα ὁμοίως καὶ ἀμφοτέρων ἐστίν· ἀλλὰ τὸ μάχεσθαι οὐκέτι ἀμφοτέρων. Ἀλλ' ἐχθροί γέ τοι ἀμφοτέροις γίγνονται; Καὶ μάλα, ἔφη, τοῦτό γε. Οὐκοῦν 〈τὸ〉 περιγενέσθαι τούτων ἀμφοτέροις συμφέρει; Πάνυ γε, ἔφη· ἀλλ' ἐκεῖνο παριεῖς, ἂν δέῃ μάχεσθαι, τί ὠφελήσει ἡ οἰκονομική; Ἐνταῦθα δήπου καὶ πλεῖστον, ἔφη. Ὁ γὰρ ἀγαθὸς οἰκονόμος, εἰδὼς ὅτι οὐδὲν οὕτω λυσιτελές τε καὶ κερδαλέον ἐστὶν ὡς τὸ μαχόμενον τοὺς πολεμίους νικᾶν, οὐδὲ οὕτως ἀλυσιτελές τε καὶ ζημιῶδες ὡς τὸ ἡττᾶσθαι, προθύμως μὲν τὰ πρὸς τὸ νικᾶν συμφέροντα ζητήσει καὶ παρασκευάσεται, ἐπιμελῶς δὲ τὰ πρὸς τὸ ἡττᾶσθαι φέροντα σκέψεται καὶ φυλάξεται, ἐνεργῶς δ', ἐὰν τὴν παρασκευὴν ὁρᾷ νικητικὴν οὖσαν, μαχεῖται, οὐχ ἥκιστα δὲ τούτων, ἐὰν ἀπαράσκευος ᾖ, φυλάξεται συνάπτειν μάχην. μὴ καταφρόνει, ἔφη, ὦ Νικομαχίδη, τῶν οἰκονομικῶν ἀνδρῶν· ἡ γὰρ τῶν ἰδίων ἐπιμέλεια πλήθει μόνον διαφέρει τῆς τῶν κοινῶν, τὰ δὲ ἄλλα παραπλήσια ἔχει. Ἐν ταὐτῷ (c. 3, 1. 2—11). Καὶ ἱππαρχεῖν δέ τινι ᾑρημένῳ οἶδά ποτε αὐτὸν δὴ λέξον ἡμῖν τοῦτο πρῶτον, ὅπως διανοῇ τοὺς ἵππους βελτίους ποιῆσαι. Καὶ ὅς, Ἀλλὰ τοῦτο μέν, ἔφη, οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι ἀλλὰ ἰδίᾳ ἕκαστον δεῖν τοῦ ἑαυτοῦ ἵππου ἐπιμελεῖσθαι. Ἐὰν οὖν, ἔφη ὁ Σωκράτης, παρέχωνταί σοι τοὺς ἵππους οἱ μὲν οὕτω κακόποδας ἢ κακοσκελεῖς ἢ ἀσθενεῖς, οἱ δὲ οὕτως ἀτρόφους, ὥστε μὴ δύνασθαι ἀκολουθεῖν, οἱ δὲ οὕτως ἀναγώγους ὥστε μὴ μένειν ὅπου ἂν σὺ τάξῃς, οἱ δὲ οὕτω λακτιστὰς ὥστε μηδὲ τάξαι δυνατὸν εἶναι, τί σοι τοῦ ἱππικοῦ ὄφελος ἔσται; ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος ἀγαθόν τι ποιῆσαι τὴν πόλιν; Ἀλλὰ καλῶς τε λέγεις, ἔφη, καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι. Τί δέ; τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις, ἔφη, βελτίονας

ποιῆσαι; Ἔγωγ', ἔφη. Οὐκοῦν πρῶτον μὲν ἀναβατικωτέρους ἐπὶ τοὺς ἵππους ποιήσεις; Δεῖ γοῦν, ἔφη· καὶ γὰρ εἴ τις αὐτῶν καταπέσοι, μᾶλλον ἂν οὕτω σῴζοιτο. Τί γάρ; ἐάν που κινδυνεύειν δέῃ, πότερον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις, ἔνθα περ εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις ἐν οἵοις περ οἱ πόλεμοι γίγνονται; Βέλτιον γοῦν ἔφη, καὶ τοῦτο. Τί δέ; τοῦ βάλλειν ὡς πλείστους ἀπὸ τῶν ἵππων ἐπιμέλειάν τινα ποιήσῃ; Ἔφη, καὶ πων οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων οὐδὲν ὄφελος. Ἀληθῆ λέγεις, ἔφη· ἀλλὰ πῶς ἄν τις μάλιστα, ἔφη, ὦ Σώκρατες, ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο; Ἐκεῖνο μὲν δήπου οἶσθα, ὅτι ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι οὓς ἂν ἡγῶνται βελτίστους εἶναι. καὶ γὰρ ἐν νόσῳ ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι. τούτῳ μάλιστα πείθονται, καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυβερνητικώτατον, καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτατον. Καὶ μάλα, ἔφη. Οὐκοῦν εἰκός, ἔφη, καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται ἃ δεῖ ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι. Ἐὰν οὖν, ἔφη, ἐγώ, ὦ Σώκρατες, βέλτιστος ὢν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; Ἐάν γε πρὸς τοῦτο, ἔφη, διδάξῃς αὐτοὺς ὡς τὸ πείθεσθαί σοι κάλλιόν τε καὶ σωτηριώτερον αὐτοῖς ἔσται. Πῶς οὖν, ἔφη, τοῦτο διδάξω; Πολὺ νὴ Δί', ἔφη, ῥᾷον ἢ εἴ σε δέοι διδάσκειν ὡς τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά ἐστι. Λέγεις, ἔφη, σὺ τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ δύνασθαι λέγειν; Σὺ δ' ᾧου, ἔφη, χρῆναι σιωπῇ ἱππαρχεῖν; ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστά- Ἡροδότου ἱστορίας ζ′ (49). Ὁ δὲ Ἀρτάβανος ἀμείβετο λέγων ‘ὦ βασιλεῦ, οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχοι, μέμφοιτ' ἂν οὔτε τῶν νεῶν τὸ πλῆθος· ἥν τε πλεῦνας συλλέξῃς, τὰ δύο τοι τὰ λέγω πολλῷ ἔτι πολεμιώτερα γίνεται. τὰ δὲ δύο ταῦτα ἐστὶ γῆ τε καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης ἔστι λιμὴν τοσοῦτος, ὅστις ἐγειρομένου χειμῶνος δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν φερέγγυος ἔσται διασῶσαι τὰς νέας. καίτοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπειρον παρ' ἣν δὴ κομίεαι· οὔκων δὴ ἐόντων τοι λιμένων ὑποδεξίων, μάθε ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ 〈οἱ〉 ἄνθρωποι τῶν συμφορέων. καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου τὸ ἕτερον ἔρχομαι ἐρέων. γῆ δὲ πολεμίη τῇδέ τοι καθίσταται. εἰ θέλει τοι μηδὲν ἀντίξοον καταστῆναι, τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν προβαίνῃς ἑκατέρω, τὸ μὸν τέξεσθαι. ἀνὴρ δὲ οὕτω ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀρρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη.‘ Θουκυδίδου ἱστορίας δ′ δημηγορίας Ἑρμοκράτους (61, 5). Πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. Δημοσθένους Περὶ τῆς Ῥοδίων Ἐλευθερίας (XV p. 193). Οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἂν καὶ τῶν ἑαυτοῦ, ἀλλ' ὑπὲρ μὲν ὧν ἂν ἐλαττῶνται μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν, ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν οὐχ οὕτως, ἀλλ' ἐφίενται μέν, ἐάν τις ἐᾷ, ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας ἑαυτοὺς ἡγοῦνται. Θουκυδίδου ἱστορίας δ′ δημηγορίας Παγώνδου (92, 5). Εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥσπερ Ἀθηναῖοι νῦν, ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρατεύειν, τὸν δὲ καὶ ἔξω ὅρων προαπαντῶντα καί, ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα ἧσσον ἑτοίμως κατέχειν. Θουκυδίδου ἱστορίας ε′ δημηγορίας Βρασίδου (9, 9). Καὶ νομίσατε τρία εἶναι τοῦ καλῶς πολεμεῖν, τὸ ἐθέλειν καὶ 〈τὸ〉 αἰσχύνεσθαι καὶ τὸ τοῖς ἄρχουσι πείθεσθαι. Τοῦ αὐτοῦ ἱστορίας ε′ δημηγορίας Ἀθηναίων (103, 1). Ἐλπὶς δὲ κινδύνου παραμύθιον οὖσα τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε, τοῖς δὲ ἐς ἅπαν τὸ ὑπάρχον ἀναρριπτοῦσι, δάπανος γὰρ φύσει, ἅμα τε γιγνώσκεται σφαλέντων καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν οὐκ ἐλλείπει. 〈Τοῦ αὐτοῦ〉 ἱστορίας ε′ δημηγορίας Ἀθηναίων (102). Ἀλλ' ἐπιστάμεθα 〈τὰ〉 τῶν πολεμίων ἔστιν ὅτε κοινοτέρας τὰς τύχας λαμβάνοντα ἢ κατὰ τὸ

διαφέρον ἑκατέρων πλῆθος. Τοῦ αὐτοῦ ἱστορίας ε′ δημηγορίας Βρασίδου (9, 8). Τὸ γὰρ ἐπιὸν ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου. Ἐκ τῆς Νικολάου ἐθῶν συναγωγῆς (fr. hist. gr. III p. 458 Muell.) Αὐταριᾶται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς Τοῦ αὐτοῦ (ibid. p. 459). Τριβαλλοὶ τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται· τὴν πρώτην τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων, τὴν τρίτην τῶν ἱππέων, τελευταίαν τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι. Ἀντισθένους (Plut. De Alexandri fort. aut virt. p. 336 A). Ἀντισθένης ἔλεγεν, ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθὰ παρεῖναι χωρὶς ἀνδρείας· γίγνεται γὰρ οὕτως οὐ τῶν ἐχόντων ἀλλὰ κρατούντων. Δημοσθένους κατὰ Φιλίππου (IV p. 51). Αἰσχρόν ἐστι φενακίζειν ἑαυτοὺς καὶ ἅπαντα ἀναβαλλομένους, ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερεῖν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ᾽ αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων, καὶ τὸν αὐτὸν τρόπον ὥσπερ τῶν στρατευμάτων ἀξιώσειέ τις ἂν τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς βουλευομένους ἡγεῖσθαι, ἵν᾽ ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ μὴ τὰ συμβάντα ἀναγκάζωνται διώκειν. Πλουτάρχου ἐκ τοῦ Εἰ πολιτευτέον πρεσβυτέρῳ (p. 788 D—E). Οἱ ῥήτορες Ἀθήνησιν Ἰφικράτει καὶ Τιμοθέῳ Χάρητα παρέφερον ἰσχυρὸν ὄντα καὶ τοιοῦτον ἠξίουν εἶναι τὸν στρατηγόν. ὁ δὲ Τιμόθεος ‘οὐ μὰ τοὺς θεούς‘ εἶπεν ‘ἀλλὰ τοιοῦτον μὲν εἶναι τὸν μέλλοντα τῷ στρατηγῷ τὰ στρώματα κομίζειν, τὸν δὲ στρατηγὸν “ἅμα πρόσσω καὶ ὀπίσσω” ὁρᾶν.‘ Ἀντιγόνου (Ps.—Plut. reg. et imp. apophth. p. 183 D). Ἀντίγονος ὑποχωρῶν ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον. Λαμάχου (Ps.—Plut. reg. et imp. apophth. p. 186 F). Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτάνοντι· τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν ‘οὐκ ἔστιν‘ εἶπεν ‘ἐν πολέμῳ δὶς ἁμαρτάνειν.‘ Ἀντιγόνου. Ἀντιγόνος ἐρωτηθείς, πῶς ἄν τις ἐπιθοῖτο τοῖς πολεμίοις, εἶπεν Δημάδης. Δημάδης ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου καὶ συσταθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου ‘ποῦ ἡ εὐγένεια καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως;‘ ‘ἔγνως ἄν‘ ἔφη ‘ὦ βασιλεῦ, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει‘. Ἀλεξάνδρου. Ἀλέξανδρος ἐρωτηθεὶς ὑπό τινος, πῶς ἐν ὀλίγῳ χρόνῳ τῆς οἰκουμένης ἐκυρίευσεν, εἶπε ‘βουλῇ καὶ μύθοισι καὶ ἠπεροπηίδι τέχνῃ‘. Ἀγησιλάου. Ἀγησίλαος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐρωτηθεὶς εὔνοιαν, πρὸς δὲ τοὺς καιροὺς λογισμόν.‘ Ἐπαμινώνδου. Ἐπαμινώνδας ὁ Θηβαῖος ἰδὼν στρατόπεδον μέγα καὶ καλὸν στρατηγὸν οὐκ ἔχον ‘ἡλίκον‘ ἔφη ‘θηρίον κεφαλὴν οὐκ ἔχει.‘ Ἰφικράτους (Ps.—Plut. reg. et imp. apophth. p. 187 A). Ἰφικράτης ἐν συμμάχῳ χώρᾳ στρατοπεδεύων καὶ χάρακα βαλλόμενος καὶ τάφρον ὀρύττων, πρὸς τὸν εἰπόντα ‘τί γὰρ φοβούμεθα;‘ χειρίστην ἔφη φωνὴν στρατηγοῦ εἶναι τὴν ‘οὐκ ἂν προσεδόκησα‘. Τοῦ αὐτοῦ (Ps.—Plut. reg. et imp. apophth. p. 187 B). Ῥήτορος δέ τινος ἐρωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ ‘τίς ὢν μέγα φρονεῖς, πότερον ἱππεὺς ἢ ὁπλίτης ἢ τοξότης ἢ πελταστής;‘ ‘οὐδείς‘ ἔφη ‘τούτων, ἀλλ᾽ ὁ τούτοις ἐπιτάττειν πᾶσιν ἐπιστάμενος.‘ Χαβρίου (Ps.—Plut. ibid. p. 187 D). Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς μάλιστα γιγνώσκοντας τὰ τῶν πολεμίων. Θουκυδίδου ἱστορίας γ′ δημηγορίας Κλέωνος (48). Ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἀντιπάλους κρείσσων ἐστὶν ἢ μετ᾽ ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών. Τοῦ αὐτοῦ ἱστορίας δ′ δημηγορίας Βρασίδου (86, 6). Ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιόν τι τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ. Θουκυδίδου 〈ἱστορίας ς′〉 δημηγορίας Ἀλκιβιάδου (91, 6). Βεβαιότατα δ᾽ ἄν τις τοὺς πολεμίους οὕτω βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι. εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φο- Πύρρου. Πύρρος ἐπιζητούντων τινῶν παρὰ πότον πότερος κρείσσων αὐλητής, Ἀντιγενίδας ἢ Σάτυρος, ‘ἐμοὶ μέν‘

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶπε, ‘στρατηγὸς Πολυσπέρχων‘ διδάσκων ὅτι ἀναγκαῖα δεῖ ζητεῖν καὶ μὴ ἄρχηστα. Ἀννίβαλος. Ἀννίβαλ ἀκούσας Στωικοῦ τινος ἐπιχειροῦντος ὅτι ὁ σοφὸς μόνος στρατηγικός ἐστιν, ἐγέλασε νομίζων ἀδύνατον εἶναι ἐκτὸς τῆς δι’ ἔργων ἐμπειρίας τὴν ἐν τούτοις ἐπιστήμην σχεῖν. Λυκούργου. Λυκοῦργος ἐκέλευσε Λακεδαιμονίοις 〈μὴ〉 πολλάκις τοῖς αὐτοῖς πολεμεῖν, ἵνα μὴ ἄκοντας πολεμεῖν διδάξωσιν. Πύρρου. Πύρρος πρὸς τὸν ὑπισχνούμενον τὰ τακτικὰ διδάξειν ἐν δὲ παρατάξει οὐδέποτε γεγονότα, οὐκ ἔφη δεῖσθαι Φιλίππου. Φίλιππος ἔλεγε κρεῖττον εἶναι στρατόπεδον ἐλάφων λέοντος στρατηγοῦντος ἢ λεόντων ἐλάφου στρατηγοῦντος. Ἰφικράτους. Ἰφικράτης τὸ στράτευμα οὕτως ἔφασκε δεῖν συντετάχθαι ὡς ἓν σῶμα, θώρακα μὲν ἔχον τὴν φάλαγγα, χεῖρας δὲ τοὺς ψιλούς, πόδας δὲ τοὺς ἱππέας, κεφαλὴν δὲ τὸν στρατηγόν. Τιμοθέου. Τιμόθεος πρὸς τὸν ἐρόμενον ᾧ διαφέρει στρατηγικὴ ῥητορικῆς ‘ᾧ πόλεμοσ‘ ἔφη ‘εἰρήνησ‘. Φιλίππου. Φίλιππος ἐρωτώμενος οὕς τινας μάλιστα φιλεῖ καὶ οὕς τινας μάλιστα μισεῖ ‘τοὺς μέλλοντασ‘ ἔφη ‘προδιδόναι μάλιστα φιλῶ, τοὺς δ’ ἤδη προδεδωκότας μάλιστα μισῶ‘. Εὐδαμίδου (Ps.—Plut. reg. et imp. apophth. p. 192 A). Εὐδαμίδας ἀκούσας φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀγαθὸς στρατηγὸς ὁ σοφός ἐστιν ‘ὁ μὲν λόγοσ‘ ἔφη θαυμαστός, ὁ δὲ λέγων οὐ περισεσάλπικται.‘ Ξενοφῶντος ἐν τῷ ε′ τῆς Κύρου παιδείας (c. 3, 9). Οὔτε γὰρ ἂν φίλους τις ποιήσειεν ἄλλως πως πλείονα ἀγαθὰ ἐν πολέμῳ ἢ πολέμιος δοκῶν εἶναι οὔτ’ ἂν ἐχθροὺς πλείω τις βλάψειεν ἄλλως πως ἢ φίλος δοκῶν εἶναι.

4.14 Εὐριπίδου Κρεσφόντου (fr. 453 N 2). ΧΟΡ. Εἰρήνη βαθύπλουτε καὶ καλλίστα μακάρων θεῶν, ζῆλός μοι σέθεν ὡς χρονίζεις. δέδοικα δὲ μὴ πρὶν πόνοις ὑπερβάλῃ με γῆρας, πρὶν σὰν χαρίεσσαν προσιδεῖν ὥραν καὶ καλλιχόρους ἀοιδὰς φιλοστεφάνους τε κώμους ἴθι μοι, πότνα, πόλιν. Τὰν δ’ ἐχθρὰν στάσιν εἶργ’ ἀπ’ οἴκων τὰν μαινομέναν τ’ ἔριν Ἀριστοφάνους Γεωργῶν (fr. 109 K.). Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικόν, εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο σκάψαι κἀποκλάσαι καὶ λουσαμένῳ διελκύσαι τῆς τρυγὸς ἄρτον λιπαρὸν καὶ ῥάφανον φέροντι. Βακχυλίδου Παιάνων (fr. 4 Blass 2). Τίκτει δέ τε θνατοῖσιν εἰρήνα μεγάλα πλοῦτον [καὶ] μελιγλώσσων 〈τ’〉 ἀοιδᾶν ἄνθεα, δαιδαλέων τ’ ἐπὶ βωμῶν θεοῖσιν αἴθεσθαι βοῶν ξανθᾷ φλογὶ μηρί’ εὐτρίχων τε μήλων, γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλειν. πόρπαξιν αἰθᾶν ἀραχνᾶν ἱστοὶ πέλονται ἔγχεά τε λογχωτὰ ξίφεά τ’ ἀμφάκεα δάμναται ... χαλκέων δ’ οὐκ ἔστι σαλπίγγων κτύπος, οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων, ἀῷος ὃς θάλπει κέαρ. συμποσίων δ’ ἐρατῶν βρίθοντ’ ἀγυιαὶ παιδικοί θ’ ὕμνοι φλέγονται. Εὐριπίδου Ἐρεχθέως (fr. 369 N. 2). ΧΟΡ. Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχνᾳ, μετὰ δ’ ἡσυχίας πολιῷ γήρᾳ συνοικοίην, ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας Θρηίκιον πέλταν πρὸς Ἀθάνας περικίοσιν ἀγκρεμάσας θαλάμοις δέλτων τ’ ἀναπτύσσοιμι γῆρυν, Φιλήμονος ἐκ Πύρρου (fr. 71 K.). Οἱ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα, περὶ τοῦτό τ’ αὐτοῖς πολὺς ἀναλοῦται χρόνος, τί ἐστιν ἀγαθόν, κοὐδὲ εἷς εὕρηκέ πω, τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι, καὶ πλέκουσι πάντα μᾶλλον ἢ τί τἀγαθόν. ἐν ἀγρῷ διατρίβων τήν τε γῆν σκάπτων ἐγὼ νῦν εὗρον· εἰρήνη ’στιν· ὦ Ζεῦ φίλτατε, τῆς ἐπαφροδίτου καὶ φιλανθρώπου θεοῦ. γάμους, ἑορτάς, συγγενεῖς, παῖδας, φίλους, πλοῦτον, ὑγίειαν, σῖτον, οἶνον, ἡδονὴν αὕτη δίδωσι· ταῦτα πάντ’ ἂν ἐκλίπῃ, τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος. Εὐριπίδου (Suppl. 481—493). Ὅταν γὰρ ἔλθῃ πόλεμος εἰς ψῆφον λεώ, οὐδεὶς ἔθ’ αὑτοῦ θάνατον ἐκλογίζεται, τὸ δυστυχὲς δὲ τοῦτ’ ἐς ἄλλον ἐκτρέπει. εἰ δ’ ἦν παρ’ ὄμμα θάνατος ἐν ψήφου φορᾷ, οὐκ ἄν ποθ’ Ἑλλὰς δορυμανὴς ἀπώλλυτο. καίτοι δυοῖν γὰρ πάντες ἄνθρωποι λόγοιν ἢ πρῶτα μὲν Μούσαισι προσφιλεστάτη, γόοισι δ’ ἐχθρά, τέρπεται δ’ εὐπαιδίᾳ, χαίρει δὲ πλούτῳ. ταῦτ’ ἀφέντες οἱ κακοὶ πολέμους ἀναιρούμεσθα καὶ τὸν ἥσσονα δουλούμεθ’ ἄνδρες ἄνδρα καὶ πόλις πόλιν. Ἀριστοφάνους Νήσων (fr. 387 K.). Ὦ μῶρε, μῶρε, ταῦτα πάντ’ ἐν τῇδ’ ἕνι· οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ γηδίῳ ἀπαλλαγέντα τῶν κατ’ ἀγορὰν πραγμάτων, κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν, ἔπειτ’

ἀκούειν προβατίων βληχωμένων τρυγός τε φωνὴν εἰς λεκάνην ὠθουμένης, ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις, καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια τριταῖα, πολυτίμητα, βεβασανισμένα ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ. Τοῦ αὐτοῦ Εἰρήνης (520 s.). Ὦ πότνια βοτρυόδωρε, τί προσείπω ς' ἔπος; πόθεν λάβοιμ' ἂν ῥῆμα μυριάμφορον; Μενάνδρου (fr. 719 K.). Ἡροδότου ἱστορίας α′ (87). Οὐδεὶς γὰρ οὕτως ἀνόητός ἐστιν, ὅστις πόλεμον πρὸ Ἀριστοφάνους Εἰρήνης (fr. 294 K.). Τῆς πᾶσιν ἀνθρώποισιν εἰρήνης φίλης πιστὴ τροφός, ταμία, συνεργός, ἐπίτροπος, θυγάτηρ, ἀδελφή· πάντα ταῦτ' ἐχρῆτό μοι. — Σοὶ δ' ὄνομα δὴ τί ἐστιν; — Ὅ τι; Γεωργία. (pac. superstitis 556 s.) Ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα, ἄσμενός ς' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους. Μενάνδρου Ἀδελφῶν (fr. 13 K.). τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν. Ἄμφιδος Ἐρίθων (fr. 17 K.). Εἶτ' οὐχὶ χρυσοῦν ἐστι πρᾶγμ' ἐρημία; ὁ πατήρ γε τοῦ ζῆν ἐστιν ἀνθρώποις ἀγρός, πενίαν τε συγκρύπτειν ἐπίσταται μόνος, ἄστυ δὲ θέατρόν [ἐστιν] ἀτυχίας σαφῶς γέμον. Μενάνδρου Πλοκίῳ (fr. 408 K.). Ἆρ' ἐστὶν ἀρετῆς καὶ βίου διδάσκαλος ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός. Φωκυλίδου (fr. 7 B.). Χρηίζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ, ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι. Μενάνδρου Ἀνεψιοί (fr. 63 K.). Τὰ κακῶς τρέφοντα χωρί' ἀνδρείους ποιεῖ. Ἀριστοφάνους Ἀχαρνέων (32 ss.). Ἀποβλέπων εἰς τὸν ἀγρὸν εἰρήνης ἐρῶν στυγῶ μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶ, οὐκ ὄξος [ὄψον] οὐκ ἔλαιον, οὐδ' ᾐδη πρίω, ἀλλ' αὐτὸς ἔφερε πάντα χώ πρίων ἀπῆν. Μενάνδρου (fr. 794 K.). Ἀγροῖκος εἶναι προσποιεῖ πονηρὸς ὤν. Ἀράτου Φαινομένων (108 ss.). Οὔπω λευγαλέου ποτὲ νείκεος ἠπίσταντο οὐδὲ διακρίσιος περιμεμφέος οὐδὲ κυδοιμοῦ, αὔτως δ' ἔζωον· χαλεπὴ δ' ἀπέκειτο θάλασσα, καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον, ἀλλὰ βόες καὶ ἄροτρα καὶ αὐτή, πότνια λαῶν, μυρία πάντα παρεῖχε Δίκη, δώτειρα δικαίων. Μενάνδρου Ὑδρία (fr. 466 K.). Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους 〈τρόπους〉 ἐρημία. Ἀριστοφάνους Νεφελῶν (43 ss.). Ἐμοὶ γὰρ ἦν ἀγροῖκος ἥδιστος βίος, εὐρωτιῶν, ἀκόρητος, εἰκῆ κείμενος, βρύων μελίτταις καὶ προβάτοις καὶ στεμφύλοις. Εὐριπίδου Ἀντιόπης (fr. 188 N. 2). Τοιαῦτ' ἄειδε, καὶ δόξεις φρονεῖν, σκάπτων, ἀρῶν γῆν, ποιμνίων ἐπιστατῶν, ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα. Εὐριπίδου Βουτημένῳ (fr. 742 N.). Φιλήμονος (fr. 105 K.). Δικαιότατον κτῆμ' ἐστὶν ἀνθρώποις ἀγρός· ὧν ἡ φύσις δεῖται γὰρ ἐπιμελῶς φέρει, πυρούς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι. τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ εἰς τὸν βίον. Σωκράτους. Ὁ Σωκράτης τὸ τῆς Ἀμαλθείας κέρας ἐξηγούμενος τοιαύτης τινὸς ἀναφορᾶς ἠξίωσεν· εἶναι γὰρ σύμβολον. ἂν μή τις ᾖ μάλθων ἀλλὰ ἐργάτης, πάντα ἕξειν τἀγαθά. κατὰ μὲν τὴν ἀμάλθειαν τοῦ μὴ μάλθωνος ταττομένου, κατὰ δὲ τὸ κέρας τοῦ βοὸς ἐργατικωτάτου ὄντος τὸν ἐργάτην ἐνσημαίνεσθαι· βότρυς δὲ ἐν τῷ κέρατι εἶναι καὶ τὰ ὅμοια, ὅτι ἐν τῇ γεωργίᾳ πάντα ἔνεστιν ὧν χρείαν ἔχομεν. διὸ καὶ ἔχοντες αὐτὸ εἰσάγονται ὅ τε ἀγαθὸς Δαίμων καὶ ἡ ἀγαθὴ Τύχη. Ξενοφῶντος (conviv. 2, 24). Οἶνος τὰς μὲν λύπας ὥσπερ μανδραγόρας ἄνδρα κοι- Μουσωνίου ἐκ τοῦ Τίς ὁ φιλοσόφῳ προσήκων πόρος (C. Musonii rel. p. 57 H.). Ἔστι καὶ ἕτερος πόρος οὐδὲν τούτου κακίων, τάχα δὲ καὶ ἀμείνων νομισθεὶς ἂν οὐκ ἀλόγως ἀνδρί γ' εὐρώστῳ τὸ σῶμα, ὁ ἀπὸ γῆς, ἄν τ' οὖν ἰδίαν ἔχῃ τις ἄν τε καὶ μή. πολλοὶ γὰρ δὴ καὶ ἀλλοτρίαν γῆν γεωργοῦντες, ἢ δημοσίαν ἢ ἰδιωτικήν, δύνανται τρέφειν οὐ μόνον αὐτούς, καὶ τέκνα δὲ καὶ γυναῖκας· ἔνιοί γε δὴ καὶ εἰς ἄγαν ἀπὸ τούτου εὐποροῦσιν, αὐτουργικοὶ καὶ φιλόπονοι ὄντες. ἀμείβεται γὰρ ἡ γῆ κάλλιστα καὶ δικαιότατα τοὺς ἐπιμελομένους αὐτῆς, πολλαπλάσια ὧν λαμβάνει διδοῦσα καὶ ἀφθονίαν παρέχουσα πάντων τῶν ἀναγκαίων πρὸς τὸν βίον τῷ βουλομένῳ πονεῖν, καὶ ταῦτα μὲν σὺν τῷ πρέποντι, σὺν αἰσχύνῃ δ' οὐδὲν αὐτῶν. οὐ γάρ ἐστιν ἀνθρώπων οὐδεὶς μὴ θρυπτικός γε μηδὲ μαλακὸς ὤν, ὃ ἂν φαίη τῶν γεωργικῶν ἔργων 〈ὁτι〉 οὖν αἰσχρὸν ἢ ἀνάρμοστον ἀνδρὶ ἀγαθῷ εἶναι. πῶς μὲν γὰρ οὐ καλὸν τὸ φυτεύειν; πῶς δὲ τὸ ἀροῦν; πῶς δὲ τὸ ἀμπελουργεῖν, τὸ δὲ σπείρειν, τὸ δὲ θερίζειν, τὸ δὲ ἀλοᾶν, οὐ πάντ' ἐλευθέρια ταῦτα καὶ ἀνδράσιν ἀγαθοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρέποντα; καὶ μὴν τὸ ποιμαίνειν ὥσπερ Ἡσίοδον οὐ κατῄσχυνεν οὐδ' ἐκώλυεν εἶναι θεοφιλῆ τε καὶ μουσικόν, οὕτως οὐδ' ἂν ἄλλον οὐδένα διανοεῖσθαί τι καὶ ζητεῖν παιδείας ἐχόμενον. ὅσα μὲν γὰρ ἔργα πάνυ ἐντείνει τὸ σῶμα καὶ κάμπτει, ταῦτα καὶ τὴν ψυχὴν ἀναγκάζει πρὸς αὐτοῖς εἶναι μόνοις ἢ μάλιστα συνεντεινομένην τῷ σώματι· ὅσα δὲ τῶν ἔργων ἐφίησι μὴ ἄγαν ἐντετάσθαι τὸ σῶμα, ταῦτ' οὐκ ἀπείργει τὴν ψυχὴν ἐκλογίζεσθαί τι τῶν κρειττόνων κἀκ τῶν τοιούτων λογισμῶν αὐτὴν αὑτῆς γίνεσθαι σοφωτέραν, οὗ δὴ καὶ μάλιστα πᾶς φιλόσοφος ἐφίεται. διὰ ταῦτ' ἐγὼ τὴν ποιμενικὴν ἀσπάζομαι μάλιστα· εἴ γε μὴν ἅμα φιλοσοφεῖ τις καὶ γεωργεῖ, οὐκ ἄλλον ἂν παραβάλοιμι τούτῳ βίον οὐδὲ πορισμὸν ἕτερον προτιμήσαιμι ἄν. πῶς μὲν γὰρ οὐ κατὰ φύσιν μᾶλλον ἀπὸ γῆς, ἣ τροφός τε καὶ μήτηρ ἐστὶν ἡμῶν, ἢ ἀπ' ἄλλου του τρέφεσθαι; πῶς δ' οὐκ ἀνδρικώτερον τοῦ καθῆσθαι ἐν πόλει, ὥσπερ οἱ σοφισταί, τὸ ζῆν ἐν χωρίῳ; πῶς δ' οὐχ ὑγιεινότερον τοῦ σκιατροφεῖσθαι τὸ ἔξω διαιτᾶσθαι; τί δὲ ἐλευθεριώτερον, αὐτὸν αὑτῷ μηχανᾶσθαι τὰ ἀναγκαῖα ἢ παρ' ἑτέρων λαμβάνειν; ἀλλὰ φαίνεται τὸ μὴ δεῖσθαι ἄλλου πρὸς τὰς χρείας τὰς αὑτοῦ πολὺ σεμνότερον ἢ τὸ δεῖσθαι. οὕτως ἄρα καλὸν καὶ εὐδαιμονικὸν καὶ θεοφιλὲς τὸ ζῆν ἀπὸ γεωργίας ἐστί, σύν γε τῷ καλοκἀγαθίας μὴ ὀλιγωρεῖν. ὥστε Μύσωνα τὸν Χηναῖον ὁ θεὸς ἀνεῖπε σοφὸν καὶ τὸν Ψωφίδιον Ἀγλαὸν εὐδαίμονα προσηγόρευσε, χωριτικῶς ἑκάτερον αὐτῶν βιοῦντα καὶ αὐτουργίᾳ χρώμενον καὶ τῆς ἐν ἄστει διατριβῆς ἀπεχόμενον. ἆρ' οὖν οὐκ ἄξιον ζηλοῦν τε καὶ μιμεῖσθαι τούτους καὶ περιέχεσθαι σπουδῇ τοῦ γεωργεῖν; Τί οὖν; 'οὐ δεινόν' φαίη τις ἂν ἴσως 'ἄνδρα παιδευτικὸν καὶ δυνάμενον προβιβάζειν νέους εἰς φιλοσοφίαν ἐργάζεσθαι γῆν καὶ τῷ σώματι πονεῖν τοῖς χωρίταις παραπλησίως;' Ναί. δεινὸν ἂν τοῦτο τῷ ὄντι ἦν, εἴπερ ἐκώλυεν ἡ ἐργασία τῆς γῆς φιλοσοφεῖν ἢ ἄλλους πρὸς φιλοσοφίαν ὠφελεῖν. νῦν δὲ καὶ μᾶλλον ἄν μοι δοκοῦσιν ὠφελεῖσθαι οἱ νέοι οὐκ ἐν πόλει τῷ διδασκάλῳ συνόντες οὐδ' ἐν τῇ διατριβῇ ἀκούοντες αὐτοῦ λέγοντος, ἀλλ' ἐργαζόμενον ἐπὶ τῆς ἀγροικίας ὁρῶντες καὶ ἔργῳ ἐνδεικνύμενον ἅπερ ὑφηγεῖται ὁ λόγος, ὅτι χρὴ πονεῖν καὶ κακοπαθεῖν τῷ σώματι μᾶλλον ἢ ἑτέρου δεῖσθαι τοῦ τρέφοντος. τί δὲ τὸ κωλύον ἐστὶ καὶ ἐργαζόμενον μετὰ τοῦ διδασκάλου τὸν μαθητὴν ἀκούειν τι ἅμα περὶ σωφροσύνης ἢ δικαιοσύνης ἢ καρτερίας λέγοντος; πολλῶν μὲν γὰρ λόγων οὐ δεῖ τοῖς φιλοσοφήσουσι καλῶς, οὐδὲ τὸν ὄχλον τοῦτον τῶν θεωρημάτων ἀναληπτέον πάντως τοῖς νέοις, ἐφ' ᾧ φυσωμένους τοὺς σοφιστὰς ὁρῶμεν· ταῦτα γὰρ δὴ τῷ ὄντι ἱκανὰ κατατρῖψαι βίον ἀνθρώπου ἐστί. τὰ δ' ἀναγκαιότατα καὶ χρησιμώτατα μαθεῖν οὐκ ἀδύνατον καὶ πρὸς ἐργασίᾳ γεωργικῇ ὄντας, ἄλλως τε καὶ οὐ διὰ παντὸς ἐργασομένους, ἀλλὰ ἀναπαύλαις χρησομένους. ὀλίγοι μὲν οὖν τὸν τρόπον τοῦτον ἐθελήσουσι μανθάνειν, οἶδ' ἀκριβῶς ἐγώ· ἔστι δὲ ἄμεινον μηδὲ προσιέναι τῷ φιλοσόφῳ τοὺς πλείονας τῶν φιλοσοφεῖν λεγόντων νέων, ὅσοι σαθροί τε καὶ μαλακοί, δι' οὓς προσιόντας ἀναπίμπλαται κηλίδων φιλοσοφία. τῶν μὲν γὰρ ἀληθινῶν ἐραστῶν φιλοσοφίας οὐκ ἔστιν οὐδείς, ὃς οὐκ ἂν ἐθελήσειε μετ' ἀνδρὸς ἀγαθοῦ διάγειν ἐν χωρίῳ, καὶ εἰ χαλεπώτατον τύχοι ὂν τὸ χωρίον, μέλλων γε ἀπολαύειν μεγάλα ταύτης τῆς διατριβῆς τῷ συνεῖναι τῷ διδασκάλῳ νύκτωρ καὶ μεθ' ἡμέραν, τῷ ἀπεῖναι τῶν ἀστικῶν κακῶν, ἅπερ ἐμπόδιον τῷ φιλοσοφεῖν, τῷ μὴ δύνασθαι λανθάνειν εὖ ἢ κακῶς τι ποιῶν, ὃ δὴ μέγιστον τοῖς παιδευομένοις ὄφελος· καὶ ἐσθίειν δὲ καὶ πίνειν καὶ καθεύδειν ἐφορώμενον ὑπ' ἀνδρὸς ἀγαθοῦ μέγα ὄφελος. ἃ δὲ γένοιτ' ἂν ἐξ ἀνάγκης ἐν τῇ συνουσίᾳ τῇ κατ' ἀγρόν, ταῦτα ἐπαινεῖ καὶ Θέογνις ἐν οἷς φησιν καὶ μετὰ τῶν σύ γε πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν ἵζε, καὶ ἄνδανε τοῖς, ὧν μεγάλη δύναμις. ὅτι γε μὴν οὐκ ἄλλους τινὰς ἢ τοὺς ἀγαθοὺς ἄνδρας λέγει μεγάλην ἔχειν δύναμιν πρὸς ἀνθρώπων ὠφέλειαν, εἰ συνεσθίοι καὶ συμπίνοι τις αὐτοῖς καὶ συγκαθέζοιτο, 〈ὧδε〉 δεδήλωκεν· ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. μὴ δὴ λεγέτω τις ὅτι τῷ μανθάνειν ᾗ τῷ διδάσκειν ἃ χρὴ τὸ γεωργεῖν ἐμπόδιον· οὐ γὰρ ἔοικεν οὕτως ἔχειν, εἰ δὴ μάλιστ' ἂν οὕτω καὶ ἐπὶ πλεῖστον ὁ μὲν μανθάνων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνείη τῷ διδάσκοντι, ὁ δὲ διδάσκων διὰ χειρὸς ἔχοι τὸν μανθάνοντα. τούτου δὲ τοιούτου ὄντος, ὁ πόρος ἐκ γεωργίας φαίνεται ὢν τῷ φιλοσόφῳ πρεπωδέστατος. Ἐκ τοῦ Ξενοφῶντος Οἰκονομικοῦ (5, 1—17). Ταῦτα δέ, ὦ Κριτόβουλε ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι περ τῆς γεωργίας οὐδὲ οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ αὐτῆς ἡ ἐπιμέλεια εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις καὶ σωμάτων ἄσκησις [καὶ] εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι. προσεπιφέρει· ἔπειτα δὲ καὶ ὅσοις κοσμοῦσι καὶ βωμοὺς καὶ ἀγάλματα καὶ οἷοις αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει. καὶ γὰρ ἡ προβα 〈τευ〉 τικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστ' ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύοντας καὶ αὐτοὺς χρῆσθαι. παρέχουσα δὲ ἀφθονώτατα οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. καὶ τοὺς μὲν αὐτουργοὺς γυμνάζουσα διὰ τῶν χειρῶν ἰσχὺν αὐτοῖς προστίθησι, τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει, πρωί τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα. καὶ γὰρ ἐν τῷ χωρίῳ καὶ ἐν τῷ ἄστει 〈ἀεὶ〉 ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν. ἔπειτα δὲ ἤν τε σὺν ἵππῳ ἀρήγειν τῇ χώρᾳ βουληθῇ τις, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία τρέφειν, ἤν τε πεζῇ, σφοδρὸν παρέχει τὸ σῶμα· ἐν ταῖς θήραις φιλοπονεῖσθαι συνεπαίρει τε ἡ γῆ καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα καὶ θηρία συμπαρατρέφουσα. ὠφελούμενοι δὲ ἀπὸ τῆς γεωργίας καὶ οἱ κύνες καὶ οἱ ἵπποι ἀντωφελοῦσι τὸν χῶρον, ὁ μὲν ἵππος πρωί τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν καὶ ἐξουσίαν παρέχων τοῦ δείλης ἀπιέναι; αἱ δὲ κύνες τά τε θηρία συνεξαίρουσαι κωλύουσιν ἀπὸ λύμης καρπῶν καὶ προβάτων καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. συμπαρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ ἡ γεωργία ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν. καὶ δραμεῖν δὲ καὶ βαλεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; τίς δὲ τοῖς ἐργαζομένοις τέχνη πλείω ἀντιχαρίζεται; τίς δ' ἥδιον τὸν ἐπιμελούμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ τι χρῄζει; τίς δὲ ξένους ἥδιον ἢ ἀφθονώτερον δέχεται; χειμάσαι δὲ πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς ποῦ πλείων εὐχέρεια ἢ ἐν χωρίῳ; ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ' ἀγρόν; τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; τίς δὲ οἰκέταις προσφιλεστέρα 〈ἢ〉 γυναικὶ ἡδίων ἢ τέκνοις ποθεινοτέρα ἢ φίλοις εὐχαριστοτέρα; ἐμοὶ μὲν δάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. ἦν δ' ἄρα ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῇ ἡ γῆ, οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι τὰ σώματα καὶ τὰς ψυχάς, ἐὰν μὴ θεὸς κωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν κωλυόντων λαμβάνειν ἀφ' ὧν θρέψονται. πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. συμπαιδεύει δὲ καὶ εἰς τὸ ἄρχειν ἡ γεωργία· ἐπί τε γὰρ τοὺς πολεμίους μετ' ἀνθρώπων δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία. τὸν οὖν μέλλοντα γεωργήσειν εὖ δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν καὶ πείθεσθαι ἐθέλοντας· τόν τε ἐπὶ πολεμίους ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι δωρούμενόν τε οἷς δεῖ τοὺς ἀγαθοὺς καὶ κολάζοντα τοὺς ἀτακτοῦντας. καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις· καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐθὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται, ἀλλὰ καὶ ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι· εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας ἔρρωνται καὶ 〈αἱ〉 ἄλλαι τέχναι ἅπασαι, ὅπου δὲ ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχε- Μενάνδρου (fr. 795 K.). Ἔχει τι τὸ πικρὸν τῆς γεωργίας γλυκύ. Μενάνδρου (fr. 641 K.). Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος ταῖς ἐλπίσιν τἀλγεινὰ παραμυθούμενος. Διφίλου (fr. 89 K.). Ἓν ὀνάριον ἐξ ἀγροῦ μοι καταβαίνει, καθ'

ἕκαστον ἐνιαυτὸν ἀγαπητῶς ὥσπερ κανοῦν μοι πάντ' ἐνεσκευασμένον, σπονδήν, ὀλάς, ἔλαιον, ἰσχάδας, μέλι. Μενάνδρου (fr. 642 K.). Ἐν τοῖς πολεμίοις ὑπερέχειν τὸν ἄνδρα δεῖ· τὸ γὰρ γεωργεῖν ἔργον ἐστὶν οἰκέτου. Ἀναξιλάου ἐκ Μυροποιοῦ (fr. 16 vol. II p. 267 K.). Πῶς ἔχεις; ὡς ἰσχνὸς εἶ; — Ἀπόλλυμαι· τρέφω γὰρ ἐν ἀγρῷ χωρίον. Μενάνδρου Γεωργοῦ (fr. 96 K.). Ἀγρὸν εὐσεβέστερον γεωργεῖν οὐδένα οἶμαι· φέρει γὰρ ὅσα θεοῖς ἄνθη καλά, κιττόν, δάφνην· κριθὰς δ' ἐὰν σπείρω, πάνυ δικαίως ἀπέδωχ', ὅσα ἂν καταβάλω. Φιλήμονος (fr. 98 K.). ὀσμήν, λαχάνων ἄγει τι καὶ νὴ τὸν Δία τὰ πετραῖα ταῦτ' ὀψάρια, κάππαριν, θύμον, ἀσπάραγον, αὐτὰ ταῦτα· καὶ δέδοικα μὴ λίαν ἀπισχναίνων με ποιήσῃ νεκρόν. Φιλήμων ἐν Ὑποβολιμαίῳ (fr. 82 K.). Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος. Κωμικοῦ ποιητοῦ (Com. III p. 424 K.). Ἐγὼ γεωργῶ τὸν ἀγρόν, οὐχ ὅπως τρέφῃ αὐτός με, παρ' ἐμοῦ δ' ἵνα τροφὴν προσλαμβάνῃ. σκάπτω γὰρ αὐτὸς ἐπιμελῶς σπείρω τ' ἀεί, καὶ πάντα ποιῶ πρὸς τὸ δοῦναι καὶ λαβεῖν. ὁ δὲ λαμβάνει μέν, ἀποδίδωσι δ' οὐδὲ ἕν. *** ἀποστερητὴν ἔλαθον ἀγοράσας ἀγρόν. ἔσπειρα μὲν κριθῶν μεδίμνους εἴκοσι, τούτων 〈δ'〉 ἀπέδωκεν οὐδ' ὅλους τρεισκαίδεκα, οἱ δ' ἔπτ' ἐπὶ Θήβας ἐστράτευσάν μοι, δοκῶ Φαβωρίνου (fr. 108 p. 143 Marr.). Φασὶ δὲ καὶ ἑταιρικόν τινα ἀναγκαζόμενον ὑπὸ τοῦ πατρὸς γεωργεῖν ἀπάγξασθαι, γράψαντα ἐν γραμματιδίῳ, ὅτι ἀπέραντόν τι καὶ ἀκατάστροφον ἡ γεωργία ἦν· σπείρειν, ὅπως θερίσωμεν, εἶτα θερίζειν, ὅπως σπείρωμεν· ἄτοπόν τι τὸ χρῆμα τῆς περιόδου. Ξενοφῶντος ἐκ τοῦ 〈η′〉 τῆς 〈Κύρου〉 παιδείας (VIII 3, 38). Σκάπτω καὶ σπείρω καὶ μάλα μικρὸν γῇδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δικαιότατον· ὅ τι γὰρ λάβοι σπέρμα, καλῶς καὶ δικαίως ἀπεδίδου αὐτό τε καὶ τόκον οὐδέν τι πολύν, ἤδη δέ ποτε 〈ὑπὸ γενναιότητος καὶ διπλάσια ἀπ〉 ἔδωκεν ὧν ἔλαβεν. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Ζήνων ὁ Στωϊκὸς φιλόσοφος ὁρῶν τινα τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον εἶπεν 'ἐὰν μὴ σὺ Ἀριστίππου. Ἀρίστιππος λέγοντος αὐτῷ τινος 'διὰ σὲ ἀπόλωλεν ὁ ἀγρός' 'οὐκ οὖν' ἔφη 'κάλλιον δι' ἐμὲ τὸν ἀγρὸν ἢ διὰ

4.16 Αἰσχύλου Προμηθέως δεσμώτου (44). Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην. Εὐριπίδου Ἀντιόπη (fr. 193 N. 2). Ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν παρόν, μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα. Ἐπιχάρμου ἐξ Αὐτομόλου (fr. 101 Kaib.). Ἃ δ' Ἀσυχία χαρίεσσα γυνά, καὶ Σωφροσύνας πλατίον οἰκεῖ. Εὐριπίδου Ἰφιγενείας (Aul. 16 ss.). Ζηλῶ σε, γέρον, ζηλῶ ς' ἀνδρῶν ὃς ἀκίνδυνον βίον ἐξεπέρας' ἀγνὼς ἀκλεής· τοὺς δ' ἐν τιμαῖς ἥσσον ἐπαινῶ. Μενάνδρου Ὑδρίας (fr. 466 K.). Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους ἐρημία· καὶ τῷ μελετῶντι μηδὲ ἓν πονηρὸν ἱκανὸν κτῆμ' ἀγρὸς τρέφων καλῶς. ἐκ τῶν ὄχλων δὲ ζῆλος, ἥ τε κατὰ πόλιν αὕτη τρυφὴ λάμπει μέν, ἐς δ' ὀλίγον χρόνον. Πινδάρου Ὑπορχημάτων (fr. 109 Schr.). Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς ἐρευνασάτω μεγαλάνορος Ἀσυχίας ἱερὸν φάος, στάσιν ἀπὸ πραπίδος, ἐπίκοτον ἀνελών, πενίας δότειραν, ἐχθρὰν κουροτρόφον. Κερκίδα Μελιάμβων (fr. 3 II 4 p. 514 B.). Ὁ τᾶς ῥικνᾶς χελώνας ἀμναμόνευ'· Εὐριπίδου Βακχῶν (389 ss.). ΧΟΡ. Ὁ δὲ τᾶς ἡσυχίας βίοτος, καὶ τὸ φρονεῖν ἀσάλευτόν 〈τε〉 μένει, καὶ ξυνέχει δώματα, πόρσω γὰρ ὅμως αἰθέρα ναίοντες ὁρῶσιν τὰ βροτῶν οὐρανίδαι. Εὐριπίδου Ἡρακλειδῶν (109 s.). Καλὸν δ〈έ γ'〉 ἔξω πραγμάτων ἔχειν πόδα εὐβουλίας τυχόντα τῆς ἀμείνονος. Εὐριπίδου Οἰνόμαος (fr. 576 N. 2). Ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν. Ἐκ τῶν Βίωνος Βουκολικῶν (IV l p. 140 Wil.). Οὐκ οἶδ', οὐδ' ἐπέοικεν ἃ μὴ μάθομεν πονέεσθαι. τοῦ αὐτοῦ (fr. IV 2 ss. Wil.). Εἴ μευ καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μῶνα εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν ἢ Κρονίδας ἢ Μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐπὶ μόχθῳ, ἦν τάχα μοχθήσαντι μεθύστερον ἐσθλὰ δέχεσθαι. εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθῆν ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μῆονα πάντων, ἐς πόσον ἆ δειλοὶ καμάτως κεἰς ἔργα πονεῦμες, ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας βάλλομες, ἰμείροντες ἀεὶ πολὺ πλῆονος ὄλβω; ἦ λαθόμεσθ' ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα, χὡς βραχὺν ἐκ Μοίρας λάχομεν

χρόνον. Ἀπολλώνιος Διονυσίῳ (Epist. gr. p. 127 Herch.). Καλὸν πρὶν παθεῖν διδαχθῆναι πηλίκον ἐστὶν ἡσυχία. Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας (p. 31 E—32 A). Οὐ γὰρ ἔστιν ὅστις ἀνθρώπων σωθήσεται οὔτε ὑμῖν κωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν ἀλλὰ μὴ δημοσιεύειν. Πλουτάρχου ἐκ τοῦ Περὶ ἡσυχίας (vol. VII p. 119 s. Bern.). Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας πρός τε ἄλλα καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην· λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥ τις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γινόμεναι μελέται γυμνάζουσι τὴν λεγομένην δριμύτητα, πανουργίαν οὖσαν· ὥστε τοὺς ἐν αὐταῖς ἄκρους οἷον ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεποικιλμένους πόσα δὲ οὐχὶ καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δ' ἐρημία, σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθὴ καὶ πλάττει καὶ μετευθύνει τῶν ἀνδρῶν τὰς ψυχάς. οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθύ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί· ἀλλ' ἐν ἀέρι καθαρῷ καὶ τὰ πολλὰ ἔξω διαιτώμεναι τῶν ἀνθρώπων ἀνίασιν ὀρθαὶ καὶ πτεροφυοῦσιν, ἀρδόμεναι τῷ διαυγεστάτῳ τε καὶ λειοτάτῳ ῥεύματι τῆς ἡσυχίας, ἐν ᾧ τά τε μαθήματα τοῦ νοῦ θεοειδέστερα καὶ καθαρώτερον ὁρᾶν. διὰ τοῦτό τοι καὶ τῶν θεῶν τὰ ἱερά, ὅσα ἐκ τοῦ πάλαι ἀρχαίου νενόμισται, τοῖς ἐρημοτάτοις χωρίοις οἱ πρῶτοι, μάλιστα δὲ Μουσῶν τε καὶ Πανὸς καὶ Νυμφῶν καὶ Ἀπόλλωνος καὶ ὅσοι μουσικῆς ἡγεμόνες θεοί, διακρίναντες, ὡς οἶμαι, τὰς παιδείας κατὰ τῶν ἐν ταῖς πόλεσι δει-

4.17 Ὁμήρου Ὀδυσσείας θ′ (138 s.). Οὐ μὲν γάρ τί που ἐστὶ κακώτερον ἄλλο θαλάσσης ἄνδρα τε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη. Ἀλέξιδος ἐκ Συναποθνῃσκόντων (fr. 211 K.). Ὅστις διαπλεῖ θάλατταν ἢ μελαγχολᾷ ἢ πτωχός ἐστιν ἢ θανατᾷ. τούτων τῶν τριῶν ἑνός γ' ἀποτυχεῖν τοὐλάχιστον οὐκ ἔνι. Σοφοκλέους Σκυρίων (fr. 511 N 2 .). Ἧ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν, οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν. λεπταῖς ἐπὶ ῥοπῇσιν ἐμπολὰς μακρὰς ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι Ἐκ τῶν Ἀράτου Φαινομένων (292). Τῆμος ἐπιρρήσσουσι νότοι, ὁπότ' Αἰγοκερῆι ἐμφέρετ' ἠέλιος· τότε δὲ κρύος ἐκ Διός ἐστι ναύτῃ μαλκιόωντι κακώτατον. ἀλλὰ καὶ ἔμπης ἤδη πάντ' ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα πορφύρει· ἴκελοι δὲ κολυμβάσιν αἰθυίῃσιν πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι, οἱ δ' ἔτι πόρσω κλύζονται· ὀλίγον δὲ διὰ ξύλον Ἅιδ' ἐρύκει. Φιλήτα Ἐπιγραμμάτων. Γαῖαν μὲν φανέουσι θεοί ποτε· νῦν δὲ πάρεστιν λαιψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος. Ἀντιφάνους Ἐφεσίας (fr. 100 K.). Δύστηνος ὅστις ζῇ θαλάττιον βίον. τῶν γὰρ πλεόντων ζητεῖν ἑκατὸν στάδια ἐλθεῖν του δὴ κρεῖττον ἢ πλεῦσαι πλέθρον. πλεῖς τὴν θάλατταν σχοινίων πωλουμένων; Ὁμήρου (II. XV 628). Ἀρχίππου (fr. 43 K.). Ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ 〈τῆσ〉 γῆς ὁρᾶν ὦ μῆτέρ ἐστι, μὴ πλέοντα μηδαμοῦ. Μενάνδρου ἐν Θρασυλέοντι (fr. 241 K.). Ὁ δεύτερος πλοῦς ἐστὶ δήπου λεγόμενος, ἂν ἀποτύχῃ τις 〈οὐρίου〉 [ἐν ταῖς] κώπαισι πλεῖν. Καλλιμάχου (fr. 111 Schn.). Ἔνθ' ἀνέμων μεγάλων κῦμα διωλύγιον. Καλλιμάχου (fr. 111 Schn.). Τρισμάκαρ· ἦ παύρων ὄλβιός ἐσσι μέτα, ναυτιλίης εἰ νῆιν ἔχεις βίον· ἀλλ' ἐμὸς αἰὼν κύμασιν αἰθυίης μᾶλλον ἐσῳκίσατο. Σοφοκλέους Τυμπανιστῶν (fr. 579 N. 2). Εὐριπίδου Ἐρεχθέως (fr. 355 N. 2). Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος. Μενάνδρου (fr. 643 K.). Τὰ μεγάλα κέρδη ῥᾳδίως ἢ πλουσίους τοὺς παραβόλως πλέοντας ἢ νεκροὺς ποιεῖ. Ἀντιφάνους (fr. 101 K.). Ἐν γῇ πένεσθαι κρεῖττον ἢ πλουτοῦντα πλεῖν. Εὐφορίωνος Φιλοκτήτου (fr. 42 Scheidw.). Τὸν δ' ἐκάλυψε θάλασσα λιλαιόμενον βιότοιο, καὶ οἱ πήχεες ἄκρον ὑπερφαίνοντο ταθέντες ἀχρεῖ' ἀσπαίροντος ἅλις Δολοπιονίδαο, δυστήνου· ζωὴν δὲ μεθ' ὕδατος ἔκβαλε πᾶσαν χεῖρας ὑπερπλάζων, ἅλμη δ' ἐκάλυψεν ὀδόντας. Ἀντιφάνους Μελίττης (fr. 151 K.). Ἐπὶ χρήμασιν δ' ὢν ἔμπορος φρονεῖ μέγα. ὧν ἐστι πάντων ἐνίοτ' ἄνεμος κύριος.

Εὐριπίδου Φιλοκτήτης (fr. 793 N. 2). Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει. ἐν γῇ δ' ὁ φόρτος, καὶ πάλιν ναυτίλλεται. Ἐκ τῶν Μόσχου Βουκολικῶν (fr. I Wil.). Τὰν ἄλα τὰν γλαυκὰν ὅταν ὦνεμος ἀτρέμα βάλλῃ, τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ ἐντὶ φίλα, ποθίει δὲ πολὺ πλέον ἅ με γαλάνα. ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθός, ἁ δὲ θάλασσα κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα 〈μακρὰ〉 μεμήνῃ, ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἄλα φεύγω· γᾶ δέ μοι ἀσπαστά, χἁ δάσκιος εὔαδεν ὕλα, ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὦνεμος, ἁ πίτυς ᾄδει. ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς, καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθύες ἁ πλάνος ἄγρα. αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ, καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἦχον ἀκούειν, ἃ τέρπει ψοφέοισα τὸν ἀγρικόν, οὐχὶ ταράσσει. Γλαύκωνος. Γλαύκων ὁ κωμῳδὸς ἥδιον ἔλεγε παρὰ τὴν θάλατταν πεζεύειν ἢ παρὰ τὴν γῆν πλεῖν. Δημοσθένους Ὀλυνθιακῶν (IX p. 128). Ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα ἐξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δ' ἡ Ἄμφιδος ἐξ Ἀμπελουργοῦ (fr. 3 K.). Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης. ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς αὐτὸν λέληθε παραπλέων τὰς συμφοράς. Ἱππάρχου ἐκ Ζωγράφου (fr. 2 vol. III p. 273 K.). Πολύ γ' ἐστὶ πάντων κτῆμα τιμιώτατον ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη. τὰ μὲν γὰρ ἄλλα καὶ πόλεμος καὶ μεταβολαὶ τύχης ἀνήλως', ἡ τέχνη δὲ σῴζεται. Ἑρμοδότου (cf. Bergk p. l. 4 III p. 637). Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν, ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα. Σιμύλου. Οὔτε φύσις ἱκανὴ γίγνεται τέχνης ἄτερ πρὸς οὐδὲν ἐπιτήδευμα παράπαν οὐδενί, οὔτε πάλι τέχνη μὴ φύσιν κεκτημένη. τούτων ὁμοίως τοῖν δυεῖν συνηγμένων εἰς ταὐτόν, ἔτι δεῖ προσλαβεῖν χορηγίαν, ἔρωτα, μελέτην, καιρόν, εὐφυῆ χρόνον, κριτὴν τὸ ῥηθὲν δυνάμενον συναρπάσαι. ἐν ᾧ γὰρ ἂν τούτων τις ἀπολειφθεὶς τύχῃ, οὐκ ἔρχετ' ἐπὶ τὸ τέρμα τοῦ προκειμένου. φύσις θέλησις ἐπιμέλει' εὐταξία σοφοὺς τίθησι κἀγαθούς· ἐτῶν δέ τοι ἀριθμὸς οὐδὲν ἄλλο πλὴν γῆρας ποιεῖ. Μενάνδρου Αὐλητρίδος (fr. 68 K.). Τὰ πατρῷα μὲν ποιεῖ καιρός ποτε ἀλλότρια, σῴζει δ' αὐτά που τὰ σώματα. Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 219 A—221 C). Ἀλλὰ μὴν τῶν γε τεχνῶν σχεδὸν πασῶν εἴδη δύο. — Πῶς; — Γεωργία μὲν καὶ ὅση περὶ τὸ θνητὸν πᾶν σῶμα θεραπεία, τό τ' αὖ περὶ τὸ σύνθετον καὶ πλαστόν, ὃ δὴ σκεῦος ὠνομάκαμεν, ἥ τε μιμητική, ξύμπαντα ταῦτα δικαιότατα ἑνὶ προσαγορεύοιτο ἂν ὀνόματι. — Πῶς καὶ τίνι; — Πᾶν ὅπερ ἂν μὴ πρότερόν 〈τις ὂν ὕστερον〉 εἰς οὐσίαν ἄγῃ, τὸν μὲν ἄγοντα ποιεῖν, τὸ δὲ ἀγόμενον ποιεῖσθαί πού φαμεν. — Ὀρθῶς. — Τὰ δέ γε νυν 〈δὴ ἃ〉 διήλθομεν ἅπαντα εἶχεν εἰς τοῦτο τὴν αὐτῶν δύναμιν. — Εἶχε γὰρ οὖν. — Ποιητικὴν τοίνυν αὐτὰ συγκεφαλαιωσάμενοι προσείπωμεν. — Ἔστω. — Τὸ δὴ μαθηματικὸν αὖ μετὰ τοῦτο εἶδος ὅλον καὶ τὸ τῆς γνωρίσεως τό τε χρηματιστικὸν καὶ ἀγωνιστικὸν καὶ θηρευτικόν, ἐπειδὴ δημιουργεῖ μὲν οὐδὲν τούτων, τὰ δὲ ὄντα καὶ γεγονότα τὰ μὲν χειροῦται λόγοις καὶ πράξεσι, τὰ δὲ τοῖς χειρουμένοις οὐκ ἐπιτρέπει, μάλιστ' ἄν που διὰ ταῦτα ξυνάπαντα τὰ μέρη τέχνη τις κτητικὴ λεχθεῖσα ἂν πρέψειεν. — Ναί· πρέποι γὰρ ἄν. — Κτητικῆς δὴ καὶ ποιητικῆς ξυμπασῶν οὐσῶν τῶν τεχνῶν ἐν ποτέρᾳ τὴν ἀσπαλιευτικήν, ὦ Θεαίτητε, τιθῶμεν; — Ἐν κτητικῇ δήρούμενον ξύμπαν, χειρωτικὸν ἂν εἴη; — Φαίνεται γοῦν ἐκ τῶν εἰρημένων. — Τί δέ; τὴν χειρωτικὴν ἆρ' οὐ διχῇ τμητέον; — Πῇ; — Τὸ μὲν ἀμφαδὸν ὅλον ἀγωνιστικὸν τιθέντας, τὸ δὲ κρυφαῖον αὐτῆς πᾶν θηρευτικόν. — Ναί. — Τήν γε μὴν θηρευτικὴν ἄλογον τὸ μὴ οὐ τέμνειν διχῇ. — Λέγε ὅπῃ. — Τὸ μὲν ἀψύχου γένους διελομένους, τὸ δὲ ἐμψύχου. — Τί μήν; εἴπερ ἔστον γε ἄμφω. — Πῶς δ' οὐκ ἔστον; καὶ δεῖ γε ἡμᾶς τὸ μὲν τῶν ἀψύχων, ἀνώνυμον πλὴν κατ' ἔνια τῆς κολυμβητικῆς ἄττα μέρη καὶ τοιαῦτ' ἄλλα βραχέα, χαίρειν ἐᾶσαι, τὸ δέ, τῶν ἐμψύχων ζῴων οὖσαν θήραν, προσειπεῖν ζῳοθηρικήν. — Ἔστω. — Ζῳοθηρικῆς δὲ ἆρα οὐ διπλοῦν εἶδος ἂν λέγοιτο ἐν δίκῃ, τὸ μὲν πεζοῦ γένους, πολλοῖς εἴδεσι καὶ ὀνόμασι διῃρημένον, πεζοθηρικόν, 〈τὸ δ' ἕτερον〉

νευστικοῦ ζῴου πᾶν ἐνυγροθηρικόν; — Πάνυ γε. — Νευστικοῦ μὴν τὸ μὲν πτηνὸν φῦλον ὁρῶμεν, τὸ δὲ ἔνυδρον; — Πῶς δ' οὔ; — λοιμεν; — Κατὰ ποῖα; — Καθ' ἃ τὸ μὲν ἕρκεσιν αὐτόθι ποιεῖται τὴν θήραν, τὸ δὲ πληγῇ; — Πῶς λέγεις, καὶ πῇ διαιρούμενος ἑκάτερον; — Τὸ μέν, ὅτι πᾶν ὅσον ἂν ἕνεκα κωλύσεως εἴργῃ τι περιέχον, ἕρκος εἰκὸς ὀνομάζειν. — Πάνυ μὲν οὖν. — Κύρτους δὴ καὶ δίκτυα καὶ βρόχους καὶ πόρκους καὶ τὰ τοιαῦτα μῶν ἄλλο τι πλὴν ἕρκη χρὴ προσαγορεύειν; — Οὐδέν. — Τοῦτο μὲν ἄρα ἑρκοθηρικὸν τῆς ἄγρας τὸ μέρος φήσομεν ἤ τι τοιοῦτον. — Ναί. — Τὸ δὲ ἀγκίστροις καὶ τριόδουσι πληγῇ γιγνόμενον ἕτερον μὲν ἐκείνου, πληκτικὴν δέ τινα θήραν ἡμᾶς προσειπεῖν ἐν 〈ἰ λό〉 γῳ νῦν χρεών· ἢ τί τις ἄν, ὦ Θεαίτητε, εἴποι κάλλιον; — Ἀμελῶμεν τοῦ ὀνόματος, ἀρκεῖ γὰρ καὶ τοῦτο. — Τῆς μὲν τοίνυν πληκτικῆς τὸ μὲν νυκτερινὸν οἶμαι πρὸς πυρὸς φῶς γιγνόμενον ὑπ' αὐτῶν τῶν περὶ τὴν θήραν πυρευτικὴν ῥηθῆναι 〈συμβέβηκε〉. — Πάνυ γε. — Τὸ δέ γε μεθημερινόν, ὡς ἐχόντων ἐν ἄκροις ἄγκιστρα καὶ τῶν τριοδόντων πᾶν ἀγκιστρευτικόν; — Λέγεται γὰρ οὖν. — Τοῦ τοίνυν ἀγκιστρευτικοῦ τῆς πληγῆς τὸ μὲν ἄνωθεν εἰς τὸ κάτω γιγνόμενον διὰ τὸ τοῖς τριόδουσιν οὕτω μάλιστα χρῆσθαι τριοδοντία τις, οἶμαι, κέκληται. — Φασὶ γοῦν τινές. — Τὸ δέ γε λοιπόν ἐστιν ἓν ἔτι μόνον ὡς εἰπεῖν εἶδος. — Ποῖον; — Τὸ τῆς ἐναντίας ταύτῃ πληγῆς, ἀγκίστρῳ τε γιγνόμενον καὶ τῶν ἰχθύων οὐχ ᾗ τις ἂν τύχῃ τοῦ σώματος, ὥσπερ τοῖς τριόδουσιν, ἀλλὰ περὶ τὴν κεφαλὴν καὶ τὸ στόμα τοῦ θηρευθέντος ἑκάστοτε, καὶ κάτωθεν εἰς τοὐναντίον ἄνω ῥάβδοις καὶ καλάμοις ἀνασπώμενον· οὗ τί φήσομεν, ὦ Θεαίτητε, δεῖν τοὔνομα λέγεσθαι; — Δοκῶ μέν, ὅπερ ἄρτι προυθέμεθα δεῖν ἐξευρεῖν, τοῦτο αὐτὸ νῦν ἀποτετελέσθαι. — Νῦν ἄρα τῆς ἀσπαλιευτικῆς, περὶ οὗ σύ τε κἀγὼ συνωμολογήκαμεν, οὐ μόνον τοὔνομα ἀλλὰ καὶ τὸν λόγον περὶ αὐτὸ τοὖργον εἰλήφαμεν ἱκανῶς. ξυμπάσης γὰρ τέχνης τὸ μὲν ἥμισυ μέρος κτητικὸν ἦν, κτητικοῦ δὲ χειρωτικόν, χειρωτικοῦ δὲ θηρευτικόν, τοῦ δὲ θηρευτικοῦ ζῳοθηρικόν, ζῳοθηρικοῦ δὲ ἐνυγροθηρικόν, ἐνυγροθηρικοῦ δὲ τὸ κάτωθεν τμῆμα ὅλον ἁλιευτικόν, ἁλιευτικῆς δὲ πληκτικόν, πληκτικῆς δὲ ἀγκιστρευτικόν· τούτου δὲ τὸ περὶ τὴν κάτωθεν ἄνω πληγὴν ἀνασπωμένην, ἀπ' αὐτῆς τῆς πράξεως ἀφομοιωθὲν τοὔνομα, ἡ νῦν ἀσπαλιευτικὴ ζητηθεῖσα ἐπίκλην γέγονε. — Παντάπασι μὲν οὖν τοῦτό Ἐν ταὐτῷ (p. 235 C—236 C). Κατὰ δὴ τὸν παρεληλυθότα τρόπον τῆς διαιρέσεως ἔγωγέ μοι καὶ νῦν φαίνομαι δύο καθορᾶν εἴδη τῆς μιμητικῆς· τὴν γὰρ ζητουμένην ἰδέαν, ἐν ὁποτέρῳ ποθ' ἡμῖν οὖσα τυγχάνει, καταμαθεῖν οὐδέπω μοι δοκῶ νῦν δυνατὸς εἶναι. — Σὺ δ' ἀλλ' εἰπὲ καὶ δίελε πρῶτον ἡμῖν 〈τίνε〉 τὼ δύο λέγεις. — Μίαν μὲν τὴν εἰκαστικὴν ὁρῶν ἐν αὐτῇ τέχνην. ἔστι δ' αὖτη μάλιστα, ὁπόταν κατὰ τὰς τοῦ παραδείγματος συμμετρίας τις ἐν μήκει καὶ πλάτει καὶ βάθει, καὶ πρὸς τούτοις ἔτι χρώματα ἀποδιδοὺς τὰ προσήκοντα ἑκάστοις, τὴν τοῦ μιμήματος γένεσιν ἀπεργάζηται. — Τί δέ; οὐ πάντες οἱ μιμούμενοί τι τοῦτ' ἐπιχειροῦσι δρᾶν; — Οὔκουν ὅσοι γε τῶν μεγάλων πού τι πλάττουσιν ἔργων ἢ γράφουσιν. εἰ γὰρ ἀποδιδοῖεν τὴν τῶν καλῶν ἀληθινὴν συμμετρίαν, οἶσθ' ὅτι σμικρότερα μὲν τοῦ δέοντος τὰ ἄνω, μείζω δὲ τὰ κάτω φαίνοιτ' ἂν διὰ τὸ τὰ μὲν πόρρωθεν, τὰ δ' ἐγγύθεν ὑφ' ἡμῶν ὁρᾶσθαι. — Πάνυ μὲν οὖν. — Ἆρ' οὖν οὐ χαίρειν τὸ ἀληθὲς ἐάσαντες οἱ δημιουργοὶ νῦν οὐ τὰς οὔσας συμμετρίας ἀλλὰ τὰς δοξούσας εἶναι καλὰς τοῖς εἰδώλοις ἐναπεργάζονται; — Πάνυ μὲν οὖν. — Τὸ μὲν ἄρα ἕτερον 〈οὐ〉 δίκαιον, εἰκός γε τὴν οὐκ ἐκ καλοῦ θέαν ἐοικέναι τῷ καλῷ, δύναμιν δὲ εἴ τις λάβοι τὰ τηλικαῦτα ἱκανῶς ὁρᾶν, μηδὲ εἰκὸς ᾧ φησιν ἐοικέναι, τί καλοῦμεν; ἆρ' οὐκ, ἐπείπερ φαίνεται μέν, ἔοικε δὲ οὔ, φάντασμα; — Τί μήν; — Οὐκοῦν πάμπολυ καὶ κατὰ τὴν ζωγραφίαν τοῦτο τὸ μέρος ἐστὶ καὶ κατὰ ξύμπασαν μιμητικήν; — Πῶς δ' οὔ; — Τὴν δὴ φάντασμα ἀλλ' οὐκ εἰκόνα ἀπεργαζομένην τέχνην ἆρ' οὐ φανταστικὴν ὀρθότατ' ἂν προσαγορεύοιμεν; — Πολύ γε. — Τούτω τοίνυν 〈τὼ〉 δύο ἔλεγον εἴδη τῆς εἰδωλοποιητικῆς, εἰκαστικὴν καὶ φανταστικήν. — Ὀρθῶς. Τοῦ αὐτοῦ (leg. p. 709 B). Θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ τύχη καὶ καιρός, τανθρώπινα διακυβερνῶσι ξύμπαντα.

ἡμερώτερον μὴν τρίτον συγχωρῆσαι τούτοις ἔπεσθαι δεῖν τέχνην. Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 281 D—E). μὲν τὸ πρᾶγμ' αὐτὸ 〈μὴ〉 δημιουργοῦσι, ταῖς δὲ δημιουργούσαις ὄργανα παρασκευάζουσιν, ὧν μὴ παραγενομένων οὐκ ἄν ποτ' ἐργασθείη τὸ προστεταγμένον ἑκάστῃ τῶν τεχνῶν, ταύτας μὲν οὖν ξυναιτίους, τὰς δ' αὐτὸ τὸ πρᾶγμ' ἀπεργαζομένας αἰτίας. — Ἔχει γοῦν λόγον. Πλουτάρχου ἐκ τοῦ Περὶ μαντικῆς (v. VII p. 113 Bernard.). Τῶν τεχνῶν, ὡς ἔοικε, τὰς μὲν ἡ χρεία συνέστησεν ἐξ ἀρχῆς καὶ μέχρι νῦν διαφυλάσσει· χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι τῶν ἀναγκαίων; ὑφαντικὴν οἰκοδομικὴν ἰατρικὴν καὶ ὅσαι περὶ γεωργίαν ἀναστρέφονται· τὰς δ' ἡδονή τις προσηγάγετο καὶ κατέσχε, τὴν τῶν μυρεψῶν καὶ τῶν ὀψοποιῶν καὶ κομμωτικὴν πᾶσαν καὶ ἀνθοβαφίαν. ἔστι δὲ ὧν τὴν πιθανότητα καὶ τὴν ἀκρίβειαν καὶ τὸ καθάριον ἀγαπῶντες ἐκμανθάνουσι καὶ περιέπουσιν, ὡς ἀριθμητικὴν καὶ γεωμετρίαν καὶ κανονικὴν πᾶσαν καὶ ἀστρολογίαν, ἅς φησιν ὁ Πλάτων, καίπερ ἀμελουμένας, βίᾳ ὑπὸ χάριτος αὔξεσθαι. Ξενοφῶντος ἐν γ' Ἀπομνημονευμάτων (c. 10, 1—8). Εἰσελθών ποτε πρὸς Παρράσιον τὸν ζωγράφον, Ἆρα, ἔφη, ὦ Παρράσιε, ἡ γραφικὴ ἐστιν εἰκασία τῶν ὁρωμένων; τὰ γοῦν κοῖλα καὶ τὰ ὑψηλὰ καὶ τὰ σκοτεινὰ καὶ τὰ φωτεινὰ καὶ τὰ σκληρὰ καὶ τὰ μαλακὰ καὶ τὰ τραχέα καὶ τὰ λεῖα καὶ τὰ νέα καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε. Ἀληθῆ λέγεις, ἔφη. Καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι. Ποιοῦμεν γάρ, ἔφη, οὕτω. Τί γάρ; ἔφη, τὸ πιθανώτατον καὶ ἥδιστον καὶ φιλικώτατον καὶ ποθεινότατον καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος; ἢ οὐδὲ μιμητὸν τοῦτο; Πῶς γὰρ ἄν, ἔφη, μιμητὸν εἴη, ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν μήτε χρῶμα μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει μηδὲ ὅλως ὁρατόν ἐστιν; Ἆρ' οὖν, ἔφη, γίγνεται ἐν ἀνθρώπῳ τό τε φιλοφρόνως καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν τό γε μιμητὸν ἐν τοῖς ὄμμασι; Καὶ μάλα, ἔφη. Ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα οἵ τε φροντίζοντες καὶ οἱ μή; Μὰ Δί' οὐ δῆτα, ἔφη· ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίνονται. ἔφη. Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον. 〈καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον〉 καὶ τὸ σωφρονικόν τε καὶ φρόνιμον καὶ τὸ ὑβριστικόν τε καὶ τὸ ἀπειρόκαλον καὶ διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων διαφαίνει. Ἀληθῆ λέγεις, ἔφη. Οὐκοῦν καὶ ταῦτα μιμητά; Καὶ μάλα, ἔφη. Πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους δι' ὧν τὸ καλά τε καὶ ἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται ἢ δι' ὧν τὰ αἰσχρά τε καὶ πονηρὰ καὶ μισητά; Πολὺ νὴ Δί', ἔφη, διαφέρει, ὦ Σώκρατες. Πρὸς δὲ Κλίτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε καὶ διαλεγόμενος αὐτῷ, Ὅτι μέν, ἔφη, ὦ Κλίτων, ἀλλοίους ποιεῖς δρομεῖς τε καὶ παλαιστὰς καὶ πύκτας καὶ παγκρατιαστάς, ὁρῶ γε καὶ οἶδα· ὃ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν φαίνεσθαι. πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριᾶσιν; ἐπεὶ δὲ ἀπορῶν ὁ Κλίτων οὐ ταχὺ ἀπεκρίνατο, Ἆρα, ἔφη, τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον ζωτικώτερον ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; Καὶ μάλα, ἔφη. Οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων καταρτώμενα καὶ τὰ ἀνασπώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα καὶ τὰ διελκόμενα, καὶ 〈τὰ〉 ἐντεινόμενα καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά μένοις; Εἰκὸς γοῦν, ἔφη. Οὐκοῦν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα εἰκαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα; Σφόδρα γ', ἔφη. Δεῖ ἄρ', ἔφη, τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ Μενάνδρου Ἁλιέως (fr. 14 K.). Ὁ πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην πολλοὺς ἐποίησεν ἀθλίους· ἁπλοῦν γὰρ ἦν τὸν μὴ δυνάμενον ζῆν ἀλύπως ἀποθανεῖν. Ἀντιφάνους ἐκ Κναφέως (fr. 123 K.). Ὅστις τέχνην κατέδειξε πρῶτος τῶν θεῶν, οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν. ὅταν γὰρ ἀπορῆταί τις, ἂν μὲν ἀργὸς ᾖ, ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν, ὥστ' ἢ γεγονέναι λαμπρὸς ἢ τεθνηκέναι. ἡμεῖς δ' ἔχοντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρραβῶνα τὴν τέχνην τοῦ ζῆν, ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν, ἐξόν τε μικρὸν διαπορηθῆναι χρόνον, τὸν βίον ἅπαντα τοῦτο δρᾶν αἱρούμεθα. Μενάνδρου Ὕμνιδος (fr. 473 K.). Οὐ πάνυ τι γηράσκουσιν αἱ τέχναι καλῶς, ἂν μὴ λάβωσι προστάτην φιλάργυρον. Εὐριπίδου Πολυίδου (fr. 635 N. 2). Οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι τῆς φαυλότητος· καὶ γὰρ ἐν κοινῷ ψέγειν ἅπασι κεῖσθαι δυστυχὲς κοὐκ εὐτυχές. Ξενοφῶντος ἐκ τοῦ Οἰκονομικοῦ (4, 2—3). Καλῶς, ἔφη, λέγεις, ὦ Κριτόβουλε. καὶ γὰρ αἱ βαναυσικαὶ καλούμεναι καὶ ἐπίρρητοί εἰσι καὶ εἰκότως μὲν δὴ πάνυ ἀδοξοῦνται ὑπὸ τῶν πόλεων. καταλυμαίνονται γὰρ τὰ σώματα τῶν τε ἐργαζομένων καὶ ἐπιμελουμένων καὶ τὰς ψυχὰς ἀναγκάζουσαι καθῆσθαι καὶ σκιατραφεῖσθαι, ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν. τῶν δὲ σωμάτων θηλυνομένων καὶ αἱ ψυχαὶ ἐπὶ πολὺ ἀρρωστότεραι γίγνονται. καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι καὶ φίλων καὶ πόλεων συνεπιμελεῖσθαι 〈αἱ〉 βαναυσικαὶ καλούμεναι. ὥστε εἰκότως σοι δοκοῦσι κακοὶ ἂν καὶ φίλοις χρῆσθαι καὶ ταῖς Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ (p. 258 D—E). Ἆρ' οὖν οὐκ ἀριθμητικὴ μὲν καί τινες ἕτεραι ταύτῃ συγγενεῖς τέχναι ψιλαὶ τῶν πράξεών εἰσι, τὸ δὲ γνῶναι παρέσχοντο μόνον; — Ἔστιν οὕτως. — Αἱ δέ γε περὶ τεκτονικὴν αὖ καὶ ξύμπασαν χειρουργίαν ὥσπερ ἐν ταῖς πράξεσιν ἐνοῦσαν ξύμφυτον τὴν ἐπιστήμην κέκτηνται, καὶ συναποτελοῦσιν τὰ γιγνόμενα ὑπ' αὐτῶν σώματα πρότερον οὐκ ὄντα. — Τί μήν; — Ταύτῃ τοίνυν ξυμπάσας ἐπιστήμας διαίρει, τὴν μὲν πρακτικὴν προσειπών, τὴν δὲ μόνον γνωστικήν. — Ἔστω σοι ταῦθ' ὡς μιᾶς ἐπιστήμης τῆς ὅλης εἴδη δύο. Τοῦ αὐτοῦ ἐκ τοῦ Φιλήβου (p. 55 D—56A). Ἐν δὴ ταῖς χειροτεχνικαῖς διανοηθῶμεν πρῶτα εἰ τὸ μὲν ἐπιστήμης αὐτῶν μᾶλλον ἐχόμενον, τὸ δ' ἧττον ἕνι, καὶ δεῖ τὰ μὲν ὡς καθαρώτατα νομίζειν, τὰ δὲ ὡς ἀκαθαρτότερα. — Οὐκοῦν χρή. — Τὰς τοίνυν ἡγεμονικὰς διαληπτέον ἑκάστων αὐτῶν χωρίς; — Ποίας καὶ πῶς; — Οἷον πασῶν που τεχνῶν ἄν τις ἀριθμητικὴν χωρίζῃ καὶ μετρητικὴν καὶ στατικήν, ὡς ἔπος εἰπεῖν φαῦλον τὸ κατα- Τὸ γοῦν μετὰ ταῦτα εἰκάζειν λείποιτ' ἂν καὶ τὰς αἰσθήσεις καταμελετᾶν ἐμπειρίᾳ καί τινι τριβῇ, ταῖς τῆς στοχαστικῆς προσχρωμένους δυνάμεσιν ἃς οἱ πολλοὶ τέχνας ἐπονομάζουσι, μελέτῃ καὶ πόνῳ τὴν ῥώμην ἀπειργασμένας. —

4.19 Εὐριπίδου Ἑλένη (726 s.). Κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν, καὶ ξυγγέγηθε καὶ συνωδίνει κακοῖς. Εὐριπίδου Ἑλένη (728 ss.). Ἐγὼ [δὲ δοῦλος] 〈μὲν εἴην〉 , κεἰ πέφυχ' ὅμως λάτρις, ἐν τοῖσι γενναίοισιν ἠριθμημένος δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον, τὸν νοῦν δέ. κρεῖσσον γὰρ τόδ' ἢ δυοῖν κακοῖν ἕν' ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς ἄλλων τ' ἀκούειν δοῦλον ὄντα τῶν πέλας. Εὐριπίδου Μελεάγρῳ (fr. 529 N. 2). Ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις. Εὐριπίδου Ἀντιόπῃ (fr. 216 N. 2). Οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας γνώμας διώκειν οὐδ' ἐς ἀργίαν βλέπειν. Μενάνδρου (fr. 796 K.). Λυπεῖ με δοῦλος μεῖζον οἰκέτου φρονῶν. Μενάνδρου (fr. 644 K.). Ὅταν τύχῃ τις εὐνοοῦντος οἰκέτου, οὐκ ἔστιν οὐθὲν κτῆμα κάλλιον βίῳ. Τοῦ αὐτοῦ (fr. 1093 K.). Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον. Φιλήμονος Θηβαίων (fr. 31 K.). Ἐμοῦ γάρ ἐστι κυριεύων εἷς ἀνήρ· τούτων δὲ καὶ σοῦ μυρίων τ' ἄλλων νόμος, ἑτέρων τύραννος, τῶν τυραννούντων φόβος. δοῦλοι βασιλέων εἰσίν, ὁ βασιλεὺς θεῶν, ὁ θεὸς Ἀνάγκης. πάντα δ', ἂν σκοπῇς, ὅλως Ἀντιφάνους (fr. 265 K.). Δούλῳ γὰρ οἶμαι πατρίδος ἐστερημένῳ χρηστὸς γενόμενός ἐστι δεσπότης πατρίς. Μενάνδρου (fr. 580 K.). Τί διὰ κενῆς εἶ χρηστός; 〈εἴ γ'〉 ὁ δεσπότης αὐτὸς 〈μὲν〉 ἀπολεῖ πάντα, σὺ δὲ μὴ λαμβάνεις, σαυτὸν ἐπιτρίβεις, οὐκ ἐκεῖνον ὠφελεῖς. Εὐριπίδου Ἀρχελάῳ (fr. 251 N. 2). Κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσιν. Εὐριπίδου Ἀντιόπῃ (fr. 217 N. 2). Τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν; Εὐριπίδου Ἀρχελάου (fr. 261 N. 2). ΧΟΡ. Ἔσωσα δούλην οὖσαν. οἱ γὰρ ἥσσονες τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν. Εὐριπίδου Ἀλεξάνδρου (fr. 48 N. 2). Σοφὸς μὲν οὖν εἶ, Πρίαμ', ὅμως δέ σοι λέγω, κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα. Εὐριπίδου Ἀλεξάνδρου (fr. 49 N. 2). Ἤλεγχον· οὕτω γὰρ κακὸν δοῦλον γένος· γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ.

Εὐριπίδου Ἀλεξάνδρου (fr. 50 N. 2). Δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος, πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν. Μενάνδρου Προεγκαλῶν (fr. 419 K.). Τὸ δὲ κελευόμενον μέν ἐστιν ἀσφαλέστατον δούλῳ ποεῖν, ὥς φασιν. Εὐριπίδου Ἀλεξάνδρου (fr. 57 N. 2). Ὦ παγκάκιστοι καὶ τὸ δοῦλον οὐ λόγῳ ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι. Μενάνδρου Παιδίον (fr. 370 K.). Εὐριπίδου Ἀλεξάνδρου (fr. 51 N. 2). Δούλους γὰρ οὐ καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν. Φιλήμονος Ἐξοικιζομένου (fr. 22 K.). Κἂν δοῦλος ᾖ τις, οὐθὲν ἧττον, δέσποτα, ἄνθρωπος οὗτός ἐστιν, ἂν ἄνθρωπος ᾖ. Φιλήμονος Παίδων (fr. 56 K.). Κακόν ἐστι δούλῳ δεσπότης πράττων κακῶς· μετέχειν ἀνάγκη τῶν κακῶν γὰρ γίγνεται. Εὐριπίδου Ἀλκμέωνος (85 N. 2). Μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου. Εὐριπίδου ἐκ Βουσίριδος (fr. 313 N. 2). Δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν, εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι. Εὐριπίδου Ἀλκμέωνος (fr. 86 N. 2). Ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν, πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει. Εὐριπίδου Εὐρυσθέως (fr. 375 N. 2). Πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον τοιοῦτόν τ' εἶναι, καὶ στέγειν τὰ δεσποτῶν. Εὐριπίδου Ἀλκμήνης (fr. 93 N. 2). Ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ δούλοις ἄριστα· κἀφ' ὅτῳ τεταγμένος εἴη τις, ἀνδάνοντα δεσπόταις ποιεῖν. Εὐριπίδου Ἑκάβης (332 s.). Αἰαῖ· τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ τολμᾷ θ' ἃ μὴ χρή, τῇ βίᾳ κρατούμενον. Σοφοκλέους Ἀκρισίῳ (fr. 60 N. 2). Δῆλον γάρ· ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει. Εὐριπίδου Ἴωνος (854 ss.). Ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει τοὔνομα· τὰ δ' ἄλλα πάντα τῶν ἐλευθέρων οὐδεὶς κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ. Μενάνδρου Θετταλῆ (fr. 231 K.). Εὐθυμία, Τίβιε, τὸν δοῦλον τρέφει. Εὐβούλου (fr. 129 K.). Σοφοκλέους (fr. 854 N. 2). Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος. Μενάνδρου (fr. 581 K.). Ἐμοὶ πόλις ἐστὶ καὶ καταφυγὴ καὶ νόμος καὶ τοῦ δικαίου τοῦ τ' ἀδίκου παντὸς κριτὴς ὁ δεσπότης. πρὸς τοῦτον ἕνα δεῖ ζῆν ἐμέ. Φιλίππου (Menandri fr. 1093 K.). Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον. Θεόγνιδος (535 s.). Οὔ ποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν, ἀλλ' ἀεὶ σκολιή, καὐχένα λοξὸν ἔχει. Εὐριπίδου Μηδείας (54 s.). Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν Εὐριπίδου Μελανίππης (fr. 511 N. 2). Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ· πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων. Εὐριπίδου Φρίξῳ (fr. 831 N. 2). Πολλοῖσι δούλοις τοὔνομ' αἰσχρόν, ἡ δὲ φρὴν τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα. Ἀλέξιδος (Com. III p. 744 K.). Ἀλλ' ἐπὶ τὸ πλῆθος ἐμφερεῖς τοὺς οἰκέτας ἔχοντας ὄψει τοὺς τρόπους τοῖς δεσπόταις. τοῖς ἤθεσιν γὰρ οἷς ὑπηρετοῦς' ἀεὶ προσέχουσα τούτοις ἡ φύσις κεράννυται. Εὐριπίδου Ἀντιόπης (fr. 218 N. 2). Φεῦ φεῦ· τὸ δοῦλον ὡς ἁπανταχῇ γένος πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός. Βίωνος ἐν τῷ Περὶ δουλείας. Φησὶν ὁ Βίων· οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι, οἱ πονηροὶ ἐλεύθεροι δοῦλοι πολλῶν ἐπιθυμιῶν. Φαβωρίνου (fr. 63 p. 127 Marr.). Ζάμολξις οἰκέτης ἦν Πυθαγόρου, καὶ προσεκύνησαν αὐτὸν οἱ Γέται. Μητροδώρου (fr. 58 Koerte). Δοῦλος ἀναγκαῖον μὲν κτῆμα, οὐχ ἡδὺ δέ. Δημοκρίτου (fr. 270 Diels 2). Οἰκέταισιν ὡς μέρεσι τοῦ σκήνεος χρῶ ἄλλῳ πρὸς ἄλλο. Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ (fr. V vol. II p. 309 Arn.). Χρὴ οὖν δεσπόζειν ἐπιεικῶς καὶ ἀνεθῆναί ποτε βουλομένοις ἐπιτρέπειν. αἱ γὰρ ἀνέσεις παρασκευαστικαὶ πόνων εἰσί, καὶ τόξον καὶ λύρα καὶ ἄνθρωπος ἀκμάζει δι' ἀναπαύσεως. Διογένους. Διογένης ἀποδράντος τοῦ οἰκέτου οὐκ ἐφρόντιζε δεινὸν εἶναι λέγων, εἰ Διογένης μὲν χωρὶς αὐτοῦ ζῆν οὐ δύναται, αὐτοῦ δ' ἐκεῖνος χωρὶς δύναται. Ἐκ τῶν Σερήνου ἀπομνημονευμάτων. Γελλίας ὁ Ἀκραγαντῖνος ἐπιξενωθεὶς ἀνδρὶ σκληρῷ καὶ ἀπὸ παντὸς πορίζοντι, ὃς οὐδὲ καθεύδειν τοῖς οἰκέταις ἐπέτρεπεν, ἀλλ' ἄλλος ἄλλο τι τὴν νύκτα εἰργάζετο, ὑποδεξάμενος καὶ αὐτὸς τοῦτον εἰς Ἀκράγαντα ἀφικόμενον μετὰ δεῖπνον συνεκάλει τὰ παιδία τῶν οἰκετῶν, τὰ δὲ ἦν πάμπολλα, καὶ τοῖς μὲν ἐδίδου κάρυα τοῖς δὲ σῦκα ξηρά. ἐρομένου δ' ἐκείνου πόθεν παιδία τοσαῦτα; 'ταῦτα' ἔφη Πλάτωνος (epist. VIII p. 354 E). Δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον, ἔμμετρος δὲ οὖσα πανάγαθον. μετρία δὲ ἡ

θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ ἀνθρώποις σώφροσι νόμος. 〈Νόμων ϛ′ p. 762 E〉. Ὁ μὴ δουλεύσας οὐδ’ ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου. Ἡροδότου ἱστορίας η′ (68). Πρὸς δέ, ὦ βασιλεῦ, καὶ τόδε ἐς θυμὸν βάλεο, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί. Πλάτωνος Νόμων ϛ′ (p. 777 B—778 A). Ἐπειδὴ δύσκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος, καὶ πρὸς ἀναγκαίαν διόρισιν, τὸ δοῦλόν τε ἔργῳ διορίζεσθαι καὶ ἐλεύθερον καὶ δεσπότην, οὐδαμῶς εὔχρηστον ἐθέλειν εἶναί τε καὶ γίγνεσθαι φαίνεται, χαλεπὸν δὴ τὸ κτῆμα· ἔργῳ γὰρ πολλάκις ἐπιδέδεικται περὶ τὰς Μεσσηνίων συχνὰς εἰωθυίας ἀποστάσεις γίγνεσθαι, ..., καὶ ἔτι τὰ τῶν λεγομένων περιδίνων τῶν περὶ τὴν Ἰταλίαν γιγνομένων παντοδαπὰ κλωπῶν ἔργα τε καὶ παθήματα· πρὸς ἅ τις ἂν πάντα βλέψας διαπορήσειε, τί χρὴ δρᾶν περὶ πάντων τῶν τοιούτων. δύο δὴ λείπεσθον μόνω μηχανά, μήτε πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας ῥᾴον δουλεύσειν, ἀσυμφώνους τε εἰς δύναμιν ὅ τι μάλιστα, τρέφειν δὲ αὐτοὺς ὀρθῶς, μὴ μόνον ἐκείνων οὕνεκα, πλέον δὲ αὐτῶν προτιμῶντας· ἡ δὲ τροφὴ τῶν τοιούτων μήτε τινὰ ὕβριν ὑβρίζειν εἰς τοὺς οἰκέτας, ἧττον δέ, εἰ δυνατόν, ἀδικεῖν ἢ τοὺς ἐξ ἴσου. διάδηλος γὰρ ὁ φύσει καὶ μὴ πλαστῶς τῶν δούλων οὖν ἤθη καὶ πράξεις γιγνόμενός τις ἀμίαντος τοῦ τε ἀνοσίου πέρι καὶ ἀδίκου, σπείρειν εἰς ἀρετῆς ἔκφυσιν ἱκανώτατος ἂν εἴη, ταὐτὸν δ’ ἔστιν εἰπεῖν τοῦτο ὀρθῶς ἅμα λέγοντα ἐπί τε δεσπότῃ καὶ τυράννῳ καὶ πᾶσαν δυναστείαν δυναστεύοντι πρὸς ἀσθενέστερον ἑαυτοῦ. κολάζειν γε μὴν ἐν δίκῃ δούλους δεῖ, καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν· τὴν δὲ οἰκέτου πρόσρησιν χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι, μὴ προσπαίζοντας μηδαμῇ μηδαμῶς οἰκέταις, μήτ’ οὖν θηλείαις μήτε ἄρρεσιν, ἃ δὴ πρὸς δούλους φιλοῦσι πολλοὶ σφόδρα ἀνοήτως θρύπτοντες χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκεί- Εὐριπίδου Αἰόλῳ (fr. 26 N. 2). Τῇ δ’ Ἀφροδίτῃ πόλλ’ ἔνεστι ποικίλα· τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς. τύχοιμι δ’ αὐτῆς ἡνίκ’ ἐστὶν εὐμενής. Εὐριπίδου Ἀντιόπῃ (fr. 213 N. 2). Κόρος δὲ πάντων· καὶ γὰρ ἐκ καλλιόνων λέκτροις ἐπ’ αἰσχροῖς εἶδον ἐκπεπληγμένους, δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα. Εὐριπίδου Ἱππολύτῳ (fr. 428 N. 2). Εὐριπίδου Ἀντιγόνῃ (fr. 162 N. 2). Ἀνδρὸς δ’ ὁρῶντος εἰς Κύπριν νεανίου ἀφύλακτος ἡ τήρησις, ὡς κἂν φαῦλος ᾖ τἄλλ’, εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτατος· ἢν δ’ ἂν προσῆται Κύπρις, ἥδιστον λαβεῖν. Εὐριπίδου Ἱππολύτῳ (443 ss.). Κύπρις γὰρ οὐ φορητόν, ἢν πολλὴ ῥυῇ· ἢ τὸν μὲν εἴκονθ’ ἡσυχῇ μετέρχεται, ὃν δ’ ἂν περισσὰ καὶ φρονοῦνθ’ εὕρῃ μέγα, τοῦτον λαβοῦσα, [οὕτω] πῶς 〈δοκεῖς;〉 καθύβρισεν. Σοφοκλέους (fr. 855 N. 2). Ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον, ἀλλ’ ἐστὶ πάντων ὀνομάτων ἐπώνυμος. ἔστιν μὲν Ἅιδης, ἔστι δ’ ἄφθιτος βία, ἔστιν δὲ λύσσα μανιάς, ἔστι δ’ ἵμερος ἄκρατος, ἔστ’ οἰμωγμός· ἐν κείνῃ τὸ πᾶν εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει, ἔνεστι δ’ ἐν χέρσου τετρασκελεῖ γονῇ· νωμᾷ δ’ ἐν οἰωνοῖσι τοὐκείνης πτερόν, ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω. τίν’ οὐ παλαίους’ ἐς τρὶς ἐκβάλλει θεῶν; εἴ μοι θέμις, θέμις δὲ τἀληθῆ λέγειν, Διὸς τυραννεῖ πλευμόνων; ἄνευ δορός, ἄνευ σιδήρου· πάντα τοι συντέμνεται Κύπριδι τὰ θνητῶν καὶ θεῶν βουλεύματα. Ἐκ τῶν Βίωνος Βουκολικῶν (V p. 141 Wil.). Ταὶ Μοῖσαι τὸν ἔρωτα τὸν ἄγριον οὐ φοβέονται, ἐκ θυμῶ 〈δὲ〉 φιλεῦντι καὶ ἐκ ποδὸς αὐτῷ ἔπονται. κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ, τῆνον ὑπεκφεύγοντι καὶ οὐκ ἐθέλοντι διδάσκειν· ἢν δὲ νόον τις ἔρωτι δονεύμενος ἀδὺ μελίσδῃ, ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι. μάρτυς ἐγών, ὅτι μῦθος ὅδ’ ἔπλετο πᾶσιν ἀληθής. βαμβαίνει μοι γλῶσσα καὶ ὡς πάρος οὐκέτ’ ἀείδει· ἢν δ’ αὖτ’ ἐς τὸν ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω, καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει αὐδά. Ζωπύρου (fr. 1 p. 832 N. 2) Μηδεὶς ἄπειρος τῶν ἐμῶν εἴη φίλων ἔρωτος, εὐτυχῶν δὲ τὸν θεὸν λάβοι. Ἀριστάρχου (fr. 2 p. 728 N. 2). Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν, οὐκ οἶδ’ ἀνάγκης θεσμόν· ᾧ πεισθεὶς ἐγὼ οὕτω κρατηθεὶς τάσδ’ ἀπεστάλην ὁδούς. οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον. Ἀναξανδρίδου (fr. 61 K.). Ἔρως

σοφιστοῦ γίνεται διδάσκαλος σκαιοῦ πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον. Εὐριπίδου Αὐγῃ (fr. 269 N. 2). Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον, οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν. Ἀντιφάνους (fr. 324 K.). [Εἴ] τίς φησὶ τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν; ἢ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος. εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς, καταλείπετ' οὐδὲν ἕτερον ἢ τεθνηκέναι. Ἀλέξιδος (fr. 289 K.). Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος. Μενάνδρου Θησαυρῷ (fr. 235 K.). Εἶτ' οὐ μέγιστός ἐστι τῶν θεῶν Ἔρως καὶ τιμιώτατός γε τῶν πάντων πολύ; οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα ἄνθρωπος οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους, ὃς οὐχὶ τούτῳ μερίδα τῷ θεῷ νέμει τῆς οὐσίας· ὅσοις μὲν οὖν πράως ἔχει, νέοις ἔτ' οὖσι τοῦτο προστάττει ποεῖν· οἱ δ' εἰς τὸ γῆρας ἀναβολὰς ποιούμενοι, οὗτοι προσαποτίνουσι τοῦ χρόνου τόκους. Μενάνδρου Συναριστώσαις (fr. 449 K.). Ἔρως δὲ τῶν θεῶν ἰσχὺν ἔχων πλείστην ἐπὶ τούτου δείκνυται· διὰ τοῦτον ἐπιορκοῦσι τοὺς ἄλλους θεούς. Μιμνέρμου (fr. 1 p. l. II 4 p. 25 B.). Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης; τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι, κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή· οἳ' ἥβης ἄνθεα γίγνεται ἁρπαλέα ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ, αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι, οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου, ἀλλ' ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν· οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός. Μενάνδρου Ναυκλήρου (fr. 352 K.). Καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν. Μενάνδρου Θησαυρῷ (fr. 237 K.). Πολλοῖς ὑπέκκαυμ' ἐστ' ἔρωτος μουσική. Θεοκρίτου (III 20). Ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις. Μενάνδρου (fr. 797 K.). Ὀργὴ φιλούντων ὀλίγον ἰσχύει χρόνον. Μενάνδρου Ἥρωι (fr. 209 K.). Δέσποιν', ἔρωτος οὐδὲν ἰσχύει πλέον· οὐδ' αὐτὸς ὁ κρατῶν 〈τῶν〉 ἐν οὐρανῷ θεῶν Ζεύς, ἀλλ' ἐκείνῳ πάντ' ἀναγκασθεὶς ποεῖ. Εὐριπίδου Ἀνδρομέδας (fr. 138 N. 2). Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν, ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων, οὐκ ἔστι ποίας λείπεται τόδ' ἡδονῆς. Σοφοκλέους Τραχινίαις (441 ss.). Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ· οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει. Τοῦ αὐτοῦ Φαίδρᾳ (fr. 607 Dind.). Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται, οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται. καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει Ζεὺς ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται. Εὐριπίδου Ἱππολύτῳ (fr. 430 N. 2). Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον, Ἔρωτα, πάντων δυσμαχώτατον θεόν. Ἐκ τῶν Βίωνος Βουκολικῶν (VI Wil.). Ἁ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον· 'μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε.' ὣς λέγε· χἁ μὲν ἀπῆνθεν, ἐγὼ δ' ὅσα βουκολίασδον, νήπιος ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον, ὡς εὗρεν πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα, ὡς χέλυν Ἑρμάων, κίθαριν ὡς ἁδὺς Ἀπόλλων. ταῦτά μιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων, ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί με δίδασκε Τοῦ αὐτοῦ (VII Wil.). Ἔσπερε, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενήας, Ἔσπερε κυανέας ἱερὸν φίλε Νυκτὸς ἄγαλμα, τόσσον ἀφαυρότερος μήνας, ὅσον ἔξοχος ἄστρων, χαῖρε φίλος, καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι ἀντὶ σελαναίας τὺ δίδου φάος, ὥνεκα τήνα σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωρὰν ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντας ἐνοχλέω· ἀλλ' ἐράω· καλόν τοι ἐρασσαμένῳ συναρέσθαι. Τοῦ αὐτοῦ (VIII Wil.). Ὅλβιοι 〈οἱ〉 φιλέοντες, ἐπὴν ἴσον ἀντεράωνται. ὄλβιος ἦν Θησεὺς τῶ Πειριθόω παρεόντος, εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀΐδαο. ὄλβιος ἦν χαλεποῖσιν ἐν ἀξείνοισιν Ὀρέστας, Ἐκ τῶν Μόσχου τοῦ Σικελιώτου Βουκολικῶν (II Wil.). Ἤρατο Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχὼ σκιρτατᾶ Σατύρω, Σάτυρος δ' ἐπεμήνατο Λύδᾳ. ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχώ, καὶ Λύδα Σατυρίσκον· Ἔρως δ' ἐσμύχετ' ἀμοιβά. ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα, τόσσον ὁμῶς φιλέων ἠχθαίρετο, πάσχε δ' ἃ ποίει. ταῦτα λέγω πᾶσιν τὰ διδάγματα τοῖς ἀνεράστοις· στέργετε τοὺς

φιλέοντας, ἵν' ἦν φιλέητε φιλῆσθε. Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 183 B). Ὃ δὲ δεινότατον, ὥς γε λέγουσιν οἱ πολλοί, ὅτι καὶ ὀμνύντι μόνῳ ξυγγνώμη παρὰ θεῶν ἐκβάντι τὸν ὅρκον· ἀφροδίσιον γὰρ ὅρκον οὔ φασιν εἶναι. οὕτω καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασιν τῷ ἐρῶντι, Χρυσίππου (fr. 720 Arn.). Εἰπόντος τινός 'οὐκ ἐρασθήσεται ὁ σοφός· μαρτυρεῖ γοῦν Μενέδημος, Ἐπίκουρος, Ἀλεξῖνος', 'ταύτῃ' ἔφη 'χρήσομαι ἀποδείξει· εἰ γὰρ Ἀλεξῖνος ὁ ἀνάγωγος καὶ Ἐπίκουρος ὁ ἀναίσθητος καὶ Μενέδημος 〈ὁ λῆρος〉 οὔ φασιν, ἐρασθήσεται ἄρα.' Ἀριστοτέλους. Ἀριστοτέλης ὁ Κυρηναῖος φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος εἰ ὁ ἔρως ἕνεκα τῆς συνουσίας γίγνεται 'οὔτ'' ἔφη 'διὰ τοῦτο οὔτ' ἄνευ τούτου.' Δημοκρίτου (fr. 271 Diels 2). Ἐρωτικὴν μέμψιν ἡ ἀγαπωμένη λύει. Πλουτάρχου ἐκ τοῦ Περὶ ἔρωτος (vol. VII p. 130 Bern.). ἄνδρα συμπεριλαμβάνωμεν εἰς τὴν ζήτησιν, ἐπεὶ καὶ λελάληκε περὶ τοῦ πάθους φιλοσοφώτερον. ἄξιον γὰρ εἶναι θαύματος φήσας τὸ περὶ τοὺς ἐρῶντας, ὥσπερ ἔστιν, ἅμα λαλεῖ· εἶτα ἀπορεῖ καὶ ζητεῖ πρὸς ἑαυτόν· τίνι δεδούλωνταί ποτε; ὄψει; φλύαρος· τῆς γὰρ αὐτῆς πάντες ἂν ἥρων· κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει. ἀλλ' ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται συνουσίας; πῶς οὖν ἕτερος ταύτην ἔχων οὐδὲν πέπονθεν ἀλλ' ἀπῆλθε καταγελῶν, ἕτερος 〈δ'〉 ἀπόλωλε; καιρός ἐστιν 〈ἡ〉 νόσος ψυχῆς· ὁ πληγεὶς δ' εἴσω δὴ τιτρώσκεται. ταῦτα τίν' ἐστὶ σκεψώμεθα· καὶ γὰρ ἔχει τι κρουστικὸν καὶ κινητικὸν αἴτιον, 〈εἰ μήτε τὴν ὄψιν〉 μήτε τὴν τινες ἴσως, ἡ δὲ ἰσχὺς καὶ ῥίζωσις τοῦ πάθους ἐν ἑτέροις. ἡ δ' ἀπόδειξις ἐλαφρὰ καὶ οὐδ' ἀληθής· οὐ γὰρ ἔχει κρίσιν 〈ἴσην〉 τὸ βλέπειν, ὥσπερ οὐδὲ τὸ γεύεσθαι. καὶ γὰρ ὄψις ὄψεως. καὶ ἀκοῆς ἀκοὴ φύσει τε μᾶλλον διήρθρωται καὶ τέχνῃ συγγεγύμνασται πρὸς τὴν τοῦ καλοῦ διάγνωσιν, ἐν μὲν ἁρμονίαις καὶ μέλεσιν αἱ τῶν μουσικῶν, ἐν δὲ μορφαῖς καὶ ἰδέαις αἱ τῶν ζῳγράφων· ὥσπερ εἰπεῖν ποτε Νικόμαχον λέγουσι πρὸς ἄνθρωπον ἰδιώτην φήσαντα μὴ καλὴν αὐτῷ φανῆναι τὴν Ζεύξιδος Ἑλένην· 'λάβε γάρ' ἔφη 'τοὺς ἐμοὺς ὀφθαλμούς, καὶ θεός σοι φανήσεται'. πολὺ δὲ καὶ μυρεψοὶ περὶ τὰ ὀσφραντὰ καὶ νὴ Δία ὀψοποιοὶ περὶ τὰ γευστὰ διατριβῇ καὶ συνηθείᾳ διαφέρουσαν ἡμῶν κρίσιν ἔχουσι. πάλιν δὲ τὸ συνουσίᾳ τὸν ἔρωτα μὴ κρατεῖσθαι, διὰ τὸ τῇ αὐτῇ συγγενόμενον ἄλλον ἀπαλλαγῆναι καὶ καταφρονῆσαι ....., τοιοῦτόν ἐστιν, οἷον εἰ λέγοι τις μηδὲ χυμῶν ἡδονῇ δεδουλῶσθαι Φιλόξενον τὸν ὀψοφάγον, ὅτι τῶν αὐτῶν Ἀντισθένης γευσάμενος οὐδὲν ἔπαθε τοιοῦτον· μηδὲ ὑπὸ οἴνου μεθύειν Ἀλκιβιάδην, ὅτι Σωκράτης πίνων τὸν ἴσον οἶνον ἔνηφεν. ἀλλὰ ταῦτα μὲν ἐάσωμεν, τὰ δ' ἐφεξῆς, ἐν οἷς ἤδη τὴν αὐτοῦ δόξαν ἀποφαίνεται, σκοπῶμεν. καιρός ἐστιν ἡ νόσος ψυχῆς. εὖ καὶ ὀρθῶς. δεῖ γὰρ ἅμα τοῦ πάσχοντος εἰς ταὐτὸ ἐχόντων· ὡς ἄκυρον εἰς τὴν τοῦ τέλους ἀπεργασίαν ἡ δραστικὴ δύναμις, ἂν μὴ παθητικὴ διάθεσις ᾖ. τοῦτο δὲ εὐστοχίας ἐστὶ καιροῦ τῷ παθεῖν ἑτοίμῳ συνάπτοντος ἐν ἀκμῇ τὸ ποιεῖν πεφυκός. Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 189 D—192 D). Ἡ γὰρ πάλαι ἡμῶν φύσις οὐχ αὐτὴ ἦν ἥπερ νῦν, ἀλλὰ ἀλλοία. πρῶτον μὲν γὰρ τρία ἦν γένη τὰ τῶν ἀνθρώπων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ, ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν 〈ὂν〉 ἀμφοτέρων τούτων, οὗ νῦν ὄνομα λοιπόν, αὐτὸ δὲ ἠφάνισται· ἀνδρόγυνον γὰρ τότε μὲν ἦν καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος, νῦν δὲ οὐκ ἔστιν ἀλλ' ἢ ἐν ὀνείδει ὄνομα κείμενον. ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος στρογγύλον, νῶτόν τε καὶ πλευρὰς κύκλῳ ἔχον, χεῖρας δὲ τέτταρας εἶχε, καὶ σκέλη τὰ ἴσα ταῖς χερσί, καὶ πρόσωπα δύο ἐπὶ αὐχένι κυκλοτερεῖ, ὅμοια πάντη· κεφαλὴν δὲ ἐπ' ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις 〈κειμένοισ〉 μίαν, καὶ ὦτα τέτταρα, καὶ αἰδοῖα δύο, καὶ τἆλλα πάντα ὡς ἀπὸ τούτων ἄν τις εἰκάσειεν. ἐπορεύετο δὲ καὶ ὀρθὸν ὥσπερ νῦν, ὁποτέρωσε βουληθείη· καὶ ὁπότε ταχὺ ὁρμήσειε θεῖν, ὥσπερ οἱ κυβιστῶντες κύκλῳ. ἦν δὲ διὰ ταῦτα τρία τὰ γένη καὶ τοιαῦτα, ὅτι τὸ μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον, τὸ δὲ θῆλυ τῆς γῆς, τὸ δὲ ἀμφοτέρων μετέχον τῆς σελήνης, ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων μετεῖχεν· περιφερῆ δὲ δὴ ἦν καὶ αὐτὰ καὶ ἡ πορεία αὐτῶν διὰ τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι. ἦν οὖν τὴν ἰσχὺν δεινὰ καὶ τὴν ῥώμην, καὶ τὰ φρονήματα μεγάλα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶχον, ἐπεχείρησαν δὲ τοῖς θεοῖς, καὶ ὃ λέγει Ὅμηρος περὶ Ἐφιάλτου τε καὶ Ὤτου, περὶ ἐκείνων λέγεται, τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων τοῖς θεοῖς. ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοὶ ἐβουλεύοντο ὅ τι χρὴ αὐτοὺς ποιῆσαι, καὶ ἠπόρουν· οὔτε γὰρ ὅπως ἀποκτείναιεν εἶχον καὶ ὥσπερ τοὺς γίγαντας κεραυνώσαντες τὸ γένος ἀφανίσαιεν· αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων ἠφανίζετο· οὔτε ὅπως ἐῷεν ἀσελγαίνειν. μόλις δὲ ὁ Ζεὺς ἐννοήσας λέγει ὅτι ‘Δοκῶ μοι‘ 〈ἔφη〉 ‘ἔχειν μηχανήν, ὡς ἂν εἶέν τε ἄνθρωποι καὶ παύσαιντο τῆς ἀκολασίας ἀσθενέστεροι γενόμενοι. νῦν μὲν γὰρ αὐτούς, ἔφη, διατεμῶ δίχα ἕκαστον, καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται, ἅμα δὲ χρησιμώτεροι ἡμῖν διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι· καὶ βαδιοῦνται ὀρθοὶ ἐπὶ δυοῖν σκελοῖν. ἐὰν δὲ ἔτι δοκῶσιν ἀσελγαίνειν καὶ μὴ θέλωσιν ἡσυχίαν ἄγειν, πάλιν αὖ, ἔφη, τεμῶ δίχα, ταῖς θριξίν· ὄντινα δὲ τέμοι, τὸν Ἀπόλλω ἐκέλευεν τό τε πρόσωπον μεταστρέφειν καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομήν, ἵνα θεώμενος τὴν αὑτοῦ τμῆσιν κοσμιώτερος εἴη ὁ ἄνθρωπος, καὶ τἆλλα ἰᾶσθαι ἐκέλευεν. ὁ δὲ τό τε πρόσωπον μετέστρεφε, καὶ ξυνέλκων πανταχόθεν τὸ δέρμα ἐπὶ τὴν γαστέρα νῦν καλουμένην, ὥσπερ τὰ σύσπαστα βαλλάντια, ἓν στόμα ποιῶν ἀπέδει κατὰ μέσην τὴν γαστέρα, ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσιν. καὶ τὰς μὲν ἄλλας ῥυτίδας 〈τὰσ〉 πολλὰς ἐξελέαινε καὶ τὰ στήθη διήρθρου, ἔχων τι τοιοῦτον ὄργανον οἷον οἱ σκυτοτόμοι περὶ τὸν καλάποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας· ὀλίγας δὲ κατέλιπε τὰς περὶ αὐτὴν τὴν γαστέρα καὶ τὸν ὀμφαλόν, μνημεῖον εἶναι τοῦ παλαιοῦ πάθους. ἐπειδὴ οὖν ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαστον τὸ ἥμισυ τὸ αὑτοῦ ξυνῄει, καὶ περιβάλλοντες τὰς χεῖρας καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες ξυμφῦναι, ἀπέθνῃσκον ὑπὸ τοῦ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας διὰ τὸ μηδὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν. καὶ ὁπότε τι ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ δὴ νῦν γυναῖκα καλοῦμεν. εἴτε ἀνδρός· 〈καὶ〉 οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς ἄλλην μηχανὴν πορίζεται, καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν· τέως γὰρ καὶ ταῦτα ἐκτὸς εἶχον, καὶ ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλήλλους ἀλλ’ εἰς γῆν, ὥσπερ οἱ τέττιγες. μετέθηκέ τε οὖν οὕτως αὐτῶν εἰς τὸ ἔμπροσθεν καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησεν, διὰ τοῦ ἄρρενος ἐν τῷ θήλει, τῶνδε ἕνεκα, ἵνα ἐν τῇ συμπλοκῇ ἅμα μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι, γεννῷεν καὶ γίγνοιτο τὸ γένος, ἅμα δ’ εἰ καὶ ἄρρεν ἄρρενι, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας καὶ διαπαύοιντο καὶ ἐπὶ τὰ ἔργα τρέποιντο καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο. ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις καὶ τῆς ἀρχαίας φύσεως συναγωγὸς καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου σύμβολον, ἅτε τετμημένος ὥσπερ αἱ ψῆτται, ἐξ ἑνὸς δύο· ζητεῖ δὴ ἀεὶ τὸ αὑτοῦ ἕκαστον σύμβολον. ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ τμῆμά εἰσιν, ὃ δὴ τότε ἀνδρόγυνον ἐκαλεῖτο, φιλογύναικές τέ εἰσιν καὶ οἱ πολλοὶ τῶν μοιχῶν ἐκ τούτου τοῦ γένους γεγόνασιν, καὶ ὅσαι αὖ γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι. ὅσαι δὲ τῶν γυναικῶν γυναικὸς τμῆμά εἰσιν, οὐ πάνυ αὗται τοῖς ἀνδράσι τὸν νοῦν προσέχουσιν, ἀλλὰ μᾶλλον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσίν, καὶ 〈αἱ〉 ἑταιρίστριαι ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσοι δὲ ἄρρενος τμῆμά εἰσιν, τὰ ἄρρενα διώκουσιν, καὶ τέως μὲν ἂν παῖδες ὦσιν, ἅτε 〈τεμάχια〉 ὄντα τοῦ ἄρρενος, φιλοῦσι τοὺς ἄνδρας καὶ χαίρουσι ξυγκατακείμενοι καὶ ξυμπλεκόμενοι τοῖς ἀνδράσι, καί εἰσιν οὗτοι βέλτιστοι τῶν παίδων καὶ μειρακίων, ἅτε ἀνδρειότατοι ὄντες φύσει. φασὶ δὲ δή τινες αὐτοὺς ἀναισχύντους εἶναι, ψευδόμενοι· οὔτε γὰρ ὑπ’ ἀναισχυντίας τοῦτο δρῶσιν ἀλλ’ ὑπὸ θάρρους καὶ ἀνδρείας καὶ ἀρρενωπίας, τὸ ὅμοιον αὐτοῖς ἀσπαζόμενοι. μέγα δὲ τεκμήριον· καὶ γὰρ τελεωθέντες μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ ἄνδρες οἱ τοιοῦτοι. ἐπειδὰν δὲ ἀνδρωθῶσι, παιδεραστοῦσι καὶ πρὸς γάμους καὶ παιδοποιίας οὐ προσέχουσι τὸν νοῦν φύσει, ἀλλ’ ὑπὸ τοῦ νόμου ἀναγκάζονται· ἀλλ’ ἐξαρκεῖ αὐτοῖς μετ’ ἀλλήλων καταζῆν ἀγάμοις οὖσι. πάντως μὲν οὖν ὁ τοιοῦτος παιδεραστής τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φιλεραστὴς γίγνεται, ἀεὶ τὸ ξυγγενὲς ἀσπαζόμενος. ὅταν μὲν οὖν καὶ αὐτῷ ἐκείνῳ ἐντύχῃ τῷ αὐτοῦ ἡμίσει καὶ ὁ παιδεραστὴς παὶ ἄλλος πᾶς, τότε καὶ θαυμαστὰ ἐκπλήττονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι, οὐκ ἐθέλοντες ὡς ἔπος εἰπεῖν χωρίζεσθαι ἀλλήλων οὐδὲ ἐπὶ σμικρὸν χρόνον. καὶ οἱ διατελοῦντες μετ' ἀλλήλων διὰ βίου οὗτοί εἰσιν, οἳ οὐδ' ἂν ἔχοιεν εἰπεῖν ὅ τι βούλονται σφίσι παρ' ἀλλήλων γίγνεσθαι. οὐδενὶ γὰρ ἂν δόξειε τοῦτ' εἶναι ἡ τῶν ἀφροδισίων ξυνουσία, ὡς ἄρα τούτου ἕνεκα ἕτερος ἑκατέρῳ χαίρει συνὼν οὕτως ἐπὶ μεγάλης σπουδῆς· ἀλλ' ἄλλο τι βουλομένη ἡ ψυχὴ ἑκατέρου δήλη ἐστίν, ὃ οὐ δύναται εἰπεῖν, ἀλλὸ μαντεύεται ὃ βούλεται, καὶ αἰνίττεται. Ἐν ταὐτῷ (p. 195 A—197 E). Φημὶ οὖν ἐγὼ πάντων θεῶν εὐδαιμόνων ὄντων Ἔρωτα, εἰ θέμις καὶ ἀνεμέσητον εἰπεῖν, εὐδαιμονέστατον εἶναι αὐτῶν, κάλλιστον ὄντα καὶ ἄριστον. ἔστι δὲ κάλλιστος ὢν τοιόσδε. πρῶτον μὲν νεώτατος θεῶν, ὦ Φαῖδρε. μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐτὸς παρέχεται, φεύγων φυγῇ τὸ γῆρας, ταχὺ ὂν δῆλον ὅτι· θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν προσέρχεται. ὁ δὴ πέφυκεν Ἔρως μισεῖν καὶ οὐδ' ἐντὸς πολλοῦ πλησιάζειν. μετὰ δὲ νέων αἰεὶ ξύνεστί τε καὶ ἔστιν· ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει. ἐγὼ δὲ Φαίδρῳ πολλὰ ἄλλα ὁμολογῶν τοῦτο οὐχ ὁμολογῶ, ὡς Ἔρως Κρόνου καὶ Ἰαπετοῦ ἀρχαιότερός ἐστιν, ἀλλὰ φημὶ νεώτατόν τε αὐτὸν εἶναι θεῶν καὶ ἀεὶ νέον, τὰ δὲ παλαιὰ πράγματα περὶ θεούς, ἃ Ἡσίοδος καὶ Παρμενίδης λέγουσιν, Ἀνάγκῃ καὶ οὐκ Ἔρωτι γεγονέναι, 〈εἰ ἐκεῖνοι〉 ἀληθῆ λέγουσιν. οὐ γὰρ ἂν ἐκτομαὶ οὐδὲ δεσμοὶ ἀλλήλων ἐγένοντο, καὶ ἄλλα πολλὰ καὶ βίαια, εἰ Ἔρως ἐν αὐτοῖς ἦν, ἀλλὰ φιλία καὶ εἰρήνη, ὥσπερ νῦν, πρὸς δὲ τῷ νέῳ ἁπαλός· ποιητοῦ δέ ἐστιν ἐνδεὴς οἷός περ ἦν ὁ Ὅμηρος πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπαλότητα. Ὅμηρος γὰρ Ἄτην θεόν τέ φησιν εἶναι καὶ ἁπαλήν· τοὺς γοῦν πόδας αὐτῆς ἁπαλούς φησιν εἶναι λέγων τῆς μένθ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδεος πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει. καλῷ οὖν μοι δοκεῖ τεκμηρίῳ τὴν ἁπαλότητα ἀποφαίνειν, ὅτι οὐκ ἐπὶ σκληροῦ βαίνει, ἀλλ' ἐπὶ μαλθακοῦ. τῷ αὐτῷ δὴ καὶ ἡμεῖς χρησώμεθα τεκμηρίῳ περὶ Ἔρωτος ὅτι ἁπαλός. οὐ γὰρ ἐπὶ γῆς βαίνει οὐδ' ἐπὶ κρανίων, ἅ ἐστιν οὐ πάνυ μαλακά, ἀλλ' ἐν τοῖς μαλακωτάτοις τῶν ὄντων βαίνει καὶ οἰκεῖ. ἐν γὰρ ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται, καὶ οὐκ αὖ ἐν πάσαις ἑξῆς ταῖς ψυχαῖς, ἀλλὰ ᾗτινι ἂν σκληρὸν ἦθος ἐχούσῃ ἐντύχῃ, ἀπέρχεται, ᾗ δ' ἂν μαλακόν, οἰκίζεται. ἁπτόμενον οὖν ἀεὶ καὶ ποσὶ καὶ πάντῃ ἐν μαλακωτάτοις τῶν μαλακωτάτων, 〈ἁπαλώτατον〉 ἀνάγκη εἶναι. νεώτατος μὲν δή ἐστι καὶ ἁπαλώτατος, πρὸς δὲ τούτοις ὑγρὸς τὸ εἶδος. οὐ γὰρ ἂν οἷός τε ἦν πάντῃ περιπτύσσεσθαι οὐδὲ διὰ πάσης ψυχῆς καὶ εἰσιὼν τὸ πρῶτον λανθάνειν καὶ ἐξιών, εἰ σκληρὸς ἦν. συμμέτρου δὲ καὶ ὑγρᾶς οὐσίας μέγα τεκμήριον ἡ εὐσχημοσύνη, ὃ δὴ διαφερόντως ἐκ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ καὶ ἄλλῳ ὁτῳοῦν οὐκ ἐνίζει Ἔρως, οὗ δ' ἂν εὐώδης τε καὶ εὐανθὴς τόπος ᾖ, ἐνταῦθα δὲ καὶ ἵζει καὶ μένει. Περὶ μὲν οὖν κάλλους τοῦ θεοῦ καὶ ταῦτα ἱκανὰ καὶ ἔτι πολλὰ λείπεται, περὶ δὲ ἀρετῆς Ἔρωτος μετὰ ταῦτα λεκτέον, τὸ μὲν μέγιστον ὅτι Ἔρως οὔτε ἀδικεῖ οὔτε ἀδικεῖται οὔτε ὑπὸ θεοῦ οὔτε θεόν, οὔτε ὑπ' ἀνθρώπου οὔτε ἄνθρωπον. οὐδὲ γὰρ αὐτὸς βίᾳ πάσχει, εἴ τι πάσχει, βία γὰρ Ἔρωτος οὐχ ἅπτεται, οὔτε ποιῶν ποιεῖ· πᾶς γὰρ ἑκὼν Ἔρωτι πάνθ' ὑπηρετεῖ· ἃ δ' ἂν ἑκὼν ἑκόντι ὁμολογήσῃ, φασὶν 'οἱ πόλεων βασιλεῖς νόμοι' δίκαια εἶναι. πρὸς δὲ τῇ δικαιοσύνῃ σωφροσύνης πλείστης μετέχει. εἶναι γὰρ ὁμολογεῖται σωφροσύνη τὸ κρατεῖν ἡδονῶν καὶ ἐπιθυμιῶν, Ἔρωτος δὲ μηδεμίαν ἡδονὴν κρείττω εἶναι· εἰ δὲ ἥττους, κρατοῖντ' ἂν ὑπὸ Ἔρωτος, ὁ δὲ κρατοῖ, κρατῶν δὲ ἡδονῶν καὶ ἐπιθυμιῶν ὁ Ἔρως διαφερόντως ἂν σωφρονοίη. καὶ μὴν εἴς γε ἀνδρείαν Ἔρωτι 'οὐδὲ ἂν ἀνδρειότατος εἴη. περὶ μὲν οὖν δικαιοσύνης καὶ σωφροσύνης καὶ ἀνδρείας τοῦ θεοῦ εἴρηται, περὶ δὲ σοφίας λείπεται· ὅσον οὖν δυνατόν, πειρατέον μὴ ἐλλείπειν. καὶ πρῶτον μέν, ἵν' αὖ καὶ ἐγὼ τὴν ἡμετέραν τέχνην τιμήσω ὥσπερ Ἐρυξίμαχος τὴν αὐτοῦ, ποιητὴς ὁ θεὸς σοφὸς οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι· πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν Ἔρως ἅψηται. ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ

χρήσασθαι, ὅτι ποιητὴς ὁ Ἔρως ἀγαθὸς ἐν κεφαλαίῳ πᾶσαν ποίησιν τὴν κατὰ μουσικήν· ὃ γάρ τις ἢ μὴ ἔχει ἢ μὴ οἶδεν, οὔτ' ἂν ἑτέρῳ δοίη οὔτε ἂν ἄλλον διδάξειεν. καὶ μὴν τήν γε τῶν ζῴων ποίησιν πάντων τίς ἐναντιώσεται μὴ οὐχὶ Ἔρωτος εἶναι σοφίαν, ᾗ γίγνεταί 〈τε〉 καὶ φύεται πάντα τὰ ζῷα; ἀλλὰ τὴν τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη, οὗ δ' ἂν Ἔρως μὴ ἐφάψηται, σκοτεινός; τοξικήν γε μὴν καὶ ἰατρικὴν καὶ μαντικὴν Ἀπόλλων ἀνεῦρεν ἐπιθυμίας καὶ ἔρωτος ἡγεμονεύσαντος, ὥστε καὶ οὗτος Ἔρωτος ἂν εἴη μαθητής, καὶ Μοῦσαι μουσικῆς καὶ Ἥφαιστος χαλκείας καὶ Ἀθηνᾶ ἱστουργίας καὶ Ζεὺς ἐγίγνετο, ὡς λέγεται, διὰ τὴν τῆς Ἀνάγκης βασιλείαν· ἐπειδὴ δ' ὁ θεὸς οὗτος ἔφυ, ἐκ τοῦ ἐρᾶν τῶν καλῶν πάντα τὰ ἀγαθὰ γέγονεν καὶ θεοῖς καὶ ἀνθρώποις. Οὕτως ἐμοὶ δοκεῖ, ὦ Φαῖδρε, Ἔρως πρῶτον αὐτὸς ὢν κάλλιστος καὶ ἄριστος μετὰ τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι. ἐπέρχεταί δέ μοί τι καὶ ἔμμετρον εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλήνην νηνεμίαν τ' ἀνέμων, κοίτην τε ὕπνον τ' ἐνὶ κήδει. οὗτος γὰρ ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ, τὰς τοιάσδε ξυνόδους μετ' ἀλλήλων πάσας τιθεὶς ξυνιέναι, ἐν ἑορταῖς, ἐν χοροῖς, ἐν εὐθυμίαις γιγνόμενος ἡγεμών· πρᾳότητα μὲν πορίζων, ἀγριότητα δὲ ἐξορίζων· φιλόδωρος εὐμενείας, ἄδωρος δυσμενείας· ἵλεως ἀγαθοῖς, εὐμοίροις· τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου, πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν, ἀμελὴς κακῶν· ἐν πόνῳ, ἐν φόβῳ, ἐν πόθῳ, ἐν λόγῳ κυβερνήτης, ἐπιβάτης, παραστάτης τε καὶ σωτὴρ ἄριστος, ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος, ἡγεμὼν κάλλιστος καὶ ἄριστος, ᾧ χρὴ ἕπεσθαι πάντ' ἄνδρα ἐφυμνοῦντα καλῆς ᾠδῆς μετέχοντα, Δικαιογένους (fr. 1 p. 775 N. 2). Ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσιν, θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα, ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσιν. Εὐριπίδου Ἀντιγόνη (fr. 161 N. 2). Ἥρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς. Μενάνδρου Ἀφροδισίων (fr. 85 K.). Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ, παρὰ τίνι τἀνόητον οὗτος ὄψεται; Εὐριπίδου Δανάη (fr. 322 N. 2). οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν, ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε. Μενάνδρου (fr. 798 K.). Μόνος ἔστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως. Εὐριπίδου (fr. 136 N. 2). Σὺ δ' ὦ κάκιστε [πάντων] θεῶν τε κἀνθρώπων 〈Ἔρως,〉 ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά, ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο. Ἀρχιλόχου (fr. 103 B.). Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν, κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας. Εὐριπίδου Ἀνδρομέδας (fr. 1054 N. 2). Ἀρχιλόχου (fr. 84 B.). Δύστηνος ἔγκειμαι πόθῳ ἄψυχος, χαλεπῇσι θεῶν ὀδύνῃσιν ἕκητι πεπαρμένος δι' ὀστέων. Σοφοκλῆς ἐν Ἀχιλλέως Ἐρασταῖς (fr. 153 N. 2). Τὸ γὰρ νόσημα τοῦτ' ἐφίμερον κακόν· ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι. ὅταν πάγου φανέντος αἰθρίου χεροῖν κρύσταλλον ἁρπάσωσι παῖδες εὐπαγῆ, τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους· τέλος δ' ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει οὔτ' ἐν χεροῖν τὸ πῆγμα σύμφορον μένειν. δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται. Φανοκλέους (Anth. lyr. 2 ed. Bergk p. 165). Ἦ ὡς Οἰάγροιο πάις Θρηίκιος Ὀρφεὺς ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην. πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ, ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν. τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι ἔκτανον εὐήκη φάσγανα θηξάμεναι, οὕνεκα πρῶτος ἔδειξεν ἐνὶ Θρῄκεσσιν ἔρωτας ἄρρενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων. τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ' αὐτὴν εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις. τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα· ἠχὴ δ' ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης, νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν. ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ. ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος, ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροῒ σήματ' ἔχουσαι κυάνεα στυγεροῦ μὴ λελάθοιντο φόνου. ποινὰς δ' Ὀρφῆϊ κταμένῳ στίζουσι

γυναῖκας εἰς ἔτι νῦν κείνης εἵνεκεν ἀμπλακίης. Εὐριπίδου Δίκτυϊ (fr. 340 N. 2). Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ, ἤν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ, κἄπειτα τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν δόμων περαίνει πολλάκις τὰ τοιάδε. Θεοκρίτου (I 100 s. Wil.). Τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο· Κύπρι βαρεῖα, Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής. Εὐριπίδου ἐκ Μελεάγρου (fr. 524 N. 2). Ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη· τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν. Μενάνδρου Ἀνδρίᾳ (fr. 48 K.). Τὸ δ' ἐρᾶν ἐπισκοτεῖ Κλεινίου. Μή τις ἀτιμάτω θνητῶν πολύδακρυν ἔρωτα, μηδὲ πόθον παίδων μηδ' ἱμερτὴν φιλότητα, τῶν ἰότητι Μύρων κατέβη πολύκλαυτον ἐς ᾅδην. Μενάνδρου Ἀνεψιοί (fr. 59 K.). Φύσει γὰρ ἔστ' Ἔρως τοῦ νουθετοῦντος κωφόν· ἅμα δ' οὐ ῥᾴδιον νεότητα νικᾶν ἐστι καὶ θεὸν λόγῳ. Μενάνδρου Θησαυρῷ (fr. 236 K.). Ὅταν δ' ἐρῶντος τόλμαν ἀφέλῃς, οἴχεται, εἰς τοὺς ἰαλέμους τε τοῦτον ἔγγραφε. Ἐκ τῶν Μόσχου τοῦ Σικελιώτου Βουκολικῶν (III p. 139 Wil.). Ἀλφειὸς μετὰ Πεῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ, ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ, ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα καὶ κόνιν ἱράν; καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι, τὰν δὲ θάλασσαν νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ, ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένου ποταμοῖο, κῶρος δεινοθέτας κακομάχανος αἰνὰ διδάσκων καὶ ποταμὸν διὰ φίλτρον Ἔρως ἐδίδαξε κολυμβῆν. Τοῦ αὐτοῦ (Buc. gr. app. VIII 7—10, 16—17 Wil.). Χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἀδὺ λάλημα· οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά, ἓν δὲ χολὰ νόος ἐστὶν ἀνάμερος, ἠπεροπευτάς. καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ' ἄλλῳ, ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται. Ἐκ τῶν Βίωνος Σμυρναίου Βουκολικῶν (IX p. 142 Wil.). Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι ὄρνεα θηρεύων, τὸν ὑπόπτερον εἶδεν Ἔρωτα ἐσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δὲ νόησε, χαίρων ὥνεκα δὴ μέγα φαίνετο τῶρνεον αὐτῷ, τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευεν. χὠ παῖς ἀσχαλάων, ὅκα οἱ τέλος οὐδὲν ἀπάντη, τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν, ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ, καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς φεῦγε μακράν· κακόν ἐντι τὸ θηρίον· ὄλβιος ἔσσῃ, εἰσόκε μή νιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς, οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος αὐτὸς ἀφ' αὑτῶ ἐλθὼν ἐξαπίνας κεφαλὰν ἔπι σεῖο καθιξεῖ.' Τοῦ αὐτοῦ (X p. 143 Wil.). Ἄμερε Κυπρογένεια, Διὸς τέκος ἠὲ θαλάσσας, τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι χαλέπτεις; τυτθὸν ἔφαν· τί νυ τόσσον ἀπήχθεο καὶ τὶν αὐτᾷ, ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα τεκέσθαι, ἄγριον ἄστοργον μορφᾷ νόον οὐδὲν ὅμοιον; ἐς τί δέ νιν πτανὸν καὶ ἑκαβόλον ὤπασας ἦμεν, ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι; Εὐριπίδου Μηδείας (330). Φεῦ φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα. Θεοκρίτου (III 15—18). Εὐριπίδου Ῥαδάμανθυς (fr. 659 N. 2). Ἔρωτες ἡμῖν εἰσι παντοῖοι βίου· ὁ μὲν γὰρ εὐγένειαν ἰμείρει λαβεῖν· τῷ δ' οὐχὶ τούτου φροντὶς, ἀλλὰ χρημάτων πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις· ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ· οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν ζητοῦσιν, οὕτω βίοτος ἀνθρώπων πλάνη. Ξενοφῶντος ἐν τῷ α′ Ἀπομνημονευμάτων (c. 3, 11—13). Ὦ τλῆμον, ἔφη ὁ Σωκράτης, καὶ τί ἂν οἴει παθεῖν καλὸν φιλήσας; ἆρα οὐκ ἂν αὐτίκα μάλα δοῦλος μὲν εἶναι ἀντ' ἐλευθέρου, πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονάς, πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ κἀγαθοῦ, σπουδάζειν δ' ἀναγκασθῆναι, ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν; Ὦ Ἡράκλεις, ἔφη ὁ Ξενοφῶν, ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι. Καὶ τοῦτο, ἔφη ὁ Σωκράτης, θαυμάζεις; οὐκ οἶσθα ὅτι τὰ φαλάγγια οὐδ' ἡμιωβελιαῖα τὸ μέγεθος ὄντα προσαψάμενα μόνον τῷ στόματι ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους καὶ τοῦ φρονεῖν ἐξίστησι; Ναὶ μὰ Δί', ἔφη ὁ Ξενοφῶν· ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα. Ὦ μωρέ, ἔφη ὁ Σωκράτης, τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι ὃ σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθα ὅτι τοῦτο τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅσῳ ἐκεῖνα μὲν ἁψάμενα, τοῦτο δὲ οὐδ’ ἁπτόμενον, ἐάν τις αὐτὸ θεᾶται, ἐνίησί τι καὶ πάνυ πρόσωθεν τοιοῦτον, ὥστε μαίνεσθαι ποιεῖν; ἴσως δὲ καὶ οἱ ἔρωτες τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πόρρωθεν οἱ καλοὶ τιτρώσκουσιν. Ἀλλὰ ξυμβουλεύω σοι, ὦ Ξενοφῶν, ὁπόταν ἴδῃς τινὰ καλόν, φεύγειν προτροπάδην· σοὶ δ’, ὦ Κριτόβουλε, συμβουλεύω ἀπενιαυτίσαι· μόγις γὰρ ἂν ἴσως ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὲς γένοιτο. Φαβωρίνου (fr. 85 p. 137 Marr.). Πάθος τί μοι προσέπεσε τῇ ψυχῇ, καὶ 〈ὅ〉 τι μὲν θας σώματι φέρειν σε μὴ δυναμένῳ· ἐξίσταμαί σοι, δαῖμον, παραχωρῶ σοι τῆς μάχης· οὐκ εἰμί σου στρατιώτης. Θεοφράστου (fr. CXV Wimm.). Ἔρως δέ ἐστιν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολὴ ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν. Προδίκου (fr. 7 Diels 2). Ἐπιθυμίαν μὲν διπλασιασθεῖσαν ἔρωτα εἶναι, ἔρωτα δὲ διπλασιασθέντα μανίαν γίγνεσθαι. Θεοφράστου (fr. CXIV Wimm.). Θεόφραστος ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος τί ἐστιν ἔρως, ‘πάθος‘ ἔφη ‘ψυχῆς σχολαζούσης‘. Ἐκ τῶν Πλουτάρχου Ὅτι οὐ κρίσις ὁ ἔρως (vol. VII p. 132, 15 ss. Bernard.). Οἱ μὲν γὰρ νόσον τὸν ἔρωτα, οἱ δ’ ἐπιθυμίαν, οἱ δὲ μανίαν, οἱ δὲ θεῖόν τι κίνημα τῆς ψυχῆς καὶ δαιμόνιον, οἱ δὲ ἄντικρυς θεὸν ἀναγορεύουσιν. ὅθεν ὀρθῶς ἐνίοις ἔδοξε τὸ μὲν ἀρχόμενον ἐπιθυμίαν εἶναι, τὸ δ’ ὑπερβάλλον μανίαν, τὸ δὲ ἀντίστροφον φιλίαν, τὸ δὲ ταπεινότερον γραφεῖς δημιουργοῦσιν, ὅτι καὶ τοῦ πυρὸς τὸ μὲν λαμπρὸν ἥδιστόν ἐστι, τὸ δὲ καυστικὸν ἀλγεινότατον. Ἐν ταὐτῷ (ibid. p. 132, 26 ss.). Ὥσπερ γὰρ τοὺς φίλους ὑγιαίνοντας μέν, ἂν πλημμελῶσιν, ἐξελέγχειν καὶ νουθετεῖν κράτιστόν ἐστιν, ἐν δὲ ταῖς παρακοπαῖς καὶ τοῖς φρενετισμοῖς εἰώθαμεν μὴ διαμάχεσθαι μηδὲ ἀντιτείνειν, ἀλλὰ καὶ συμπεριφέρεσθαι καὶ συνεπινεύειν· οὕτω τοὺς δι’ ὀργὴν ἢ πλεονεξίαν ἁμαρτάνοντας ἀνακόπτειν τῇ παρρησίᾳ δεῖ καὶ κωλύειν, τοῖς δ’ ἐρῶσιν ὥσπερ νοσοῦσι συγγνώμην ἔχειν. διὸ κράτιστον μὲν ἐξ ἀρχῆς τοιούτου πάθους σπέρμα μὴ παραδέχεσθαι μηδὲ ἀρχήν· ἂν δὲ ἐγγένηται, ἴθι ἐπὶ ἀποτροπαίων βωμοὺς θεῶν κατὰ τὸν Πλάτωνα, ἴθι ἐπὶ τὰς τῶν σοφῶν ἀνδρῶν συνουσίας, ἐξέλασον αὐτοῦ τὸ θηρίον πρὶν ὄνυχας φῦσαι καὶ ὀδόντας· εἰ δὲ μή, μαχέσῃ τελείῳ κακῷ, τὸ παιδίον τοῦτο καὶ νήπιον ἐναγκαλιζόμενος. τίνες δέ εἰσιν οἱ τοῦ ἔρωτος ὄνυχες καὶ ὀδόντες; ὑποψία, ζηλοτυπία. ἀλλὰ ἔχει τι πιθανὸν καὶ ἀνθηρόν. ἀμέλει καὶ 〈ἡ〉 Σφὶγξ εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ, καὶ εἰ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν νώτισμα θηρός· εἰ δὲ πρὸς νέφη βάλοι, κυανωπὸν ὥς τις Ἶρις ἀντηύγει σέλας. λοιτό τις προτείνειν, τί μισεῖ καὶ φιλεῖ, τί φεύγει καὶ διώκει, τί ἀπειλεῖ καὶ ἱκετεύει, τί ὀργίζεται καὶ ἐλεεῖ, 〈τί〉 βούλεται παύσασθαι καὶ οὐ βούλεται, τί χαίρει τῷ αὐτῷ μάλιστα καὶ ἀνιᾶται, τοῦτο λῦσαι καὶ θεραπεῦσαι. τῆς μὲν γὰρ Σφιγγὸς τὸ αἴνιγμα τὰ πλεῖστ’ 〈ἄπιστ〉α καὶ πεπλασμένα ἔχει· οὔτε γὰρ τρίπους ὁ γέρων ἀληθῶς, εἴ 〈τι〉 προσείληφε τοῖς ποσὶ βοηθεῖν· οὔτε τετράπους ὁ νήπιος, ἐπεὶ ταῖς χερσὶν ὑπερείδει τὴν τῶν βάσεων ὑγρότητα καὶ ἀσθένειαν. τὰ δὲ τῶν ἐρώντων πάθη ἀληθῆ· στέργουσιν, ἐχθραίνουσι· τὸν αὐτὸν ποθοῦσιν ἀπόντα, τρέμουσι παρόντος· κολακεύουσι λοιδοροῦσι, προαποθνῄσκουσι φονεύουσιν, εὔχονται μὴ φιλεῖν καὶ παύσασθαι φιλοῦντες οὐ θέλουσι· σωφρονίζουσι καὶ πειρῶσιν, παιδεύουσι καὶ διαφθείρουσιν, ἄρχειν θέλουσι καὶ δουλεύειν ὑπομένουσι. τοῦτο αἴτιον γέγονε μάλιστα τοῦ μανίαν ὑποληφθῆναι τὸ πάθος· ἤρων· τὸ μαίνεσθαι δ’ ἄρ’ ἦν ἔρως βροτοῖς, ἐρωτικὸς ἀνὴρ Εὐριπίδης φησίν. Τοῦ αὐτοῦ Περὶ ἔρωτος (Ibid. p. 134, 19 ss.). Ὁ ἔρως οὔτε τὴν γένεσιν ἐξαίφνης λαμβάνει καὶ ἀθρόαν ὡς ὁ θυμός, οὔτε παρέρχεται ταχέως καίπερ σχεδὸν οἷον ἐντήκων ἑαυτόν· ἁψάμενός τε τῆς ψυχῆς παραμένει πολὺν χρόνον, οὐδ’ ἐν γηρῶσιν ἐνίοις ἀναπαυόμενος ἀλλὰ ἐν πολιαῖς ἀκμάζων ἔτι πρόσφατος καὶ νεαρός. ἂν δὲ καὶ λήξῃ καὶ διαλυθῇ χρόνῳ μαρανθεὶς ἢ λόγῳ τινὶ κατασβεσθείς, οὔπω παντάπασιν ἐξαπήλλακται τῆς ψυχῆς, ἀλλ’ ἐναπολείπει πυρίκαυτον ὕλην καὶ σημεῖα θερμὰ καθάπερ οἱ κεραυνοὶ τυφόμενοι. λύπης μὲν γὰρ οὐδὲν ἀπαλλαγείσης ἴχνος ἐν τῇ ψυχῇ παραμένει συνοικοῦν οὐδ’ ὀργῆς τραχείας πεσούσης, συστέλλεται δὲ καὶ φλεγμονὴ ἐπιθυμίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρεχούσης τραχὺ κίνημα· τὰ δὲ ἐρωτικὰ δήγματα, κἂν ἀποστῇ τὸ θηρίον, οὐκ ἐξανίησι τὸν ἰόν, ἀλλὰ ἐνοιδεῖ τὰ ἐντὸς σπαράγματα, καὶ ἀγνοεῖται τί ἦν, πῶς συνέστη, πόθεν εἰς τὴν ψυχὴν ἐνέπεσεν. Σωστράτου ἐν β′ Κυνηγετικῶν (cf. Plut. Parall. p. 310 B) Κυάνιππος τῷ γένει Θεσσαλὸς γήμας Λευκώνην τὰ πολλὰ διὰ φιλοκύνηγον ἐνέργειαν ἐν ὕλαις διέτριβεν. ἡ δὲ νεόνυμφος ὑπολαμβάνουσα συνήθειαν αὐτὸν ἔχειν μεθ' ἑτέρας γυναικὸς κατ' ἴχνος ἠκολούθησε τῷ προειρημένῳ καὶ ἕν τινι κατακρυβεῖσα συνδένδρῳ τὸ μέλλον ἀπεκαραδόκει. τῶν δὲ πέριξ κλάδων αἰφνιδίως σεισθέντων, οἱ στιδιεσπάραξαν. τῆς δὲ πράξεως αὐτόπτης γενόμενος Κυάνιππος ἑαυτὸν ἐπικατέσφαξεν. Ἐκ τῶν Θεοδώρου Μεταμορφώσεων (Plut. Parall. p. 310 F—311 A). Σμύρνα Κινύρου θυγάτηρ εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ γεννήσαντος τῇ τροφῷ τὴν ἀνάγκην ἐδήλωσεν· ἡ δὲ δόλῳ τὸν δεσπότην ἐνήδρευσεν, εἶπε γὰρ ἐρᾶν τινὰ αὐτοῦ γείτονα παρθένον. ἀσεβῶς οὖν κατ' ἄγνοιαν ἀναστρεφόμενος καὶ γνοὺς ὕστερον ξιφήρης τὴν ἀσελγεστάτην ἐπεδίωκεν· ἡ δὲ περικατάληπτος γινομένη κατὰ πρόνοιαν Ἀφροδίτης εἰς ὁμώνυμον δένδρον μετεμορφώθη. Σωστράτου ἐν δευτέρῳ Τυρρηνικῶν (Plut. Parall. p. 312 C). Αἴολος τῶν κατὰ Τυρρηνίαν βασιλεὺς τόπων ἔσχεν ἐξ Ἀμφιθέας θυγατέρας ἓξ καὶ τὸν αὐτὸν ἀριθμὸν ἀρρένων παίδων, ὧν ὁ πρεσβύτατος Μακαρεὺς Κανάκης τῆς θάλαμον· εὑρὼν δὲ τὴν ἀγαπωμένην αἱμορραγοῦσαν τῷ αὐτῷ ξίφει τὸν βίον περιέγραψε. Κλειτάρχου ἐν ε′ περὶ Ἀλεξάνδρου (Script. Al. M. p. 76 Muell.). Θεας. βύβλϊος οὗπερ κάλλει τὴν ἀνθρωπίνην διενεγκόντος φύσιν τὴν ἰδίαν ἐρασθῆναι θυγατέρα Μύρραν ὀνόματι .... Ἀριστοκλέους ἐν β′ Παραδόξων (cf. Plut. Parall. p. 312 E). 〈Ἀριστώνυμοσ〉 Ἐφέσιος τῷ γένει νεανίας τῶν ἐπισήμων, υἱὸς Δημοστράτου, ταῖς δ' ἀληθείαις Ἄρεως· οὗτος τὸ θῆλυ μισῶν γένος νυκτὸς βαθείας εἰς τὸς πατρῴας ἔτρεχεν ἀγέλας καὶ ὄνῳ συνεγένετο θηλείᾳ. ἡ δὲ ἔγκυος γενομένη ἔτεκε κόρην εὐειδεστάτην Ὀνοσκελίαν τοὔνομα, Ζωπύρου ἐν γ′ Θησεΐδος (Plut. Parall, p. 314 A). Θησεὺς Αἰγέως καὶ Αἴθρας παῖς, ταῖς δ' ἀληθείαις Ποσειδῶνος, ἔχων υἱὸν ἐξ Ἱππολύτης Ἀμαζόνος Ἱππόλυτον, ἐπέγημεν αὐτῷ μητρυιὰν Φαίδραν τὴν Μίνωος θυγατέρα καὶ Πασιφάης. αὕτη τοῦ προγόνου εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τὴν τροφὸν αὐτῷ περὶ συνόδων ἀπέστειλεν· ὁ δ' ὡς κατέλιπε τὰς Ἀθήνας κυνηγίαις προσευκαίρει· τῆς δὲ προαιρέσεως ἡ ἀσελγὴς ἀποτυχοῦσα ψευδεῖς κατὰ τοῦ σώφρονος ἐπιστολὰς ἐχάραξε, καὶ διὰ τὴν ὑπερβολὴν τῶν ἐρώτων βρόχῳ τὸν βίον περιέγραψε. Θησεὺς δὲ ἐκ Θηβῶν ὑποστρέψας καὶ τὰς διαβολὰς ἀνάγνους ἐκ τῶν τριῶν εὐχῶν ἃς εἶχε παρὰ Ποσειδῶνος μίαν εἰς τὸν υἱὸν ἐδαπάνησεν· ἐαριζομένου δὲ τοῦ Ἱππολύτου παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης ταῦρος ἐπιφανεὶς ἐπτοίησε τοὺς ἵππους, οἵ τινες ἀνατρέψαντες τὸ ἅρμα καὶ σύροντες τὸν δεσπότην ἀπέκτειναν. Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 233 A). Καὶ μὲν δὴ βελτίονί σοι προσήκει γίγνεσθαι ἐμοὶ πειθομένῳ ἢ ἐραστῇ. ἐκεῖνοι μὲν γὰρ καὶ παρὰ τὸ βέλτιστον τά τε λεγόμενα καὶ τὰ πραττόμενα ἐπαινοῦσι, τὰ μὲν δεδιότες μὴ ἀπέχθωνται, τὰ δὲ καὶ αὐτοὶ χεῖρον διὰ ὥστε πολὺ μᾶλλον ἐλεεῖν τοῖς ἐρωμένοις ἢ ζηλοῦν αὐτοὺς προσήκει. Ἐν ταὐτῷ (p. 237 A. 237 D—238 C). Ἄγετε δή, Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ λιγὺ ὂν ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμ μοι λάβεσθε τοῦ μύθου, ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν ..... ὅτι μὲν οὖν δὴ ἐπιθυμία τις ὁ ἔρως, ἅπαντι δῆλον· ὅτι δ' αὖ καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν, ἄλλη δὲ ἐπίκτητος δόξα, ἐφιεμένη τοῦ ἀρίστου. τούτω δὲ ἐν ἡμῖν τοτὲ μὲν ὁμονοεῖτον, ἔστι δὲ ὅτε στασιάζετον· καὶ τοτὲ μὲν ἡ ἑτέρα, ἄλλοτε δὲ ἡ ἑτέρα κρατεῖ. δόξης μὲν οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατούσης τῷ κράτει σωφροσύνη ὄνομα· ἐπιθυμίας δὲ ἀλόγως ἑλκούσης ἐπὶ ἡδονὰς καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη. ὕβρις δὲ δὴ πολυώνυμον· πολυμελὲς γὰρ καὶ πολυειδές· καὶ τούτων τῶν ἰδεῶν ἐκπρεπὴς ἥ ἂν τύχῃ γενομένη, τὴν αὐτῆς ἐπωνυμίαν ἐπονομαζόμενον τὸν ἔχοντα παρέχεται, οὔτε τινὰ καλὴν οὔτε ἐπαξίαν κεκλῆσθαι. περὶ μὲν γὰρ ἐδωδὴν κρατοῦσα τοῦ λόγου τε τοῦ ἀρίστου καὶ τῶν ἄλλων ἐπιθυμιῶν ἐπιθυμία γαστριμαργία

τε καὶ τὸν ἔχοντα ταὐτὸν τοῦτο κεκλημένον παρέξεται· περὶ δ’ αὖ μέθας τυραννεύσασα, τὸν κεκτημένον ταύτῃ ἄγουσα, δῆλον οὗ τεύξεται προσρήματος· καὶ τἄλλα δὴ τὰ τούτων ἀδελφὰ καὶ ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα τῆς ἀεὶ δυναστευούσης, ὃ προσήκει καλεῖσθαι, πρόδηλον. ἧς δ’ ἕνεκα πάντα 〈τὰ〉 πρόσθεν εἴρηται, σχεδὸν μὲν ἤδη φανερόν· λεχθὲν δὲ ἢ μὴ λεχθὲν πάντως σαφέστερον, ἡ ἐπιθυμία πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους, καὶ 〈ὑπὸ〉 αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἐρρωμένως ῥωσθεῖσα νικήσασα ἀγωγὴ ἀπ’ αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη. (Ibid. p. 238 D—240 C) Εἶεν, ὦ φέριστε· ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ βουλευτέον, εἴρηταί τε καὶ ὥρισται, βλέποντες δὲ δὴ πρὸς αὐτὸ τὰ λοιπὰ λέγωμεν, τίς ὠφέλεια ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ μὴ τῷ χαριζομένῳ ἐξ εἰκότος συμβήσεται. τῷ δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ δουλεύοντί τε ἡδονῇ ἀνάγκη που τὸν ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν [κρείττοσι δέ]· νοσοῦντι δὲ πᾶν ἡδὺ 〈τὸ〉 μὴ ἀντιτεῖνον, κρεῖττον δὲ καὶ ἴσον ἐχθρόν. οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς παιδικὰ ἀνέξεται, ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάζεται· ἡττων δὲ ἀμαθὴς σοφοῦ, δειλὸς ἀνδρείου, ἀδύνατος εἰπεῖν ῥητορικοῦ, βραδὺς ἀγενόντων τῶν μὲν ἥδεσθαι, τὰ δὲ παρασκευάζειν, ἢ στέρεσθαι τοῦ παραυτίκα ἡδέος. φθονερὸν δὴ ἀνάγκη εἶναι, καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστ’ ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης, μεγίστης δὲ τῆς ὅθεν ἂν φρονιμώτατος εἴη. τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν, ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι· τά τε ἄλλα μηχανᾶσθαι, ὅπως ἂν ᾖ πάντα ἀγνοῶν καὶ πάντα ἀποβλέπων εἰς τὸν ἐραστήν, οἷος ὢν τῷ μὲν ἥδιστος, ἑαυτῷ δὲ βλαβερώτατος εἴη. τὰ μὲν οὖν κατὰ διάνοιαν ἐπίτροπός τε καὶ κοινωνὸς οὐδαμῇ λυσιτελὴς ἀνὴρ ἔχων ἔρωτα. Τὴν δὲ τοῦ σώματος ἕξιν τε καὶ θεραπείαν οἵαν τε καὶ ὡς θεραπεύσει οὗ ἂν γένηται κύριος, ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγκασται διώκειν, δεῖ μετὰ ταῦτα ἰδεῖν. ὀφθήσεται δὲ μαλθακόν τινα καὶ οὐ στερεὸν διώκων, οὐδ’ ἐν ἡλίῳ καθαρῷ τεθραμμένον ἀλλ’ ὑπὸ συμμιγεῖ σκιᾷ, πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον, ἔμπειρον δὲ ἁπαλῆς καὶ ἀνάνδρου διαίτης, ἀλλοτρίοις χρώμασι καὶ κόσμοις χήτει οἰκείων κοσμούμενον, ὅσα τε καὶ ἄλλα τούτοις ἕπεται πάντα ἐπιτηδεύοντα, ἃ δῆλα καὶ οὐκ ἄξιον περαιτέρω προβαίνειν, ἀλλ’ ἓν κεφάλαιον ὁρισαμένους ἐπ’ ἄλλο ἰέναι· τὸ γὰρ τοιοῦτον σῶμα ῥητέον, τίνα ἡμῖν ὠφέλειαν ἢ τίνα βλάβην περὶ τὴν κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπία παρέξεται. σαφὲς δὴ τοῦτό γε παντὶ μέν, μάλιστα δὲ τῷ ἐραστῇ, ὅτι τῶν φιλτάτων καὶ εὐνουστάτων καὶ θειοτάτων κτημάτων ὀρφανὸν πρὸ παντὸς εὔξαιτ’ ἂν εἶναι τὸν ἐρώμενον. πατρὸς γὰρ καὶ μητρὸς καὶ ξυγγενῶν καὶ φίλων στέρεσθαι ἂν αὐτὸν δέξαιτο, διακωλυτὰς καὶ ἐπιτιμητὰς ἡγούμενος τῆς ἡδίστης πρὸς αὐτὸν ὁμιλίας. ἀλλὰ μὴν οὐσίαν γ’ ἔχοντα χρυσοῦ ἤ τινος ἄλλης κτήσεως οὔτε εὐάλωτον ὁμοίως οὔτε ἁλόντα εὐμεταχείριστον ἡγήσεται. ἐξ ὧν πᾶσα ἀνάγκη ἐραστὴν παιδικοῖς φθονεῖν μὲν οὐσίαν κεκτημένοις, ἀπολλυμένης δὲ χαίρειν. ἔτι τοίνυν ἄγαμον, ἄπαιδα, ἄοικον ὅ τι πλεῖστον χρόνον παιδικὰ ἐραστὴς εὔξαιτ’ ἂν γενέσθαι, τὸ αὐτοῦ γλυκὺ ὡς πλεῖστον χρόνον καρποῦσθαι ἐπιθυμῶν. ἔστι μὲν δὴ καὶ ἄλλα κακά, ἀλλά τις δαίμων ἔμιξε τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονήν, οἷον κόλακι, δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον, καί τις ἑταίραν ὡς βλαβερὸν ψέξειεν ἄν, καὶ ἄλλα πολλὰ τῶν τοιουτοήμεραν ἡδίστοισιν εἶναι ὑπάρχει· παιδικοῖς δὲ ἐραστὴς πρὸς τῷ βλαβερῷ καὶ εἰς τὸ συνημερεύειν πάντων ἀηδέστατον. ἥλικα γὰρ δὴ καὶ ὁ παλαιὸς 〈λόγος〉 τέρπειν τὸν ἥλικα· ἡ γὰρ οἶμαι χρόνου ἰσότης ἐπὶ ἴσας ἡδονὰς ἄγουσα δι’ ὁμοιότητα φιλίαν παρέχεται· ἀλλ’ ὅμως κόρον γε καὶ ἡ τούτων συνουσία ἔχει. καὶ μὴν τό γε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ πᾶν λέγεται. (Ibid. p. 241 B—C) Οὐκ ἄρα ἔδει ποτὲ ἐρῶντι καὶ ὑπ’ ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι, ἀλλὰ πολὺ μᾶλλον μὴ ἐρῶντι καὶ νοῦν ἔχοντι· εἰ δὲ μή, ἀναγκαῖον εἴη ἐνδοῦναι αὐτὸν ἀπίστῳ, δυσκόλῳ, φθονερῷ, ἀηδεῖ, βλαβερῷ μὲν πρὸς οὐσίαν, βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν, πολὺ δὲ

βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, ἧς οὔτε ἀνθρώποις οὔτε θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον οὔτε ἔστιν οὔτε ποτὲ ἔσται. ταῦτά τε οὖν χρή, ὦ παῖ, ξυννοεῖν, καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν ὅτι οὐ μετ' εὐνοίας γίγνεται, ἀλλὰ σιτίου τρόπον, Εὐριπίδου Αἰόλῳ (fr. 15 N. 2). Ἴδοιμι δ' αὐτῶν ἔκγον' ἄρσεν' ἀρσένων πρῶτον μὲν εἶδος ἀξίους τυραννίδος· πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ, τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν. Μενάνδρου (fr. 645 K.). Ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπους χρηστούς, διπλασίως ὁ προσιὼν ἁλίσκεται. Ἐκ τῶν Βίωνος Βουκολικῶν (XI p. 143 Wil.). Μορφὰ θηλυτέρῃσι πέλει καλόν, ἀνέρι δ' ἀλκά. Ὁμήρου (Il. II 671 ss.). Φιλήμονος Πυρφόρου (fr. 72 K.). Οὐκ ἔστιν οὔτε ζωγράφος, μὰ τοὺς θεούς, οὔτ' ἀνδριαντοποι 〈ὸσ〉 ὅστις ἂν πλάσαι κάλλος τοιοῦτον, οἷον ἡ ἀλήθει' ἔχει. οὔτ' ἀνδριόντος γὰρ καλῶς πεπλασμένου *** ἂν μὴ τὸν αἰσθησόμενον ἡ τέχνη λάβῃ. Ὁμήρου (Od. XVII 36 s.). Ἤϊεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια Ἀρτέμιδι ἰκέλη ἠδὲ χρυσῇ Ἀφροδίτῃ. Μηνοφίλου Δαμασκηνοῦ Πλοκαμίδων. Εὐρώπην Λιβύην τε καὶ Ἀσίδα πᾶσαν ἀμείψας, θαύμασα μυρία καλὰ πολυπλανίης ὑπὸ λυγρῆς, ἀλλ' οὔπω τοιοῦτον ἴδον σέλας, οὐδ' ἐν Ὀλύμπῳ αὐτοὺς ἀθανάτους 〈περ〉 ὀίομαι ἶσον ἰδέσθαι, οἷον ἄελπτον ἄπιστον ἐμὸν νόον ἥρπασε φάσμα ἐκ στηθέων, καὶ πάντα χαμαὶ πέσεν, ὅσσα περ ἔτλην ὑγρῇ τε τραφερῇ τε κυλινδόμενος περὶ νόστον. τόσσον γὰρ περὶ θυμὸν ἀπείριτον ἵκετο θάμβος. *** μέλψαι δὲ μνήσειας ἀειθαλέας πλοκαμῖδας, οἵαις κυδιόωσαν ἀπ' ὀλβίστων σε λοετρῶν φαιδρὴν εἶδον ἅπασαν ἐειδομένην Χαρίτεσσιν ἐρχομέναις πρὸς Ὄλυμπον Ἀκιδαλίης ἀπὸ πηγῆς. Φαβωρίνου (fr. 84 p. 137 Marr.). Ἱκανὸν μὲν οὖν ἴσως καὶ τὸ τῆς ὄψεως· ἂν δὲ ὁ καλὸς καὶ αἰμύλος ᾖ καὶ λεκτικός, ... λέγε, ὦ νεανίσκε· λέγε Ἀντίλοχε· γλυκερώτερον Νέστορος ἐρεῖς· λέγε Τηλέμαχε· σφοδρότερον Ὀδυσσέως ἐρεῖς· λέγε Ἀλκιβιάδη· κἂν μεθύῃς, ἀκουσόμεθα τοῦ μεθύοντος ἡδέως. τοιοῦτόν ἐστι τὸ καλὸν εἶναι· εὐφραίνει μὲν βλεπόμενος, εὐφραίνει δὲ ἀκουόμενος. εἰ δέ τῳ κατὰ Πλάτωνα τὸ θάρρος ἦν, εἶπον ἂν ὅτι καὶ πάσας τὸς αἰσθήσεις ὁ καλὸς εὐφραίνει, καὶ οὐκ ἂν ἔδεισα τὴν εὐωχίαν τὴν τῶν καλῶν. Ἐκ τοῦ Μελαγκόμα (Dionis or. XXIX vol. II p. 287, 19 Arn.). Ἐγὼ οὖν πρῶτον αὐτὸν εὐδαιμονίζω τοῦ κάλλους, ὃ δὴ τῶν ἀνθρωπίνων ἐστὶν ἀγαθῶν ἀριδηλότατον μὲν καὶ ἥδιστον θεοῖς, ἥδιστον δὲ ἀνθρώποις, ἀλυπότατον δὲ τῷ ἔχοντι καὶ ἐπιγνωσθῆναι ἄριστον. τὰ μὲν γὰρ ἄλλα ἀγαθὰ κἂν λάθοι προσόντα, καὶ ἀνδρεία καὶ φρόνησις, εἰ μὴ τύχοι ἔργου τινὸς ἀποδεικνύντος· τὸ δὲ κάλλος οὐχ οἷόν τε λαθεῖν, ἅμα γὰρ τῷ ἔχοντι φαίνεται· εἴποι δ' ἄν τις ὅτι καὶ πρότερον· οὕτως ὀξεῖαν αἴσθησιν ἑαυτοῦ παρέχει. ἔτι δὲ τοῖς μὲν 〈ἄλλοισ〉 ἀγαθοῖς οἱ πλεῖστοι φθονοῦσι καὶ δυσμενεῖς γίγνονται, τὸ δὲ κάλλος τοὺς αἰσθανομένους ἑαυτοῦ φίλους ποιεῖται καὶ οὐδένα ἐχθρὸν ἐᾷ γίγνεσθαι. Ἀγησιλάου. Ἀγησίλαος, πυθομένου τινὸς διὰ τί κομῶσιν, εἶπεν, ὅτι τῶν κόσμων ἀδαπανώτατός ἐστι. Ἀριστοτέλους. Ἀριστοτέλης ἔφη τὸ κάλλος πάσης ἐπιστολῆς συστατικώτερον εἶναι. Πλουτάρχου Ὑπὲρ κάλλους (v. VII p. 136 Bernard.). Τί γάρ; οὐ σύνθετος φύσις ἀνθρώπων ἐκ σώματος καὶ ψυχῆς; ἢ θάτερον ἀρκοῦν ἡμῖν; καὶ πῶς οἷόν τε; τὸ μὲν γὰρ οὐκ ἂν εἴη μὴ χρώμενον ψυχῇ, ψυχὴ δ' οὐκ ἂν εἴη μὴ ἔχουσα τὸ συνερεῖδον. τί οὖν; ὥσπερ ἐξ ἴσου κοσμεῖται ἑκάτερα τοῖς συγγενέσιν, ἡ μὲν δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ φρονήσει, τὸ δὲ ἰσχύι καὶ κάλλει καὶ ὑγείᾳ· καὶ πῶς οὐ θαυμαστὸν λέγειν τὰ τῆς ψυχῆς καλά, τὰ τοῦ σώματος ὑπερορῶντα; Ἐν ταὐτῷ (v. VII p. 136 Bernard.). Ἡ γοῦν τοῦ σώματος εὐμορφία ψυχῆς ἐστιν ἔργον σώματι χαριζομένης δόξαν εὐμορφίας. πεσέτω γοῦν θανάτῳ τὸ σῶμα, καὶ τῆς ψυχῆς μετῳκισμένης, οὐ στάσις, οὐ χρῶμα, οὐκ ὀφθαλμός, οὐ φωνή, οὐδὲν ἔτι καταλείπεται τῶν ἐρασμίων προδεδομένον ὑπὸ τῶν ἀρχαίων οἰκητόρων· ὥστε καὶ 〈τὴν〉 ψυχὴν συνυβρίζεις λανθάνων, ἧς ἐστιν ἀνθρώπου κάλλος. Ἀριστοτέλους. Ἀριστοτέλης ἐρωτηθεὶς διὰ τί τῶν καλῶν ὁ ἔρως, Διογένους. Διογένης τὰς εὐμόρφους τῶν ἑταιρῶν βασιλίσσας ἐκάλει, πολλοὺς γὰρ πράττειν ἃ ἂν προστάττωσι. Δίου Πυθαγορείου ἐκ τοῦ Περὶ καλλονῆς. Τίς ἀγωγὰ βιοτᾶς [ὄντως] ναμαρτὲς εὐδαίμων ζωά; καὶ τίνας ποκὰ χρὴ κρίνεν εὐδαίμονας; ἢ νὴ Δία τὼς σκάνεος

καλλονὰν ἔχοντας, δώρημα φύσιος; τούτως γὰρ ὡς ἔνι μασσότερον οἱ πλεῦνες ὡς θεὼς ἢ θεῶν ἱδρύματα ὑποτρέχοντι καὶ θεραπεύοντι θρησκεύοντες οὐ καλὰν θρησκείαν. καὶ ὄντως ἔμοιγε κατοπτίλλεται ἔχεν τι σεμνὸν καὶ θαυμασμῶ ἄξιον. τὼς μὲν γὰρ ἀτέρως τῶν ἀνθρώπων χάριν ἀπαιτεῦντι οἱ εὖ ἔρξαντες· τοῖς δ' εὐμόρφοις τοὐναντίον οἱ εὐεργετίξαντες χάριν ἔχοντι, ὅτι καὶ ὑπέἀνδρῶν, ποτιβλέπων ἅπαντα τὰ νέα φυλακᾶς τε καὶ ταμελείας δεόμενα, καθάπερ τὰ ζωύφια περὶ τὸν πρᾶτον καιρὸν τᾶς αὐξήσιος, τῷ ἀκροσφαλῶς ἔχεν ποτὶ σωτηρίαν, ὑπέλαβον μὴ παρέργως δεῖν αὐτῶν με φυλάσσεν τὰν ἀσθένειαν· ὑμεῖς δέ γ' οἳ ὀριγνῆσθε σωματικᾶς ἁδονᾶς, τέλος ποιεύμενοι καθάπερ κνώδαλα τὸν κόρον τῶ πλατιασμῶ, οὐχ ὅτι χάριτος ἢ τιμᾶς ἀλλὰ καὶ μέμψιος ποτὶ κολάσει δικαίως ἐστὲ ἄξιοι τυγχάνεν, διὰ τὰς αὐταυτῶν ἀκολασίας Ἐν ταὐτῷ. Ἃ δέ γα εὐμορφία τοῖς ποτοκέλλουσιν ἁδονὰς παρέχει ποθερπύζοισα, καθάπερ ἄγαλμα ἢ γραφὰ ἢ ἄτερον χειρόκματον ἐπίτευγμα. διό κα θέλοιμι ἔγωγ' ἄτερον ἔχεν τὸ κάλλος ἢ αὐτὸς εἶμεν εὔμορφος· ὥσπερ καὶ οἶνον πιὲν ἁδὺν καὶ πολύωρον ἢ αὐτὸς εἶμεν βουνός, καὶ χιλὸν ποτιφέρεσθαι ἁδὺν καὶ ἀμπέχεσθαι ἀμπεχόναν καλὰν ἢ εἶμεν χιλὸς ἢ ἀμπεχόνα. ἀλλ' ὑποδραμών τις σχεδὸν φάσει 'ἀλλ' ἐγὼ χαίρω ἐπὶ τᾷ ἐμαυτῶ εὐμορφίᾳ τῷ καὶ ἀτέρως ἀγάλλεσθαι'. ποθ' ὃν ὑποβλήδαν φατίζω πάλιν· 'ἀγάλλευ, μειράκιον· εὐδαίμονα μὲν γὰρ οὐκ ἔχω ὅπως τυ φατίζω ναμαρτέως μυθαρευόμενοσ'. Πλάτωνος Πολιτείας γ′ (p. 402 D—403 A). Οὐκοῦν, ἦν δ' ἐγώ, ὅτου ἂν ξυμπίπτῃ ἔν τε τῇ ψυχῇ καλὰ ἤθη ἐνόντα καὶ ἐν τῷ εἴδει ὁμολογοῦντα ἐκείνοις καὶ κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι; Πάνυ γε. Καὶ μὴν τό γε κάλλιστον ἐρασμιώτατον; Πῶς δ' οὔ; Τῶν δὴ ὅ τι μάλιστα τοιούτων ἀνθρώπων ὅ γε μουσικὸς ἐρῴη ἄν· εἰ δὲ ἀξύμφωνος εἴη, οὐκ ἂν ἐρῴη. Οὐκ ἄν, εἴ γέ τι, ἔφη, κατὰ τὴν ψυχὴν ἐλλείποι· εἰ μέντοι τι κατὰ τὸ σῶμα, ὑπομείνειεν ἂν ὥστε θέλειν ἀσπάζεσθαι. Μανθάνω, ἦν δ' ἐγώ· ὅτι ἔστι σοι ἢ γέγονε παιδικὰ τοιαῦτα, καὶ ξυγχωρῶ· ἀλλὰ τόδε μοι εἰπέ· σωφροσύνῃ καὶ ἡδονῇ ὑπερβαλλούσῃ ἔστι τις κοινωνία; Καὶ πῶς; ἔφη, ἥ γε ἔκφρονα ποιεῖ οὐχ ἧττον ἢ λύπη; Ἀλλὰ τῇ ἄλλῃ ἀρετῇ; Οὐδαμῶς. Τί δέ; ὕβρει τε καὶ ἀκολασίᾳ; Πάντων μάλιστα. Μείζω δέ τινα καὶ ὀξυτέραν ἔχεις εἰπεῖν ἡδονὴν τῆς περὶ τὰ ἀφροδίσια; Οὐκ ἔχω, ἦ δ' ὅς, οὐδέ γε μανικωτέραν. Ὁ δὲ ὀρθὸς ἔρως πέφυκε κοσμίου τε καὶ καλοῦ σωφρόνως τε καὶ μουσικῶς ἐρᾶν; Καὶ μάλα, ᾖ δ' ὅς. Οὐδὲν ἄρα προσοιστέον μανικὸν οὐδὲ ξυγγενὲς ἀκολασίας τῷ ὀρθῷ ἔρωτι; Εὐριπίδου Οἰδίποδος (fr. 548 N. 2). Νοῦν χρὴ θεᾶσθαι, νοῦν· τί τῆς εὐμορφίας ὄφελος, ὅταν τις μὴ [τὰς] φρένας καλὰς ἔχῃ; Εὐριπίδου Χρυσίππῳ (fr. 842 N. 2). Γνώμης σόφισμα καὶ χέρ' ἀνδρείαν ἔχων δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός. Φαβωρίνου (fr. 86 p. 138 Marr.). Ἔτι καὶ νῦν Σωκράτης καλός· Ἀλκιβιάδην δὲ καὶ ζῶντα ἐπιλελοίπει τὸ κάλλος, καὶ πολλοὶ κατόπιν τῆς ὥρας ἀφιγμένοι, ἔνιοι δὲ καὶ τῶν τεθεαμένων αὐτὸν καὶ νῦν ὁρώντων ἐζήτουν τὸν Ἀλκιβιάδην. Πλουτάρχου (vol. VII p. 137 Bernard.). Ἀλλὰ μήν, ὥσπερ ἔφην, οὐδὲν τῶν ἄλλων 〈καλλῶν〉 κινδύνων γένεσίς ἐστιν, ἀλλὰ μόνου τοῦ σώματος. τὰ μὲν γὰρ τῆς ψυχῆς κάλλη καὶ σωτηρίας ἐλπίδες εἰσί, φρόνησις, εὐσέβεια, δικαιοπραγία· καὶ τὸ παιδείας εὐπρόσωπον κάλλος οἴκου καὶ πόλεως καὶ ἐθνῶν ἀθόρυβος εἰρήνη διατελεῖ γινομένη· ἡ δὲ γυναικῶν εὐμορφία ἀφορμὴ τοῖς πάθεσι καὶ ταῖς ἐπιθυμίαις. Βίωνος. Βίων πρὸς τοὺς λέγοντας ὅτι [τὸ κάλλος] τυραννίδα ἔχει τὸ κάλλος, 'φεῦ' ἔλεγε 'τυραννίδος τριχὶ καταλυομένης.' Φαβωρίνου (fr. 87 p. 138 Marr.). Ἡ φύσις ἢ ἑστῶσα σῴζεται ἢ φερομένη· [ἡ] ἑστῶσα μὲν ἐξ ἀθανασίας, φερομένη δὲ ἐξ ἐπιγονῆς. πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ Ἀνακρέων καὶ μικρολόγος τῷ παιδὶ μεμφόμενος ὅτι τῆς κόμης ἀπεκείρατο, λέγων ταῦτα· ἀπέκειρας δ' ἀπαλῆς κόμης ἄμωμον ἄνθος. ἀλλ', ὦ Ἀνάκρεον, μικρὸν ἐπίμεινον, καὶ ὄψει πάντα ἀποτὸν Ὅμηρον· κάρψε μέν οἱ χρόα καλὸν ἐπὶ γναμπτοῖσι μέλεσσιν, ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσεν τρίχας· ἀμφὶ δὲ δέρμα πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος. ταῦτα δ' Ἀθηνᾶ μὲν διέθηκε τὸν Ὀδυσσέα, ὁ δὲ χρόνος πάντας τοὺς καλούς. εἶτα Ὀδυσσεὺς μὲν ἀναλήψεται καὶ σάρκας καὶ κόμην καὶ χρῶμα· σὺ δέ, ὦ καλὲ παίδων, ἐπειδὰν

ἅπαξ ταῦτα ἀποβάλῃς, οὐκ ἔστι σοι πάλιν ἀνηβῆσαι. Πλουτάρχου ἐκ τοῦ Περὶ ἔρωτος (Plut. v. VII p. 135 Bernard.). Καὶ τοὺς καλοὺς ὁρᾶν μὲν ἐπιτερπέστατον, ἅψασθαι δὲ καὶ λαβεῖν οὐκ ἀκίνδυνον. μᾶλλον δέ, ὥς φησιν ὁ Ξενοφῶν, τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον, οἱ δὲ καλοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν· ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστί. Ξενοφῶντος ἐκ τῆς πρὸς Ἀγλαϊτάδαν ἐπιστολῆς (p. 789 s. Herch.). Τὸ χαυνοῦσθαι ἐπὶ τῆς ὥρας τῷ κάλλει οὐ μόνον Φυλσόν. δοκεῖς γάρ μοι οὔτε Λακωνικὸν παθεῖν οὔθ', ὅπερ χρὴ ἐννοεῖν τὸν σώφρονα, ἀληθεῖ καὶ δικαίῳ ἐπαίνῳ τὸν νοῦν προσέχειν. τίς γὰρ σαρκὸς οὐ πρὸς ἰσχὺν ἐρρωμένης, ἡδονῆς δὲ ὑπομνήσει ἐπαινουμένης ἐν δικαίῳ γένοιτ' ἂν λόγος; σώματος γὰρ ἄνθρωποι ἠράσθησαν διὰ τὸ ἐπὶ ψυχῇ εἶναι· τῶν δὲ μικρὸν ὕστερον τὸν ἔπαινον ἀποδρασομένων δι' ὥρας ἀπάνθησιν ἥκιστα χρὴ φροντίζειν τὸν τῷ ὄντι Λάκωνα. ποιητῶν τε ὅσοι ἀρετὴν ἐπῄνεσαν σώματος ἢ οὐδὲν ἢ ὀλίγιστον ἐπαίνου πέρι ὕμνησαν, ἔργα δὲ ψυχῆς μεγάλα τε καὶ σοφίας ἐγγὺς δι' ᾠδῆς αἰῶνι ἔδοσαν. σκόπει δέ, ὦ Ἀγλαϊτάδα, καὶ ἔπου θείῳ λόγῳ, ὃς πιστοῦται ὅτι ψυχὴν μετὰ θεοὺς χρὴ τιμᾶν, τρίτον δὲ Ὀλυμπίων τὸ σῶμα. ψυχῆς δὲ τιμὴ μάθησις καὶ νοῦς συντεταγμένος ἐπὶ φρόνησιν· ὡς οὐκ ἔστιν ὡς ἐπὶ τὸ πολὺ ἀνθρώποις ἄλλο συγγενὲς πρὸς θεοὺς 〈ἢ〉 παίδευμα. καὶ τοίνυν τῶν μὲν ἀφρόνων τὸ σῶμα οὐδ' ἂν εὖ ἡρμοσμένον ἴδῃς φήσεις καλὸν εἶναι. ἀνδρεία γὰρ κάλλους ἔλαχεν ἔπαινον ἐπὶ φρονήσει τέχνης. τῷ γὰρ ὄντι ἂν φαίην τὰ στερόμενα τοῦ ἔμφρονος αἰσχρὰ πάντα καὶ ἄδικα ἐν ἀνθρώποις ἔσεσθαι. γεγενῆσθαι οὖν ἐν Λάκωσι τότε σοι ἔσται, ἐπειδὰν νόμων Λακωνικῶν ὑπηρέτην τὸν παῖδα ἀποδείξῃς. ἀὴρ δὲ οὔτε τις Λάκων οὔτε Ἀττικὸς ἐγένετο, ῥεῦμα δὲ ὑπὸ θεῶν ἐπὶ ζῴων γενέσει τῶν τε ἄλλων ὅσα Εὐριπίδου Οἰδίποδι (fr. 543 N. 2). Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή· ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων ἀλόχου τε κεδνῆς, ὡς μόνων τῶν χρημάτων ᾗ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἢν λάβῃ. Εὐριπίδου (fr. 545 N. 2). Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή. Ἀπολλωνίδου (fr. 1 p. 825 N. 2). Φεῦ φεῦ, γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς γνώμη δικαία καὶ φρονοῦσα τἄνδικα. Ἀλεξάνδρου (Com. IV p. 554 M.). Ταμιεῖον ἀρετῆς ἐστι γενναία γυνή. Θεόγνιδος (1225 s.). Οὐδέν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός, μάρτυς ἐγώ, σὺ δ' ἐμοὶ γίνου ἀληθοσύνης. Σοφοκλέους (fr. 856 N. 2). Τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ; Ἀπολλωνίδου (fr. 2 p. 825 N. 2). Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι σοφοῦ τινος γένοιτ' ἂν ἵστορος λόγων. Εὐριπίδου Ὀρέστῃ (1204 s.). Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη, τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον. Εὐριπίδου (fr. 1055 N. 2). Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ Μενάνδρου (fr. 646 K.). Ἔν ἐστ' ἀληθὲς φίλτρον, εὐγνώμων τρόπος. τούτῳ κατακρατεῖν ἀνδρὸς εἴωθεν γυνή. Εὐριπίδου Ἀνδρομέδας (fr. 137 N. 2). Τῶν γὰρ πλούτων ὅδ' ἄριστος γενναῖον λέχος εὑρεῖν. Μενάνδρου (fr. 647 K.). Οἰκεῖον οὕτως οὐδέν ἐστιν, ὦ Λάχης, ἐὰν σκοπῇ τις, ὡς ἀνήρ τε καὶ γυνή. Εὐριπίδου Ἀντιγόνης (cf. Trag. gr. fr. p. 828 N. 2). Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος· ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν. Ἱπποθόωντος (cf. Eur. fr. 164 N. 2). Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή. Εὐριπίδου Φρίξῳ (fr. 822 N. 2). Γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς, ὀργήν τε πραῦνουσα καὶ δυσθυμίας ψυχὴν μεθιστᾶς'· ἡδὺ κἀπάταί φίλων. Ἐκ τῶν Ἀρίστωνος. (Ar. Chii fr. 400 de Arn.) Σπαρτιατῶν νόμος τάττει ζημίας, τὴν μὲν πρώτην ἀγαμίου, τὴν δευτέραν ὀψιγαμίου, τὴν τρίτην καὶ μεγίστην κακογαμίου. Πιττακοῦ. 〈Πιττακὸσ〉 ἐπύθετό τινος διότι οὐ βούλεται γῆμαι· τοῦ δὲ φήσαντος 'ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν, ἐὸν δὲ αἰσχράν, ἕξω ποινήν', 'οὐμενοῦν' ἔφη 'ἀλλ' ἐὰν μὲν καλὴν γήμῃς, οὐχ ἕξεις ποινήν, ἐὰν δὲ αἰσχράν, οὐχ ἕξεις κοινήν'. Γαΐου ὑπὲρ Λουκίλλης. Πολλάκις γὰρ γυνὴ καὶ παῖδας ὑπερεβάλετο εὐνοίᾳ τῇ πρὸς τὸν ἄνδρα· ἡ γὰρ τοῦ βίου κοινωνία μακροτέραν τὴν φιλίαν ποιεῖ τῶν τεχθέντων ἅπαξ. Δημοσθένους ἐκ τοῦ κατὰ Νεαίρας (LIX p.

1386). Τὰς μὲν γὰρ ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς 〈δὲ〉 παλλακὰς τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν. Μουσωνίου ἐκ τοῦ Εἰ ἐμπόδιον τῷ φιλοσοφεῖν γάμος θαγόρᾳ μέν, εἶπεν ὁ Μουσώνιος, οὐκ ἐμπόδιον ἦν, οὐδὲ Σωκράτει, οὐδὲ Κράτητι, ὧν ἕκαστος συνῴκησε γυναικί· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν ἄμεινον ἐκείνων ἑτέρους φιλοσοφήσαντας. καίτοι γε Κράτης ἄοικός τε καὶ ἀσκευὴς καὶ ἀκτήμων τέλεον ἦν, ἀλλ' ὅμως ἔγημεν· εἶτα μηδ' ὑπόδυσιν ἔχων ἰδίαν ἐν ταῖς δημοσίαις Ἀθήνησι στοαῖς διημέρευε καὶ διενυκτέρευε μετὰ τῆς γυναικός· ἡμεῖς δὲ ἀπ' οἰκίας ὁρμώμενοι, καὶ οἰκέτας τοὺς ὑπηρετοῦντας ἔχοντες ἔνιοι, τολμῶμεν ὅμως λέγειν ἐμπόδιον εἶναι φιλοσοφίᾳ γάμον; καὶ μὴν ὅ γε φιλόσοφος διδάσκαλος δήπου καὶ ἡγεμὼν πάντων τοῖς ἀνθρώποις ἐστὶ τῶν κατὰ φύσιν ἀνθρώπῳ προσηκόντων· κατὰ φύσιν δ', εἴ τι ἄλλο, καὶ τὸ γαμεῖν φαίνεται ὄν. ἐπεὶ τοῦ χάριν ὁ τοῦ ἀνθρώπου δημιουργὸς πρῶτον μὲν ἔτεμε δίχα τὸ γένος ἡμῶν, εἶτ' ἐποίησεν αὐτῷ διττὰ αἰδοῖα, τὸ μὲν εἶναι θήλεος τὸ δὲ ἄρρενος, εἶτα δὲ ἐνεποίησεν ἐπιθυμίαν ἰσχυρὰν ἑκατέρῳ θατέρου τῆς θ' ὁμιλίας καὶ τῆς κοινωνίας καὶ πόθον ἰσχυρὸν ἀμφοῖν ἀλλήλων ἐνεκέρασεν, τῷ μὲν ἄρρενι τοῦ θήλεος, τῷ δὲ θήλει τοῦ ἄρρενος; ἆρ' οὖν 〈οὐ〉 γνώριμον, ὅτι ἐβούλετο συνεῖναί τε αὐτὼ καὶ συζῆν, καὶ τὰ πρὸς τὸν βίον ἀλλήλοιν συμμηχανᾶσθαι, καὶ γένεσιν παίδων καὶ τροφὴν ἅμα ποιεῖσθαι, ὡς ἂν τὸ γένος ἡμῶν ἀίδιον ᾖ; τί δ'; εἰπέ μοι, πότερα αὐτοῦ σκεπτέον μόνον, ἀποφαίνεις τὸν ἄνθρωπον λύκου μηδὲν διαφέροντα μηδ' ἄλλου θηρίου τῶν ἀγριωτάτων μηδενός, ἅπερ ἀπὸ βίας καὶ πλεονεξίας πέφυκε ζῆν, μὴ φειδόμενα μηδενὸς ἀφ' ὅτου μέλλει καρποῦσθαί τι ἡδύ, ἄμοιρα μὲν κοινωνίας ὄντα, ἄμοιρα δὲ συνεργείας τῆς ἀπ' ἀλλήλων, ἄμοιρα δὲ δικαίου παντός. εἰ δ' ὁμολογήσεις τὴν ἀνθρωπείαν φύσιν μελίσσῃ μάλιστα προσεοικέναι, ἣ μὴ δύναται μόνη ζῆν, ἀπόλλυται γὰρ μονωθεῖσα, πρὸς ἓν δὲ καὶ κοινὸν ἔργον τῶν ὁμοφύλων συννένευκε καὶ συμπράττει καὶ συνεργάζεται τοῖς πλησίον· εἰ ταῦτα ταύτῃ ἔχει, καὶ ἔτι πρὸς τούτοις κακία μὲν ἀνθρώπου εἶναι ὑπείληπται ἀδικία τε καὶ ἀγριότης καὶ τὸ τοῦ πλησίον πράττοντος κακῶς ἀφροντιστεῖν, ἀρετὴ δὲ φιλανθρωπία καὶ χρηστότης καὶ δικαιοσύνη ἐστὶ καὶ τὸ εὐεργετικὸν εἶναι καὶ τὸ κηδεμονικὸν εἶναι τοῦ πέλας, πῶς οὐ καὶ πόλεως ἑκάστῳ τῆς αὐτοῦ φροντιστέον καὶ τῇ πόλει οἶκον περιβλητέον; ἀρχὴ δὲ οἴκου περιβολῆς γάμος. ὥστε ὁ ἀναιρῶν ἐξ ἀνθρώπων γάμον ἀναιρεῖ μὲν οἶκον, ἀναιρεῖ δὲ πόλιν, ἀναιρεῖ δὲ σύμπαν τὸ ἀνθρώπειον γένος. οὐ γὰρ ἂν διαμένοι μὴ γενέσεως οὔσης, οὐδ' ἂν γένεσις εἴη μὴ γάμου ὄντος, ἥ γε δικαία καὶ νόμιμος. ὅτι μὲν γὰρ οἶκος ἢ πόλις οὔτ' ἐκ γυναικῶν συνίσταται μόνον οὔτ' ἐξ ἀνδρῶν μόνον, ἀλλ' ἐκ τῆς πρὸς νὴς ὡς γυνὴ καταθύμιος τῷ γεγαμηκότι; ποῖος δ' ἀδελφὸς ἀδελφῷ; ποῖος δὲ γονεῦσιν υἱός; τίς δὲ ἀπὼν οὕτω ποθεινὸς ὡς ἀνὴρ γυναικὶ καὶ γυνὴ ἀνδρί; τίνος δὲ παρουσία μᾶλλον ἢ λύπην ἐλαφρύνειεν ἂν ἢ χαρὰν ἐπαυξήσειεν ἢ συμφορὸν ἐπανορθώσειεν; τίσι δὲ νενόμισται κοινὰ εἶναι πάντα, καὶ σώματα καὶ ψυχαὶ καὶ χρήματα, πλὴν ἀνδρὸς καὶ γυναικός; ταῦτά τοι καὶ πάντες ἄνθρωποι πρεσβυτάτην νομίζουσι πασῶν τὴν ἀνδρὸς καὶ γυναικὸς φιλίαν· καὶ οὐδὲ μήτηρ ἢ πατὴρ νοῦν ἔχων οὐδεὶς ἀξιοῖ φίλτερος 〈εἶναι〉 τῷ ἑαυτοῦ τέκνῳ τοῦ συνεζευγμένου γάμῳ. καὶ ὁ λόγος δὲ ἐκεῖνος φαίνεται δηλοῦν, ὅσον προτερεῖ τῆς γονέων πρὸς τέκνα φιλίας ἡ γυναικὸς πρὸς ἄνδρα, ὅτι Ἄδμητος δόσιν ταύτην λαβὼν παρὰ θεῶν, εἰ παράσχοι τὸν ἀνθ' ἑαυτοῦ τεθνηξόμενον, ζῆσαι διπλασίῳ χρόνον τοῦ τεταγμένου αὐτῷ, τῶν μὲν γονέων οὐκ ἔτυχεν ἐθελόντων προαποθανεῖν αὐτοῦ καίτοι γεγηρακότων· ἡ γυνὴ δὲ ἡ γαμετὴ Ἄλκηστις, κομιδῇ νέα οὖσα, ἐδέξατο ἑτοίμως τὸν θάνατον πρὸ τοῦ ἀνδρός. Ὅτι δὲ μέγα καὶ ἀξιοσπούδαστον ὁ γάμος ἐστί, καὶ ζονται παρ' ἀνθρώποις, μεγάλοι· πρώτη μὲν Ἥρα, καὶ διὰ τοῦτο ζυγίαν αὐτὴν προσαγορεύομεν· εἶτα Ἔρως, εἶτα Ἀφροδίτη· πάντας γὰρ τούτους ὑπολαμβάνομεν ἔργον πεποιῆσθαι τοῦτο, συνάγειν ἀλλήλοις πρὸς παιδοποιίαν ἄνδρα καὶ γυναῖκα. ποῦ μὲν γὰρ Ἔρως παραγένοιτ' ἂν δικαιότερον ἢ ἐπὶ νόμιμον ἀνδρὸς καὶ γυναικὸς

ὁμιλίαν; ποῦ δὲ Ἥρα; ποῦ δὲ Ἀφροδίτη; πότε δ' ἂν εὐκαιρότερον εὔξαιτό τις τοῖς θεοῖς τούτοις ἢ πρὸς γάμον ἰών; τί δὲ καλοῦντες ἀφροδίσιον ἔργον προσηκόντως ἂν μᾶλλον καλοῖμεν ἢ τὴν γαμετῆς τῷ γεγαμηκότι σύνοδον; διὰ τί τοιγαροῦν φαίη τις ἂν θεοὺς μὲν οὕτω μεγάλους ἐπισκοπεῖν καὶ ἐπιτροπεύειν γάμον καὶ παιδοποιίαν, μὴ προσήκειν δὲ ἀνθρώπῳ ταῦτα; διὰ τί δὲ προσήκειν μὲν τῷ ἀνθρώπῳ ταῦτα, μὴ προσήκειν δὲ τῷ φιλοσόφῳ; πότερον 〈ὅτι〉 κακίω εἶναι χρὴ τῶν ἄλλων τὸν φιλόσοφον; ἀλλ' οὐ χρή, κρείττω δὲ καὶ δικαιότερον καὶ καλοκἀγαθικώτερον. ἢ ὅτι κακίων οὐκ ἔστι καὶ ἀδικώτερος ἀνὴρ τοῦ μὲν κηδομένου τῆς ἑαυτοῦ πόλεως ὁ μὴ κηδόμενος, τοῦ δὲ τὸ κοινὸν σκοποῦντος ὁ τὸ αὑτοῦ μόνον ὁρῶν; ἢ ὅτι φιλόπολις καὶ φιλάνθρωπος καὶ κοινωνικὸς μᾶλλόν ἐστιν ὁ μονήρη βίον αἱρούμενος τοῦ νέμοντος οἶκον καὶ ποιουμένου παῖδας καὶ πόλιν αὔξοντος τὴν ἑαυτοῦ, ἅπερ ὑπάρχει τῷ γαμοῦντι; ὅτι μὲν οὖν προσήκει τὸν φιλόσοφον γάμου καὶ παιδοποιίας ἐπιμελεῖσθαι, δῆλον. εἰ δὲ προσήκει τοῦτο, πῶς ἂν ὀρθῶς ἔχοι, ὦ νεανίσκε, ὁ λόγος ἐκεῖνος, ὃν σὺ ἀρτίως ἔλεγες, ὡς ἐμπόδιόν ἐστι τῷ φιλοσοφεῖν γάμος; οὐ γὰρ δὴ φιλοσοφεῖν ἕτερόν τι φαίνεται ὂν ἢ τὸ ἃ πρέπει καὶ ἃ προσήκει λόγῳ μὲν ἀναζητεῖν, ἔργῳ δὲ πράττειν. Τότε μὲν δὴ τοιαῦτά Ἱεροκλέους ἐκ τοῦ Περὶ γάμου (p. 52 Arnim). Ἀναγκαιότατός ἐστιν ὁ περὶ τοῦ γάμου λόγος. ἅπαν μὲν γὰρ ἡμῶν τὸ γένος ἔφυ πρὸς κοινωνίαν, πρώτη δὲ καὶ στοιχειωδεστάτη τῶν κοινωνιῶν ἡ κατὰ τὸν γάμον. οὔτε γὰρ πόλεις ἂν ἦσαν μὴ ὄντων οἴκων, οἶκός τε ἡμιτελὴς μὲν τῷ ὄντι ὁ τοῦ ἀγάμου, τέλειος δὲ καὶ πλήρης ὁ τοῦ γεγαμηκότος. Ἐν ταὐτῷ (p. 52 Arn.). Οὐκοῦν ἔχομεν ἐν τοῖς περὶ οἴκων ἀποδεδειγμένον, ὡς τῷ σοφῷ προηγούμενος μέν ἐστιν ὁ μετὰ γάμου βίος, ὁ δ' ἄνευ γυναικὸς κατὰ περίστασιν· ὥστ' ἐπειδὴ χρὴ μὲν ἐν οἷς γε δυνάμεθα μιμεῖσθαι τὸν ἔχοντα νοῦν, τούτῳ δὲ προηγούμενόν ἐστι τὸ γαμεῖν, δῆλον ὅτι καὶ ἡμῖν ἂν εἴη καθῆκον, εἴ γε μή τις εἴη περίστασις ἐμποδών. καὶ δὴ τοῦτο μὲν πρῶτον. ἔοικε δὲ καὶ πρὸ τοῦ σοφοῦ παρακαλεῖν ἡμᾶς ἡ καὶ αὐτὸν τὸν σοφὸν ἐπὶ τὸν γάμον ἐξοτρύνουσα φύσις, ἥ τις οὐ συναγελαστικοὺς ἡμᾶς ἀπειργάσατο μόνον, ἀλλὰ καὶ συνδυαστικούς, μετὰ τοῦ καὶ ἕν τε καὶ κοινὸν ἔργον ὑποθεῖναι τῷ συνδυασμῷ· λέγω δὲ τὴν παίδων γένεσιν καὶ βίου διεξαγωγὴν εὐσταθοῦς. δικαία δὲ διδάσκαλος ἡ φύσις, ὅτι τῇ παρ' αὐτῆς κατασκευῇ σύμφωνον τὴν ἐκλογὴν χρὴ γίγνεσθαι τῶν καθηκόντων. ζῇ γοῦν ἕκαστον τῶν ζῴων ἑπομένως τῇ ἑαυτοῦ φυσικῇ κατασκευῇ, μὲν φυτὰ τῇ φύσει ψιλῇ, ψυχῆς γάρ ἐστιν ἀμέτοχα, τὰ δὲ ζῷα φαντασίαις τε σπώσαις ἐπὶ τὰ οἰκεῖα καὶ ἐξελαυνούσαις προθυμίαις. ἡμῖν δὲ ἡ φύσις ἔδωκε τὸν λόγον τά τε ἄλλα πάντα καὶ σὺν πᾶσι, μᾶλλον δὲ πρὸ πάντων αὐτὴν κατοψόμενον τὴν φύσιν, ὅπως ὡς πρός τινα σκοπὸν εὐφεγγῆ τε καὶ ἀραρότα τεταμένος ταύτην, ἐκλεγόμενός τε τὸ σύμφωνον αὐτῇ πᾶν καθηκόντως βιοῦντας ἡμᾶς ἀπεργάζοιτο. Ἐν ταὐτῷ (p. 53 Arn.). Ὅθεν καὶ οὐκ ἂν ἁμάρτοι τις ἀτελῆ φήσας οἰκίαν τὴν ἄνευ γάμου, τῷ μήτε τὸ ἄρχον ἄνευ τοῦ ἀρχομένου δύνασθαι νοηθῆναι μήτ' ἄνευ τοῦ ἄρχοντος τὸ ἀρχόμενον· οὗτος γὰρ ὁ λόγος εὖ μάλα μοι δοκεῖ δυσωπεῖν τοὺς ἠλλοτριωμένους πρὸς γάμον. Ἐν ταὐτῷ (p. 53 Arn.). Φημὶ τοίνυν καὶ σύμφορον εἶναι τὸν γάμον πρῶτον μὲν ὅτι θεῖον ὡς ἀληθῶς φέρει καρπὸν τὴν παίδων γένεσιν, οἳ παραστάται μὲν ἡμῖν οἷον συμφυεῖς ἔτι καὶ αὐτοῖς ἐρρωμένοις ἐν ἁπάσαις γίγνονται πράξεσιν, ἀγαθοὶ δὲ ἐπίκουροι κάμνουσιν ὑφ' ἡλικίας καὶ γήρᾳ πιεζομένοις, οἰκεῖοι μὲν ἐν εὐπραγίαις εὐφροσύνης κοινωνοί, συμπαθεῖς βίωσις. πρῶτον μὲν γὰρ ἀποτετρυμένους τοῖς θυραίοις καμάτοις ὑποδέχεται θεραπευτικῶς ἀναλαμβάνουσα καὶ μετ' ἐπιμελείας ἀνακτωμένη πάσης· ἔπειτα τῶν ὄντων δυσχερῶν ἐν τῇ διανοίᾳ λήθην ἐντίθησι. τὰ γὰρ σκυθρωπὰ τοῦ βίου περὶ μὲν τὴν ἀγορὰν ἢ τὸ γυμνάσιον ἢ τὸ χωρίον ἢ καθόλου πάσας μερίμνας ἀσχολοῦσι καὶ περὶ τοὺς φίλους τε καὶ συνήθεις διατρίβουσιν ἡμῖν οὐκ ἔστι πρόχειρα τοῖς ἀναγκαίοις ἐπιπροσθούμενα περισπασμοῖς· ἀνεθεῖσι δ' ἐκ τούτων εἴς τε τὴν οἰκίαν ἐπανελθοῦσι καὶ οἷον εὐσχόλοις τὴν ψυχὴν γενομένοις ἐμπελάζει καιρῷ χρώμενα τούτῳ τοῦ ἀνιᾶν ἡμᾶς, ὅταν γε ἔρημος εὐνοίας καὶ μονήρης ὁ βίος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾗ. γυνὴ δὲ παροῦσα μεγάλη γίνεται καὶ πρὸς ταῦτα παρηγορία, πυνθανομένη τι περὶ τῶν ἐκτὸς ἢ περὶ τῶν ἔνδον ἀναφέρουσα καὶ συνδιασκεπτομένη καί τινα διάχυσιν κἀξ ἁπλάστου προθυμίας εὐφροσύνην παρέχουσα. καὶ μὴν οἵα μέν ἐστιν ἐν ἑορταῖς συνεπιμεληθῆναι θυσιῶν καὶ ἱερουργιῶν, οἵα δ' ἐν ἀνδρὸς ἀποδημίαις εὐσταθῆ διατηρῆσαι καὶ μὴ παντάπασιν ἀπροστάτητον τὸν οἶκον, οἵα δὲ κηδεμὼν οἰκετῶν, οἵα δὲ δὴ ἐν νόσοις [οἵα] παραστάτις, μακρὸς ἂν γένοιθ' ὁ λόγος πάντ' ἐπεξιὼν τὰ κατὰ μέρος. ἀρκεῖ γὰρ κεφάλαιον εἰπεῖν, ὡς δεῖ μὲν ἅπασιν ἀνθρώποις πρὸς μετρίαν τοῦ βίου διεξαγωγὴν δυοῖν, συγγενικῆς ἐπικουρίας καὶ συμπαθοῦς εὐνοίας· οὔτε δὲ συμπαθέστερόν τι γυναικὸς εὕροιμεν ἂν οὔτε τέκνων συγγενέστερον. παρέχει δ' ἑκάτερον ὁ γάμος. πῶς οὖν οὐχὶ λυσιτελέστατον ἡμῖν; ἀλλ' ἔγωγε καὶ καλὸν ἡγοῦμαι τὸν μετὰ γάμου βίον. τίς γὰρ ἕτερος τοιοῦτος γένοιτ' ἂν οἰκίας κόσμος οἷός ἐστιν ὁ κατὰ τὴν ἀνδρὸς καὶ γυναικὸς κοινωνίαν; οὐ μὲν δὴ πολυτελεῖς οἶκοι καὶ ὀρθόστρωτοι τοῖχοι καὶ περίστοα τοῖς ὑπὸ τῆς ἀπειραγαθίας θαυμαζομένοις λίθοις διακεκοσμημένα οὐδὲ ζῳγραφία καὶ ψαλιστοὶ μυρρινῶνες οὐδ' ἄλλο τι τῶν ἐκπληττόντων τοὺς ἠλιθίους κάλλος ἐστὶν οἰκίας, ἀλλὰ ζεῦγος ἀνδρὸς καὶ γυναικός, συγκαθειμαρμένων ἀλλήλοις καὶ καθιερωμένων θεοῖς γαμηλίοις γενεθλίοις ἐφεστίοις, συμφωνούντων μὲν ἀλλήλοις καὶ πάντα κοινὰ πεποιημένων μέχρι καὶ τῶν σωμάτων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν ψυχῶν, καὶ περὶ προστασίαν μὲν ἐχόντων τὴν ἐπιβάλλουσαν τοῦ οἴκου καὶ τῶν θεραπόντων, ἀνατροφὴν δὲ καὶ κηδεμονίαν τῶν τέκνων, ἐπιμέλειαν δὲ οὔτε σύντονον οὔτε μὴν ῥᾳθυμον ἀλλ' ἐμμελῆ καὶ καθηρμοσμένην τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. τί γὰρ ἂν γένοιτο 'κρεῖσσον καὶ ἄρειον' κατὰ τὸν θαυμασιώτατον Ὅμηρον, 'ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἰκί' ἔχητον ἀνὴρ ἠδὲ γυνή;' διὸ καὶ πολλάκις ἐθαύμασα τοὺς ὡς βαρὺν ἡγουμένους τὸν μετὰ γυναικὸς βίον. οὐ γὰρ δὴ γυνὴ μὰ Δία βάρος ἢ φορτίον ἐστί, καθάπερ οὗτοι δοκοῦσιν· ἀλλ' ἥδε μὲν κἀκ τῶν ἐναντίων κοῦφόν τι καὶ ῥᾷστα φέρεσθαι δυνάμενον, αὐτὸ βουλομένοις. βαρὺ δέ ἐστιν ὡς ἀληθῶς ἀφροσύνη καὶ δύσοιστον τοῖς αὐτὴν κεκτημένοις, ὑφ' ἧς δὴ καὶ τὰ φύσει κοῦφα γίνεται βαρέα, τά τε ἄλλα καὶ γυνή. τῷ ὄντι γὰρ δὴ καὶ συχνοῖς [γὰρ] τισιν ἀφόρητος ἐγένετο ὁ γάμος, ἀλλ' οὐχὶ παρ' ἑαυτοῦ οὐδὲ τῷ φύσει τοιάνδε τὴν μετὰ γυναικὸς εἶναι κοινωνίαν· ἀλλ' ὅταν γαμῶμεν ἃς μὴ δεῖ, μετὰ τοῦ καὶ αὐτοὶ παντάπασιν ἀπειροβίως διακεῖσθαι καὶ ἀπαρασκεύως ἔχειν πρὸς τὸ ἀγαγεῖν ὡς χρὴ τὴν ἐλευθέραν ἄγεσθαι, τὸ τηνικαῦτα συμβαίνει χαλεπὴν καὶ ἀφόρητον γίνεσθαι τὴν κοινωνίαν. ἀμέλει καὶ ταύτῃ χωρεῖ τοῖς πολλοῖς ὁ γάμος. οὐ γὰρ ἐπὶ παίδων γενέσει καὶ βίου κοινωνίᾳ ἄγονται γυναῖκας· ἀλλ' οἱ μὲν διὰ προικὸς ὄγκον, οἱ δὲ δι' ἐξοχὴν μορφῆς, οἱ δὲ δι' ἄλλας τινὰς τοιουτοτρόπους αἰτίας, αἷς χρώμενοι κακαῖς συμβούλοις, οὐδὲν περὶ τῆς διαθέσεως καὶ τοῦ ἤθους τῆς νύμφης πολυπραγμονήσαντες, ὄλεθρον αὐτῶν θύουσι τὸν γάμον, καὶ θύραις κατεστεμμέναις τύραννον ἀντὶ γυναικὸς ἐπεισάγουσιν ἑαυτοῖς, καὶ ταῦτα μηδὲ ἐφ' ὁποσονοῦν ἀνταρκέσαι δυνάμενοι καὶ τὴν περὶ τῶν πρωτείων ἅμιλλαν ἀγωνίσασθαι. φανερὸν οὖν, ὡς οὐ δι' αὐτὸν ἀλλὰ διὰ ταῦτα πολλοῖς βαρὺς καὶ ἀφόρητος ὁ γάμος γίνεται. χρὴ δ' οὔτ' ἀναίτια, φησίν, αἰτιᾶσθαι οὔτ' ἔγκλημα πραγμάτων ποιεῖσθαι τὴν αὐτῶν ἀσθένειαν καὶ περὶ τὴν χρῆσιν αὐτῶν 〈ἄγνοιαν〉. ἐπεί τοι καὶ ἀλόγιστον ἄλλως παντασθαι φίλους καὶ ἑταίρους οἷον συμμάχους ἐσομένους πρὸς τὰ τοῦ βίου δυσχερῆ, τὴν δὲ καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τῶν νόμων καὶ παρὰ τῶν θεῶν διδομένην μισεῖν συμμαχίαν τε καὶ βοήθειαν, τουτέστι τὴν ἐκ γυναικὸς καὶ τέκνων. Ἀντιπάτρου ἐκ τοῦ Περὶ γάμου (fr. 63 Arn.). Ὁ εὐγενὴς καὶ εὔψυχος νέος, ἔτι δ' ἥμερος καὶ πολιτικός, θεωρῶν διότι τέλειος οἶκος καὶ βίος οὐκ ἄλλως δύναται γενέσθαι, ἢ μετὰ γυναικὸς καὶ τέκνων· ἀτελὴς γὰρ 〈οἰκία〉, ὥσπερ πόλις, οὐχ ἡ ἐκ γυναικῶν μόνον, ἀλλὰ καὶ ἐκ ψιλῶν ἀνδρῶν· ὃν τρόπον τε ποίμνη ἐπιγονὴν μὴ ἔχουσα οὐ καλὴ οὐδὲ βουκόλιον εὐθηνοῦν, πολὺ μᾶλλον οὐδὲ πόλις οὐδ' οἰκία· ταῦτά τε δὴ κατανενοηκὼς ὁ εὐγενὴς καὶ ὡς φύσει πολιτικὸν γενόμενον συναύξειν τὴν πατρίδα δεῖ … καὶ γὰρ οὐκ ἂν ἄλλως δύναιντο αἱ

πόλεις σῴζεσθαι, εἰ μὴ οἱ βέλτιστοι ταῖς φύσεσι τῶν πολιτῶν [ἢ] τῶν γενναίων παῖδες, τῶν προτέρων καθαπερεὶ φύλλων καλοῦ δένδρου ἀπομαραινομένων καὶ ἀπορρεόντων, οὗτοι καθ' ὥραν γαμοῖεν, καθαπερεί τινας γενναίους βλαστοὺς διαδόχους τῇ πατρίδι καταλείποντες, οἳ θάλλειν αὐτὴν ἀεὶ ποιοῖεν, καὶ τὴν ἀκμὴν ἀΐδιον φυλάττοιεν, καὶ πρώτων καθηκόντων νομίζουσι τὸ συγκραθῆναι εἰς γάμον, πᾶν μὲν τὸ τῇ φύσει ἐπιβάλλον σπεύδοντες ἐπιτελεῖν, πολὺ δὲ μάλιστα τὸ εἰς τὴν τῆς πατρίδος σωτηρίαν καὶ αὔξησιν ἀνῆκον, καὶ ἔτι μᾶλλον εἰς τὴν τῶν θεῶν τιμήν. εἰ γὰρ ἐκλείποι τὸ γένος, τίς τοῖς θεοῖς θύσει; λύκοι τινὲς ἢ ταυροκτόνων γένος λεόντων. συμβέβηκε δὲ καὶ τὸν μὴ πεῖραν ἐσχηκότα γαμετῆς γυναικὸς καὶ τέκνων ἄγευστον εἶναι τῆς ἀληθινωτάτης καὶ γνησίου εὐνοίας. αἱ μὲν γὰρ ἄλλαι φιλίαι ἢ φιλοστοργίαι ἐοίκασι ταῖς τῶν ὀσπρίων ἤ τινων ἄλλων παραπλησίων κατὰ τὰς παραθέσεις μίξεσιν, αἱ δ' ἀνδρὸς καὶ γυναικὸς ταῖς δι' ὅλων κράσεσιν, ὡς οἶνος ὕδατι, καὶ τοῦτο ἔτι μὲν μίσγεται δι' ὅλων. οὐ γὰρ μόνον τῆς οὐσίας καὶ τῶν φιλτάτων πᾶσιν ἀνθρώποις τέκνων καὶ τῆς ψυχῆς, ἀλλὰ καὶ τῶν σωμάτων οὗτοι μόνοι κοινωνοῦσι. καὶ κατ' ἄλλον δὲ τρόπον εἰκότως μεγίστη ἐστίν. αἱ μὲν γὰρ ἄλλαι κοινωνίαι καὶ ἑτέρας τινὰς ἀποστροφὰς ἔχουσι· ταύτας δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν ποιεῖσθαι καὶ τέλος, τούτῳ ἀρέσκειν, αὐτῶν τῶν γονέων ἑκατέρων παραχωρούντων ἑκουσίως τὰ πρῶτα τῆς εὐνοίας ἀπονέμειν, τὴν μὲν τῷ ἀνδρί, τὸν δὲ τῇ γυναικί. οὐκ ἀπείρως 〈δὲ〉 τῆς πρὸς γυναῖκα συμβιώσεως καὶ ὁ Εὐριπίδης εἰς ταῦτα ἀποβλέψας καὶ ἀποθέμενος τὴν ἐν τῷ γράφειν μισογυνίαν ταῦτ' εἴρηκεν· γυνὴ γὰρ ἐν νόσοισι καὶ κακοῖς πόσει ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς, ὀργήν τε πραΰνουσα 〈καὶ δυσθυμίας ψυχὴν μεθιστᾶς'·〉 ἡδὺ καὶ ἀπάταις φίλων. τυγχάνει δὲ καὶ ἡρωϊκὸν τὸ πρᾶγμα. νῦν δὲ ἐν ἐνίαις πόλεσιν ἅμα τῇ ἄλλῃ τῇ καθεστώσῃ ἐκλύσει καὶ ἀναρχίᾳ καὶ τῇ ἐπὶ τὸ καταφερὲς 〈καὶ〉 ῥᾳθυμον ἐπικλίσει καὶ τὸ γαμεῖν τῶν χαλεπωτάτων εἶναι δοκεῖ· τὸν δ' ἦθεον 〈βίον〉, ἐξουσίαν διδόντα πρὸς ἀκολασίαν καὶ ποικίλων ἡδονῶν ἀπόλαυσιν ἀγεννῶν καὶ μικροχαρῶν, ἰσόθεον νομίζουσι, τὴν δὲ τῆς γυναικὸς εἴσοδον οἱονεί τινος φρουρᾶς εἰς πόλιν εἰσαγωγήν. ἔοικε μέντοι δύσκολος ἐνίοις ὁ μετὰ γυναικὸς φαίνεσθαι βίος διὰ τὸ μὴ δύνασθαι ἄρχειν τεθηρευμένους, τοὺς 〈δ'〉 ὑπὸ τῆς προικός, τὰ μὲν ἀπ' αὐτῆς ἑκουσίως καταχαρίζεσθαι τῇ γυναικὶ καὶ μὴ διδάσκειν περὶ οἰκονομίας μηθὲν μηδὲ περὶ αὐξήσεως οἴκου μηδὲ τίνος ἕνεκα συνεληλύθασι, μηδὲ περὶ θεῶν εὐσεβείας καὶ δόξης καὶ δεισιδαιμονίας ἐμποιεῖν, μηδὲ τὸ τῆς τρυφῆς ὀλέθριον παριστάναι μηδὲ τὸ ἀχάριστον τῶν ἡδονῶν, μηδὲ ἐθίζειν ἀτενίζειν εἰς τὸ ἔμπροσθεν τοῦ βίου καὶ πᾶν τὸ μέλλον ὀρθῇ τῇ γνώμῃ ἐκλογίζεσθαι, μηδὲ αὖ τυφλῶς καὶ ἀσκέπτως εὔελπιν εἶναι, μηδ' ὅτι ἐὰν ὁ ἀνὴρ βουληθῇ, δύναται πάντως γενέσθαι ὧν ἐπιθυμεῖ· καὶ μὴ πρὸς τῷ παρόντι μόνῳ γίγνεσθαι, ἀλλὰ καὶ αὐτὴν συνεπιβλέπειν τὸ πόθεν καὶ πῶς καὶ εἰ σωτηρίως καὶ συμφερόντως εἰς τὰ ὅλα. ἐπεὶ καὶ εἴ τις ταῦτα καὶ τὰ ἄλλα τὰ καλῶς τεθεωρημένα καὶ παραγγελλόμενα παρὰ τοῖς φιλοσόφοις δύναιτο πράττειν, ὃ ἂν τῶν πλείστων καὶ κουφότατον εἶναι βάρος γαμετὴ γυνὴ δόξῃ. ὁμοιότατον γάρ ἐστιν ὡς εἴ τις μίαν ἔχων χεῖρα ἑτέραν ποθὲν προσλάβοι ἢ ἕνα πόδα ἔχων ἕτερον ἀλλαχόθεν ἐπικτήσαιτο. ὡς γὰρ οὗτος πολὺ ἂν ῥᾷον καὶ βαδίσαι οὗ θέλοι κἀπελάσαι καὶ προσαγάγοιτο, οὕτως ὁ γυναῖκα εἰσαγαγόμενος ῥᾷον ἀπολήψεται τὰς κατὰ τὸν βίον σωτηρίους καὶ συμφερούσας χρείας. ἀντὶ γοῦν δύο ὀφθαλμῶν χρῶνται τέτταρσιν καὶ ἀντὶ δύο χειρῶν ἑτέραις τοσαύταις, αἷς καὶ ἀθρόοις πράττοι ἂν ῥᾷον τὸ τῶν χειρῶν ἔργον. διὸ κἂν εἰ αἱ ἕτεραι κάμνοιεν, ταῖς ἑτέραις αὖ θεραπεύοιτο καὶ τὸ σύνολον δύο γεγονὼς ἀνθ' ἑνὸς μᾶλλον ἂν ἐν τῷ βίῳ κατορθοίη. διόπερ τὸν νομίζοντα τὴν εἴσοδον τῆς γυναικὸς καταβαρύνειν τὸν βίον καὶ δυσκίνητον ποιεῖν ὅμοιον 〈ἂν οἶμαι〉 πάσχειν, ὡς εἴ τις πλείονας πόδας κωλύοι προσλαβεῖν, ἵν' ἐὰν πολὺ δέῃ βαδίζειν μὴ ἐφελκώμεθα πολλούς, ἢ τῷ πλείονας χεῖρας κτωμένῳ μέμφοιτο· ὅταν γάρ τι δέῃ πράττειν ἐμποδίσεσθαι ὑπὸ τοῦ πλήθους αὐτῶν. κατὰ ταὐτὰ γὰρ καὶ εἴ τις προσλάβοι οἷον ἑαυτὸν ἕτερον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(οὐθὲν γὰρ διοίσει εἴτε θῆλυ τοῦτό ἐστιν εἴτε ἄρρεν), πολὺ ἐλαφρότερον καὶ εὐκοπώτερον πάντ' ἂν πράξειεν τὰ ἔργα. φιλαγάθῳ 〈δ'〉 ἀνδρὶ καὶ θέλοντι σχολὴν ἄγειν ἢ περὶ τοὺς λόγους ἢ τὰ πολιτικὰ ἔργα ἢ ἄμφω ταῦτα, καὶ τελείως τοῦτο ἀμετάθετόν ἐστιν. ὅσῳ γὰρ μᾶλλον αὐτὸς ἀπὸ τῆς οἰκονομίας ἀπέστραπται, τοσούτῳ μᾶλλον τὴν διαδεξομένην τὴν διοίκησιν παραληπτέον καὶ περὶ τὰ ἀναγκαῖα ἑαυτὸν ἀπερίσπαστον ... οὐ κακῶς καὶ ὁ κωμικὸς ἐπιτέμνει 〈τὸ〉 σχολαστής ἐστι· δεῖ δ' οἶμαι γαμεῖν τὸν ἐπιμελῆ καὶ δυνατὸν οἰκονομεῖν ὄχλον πλείω, ἐπιφωνήσας· τὸν ἀμελῆ μᾶλλον, ἐπιθυμοῦντα δὲ σχολῆς, ἵν' ἔχων οἰκονόμον ἀδεῶς περιπατῇ. Πλάτωνος Νόμων ς′ (p. 773 E). Περὶ γάμων δὴ ταῦτ' ἔσται παραμύθια λεγόμενα, ὡς χρὴ τῆς ἀειγενοῦς φύσεως ἀντέχεσθαι τῷ παῖδας παίδων καταλείποντι ἀεὶ τῷ θεῷ ὑπηρέτας ἀνθ' αὑτοῦ παραδιδόναι. Ἐν ταὐτῷ (p. 776 B). Γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμ- Ἀναξανδρίδου (fr. 52 K.). Ὅστις γαμεῖν βουλεύετ', οὐ βουλεύεται ὀρθῶς, διότι βουλεύεται, χοὕτω γαμεῖ. πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τῷ βίῳ. ἢ γὰρ πένης ὢν τὴν γυναῖκα χρήματα λαβὼν ἔχει δέσποιναν, οὐ γυναῖκ' ἔτι, ἧς ἐστι δοῦλος καὶ πελάτης. ἢν δ' αὖ λάβῃ μηδὲν φερομένην, δοῦλος ἄλλως γίνεται· δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο. ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ' ἔτι, οὐδ' εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν. ἀλλ' ἔλαβεν ὡραίαν τις· οὐδὲν γίνεται μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων· ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίνεται. Ἀλέξιδος (fr. 262 K.). Τίς δῆθ' ὑγιαίνων νοῦν τ' ἔχων τολμᾷ ποτε ἄτιμον εἶναι μᾶλλον ἢ γυναῖκ' ἔχειν; πολλῷ γε· τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας· ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνοι ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα. Φιλήμονος (fr. 196 K.). Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή. Μενάνδρου (fr. 404 K.). Ὦ τρὶς κακοδαίμων, ὅστις ὢν πένης γαμεῖ καὶ παιδοποιεῖθ'. ὡς ἀλόγιστός ἐστ' ἀνήρ, ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει, μήτ' ἂν ἀτυχήσας εἰς τὰ λοιπὰ τοῦ βίου ἐπαμφιέσαι δύναιτο τοῦτο χρήμασιν, ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ χειμαζόμενος ζῇ, τῶν ἀνιαρῶν ἔχων τὸ μέρος ἁπάντων, τῶν δ' ἀγαθῶν οὐ δυνάμενος. Ναυμαχίου. μήτε πόνον τρομέουσαν ἀγάστονον Εἰλειθυίης, ἀλλ' ἧσθαι βασίλειαν ἀφαυρῶν θηλυτεράων, ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βιότοιο χέουσαν, ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μιγεῖσα θεσπεσίοις ἐπέεσσι νοήματα φάεα τίκτει. εἰ δέ σε καὶ ξυνοῖο πόθος βιότοιο κιχάνοι, καὶ τοῦτο προδαεὶς ἐρέω, πῶς χρή σε περῆσαι τὸν πλοῦν, ὡς φασίν, τὸν δεύτερον ἔμφρονι θυμῷ. Φιλιππίδου Ἀνανεούσης (fr. 6 III p. 303 K.). Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ' ἡδέως. τὸ Πλάτωνος ἀγαθὸν δ' ἐστὶ τοῦτο, Φειδύλε, μὴ λαμβάνειν γυναῖκα μηδὲ τῇ τύχῃ διὰ πλειόνων αὐτὸν παραβάλλειν πραγμάτων. Ἀναξανδρίδου (fr. 78 II 1 p. 163 K.). Κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ. Ἱππώνακτος (fr. 29 B. 4). Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται· Εὐριπίδου ἐξ Ἰνοῦς (fr. 402 N. 2). Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι· χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅπως πλείστας ἔχειν γυναῖκας, εἴπερ τροφὴ δόμοις παρῆν, ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων, τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο. νῦν δ' εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν ῥίπτοντες· οὐ γὰρ τῶν τρόπων πειρώμενοι νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί. Ἐπιχάρμου (fr. * 34 p. 265 Lorenz). Οὐδὲν γαίαι κλίναι γυναικὸς βαρύτερον, οἶδ' ὁ συντυχὼν ..., μακάριος δ' ὃς ἀγνοεῖ. Μενάνδρου (fr. 799 K.). Μηδέποτε γήμῃ μηδὲ εἷς εὔνους ἐμοί. Εὐριπίδου Ἄλκηστις (895—897). Ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν. μία γὰρ ψυχή, τῆς ὑπεραλγεῖν Μενάνδρου (fr. 648 K.). Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι ἀγαθὸν μέγ' ἕξεις, ἂν λάβῃς μικρὸν κακόν. Εὐριπίδου Ἄλκηστις (246—247). Οὔ ποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν. Φιλήμονος (fr. 197 K.). Τὸν ἄγαμον ὄντα καὶ κακὴ τύχη τρέφει. Ἀριστοφάνης ἐν Πολυίδῳ (fr. 453 K.). Ἰδοὺ δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοικα ἥκειν ἄγων. Μενάνδρου (fr. 649 K.). Τὸ γυναῖκ' ἔχειν εἶναί τε παίδων. Παρμένων, πατέρα μερίμνας τῷ βίῳ πολλὰς φέρει. Σοφοκλέους Τηρεῖ (fr. 521 N.). Νῦν δ' οὐδέν εἰμι χωρίς. ἀλλὰ πολλάκις ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,

ὡς οὐδέν ἐσμεν. αἳ νέαι μὲν 〈ἐν〉 [γὰρ] πατρὸς ἥδιστον οἶμαι ζῶμεν ἀνθρώπων βίον· τερπνῶς γὰρ ἀεὶ πάντας ἀνοία τρέφει· ὅταν 〈δ'〉 ἐς ἥβην ἐξικώμεθ' ἔμφρονες, αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους, αἱ δ' εἰς ἀληθῆ δώμαθ', αἱ δ' ἐπίρροθα. καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία, χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν. Εὐριπίδου Σθενεβοίας (fr. 662 N. 2). Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία. Φιλήτα. *** (incerti poetae comici) Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς. Διφίλου (fr. 115 K.). Χαιρήμονος (fr. 32 N. 2). Γυναῖκα θάπτειν κρεῖττόν ἐστιν ἢ γαμεῖν. Φιλήμονος (fr. 198 K.). Γαμεῖν ὃς ἐθέλει εἰς μετάνοιαν ἔρχεται. Ἱπποθόου. Ζευχθεὶς γάμοισιν οὐκ ἔτ' ἔστ' ἐλεύθερος. Μενάνδρου (fr. 650 K.). Ὅστις πενόμενος βούλεται ζῆν ἡδέως, ἑτέρων γαμούντων αὐτὸς ἀπεχέσθω γάμου. Θεοδέκτου. *** (incerti comici fr. 132 vol. III p. 434 K.) Παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος. τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν· ὅταν δὲ τύχωμεν, ὕστερον λυπούμεθα. Ἀντιφάνους (fr. 292 K.). Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν. Μενάνδρου (fr. 582 K.). Θάλητος. Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ 'οὔπω καιρός' ἔλεγεν· εἶτα προβάς 'οὐκέτι καιρός'. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τίνες μεταμέλονται τῶν ἀνθρώπων, εἶπεν 'οἱ γήμαντες'. Πλάτωνος. Πλάτων ἐρωτηθεὶς εἰ γήμας φιλοσοφήσω; 'οὐκ εἰδώς' ἔφη 'οὐδὲ μόνον σαυτὸν σῴζειν καὶ γυναῖκα ἐπὶ τῶν ὤμων συνδιασώσεις;' Λυσίου (fr. 90 Thalheim). Ἦι γὰρ ἂν ἡμέρᾳ γυνὴ προδῷ τὸ σῶμα καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν, ὥστε νομίζειν τοὺς μὲν οἰκείους ἐχθρούς, τοὺς δ' ἀλλοτρίους πιστούς, περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχειν τὴν γνώμην. Ἐπαμινώνδου. Ἐπαμινώνδας ἐρωτηθεὶς τί ὀνεῖται ὁ μὴ γήμας μηδὲ παιδοποιησάμενος 'τὸ μὴ ὀκνεῖν' εἶπεν 'ὑπὲρ τῆς πατρί- Λυκούργου. Ὅταν γυνὴ ὁμονοίας τῆς πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος. Σόλωνος. 〈Σόλων〉 συμβουλεύοντος τινὸς αὐτῷ κατὰ τῶν μὴ γαμούντων ἐπιτίμιον τάξαι 'χαλεπόν' εἶπεν 'ὦ ἄνθρωπε, φορτίον ἡ γυνή'. Θάλητος. Θαλῆς ἐρωτηθεὶς διὰ τί ἀκμάζων οὐκ ἐπαιδοποίησεν, ἀπεκρίνατο διότι τὸ ζῆν οὐκ ἐβουλόμην λύπαις αὐθαιρέτοις κατεγγυῆσαι. Ἀντιφῶντος (fr. 49 Diels 2). Φέρε δὴ προελθέτω ὁ βίος εἰς τὸ πρόσθεν καὶ γάμων καὶ γυναικὸς ἐπιθυμησάτω. αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου. μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. εἰ γὰρ τύχοι μὴ ἐπιτηδεία γενομένη, τί χρὴ τῇ συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαί, τοὺς φίλους ἐχθροὺς ποιῆσαι, ἴσα φρονοῦντας ἴσα πνέοντας, ἀξιώσαντα καὶ ἀξιωθέντα· χαλεπὸν δὲ καὶ ἐκτῆσθαι κτῆμα τοιοῦτον, δοκοῦντα ἡδονὰς κτᾶσθαι λύπας ἄγεσθαι. φέρε δή, μὴ τὰ παλίγκοτα λέγωμεν, λεγέσθω τὰ πάντων ἐπιτηδειότατα. τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί δὲ γλυκύτερον ἄλλως τε καὶ νέῳ; ἐν τῷ αὐτῷ δέ γε τούτῳ, ἔνθα τὸ ἡδύ, ἔνεστι πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. ἐπεὶ καὶ ὀλυμπιονῖκαι καὶ πυθιονῖκαι καὶ οἱ τοιοῦτοι ἀγῶνες καὶ σοφίαι καὶ πᾶσαι ἡδοναὶ ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παραγίγνεσθαι· τιμαὶ γάρ, ἆθλα ..., δελέατα ἃ ὁ θεὸς ἔδωκεν ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστᾶσιν. ἐγὼ γάρ, εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον οἷον ἐγὼ ἐμαυτῷ, οὐκ ἂν δυναίμην ζῆν, οὕτως ἐμαυτῷ πολλὰ πράγματα παρέχων ὑπέρ τε τῆς ὑγιείας τοῦ σώματος ὑπέρ τε τοῦ καθ' ἡμέραν βίου ἐς τὴν ξυλλογὴν ὑπέρ τε δόξης καὶ σωφροσύνης καὶ εὐκλείας καὶ τοῦ εὖ ἀκούειν. τί οὖν, εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, ὅ γέ μοι οὕτως ἐπιμελὲς εἴη; οὐκ οὖν δῆλον, ὅτι γυνὴ ἀνδρί, ἐὰν ᾖ καταθυμία, οὐδὲν ἐλάττους τὰς φιλότητας παρέχεται καὶ τὰς ὀδύνας ἢ αὐτὸς αὑτῷ ὑπέρ τε τῆς ὑγιείας δισσῶν σωμάτων ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς [καὶ] ὑπέρ τε τῆς σωφροσύνης καὶ τῆς εὐκλείας; φέρε δὴ καὶ παῖδες γενέσθωσαν· φροντίδων ἤδη πάντα πλέα καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς Θεοδέκτου (fr. 13 p. 805 N. 2). Ὅταν γὰρ ἅλοχον εἰς δόμους ἄγῃ πόσις, οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον, ὁμοῦ δὲ τῇδ' ἔτ' εἰσκομίζεται λαβὼν καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον.

Σουσαρίωνος (com. I p. 3 K.). Ἀκούετε λεῴ, Σουσαρίων λέγει τάδε· κακὸν γυναῖκες· ἀλλ᾽ ὅμως, ὦ δημόται, οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ. (incerti poetae scaenici) Εὐριπίδου (fr. 1056 N. 2). Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις οὔτ᾽ εὐτυχοῦσι· συμφορὰ δ᾽ ὃς ἂν τύχῃ κακῆς γυναικός, εὐτυχεῖ δ᾽ ἐσθλῆς τυχών. Μενάνδρου (fr. 325 K.). Γυνὴ πολυτελής ἐστ᾽ ὀχληρόν, οὐδ᾽ ἐᾷ ζῆν τὸν λαβόνθ᾽ ὡς βούλετ᾽· ἀλλ᾽ ἔν ἐστί τοι ἀγαθὸν ἀπ᾽ αὐτῆς παῖδες· ἦλθέν τις νόσος, τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς, ἀτυχοῦντι συμπαρέμεινεν, ἀποθανόντα τε ἔθαψε, περιέστειλεν οἰκείως· ὅρα εἰς ταῦθ᾽, ὅταν λυπῇ τι τῶν καθ᾽ ἡμέραν. οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ᾽· ἂν δ᾽ ἐκλέγῃς ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς τῶν προσδοκωμένων, ὀδυνήσῃ διὰ τέλους. Εὐριπίδου (inc. fab. fr. 1057 N. 2). Ἡσιόδου (op. 702 ss.). Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λείζετ᾽ ἄμεινον τῆς ἀγαθῆς· τῆς δ᾽ αὖτε κακῆς οὐ ῥίγιον ἄλλο, δειπνολόχου· ἥτ᾽ ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα αὔει ἄτερ δαλαῖο καὶ ἐν ὠμῷ γήραϊ θῆκε. Εὐριπίδου Ἀλκμέωνος (fr. 78 N. 2). Γυναῖκα καὶ ὠφελίαν καὶ νόσον ἀνδρὶ φέρειν μεγίσταν ἐδιδάξατ᾽ ἐμῷ λόγῳ. Φιλιππίδου (fr. 28 K.). Αἰσχρὰν γυναῖκ᾽ ἔγημας, ἀλλὰ πλουσίαν· κάθευδ᾽ ἀηδῶς, ἡδέως μασώμενος. Εὐριπίδου Πρωτεσιλάου (fr. 657 N. 2). Ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ γυναῖκας ἑξῆς, σκαιός ἐστι κοὐ σοφός. πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν, τὴν δ᾽, ὥσπερ αὕτη, λῆμ᾽ ἔχουσαν εὐγενές. Μενάνδρου (fr. 651 K.). Τὸ γαμεῖν, ἐάν τις τὴν ἀλήθειαν σκοπῇ, κακὸν μέν ἐστιν, ἀλλ᾽ ἀναγκαῖον κακόν. Εὐριπίδου Μελανίππης (fr. 494 N. 2). Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίνεται γυναικός· ἐσθλῆς δ᾽ οὐδὲν εἰς ὑπερβολὴν πέφυκ᾽ ἄμεινον· διαφέρουσι δ᾽ αἱ φύσεις. Τοῦ αὐτοῦ (Alc. 879). Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον, ἁμαρτεῖν πιστῆς ἀλόχου; Σοφοκλῆς Φαίδρᾳ (fr. 621 N. 2). Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ᾽ ἂν οὐδὲ σώφρονος Εὐριπίδου (Or. 602 ss.). Γάμοι δ᾽ ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν, μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ, τά τ᾽ ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς. Ἡσιόδου Θεογονίας. (600—609). Ὣς δ᾽ αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας Ζεὺς ὑψιβρεμέτης θῆκεν, ξυνήονας ἔργων λευγαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ᾽ ἀγαθοῖο. ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ᾽ εἰς γῆρας ἵκοιτο χήτει γηροκόμοιο· ὅ γ᾽ οὐ βιότου ἐπιδευὴς ζώει, ἀποφθιμένου δὲ διὰ ζωὴν δατέονται χηρωσταί· ᾧ δ᾽ αὖτε γάμου μετὰ μοῖρα γένηται, κεδνὴν δ᾽ ἔσχετ᾽ ἄκοιτιν ἀρηρυῖαν πραπίδεσσι, τῷ δέ τ᾽ ἀπ᾽ αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει. Εὐριπίδου Ἑκάβης (1183 ss.). Μηδὲν θρασύνου μηδὲ τοῖς σαυτοῦ κακοῖς τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος. πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἷς᾽ ἐπίφθονοι, αἱ δ᾽ εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν. Ἐπιχάρμου (fr. 35 * p. 265 Lorenz). Τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ τρὶς ἓξ ἢ τρεῖς [κύβους] μόνους ἀπὸ τύχης βαλεῖν; ἐὰν μὲν γὰρ λάβῃς τεταγμένην τοῖς τρόποις καὶ τἄλλ᾽ ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ· εἰ δὲ καὶ φιλέξοδόν τε καὶ λάλον καὶ δαψιλῆ. οὐ γυναῖχ᾽ ἕξεις. διὰ βίου δ᾽ ἀτυχίαν κοσμουμέναν. Εὐριπίδου Οἰδίποδι (fr. 545 N. 2). Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή, ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ᾽ ὑπερφρονεῖ. Εὐριπίδου ἐν Μελανίππῃ (fr. 493 N. 2). Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος. αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις αἶσχος γυναιξὶ καὶ κεκοίνωνται ψόγον ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ᾽ εἰς γάμους οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν. Εὐριπίδου Ἀλεξάνδρου (fr. 59 N. 2). Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦς᾽ ἀεί. Γαΐου ὑπὲρ Λουκίλλης. Φυλάττομαι δέ τι πικρότερον εἰπεῖν διὰ τὸ τῆς μηπιστεύεται· δεῖ δὲ οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγχεσθαι τοὺς τρόπους· πολλοὶ γὰρ ἤδη διαβεβλημένας προσηγορίας ἔχοντες ἔσχον οὐ πονηρὰν διάνοιαν· πάλιν ἕτεροι καὶ καλοῖς ὀνόμασιν ἐκ τῆς φύσεως κεκοσμημένοι ψυχαῖς ἀνομοίοις προσέρχονται πρὸς τὰ ἔργα. Θεμιστίου ἐκ τοῦ Περὶ ψυχῆς. Ἀλλ᾽ οὖν μάλιστα διψῶν ἀπέθανεν τῆς γυναικός, ἐρῶν ἐρώσης ἀπολειπόμενος ... οὐθὲν εἰπεῖν οὔτε ποιῆσαι πρὸς αὐτὴν ἰταμὸν ἐτόλμησαν· ἀλλ᾽ οὕτως ἐνεκαρτέρησαν ἀμφότεροι τῷ πρέποντι, ὥσπερ ἀποδείξασθαι θέλοντες ὅτι πλεῖστον αἰδοῦς ἔρωτι δικαίῳ μέτεστιν· ὅθεν ἔμοιγε πλεῖστον αὐτῇ φαίνεται χρόνον ἀνὴρ συμβεβιωκέναι πάντα γὰρ διόλου τὸν δεκαετῆ

χρόνον ὁμαλῶς συνεβίωσεν. αἱ δὲ ἄλλαι συνοικοῦσιν οὐ συμβιοῦσιν, ὅταν λυπῶσι τοὺς μὲν ἄνδρας ἢ ζηλοτυπῶσιν ἢ διαφέρωνται περὶ χρημάτων ἢ κακῶς λέγωσιν ἢ φεύγωσι θρυπτόμεναι τὰς φιλοφροσύνας καὶ συνδιαιτήσεις· ὥστε ἂν τοῦτον ἐξαίρῃς τὸν χρόνον ἐν ᾧ ταῦτα πράττουσιν, ἀπολείπεται βραχὺς ἐκεῖνος ὁ τῆς συμβιώσεως. Μουσωνίου ἐκ τοῦ Τί κεφάλαιον γάμου (Mus. rel. XIII A p. 67 H.). ἐπὶ τούτῳ συνιέναι χρὴ ἑκάτερον θατέρῳ, ὥσθ' ἅμα μὲν ἀλλήλοις βιοῦν, ἅμα δὲ 〈παιδο〉ποιεῖσθαι, καὶ κοινὰ δὲ ἡγεῖσθαι πάντα καὶ μηδὲν ἴδιον, μηδ' αὐτὸ τὸ σῶμα. μεγάλη μὲν γὰρ γένεσις ἀνθρώπου, ἣν ἀποτελεῖ τοῦτο τὸ ζεῦγος. ἀλλ' οὔπω τοῦτο ἱκανὸν τῷ γαμοῦντι, ὃ δὴ καὶ δίχα γάμου γένοιτ' ἂν συμπλεκομένων ἄλλως, ὥσπερ καὶ τὰ ζῷα συμπλέκεται αὐτοῖς. δεῖ δὲ ἐν γάμῳ πάντως συμβίωσίν τε εἶναι καὶ κηδεμονίαν ἀνδρὸς καὶ γυναικὸς περὶ ἀλλήλους, καὶ ἐρρωμένους καὶ νοσοῦντας καὶ ἐν παντὶ καιρῷ, ἧς ἐφιέμενος ἑκάτερος ὥσπερ καὶ παιδοποιίας εἶσιν ἐπὶ γάμον. ὅπου μὲν οὖν ἡ κηδεμονία αὕτη τέλειός ἐστι καὶ τελέως αὐτὴν οἱ συνόντες ἀλλήλοις παρέχονται, ἁμιλλώμενοι νικᾶν ὁ ἕτερος τὸν ἕτερον, οὗτος μὲν οὖν ὁ γάμος ᾗ προσήκει ἔχει καὶ ἀξιοζήλωτός ἐστι· καλὴ γὰρ ἡ τοιαύτη κοινωνία· ὅπου δ' ἑκάτερος σκοπεῖ τὸ ἑαυτοῦ μόνον ἀμελῶν θατέρου, ἢ καὶ νὴ Δί' ὁ ἕτερος οὕτως ἔχει, καὶ οἰκίαν μὲν οἰκεῖ τὴν αὐτήν, τῇ δὲ γνώμῃ βλέπει ἔξω, μὴ βουλόμενος τῷ ὁμόζυγι συντείνειν τε καὶ συμπνεῖν, ἐνταῦθ' ἀνάγκη φθείρεσθαι μὲν τὴν κοινωνίαν, φαύλως δὲ ἔχειν τὰ πράγματα τοῖς συνοικοῦσιν, καὶ ἢ διαλύονται τέλεον ἀπ' ἀλλήλων ἢ τὴν συμμονὴν χείρω Εὐριπίδου Μελανίππης (fr. 501 N. 2). Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους, μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους. Τοῦ αὐτοῦ (Phoen. 18). Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ. Εὐριπίδου Ἀντιόπη (fr. 214 N. 2). Κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών. Τοῦ αὐτοῦ Μελανίππη (fr. 502 N. 2). Ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν. τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν [τοῖς] δώμασι δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος. πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων Μενάνδρου (fr. 583 K.). Ὅταν πένης ὢν καὶ γαμεῖν τις ἐλόμενος τὰ μετὰ γυναικὸς ἐπιδέχηται χρήματα, αὐτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει. Εὐριπίδου Μελεάγρῳ (fr. 525 N. 2). Εἰ δ' εἰς γάμους ἔλθοιμ', ὃ μὴ τύχοι ποτέ, τῶν ἐν δόμοισιν ἡμερευουσῶν ἀεὶ βελτίον' ἂν τέκοιμι δώματι τέκνα· ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ σκληρὰς διαίτας, οἱ γόνοι βελτίονες. Μενάνδρου (fr. 584 K.). Δύ' ἔσθ' ἃ κρῖναι τὸν γαμεῖν μέλλοντα δεῖ, ἤτοι προσηνῆ γ' ὄψιν ἢ χρηστὸν τρόπον· τὴν γὰρ ὁμόνοιαν τὴν πρὸς ἀλλήλους ποιεῖ. Ἡσιόδου Ἔργων (699 s.). Παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς, Θεόγνιδος (183 ss.). Κύνας μὲν δὴ νῶϊ διζήμεθα, Κύρνε, καὶ ἵππους εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει ἐσθλὸς ἀνήρ, ἥν οἱ χρήματα πολλὰ φέρῃ. Εὐριπίδου ἐν Ἀντιόπῃ (fr. 215 N. 2). Πᾶσι δ' ἀγγέλλω βροτοῖς ἐσθλῶν ἀπ' ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα. οὐ γάρ ποτ' ἂν πράξειαν ἐς τέλος κακῶς. Καλλικρατίδα ἐκ τοῦ Περὶ οἴκου εὐδαιμονίας. Ἔχει δὲ τὸ ἴχνος τοῦτο τᾶς διακοσμάσιος πρᾶτον καὶ αὐτὸς ὁ ἄνθρωπος ἐν τᾷ διαιρέσει τᾶς ψυχᾶς· ταύτας 〈γὰρ〉 ὃ μέν τί ἐντι λογισμός, ὃ δὲ θυμός, ὃ δὲ ἐπιθυμία. ὁ μὲν ὢν λογισμὸς οἰκοδεσπότᾳ καὶ ἄρχοντι ποτεμφερής ἐντι, πρεσβύτερός τε γάρ ἐντι τᾷ φύσει καὶ τᾷ ψυχᾷ, γυναικὶ ποτιφερής ἐντι· ὁ δὲ θυμός, ὁρμᾶς καὶ ζέσιος μεστὸς ἐὼν καὶ συνακούων καὶ ἐπακολουθῶν πολλάκις τῷ λογισμῷ ἢ τῷ νῷ, [καὶ] νεανίᾳ ποθωμοίωται .... ἁ μὲν γὰρ μονὰς ἐντι τὸ γεννῶν καὶ ὁρίζον, ἁ δὲ δυὰς τὸ ὁριστὸν καὶ ὁριζόμενον. καὶ τὸ μὲν περισσὸν ἐκ τᾶς καθ' αὐτὸ φύσιος, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι· διότι τὸ μὲν καθ' αὐτὸ φύσιος περαίνει, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι. καὶ τὸ μὲν κατὰ περισσὰς χώρας συντάσσον ἐξομοιάζει αὐτῷ, τὸ δὲ μόνον ὥσπερ ὕλα ὑποκείμενον. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ γραμμᾶν καὶ χωρίων. τὸ μὲν γὰρ τετράγωνον ὁρίζει καὶ συντάσσει, τὸ δ' ἀτερόμακες ὥσπερ ὕλα ὑποκειμένα ὁρίζεται καὶ συντάσσεται, τετραγωνιζόμενον καὶ ἐξισούμενον. δεῖ δὲ τὸν μωσικὸν μιμέεσθαι τὸν ἴδιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόνον τᾶς φωνᾶς ἐκμαθόντα οὕτω πειρᾶσθαι τὰν μέσαν καθιστάμεν, ὅκως καὶ ἐπὶ τὰ βαρέα καὶ ἐπὶ τὰ ὀξέα διαρκέσαι δύναται καὶ μήτε ῥήξῃ μήτε μένως λαμβάνει, καὶ πηδάλια ὁ κυβερνάτας ποτὶ τὸ μέγεθος τᾶς ναός. Νικοστράτου 〈ἐκ τοῦ〉 Περὶ γάμου. Ταυτὶ μὲν οὖν τὰ τεθρυλημένα σὺ οἶσθα, μήτε εὐγενείᾳ προσέχειν μήτε δόξῃ τῶν πατέρων οὕτως γε ὡς αὐτῇ τῇ γυναικί. πολλαὶ γὰρ δὴ πάνυ καλῶν καὶ ἀγαθῶν πατέρων φαῦλαι ἐφωράθησαν καὶ οὐκ ἐσωφρόνησαν. χρήματα δὲ οἱ μὲν οὐδὲ πάμπαν φιλοπραγμονεῖν εἰώθασιν· ἔνιοι δὲ οὐδ' ἂν γῆμαι ἔφασαν ἄλλως γε εἰ μὴ πλουτοίη καὶ προῖκα ἐπάγοιτο πολλήν. ἀλλ' ἐνταῦθά που καὶ τὸ λαμπρὸν τοῦ δουλεύειν ἐστὶν ἰδίᾳ μὲν τῇ γυναικὶ ὑπὸ τοῦ πλούτου διατεθρυμμένῃ, ἰδίᾳ δὲ τοῖς χρήμασιν ὑποθωπεύοντα αὐτόν τινα, καὶ ἢν συμβαίνῃ μάλιστα λαμβάνοντα ἐκεῖθεν ἀναλίσκειν. εἰ δὲ κατ' ἐμέ τις εἴης, καὶ σμικρὰν ἥδιστ' ἂν πύθοιο. κρεῖττον ἄρα ἦν ἀνδρικόν τι γύναιον καὶ κατ' ἀγροὺς τεθραμμένον ἀναζητεῖν τε καὶ πολυπραγμονεῖν· ἱκανὸν μὲν πονεῖν, ὁπότε ὕδωρ ἀνιμᾶν λος. ἐπειδὴ δὲ οὐκ εὔδηλόν ἐστιν ἄρτι γαμοῦντι, ὁποῖαι δή τινες τοῖς τρόποις αἱ γυναῖκες ἀναφανήσονται, Ἰνδοὶ οὕτω γαμοῦσι καὶ οἱ σοφοὶ αὐτῶν, καὶ οὐδεπώποτε ψευσθῆναι λέγονται. ἐκεῖνοι τοίνυν οἱ Ἰνδοὶ οὐχ ὅπως πλούτῳ καὶ δόξῃ ἔγημαν ἐνδ 〈όξ〉 ου ἀνδρὸς καὶ πλουσίου θυγατέρα, ἀλλὰ αὐτὴν τὴν κόρην τήν τε ὄψιν αὐτῆς καὶ τὸ κάλλος ἐπολυπραγμόνησαν, σοφίᾳ δή τινι τοῦτό γε, οὐκ ἀκολασίᾳ οὐδεμιᾷ, οὐδὲ κατὰ τὰ αὐτὰ ἡμῖν. αἱ γὰρ δὴ ὄψεις αἱ χρηστα ἔχοιεν ἄν τί που πιστὸν τοῦ κάλλους τῆς ψυχῆς, καὶ ἔνι οὔτε θυμούμενον οὔτε ὀργιζόμενον οὔτε χολῶντα τὸ πρόσωπον φαιδρὸν ἔχειν τε καὶ καθαρόν. εἰ δέ τις πανοῦργος καὶ κρυψίνους, εὐθὺς μὲν καὶ τῷ ὀφθαλμῷ παραβλέπει καὶ δεινὸν δέδορκεν· ὅστις δὲ μωρίᾳ εὐήθης, τοῖς ὀφθαλμοῖς καὶ ταῖς κόραις ἀναπέπταται· ὄνων ὀφθαλμοὶ καὶ προβάτων τοιοῦτοι. ὁ δέ γε συνάγων τὰς ὀφρῦς σκαιός ἐστι· καὶ ὅτῳ ἐπανθεῖ οὐκ ἐρύθημα ἀλλὰ σκότος τε καὶ νέφος, τούτου γε ἡ ψυχὴ οὐδαμῇ οὐδαμῶς εὐφραίνεται. ταυτὶ μὲν τὰ γνωρίσματα καὶ σημεῖα οὐ παρθένοις ἄρα καὶ γυναιξὶν ἀλλὰ καὶ αὐτοῖς πρόσεστι τοῖς ἀνδράσι. περὶ μὲν οὖν τῶν Ἰνδῶν οὗτος ὁ λόγος κρατεῖ, ὡς καταμαντεύονται περὶ τῶν γυναικῶν πόρρωθεν, ὁποῖαί τινες ἔσονται. μὴ δή μου δὲ καταγνώτω μηδὲ εἷς, ἐπεὶ καινότερον τῷ κάλλει καταχρήσομαι συμβουλεύων αὐτὸ μεταθεῖν. οὐ γὰρ τοὺς καλοὺς καὶ τὰς καλὰς ἐγὼ προξενῶ, ἀλλ' ἑτέρως οὐκ ἔνι εἰπεῖν, ἑπόμενον τῷ Ἰνδῶν λόγῳ. εἶδος μὲν δὴ τῆς γυναικὸς ἡμῖν ἐξεταστέον εἰ χαρίεν τι καὶ ἀστεῖον καὶ ἐλευθέριον, εἴ γε μέλλει τις ἡδέως μὲν ἀναπαύσεσθαι, ἡδέως δὲ καὶ εἰς τὴν οἰκίαν τὴν αὐτὸς αὐτοῦ εἰσελεύσεσθαι. τὸ γὰρ δὴ αἰσχρὰν γήμαντα εἶτα ἐξίστασθαι τῆς οἰκίας τῇ γυναικί, οὐκ ἐξίστασθαι μὰ Δί' ἐστι τῆς οἰκίας, ἀλλὰ φεύγειν τὴν γυναῖκα. ὥσπερ δὲ τὸ εἶδος πρότερον ἀξιοῦμεν δοκιμάζειν τῆς γυναικός, οὕτω καὶ αὐτοῦ ἑκάστου τοῦ νυμφίου πρότερόν γε τὸ εἶδος ἐξεταστέον, ὡς μὴ ἄν τι λυποίη αἰσχρὸς ὤν, ἢν τύχῃ ὡραίαν γήμας· τοῦτο γέ ἐστιν, ὡς μὴ ἄν τι λυποίη φαῦλος ὤν, ἢν τύχῃ ἀγαθήν τε καὶ χρηστὴν γήμας. ἔνι δὲ καὶ ἀπὸ τῆς φωνῆς τὰ [ἀπὸ] τῆς ψυχῆς ἑκάστου εἰδέναι. καὶ τοίνυν φωνὴν μετὰ ταῦτα τῆς γυναικὸς ἐξεταστέον· τάχα μὲν γὰρ ἡδίων ἡ ᾠδικὴ ἕωθέν τε καὶ μετ' ἄριστον· μᾶλλον δὲ συνεστάλθω αὐτῇ ἡ φωνὴ εἰς τὸ πρᾶον, καὶ τραχὺ πώποτε μήτε βοήνεῖν· ὡς δ' οὖν ὑπομνῆσαι ἱκανὰ οἶμαι καὶ ταῦτα. Ἀντιπάτρου ἐκ τοῦ Περὶ γυναικὸς συμβιώσεως (fr. 62 Arn.). Πρῶτον μὲν χρὴ τὴν μνηστείαν μὴ εἰκῇ ποιήσασθαι ἀλλὰ πάνυ πεφροντισμένως, μηδ' εἰς πλοῦτον μηδ' εἰς ὀγκοῦσαν εὐγένειαν μηδ' εἰς ἄλλην χάσμην μηδεμίαν ἀποβλέπειν, μηδὲ μὰ Δία εἰς κάλλος· καὶ γὰρ τοῦτο ὡς ἐπὶ πᾶν ὄγκον καὶ δεσποτικὸν ἦθος περιποιεῖ· ἀλλὰ πρῶτα μὲν τὸ τῶν γονέων ἐξετάζειν ἦθος καὶ τρόπον, εἰ πολιτικὸς καὶ ἄφορτος 〈καὶ〉 εὐγνώμων, ἔτι δὲ σώφρων καὶ δίκαιος, ἐπὶ δὲ τούτοις ἀκενόσπουδος καὶ ἴχνος καὶ τὰ ἄλλα 〈ἃ〉 περὶ τοῦ ποίους τινὰς φίλους κτᾶσθαι δεῖ παραγγέλλεται· ἔπειτα καὶ τὴν μητέρα, ᾗ 〈ἡ〉 γαμεῖσθαι μέλλουσα συντρέφεται, καὶ 〈γὰρ〉 τὸν ταύτης τρόπον κατὰ τὸ πλεῖστον ἀποπλάττεται· μετὰ ταῦτα εἰ ἀκολούθως τῷ ἑαυτῶν τρόπῳ ἥχασι τὴν θυγατέρα καὶ μὴ ἡττημένοι εἰσὶν καὶ

ἀποβεβλεφότες ἀπὸ τοῦ συμφέροντος διὰ τὴν ἄγαν φιλοστοργίαν· καὶ τοῦτο ποικίλως ἐξητακέναι, καὶ διὰ φίλων ἐπιπλοκὰς ἑστιατικὰς ἢ ἄλλως, μαγείρων ἢ δημιουργῶν ἢ ἀκεστριῶν ἢ τῶν ἄλλων τεχνιτῶν καὶ τεχνιτίδων. καὶ λίαν γὰρ προχειρότερον τοὺς τοιούτους εἰσάγουσιν καὶ ὑπὲρ τὴν ἀξίαν μεγάλα πράγματα καὶ πίστιν ἐγχειρίζουσιν. Μουσωνίου ἐκ τοῦ Τί κεφάλαιον γάμου (Mus. rel. p. 69 H.). Διὸ χρὴ τοὺς γαμοῦντας οὐκ εἰς γένος ἀφορᾶν εἰ ἐξ εὐπατριδῶν, οὐδ' εἰς χρήματα εἰ πολλὰ κέκτηνταί τινες, οὐδ' εἰς σώματα εἰ καλὰ ἔχουσιν. οὔτε γὰρ πλοῦτος οὔτε κάλλος οὔτ' εὐγένεια κοινωνίαν μᾶλλον αὔξειν πέφυκεν, ὥσπερ οὐδ' ὁμόνοιαν, οὐδ' αὖ τὴν παιδοποιίαν ταῦτα κρείττω ἀπεργάζεται· ἀλλὰ σώματα μὲν πρὸς γάμον ἀποχρῶντα τὰ ὑγιῆ καὶ τὴν ἰδέαν μέσα καὶ αὐτουργεῖν ἱκανά, ἃ δὴ καὶ ἐπιβουλεύοιτ' ἂν ὑπὸ τῶν ἀκολάστων ἧττον, καὶ ἐργάζοιτο μᾶλλον ὅσα σώματος ἔργα, καὶ παιδοποιοῖτο μὴ ἐνδεῶς. ψυχὰς δὲ ἐπιτηδειοτάτας εἶναι νομιστέον τὰς πρὸς σωφροσύνην καὶ δικαιοσύνην καὶ ὅλως πρὸς ἀρετὴν εὐφυεστάτας. ποῖος μὲν γὰρ γάμος χωρὶς ὁμονοίας καλός; ποία δὲ κοινωνία χρηστή; πῶς δ' ἂν ὁμονοήσειαν ἄνθρωποι πονηροὶ ὄντες ἀλλήλοις; ἢ πῶς 〈ἂν〉 ἀγαθὸς πονηρῷ ὁμονοήσειεν; οὐδέν γε μᾶλλον ἢ ὀρθῷ ξύλῳ στρεβλὸν συναρμόσειεν ἄν, ἢ στρεβλὰ ἄμφω ὄντα ἀλλήλοιν. τὸ γὰρ δὴ στρεβλὸν τῷ τε ὁμοίῳ τῷ στρεβλῷ ἀνάρμοστον, καὶ τῷ ἐναντίῳ τῷ εὐθεῖ ἔτι μᾶλλον. ἔστι δὴ καὶ ὁ πονηρὸς τῷ τε πονηρῷ οὐ φίλος οὐδ' ὁμονοεῖ καὶ πολὺ ἧττον τῷ χρηστῷ. Χείλωνος. Γάμους εὐτελεῖς καὶ ἰσοτίμους ποιοῦ. Κλεοβούλου. Κλεόβουλος ἔφη δεῖν συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας τὴν μὲν ἡλικίαν παρθένους, τὸ δὲ φρονεῖν γυναῖκας. Περικλέους. Περικλῆς ὁ τῶν Ἀθηναίων στρατηγός, δυεῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν πλουσίου καὶ ἀπαιδεύτου, τοῦ δὲ πένητος καὶ φιλολόγου, τούτῳ αὐτὴν ἐξέδωκεν. ἐρωτηθεὶς δὲ ὑπό τινος διὰ τί τοῦτο ἐποίησεν, 'ὅτι' ἔφη 'ἀμείνων ἐστὶ τοῦ ὄντος ὁ δυνάμενος γενέσθαι πλούσιος'. Δημοκρίτου (fr. 272 Diels 2). Δημόκριτος ἔφη, ὡς γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν Εὐριπίδου Φοίνικος (804 N. 2). Μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα δίδωσιν ὅστις οὐκέθ' ὡραῖος γαμεῖ· δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή. Θεόγνιδος (457 ss.). Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι. οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος, οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα. Εὐριπίδου Αἰόλου (fr. 24 N. 2). Σαπφοῦς (fr. 47 Hiller—Crusius). Ἀλλ' ἐὼν φίλος ἁμῖν, λέχος ἄρνυσο νεώτερον. οὐ γὰρ τλάσομ' ἐγὼ ξυνοικεῖν ἔσσα γεραιτέρα. Εὐριπίδου (fr. 1058 N. 2). Ἐγὼ γὰρ ἔξω λέκτρα αὐτοῖς καλῶς ἔχειν, δίκαιόν ἐστιν, οἷσι συγγηράσομαι. Ἡσιόδου Ἔργων (695 ss.). Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι, μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων, μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος· ἡ δὲ γυνὴ τέτορ' ἡβῴοι, πέμπτῳ δὲ γαμοῖτο. Εὐριπίδου Δανάης (fr. 317 N. 2). Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένους γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ· ἀλλ' ὡς τάχιστα· καὶ γὰρ ἑκτροφαὶ καλαί, καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί. Εὐριπίδου Φοίνικι (fr. 807 N. 2). Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ. Θεοδώρου ὑπὲρ Ἐλπιδηφοριανῆς. Ἴσμεν δὲ ἅπαντας ἀνθρώπους, ἐπειδὰν ἐξ ἡλικίας ἄνισαι πρὸς γάμους ὑπενεχθῶσι, πέρα τοῦ μετρίου νεό- Διοδώρου (fr. 3 Com. II p. 422 K.). Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τουτονὶ τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποεῖν. κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν γυναῖκ' ἄπροικον ἢ κακῶς μετὰ χρημάτων, τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου. Μενάνδρου (fr. 532 K.). Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνήμεθα· οὐκ ἐξετάζειν μὲν τὰ μηθὲν χρήσιμα, τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τηθὴ δὲ τίς, τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς βιώσεται, μήτ' ἐξετάσαι μήτ' ἰδεῖν· ἀλλ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ', ἵνα ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται, τῆς διὰ βίου δ' ἔνδον καθεδουμένης ἀεὶ μὴ δοκιμάσαντα μηδέν, ἀλλ' εἰκῆ λαβεῖν ἀγνώμον', ὀργίλην, χαλεπήν, ἐὰν τύχῃ, λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα τὴν πόλιν ὅλην· οἱ βουλόμενοι ταύτην λαβεῖν λαλεῖτε, προσκοπεῖσθε πηλίκον κακὸν λήψεσθ'· ἀνάγκη γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυναῖκ’ εἶναι κακόν, ἀλλ’ εὐτυχὴς ἔσθ’ ὁ μετριώτατον λαβών. Εὐριπίδου (Andr. 1279 ss.). Εἰ χρὴ γαμεῖν, χρὴ τὰ ἔκ τε γενναίων γαμεῖν δοῦναί τ’ ἐς ἐσθλούς, ὅστις εὖ βουλεύεται, κακῶν δὲ λέκτρων μὴ ’πιθυμίαν ἔχειν, μηδ’ εἰ ζαχρύσους οἴσεται φερνὰς δόμοις. Εὐριπίδου Κρήσσαις (fr. 464 N. 2). Γαμεῖτε νῦν, γαμεῖτε, κᾆτα θνῄσκετε ἢ φαρμάκοισιν ἐκ γυναικὸς ἢ δόλοις. (Eur. El. 1097—99) Ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν γαμεῖ πονηράν, μῶρός ἐστι· μικρὰ γὰρ μεγάλων ἀμείνω, σώφρον’ εἰ δόμοις ἔχει. Ἰππώνακτος. *** αὕτη γὰρ ἡ προὶξ οἰκίαν σῴζει μόνη. Ὅστις δὲ τρυφερῶς τὴν γυναῖκ’ ἄγει λαβών, συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει, εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον. Εὐριπίδου Βελλεροφόντης (fr. 662 N. 2). Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους γυνὴ κατῆσχυν’ ἐν δόμοισι νηπία. Μενάνδρου (fr. 582 K.). Τὰ μετὰ γυναικὸς εἰσιόντ’ εἰς οἰκίαν οὐκ ἀσφαλῆ τὴν κτῆσιν οὐδ’ ἱλαρὰν ἔχει. Εὐριπίδου Ἀντιόπη (fr. 212 N. 2). Εἰ νοῦς ἔνεστιν· εἰ δὲ μή, τί δεῖ καλῆς Ἀντιφάνους (fr. 329 K.). Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης. Εὐριπίδου Ἀνδρομάχης (207—208). Φίλτρον δὲ καὶ τόδ’· οὐ τὸ κάλλος, ὦ γύναι, ἀλλ’ αἱ ἀρεταὶ τέρπουσι τοὺς συνευνέτας. Μενάνδρου (fr. 585 K.). Ὅστις γυναῖκ’ ἐπίκληρον ἐπιθυμεῖ λαβεῖν πλουτοῦσαν, ἤτοι μῆνιν ἐκτίνει θεῶν ἢ βούλετ’ ἀτυχεῖν μακάριος καλούμενος. Εὐριπίδου Μελεάγρῳ (fr. 520 N. 2). Ἠγησάμην οὖν εἰ παραζεύξειέ τις χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν, ἐσθλοῖν δ’ ἀπ’ ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον. Εὐριπίδου Μελανίππης (fr. 503 N. 2). Μετρίων λέκτρων, μετρίων δὲ γάμων μετὰ σωφροσύνης κῦρσαι θνητοῖσιν ἄριστον. Εὐριπίδου Ἀνδρομάχης (639—641). Κύδιον βροτοῖς πένητα χρηστὸν ἢ κακὸν καὶ πλούσιον γαμβρὸν πεπᾶσθαι καὶ φίλον· σὺ δ’ οὐδὲν εἶ. Ἐκ τῶν Σερήνου. Λάκων τῶν πλουτούντων ἐπιεικεῖ νεανίσκῳ καὶ πένητι τὴν αὐτοῦ θυγατέρα ἐξέδωκεν. αἰτιωμένων δ’ αὐτὸν τῶν συγγενῶν ‘ἐγώ‘ ἔφη ‘ἐποιησάμην γαμβρὸν πλούσιον ἐσόμενον, ἀλλ’ οὐ πένητα‘. Πλουτάρχου ἐκ τῶν Γαμικῶν παραγγελμάτων (p. 139 F). Ὥσπερ ἐσόπτρου κατεσκευασμένου χρυσῷ καὶ λίθοις ὄφελος οὐδέν ἐστιν, εἰ μὴ δείκνυσι τὴν μορφὴν ὁμοίαν, οὕτως οὐδὲ πλουσίας γαμετῆς ὄνησις, εἰ μὴ παρέχει τὸν Εὐριπίδου (fr. 1059 N. 2). Δεινὴ μὲν ἁλκὴ κυμάτων θαλασσίων, δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς θερμοῦ πνοαί, δεινὸν δὲ πενία, δεινὰ δ’ ἄλλα μυρία, ἀλλ’ οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν· οὐδ’ ἂν γένοιτο γράμμα τοιοῦτον γραφῇ, οὐδ’ ἂν λόγος δείξειεν· εἰ δέ του θεῶν τόδ’ ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής. Μενάνδρου (fr. 745 K.). Ἔστι δὲ Εὐριπίδου Ἱππολύτῳ (664 ss.). Ὄλοισθε. μισῶν δ’ οὔποτ’ ἐμπλησθήσομαι γυναῖκας, οὐδ’ εἴ φησί τίς μ’ ἀεὶ λέγειν· ἀεὶ γὰρ οὕτως εἰσὶ κἀκεῖναι κακαί. ἢ νύν τις αὐτὰς σωφρονεῖν διδαξάτω, ἢ κἄμ’ ἐάτω ταῖσδ’ ἐπεμβαίνειν ἀεί. Μενάνδρου (fr. 800 K.). Ἔργον γυναικὸς ἐκ λόγου πίστιν λαβεῖν. Εὐριπίδου Οἰδίποδος (fr. 544 N. 2). Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή. (Eur. fr. 1060 N. 2) Ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ’ ἔχειν. Μενάνδρου (fr. 801 K.). Ὡς ἔστ’ ἄπιστον ἡ γυναικεία φύσις. Εὐριπίδου Μηδείας (263 ss.). Γυνὴ γάρ ἐστι τἄλλα μὲν φόβου πλέα, οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα. Εὐριπίδου Ἑκάβης (1178 ss.). Ὅστις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς ἢ νῦν λέγει τις ἢ πάλιν μέλλει λέγειν, ἅπαντα ταῦτα συντιθεὶς ἐγὼ φράσω· γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει τοιόνδ’· ὁ δ’ ἀεὶ συντυχὼν ἐπίσταται. Ὁμήρου (Od. XV 20). Οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός· κείνου βούλεται οἶκον ὀφέλλειν ὅς κεν ὀπύοι. παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο οὐκέτι μέμνηται τεθνειότος οὐδὲ μεταλλᾷ. Εὐριπίδου Μελανίππης (fr. 498 N. 2). Πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος. Ἡσιόδου (op. 375). Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ’ ὅ γε φηλήτῃσιν. Εὐριπίδου Δανάης (fr. 318 N. 2). Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων Ἀλέξιδος (fr. 302 K.). Οὐκ ἔστ’ ἀναισχυντότερον οὐθὲν θηρίον γυναικός· ἀπ’ ἐμαυτῆς ἐγὼ τεκμαίρομαι. Εὐριπίδου Ἀλόπης (fr. 108 N. 2). Γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως· Μενάνδρου (Epitr. 347—49 Lef.). Καὶ διαλογίζομ’ ὁ κακοδαίμων, προσδοκῶν χάριν κομιεῖσθαι παρὰ γυναικός· μὴ μόνον κακόν τι προσλάβοιμι, καὶ κάλλιστ’ ἔχει. (Trag. adesp. fr. 543 N. 2) Οὐκ ἐν

γυναικὶ φύεται πιστὴ χάρις. Εὐριπίδου Αὐγης (fr. 276 N. 2). Γυναῖκές ἐσμεν· τὰ μὲν ὅκνῳ νικώμεθα, τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις. Ἀλέξιδος (fr. 339 K.). Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή. Εὐριπίδου Αἰόλου (fr. 36 N. 2). Γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς, δύστηνος ἆρα κοὐ σοφὸς κεκλήσεται. Μενάνδρου (fr. 652 K.). Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ, ὅταν 〈τι〉 περιπλάττωσι τοῖς χρηστοῖς λόγοις. Εὐριπίδου Αἰγέως (fr. 4 N. 2). Πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ τοῖς πρόσθεν ἡ ζυγεῖσα δευτέρῳ πατρί. Μενάνδρου (fr. 802 K.). Πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν ἢ κύνα. Εὐριπίδου Ἀνδρομάχης (85). Πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ. Μενάνδρου (fr. 653 K.). Εὐριπίδου Αἰγέως (fr. 3 N. 2). Δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι. Εὐριπίδου Ἀνδρομάχης (94 s.). Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν. Μενάνδρου (fr. 803 K.). Φύσει γυνὴ δυσάνιόν ἐστι καὶ πικρόν. Εὐριπίδου Ἀνδρομάχης (181 s.). Ἐπίφθονόν τι χρῆμα θηλείας φρενὸς καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί. Ἡσιόδου Θεογονίας (591 ss.). Τῆς γὰρ ὀλώιόν ἐστι γένος καὶ φῦλα γυναικῶν, πῆμα μέγα θνητοῖσι σὺν ἀνδράσι ναιετάουσιν οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο. Εὐριπίδου Ἀνδρομάχης (269 ss). Πέποιθα. δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα· ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω, οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω Ἀντιφάνους (fr. 251 K.). Ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον, ἐπὰν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν, τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ' ἕως ἂν ἀποθάνῃ. Εὐριπίδου Βελλεροφόντης (Stheneb. fr. 666 N. 2). Ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν; Ἡσιόδου Ἔργων (57 s.). Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες. Ἐν ταὐτῷ (67 s.). Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος 〈Ἑρμείην ἤνωγε, διάκτορον Ἀργεϊφόντην〉 . (Hes. op. 77 s.) Εὐριπίδου Δανάης (fr. 321 N. 2). Ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι. εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον, ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα. Σοφοκλέους Ἐπίγονοι (187 N. 2). Ὦ πᾶν σὺ τολμήσασα καὶ πέρα, γύναι, κάκιον ἄλλ' οὐκ ἔστιν οὐδ' ἔσται ποτὲ γυναικός, [ἢ] εἴ τι πῆμα γίγνεται βροτοῖς. Εὐριπίδου Δανάης (fr. 319 N. 2). Συμμαρτυρῶ σοι· πανταχοῦ λελείμμεθα πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα. Ἀντιφάνους (fr. 252 K.). Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον, ὅτι οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον. Εὐριπίδου Ἱππολύτῳ (fr. 429 N. 2). ΧΟΡ. Ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐβλάστομεν γυναῖκες πολὺ δυσμαχώτερον. Φιλίσκου Φιλαργύρων (fr. 1 Com. II p. 443 K.). Εἰς τὸ μεταπεῖσαι ῥᾳδίως ἃ βούλεται πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους. Σοφοκλέους (fr. 857 N. 2). Κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή. Μενάνδρου (fr. 804 K.). Ὅπου γυναῖκές εἰσι, πάντ' ἐκεῖ κακά. Εὐριπίδου Ἱππολύτῳ (fr. 440 N. 2). Θησεῦ, παραινῶ σοὶ τὸ λῷστον, 〈εἰ〉 φρονεῖς, γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων. Ὑποβολιμαίου (Men. fr. 488 K.). Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν θηρίων ὄντων κάκιστόν ἐστι θηρίον γυνή. Εὐριπίδου Ἰνοῦς (fr. 401 N. 2). Φεῦ, ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι γὰρ καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον. Εὐριπίδου Ἰνοῦς (fr. 400 N. 2). Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες· ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα. Μενάνδρου (fr. 746 K.). Οὐ πάνυ εἴωθ' ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή. Εὐριπίδου Ἰφιγενείας (T. 1032). Δειναὶ μὲν αἱ γυναῖκες εὑρίσκειν τέχνας. Εὐριπίδου Μηδείας (230 ss.). Πάντων δ' ὅς' ἔστ' ἔμψυχα καὶ γνώμην ἔχει. γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν· ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ πόσιν πρίασθαι δεσπότην τε σώματος λαβεῖν· κακοῦ γὰρ τοῦτό γ' ἄλγιον κακόν. Εὐριπίδου Οἰδίπους (fr. 546 N. 2). Κακίων ἄλοχος, κἂν ὁ κάκιστος γήμῃ τὴν εὐδοκιμοῦσαν. Εὐριπίδου Μελέαγρος (fr. 522 N. 2). Εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος, γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί· ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι. Εὐριπίδου Ἱππολύτου (616 ss.). Ὦ Ζεῦ, τί

δὴ κίβδηλον ἀνθρώποις κακὸν γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας; εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος, οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε, ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς ἢ χαλκὸν ἢ σίδηρον ἢ χρυσοῦ βάρος παίδων πρίασθαι σπέρμα τοῦ τιμήματος. Εὐριπίδου Μελέαγρος (fr. 528 N. 2). Εὐριπίδου Φοίνικι (fr. 808 N. 2). Γυνή τε πάντων ἀγριώτατον κακόν. Φωκυλίδου (fr. 3 Bergk). Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης, ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης. εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη· ἡ δὲ συὸς βλοσυρῆς οὔτ' ἂν κακὴ οὐδὲ μὲν ἐσθλή· ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι· ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος. Σιμωνίδου (Semon. fr. 7 Bergk). Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον τὰ πρῶτα· τὴν μὲν ἐξ ὑὸς τανύτριχος, τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα ἄκοσμα κεῖται καὶ κυλίνδεται χαμαί· αὐτὴ δ' ἄλουτος ἀπλύτοις' ἐν εἵμασιν ἐν κοπρίῃσιν ἡμένη πιαίνεται. Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος γυναῖκα, πάντων ἴδριν· οὐδέ μιν κακῶν λέληθεν οὐδὲν οὐδὲ τῶν ἀμεινόνων. τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις κακόν, τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει. Τὴν δ' ἐκ κυνὸς λιτοργόν, αὐτομήτορα, ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει, πάντῃ δὲ παπταίνουσα καὶ πλανωμένη λέληκεν, ἢν καὶ μηδέν' ἀνθρώπων ὁρᾷ. παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνήρ, οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ ὀδόντας, οὐδ' ἂν μειλίχως μυθεύμενος, οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι· ἀλλ' ἐμπέδως ἄπρηκτον αὐονὴν ἔχει. Τὴν δὲ πλάσαντες γηίνην Ὀλύμπιοι ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακὸν οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή· ἔργων δὲ μοῦνον ἐσθίειν ἐπίσταται· κοὐδ' ἢν κακὸν χειμῶνα ποιήσῃ θεός, ῥιγῶσα δίφρον ἄσσον ἕλκεται πυρός. Τὴν δ' ἐκ θαλάσσης, ἣ δύ' ἐν φρεσὶν νοεῖ· τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην· ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις' ἰδών· 'οὐκ ἔστιν ἄλλη τῆσδε λωίων γυνὴ ἐν πᾶσιν ἀνθρώποισιν οὐδὲ καλλίων.' ἅπλητον ὥσπερ ἀμφὶ τέκνοισιν κύων. ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίγνεται· ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς ἔστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα, θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται βαρυκτύποισι κύμασιν φορευμένη. ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνὴ ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει. Τὴν δ' ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου, ἣ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις ἔστερξεν ὧν ἅπαντα καὶ πονήσατο ἀρεστά· τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ προνύξ, προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ. ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον ἐλθόντ' ἑταῖρον ὀντινῶν ἐδέξατο. Τὴν δ' ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος. κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον πρόσεστιν οὐδὲ τερπνὸν οὐδ' ἐράσμιον· τὸν δ' ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ· κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά, ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει. Τὴν δ' ἵππος ἁβρὴ χαιτέεσ' ἐγείνατο, ἣ δούλι' ἔργα καὶ δύην περιτρέπει, κοὔτ' ἂν μύλης ψαύσειεν οὔτε κόσκινον ἄρειεν οὔτε κόπρον ἐξ οἴκου βάλοι, οὔτε πρὸς ἰπνὸν ἀσβόλην ἀλευμένη ἵζοιτ'· ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον. λοῦται δὲ πάσης ἡμέρης ἅπο ῥύπον δίς, ἄλλοτε τρίς, καὶ μύροις' ἀλείφεται· αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην. καλὸν μὲν ὦν θέημα τοιαύτη γυνὴ ἄλλοισι· τῷ δ' ἔχοντι γίγνεται κακόν, ἢν μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ᾖ, ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται. Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν. εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως· ἐπ' αὐχένα βραχεῖα, κινεῖται μόγις, ἄπυγος, αὐόκωλος· ἆ τάλας ἀνήρ, ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται. δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται, ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει· οὐδ' ἄν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦτ' ὁρᾷ καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται, ὅκως τιν' ὡς μέγιστον ἔρξειεν κακόν. Τὴν δ' ἐκ μελίσσης· τήν τις εὐτυχεῖ λαβών· κείνῃ γὰρ οἵῃ μῶμος οὐ προσιζάνει. θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος· φίλη δὲ σὺμ φιλεῦντι γηράσκει πόσει, τεκοῦσα καλὸν κὠνομάκλυτον γένος· κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται πάσῃσι, θείη δ' ἀμφιδέδρομεν χάρις· οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη, ὅκου λέγουσιν ἀφροδισίους λόγους. τοίας γυναῖκας ἀνδράσιν χαρίζεται Ζεὺς τὰς ἀρίστας καὶ

πολυφραδεστάτας. Τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ Διὸς ἔστιν τε πάντα καὶ παρ' ἀνδράσιν μένει. Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν, οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται ἅπασαν, ὅστις σὺν γυναικὶ πέλεται, οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται, ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεῶν. ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ κατ' οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν, εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται. ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην ξεῖνον μολόντα προφρόνως δεχοίατο. ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ, αὕτη μέγιστα τυγχάνει λωβωμένη· κεχηνότος γὰρ ἀνδρός—οἱ δὲ γείτονες χαίρους' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει. τὴν ἢν δ' ἕκαστος αἰνέσει μεμνημένος γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται· ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν. Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν, καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδῃ, ἐξ οὗτε τοὺς μὲν Ἀΐδης ἐδέξατο γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους, *** Εὐριπίδου Μηδείας (408 s.). Γυναῖκες ἐς μὲν ἔσθλ' ἀμηχανώταται, κακῶν δὲ πάντων τέκτονες σοφώταται. Ἐν ταὐτῷ (568 ss.). Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος. ἀλλ' εἰς τοσοῦτον ἥκεθ' ὥστ' ὀρθουμένης εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε. Εὐριπίδου Ὀρέστης (605 s.). Ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστατον. Εὐριπίδου Φρίξῳ (fr. 824 N. 2). Ὡς οὐδὲν ὑγιές φασι μητρυιὰς φρονεῖν νόθοισι παισίν, ὧν φυλάξομαι ψόγον. Εὐριπίδου Φοινίσσαις (198 ss.). Φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ. γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλας λέγειν. Δημοκρίτου (fr. 273 Diels 2). Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην. Γαΐου ὑπὲρ Λουκίλλης. Εὐάγωγον γάρ ἐστιν εἰς πίστιν γυνὴ καὶ μάλιστα ὅταν τὸ ἀτυχεῖν προσῇ. Γαΐου κατὰ Μενάνδρας.

4.23 Ἀναξανδρίδου (fr. 56 K.). Χαλεπή, λέγω σοι, καὶ προσάντης, ὦ τέκνον, ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε παρὰ τἀνδρός, ἥ τις ἐστὶ κοσμία γυνή. ὁ γὰρ δίαυλός ἐστιν αἰσχύνην ἔχων. Εὐριπίδου Κρήσσαις (fr. 463 N. 2). Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ δοῦναι χαλινοὺς οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν· πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών. Ἀντιφάνους (fr. 264 K.). Μὴ χρώμασιν τὸ σῶμα λαμπρύνειν θέλε, ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν. Εὐριπίδου Ἀνδρομάχης (943 ss.). Ἀλλ' οὔποτ', οὔποτ', οὐ γὰρ εἰσάπαξ ἐρῶ, χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἔστιν γυνή, πρὸς τὴν ἐν οἴκοις ἄλοχον εἰσφοιτᾶν ἐᾶν γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν· κλείθροισι καὶ μοχλοῖσι δωμάτων πύλας· ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά. Μενάνδρου Ὑποβολιμαίου (fr. 484 K.). Τὰ δεύτερ' ἀεὶ τὴν γυναῖκα δεῖ λέγειν, τὴν δ' ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ' ἔχειν. οἰκία δ' ἐν ᾗ 〈τὰ〉 πάντα πρωτεύει γυνή, οὐκ ἔστιν ἥτις πώποτ' οὐκ ἀπώλετο. Εὐριπίδου Μελανίππη (fr. 497 N. 2). Τίσασθε τήνδε· καὶ γὰρ ἐντεῦθεν νοσεῖ τὰ τῶν γυναικῶν· οἱ μὲν ἢ παίδων πέρι ἢ συγγενείας εἵνεκ' οὐκ ἀπώλεσαν κακὴν λαβόντες· εἶτα τοῦτο τἄδικον πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω, ὥστ' ἐξίτηλος ἡ ἀρετὴ καθίσταται. Ναυμαχίου. ἀλλ' ἢν μέν τίς σοι πεπνυμένος, ὅττι κεν εἴπῃ πείθεο, μηδ' ἔστω βίος ἄνδιχα· γίνεο δ' αὐτῷ μειλιχίη, καὶ μᾶλλον ὅταν τί ἑ κῆδος ἱκάνῃ. ἀνδρὶ γὰρ ἀσχαλόωντι παραίφασίς ἐστιν ἄκοιτις. λεῖπε δέ οἱ τὰ θύρηφι, τὰ καὶ δύναται πονέεσθαι, σοὶ δ' οἰκωφελίη μελέτω μέγαρόν τε φυλάσσειν. μηδέ μιν ἐξερέεινε, τὰ μὴ θέμις ἐστὶ γυναῖκας ἴδμεναι· εἰ δ' αὐτός 〈σ'〉 ἐθέλει συμφράδμονα θέσθαι, σύνθεο μὲν τάχα θυμῷ, ἀμείβεο δ' ὀψὲ σὺν αὐτῷ φραζομένη, καὶ μηδὲν ὑπίσχεο μηδὲ κέλευε σῇ ῥέζειν ἰότητι· τὸ γὰρ τέλος ἐστὶν ἀφαυρόν. κουρίδιος πινυτῇ πόσις ἄρκιος, οὐδέ τ' ἐκείνην δεύτερος ἀθρήσει λεχέων ἀπογυμνωθεῖσαν. πρῶτα μὲν ἀφραίνοντος ἀνάσχεο, καὶ γὰρ ἀνάγκη. πολλάκι που καὶ νοῦσον ἀνάσχεο κηδομένη περ. ἴσχεο δ' ἐν στέρνοις τὰ σὰ κήδεα, μηδ' ἀγόρευε πᾶσιν ὅσα πρήσσει, μηδ' ἔννεπε πάντα τοκεῦσι. μούνῃ δ' ἀφραδέοντα πινυσσέμεν, ἀλλὰ κατ' αἶσαν· εἰ δ' ὀλοοῖς ἑτάροισιν ἐφεσπόμενος κακὸς εἴῃ, μὴ σὺ μὲν ἀντιβίην κείνου, τέκος, εἰς ἔριν ἔλθῃς, ἀλλ' ἑτέρους ὄτρυνε μετὰ σφίσι νείκεα βάλλειν. ῥηιδίη δ' ὁδὸς ἥδε διακρῖναι φιλότητα λευγαλέην, ἑτάροις δὲ φίλον ἀγαθοῖσι γενέσθαι, σῇ πινυτῇ· τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο; καὶ σὺ μὲν ὡς φίλον ἄνδρα καὶ ἀτρεκέως ἀγάπαζε. γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις,

ὅττι γε τέκνα ἐκ θυμοῦ φιλέεις· ἐπεὶ οὔτι γε τοῖος ἐτύχθη οἷος ἔχειν φιλότητα καὶ ἤθεα πιστὰ δαῆναι. παρθενική, σὺ δ' ἄκουε τά σε χρὴ πάντα φυλάσσειν. μήτε φιλομμειδὴς μάλα γίνεο μήτε κατηφής. μήτ' ἔσο πάμπαν ἀεργός, ἄλις δ' ἔχε καὶ πόνου ἔργον. μήτε κακὴ δμώεσσι τεοῖς ἔσο μήτε μάλ' ἐσθλὴ φαίνεο· ῥηίτεροι γὰρ ἀεί που πῆμα φέρονται· θάρσεϊ δειδιότων μάλ' ἐπικρατέουσιν ἄνακτες. ὀθνείων φιλότητας ἀναίνεο, πρίν κεν ἀπ' ἄλλων εἰδείης ἐτύμως μελεδήματα καὶ νόον αὐτῶν. μήτε γραῦν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις· πολλῶν γρῆες ἔπερσαν ἐύκτιτα δώματα φώτων· μηδὲ μὲν ἀκριτόμυθον ἑταιρίσσαιο γυναῖκα· παρθένε, τηϋσίου μὴ δεύεο μηδὲ κατόπτρου, χειρὶ διακρίνουσα τεὴν αὐγάζεο μορφήν, μηδὲ κόμης περίαλλα πολυσχιδέας πλέκε σειράς, μηδὲ μέλαινε τεοῖσιν ὑπὸ βλεφάροισιν ὀπωπάς. οὐ γὰρ θηλυτέραις δέμας ὤπασεν ἡμιτέλεστον μορφήν, ὄφρα καὶ ἄλλα περὶ χροΐ τεχνήσαιντο. πῶς δ' ἄν, κοῦρα, δύναιο δαήμων φωτὶ φανῆναι, θνητὸν ἐφημερίῃ κομιδῇ χρόα ποικίλλουσα; ἐξ ἑτέρης ἑτέρην σε καὶ ἄλλην ἄλλοτε λεύσσων φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα *** Εὐριπίδου Πενθέως (Bacch. 314 ss.). Οὐχ ὁ Διόνυσος μὴ σωφρονεῖν ἀναγκάσει οὗς' ἥ γε σώφρων οὐ διαφθαρήσεται. Ἀντιφάνους (fr. 253 K.). Τί φής; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' 〈ἄρα〉 ἐρεῖς τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρει ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι; Εὐριπίδου (fr. 1061 N. 2). Μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος· ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν εν δος, τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον; Μενάνδρου (fr. 546 K.). Τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις, γύναι, διὰ τὴν αὐλὰν λίαν· ὅρος γὰρ αὔλειος θύρα ἐλευθέρᾳ γυναικὶ νενόμιστ' οἰκίας. τὸ δ' ἐπιδιώκειν εἴς τε τὴν ὁδὸν τρέχειν, ἔτι λοιδορουμένην, κυνὸς ἔστ' ἔργον, Ῥόδη. Εὐριπίδου Μελεάγρῳ (fr. 521 N. 2). Ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός. Εὐριπίδου Δανάης (fr. 320 N. 2). Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή. Ἡρώδα μιμιάμβων (VI 37 ss.). Μὴ δή, κόρη, τὸ τὴν χολὴν ἐπὶ ῥῖνας ἔχ' εὐθύς, ἤν τι ῥῆμα μὴ σοφὸν πεύθῃ. γυναικός ἐστι κρηγύης φέρειν πάντα. Εὐριπίδου (fr. 1062 N. 2). Γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ. Σοφοκλῆς ἐν Φαίδρᾳ (fr. 618 N. 2). Σύγγνωτε κἀνάσχεσθε σιγῶσαι· τὸ γὰρ γυναιξὶν αἰσχρὸν δεῖ γυναῖκ' ἀεὶ στέγειν. Εὐριπίδου Ἀλόπῃ (fr. 111 N. 2). Εὐριπίδου Ἀντιόπῃ (fr. 209 N. 2). Οὐ σωφρονίζειν ἔμαθον, αἰδεῖσθαι δὲ χρή, γύναι, τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον. Εὐριπίδου Ἀνδρομάχης (177 ss.). Οὐδὲν γὰρ καλὸν δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν, ἀλλ' εἰς μίαν βλέποντες εὐναίαν Κύπριν στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει. Φιλήμονος (fr. 132 K.). Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη, μὴ κρείττον' εἶναι τἀνδρός, ἀλλ' ὑπήκοον. γυνὴ δὲ νικῶς' ἄνδρα κακόν ἐστιν μέγα. Εὐριπίδου Ἀνδρομάχης (229 ss.). Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι, ζήτει παρελθεῖν· τῶν κακῶν γὰρ μητέρων φεύγειν τρόπους χρὴ τέκνα, αἷς ἔνεστι νοῦς. Εὐριπίδου Ἀνδρομάχης (352 ss.). Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακά. οὐδ', εἰ γυναῖκές ἐσμεν ἀτηρὸν κακόν, Εὐριπίδου Ἀνδρομάχης (373 s.). Τὰ μὲν ἄλλα δεύτερ' ἂν πάσχοι γυνή, ἀνδρὸς δ' ἁμαρτάνους' ἁμαρτάνει βίου. Εὐριπίδου Ἀνδρομάχης (672 ss.). Καὶ μὴν ἴσον γ' ἀνήρ τε καὶ γυνὴ σθένει ἀδικουμένη πρὸς ἀνδρός· ὡς δ' αὕτως ἀνὴρ γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων. καὶ τῷ μέν ἐστιν ἐν χεροῖν μέγα σθένος, τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα. οὔκουν δίκαιον τοῖς ἐμοῖς ἔμ' ὠφελεῖν; Εὐριπίδου ἐν Πελιάσιν (fr. 603 N. 2). Αἰνῶ· διδάξαι δ', ὦ τέκνον, σε βούλομαι. ὅταν μὲν ᾖς παῖς, μὴ πλέω παιδὸς φρονεῖν, ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν, ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς, *** τὰ δ' ἄλλ' ἀφεῖναι μηχανήματ' ἀνδράσιν. Μενάνδρου (fr. 654 K.). (Eur. fr. 1063 N. 2) Ἐκπυνθάνεσθαι γάρ σε νῷν χἠμᾶς σέθεν. τὸ μὲν μέγιστον, οὔποτ' ἄνδρα χρὴ σοφὸν λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων· ἑρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς, ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρωφωμένη βλέπουσά τ' εἰς πᾶν καὶ παροῦσα πανταχοῦ τὴν ὄψιν ἐμπλήσας' ἀπήλλακται κακῶν· τό τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον. ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων σῴζει δάμαρτα, δρᾶν τι δὴ δοκῶν σοφὸν μάταιός ἐστι

καὶ φρονῶν οὐδὲν φρονεῖ· ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ’ ἔχει, θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χωρίζεται, λάθοι δ’ ἂν Ἄργου τὰς πυκνοφθάλμους κόρας· καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως, ἀνήρ τ’ ἀχρεῖος καὶ ἡ γυνὴ διοίχεται. Εὐριπίδου Ἀνδρομάχης (930). Κακῶν γυναικῶν εἴσοδοί μ’ ἀπώλεσαν. Σοφοκλῆς Ἀκρισίῳ (fr. 61 N. 2). Ἄλλως τε καὶ κόρῃ τε κἀργείᾳ γένος, αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ’ ἔπη. Εὐριπίδου Ἰφιγενείας. 〈Εὐριπίδου Ἴωνος (395—400).〉 Σίγα πρὸς ἄνδρα, μή τιν’ αἰσχύνην λάβω διακονοῦσα κρυπτά, καὶ προβῇ λόγος οὐχ ᾗπερ ἡμεῖς αὐτὸν ἐξελίσσομεν. τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας, κἀν ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι μισούμεθ’· οὕτω δυστυχεῖς πεφύκαμεν. Εὐριπίδου Μηδείᾳ (13 ss.). Αὐτὴ δὲ πάντα συμφέρους’ Ἰάσονι· ἥπερ μεγίστη γίγνεται σωτηρία, ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ. Εὐριπίδου Φρίξῳ (fr. 823 N. 2). Δίκαι’ ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί. Θεανοῦς. Θεανὼ ἡ Πυθαγόρειος ἐρωτηθεῖσα πῶς ἔνδοξος ἔσται. ἔφη· ἱστὸν ἐποιχομένη καὶ ἐμὸν λέχος ἀντιόωσα. Ὑπερίδου (fr. 205 Blass 3). Δεῖ τὴν ἐκ τῆς οἰκίας ἐκπορευομένην ἐν τοιαύτῃ καταστάσει εἶναι τῆς ἡλικίας, ὥστε τοὺς ἀποβλέποντας πυν- Τοῦ αὐτοῦ (fr. 206 Blass 3). Τοὺς μὲν πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς γυναικὶ καλλωπισμοὺς ὅπως βούλοιτο χρὴ γίγνεσθαι· τοὺς μέντοι περὶ τὰς ἐξόδους, οὐκέτι πρὸς τὸν ἄνδρα, ἀλλὰ πρὸς τοὺς ἑτέρους 〈γιγνομένουσ〉 φοβητέον. Τοῦ αὐτοῦ (p. 87, 25 Blass 3). Οὐκ ἀνδρὸς ἀπειλήν, ἀλλὰ νόμου φωνὴν κυριεύειν δεῖ τῶν ἐλευθέρων. Ἡροδότου (I 8). Ἅμα δὲ χιτῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή. Ἐπιχάρμου (fr. 286 Kaibel). Σώφρονος γυναικὸς ἀρετὰ τὸν συνόντα μὴ ἀδικεῖν [ἄνδρα]. Δημοκρίτου (fr. 274 Diels 2). Κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης. Δημοκρίτου (fr. 111 Diels 2). Ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἀνδρὶ ἐσχάτη. Ἱπποκράτους (epist. ad Dionys. p. 295 H.). Ἀλλ’ ὅμως χρηίζει γυνὴ σωφρονίζοντος· ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν ἑαυτῇ, ὅπερ εἰ μὴ καθ’ ἡμέρην ἐκκόπτοιτο, ὡς τὰ δένδρεα καθυλομανεῖ. Εὐσεβίου (fr. 57 Mull.). Γάμου ἀρίστη ξυμφωνία ἀμφοτέρους σωφροσύνην ἀσκέειν. Θεοφράστου (fr. CLVII Wimm.). Οὔτε ὁρᾶν οὔτε ὁρᾶσθαι γυναῖκα καὶ ταῦτα ἐξησκημένην πρὸς κάλλος· ἐπισπᾶται γὰρ ἀμφότερα πρὸς ἃ μὴ δεῖ. Πλουτάρχου ἐκ τῶν Γαμικῶν παραγγελμάτων (p. 140 D—E). Ὁ Πλάτων φησὶν εὐδαίμονα καὶ μακαρίαν εἶναι μένων ἀκούουσι διὰ τὸ κοινοῖς ὡς ἔνι μάλιστα χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας. πολὺ δὲ μᾶλλον ἐν γάμῳ δεῖ τὴν τοιαύτην φωνὴν ἀνῃρῆσθαι. Ἐν ταὐτῷ (p. 140 F). Αὕτη τοίνυν καὶ χρημάτων κοινωνία προσήκει μάλιστα τοῖς γαμοῦσιν εἰς μίαν οὐσίαν 〈πάντα〉 καταχεαμένους καὶ ἀναμίξαντας μὴ τὸ μέρος ἴδιον καὶ τὸ μέρος ἀλλότριον, ἀλλὰ πᾶν ἴδιον ἡγεῖσθαι καὶ μηδὲν ἀλλότριον. ὥσπερ τὸ κρᾶμα καίτοι ὕδατος μετέχον πλείονος οἶνον καλοῦμεν, οὕτω τὴν οὐσίαν δεῖ 〈καὶ〉 τὸν οἶκον τοῦ ἀνδρὸς λέγεσθαι, κἂν ἡ γυνὴ πλείονα συμβάλληται. Ἐν ταὐτῷ (p. 141 A). Ὁ Ῥωμαῖος ὑπὸ τῶν φίλων νουθετούμενος, ὅτι σώφρονα 〈γυναῖκα〉 καὶ πλουσίαν καὶ ὡραίαν ἀπεπέμψατο, τὸ καλίγιον αὐτοῖς προτείνας ‘καὶ γὰρ τοῦτο‘ ἔφη ‘καλὸν ἰδεῖν καὶ καινόν, ἀλλ’ οὐδεὶς οἶδεν ὅπου με θλίβει‘. δεῖ τοίνυν μὴ προικὶ μηδὲν μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ’ ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρός, ὁμιλίᾳ καὶ ἤθει καὶ συμπεριφορᾷ, ταῦτα μὴ σκληρὰ μηδὲ ἀνιῶντα καθ’ ἡμέραν ἀλλ’ εὐάρμοστα καὶ ἄλυπα καὶ προσφιλῆ παρέχειν. Ἐν ταὐτῷ (p. 141 B). Ὥσπερ οἱ ἰατροὶ τοὺς ἐξ αἰτιῶν ἀδήλων καὶ κατὰ μικρὸν συλλεγομένων γεννωμένους πυρετοὺς μᾶλλον δεδοίκασιν ἢ τοὺς ἐμφανεῖς καὶ μεγάλας προφάσεις ἔχοντας, οὕτω τὰ λανθάνοντα τοὺς πολλοὺς μικρὰ καὶ συνεχῆ καὶ καθημερινὰ προσκρούσματα γυναικὸς καὶ ἀνδρὸς μᾶλλον διίστησι καὶ λυμαίνεται τὴν συμβίωσιν. Ἐν ταὐτῷ (p. 141 C). Ἀμήχανον οὖν τι πρᾶγμα γίνεται γαμετὴ γυνὴ καὶ νόμιμος, ἂν ἐν ἑαυτῇ πάντα θεμένη, καὶ προῖκα καὶ γένος καὶ φάρμακον καὶ τὸν κεστὸν αὐτόν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν. Ἐν ταὐτῷ (p. 141 E). Κόσμος ἐστίν, ὡς ἔλεγε Κράτης, τὸ κοσμοῦν· κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν. ποιεῖ δὲ τοιαύτην οὔτε χρυσὸς οὔτε

σμάραγδος οὔτε κόκκος, ἀλλ' ὅσα σεμνότητος εὐταξίας αἰδοῦς ἔμφασιν περιτίθησι. Ἐν ταὐτῷ (p. 142 B). Καθάπερ ὁ Φωκίων, τοῦ Ἀντιπάτρου πρᾶξιν αὐτῷ προστάττοντος οὐκ οὖσαν δὲ πρέπουσαν, εἶπεν 'οὐ δύνασαί μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι', οὕτω λογίζεσθαι περὶ τῆς σώφρονος καὶ αὐστηρᾶς γυναικός 'οὐ δύναμαι Ἐν ταὐτῷ (p. 142 C). Ἡ Θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον· εἰπόντος δέ τινος 'καλὸς ὁ πῆχυς,' 'ἀλλ' οὐ δημόσιος' ἔφη. δεῖ δὲ μὴ μόνον 〈τὸν〉 πῆχυν ἀλλὰ μηδὲ τὸν λόγον δημόσιον εἶναι τῆς σώφρονος, καὶ τὴν φωνὴν ὡς ἀπογύμνωσιν αἰδεῖσθαι καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτός. ὁρᾶται γὰρ ἐν αὐτῇ καὶ πάθος καὶ ἦθος καὶ διάθεσις τῆς λαλούσης. Ἐν ταὐτῷ (p. 142 D). Τὴν δὲ Ἠλείων ὁ Φειδίας Ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν, οἰκουρίας σύμβολον ταῖς γυναιξὶ καὶ σιωπῆς. δεῖ γὰρ ἢ πρὸς τὸν ἄνδρα λαλεῖν ἢ διὰ τοῦ ἀνδρός, μὴ δυσχεραίνουσαν εἰ δι' ἀλλοτρίας γλώττης ὥσπερ αὐλητὴς φθέγγεται. Ἐν ταὐτῷ (p. 143 A). Καὶ γὰρ ὁ Ῥωμαῖος νομοθέτης ἐκώλυσε δῶρα διδόναι καὶ λαμβάνειν παρ' ἀλλήλων τοὺς γεγαμηκότας, οὐχ ἵνα μηδενὸς μεταλαμβάνωσιν, ἀλλ' ἵνα πάντα κοινὰ νομίζωσιν. Ἐν ταὐτῷ (p. 143 C). Τοῖς περὶ τὸν Κῦρον Ἕλλησι παρήγγειλαν οἱ στρατησαντας ἐξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν ἡσυχάζουσι, σιωπῶντας δὲ προσλαλοῦσαι καὶ παραμυθούμεναι πραΰνουσιν. Ἐν ταὐτῷ (p. 143 F). Ἡ Ἑρμιόνη δοκεῖ τι λέγειν ἀληθὲς λέγουσα κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν. τοῦτο δὲ οὐχ ἁπλῶς γιγνόμενόν ἐστιν, ἀλλ' ὅταν αἱ πρὸς τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι ταῖς τοιαύταις γυναιξὶ μὴ τὰς θύρας μόνον ἀλλὰ καὶ τὰς ἀκοὰς οἴγωσι. τότε οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα καὶ φυλάττεσθαι τὸν ψιθυρισμόν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ Φιλίππου. λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς Ἕλληνας ὡς εὖ πάσχοντας καὶ κακῶς αὐτὸν λέγοντας εἰπεῖν 'τί οὖν, ἂν καὶ κακῶς ποιῶμεν αὐτούς;' ὅταν οὖν 〈αἱ〉 διαβάλλουσαι λέγωσιν ὅτι 'λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σωφρονοῦσαν', 'τί οὖν, ἂν καὶ μισεῖν αὐτὸν ἄρξωμαι καὶ ἀδικεῖν;' Θεανοῦς. Τῆς Φίλωνος γυναικός. Ἡ Φίλωνος γυνὴ ἐρωτηθεῖσα ὑπό τινος ἐν συνόδῳ πλειόνων γυναικῶν διὰ τί μόνη τῶν ἄλλων οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη, ὅτι αὐτάρκης κόσμος ἐστὶ γυναικὶ ἡ τοῦ ἀνδρὸς ἀρετή. Θεανοῦς. Θεανὼ ἐρωτηθεῖσα τί πρέπον εἴη γυναικί, 'τὸ τῷ ἰδίῳ' ἔφη 'ἀρέσκειν ἀνδρί'. Δημάδου. Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι. Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς Περὶ γάμου χρήσεως. Οὐκοῦν καὶ περὶ τοῦ ἄρχειν μὲν τὸν ἄρρενα ἄρχεσθαι δὲ τὴν θήλειαν ὁμογνωμονήσουσι. τὸ δὲ σχῆμα τῆς ἀρχῆς ἔσται οὐχ οἷον τὸ δεσποτικόν, θεραπεῦον τὸ τοῦ κρείττονος συμφέρον· οὐδ' οἷον τὸ τῶν τεχνῶν, μόνου τοῦ ἥττονος ἐπιμελούμενον· ἀλλ' οἷον τὸ πολιτικόν, κηδόμενον ἐξ ἴσου τοῦ κοινῇ συμφέροντος. Σωκράτους. Τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι, τὰς δὲ γυναῖκας τοῖς τῶν συνοικούντων ἀνδρῶν ἤθεσι. Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ (fr. VI v. II p. 310 Arn.). Εὐσέβεια δὲ γυναικεία ὁ πρὸς τὸν ἄνδρα ἔρως. Ἐν ταὐτῷ (ibid. fr. VII). Γέλως δὲ συνεχὴς καὶ μέγας θυμοῦ κακίων· διὰ τοῦτο μάλιστα ἑταίραις ἀκμάζων καὶ παίδων τοῖς ἀφρονεστέροις. ἐγὼ δὲ κοσμεῖσθαι πρόσωπον ὑπὸ δακρύων ἡγοῦμαι μᾶλλον ἢ ὑπὸ γέλωτος. δάκρυσι μὲν γὰρ ὡς ἐπὶ τὸ πλεῖστον σύνεστι καὶ πάθημά που χρηστόν, γέλωτι δὲ ἀκολασία. καὶ κλαίων μὲν οὐδεὶς προυτρέψατο ὑβριστήν, γελῶν δὲ ηὔξησεν αὐτοῦ τὰς ἐλπίδας. Φιντύος τᾶς Καλλικράτεος θυγατρὸς Πυθαγορείας ἐκ τοῦ Περὶ γυναικὸς σωφροσύνας. Τὸ μὲν ὅλον ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν· ἄνευ δ' ἀρετᾶς οὐδέποκα γένοιτό τις τοιαύτα. ἑκάστα γὰρ ἀρετὰ περὶ ἕκαστον γινομένα τὸ αὐτᾶς δεκτικὸν ἀποδίδωτι σπουδαῖον· ἁ μὲν τῶν ὀπτίλων τὼς ὀπτίλως, ἁ δὲ τᾶς ἀκοᾶς ἄνδρα καὶ τιμῆν καὶ ἀγαπῆν δυνασεῖται. πολλοὶ μὲν ἴσως δοξάζοντι, ὅτι οὐκ εὐάρμοστον γυναικὶ φιλοσοφέν, ὥσπερ οὐδ' ἱππεύεν οὐδὲ δαμαγορέν· ἐγὼ δὲ τὰ μέν τινα νομίζω ἀνδρὸς ἦμεν ἴδια, τὰ δὲ γυναικός, τὰ δὲ κοινὰ ἀνδρὸς καὶ γυναικός, τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικός, τὰ δὲ μᾶλλον γυναικὸς ἢ ἀνδρός. ἴδια μὲν ἀνδρὸς τὸ στραταγὲν καὶ πολιτεύεσθαι καὶ δαμαγορέν, ἴδια δὲ γυναικὸς τὸ οἰκουρὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἔνδον μένεν καὶ ἐκδέχεσθαι καὶ θεραπεύεν τὸν ἄνδρα. κοινὰ δὲ φαμὶ ἀνδρείαν καὶ δικαιοσύναν καὶ φρόνασιν· καὶ γὰρ τὰς τῶ σώματος ἀρετὰς ἔχεν πρέπον καὶ ἀνδρὶ καὶ γυναικὶ καὶ τᾶς ψυχᾶς ὁμοίως· καὶ ὡς ὑγιαίνεν τῷ σώματι ἀμφοτέροις ὠφέλιμον, οὕτως ὑγιαίνεν τᾷ ψυχᾷ· σώματος δὲ ἦμεν ἀρετὰς ὑγείαν ἰσχὺν εὐαισθησίαν κάλλος. τὰ δὲ μᾶλλον ἀνδρὶ καὶ ἀσκὲν καὶ ἔχεν οἰκῆόν ἐντι, τὰ δὲ μᾶλλον γυναικί. ἀνδρότατα μὲν γὰρ καὶ φρόνασιν μᾶλλον ἀνδρὶ καὶ διὰ πρᾶτον μὲν ἐκ τᾶς περὶ τὰν εὐνὰν ὁσιότατός τε καὶ εὐσεβείας· δεύτερον δὲ ἐκ τῶ κόσμω τῶ περὶ τὸ σῶμα· τρίτον 〈δ'〉 ἐκ τᾶν ἐξόδων τᾶν ἐκ τᾶς ἰδίας οἰκίας· τέταρτον δ' ἐκ τῶ μὴ χρέεσθαι τοῖς ὀργιασμοῖς καὶ ματρῳασμοῖς· πέμπτον δ' ἐν τᾷ θυσίᾳ τᾷ πρὸς τὸ θεῖον εὐλαβέα ἦμεν καὶ μετρίαν. τούτων δὲ μέγιστον αἴτιον καὶ συνεκτικώτατον τᾶς σωφροσύνας τὸ περὶ τὰν εὐνὰν ἦμεν ἀδιάφθορον καὶ ἄμικτον θυραίω ἀνδρός. πρᾶτον μὲν γὰρ εἰς τοῦτο παρανομοῦσα ἀδικεῖ γενεθλίως θεώς, οἴκῳ καὶ συγγενείᾳ οὐ γνασίως ἐπικούρως ἀλλὰ νόθως παρεχομένα· ἀδικεῖ δὲ τὼς φύσει θεώς, ὥσπερ ἐπομόσασα μετὰ τῶν αὐτᾶς πατέρων τε καὶ συγγενῶν … συνελεύσεσθαι ἐπὶ κοινωνίᾳ βίω καὶ τέκνων γενέσει τᾷ κατὰ νόμον· ἀδικεῖ δὲ γιστον τῶν προστίμων ὥρισται θάνατος διὰ τὰν ὑπερβολὰν τῶ ἀδικήματος, ἔκθεσμον καὶ ἀσυγγνωμονέστατον ἦμεν ἀδονᾶς ἕνεκεν ἁμαρτάνεν καὶ ὑβρίζεν· ὕβριος δὲ πάσας πέρας ὄλεθρος. Ἐν ταὐτῷ. Κἀκεῖνο δὲ χρὴ διαλογίζεσθαι, ὡς οὐδὲν καθάρσιον εὑρήσει τᾶς ἀμπλακίας ταύτας ἄκος, ὥστε ὡς ἱερὰ θεῶν καὶ βωμὼς ποτερχομέναν ἦμεν ἁγνὰν καὶ θεοφιλάταν· ἐπὶ γὰρ ταύτᾳ τᾷ ἀδικίᾳ μάλιστα καὶ τὸ δαιμόνιον ἀσυγγνωμόνητον γίνεται. κάλλιστος δὲ κόσμος γυναικὸς ἐλευθέρας πρᾶτόν τε κῦδος τὸ διὰ τῶν αὐτᾶς τέκνων ἐπιμαρτύρασθαι τὰν σωφροσύναν τὰν ποτὶ τὸν ἄνδρα, αἶκα τὸν τύπον τᾶς ὁμοιότατος ἐπιφέρωντι τῶ κατασπείραντος αὐτὼς πατρός. καὶ περὶ μὲν εὐνᾶς οὕτως ἔχει· περὶ δὲ τῶ κόσμω τῶ περὶ τὸ σῶμα δοκεῖ μοι οὕτως. δεῖ λευχμετρίοις καὶ λευκοχρωμάτοις· οὕτω γὰρ τὸ μᾶλλον κοσμεῖσθαι καὶ τρυφὰν καὶ καλλωπισμὸν φεύξεται, καὶ ζᾶλον οὐκ ἐμποιήσει μοχθηρὸν ταῖς ἄλλαις. χρυσὸν δὲ καὶ σμάραγδον ἁπλῶς μὴ περιτίθεσθαι· καὶ γὰρ πολυχρήματον καὶ ὑπεραφανίαν ἐμφαῖνον ποττὰς δαμοτικάς. δεῖ δὲ τὰν εὐνομουμέναν πόλιν, ὅλαν αὐτὰν δι' ὅλας τεταγμέναν, συμπαθέα τε καὶ ὁμοιόνομον ἦμεν, ἀπερύκεν δὲ καὶ δαμιοεργὼς ἐκ τᾶς πόλιος τὼς ἐργαζομένως τὰ τοιαῦτα. χρώματι δὲ φαιδρύνεσθαι τὰν ποτῶπα μὴ ἐπακτῷ καὶ ἀλλοτρίῳ, τῷ δ' οἰκήῳ τῶ σώματος δι' αὐτῶ τῶ ὕδατος ἀπολουομέναν, κοσμὲν δὲ μᾶλλον αὐτὰν αἰσχύνᾳ· καὶ γὰρ τὸν συμβιῶντα καὶ αὐτὰν ἔντιμον παρέξεται. τὰς δὲ ἐξόδως ἐκ τᾶς οἰκίας ποιεῖσθαι τὰς γυναῖκας τὰς δαμοτελέας θυηπολούσας τῷ ἀρχαγέτᾳ θεῷ τᾶς πόλιος μήτε ὄρφνας ἐνισταμένας μήτε ἑσπέρας ἀλλὰ πλαθυούσας ἀγορᾶς καταφανέα γινομέναν τὰν ἔξοδον ποιεῖσθαι θεωρίας ἕνεκά τινος ἢ ἀγορασμῶ οἰκήῳ μετὰ θεραπαίνας μιᾶς ἢ καττὸ πλεῖστον δύο εὐκόσμως χειραγωγουμέναν. τὰς δὲ θυσίας λιτὰς παριστάμεν τοῖς θεοῖς καὶ καττὰν δύναμιν, ὀργιασμῶν δὲ καὶ ματρῳασμῶν τῶν κατ' οἶκον ἀπέχεσθαι. καὶ γὰρ ὁ κοινὸς νόμος τᾶς πόλιος ἀπερύκει ταῦ 〈τα〉 τὰς γυναῖκας ἐπιτελέν, καὶ ἄλλως καὶ ὅτι μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεύσιες αὗται· τὰν δ' οἰκοδέσποιναν καὶ προκαθεζομέναν οἴκω δεῖ σώφρονα καὶ ἀνέπαφον ποτὶ πάντα ἦμεν. Νικοστράτου ἐκ τοῦ Περὶ γάμου. Ἐστάλθω δὲ ἐσθῆτα ἢ ὡς πάτριον αὐτῇ ἢ ὡς ἥδιστον σοί. χρυσίον δὲ ἢν μὲν ἔχῃ, ὃ 〈μὴ〉 τὰ ἐν αὐτῇ ὀνίνησιν, 〈ὀνίνησιν〉 οὐδὲ περικειμένην· ὁμοίως γὰρ ἄν σοι ἀρέσαι καὶ ἔχουσα καὶ μὴ ἔχουσα· ἢν δὲ μήτε ἐκείνη οἴκοθεν ἐπιφέρηται μήτε σὺ ἔχῃς ὁπόθεν χαλκεύσεις, ἐπιθυμία δὲ ᾖ, ὁ λόγος ἐνταῦθά σοι παρασκευαστέος ὁ πείσων περί τε χρυσίου καὶ περὶ κάλλους χρυσίου, καὶ ὡς ἄχθος ἂν εἴη μᾶλλόν τὰς ἐπιβουλὰς ἤγειρε τῶν τε ἀκολάστων εἰς τὰς γυναῖκας, τῶν τε λῃστῶν εἰς τὰ χρήματα. Ἐπεὶ δὲ ἐνταῦθα τοῦ λόγου ἐσμέν, οὗ καὶ χρυσὸς κάλλος τι προσβαλέτω μοι, δοκῶ ἐρεῖν τε καὶ ὑποβαλεῖν πρᾶγμα χρυσοῦ πολλῷ τιμαλφέστερον. εἰ γὰρ μηδέν τι ὀκνῆσαι αὐτὴν καὶ περὶ γυμνάσια ἔχειν ἀναπείσαις, ἐνταῦθα εὕροι ἂν καὶ οὗ πάλαι ἐπεθυμοῦμεν, τὸν κόσμον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ σώματι. τοῦ μὲν γὰρ ὑγιαίνειν οὐδὲν ἔμοιγε δοκεῖ ἄλλο τι περίθημα καὶ περιδέραιον κρεῖττον. πόρρω δ' ἂν εἴη καὶ τοῦ δεηθῆναι γυνὴ ὑγιαίνουσα καὶ ψιμυθίου καὶ [ὑπ'] ὀφθαλμῶν ὑπογραφῆς καὶ ἄλλου χρώματος ζωγραφοῦντος καὶ ἀφανίζοντος τὰς ὄψεις. τά γε μὴν γυμνάσια ἄλλα μὲν ἂν ἔξω γένοιτο ἐν περιπάτοις, τὰ δὲ ἔνδον παρὰ τὸν ἱστὸν ἰοῦσα εὕροι ἄν τι πονῆσαι δυνάμενον ἢ τιθέμενον. καὶ τοῦτο τὸ κάλλος τὸ ἀπὸ τῶν πόνων οὐδὲν ὅ τι ἤλεγξέ τε καὶ ἐβασάνισεν, οὔτε ἱδρὼς οὔτε δάκρυα· ὕπνος δὲ πόρρω ὢν τοῦ ἐλέγχειν καὶ μᾶλλόν τι προστίθησι ταῖς γε ἐρρωμέναις. καὶ οὔπω λέγω ὅτι καὶ ταῦτα πάντα εἰς τὰ ἔκγονα ἀναφέρεται, καὶ τοιαῦτα ἐγένετο παιδία, ὁποῖά ποτ' ἂν ἡ γυνὴ καὶ λούσηται καὶ γυμνάσηται καὶ ἀμφιάσηται, μαλακὰ μέν, εἰ μαεὐδαιμόνως διάγοιεν τὸν βίον. ὅστις μὲν ἐργάζεται καὶ ἀπὸ τῶν ὤμων ἀποζῇ οὐδὲ ποθεῖ θεραπείας ἱκανὰ αὐτῷ καὶ τῇ γυναικὶ ἐργαζόμενος, οὗτος εἰ σφόδρα γυναικὸς ἐπιθυμεῖ, ἀγαθῇ τύχῃ γαμείτω· ὅστις δὲ καὶ ἔτι μᾶλλον πένης ὢν οὐ ταῦτα ὁρᾷ ἀλλὰ κἀκεῖνα, εἰ νοσήσαι αὐτὸς πόθεν ἂν θρέψαι τὴν γυναῖκα, τούτῳ δὴ οὐκέτι ῥᾴδιόν ἐστι τῷ ἀνθρώπῳ συμβουλεῦσαι γαμεῖν· ἦ γὰρ δὴ πολλάκις κλαύσεται ἡ γυνὴ τὴν ἀπορίαν, καὶ ἀναμνήσει τοῦ κακοῦ ἐνίοτε ἐπιλελησμένον. καὶ ὑγιείας μὲν δὴ παρούσης ταῦτα εὐκόλως ἐνεγκεῖν ἔστιν, ἐν δὲ νόσοις καὶ ταλαιπωρίαις τοῦ σώματος πένητα ὄντα τινὰ δύο νόσω νοσεῖν ἔστιν. ἀλλ' ἐπεὶ τῶν σφόδρα πενήτων ἐμνημονεύσαμεν. Ἐν ταὐτῷ. Μὴ λανθανέτω δέ σε ἡ γυνὴ ἐσθῆτα μὲν μείζονος οὐδὲν ὑγιὲς ἐν τούτοις ἔνεστι, καὶ οὐ δεῖ πρὸς ταῦτα οὔτε Μελάμποδος οὔτε Τειρεσίου. ὃ δὲ τῶν φίλων μοί τις ἀπεμνημόνευσε τῶν γεγαμηκότων καὶ ..... τοῦτο δὲ τοιοῦτον ἦν· ἐν ὕπνῳ καὶ ἐν τῇ εὐνῇ μάλιστα οἱ ἄνδρες ἐξαπατώμεθα. φυλακτέον δὲ ἐσπέρας μὲν κολακείας, προσετίθει ἐκεῖνος, ἔωθεν δὲ θορύβους καὶ κραυγάς. Ἐν ταὐτῷ. Φυλακτέον δὲ καὶ περὶ γυναικῶνα τὰς φιλίας τε καὶ συνηθείας, τὸ τοῦ Εὐριπίδου μεμνημένους. ἡ γὰρ δὴ ἐξαμαρτάνουσα οὐχ αὑτὴν ἔλεγεν αἰτίαν, ἀλλ' ἐκείνας ἃς τραγῳδεῖ· 'κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν'. χρηστὸν δὲ καὶ τό 'μετὰ τῶν σύ γε πῖνε καὶ ἵζανε', παρ' ὧν τι φησὶ καὶ χρηστὸν ἂν ἀπολαύσαις. καὶ ταῦτα οὐκ ἐγώ, πάντες δὲ ποιηταί τε καὶ λογοποιοὶ γράφουσιν. φυλακτέον δὲ μᾶλλον τῷ ἐμῷ λόγῳ καὶ τὰς πρεσβύτιδας· αὗται γὰρ ἱκαναί γε τὰς νεότητας μακαρίζειν, καὶ ὡς δὴ ἔμπεινέας καὶ παρὰ τὰς πρεσβύτιδας· αἱ μὲν γὰρ οὐκ ἂν ἀηδῶς ἔχοιεν πρὸς τοὺς ἐρῶντας καὶ τοὺς φιλοῦντας δῆθεν, αἱ δὲ δὴ πρεσβύτιδες ἐνταῦθά που ἀεὶ τούτῳ τῷ ἀκολάστῳ συναγορεύουσιν. Ἐν ταὐτῷ. Ἀλλ' ἐρῶ περὶ σωφροσύνης πάλιν· τοὺς οἰκέτας ἐθιστέον οὕτως ὁμιλεῖν, ὅπως μηδενὶ ἐξέστω αὐτῶν πρὸς τὸ οὗς αὐτῇ διαλέγεσθαι λάθρᾳ, ἐνίοτε δὲ καὶ σοῦ βλέποντος· ὃ γὰρ ἀκούειν οὐκ ἄγαν τὸν ἄνδρα λυσιτελεῖ, ἄδικον 〈ὂν〉 καὶ ἄνισον, ἀλλ' ἐκείνῃ γε ταῦτα συμφέρει; ὁπότε δὲ ἐν οἰκίᾳ τὸ λάθρᾳ διαλέγεσθαι ἀπήλλακται, πολλὴ ἐλπίς ἐστι μὴ ἄν τινα τολμῆσαι τῶν θεραπόντων μοιχικόν τινα λόγον τῇ δεσποίνῃ διακονήσασθαι· ἀκοῦσαι γὰρ ἀνάγκη τὸν δεσπότην, εἰ νόμος ἐστὶ πάντα φανερῶς διαλέγεσθαι. οἶδα μὲν οὖν καὶ ταῦτα ἅπαντα ἰσχύοντα πρὸς τὸ ποιῆσαί τινα βιοῦν σωφρόνως· ὅμως δὲ οὐδὲν οὕτως καὶ τὸ ἀκόλαστον τῆς μοιχείας καὶ ἄδικον, καὶ ὡς ἀδοξία μὲν ἐν γυναιξὶν ἀδοξία δὲ ἐν ἀνδράσι, καὶ ὡς ὅ τι δήποτέ ἐστιν ἡ πίστις, ἐξ ἀνθρώπων τοῦτο οἴχεται ὑπὸ σοῦ· ὃ δὲ ἔτι βαρύτερον, τὸ μὴ μόνον νόθους γίνεσθαι παῖδας, ἀλλ' εἶναι τούτους ἐξ ἀκολασίας καὶ ὕβρεως γεγονότας. ταῦτα αὐτῇ λεκτέον, καὶ φοβείσθω τὸ ὄνομα τῆς μοιχείας, εἴ γε αὐτῇ μέλει ζῆν καὶ μὴ ἀποσφάττεσθαι. καὶ ταῦτα οὕτω λεκτέον ἐπιτείνοντά τε καὶ εἰδότα, ὡς πολὺ ἔτι ἀτοπωτέρων ἐρῶσιν, οἷον οὐ ξένων νανίσκων, ἀλλ' (οὐδὲ εἰπεῖν καλόν) οἵου φασὶ τὴν Πασιφάην ἐρασθῆναι θρέμματος. λεκτέον δὲ οὕτως εἰδότα ὡς οὐδεμία μηχανὴ κρατῆσαι τῶν γυναικῶν, κἀκεῖνο ὡς εἰσι πάντων τέχνας τε ἐξευρεῖν καὶ πλέξαι σοφώταται· εἰ δὲ ἀπιστεῖς, ἀναγίγνωσκε τὰς τραγῳδίας, ὁπόσα ἐποίησαν ἢ ἐβουλεύσαντο γυναῖκες ἐπιθυμίᾳ ξένων ἀφροδισίων. σωφροσύνην μὲν οὖν ὧδε ἐξασκητέον· διδακτέον δὲ ἃ διδάσκεσθαι χρὴ γυναῖκα, καὶ μάλιστα τὴν σωφροσύνην αὐτῆς φυλάξει τὰ ἀνδρὶ ἢ γυνὴ εὔνους καὶ ὅσα χρὴ ἀνδρὶ ἐρρωμένῳ εἰδυῖά

τε καὶ διακονουμένη; τί δὲ ἄλλο οὕτω περισπούδαστον ἂν εἴη 〈ἢ εἰ〉 νοσοῦντα αὐτὴ θεραπεύοι; καὶ εἴ τε ἀγαθὴ εἴη καὶ βελτίστη, οὐδὲν ἄλλο ἐγὼ κτῆμα οἰκίας ἀγαθόν τε καὶ πολλοῦ λόγου ἄξιον εὑρίσκω. ἀλλὰ καὶ ἄξιόν γε τὴν γυναῖκα οὕτως ἔχειν· οὐ γὰρ ἄλλῳ τινὶ ἢ τῇ γυναικὶ νυκτός τε καὶ μεθ' ἡμέραν ἀνὴρ προσαναπαύεται, καὶ πρὸς ἄλλον οὐδένα τῶν ἐν τῇ πόλει τὰ ἀπόρρητα ὅσαπέρ ἐστιν αὐτῷ διαλέγεται, ἀλλὰ μόνῃ τῇ γυναικί, καὶ ἐν ἴσῳ ὥσπερ ἂν ἑαυτῷ. οὐ γυνὴ μέντοι ἐστὶν ἡ ὁπόταν φίλη τε καὶ εὔνους ᾖ μάλιστα σεαυτὸν εὐφραίνουσα, ἥκιστα δὲ ἀνιῶσα; οὐχ αὕτη ἐστὶν ἡ καὶ παῖδάς σοι αὐτὴ τεξομένη; οὐχ αὕτη ἐστὶν ἡ πόθον πρώτη ἔχουσά σου ἀποθανόντος, κἂν ὁ πατὴρ κἂν ἡ μήτηρ λυπεῖσθαι Διογένους (Trag. gr. fr. p. 775 N. 2). Μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι παῖδας παρασπίζοντας ἀλκίμους ἔχει. Εὐριπίδου Μελεάγρῳ (fr. 518 N. 2). Καὶ κτῆμα δ', ὦ τεκοῦσα, κάλλιστον τόδε, πλούτου δὲ κρεῖσσον· τοῦ μὲν ὠκεῖα πτέρυξ, παῖδες δὲ χρηστοί, κἂν θάνωσι, δώμασιν καλόν τι θησαύρισμα τοῖς τεκοῦσί τε ἀνάθημα βιότου κοὔποτ' ἐκλείπει δόμους. Εὐριπίδου Οἰνεῖ (fr. 566 N. 2). Ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων· κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ. Μενάνδρου (fr. 655 K.). Εὐριπίδου Δανάῃ (fr. 316 N. 2). Γύναι, καλὸν μὲν φέγγος ἡλίου τόδε, καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον, γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ, πολλῶν τ' ἔπαινον ἐστί μοι λέξαι καλῶν· ἀλλ' οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλὸν ὡς τοῖς ἅπαισι καὶ πόθῳ δεδηγμένοις παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος. Μενάνδρου (fr. 603 K.). Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρί, ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα τῶν ἐξ ἑαυτοῦ. Εὐριπίδου (Herc. 1261 s.). Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους Μενάνδρου Ἐμπιμπραμένη (fr. 157 K.). Ὡς 〈ἔστ'〉 ἀγαθόν τι πρᾶγμα τὸ γενέσθαι τινὸς πατέρα. Δικαιογένους. *** (Eur. Or. 542 s.) Ζηλωτὸς ὅστις εὐτύχησεν ἐν τέκνοις καὶ μὴ 'πισήμοις συμφοραῖς ὠδύρατο. Εὐριπίδου ἐν Πρωτεσιλάῳ (fr. 652 N. 2). Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός. Ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτων. Ἡ Λάκαινα πρός τινα Ἰωνικὴν δείξασαν αὐτῇ τὸν κόσμον ἀντεπέδειξε τὰ τέκνα εἰποῦσα 'ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος'. Πλάτωνος (Symp. p. 208 A—B). Τούτῳ τῷ τρόπῳ πᾶν τὸ θνητὸν σῴζεται, οὐ τῷ οὖν θαύμαζε, εἰ τὸ αὑτοῦ ἀποβλάστημα φύσει ἅπαν τιμᾷ· ἀθανασίας γὰρ ἅμα καὶ εὐδαιμονίας εἰς τὸν ἀεὶ χρόνον παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ ἔρως ἔπεται. (De re publ. p. 467 B) Ἀλλὰ μὴν μάχεταί γε πᾶν ζῷον διαφερόντως παρόντων ὧν ἂν τέκῃ. Ἱεροκλέους (p. 55 de Arn.). Ἐν δὲ τῷ περὶ τοῦ γάμου καὶ τῆς παιδοποιίας τόπῳ θετέος ἐστὶ καὶ ὁ τῆς πολυτεκνίας λόγος. κατὰ φύσιν γάρ πως καὶ ἀκόλουθον τῷ γάμῳ τὸ πάντα ἢ τά γε πλεῖστα τῶν γεννωμένων ἀνατρέφειν· ἀλλ' ἐοίκασιν οἱ πλείους ἀπειθεῖν τῇ παραινέσει δι' αἰτίαν οὐ μάλα πρεπώδη. διὰ γὰρ φιλοπλουτίαν καὶ τὸ πάμμεγα κακὸν ἡγεῖσθαι τὴν πενίαν τοῦτο πάσχουσι. πρῶτον μὲν δὴ λογιστέον, ὡς οὐχ ἑαυτοῖς μόνον παραστάτας καὶ γηροβοσκοὺς καὶ πάσης τύχης τε καὶ περιστάσεως κοινωνοὺς γεννῶμεν, οὐδ' ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν γονέων ἡμῶν κατὰ πολλά γε. καὶ γὰρ εὐχαριστίαν ἔχει πρὸς αὐτοὺς ἡ παιδοποιία τῷ, κἂν εἴ τι πάθοιμεν ἡμεῖς πρότερον, καταλείπειν ἐκείνοις ἀνθ' ἡμῶν αὐτοὺς γηροβοσκούς. καλὸν δὲ πάππος ὑπὸ σφετέρων ἐκγόνων χειραγωγούμενός τε καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιούμενος· εργήσομεν· εὐθὺ γὰρ ὅτε πρῶτον περὶ τὴν ἡμετέραν εἶχον γένεσιν, διανοίᾳ χρώμενοι τοῦ χύσιν αὐτῶν εἰς πλεῖστον λαβεῖν τὴν διαδοχὴν καὶ παῖδας ἐκ παίδων ὑπολιπέσθαι, καὶ γάμου προὐνόησαν καὶ τῆς ἡμετέρας σπορᾶς καὶ ἀνατροφῆς. ὅθεν γαμοῦντες μὲν καὶ παιδοποιούμενοι πράττοιμεν ἂν οἷον μέρη τῆς ἐκείνων εὐχῆς· τὰ δ' ἐναντία φρονήσαντες ἐγκόπτοιμεν ἂν αὐτῶν τῇ προαιρέσει. καὶ μὴν κινδυνεύει πᾶς ὁ θελοντὴς καὶ περιστάσεως ἄνευ γάμον ἐκκλίνων καὶ παιδοποιίαν παρανοίας κρίνειν τοὺς ἑαυτοῦ γονέας, ὡς οὐ σὺν ὀρθοῖς λογισμοῖς περὶ γάμου πεπραγματευμένους. ἔνθα δὴ καὶ τὴν ἀνομολογίαν φωράσειεν ἄν τις εὐπετῶς. πῶς γὰρ οὐ μάχης πλῆρες εὐαρεστεῖν μὲν τῷ ζῆν καὶ μένειν ἐν αὐτῷ, ὡς καθηκόντως εἰς τὸν βίον ὑπὸ τῶν σπειράντων παρηγμένον, τὸ δ' αὐτὸν ἑτέρους γεννῆσαι τῶν ἀδοκίμων ὑπολαμβάνειν; ἀλλὰ γὰρ πρῶτον μέν, ὡς ἔφην, ἐντεθυμῆσθαι χρή,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διότι γεννῶμεν οὐχ ἑαυτοῖς μόνον ἀλλὰ καὶ τοῖς δι’ οὓς γεγόναμεν αὐτοί· ἔπειτα καὶ ὑπὲρ φίλων τε καὶ συγγενῶν. κεχαρισμένον γὰρ καὶ τούτοις ἐστὶ παῖδας ἐξ ἡμῶν ἰδεῖν, διά τε τὴν εὔνοιαν καὶ οἰκειότητα καὶ δὴ καὶ διὰ τὴν ἀσφάλειαν. διορμίζεται γὰρ ὑπὸ τοῦ τοιούτου τοῖς προσήκουσιν ὁ βίος ἀνάλογον ταῖς ἐπὶ πολλῶν ἀγκυρῶν σαλευούσαις ναυσίν. ὅθεν κατὰ τὸν φιλοσυγγενῆ καὶ φιλεταῖρόν ἐστιν ἡ περὶ γάμον καὶ τέκνα σπουδή. παρακαλεῖ ἑαυτοῖς οὕτως ὡς τῇ πατρίδι φυτεύομεν παῖδας, τῆς μεθ’ ἡμᾶς προνοούμενοι τάξεως καὶ τῷ κοινῷ παρέχοντες τοὺς διαδεξομένους ἡμᾶς. ὅθεν ὁ μὲν ἱερεὺς ἵστω τῇ πόλει τῇ ἑαυτοῦ ἱερέας ὀφείλων, ὁ δ’ ἄρχων ἄρχοντας, ὁ δὲ δημηγόρος δημηγόρους, καὶ ὡς ἁπλῶς εἰπεῖν, ὁ πολίτης πολίτας. καθάπερ οὖν χορῷ μέν ἐστι κεχαρισμένη ἡ τῶν χορευτῶν διαμονή, στρατεύματι δὲ ἡ τῶν στρατιωτῶν, οὕτω καὶ πόλει ἡ τῶν πολιτῶν. ἀλλ’ εἰ μὲν ἦν ὀλιγοχρόνιόν τι σύστημα πόλις ὅ τε βίος αὐτῆς κατὰ βίον ἀνθρώπου τὴν συμμετρίαν ἐλάμβανεν, οὐδὲν ἔδει διαδοχῆς· ἐπεὶ δ’ εἰς πολλὰς γενεὰς ἐξικνεῖται, δαίμονι δὴ εὐδαιμονεστέρῳ χρησαμένη καὶ εἰς μακροὺς αἰῶνας πόλις, φανερόν, ὡς οὐ τοῦ παρόντος ἐστοχάσθαι δεῖ μόνον, ἀλλὰ καὶ τοῦ μετέπειτα, τήν τε ἰδίαν μὴ περιορᾶν χώραν ἔρημον, ἀλλ’ ἐπ’ ἐλπίσιν ἱδρυμένην ταῖς ἀπὸ τῶν ἡμετέρων τέκνων. Μουσωνίου ἐκ τοῦ Εἰ πάντα τὰ γινόμενα τέκνα θρεπτέον (Muson. rel. p. 77 H.). Οἱ δὲ νομοθέται, οἷς αὐτὸ τοῦτο γέγονεν ἔργον ζητεῖν καὶ σκοπεῖν, τί μὲν ἀγαθὸν πόλει τί δὲ κακόν, καὶ τί μὲν ὠφελεῖ τί δὲ βλάπτει τὸ κοινόν, οὐχὶ δὲ καὶ οὗτοι πάντες συμφορώτατον μὲν ταῖς πόλεσιν ἐνόμισαν τὸ πληθύνεσθαι τοὺς τῶν πολιτῶν οἴκους, βλαβερώτατον δὲ τὸ μειοῦσθαι; καὶ ἀπαιδίαν μὲν ἢ ὀλιγοπαιδίαν τῶν πολιτῶν ὑπέλαβον εἶναι ἀλυσιτελές, τὸ δὲ ἔχειν παῖδας καὶ νὴ Δία πολλοὺς ἔχειν εἶναι λυσιτελές; τοῦτο μὲν γὰρ ἀμβλίσκειν ἀπεῖπον ταῖς γυναιξὶ καὶ ταῖς ἀπειθούσαις ζημίαν ἐπέθεσαν, τοῦτο δ’ ἀτοκίᾳ προστίθεσθαι καὶ τὴν κύησιν εἴργειν ἀπηγόρευσαν αὐταῖς, τοῦτο δὲ πολυπαιδίας ἔταξαν γέρα καὶ ἀνδρὶ καὶ γυναικί, καὶ τὴν ἀπαιδίαν ἐπιζήμιον κατέστησαν. πῶς οὖν οὐκ ἂν ἡμεῖς ἄδικα καὶ παράνομα δρῷμεν ἐναντία δρῶντες τῇ βουλήσει τῶν νομοθετῶν, θείων καὶ θεοφιλῶν ἀνδρῶν, οἷς ἔπεσθαι νομίζεται καλὸν καὶ συμφέρον; δρῷμεν δ’ ἂν ἐναντία τὴν πολυπαιδίαν τὴν ἑαυτῶν κωλύοντες. πῶς δ’ οὐχὶ καὶ εἰς τοὺς πατρῴους θεοὺς ἐξαμαρτάνοιμεν ἂν καὶ εἰς τὸν ὁμόγνιον Δία ταῦτα πράττοντες; ὥσπερ γὰρ ὁ περὶ ξένους ἄδικος εἰς τὸν ξένιον ἁμαρτάνει Δία καὶ ὁ περὶ φίλους εἰς τὸν φίλιον, οὕτως ὅστις εἰς τὸ ἑαυτοῦ γένος ἄδικος, εἰς τοὺς πατρῴους ἁμαρτάνει θεοὺς καὶ εἰς τὸν ὁμόγνιον Δία, τὸν ἐπόπτην τῶν ἁμαρτημάτων τῶν περὶ τὰ γένη· ὁ δέ γε περὶ τοὺς θεοὺς ἁμαρτάνων ἀσεβής. καὶ μὴν ὅτι καλὸν καὶ λυσιτελὲς παίδων ἀνατροφὴ πολλῶν, μάθοι τις ἂν λογισάμενος, ὡς μὲν ἔντιμος ἐν πόλει πολύπαις ἀνήρ, ὡς δ’ αἰδῶ παρέχει τοῖς πλησίον, ὡς δὲ δύναται πλέον πάντων τῶν ὁμοίων, ἄν γε μὴ ὁμοίως παίδων εὐπορῶσιν. καθάπερ γάρ, οἶμαι, πολύφιλος ἀφίλου ἀνδρὸς δυνατώτερος, οὕτω καὶ πολὺ μᾶλλον ὁ πολύπαις τοῦ μὴ ἔμπαιδος ἢ τοῦ ὀλίγους κεκτημένου παῖδας, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ περ ἐγγύτερον υἱὸς ἑκάστῳ ἢ φίλος. ἄξιον δὲ νοῆσαι, ποῖόν τι καὶ θέαμά ἐστιν ἀνὴρ πολύπαις ἢ γυνὴ σὺν ἀθρόοις ὁρώμενοι τοῖς ἑαυτῶν παισίν· οὔτε γὰρ πομπὴν πεμπομένην θεοῖς οὕτω καλὴν θεάσαιτ’ ἄν τις οὔτε χορείαν ἐπὶ ἱεροῖς κόσμῳ χορευόντων οὕτως ἀξιοθέατον, ὡς χορὸν παίδων πολλῶν προηγουμένων ἐν πόλει πατρὸς τοῦ ἑαυτῶν ἢ μητρός, χειραγωγούντων τοὺς γονεῖς ἢ τρόπον ἕτερον περιεπόντων κηδεμονικῶς. τί μὲν τούτου κάλλιον τοῦ θεάματος; τί δὲ τῶν γονέων τούτων ζηλωτότερον, ἄλλως τε κἂν ἐπιεικεῖς ὦσι; τίσι δ’ ἂν ἄλλοις οὕτω προθύμως ἢ συνεύξαιτό τις ἀγαθὰ παρὰ θεῶν, ἢ συμπράξειεν αὐτοῖς εἰς Μενάνδρου (fr. 656 K.). Οὐκ ἔστιν οὐδὲν ἀθλιώτερον πατρός, πλὴν ἕτερος ἂν ᾖ πλειόνων παίδων πατήρ. Εὐριπίδου Οἰνομάῳ (fr. 571 N. 2). Ἀμηχανῶ δ’ ἔγωγε κοὐκ ἔχω μαθεῖν, εἴτ’ οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα θνητοῖσιν εἴτ’ ἄπαιδα καρποῦσθαι βίον. ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους, ὅσοισι δ’ εἰσίν, οὐδὲν εὐτυχεστέρους. καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος, κἂν αὖ γένωνται σώφρονες,

κακὸν μέγα, λυποῦσι τὸν φύσαντα μὴ πάθωσί τι. Μενάνδρου Ἐπικλήρῳ (fr. 166 K.). Ἢ δεῖ μόνον ζῆν ἢ γενόμενον πατέρα παίδων ἀποθανεῖν· Εὐριπίδου Ἀνδρομάχης (419 s.). Ψυχὴ τέκν'· ὅστις δ' αὖτ' ἄπειρος ὢν λέγει, ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ. Σοφοκλῆς Ἠλέκτρα (770 s.). Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς πάσχοντι μῖσος ὢν τέκῃ προσγίγνεται. Μενάνδρου Προεγκαλῶν (fr. 418 K.). Οἷον τὸ γενέσθαι πατέρα παίδων ἦν ... λύπη, φόβος, φροντίς, πέρας ἐστὶν οὐδὲ ἕν. Ὁμήρου (Od. I 215). Μήτηρ μέν τ' ἐμὲ φησὶ τοῦ ἔμμεναι, αὐτὰρ ἐγώ γε οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω. Μενάνδρου. *** (Eur. fr. 1015 N. 2). Σοφοκλῆς Ἀλεάδαις (fr. 83 N. 2). Παῦσαι· καταρκεῖ τοῦδε κεκλῆσθαι πατρός, εἴπερ πέφυκά γ'· εἰ δὲ μή, μείων βλάβη. τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ. Εὐριπίδου Μελανίππη (fr. 491 N. 2). Ἴστω δ' ἄφρων ὢν ὅστις ἄτεκνος ὢν τὸ πρὶν παῖδας θυραίους εἰς δόμους ἐκτήσατο, τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων. ᾧ γὰρ θεοὶ διδῶσι μὴ φῦναι τέκνα, οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν. Μενάνδρου Καρχηδονίῳ (fr. 261 K.). Αὐτὸς γὰρ οὐδεὶς οἶδε πῶς 〈ποτ'〉 ἐγένετο. Εὐριπίδου Ἐρεχθεῖ (fr. 359 N. 2). Θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ κρείσσω νομίζειν τῶν δοκημάτων χρεών. Δημοκρίτου (fr. 275 Diels 2). Τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται, τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρῃ ὀδύνῃ. Ἀριστίππου. Μεμφομένης αὐτῷ τῆς γυναικὸς ὅτι τὸν υἱὸν οὐ προσίεται, καὶ λεγούσης ὅτι ἐκ σοῦ εἴη, ἀποπτύσας 'καὶ γὰρ τοῦτο' εἶπεν 'ἐξ ἐμοῦ· ἀλλ' οὐδέν μοι χρήσιμόν ἐστιν'. Δημοκρίτου (fr. 276 Diels 2). Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα. Τοῦ αὐτοῦ (fr. 277 Diels 2). Ὅτεῳ χρήματά ἐστι παῖδα ποιήσασθαι, ἐκ τῶν φίλων τεύ μοι δοκεῖ ἄμεινον εἶναι. καὶ τῷ μὲν παῖς ἔσται τοιλει· καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, κἂν μάλιστα κατὰ φύσιν ἔποιτο. καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δέῃ. ἢν δέ τις ποιῆται ἀπὸ ἑωυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι. Τοῦ αὐτοῦ (fr. 278 Diels 2). Ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης. δῆλον δὲ καὶ τοῖς ἄλλοις ζῴοισι. πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν, ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα· ἀλλ' ὅταν γένηται, ταλαιπωρεῖ καὶ τρέφει ἕκαστον ὡς δύναται καὶ ὑπερδέδοικε, μέχρι σμικρὰ ᾖ, καὶ ἤν τι πάθῃ ἀνιᾶται. ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσα ψυχὴν ἔχει· τῷ δὲ δὴ ἀνθρώπῳ νομίζον ἤδη πεποίηται, ὥστε καὶ ἐπαύρεσίν τινα γίνεσθαι ἀπὸ τοῦ ἐκγόνου. Εὐριπίδου (fr. 318 N. 2). Γυνὴ μὲν ἐξελθοῦσα πατρῴων δόμων οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους. τὸ δ' ἄρσεν ἔστηκ' ἐν δόμοις ἀεὶ γένος θεῶν πατρῴων καὶ τάφων τιμάορον. Μενάνδρου (fr. 658 K.). Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηθὲν λαλῇ, διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει. Εὐριπίδου Ἰφιγενείᾳ (T. 57). Στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες. Μενάνδρου (fr. 60 v. 1 K.). Εὐδαιμονία τοῦτ' ἐστὶν υἱὸς νοῦν ἔχων. Μενάνδρου Ἀνεψιοῖς (fr. 60 v. 2 K.). Ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί. Μενάνδρου Ἁλιεῦσι (fr. 18 K.). Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον. Ποσειδίππου Ἑρμαφροδίτου (fr. 11 K.). Υἱὸν τρέφει πᾶς, κἂν πένης τις ὢν τύχῃ· θυγατέρα δ' ἐκτίθησι, κἂν ᾖ πλούσιος. Διφίλου (fr. 136 K.). Κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ. Σοφοκλῆς Ἀλεάδαις (fr. 84 N. 2). Ὁ δ' εἰ νόθος τις γνησίοις ἴσον σθένει· ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν. Εὐριπίδου Ἀντιγόνῃ (fr. 168 N. 2). Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση. Εὐριπίδου Εὐρυσθεῖ (fr. 377 N. 2). Εὐριπίδου Ἀνδρομέδας (fr. 141 N. 2). Ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν· τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς Καλλιμάχου (fr. 127 Schn.). Ἄρνες τοι, φίλε κοῦρε, συνήλικες, ἄρνες ἑταῖροι ἔσκον, ἐνιαυθμοὶ δ' αὔλια καὶ βοτάναι. Θεοκρίτου Βουκολικῶν (VIII 63 s.). Φείδευ τῶν ἀρνῶν, φείδευ, λύκε, τῶν ἐρίφων μευ, μηδ' ἀδικῇς μ', ὅτι μικρὸς ἐὼν πολλοῖσιν ὁμαρτέω. Βιότου ἐκ Μηδείας (cf. Com. III p. 366 K.). Τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις Εὐριπίδου Αὐγης (fr. 272 N. 2). Τίς δ' οὐχὶ χαίρει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νηπίοις ἀθύρμασιν; Εὐφορίωνος (fr. 107 Scheidweiler). Τέκνον, μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσῃς, ἠελίους ἥτις σε τριηκοσίους ἐφόρησα, τέκνον, ὑπὸ ζώνῃ, φοβερὰς δ' ὠδῖνας ἀνέτλην, εἰς φάος ἐρχομένου· λαρὸν δ' ἐπὶ χείλεσι πρώτη μαστὸν ἐπισχομένη λευκῷ 〈σ'〉 ἔψισα γάλακτι. Ἡρώδου Μιμιάμβων (fr. 62 Cr.). Ἦ χαλκέην μοι μυῖαν ἢ κύθρην παίζει, ἢ ταῖσι μηλάνθαισιν ἅμματ' ἐξάπτων τοῦ κεσκέου μοι τὸν γέροντα λωβῆται. Πομπηίου Μάκρου (Tr. gr. fr. p. 831 N. 2). Δεῦτ' ὦ τέκν', ὦ στερχθέντ' ὅσον πλεῖστον θέμις, ὦ πολλὰ τέρψαντ' οὐδὲ λυπήσαντά τι μητέρα· τί προσλάζυσθε κἀξαρτᾶσθέ μου; βούλεσθ' ἀθύρειν; παίζετ', ὦ νέαι φρένες· Εὐριπίδου Δανάης (fr. 323 N. 2). Τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς πηδῶν ἀθύροι, καὶ φιλημάτων ὄχλῳ ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ βροτοῖς φίλτρον μέγιστον, αἱ ξυνουσίαι, πάτερ. Σοφοκλέους Αἴαντι (550 ss.). Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος, τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός. καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω, ὁθούνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν· ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς. Εὐριπίδου Μηδείας (46 ss.). Ἀλλ' οἵ γε παῖδες ἐκ τρόχων πεπαυμένοι στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι

4.25 Θεόγνιδος (131 s.). Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον ἔπλεθ', ὅσοις ὁσίης, Κύρνε, μέμηλε δίκης. Εὐριπίδου Ἡρακλείδαις (cf. Eur. fr. 852 N. 2). Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει, ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος. Ἐν ταὐτῷ (Eur. Heraclid. 297 s. fr. 949 N. 2). Οὐκ ἔστι παισὶ τοῦδε κάλλιον γέρας ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν. Εὐριπίδου Ἐρεχθεῖ (fr. 358 N. 2). Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις· ἐρᾶτε μητρός, παῖδες, ὡς οὐκ ἔστ' ἔρως τοιοῦτος ἄλλος οἷος ἡδίων ἐρᾶν. Κλεαινέτου (fr. 1 p. 807 N. 2). Γεννητόρων ἕκατι κατθανεῖν καλόν. Δικαιογένους (fr. 4 p. 776 N. 2). Αὐτὸς τραφεὶς δὲ τῶν φυτευσάντων ὕπο καλῶς, τὸν αὐτὸν ἔρανον αὐτοῖσιν νέμεις. Ἀντιφάνους (fr. 261 K.). Ὅστις δ' ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι πρὸς τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστιν κακός. (Antiph. fr. 262 K.) (Trag. gr. fr. adesp. 544 N. 2). Τοῦ γὰρ πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει, ἡσσημένῳ δὲ δόξα νικητήριος. Φιλήμονος (fr. 156 K.). Ἔτεκές με, μῆτερ, καὶ γένοιτό σοι τέκνων ὄνησις, ὥσπερ καὶ δίκαιον ἔστι σοι. Ἰουλίου ἐκ τῶν εἰς τὸν Διόνυσον καὶ τὴν πατρίδα γραφέντων. Κάδμον δ' ἀραμένη τλήμων ἐξῆλθεν Ἀγαυὴ ὃν πατέρα τρομέοντα· φέρεν δέ μιν ὧν ὑπὲρ ὤμων γήραϊ κεκμηῶτα, καλῷ δ' ἐβαρύνετο φόρτῳ. Σοφοκλῆς ἐν Ἀντιγόνῃ (757). Εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν ς' οὐκ εὖ φρονεῖν. Πυθαγόρου ἐκ τῶν Χρυσῶν ἐπῶν (4 ed. Nauck). Τούς τε γονεῖς τίμα τούς τ' ἄγχιστ' ἐκγεγαῶτας. Ἀγάθωνος (fr. 28 p. 768 N. 2). Ἀλέξιδος (fr. 267 K.). Οὐκ ἠξίωσα καταλιπεῖν τὴν μητέρα, πρώτην δὲ σῴζειν· τοῖς γὰρ ὀρθῶς εἰδόσι τὰ θεῖα μείζω μητρὸς οὐκ ἔστιν ποτέ. ὅθεν ὁ πρῶτος οὐκ ἀπαιδεύτως ἔχων, ἱδρύσαθ' ἱερὸν μητρός, οὐ δείξας σαφῶς ποίας, ἐάσας δ' ὑπονοεῖν εἰς τοὔνομα. Μενάνδρου (fr. 586 K.). Αἰσχύνομαι τὸν πατέρα, Κλειτοφῶν, μόνον. ἀντιβλέπειν ἐκεῖνον οὐ δυνήσομαι ἀδικῶν· τὰ δ' ἄλλα ῥᾳδίως χειρώσομαι. Εὐριπίδου Ἀλκμέωνος (fr. 82 N. 2). Τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς μιάσματα. Διφίλου (fr. 93 K.). Εἰ τοῦ πατρὸς δόξαιμι κρεῖττόν σοι λέγειν, ἐμαυτὸν ἀδικῶ κοὐκέτ' εἰμὶ θεοσεβής, ὅτι τὸν κατασπείραντα λυπῶ κοὐ φιλῶ. Τιμοκλέους (fr. 34 K.). Ὅστις φοβεῖται τὸν πατέρα κᾀσχύνεται, Μενάνδρου (fr. 659 K.). Μηθὲν ὀδύνα τὸν πατέρα γινώσκων, ὅτι ὁ μέγιστα ἀγαπῶν δι' ἐλάχιστ' ὀργίζεται. Εὐριπίδου Ἀρχελάῳ (fr. 234 N. 2). Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ. Σοφοκλῆς Οἰδίποδι (tyr. 999). Τὰ τῶν τεκόντων ὄμματ' ἥδιστον βλέπειν. Ὁμήρου (Od. I 298 s.). Ἦ οὐκ ἀίεις ὅσσον κλέος ἔλλαβε δῖος Ὀρέστης πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα; Εὐριπίδου (Herc. 583). Δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα. Εὐριπίδου Ἀλκμέωνι (fr. 84 N. 2). Ἦ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ, εἰ μὴ 'πὶ τοῖς δεινοῖσιν ὠφελήσομεν; Σοφοκλέους Ἀκρισίῳ (fr. 61 N. 2). Ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει. Χαιρήμονος (fr. 33 p. 790 N. 2). Γένοιτό μοι τὰς χάριτας ἀποδοῦναι

πατρί. Μενάνδρου (fr. 805 K.). Εὐριπίδου (fr. 1064 N. 2). Ἀλλ' ἴσθ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος, τὸ μὴ οὐ σέ, μῆτερ, προσφιλῆ νέμειν ἀεὶ καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν. στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν μάλισθ'· ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει· κείνου γὰρ ἐξέβλαστον· οὐδ' ἂν εἷς ἀνὴρ γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός. Ὀρφέως (fr. 281 Abel). Ζεὺς δ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας, ἠδ' ὅσοι οὐκ ἀλέγουσιν ἀναιδέα θυμὸν ἔχοντες. καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι, τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται ἐμμενὲς αἰεί· δειναὶ γὰρ κατὰ γαῖαν Ἐρινύες εἰσὶ τοκήων. Εὐριπίδου Ἀλόπης (fr. 110 N. 2). Ἐγὼ δ', ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν ἐκ τοῦδε πρῶτον· πατρὶ πείθεσθαι χρεὼν παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην. Φιλήμονος (fr. 199 K.). Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν. Χαιρήμονος. (incerti poetae comici) Βεβαιοτέραν ἔχε τὴν φιλίαν πρὸς τοὺς γονεῖς. Μενάνδρου (fr. 806 K.). Δίκας γραφόμενος τοὺς γονεῖς μαίνῃ, τάλαν. Δικαιογένους (fr. 5 p. 776 N. 2). Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς. Πλάτωνος Νόμων ια′ (p. 930 E—931 A). Γονέων δὲ ἀμελεῖν οὔτε θεὸς οὔτ' ἄνθρωπος ξύμβουλος νοῦν ἔχων ποτὲ γένοιτ' ἂν οὐδεὶς οὐδενί. φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας τοιόνδε προοίμιον ἂν γενόμενον εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς ξυντεταγμένον· νόμοι περὶ θεοὺς ἀρχαῖοι κεῖνται πᾶσι διχῇ. τοὺς μὲν γὰρ τῶν θεῶν ὁρῶντες σαφῶς τιμῶμεν, τῶν δ' εἰκόνας ἀγάλματα ἱδρυσάμενοι, οὓς ἡμῖν ἀγάλλουσι καίπερ ἀψύχους ὄντας, ἐκείνους ἡγούμεθα τοὺς ἐμψύχους θεοὺς πολλὴν διὰ ταῦτ' εὔνοιαν καὶ χάριν ἔχειν. πατὴρ οὖν ὅτῳ καὶ μήτηρ ἢ τούτων πατέρες ἢ μητέρες ἐν οἰκίᾳ κεῖνται κειμήλιοι ἀπειρηκότες γήρᾳ, μηκατὰ τρόπον γε ὀρθῶς αὐτὸ θεραπεύῃ ὁ κεκτημένος. Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος (p. 4 E). Σὺ δὲ δὴ πρὸς Διός, ὦ Εὐθύφρων, οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν θεῶν ὅπῃ ἔχει, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων, ὥστε τούτων οὕτω πραχθέντων ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρὶ ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων; Ἰσοκράτους πρὸς Δημόνικον (§ 14 p. 4 E). Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας. Ἀναξιμένους. (fr. 24 p 39 Muell.) Οὗτος γὰρ μάλιστα πάντων φιλοπάτωρ ἐστίν, ὅστις ζητεῖ δι' οὗ μηδὲν λυπήσας τὸν πατέρα πλεῖστ' αὐτὸς εὐφράναιτ' ἄν. τί γάρ ἐστι δικαιότερον ἢ τοὺς γενέσεως καὶ παιδείας αἰτίους ὄντας ἀντευεργετεῖν; Αἰλιανοῦ ἐκ τῆς Συμμίκτου ἱστορίας (p. 427 ed. mai. Herch.). Πρώτῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι φασὶ τὴν Αἴτνην τοὺς ἑαυτῶν πατέρας ἀράμενοι διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες, ἀνθ' ὧν καὶ ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου· τὸ γάρ τοι πῦρ θεόντων αὐτῶν διέστη καθ' ὃ μέρος ἐκεῖνοι παρεγίνοντο. Τοῦ αὐτοῦ (IX 33). Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι πλείονος χρόνου ἔστ' ἂν καὶ εἰς ἄνδρας ἀφίκετο. ὕστερον οὖν εἰς τὴν Ἐρετρίαν ἐπανῆλθεν, καὶ αὐτὸν ὁ πατὴρ ἤρετο, ὅ τι ἄρα μάθοι σοφὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ χρόνου. ὁ δὲ ἔφη δείξειν, καὶ οὐκ εἰς μακρὰν ἔδρασε τοῦτο. χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείναντος, ὁ δὲ τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν. Πλάτωνος (epist. VII p. 331 C). Πατέρα δὲ ἢ μητέρα οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι μὴ νόσῳ παραφροσύνης ἐχομένους, ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον, αὐτοῖς μὲν ἀρέσκοντα, ἐμοὶ δὲ μή, μήτε ἀπεχθάνεσθαι νουθετοῦντα 〈μήτε δὴ κολακεύοντά γε ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν〉 ἐκπορίζοντα, Πιττακοῦ. Πιττακὸς παρακαλούμενος υἱῷ καὶ πατρὶ διαιτῆσαι εἶπε πρὸς τὸν υἱόν 'εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ πατρός, κατακριθήσῃ· εἰ δὲ δικαιότερα, διὰ τοῦτο αὐτὸ ἄξιος εἶ κατακριθῆναι'. Σωκράτους. Ἀγνώμονι πατρὶ καθάπερ αὐστηρῷ νόμῳ συμπεριενεκτέον. Πλάτωνος. Πλάτων θρασυνόμενον ἰδών τινα πρὸς τὸν ἑαυτοῦ πατέρα 'οὐ παύσῃ μειράκιον' εἶπε 'τούτου καταφρονῶν. δι' ὃν μέγα φρονεῖν ἀξιοῖς;' Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. (Arist. Chii fr. 386 de Arn.) Οἱ ἄρτι ἐκ φιλοσοφίας πάντας ἐλέγχοντες καὶ ἀπὸ τῶν γονέων ἀρχόμενοι πάσχουσιν ὅπερ νεώνητοι κύνες· οὐ μόνον τοὺς ἄλλους ὑλακτοῦσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ καὶ τοὺς ἔνδον. Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων (Diels Vorsokr. 2 I p. 283). μένως ἑαυτὸν πρὸς ταῦτα παρασκευάζοντα. τὸ μένειν 〈ἐν〉 τοῖς πατρίοις ἔθεσί τε καὶ νόμοις ἐδοκίμαζον, εἰ καὶ μικρῷ χείρω τῶν ἑτέρων εἴη. Τοῦ αὐτοῦ (Plat. Leg. XI p. 930 E). Γονέων δὲ ἀμελοῦντι οὔτε θεὸς οὔτε ἄνθρωπος νοῦν ἔχων ξύμβουλός ποτε γένοιτ' ἂν οὐδεὶς οὐδενί. Τοῦ αὐτοῦ (p. 931 E). Πᾶς δὴ νοῦν ἔχων φοβεῖται καὶ τιμᾷ γονέων εὐχάς, εἰδὼς πολλοῖς καὶ πολλάκις ἐπιτελεῖς γινομένας. Τοῦ αὐτοῦ (p. 932 A). Τοῖς μὲν ἀγαθοῖς ἔρμαιον πρόγονοι γηραιοί, ζῶντες μέχρι τῶν ἐσχάτων τοῦ βίου, καὶ ἀπιόντες νέοις σφόδρα ποθεινοί, τοῖς δὲ κακοῖς εὖ μάλα φοβεροί. Πλάτωνος Νόμων δ′ (p. 717 B—718 A). Γονέων δὲ μετὰ ταῦτα τιμαὶ ζώντων· ὡς θέμις ὀφείλοντα ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα ὀφειλήματα, χρεῶν πάντων πρεσβύτατα, νομίζειν δέ, ἃ κέκτηται καὶ ἔχει, πάντα εἶναι τῶν γεννησάντων καὶ θρεψαμένων πρὸς τὸ παρέχειν αὐτὰ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν, ἀρχόμενον ἀπὸ τῆς οὐσίας, δεύτερα τὰ τοῦ σώματος, τρίτα τὰ τῆς ψυχῆς, ἀποτίνοντα δανείσματα ἐπιμελείας τε καὶ ὑπερπονούντων ὠδῖνας παλαιὰς ἐπὶ νέοις δανεισθείσας, ἀποδιδόντα δὲ παλαιοῖς ἐν τῷ γήρᾳ σφόδρα κεχρημένοις. παρὰ δὲ πάντα τὸν βίον ἔχειν τε καὶ ἐσχηκέναι χρὴ πρὸς αὐτοῦ γονέας εὐφημίαν διαφερόντως, διότι κούφων καὶ πτηνῶν λόγων βαρυτάτη ζημία. πᾶσι γὰρ ἐπίσκοπος τοῖς περὶ τὰ τοιαῦτα ἐτάχθη Δίκης Νέμεσις ἄγγελος. θυμουμένοις γε οὖν ὑπείκειν δεῖ καὶ ἀποπιμπλᾶσι τὸν θυμόν, ἐάν τε ἐν λόγοις ἐάν τε ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον, ξυγγιγνώσκοντα, ὡς εἰκότως μάλιστα πατὴρ ὑεῖ δοξάζων ἀδικεῖσθαι θυμοῖτ' ἂν διαφερόντως. τελευτησάντων δὲ γονέων ταφὴ μὲν ἡ σωφρονεστάτη καλλίστη, μήτε ὑπεραίροντα τῶν εἰθισμένων ὄγκων μήτ' ἐλλείποντα ὧν οἱ προπάτορες τοὺς αὐτῶν γεννητὰς ἐτίθεσαν, τάς τε αὖ κατὰ ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ὡσαύτως ἐπιμελείας τὰς κόσμον φερούσας ἀποδιδόναι, τῷ δὲ μὴ παραλείπειν μνήμην ἐνδελεχῆ παρεχόμενον, τούτῳ μάλιστ' ἀεὶ πρεσβεύειν, δαπάνης τε τῆς διδομένης ὑπὸ τύχης τὸ μέτριον τοῖς κεκμηκόσι νέμοντα. τοῦ βίου. Περικτιόνης Πυθαγορείας ἐκ τοῦ Περὶ γυναικὸς ἁρμονίας. Οὔτε λέξαι δεῖ κακὸν γονέας οὔτε ἔρξαι, πείθεσθαι δὲ 〈ἐν〉 σμικροῖσί τε καὶ μεγάλοισι γονεῦσιν, ἐν πάσῃ δὲ ψυχῆς τε καὶ σώματος τύχῃ καὶ τῶν 〈ἔσωθεν καὶ τῶν〉 ἔξωθεν, καὶ ἔν τε εἰρήνῃ καὶ πολέμῳ, καὶ ὑγιείῃ 〈καὶ νούσῳ〉, καὶ πλούτῳ καὶ ἀπορίῃ, καὶ δόξῃ καὶ ἀδοξίῃ, καὶ ἰδιώτῃσι καὶ ἄρχουσιν, ὁμουρέειν δεῖ καὶ φεύγειν μηδέποτε, πείθεσθαι δὲ μονονουκὶ καὶ μανίῃ· πεπνυμένα γὰρ ταῦτα καὶ κρήγυα τοῖσιν εὐσεβέσιν. εἰ δέ τις γονέας ὑπερφρονέοι ἐν ἰδέῃ κακῶν ἠτινιῶν, ταύτῃ καὶ ζώσῃ καὶ θανούσῃ ἁμαρτίη παρὰ θεοῖσι γράφεται, ὑπό τε ἀνθρώπων μισέεται, καὶ ὑπὸ γῆν μετὰ τῶν ἀσεβέων ἐν τουτέων τῷ χώρῳ δι' αἰῶνος κακοῖσι ἰαπτομένη ὑπὸ δίκης καὶ τῶν ἔνερθε θεῶν, οἳ τουτέων ἐπίσκοποι ἐτάγησαν τῶν πρηγμάμη 〈δὲ〉 θεοὺς 〈δυσ〉φορέειν, ὁκότε τοῦτο ὀρέωσι γιγνόμενον. καὶ ζῶντας ὧν καὶ ἀποιχομένους σέβειν χρὴ καὶ μηδέποτε ἀντιλεσχαίνειν, ἀλλ' ἢν καὶ ἀγνωμονέωσι νούσῳ ἢ ἀπάτῃ παρηγορέειν καὶ διδάσκειν, ἐχθρεύειν δὲ μηδαμῇ. μέζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων οὐκ ἂν γένοιτο ἢ ἐς πατέρας ἀσεβέειν. Μουσωνίου ἐκ τοῦ Εἰ πάντα πειστέον τοῖς γονεῦσιν (Muson. rel. p. 81, 14 H.). Νεανίας τις, ὃν ὁ πατὴρ φιλοσοφεῖν βουλόμενον ἐκώλυεν, ἤρετο αὐτὸν ὧδέ πως· Ἆρά γε, ὦ Μουσώνιε, χρὴ πάντα πείθεσθαι τοῖς γονεῦσιν, ἢ ἔστιν ἃ καὶ παρακουστέον αὐτῶν; Καὶ ὁ Μουσώνιος· Πείθεσθαι μέν, ἔφη, μητρὶ ἢ πατρὶ τῷ ἑαυτοῦ ἕκαστον φαίνεται καλόν, καὶ ἐπαινῶ ἔγωγε. τί μέντοι τὸ πείθεσθαί ἐστι, θεασώμεθα· μᾶλλον δὲ πρότερον τὸ ἀπειθεῖν ὁποῖόν τι, καὶ ὁ ἀπειθὴς ὅστις, καταμάθωμεν, εἶθ' οὕτως κρεῖττον ὀψόμεθα ὄν, ἆρά γε μὴ πράττων ἐκεῖνος τὸ προσταχθὲν ἀπειθεῖ τε καὶ ἀπειθής ἐστιν; ἀλλ' οὐκ ἔοικεν. τί δέ, εἴ του ὁ πατὴρ νοσῶν αὐτὸς οἶνον ἢ τροφὴν αἰτοίη παρὰ καιρόν, μέλλων εἰ λάβοι μείζω τὴν νόσον ποιεῖν, ὁ δὲ παῖς τοῦτο εἰδὼς μὴ διδοίη, ἆρά γε ἀπειθεῖ τῷ πατρί; οὐκ ἔστιν εἰπεῖν. καὶ πολύ γε τούτου ἧττον ἐκεῖνον, οἶμαι, φαίη ἄν τις ἀπειθῆ εἶναι, ὅστις πατέρα φιλοκερδῆ ἔχων, κελευόμενος ὑπ' αὐτοῦ κλέπτειν ἢ παρακαταθήκην ἀποστερεῖν, οὐχ ὑπουργεῖ

τῷ προστάγματι. ἢ οὐκ οἴει σύ τινας εἶναι πατέρας, οἳ τοιαῦτα τοῖς ἑαυτῶν παισὶ προστάττουσιν; ἐγὼ μὲν γὰρ οἶδά τινα οὕτω πονηρόν, ὅς γε υἱὸν ἔχων ὡραῖον τὴν ὥραν ἀπέδοτο αὐτοῦ. εἰ οὖν ἐκεῖνο τὸ μειράκιον τὸ πεπράμενον, πεμπόμενον ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν αἰσχύνην, ἀντέλεγε καὶ οὐκ ἀπῄει, πότερον ἀπειθὲς ἂν τὸ μειράκιον ἔφαμεν εἶναι ἢ σωφρονεῖν; ἢ οὐδὲ ἐρωτᾶν τοῦτό γε ἄξιον; καὶ γὰρ δὴ τὸ μὲν ἀπειθεῖν καὶ ὁ ἀπειθὴς λοιδορία ἐστὶ καὶ ὄνειδος, τὸ δὲ μὴ πράττειν ἃ μὴ χρὴ οὐκ ὄνειδος, ἀλλ' ἔπαινος. ὥστε εἴτε πατρὸς εἴτε ἄρχοντος εἴτε καὶ νὴ Δία δεσπότου προστάγματι μὴ ὑπουργεῖ τις κακὰ προστάττοντος ἢ ἄδικα ἢ αἰσχρά, οὐκ ἀπειθεῖ οὐδαμῶς, ὥσπερ οὐδ' ἀδικεῖ οὐδ' ἁμαρτάνει· ἀλλ' ἐκεῖνος ἀπειθεῖ μόνος ὁ τῶν εὖ καὶ καλῶς καὶ συμφερόντως προσταττομένων ἀφροντιστῶν καὶ παρακούων. ὁ μὲν οὖν ἀπειθὴς τοιοῦτός τίς ἐστιν· ὁ δ' εὐπειθὴς ἔχει μὲν ἐναντίως τούτῳ καὶ ἔστιν ἐναντίος, εἴη δ' ἂν ὁ τῷ τὰ προσήκοντα παραινοῦντι κατήκοος ὢν καὶ ἑπόμενος ἑκουσίως, οὗτος εὐπειθής. ὅθεν καὶ γονεῦσι τοῖς ἑαυτοῦ τότε πείθεταί τις, ὅταν χρηστὰ παραινούντων αὐτῶν ταῦτα πράττῃ ἑκών. ἐγὼ μέντοι κἂν μὴ παραινούντων τῶν γονέων πράττῃ τις ἃ χρὴ καὶ συμφέρει αὐτῷ, φημὶ τοῦτον πείθεσθαι τοῖς γονεῦσιν· καὶ ὅτι ὀρθῶς φημι, σκόπει οὕτως. ὁ γὰρ δὴ πράττων ἃ βούλεται ὁ πατὴρ καὶ τῇ βουλήσει τοῦ πατρὸς ἑπόμενος πείθεται, οἶμαι, τῷ πατρί· ὁ δὲ πράττων ἃ δεῖ καὶ ἃ κρεῖττόν ἐστι, τῇ βουλήσει ἕπεται τοῦ πατρός. τίνα τρόπον; ὅτι πάντες οἱ γονεῖς εὐνοοῦσι δήπου τοῖς ἑαυτῶν παισίν, εὐνοοῦντες δὲ βούλονται ἃ χρὴ καὶ συμφέρει πράττεσθαι ὑπ' αὐτῶν. ὅστις οὖν πράττει τὰ προσήκοντα καὶ τὰ συμφέροντα, πράττει οὗτος ἃ βούλονται οἱ γονεῖς. ὥστε πείθεται τοῖς γονεῦσι ταῦτα πράττων, κἂν μὴ τῷ λόγῳ κελεύωσιν αὐτὰ πράττειν οἱ γονεῖς. τοῦτο δὴ μόνον προσήκει σκοπεῖν, ὅστις βούλεται πείθεσθαι τοῖς γονεῦσιν, ἐφ' ἑκάστῳ τῶν πραττομένων, εἰ καλὸν πειθομένου τοῖς γονεῦσιν. μὴ τοίνυν σύ γε δείσῃς, ὦ νεανίσκε, ὡς ἀπειθήσεις τῷ πατρί, ἂν ἢ ἃ 〈μὴ〉 προσήκει δρᾶν κελεύοντος τοῦ πατρὸς ἀπέχῃ τοῦ ταῦτα δρᾶν ἢ ἃ προσήκει ἀπαγορεύοντος 〈τοῦ〉 ταῦτα μὴ δρᾶν. μηδέ σοι πρόφασις ἔστω τοῦ ἁμαρτάνειν ὁ πατὴρ ἢ κελεύων τι τῶν πράττεσθαι μὴ καλῶν ἢ ἀπαγορεύων τι τῶν καλῶν. οὐδεμία γὰρ ἀνάγκη σοι τὰ μὴ εὖ προσταττόμενα ὑπουργεῖν· καὶ τοῦτό μοι δοκεῖς οὐδ' αὐτὸς ἀγνοεῖν. οὔκουν ἀνέξῃ τοῦ πατρὸς ἐν μουσικοῖς, ἐὰν ἐκεῖνος οὐκ ἐπαΐων μουσικῆς προστάττῃ κρούειν ἀμούσως τὴν λύραν, ἢ ἐπιστάμενον γράμματα οὐκ ἐπιστάμενος κελεύῃ σε γράφειν καὶ ἀναγινώσκειν μὴ ὡς ἔμαθες, ἀλλ' ἑτέρως· οὐδέ γε ἂν ἐπιστάμενον κυβερνᾶν οὐκ ὢν κυβερνητικὸς κελεύῃ σε κινεῖν τὸ πηδάλιον ὡς οὐ προσήκει, οὐ προσέξεις αὐτῷ. τί οὖν; ταῦτα μὲν ταύτῃ ἔχει· ἂν δέ σε κωλύῃ φιλοσοφεῖν ὁ πατὴρ εἰδότα καὶ ἀκηκοότα ὁποῖόν τι φιλοσοφία ἐστίν, αὐτὸς ἀγνοῶν, ἆρά γε προσεκτέον αὐτῷ, ἢ μεταδιδακτέον μᾶλλον αὐτὸν ὡς οὐκ εὖ σοι παραινεῖ; ἐμοὶ μὲν οὕτω δοκεῖ. τάχα μὲν οὖν τις καὶ λόγῳ χρώμενος μόνῳ πείσειεν ἂν τὸν αὐτὸς αὑτοῦ πατέρα διανοεῖσθαι ᾗ προσήκει περὶ φιλοσοφίας, ἄν γε μὴ τέλεον τὸν πατέρα θεραπείαν ἅπασαν, κοσμιώτατος δὲ καὶ πραότατος, ἐν τῇ συνουσίᾳ ἥκιστα φίλερις ὢν ἢ φίλαυτος καὶ οὔτε προπετὴς οὔτε ταραχώδης οὔτ' ὀργίλος· ἔτι δὲ ἐγκρατὴς μὲν εἴη ἂν γλώσσης, γαστρός, ἀφροδισίων, καρτερικὸς δὲ πρὸς τὰ δεινὰ καὶ τοὺς πόνους· καὶ νοῆσαι μὲν ὅ τι καλὸν ἱκανώτατος, οὐχ ὑπερβαίνων δὲ τὸ φαινόμενον καλόν. ὅθεν καὶ τῶν μὲν ἡδέων ὑφήσεται τῷ πατρὶ πάντων ἑκών· τὰ δὲ ἐπίπονα πρὸ ἐκείνου δέξεται αὐτός. τοιοῦτον οὖν υἱὸν τίς μὲν οὐκ ἂν ἔχειν εὔξαιτο τοῖς θεοῖς; τίς δὲ ἔχων οὐκ 〈ἂν〉 ἀγαπήσειεν, δι' ὃν ὑπάρξειεν αὐτῷ ζηλωτὸν εἶναι καὶ μακαριστὸν πατέρα παρὰ τοῖς εὖ φρονοῦσι πᾶσιν; εἰ δ' οὖν, ὦ νεανίσκε, καὶ τοιοῦτος ὤν, ὁποῖος ἔσῃ πάντως, ἄν γε ἀληθῶς φιλοσοφῇς, οὐχ ὑπάξῃ τὸν πατέρα τὸν σὸν οὐδὲ πείσεις ἐπιτρέπειν σοι καὶ συγχωρεῖν ταῦτα πράττειν, ἐκεῖνο λόγισαι· ὁ πατὴρ ὁ σὸς κωλύει σε φιλοσοφεῖν· ὁ δέ γε κοινὸς ἁπάντων πατὴρ ἀνθρώπων τε καὶ θεῶν Ζεὺς κελεύει φθόνου παντὸς καὶ ἐπιβουλῆς ἁπάσης καθαρόν· ἵνα δὲ συντεμὼν εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ Διός. τὸ δέ γε εἶναι ἀγαθὸν τῷ φιλόσοφον εἶναι ταὐτόν ἐστιν. εἰ δὴ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πείθεσθαι [θεῷ] τῷ 〈πατρὶ τῷ σῷ〉 ἀνθρώπῳ ἕπεσθαι μέλλεις, εἰ δὲ φιλοσοφοίης, τῷ Διΐ, δῆλον ὡς φιλοσοφητέον σοι μᾶλλον, ἢ οὔ. ἀλλὰ νὴ Δία εἴρξει σε ὁ πατὴρ καὶ κατακλείσας ἕξει, ἵνα δὴ μὴ φιλοσοφῇς. ταῦτα μὲν ποιήσει ἴσως, τοῦ δέ γε φιλοσοφεῖν οὐκ ἀπείρξει σε μὴ βουλόμενον· οὐ γὰρ χειρὶ ἢ ποδὶ φιλοσοφοῦμεν οὐδὲ τῷ ἄλλῳ σώματι, ψυχῇ δὲ καὶ ταύτης ὀλίγῳ μέρει, ὃ δὴ διάνοιαν καλοῦμεν. ταύτην γε μὴν ἐν ὀχυρωτάτῳ ἵδρυσεν ὁ θεὸς ὥστε ἀόρατον εἶναι καὶ ἄληπτον, καὶ ἀνάγκης πάσης ἐκτὸς ἐλευθέραν καὶ αὐτεξούσιον. ἄλλως τε ἐὰν τύχῃ οὖσα χρηστή, οὐ δυνήσεταί σε κωλύειν ὁ πατὴρ οὔτε χρῆσθαι τῇ διανοίᾳ οὔτε ἃ χρὴ διανοεῖσθαι οὔτε ἀρέσκεσθαι μὲν τοῖς καλοῖς, μὴ ἀρέσκεσθαι δὲ τοῖς αἰσχροῖς· οὐδ' αὖ τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ ἐκκλίνειν. ταῦτα μὲν ποιῶν εὐθὺς φιλοσοφοίης ἄν, καὶ οὔτε τρίβωνα πάντως ἀμπέχεσθαι δεήσει σε οὔτε ἀχίτωνα διατελεῖν, οὐδὲ κομᾶν, οὐδ' ἐκβαίνειν τὸ κοινὸν τῶν πολλῶν. πρέπει μὲν γὰρ καὶ ταῦτα τοῖς φιλοσόφοις· ἀλλ' οὐκ ἐν τούτοις τὸ φιλοσοφεῖν ἐστιν, ἀλλ' ἐν τῷ φρονεῖν ἃ χρὴ καὶ διανοεῖσθαι. Πεμπέλου Θουρίου Πυθαγορείου ἐκ τοῦ Περὶ γονέων. Γονέων ἀμελὲν οὔτε δαίμων οὔτε ἄνθρωπος σύμβωλος ἄμποκα γένοιτό τινι σύμμετρον ψυχᾶς κεκταμένος ἐπιστάμαν. Διόπερ οὐθὲν ἂν 〈ποτὶ〉 θεῶ ξόανον τιμιώτερον ἔχοιμεν ἐν χρημάτων κτήσει πατέρος ἢ καὶ προπάτορος γήρᾳ παρειμένων ἢ καὶ ματέρων τὰν ἰδίαν δύναμιν ἐχουσᾶν. ὁκόταν γὰρ ἀγάλλῃ τις γέρασι καὶ τιμαῖς τὼς γενέτορας, ἀγαθὰ τίθητι θεός· καὶ γὰρ οὐδ' ἂν ἐπάκοος ἔπελεν αὐτῶν. σεμνὸν γὰρ καί τι θείας φύσιος πεπαμένον ἁμῖν τὸ τῶν φιτυσάντων ἵδρυμά ἐστι καὶ ζωόντων ναντίον· τὰ δ' οὐδ' ὁκότερα τῶνδε ἔρδει· ὥστε αἴκα δεόντως τις χρῆται πατέρι καὶ ματέρι καὶ προπάτορι καὶ οὔλως τοῖς ὁμοιορύσμοις, πάντων ποτὶ θεοφιλῆ μοῖραν πεπάσεται ἀγαλμάτων κυριώτατα. πᾶς δὴ νόον ἔχων τιμάτω καὶ σεβέτω καὶ δεδίτω γονέων εὐχὰς ἢ κατάρας, εἰδὼς πλεύνεσσι πολλάκις ἐπιτελέας συμβεβακυίας. τούτων ὧν οὕτως φύσει διακεκοσμαμένων, τοῖς μὲν ἔμφροσι καὶ κοσμίοις τῶν βροτῶν ἕρμαιον προγενέτορες γηραλέοι ζῶντες μέχρι τᾶς ἐσχάτας βιοτᾶς, καὶ ἀφέρποντες αἰζηοῖς [νέοις] σφόδρα ποθεινοί, ῥωμαλέοι ψυχᾷ [ποθεινὼ] ἐόντες διὰ τὸ πολλὰ εἰδέμεν, τοῖς δὲ φλαύροις καὶ ἀσυνέ- Ἱεροκλέους ἐκ τοῦ Πῶς χρηστέον τοῖς γονεῦσιν (p. 56 de Arn.). Μετὰ τὸν περὶ θεῶν καὶ πατρίδος λόγον τίνος μᾶλλον ἂν προσώπου μνησθείη τις πρῶτον ἢ γονέων; ὅθεν λεκτέον περὶ τούτων, οὓς δευτέρους καὶ ἐπιγείους τινὰς θεοὺς εἰπὼν οὐκ 〈ἂν〉 ἁμάρτοι τις ἕνεκά γε τῆς ἐγγύτητος, εἰ θέμις εἰπεῖν, καὶ θεῶν ἡμῖν τιμιωτέρους. προλαβεῖν δὲ ἀναγκαῖόν ἐστιν, ὡς μόνον μέτρον τῆς πρὸς αὐτοὺς εὐχαριστίας ἡ διηνεκὴς καὶ ἀνένδοτος προθυμία πρὸς τὸ ἀμείβεσθαι τὰς εὐεργεσίας αὐτῶν· ἐπεί τοί γε πολὺ καταδεέστερα, κἂν πάνυ πολλὰ πράξωμεν ὑπὲρ αὐτῶν. ἀλλ' ὅμως κινδυνεύει καὶ ταῦτ' ἐκείνων ἔργα τυγχάνειν, ὅτι καὶ ἡμᾶς τοὺς ταῦτα πράττοντας ἐκεῖνοι πεποιήκασιν. ὥσπερ οὖν τὰ ὑπὸ Φειδίου καὶ τῶν ἄλλων τεχνιτῶν ἀπεργασθέντα, εἴπερ καὶ αὐτὰ ἕτερά τινα κατεσκεύαζεν, οὐκ ἂν ὀκνήσαιμεν καὶ ταῦτα τῶν τεχνιτῶν ἔργα φάσκειν· οὕτως εἰκότως καὶ τὰ ὑφ' ἡμῶν δρώμενα αὐτῶν πραττόμενα τῶν γονέων [ἡμῶν ἔργα δι' οὓς καὶ ἡμεῖς γεγόναμεν]. πρὸς οὖν τὴν εὐμαρῆ τῶν ἐπ' αὐτοὺς καθηκόντων αἵρεσιν κεφαλαιώδη τινὰ χρὴ προβαλλομένους λόγον, τοῦτον ἐν προχείρῳ διηνεκὲς ἔχειν, ὡς οἱ γονεῖς ἡμῶν θεῶν εἰκόνες καὶ νὴ Δία θεοὶ ἐφέστιοι καὶ εὐεργέται καὶ συγγενεῖς δανεισταί τε καὶ κύριοι καὶ φίλοι βεβαιότατοι. θεῶν τε γὰρ εἰκόνες ὁμοιόταται καὶ ὑπὲρ τὰς τῶν τεχνῶν δυνάμεις καθιγμέναι τῆς ἐμφερείας. θεοί τε γὰρ ἑστιοῦχοι καὶ συνδίαιτοι ἡμῖν, ἔτι δ' εὐεργέται μέγιστοι καὶ παρεσχημένοι τὰ μέγιστα καὶ μὰ Δί' οὐχὶ μόνον ἃ ἔχομεν, ἀλλὰ καὶ ὁπόσα παρέχειν ἐβουλήθησαν ἄ τε καὶ εὔξαντο. πρὸς δὲ τούτοις συγγενεῖς ἔγγιστα καὶ τῆς πρὸς ἑτέρους αἴτιοι συγγενείας. δανεισταὶ δὲ τῶν τιμιωτάτων, μόνα ἀπαιτοῦντες ὧν καὶ ἡ ἀπόδοσις πάλιν ἐστὶν ἡμῶν εὐεργεσία. τί γὰρ τηλικοῦτον παιδὶ κέρδος, ἡλίκον ἐστὶ τὸ πρὸς τοὺς γειναμένους εὐσεβὲς καὶ εὐχάριστον; κύριοί γε μὴν δικαιότατα. τίνος γὰρ κτῆμα μᾶλλον εἴημεν 〈ἂν ἢ〉 ἐκείνων, δι' οὓς ἐσμέν; οὐ μὴν ἀλλὰ καὶ φίλοι καὶ

παραστάται διηνεκεῖς καὶ αὐτόκλητοι παντὸς καιροῦ καὶ πάσης περιστάσεως ἐπίκουροι. ἐπεὶ δὲ τῶν προκατηριθμημένων ἁπάντων τὸ ἐξοχώτατον ἦν ὄνομα γονεῦσι, καθὸ θεοὺς αὐτοὺς ἀπεκαλοῦμεν, τῇ τοιᾷδε ἐπινοίᾳ προσθετέον ἕτερον καὶ νομιστέον ἑαυτοὺς καθάπερ ἐν ἱερῷ τῇ οἰκίᾳ ζακόρους τινὰς καὶ ἱερέας, ὑπ' αὐτῆς κεχειροτονημένους καὶ καθιερωμένους τῆς φύσεως, ἐγκεχειρίσθαι τὴν τῶν γονέων θεραπείαν. ὅθεν καὶ διελόντες τῆς ἐπιμελείας τὸ μὲν εἰς σῶμα, τὸ δ' εἰς ψυχὴν, καθ' ἑκάτερον αὐτῶν μεθ' ἑκάστης προθυμίας, πείθεσθαί τε τῷ λόγῳ τι βουλόμενοι, τὸ καθῆκον ἐκπληρώσομεν. τοῦ μὲν οὖν σώματος εἵνεκα βραχὺς ὁ λόγος, εἰ καὶ ἀναγκαῖος· προνοήσομεν γὰρ τροφῆς αὐτῶν ἐλευθερίου καὶ πρὸς τὴν ἀσθένειαν τοῦ γήρως ἡρμοσμένης· ἔτι δὲ κοίτης καὶ ὕπνου ἀλείμματός τε καὶ λουτροῦ καὶ ἐσθῆτος καὶ ἁπαξαπλῶς τῶν ἕνεκα τοῦ σώματος ἀναγκαίων, ὡς κατὰ μηδὲν τούτων ἐνδείας ποτὲ πειραθεῖεν, μιμούμενοι τὴν αὐτῶν ἐκείνων περὶ τὴν ἡμετέραν ἀνατροφήν, ὅτ' ἦμεν νεογνοί, κηδεμονίαν· ὥστε προσαναγκάζειν ἑαυτοὺς καὶ μαντικόν τι 〈πρὸς τὴν ἐκείνων〉 προσφέρεσθαι θεραπείαν, κἀξευρίσκειν, εἴπερ αὐτοὶ μὴ λέγοιεν, πρὸς τίνα μάλιστα ῥέπουσιν αὐτοῖς αἱ προθυμίαι τῶν τῷ σώματι προσαγομένων. πολλὰ γὰρ αὖ κἀκεῖνοι περὶ ἡμῶν ἐμαντεύσαντο, πολλάκις ἀνάρθροις ἔτι καὶ κλαυθμώδεσι φωναῖς ὅτι μὲν δεόμεθα τινῶν σημηνάντων, τίνα δ' ἐστὶν ὧν δεόμεθα ἄξιοι τυγχάνειν εἰσὶ παρ' ἡμῶν, ταῦθ' ἡμᾶς διὰ τοῦ προπαρασχεῖν ἡμῖν διδάξαντες. ταῖς δὲ ψυχαῖς αὐτῶν παρασχετέον πρῶτον μὲν τὴν εὐθυμίαν, ἣ μάλιστα γένοιτ' ἂν ἐκ τοῦ συναναστρέφεσθαι νύκτωρ τε καὶ μεθ' ἡμέραν αὐτοῖς, εἰ μή τι κωλύοι, συμπεριπατοῦντας συναλειφομένους συνδιαιτωμένους. καθάπερ γὰρ τοῖς μακρὰν στελλομένοις ἀποδημίαν πρὸς εὐθυμίαν εἰσὶν ἐν τρόπῳ γινόμεναι προπομπίας τῶν οἰκειοτάτων τε καὶ φιλτάτων συναναστροφαί, τὸν αὐτὸν τρόπον καὶ τοῖς γονεῦσιν νενευκόσιν ἤδη πρὸς τὴν ἄφοδον ἐν τοῖς μάλιστα κεχαρισμέναι καὶ προσφιλεῖς εἰσιν αἱ τῶν τέκνων προσεδρίαι. καὶ μέντοι κἂν εἴ τί που γένοιντο παραμαρτάνοντες (ὁποῖα δὴ πολλὰ φιλεῖ γενέσθαι περὶ τοὺς πλείονας καὶ ἰδιωτικώτερον ἠγμένους), ἐπανορθωτέον μέν, ἀλλ' οὐ μετ' ἐπιπλήξεως μὰ Δία, καθάπερ ἔθος πρὸς τοὺς ἐλάττονας ἢ ἴσους ποιεῖν, ἀλλ' ὡς μετὰ παρακλήσεως, καὶ οὐχ ὡς δι' ἀμαθίαν ἁμαρτάνοντας, ἀλλ' ὡς παρορῶντας τῷ μὴ ἐφεστακέναι, πάντως δ' ἂν ἰδόντας εἴπερ ἐπέστησαν. ἀνιαραὶ γὰρ τοῖς τηλίκοις καὶ μάλιστα αἱ ἐκτενῶς νουθετήσεις, ἀναγκαία δὲ μετὰ παρακλήσεως καί τινος φιλοτεχνίας ἴασις τῶν παρορωμένων. φέρει δὲ ἐπὶ τὴν εὐθυμίαν αὐτοῖς καὶ τὸ τῶν ὑπηρεσίας λαμβάνοντες καὶ διακόνοις χρώμενοι τοῖς σφετέροις ἐκγόνοις. μάλιστα δ' ἂν εἴη γονεῦσι κεχαρισμένον καὶ τὸ φαίνεσθαι τιμῶντας τοὺς παῖδας, οὓς ἂν ἐκεῖνοι στέργωσιν καὶ περὶ πολλοῦ ποιῶνται. διὸ συγγενεῖς αὐτῶν στερκτέον καὶ ἐπιμελείας ἀξιωτέον, φίλους θ' ὡσαύτως καὶ δῆτα καὶ ἑκάστους τοὺς ἐκείνοις κεχαρισμένους. ἀφ' ἧς ἀφορμῆς εὕρεσις ἡμῖν ὑπογράφεται καὶ ἑτέρων πλειόνων καθηκόντων οὐ σμικρῶν οὐδὲ τῶν τυχόντων. ἐπεὶ γὰρ χάρις ἐστὶ γονεῦσι τῶν στεργομένων ὑπ' αὐτῶν κηδεμονία, μάλιστα δ' ἔχουσι πρὸς ἡμᾶς οὕτως, δῆλον ὡς οὐ τοῦ τυχόντος ἂν αὐτοῖς χαριζοίμεθα προνοοῦντες αὐτῶν. Ξενοφῶντος ἐν τῷ β' Ἀπομνημονευμάτων (II 2). Αἰσθόμενος δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν αὐτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, Εἰπέ μοι, ἔφη, ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; Καὶ μάλα, ἔφη ὁ νεανίσκος. Καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; Ἔγωγε, ἔφη· τοὺς γὰρ εὖ παθόντας ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. Οὐκοῦν δοκοῦσί σοι ἐν ἔφη. Ἤδη δέ ποτε ἐσκέψω εἰ ἄρα, ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον, οὕτω καὶ τὸ ἀχαριστεῖν πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον; Καὶ μάλα, ἔφη· καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. Οὐκοῦν, εἰ οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία; Συνωμολόγει. Οὐκοῦν ὅσῳ ἄν τις μείζω

ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; Συνέφη καὶ τοῦτο. Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐηργετημένους ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν· καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες. καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνεις, ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοί, μεστὰ δὲ τὰ οἰκήματα. φανεροὶ δ’ ἐσμὲν καὶ σκοπούμεν 〈οι〉, ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. καὶ ὁ μέν γε ἀνὴρ τήν τε συντεκνοποιοῦσαν ἑαυτῷ τρέφει καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν οὔτε γιγνῶσκον τὸ βρέφος, ὑφ’ ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν δυνάμενον, ὅτου δεῖται, ἀλλ’ αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπληροῦν καὶ τρέφει πολὺν χρόνον ἡμέρας καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα, εἴ τινα τούτων χάριν ἀπολήψεται. καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι 〈οἱ〉 παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς 〈τὸν〉 βίον διδάσκουσιν, ἃ δ’ ἂν οἴωνται ἄλλον ἱκανώτερον διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι. Πρὸς ταῦτα ὁ νεανίσκος εἶπεν· Ἀλλά τοι εἰ πάντα 〈ταῦτα〉 πεποίηκε καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν αὐτῆς δύναιτο ἀνασχέσθαι τὴν χαλεπότητα. Καὶ ὁ Σωκράτης, Πότερα δέ, ἔφη, οἴει θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι ἢ μητρός; Ἐγὼ μὲν οἶμαι, ἔφη, μητρὸς τῆς γε τοιαύτης. Ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τί σοι ἔδωκεν ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον; Ἀλλὰ νὴ Δία, ἔφη, λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. Σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης, οἴει ταύτῃ δυσάνεκτα καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ νυκτὸς πράγματα παρασχεῖν, πόσα δὲ λυπῆσαι κάμνων; Ἀλλὰ οὐδεπώποτε αὐτήν, ἔφη, οὔτε εἶπα οὔτε ἐποίησα οὐδὲν ἐφ’ ᾧ ἠσχύνθη. Τί δέ; οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὕτη λέγει ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις ἀλλήλοις τὰ ἔσχατα λέγωσιν; Ἀλλά, οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. Σὺ δ’ εὖ εἰδώς, ὅτι ἃ λέγει σοι ἡ μήτηρ [ὅτι] οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι οἷα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι; Οὐ δῆτα, τοῦτό γε, ἔφη, οὐκ οἶμαι. Καὶ ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, σὺ ταύτην εὔνουν τέ σοι οὖσαν καὶ ἐπιμελουμένην ὡς μάλιστα δύναται καὶ κάμνοντος, ὅπως ὑγιανεῖς τε καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φῄς; ἐγὼ μὲν οἶμαι εἰ τοιαύτην μὴ δύνασαι φέρειν, τἀγαθά σε οὐ δύνασθαι φέρειν. εἰπὲ τονι βουλήσῃ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται συλλήπτωρ καί, ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοη〈θῇ〉 σοι; Ἔγωγε, ἔφη. Τί δέ; συνοδοιπόρον ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέροι φίλον ἢ ἐχθρὸν γίγνεσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι; Ἔγωγε, ἔφη. Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας, ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον. ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξοντος; καὶ νὴ

Δία ἐάν τις τῶν γονέων καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι οὐκ ἐθέλωσιν εὖ ποιεῖν, τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντη ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ ποιήσας χάριν ἀπολήψεσθαι [σοφίας].

4.26 Μενάνδρου (fr. 660 K.). Οὐκ ἔστ' ἄκουσμ' ἥδιον ἢ ῥηθεὶς λόγος πατρὸς πρὸς υἱὸν περιέχων ἐγκώμιον. Τοῦ αὐτοῦ (fr. 661 K.). Οὐδέποτ' ἀληθὲς οὐδὲν οὔθ' υἱῷ πατὴρ εἴωθ' ἀπειλεῖν οὔτ' ἐρῶν ἐρωμένῃ. Εὐριπίδου Μελανίππη (fr. 500 N. 2). Ὅστις δ' ἄμεικτον πατέρ' ἔχει νεανίας στυγνόν τ' ἐν οἴκοις, μεγάλα κέκτηται κακά. Μενάνδρου (fr. 662 K.). Ὁ σκληρότερος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ. Μενάνδρου (fr. 663 K.). Υἱῷ προθύμως τἀξιούμενον ποῶν Εὐριπίδου Ἀλκμήνη (fr. 103 N. 2). Δεινόν τι τέκνων φίλτρον ἔθηκεν θεὸς ἀνθρώποις. Μενάνδρου Συναριστώσαις (fr. 445 K.). Πατὴρ δ' ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον. Θεοδέκτου (fr. 14 p. 806 N. 2). Γονέων τὰ τέκνα σῴζουσιν αἱ συμβουλίαι. Φιλήμονος (fr. 200 K.). Ἡδύ γε πατὴρ τέκνοις εἰ στοργὴν ἔχοι. Μενάνδρου (fr. 807 K.). Ἡδὺς πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων. Μενάνδρου (fr. 808 K.). Υἱὸς δ' ἀμείνων ἐστὶν εὐνοίᾳ πατρός. Μενάνδρου (fr. 749 K.). Ὡς ἡδὺ πρᾶος καὶ νεάζων τῷ τρόπῳ πατήρ. Μενάνδρου (fr. 730 K.). Χαιρήμονος (fr. 35 p. 790 N. 2). Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ. Ἱπποθόου (Hippothoontis fr. 4 p. 828 N. 2). Παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς. Εὐριπίδου Δίκτυϊ (fr. 339 N. 2). Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν φίλους ἔρωτας ἐκβαλόντ' αὐθαδίαν, παῖδάς τε πατρί· καὶ γὰρ οὐκ αὐθαίρετοι βροτοῖς ἔρωτες οὐδ' ἑκουσία νόσος. σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ, θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει. Ἐν ταὐτῷ (fr. 346 N. 2). Εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω, θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν. τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις. Ἐν ταὐτῷ (fr. 345 N. 2). Ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνα παισίν τε τοὺς τεκόντας, οὐδὲ συμμάχους ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους. Ἀντιφάνους (fr. 260 K.). Υἱῷ γὰρ ἀγαπητῷ τι πράττων πρὸς χάριν Ἀναχάρσιδος. Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οὐ παιδοποιεῖ, ἔφη 'διὰ φιλοτεκνίαν'. Εὐριπίδου ἐν Δίκτυϊ (fr. 338 N. 2). Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις, ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις. Σωκράτους. Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ ἐπιδάκνοντος. Διογένους. Διογένης ἐρωτηθεὶς τὸ πῶς δεῖ πατέρας καὶ υἱοὺς ἀλλήλοις προσφέρεσθαι, φησὶν εἰ μὴ περιμένοιεν αἰτηθῆναι ὑπ' ἀλλήλων, ἀλλὰ διδόντες φθάνοιεν. ἐπιεικῶς δ' ὁ πατὴρ διὰ τὸ προευεργετηκέναι, εἰ μὴ εὖ πάσχοι, ταχέως ἄχθεται· ὁ δὲ υἱὸς ἐντρυφᾷ καὶ οὐκ ἀξιοῖ αἰτεῖν. Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς (p. 363 C Dind.). Εὖ ἴστε, ὦ ἄνδρες, ὅτι ὁ φιλότεκνος ἀξιέπαινον πάθος ἐστὶ καὶ οὐκ ἔοικε τῷ φιλοχρημάτῳ ἢ τῷ φιλαργύρῳ. ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται καὶ ἔστιν· οὐ γὰρ ποιεῖ αὐτὰ ἡ φύσις, ἀλλ' ἡ μοχθηρία ἡ ἡμετέρα. τοῦτο δὲ ἄνωθεν αὐτῇ ἐνδέδεται ἐκ τοῦ οὐρανοῦ καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, ἣν ξυρράπτουσα ἀεὶ καὶ ξυγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον οὐκ ἀπολισθάνει εἰς τὸ μὴ εἶναι. ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ. Δημοκρίτου (fr. 279 Diels 2). Τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χρήματα, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες· ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χρήματα καὶ προθυμότεροι κτᾶσθαι καὶ ἀγωνίζονται ἀλλήλοισιν. ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ ὥσπερ ἰδίῃ οὐδ' εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῶ ἧσσον. Τοῦ αὐτοῦ (fr. 280 Diels 2). Ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν. Πλάτωνος ἐκ τοῦ Λάχητος (p. 185 A). Ἢ περὶ σμικροῦ οἴεσθε νυνὶ κινδυνεύειν καὶ σὺ καὶ Λυσίμαχος, ἀλλ' οὐ περὶ τούτου τοῦ

κτήματος, ὃ τῶν ὑμετέρων μέγιστον ὂν τυγχάνει; υἱέων γάρ που ἢ χρηστῶν ἢ τἀναντία γενομένων καὶ πᾶς ὁ οἶκος 〈ὁ〉 τοῦ πατρὸς οὕτως οἰκήσεται, ὁποῖοι ἄν τινες οἱ παῖδες γένωνται. — Ἀληθῆ λέγεις. —Πολλὴν ἄρα δεῖ προμήθειαν αὐτοῦ ἔχειν. Γαΐου ἐκ τοῦ κατὰ Ἀρτεμισίου. Ἀλλ' ὅταν ᾖ σωφροσύνη τὸ κρινόμενον, πάντες μὲν οἱ πρεσβύτεροι πατέρες, πάντες δὲ οἱ νεώτεροι συγγενεῖς, πᾶσαι δὲ αἱ κυήσασαι πώποτε μητέρες. τὸ γὰρ κοσμίους εἶναι τοὺς παῖδας καὶ σώφρονας μίαν καὶ κοινὴν ἁπάντων ἔχει συγγένειαν. Ξενοφῶντος ἐκ τῆς πρὸς Κρίτωνα ἐπιστολῆς (p. 788 Hercher). Εὖ γὰρ ἴσθι Σωκράτην πρὸς ἡμᾶς πολλάκις εἰπόντα, ὅτι οἱ τῶν υἱέων ἵνα πολλὴν μὲν ἔχωσιν οὐσίαν φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένωνται ἀμελοῦντες ἴσον πεπόνθασι τοῖς ἱπποτροφοῦσι καὶ τὰ μὲν πολεμικὰ οὐ διδάσκουσι, τροφὴν δὲ παμπόλλην παρεχομένοις. οὗτοι γὰρ πιοτέροις μὲν τοῖς ἵπποις χρήσονται, ἀπείροις δὲ ὧν χρή· εἶναι γὰρ ἵππου ἀρετὴν οὐ τὴν εὐσαρκίαν, τὴν δὲ κατὰ πόλεμον εὐτολμίαν καὶ ἐμπειρίαν. τὰ αὐτὰ δ' οὖν ἐξαμαρτάνειν καὶ τοὺς γῆν πολλὴν κτωμένους τοῖς υἱέσιν, αὐτῶν δὲ μὴ ἐπιμελομένους. ἃ γὰρ κεκτήσονται, πολλοῦ ἄξια νομισθήσεται, αὐτοὶ δὲ ὀλίγου. προσήκει δὲ τὸ φυλάττον τοῦ κτηθέντος ἀξιοτιμότερον εἶναι. καὶ τοίνυν ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκε· γνώμῃ γὰρ ἢ πλείω ἢ ἐλάττω γίνεται, ἀγαθῇ μὲν ἔμμετρα, ἐκμελεῖ δὲ καὶ ἀπαιδεύτῳ ὀλίγα. σὺ δὲ οὐδὲν πλείω τῶν ἀναγκαίων παρέχεις, ἃ τοῖς μὲν διὰ παιδεύσεως ἰοῦσιν ἀναγκαῖά τε καὶ πλούσια νομίζεται, τοῖς δ' ἀμαθέσι τὸ μὲν ἀλγεινὸν τῆς σαρκὸς

4.27 Μενάνδρου (fr. 809 K.). Ὡς ἡδύ γ' ἐν ἀδελφοῖσιν ὁμονοίας ἔρως. (Eiusdem: fr. 742 K.) Τὸν τῇ φύσει οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποεῖ. Εὐριπίδου Ἰφιγενείᾳ (Aul. 376 s.). Δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους μάχας θ', ὅταν ποτ' ἐμπέσωσιν εἰς ἔριν. Διφίλου (fr. 102 K.). Ἀνδρὸς φίλου γὰρ οἰκίαν καὶ συγγενοῦς (Hom. Od. XVI 97 s.) Ἤ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται. Σωτίωνος. Ἀθήνησι νεμόμενοι κοινὴν οὐσίαν Ἀχαιὸς καὶ Δῖος ἀδελφοὶ οὕτως εὐγνώμονες ἦσαν, ὥσθ' ὁ μὲν Ἀχαιὸς γεγυμνασιαρχηκὼς ἠξίου τῆς ὑπολοίπου οὐσίας τὸ ἀνάλωμα τὸ εἰς τὴν γυμνασιαρχίαν προστίθεσθαι τῷ Δίου μέρει· ὁ δὲ ἀντέλεγεν ὡς καὶ αὐτὸς ἄλλα τινὰ ἀνηλωκώς. Τοῦ αὐτοῦ. Καλλίας χειροτονηθεὶς ἵππαρχος νέος ὢν ἠξίωσεν ἐπιτραπῆναι αὐτῷ παραχωρῆσαι τῷ ἀδελφῷ Θεοφίλῳ· αὐτῷ γὰρ ἐπεῖναι ἡλικίαν. ὥστε καὶ εὐδοκίμησε καὶ ἐν τῷ ὑστέρῳ ἔτει πρῶτος ἐχειροτονήθη. Τοῦ αὐτοῦ. Οἱ ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν Πλουτάρχου ἐκ τοῦ Περὶ φιλαδελφίας (p. 479 A). Ὅτι χωρὶς ἀδελφῶν οὔτε 'πλούτου' φασὶν οὔτε 'τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος ἀρχᾶς' ἐστί τις χάρις καὶ ὄνησις. Τοῦ αὐτοῦ (cf. p. 480 D). Ὁ δισάδελφον μὴ φιλῶν οὐδὲ γονέας, οἳ εἰς ἀμφοῖν συνεβάλλοντο 〈γένεσιν〉. Τοῦ αὐτοῦ (p. 480 E). Οἱ χρηστοὶ παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἑαυτοὺς ἀγαπήσουσιν, ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἑαυτούς. ὀφείλοντες γὰρ τοῖς γονεῦσι διὰ πολλὰ χάριν, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν. Τοῦ αὐτοῦ (p. 480 F). Ὅτι τὰς Μούσας ὠνομάσθαι λέγουσι διὰ φιλαδελφίαν ὁμοῦ οὔσας. Τοῦ αὐτοῦ (p. 483 C). Πολυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ πρὸς αὐτὸν κονδύλῳ παίσας ἀπέκτεινε· καὶ οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλ' ἡμίθεος μᾶλλον σὺν τῷ ἀδελφῷ γενέσθαι. Θεοφράστου (Plut. l. c. p. 482 B). Θεόφραστός φησιν, ὅτι τοὺς μὲν ἀλλοτρίους οὐ φιλοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα φιλεῖν, τοὺς δὲ ἀδελφοὺς ἔμπαλιν. Εὐκλείδου (Plut. p. 489 D). Εὐκλείδης ὁ Σωκρατικὸς ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος 'ἀπολοίμην εἰ μή σε τιμωρησαίμην'· 'ἐγὼ δέ' εἶπεν 'εἰ μή σε 〈πείσαι〉 μι φιλεῖν ἡμᾶς'. Σκιλούρου (Plut. Apophth. reg. et imp. p. 174 F). καθ' ἓν αὐτὸς ἕλκων ἀκόντιον πάντα ῥᾳδίως ἔκλασε, διδάσκων ἐκείνους, ὅτι συνεστῶτες καὶ ὁμονοοῦντες ἰσχυροὶ διαμενοῦσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες. Σωτίωνος. Φιλάδελφον καὶ πένητα λέγεσθαι κρεῖσσον, ἢ μισάδελφον καὶ πλούσιον. Τοῦ αὐτοῦ. Κύνα μὲν χαλεπὸν ὄντα ἐπιχειρεῖς πραΰνειν,

ὅπως σοι πρᾶος ᾖ, τὸν ἀδελφὸν δὲ οὔ; Ἀριστίππου. Ἀρίστιππος ἔφησε πρὸς τὸν ἀδελφόν ‘μέμνησο ὅτι τῆς μὲν διαστάσεως σὺ ἤρξω, τῆς δὲ διαλύσεως ἐγώ‘. Ἱεροκλέους ἐκ τοῦ Περὶ φιλαδελφίας (p. 59 de Arn.). Πρώτη μὲν οὖν ὑποθήκη μάλα σαφὴς ἐπιεικῶς τε εὔπορος, πρὸς δὲ καὶ κοινή. κατὰ παντὸς μὲν γὰρ εἰπεῖν [τε] τοῦ ἑαυτὸν μὲν ἐκεῖνον, ἐκεῖνον δὲ ἑαυτὸν ὑποθέσθαι. καὶ γὰρ οἰκέτῃ χρῷτ’ ἄν τις καλῶς, ἐνθυμηθεὶς πῶς ἂν ἠξίωσεν ἐκεῖνον αὐτῷ προσφέρεσθαι, εἴπερ ἐκεῖνος μὲν ἦν δεσπότης, αὐτὸς δὲ δοῦλος· ὁ δ’ ὅμοιος λόγος καὶ γονεῦσι περὶ τέκνων καὶ παισὶ περὶ τῶν γειναμένων καὶ συνόλως πᾶσι περὶ πάντων. ἐξαιρέτως δ’ ἐστὶν εὔπορος ἡ παραίνεσις κατὰ τὸν τῶν ἀδελφῶν τόπον· ἐπειδήπερ οὐδὲν δεῖ προϋποθέσθαι τὸν σκεπτόμενον, πῶς ἀδελφῷ χρηστέον, λαβεῖν δ’ ἐξ ἑτοίμου παρὰ τῆς φύσεως 〈τὴν〉 τοῦ προσώπου ταυτότητα. καὶ δῆτα καὶ πρῶτος οὗτος εἰρήσθω λόγος, ὡς τοῦτον χρὴ προσφέρεσθαι τὸν τρόπον ἀδελφῷ. ὅνπερ ἄν τις ἐκεῖνον ἀξιώσειεν ἑαυτῷ. ‘νὴ Δία‘ φήσει τις ‘ἀλλ’ ἐγὼ μέν εἰμι μέτριος καὶ ἐπιεικής, ὁ δ’ ἀδελφὸς σκαιὸς καὶ δυσομίλητος‘. οὐκ ὀρθῶς δὲ ἐρεῖ. πρῶτον μὲν ἴσως οὐδ’ ἀληθεύσει· ἱκανὴ γὰρ ἡ φιλαυτία τὰ μὲν ἴδια μεγαλοποιῆσαι καὶ ἀποκυδᾶναι, τὰ δὲ τῶν ἄλλων κατασμικρῦναι καὶ διαφαυλίσαι· πολλάκις γοῦν διὰ τοιαύτην οἱ κακίους σφᾶς αὐτοὺς προκρίνουσι τῶν κατὰ πολὺ βελτιόνων. ἔπειτα, κἂν ὄντως τοιοῦτος ᾖ ἀδελφός, ἀλλὰ σύ γε, φαίην ἄν, ἀμείνων εὑρέθητι καὶ νίκησον αὐτοῦ τὴν ἀγριότητα ταῖς εὐποιίαις. ἐπεί τοί γε οὐδὲ πολλὴ χάρις τοῖς εὐγνώμοσι προσενεχθῆναι μετρίως· ἀλλ’ ἀνδρὸς ἔργον καὶ πολλῆς ἄξιον ἀποδοχῆς, τὸν ἀβέλτερον καὶ σκαιὸν πραῦναι τοῖς ἐς αὐτὸν πραττομένοις. καὶ γὰρ οὐδὲν πάμπαν ἐπ’ ἀδύνατον ἡ παράκλησις· ἀλλ’ ἔνεστι γὰρ κἀν τοῖς ἀτοπώτατα διακειμένοις σπέρματα μεταβολῆς τῆς ἐπὶ τὸ κρεῖττον τιμῆς τε καὶ ἀγαπήσεως τῶν εὐεργετησάντων. οὐ γὰρ δὴ ζῷα μὲν ἄγρια καὶ φύσει πρὸς τὸ γένος ἡμῶν ἐκπεπολεμωμένα, πρὸς βίαν ἀχθέντα καὶ τὴν πρώτην κατασχεθέντα δεσμοῖς ἢ γαλεάγραις, χρόνοις ὕστερον τιθασὰ γίγνεται καθημερούμενα ποιαῖς τημελείαις καὶ τῇ καθ’ ἡμέραν τροφῇ· ἄνθρωπος δὲ οὐχ ὅπως ἀδελφός, ἀλλὰ κἂν μηδὲν προσήκων τύχῃ, οὐ τῷ παντὶ μᾶλλον ἐπιμελείας ἀξιούμενος μεταβαλεῖ πρὸς τὸ ἡμερώτερον, κἂν ὑπερβολὴν μὴ ἀπολίπῃ σκαιότητος; μιμητέον οὖν ἐπὶ παντὸς μὲν ἀνθρώπου, πολὺ δὲ διαφερόντως ἐπ’ ἀδελφοῦ τὸ τοῦ Σωκράτους· ἐκεῖνος γὰρ πρὸς τὸν εἰπόντα ‘ἀποθανοῦμαι, εἰ μή σε τιμωρησαίμην‘ ἔφη ‘ἀποθανοῦτέον, ὅτι τρόπον τινὰ οἱ ἀδελφοὶ ταὐτοῦ μέρη τυγχάνουσιν, ὥσπερ οἱ ἐμοὶ ὀφθαλμοὶ ἐμοῦ καὶ ὡσαύτως σκέλη τε καὶ χεῖρες καὶ τὰ λοιπά. καὶ γὰρ οὗτοι τοῦτον ἔχουσιν τὸν τρόπον εἴτε πρὸς τὸν οἶκον ἐξετάζοντες. ὥσπερ οὖν οἱ ὀφθαλμοὶ καὶ αἱ χεῖρες, εἴπερ ἕκαστον ἰδίαν ψυχὴν καὶ νοῦν λάβοι, περιέποι ἂν τὰ λοιπὰ πάσῃ μηχανῇ διὰ τὴν εἰρημένην κοινωνίαν, τῷ μηδ’ αὐτὰ τὸ ἴδιον ἔργον οἷά τε εἶναι παρέχειν καλῶς δίχα τῆς τῶν ἑτέρων παρουσίας· οὕτως δεῖ καὶ ἡμᾶς ἀνθρώπους γε ὄντας καὶ ψυχὴν ὁμολογοῦντας ἔχειν, μηδὲν παριέναι σπουδῆς ὑπὲρ τοῦ δεόντως προσφέρεσθαι τοῖς ἀδελφοῖς. καὶ γὰρ αὖ καὶ πλεῖόν τι παρὰ τὰ μέρη συλλαμβάνειν ἀλλήλοις ἀδελφοὶ πεφύκασιν, εἴ γε ὀφθαλμοὶ μὲν 〈συν〉 ορῶσιν ἀλλήλοις παρὼν παρόντι, καὶ χεὶρ συνεργάζεται παροῦσα χειρὶ παρούσῃ· ἡ δ’ ἀδελφῶν σύμπραξις ἀλλήλοις πολυχουστέρα πώς ἐστι. πράττουσι γὰρ τὰ κοινῇ διαφέροντα καὶ διεστηκότες τοῖς τόποις πάμπαν· μέγα θ’ ὑπάρχουσιν ἀλλήλων ὄφελος, κἂν μυρίον ᾖ τὸ διάστημα. ὅλως δὲ ἐνθυμητέον, ὡς ὁ βίος ἡμῖν κινδυνεύει μακρός τις εἶναι καὶ μάτων φύσιν ἐχόντων τι ἀντίτακτον, τοῦτο δὲ διὰ τὰς ἐξαιφνιδίους καὶ ἀπροσδοκήτους ἐπιδρομὰς τῆς τύχης, πολὺ δὲ μάλιστα δι’ αὐτὴν τὴν κακίαν οὔτε βίας τινὸς ἀπεχομένην οὔτε δόλου καὶ κακῶν στρατηγημάτων. ὅθεν καλῶς ἡ φύσις. ὡς ἂν ἐφ’ ἃ γεννᾷ μὴ ἀγνοοῦσα, παρήγαγεν ἡμῶν ἕκαστον τρόπον τινὰ μετὰ συμμαχίας. οὐδεὶς οὖν ἔστι μόνος οὐδ’ ‘ἀπὸ δρυὸς οὐδ’ ἀπὸ πέτρης‘, ἀλλ’ ἐκ γονέων καὶ μετ’ ἀδελφῶν καὶ συγγενῶν καὶ ἄλλων οἰκείων. μέγας δὲ βοηθὸς ὁ λόγος, καὶ τοὺς ὀθνείους καὶ μηδὲν καθ’ αἷμα προσήκοντας ἐξιδιούμενος, ἀφθονίαν τε παρέχων συμμάχων. διὰ τοῦτο κατὰ φύσιν ἡμῖν σπουδὴ καὶ ὁντινοῦν προσαγαγέσθαι καὶ

φιλοποιήσασθαι. γίνεται γοῦν ἤδη τὸ πρᾶγμα τελεωτάτη μανιῶν τοῖς μὲν οὐδὲν ἐκ φύσεως ἔχουσι φίλτρον πρὸς ἡμᾶς ἐθέλειν συγκραθῆναι καὶ τῇ γνώμῃ εἰς ἐφ' ὅσον ἐνδέχεται πλεῖστον χέαι τὴν οἰκειότητα, τῶν δὲ ἐξ ἑτοίμου καὶ παρ' αὐτῆς χορηγουμένων τῆς φύσεως κατημεληκέναι βοηθῶν κἀπικούρων, οἵους δὴ συμβέβηκεν εἶναι τοὺς ἀδελφούς. Μουσωνίου ἐκ τοῦ Εἰ πάντα τὰ γιγνόμενα τέκνα δὲ καὶ πλούσιοι, τολμῶσιν ὅμως τὰ ἐπιγινόμενα τέκνα μὴ τρέφειν, ἵνα τὰ προγενόμενα εὐπορῇ μᾶλλον, ἐξ ἀνοσίου μηχανώμενοι τὴν εὐπορίαν τοῖς παισίν [ἐξ ἀδελφῶν φόνου]· οἵ γε ἀναιροῦσιν αὐτῶν τοὺς ἀδελφούς, ἵν' ἐκεῖνοι μερίδα μείζω τῶν πατρῴων ἔχωσι· κακῶς εἰδότες, ὅσῳ κρεῖττον 〈τὸ〉 πολλοὺς ἔχειν ἀδελφοὺς τοῦ πολλὰ ἔχειν χρήματα. χρήματα μὲν γὰρ ἐπιβουλὰς ἐγείρει παρὰ τῶν πλησίον· οἱ δ' ἀδελφοὶ τοὺς ἐπιβούλους ἀνείργουσι. καὶ τὰ μὲν αὐτὰ δεῖται βοηθείας· οἱ δ' ἀδελφοὶ βοηθοί εἰσι κράτιστοι. καὶ οὔτε φίλον ἀγαθὸν ἀδελφῷ παρὰ τὸν ἀπὸ ἀνθρώπων ἑτέρων ὁμοίων τε καὶ ἴσων, τῇ ἀπ' ἀδελφῶν. τί δ' ἄν τις παραβάλοι καλὸν εὐνοίᾳ τῇ ἐξ ἀδελφοῦ εἰς ἀσφαλείας λόγον; τίνα δὲ κοινωνὸν ἀγαθῶν εὐμενέστερον σχοίη τις ἄν, ἢ ἀδελφὸν ἐπιεικῆ; τίνος δὲ παρουσίαν ἐν συμφοραῖς μᾶλλον ποθήσειεν ἄν, ἢ τοιούτου ἀδελφοῦ; ἐγὼ μὲν ἀξιοζηλότατον ἡγοῦμαι τὸν ἐπὶ πλήθει μὰς ἀγαθῶν ἀπολείψοντα μείζονας. Ξενοφῶντος ἐν δευτέρῳ Ἀπομνημονευμάτων (II 3). Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὲν τὸν Χαιρεκράτην, Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ δήπου καὶ σὺ εἷ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφούς; καὶ ταῦτα τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου, καὶ τῶν μὲν βοηθείας δεομένων, τοῦ δὲ βοηθεῖν δυναμένου, καὶ πρὸς τούτοις τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δὲ ἑνός. θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει· ἀλλ' ἐνταῦθα μὲν δύνανται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς τἀρκοῦντα ἔχειν ἢ μόνον διαιτώμενον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι, ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι, τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι, ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. πρὸς δὲ τούτοις καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους ὄντας τῶν ἀναδέλφων καὶ ἧττον τούτοις ἐπιτίθενται. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἀλλ' εἰ μέν, ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφὸν καὶ μὴ μικρῶν ἕνεκα φεύγειν· ἀγαθὸν γάρ, ὥσπερ καὶ σὺ λέγεις, ἀδελφὸς ὢν οἷον δεῖ· ὁπότε μέντοι παντὸς ἐνδέοι καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις; Καὶ ὁ Σωκράτης ἔφη· Πότερα δέ, ὦ Χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοί, ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκει; Διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτόν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ ὅπου ἂν παρῇ πανταχοῦ καὶ λόγῳ καὶ ἔργῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν. Ἆρ' οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μέν, ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστίν, οὕτω καὶ ἀδελφός, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστίν; Πῶς δ' ἂν ἐγώ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν οὐκ ἂν δυναίμην οὔτ' εὖ λέγειν οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι. Καὶ ὁ Σωκράτης ἔφη· Θαυμαστὰ λέγεις, Χαιρέκρατες, εἰ κύνα μέν, εἴ σοι ἦν ἐπὶ προβάτοις ἐπιτήστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι ὅπως σοι ὡς βέλτιστος ᾖ. Καὶ ὁ Χαιρεκράτης, Δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ. Καὶ μὴν οὐδέν γε ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ

καινὸν δεῖ ἐπ᾽ αὐτόν, ὡς ἐμοὶ δοκεῖ, μηχανᾶσθαι, οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτὸς οἴομαι ἂν αὐτὸν ἁλόντα περὶ πολλοῦ ποιεῖσθαί σε. Οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ᾔσθησαί με φίλτρον ἐπιστάμενον ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; Λέγε δή μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποι〈οί〉ης; Δῆλον ὅτι κατάρχοιμι ἂν τοῦ αὐτός, ὅτε θύοιμι, καλεῖν ἐκεῖνον. Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης; Δῆλον ὅτι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη. Εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτόν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; Δῆλον ὅτι καὶ τοῦτον πρότερος δῆλον ὅτι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν. Πάντ᾽ ἄρα σύ γε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεκρύπτου· ἢ ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναι σοῦ πρὸς τὴν φιλίαν ταύτην, ἐκεῖνον ἂν ἐπειρώμην πείθειν πρότερον ἐγχειρεῖν τῷ σὲ φίλον ποιεῖσθαι· νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἄτοπα λέγεις, ὦ Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώτερον ὄντα καθηγεῖσθαι· καίτοι τούτου γε παρὰ πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ λόγου καὶ ἔργου. Πῶς; ἔφη ὁ Σωκράτης· οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον τῷ πρεσβυτέρῳ συντυγχάνοντι πανταχοῦ νομίζεται καὶ καθήμενον ὑπαναστῆναι καὶ κοίτῃ μαλακῇ τιμῆσαι καὶ λόγῳ ὑποδεῖξαι; Ὦ ἀγαθέ, μὴ ὄκνει, ἔφη, ἀλλ᾽ ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν, καὶ πανταχοῦ σοι ὑπακούσεται. οὐχ ὁρᾷς ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις ἢ εἰ δοίης τι, τοὺς δὲ καλοὺς κἀγαθὸ Σωκράτης ἔφη, ἢ κινδυνεύεις ἐπιδεῖξαι σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας; ἀλλ᾽ οὐδὲν οἶμαι τούτων ἔσεσθαι· νομίζω γὰρ αὐτόν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον εἰς τὸν ἀγῶνα τοῦτον, πάνυ φιλονεικήσειν, ὅπως περιγένηταί σου καὶ λόγῳ καὶ ἔργῳ εὖ ποιῶν. νῦν μὲν γὰρ οὕτως, ἔφη, διάκεισθον, ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τῷ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω, ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω. οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία τοῖς ἐπ᾽ ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τἆλλα ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις. χεῖρες μὲν γάρ, εἰ δέοι αὐτὰς πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δὲ οὐδ᾽ ἂν ἐπὶ τὰ ὀργυιὰν ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ οἱ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι, οὐδ᾽ ἂν τῶν ἔτι ἐγγυτέρω ἀδελφὼ δὲ φίλω ὄντε καὶ πολὺ διεστῶτε πράττετον ἅμα ἐπ᾽ ὠφελείᾳ ἀλλήλοιν. Ἱεροκλέους ἐκ τοῦ Πῶς συγγενέσι χρηστέον (p. 61 Arn.). Τοῖς εἰρημένοις περὶ γονέων χρήσεως καὶ ἀδελφῶν γυναικός τε καὶ τέκνων ἀκόλουθόν ἐστι προσθεῖναι καὶ τὸν περὶ συγγενῶν λόγον, συμπεπονθότα μέν πως ἐκείνοις, δι᾽ αὐτὸ δὲ τοῦτο συντόμως ἀποδοθῆναι δυνάμενον. ὅλως γὰρ ἕκαστος ἡμῶν οἷον κύκλοις πολλοῖς περιγέγραπται, τοῖς μὲν σμικροτέροις, τοῖς δὲ μείζοσι, καὶ τοῖς μὲν περιέχουσι, τοῖς δὲ περιεχομένοις, κατὰ τὰς διαφόρους καὶ ἀνίσους πρὸς ἀλλήλους σχέσεις. πρῶτος μὲν γάρ ἐστι κύκλος καὶ προσεχέστατος, ὃν αὐτός τις καθάπερ περὶ κέντρον τὴν ἑαυτοῦ γέγραπται διάνοιαν· ἐν ᾧ κύκλῳ τό τε σῶμα περιέχεται καὶ τὰ τοῦ σώματος ἕνεκα παρειλημμένα. σχεδὸν γὰρ ὁ βραχύτατος καὶ μικροῦ δεῖν αὐτοῦ προσαπτόμενος τοῦ κέντρου κύκλος οὗτος. δεύτερος δ᾽ ἀπὸ τούτου καὶ πλέον μὲν ἀφεστὼς τοῦ κέντρου, περιέχων δὲ τὸν πρῶτον, ἐν ᾧ τετάχαται γονεῖς ἀδελφοὶ γυνὴ παῖδες. ὁ δ᾽ ἀπὸ τούτων τρίτος, ἐν ᾧ θεῖοι καὶ τηθίδες, πάπποι τε καὶ τῆθαι, καὶ ἀδελφῶν παῖδες, ἔτι δ᾽ ἀνεψιοί. μεθ᾽ ὃν ὁ τοὺς ἄλλους περιέχων συγγενεῖς. τούτῳ δ᾽ ἐφεξῆς ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν δημοτῶν καὶ μετ’ αὐτὸν ὁ τῶν φυλετῶν, εἶθ’ ὁ πολιτῶν, καὶ λοιπὸν οὕτως ὁ μὲν ἀστυμένον ἐστὶ περὶ τὴν δέουσαν ἑκάστων χρῆσιν τὸ ἐπισυνάγειν πως τοὺς κύκλους ὡς ἐπὶ τὸ κέντρον καὶ τῇ σπουδῇ μεταφέρειν ἀεὶ τοὺς ἐκ τῶν περιεχόντων εἰς τοὺς περιεχομένους. κατὰ τὸν φιλοίκειον γοῦν ἐστι γονέας μὲν καὶ ἀδελφοὺς .... οὐκοῦν κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ τῶν συγγενῶν τοὺς μὲν πρεσβυτέρους καὶ 〈τὰσ〉 πρεσβυτέρας ὡς πάππους 〈ἢ τήθασ〉, θείους ἢ τηθίδας, τοὺς δ’ ὁμήλικας ὡς ἀνεψιούς, τοὺς δὲ νεωτέρους ὡς παῖδας ἀνεψιῶν. ὥστ’ εἴρηται διὰ συντόμων ὑποθήκη σαφής, πῶς χρὴ προσφέρεσθαι συγγενέσιν, ἐπειδὴ προεδιδάχθημεν, πῶς τε χρηστέον ἑαυτοῖς καὶ πῶς γονεῦσι καὶ ἀδελφοῖς, ἔτι δὲ γυναικὶ καὶ τέκνοις· πρόσκειται δ’ ὅτι καὶ τούτοις μὲν ὁμοίως τιμητέον τοὺς ἐκ τοῦ τρίτου κύκλου, τούτοις δ’ αὖ πάλιν τοὺς συγγενεῖς. ἀφαιρήσεται μὲν γάρ τι τῆς εὐνοίας τὸ καθ’ αἷμα διάστημα πλέον ὄν· ἡμῖν δ’ ὅμως σπουδαστέα περὶ τὴν ἐξομοίωσίν ἐστιν. ἥκοι μὲν γὰρ ἂν εἰς τὸ μέτριον, εἰ διὰ τῆς ἡμετέρας αὐτῶν ἐνστάσεως χρῆσιν, τοὺς μὲν ἀνεψιοὺς καὶ θείους καὶ τηθίδας ἀδελφοὺς ἀποκαλοῦντας πατέρας τε καὶ μητέρας, τῶν δὲ συγγενῶν τοὺς μὲν θείους, τοὺς δὲ ἀδελφιδοῦς, τοὺς δὲ ἀνεψιούς, ὡς ἂν καὶ τὰ τῆς ἡλικίας παρείκῃ ἕνεκα τῆς ἐν τοῖς ὀνόμασιν ἐκτενείας. οὗτος γὰρ τῆς προσρήσεως ὁ τρόπος ἅμα μὲν ἂν σημεῖον οὐκ ἀμαυρὸν εἴη τῆς οὔσης ἡμῖν σπουδῆς περὶ ἑκάστους, ἅμα δ’ ἂν ἐποτρύνοι καὶ προσεντείνοι πρὸς τὴν ὑποδεδειγμένην οἷον συνολκὴν τῶν κύκλων. ἐνταῦθα μέντοι γενομένοις οὐκ ἄκαιρος τοῦ ῥηθέντος ἐπὶ γονέων διορισμοῦ φαντάζεται μνήμη. ἐλέγομεν γὰρ αὖ κατ’ ἐκεῖνον ἡνίκα τὸν τόπον ἦμεν, ἔνθα μητέρα πατρὶ συνεκρίναμεν, ὡς χρὴ τῇ μὲν μητρὶ τῆς στοργῆς, τῆς δὲ τιμῆς τῷ πατρὶ πλέον ἀπονέμειν· οἷς ἑπομένως καὶ δεῦρο τιθεῖμεν ἄν, ὡς τοὺς μὲν μητρόθεν προσήκοντας στέργειν πλέον πρέπει, τοὺς δ’ αὖ κατὰ πατέρα συγγενεῖς διὰ μείζονος ἄγειν τιμῆς. Ξενοφῶντος ἐν τῷ η′ Περὶ τῆς Κύρου παιδείας (c. 7, 13—16). Οἶσθα μὲν οὖν καὶ σύ, ὦ Καμβύση, ὅτι οὐ τὸ χρυσοῦν σκῆπτρόν ἐστι τὸ τὴν βασιλείαν διασῷζον, ἀλλ’ οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον. πιστοὺς καὶ ἀσφαλεστάτους δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τὰ ἄλλα τὰ πεφυκότα πᾶσι ταὐτὰ φαίνεται· ἀλλὰ τοὺς μὲν πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἔστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ τῆς βασιλείας συμφύλακας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι καὶ σύσσιτοι αὐτοσκήνων. οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς μάταιά ποτε ποιήσητε, ἀλλ’ ἐπὶ ταῦτ’ εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως δὴ ἀνυπέρβλητος ἔσται ἡ ὑμετέρα φιλία. ἑαυτοῦ τε κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλὸν ὡς ἀδελφῷ; τίς δ’ ἄλλος τιμήσεται δι’ ἄνδρα μέγα δυνάμενον οὕτως ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν ἀδελφοῦ μεγάλου ὄντος οὕτως ὡς τὸν ἀδελφόν; μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω μήτε προθυμότερον παρέστω. οὐδενὶ μειζόνων τυγχάνειν ἢ τούτῳ; τίνι δ’ ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ’ αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; τίνα δὲ προτιμᾶν πάντων κάλλιον ἢ τὸν ἀδελφόν; μόνου τοι, ὦ Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ’ ἀδελφῷ οὐδὲ φθόνος παρὸ τῶν ἄλλων ἐφικνεῖται. Πλουτάρχου (De frat. am. p. 479 B). Ὁ μὲν Ἀρκαδικὸς μάντις δικαίως πόδα ξύλινον προσεποιήσατο τοῦ οἰκείου στερηθείς· ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἑταῖρον οὐδὲν ἔοικεν ἄλλο ποιεῖν ἢ σάρκινον καὶ συμφυὲς ἀποκόψας μέλος ἀλλότριον προστρίβεσθαι 〈καὶ〉 προσαρμόττειν. (nescio cuius auctoris) Ἐν τῷ φιλεῖν τὸν ἀδελφὸν μικροῦ τὸν περὶ Διοσκού-

4.28

Σοφοκλῆς Αἴαντι (292 s). Ὁ δ’ εἶπε πρός με βαί’, ἀεὶ δ’ ὑμνούμενα, γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Εὐριπίδου Ἰνοῦς (fr. 410 N. 2). Τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν, ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται, τὰ δ’ αἰσχρὰ μισεῖ καὶ κατ’ ὀφθαλμοὺς ἔχει. Ἡσιόδου Ἔργων (373 s.). Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω αἰμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν. Εὐριπίδου Ἱκετίσιν (40 s.). Πάντα γὰρ δι’ ἀρσένων Εὐριπίδου Ὀρέστῃ (108). Εἰς ὄχλον ἔρπειν παρθένοισιν οὐ καλόν. Εὐριπίδου Σθενεβοίᾳ (fr. 671 N. 2). Κομίζετ’ εἴσω τήνδε· πιστεύειν δὲ χρὴ γυναικὶ μηδὲν ὅστις εὖ φρονεῖ βροτῶν. Θεοφράστου (fr. CLVIII Wimm.). Οὐ χρὴ δὲ τὴν γυναῖκα δεινὴν ἐντοῖς πολιτικοῖς, ἀλλ’ ἐν τοῖς οἰκονομικοῖς εἶναι. Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (fr. XVIII 10 Bern.). Γάμος γὰρ ἀπὸ μὲν φιλίας διττῆς κράσεως βελτίων, ἑτέρως δὲ σφαλερός. Πλουτάρχου ἐκ τῶν Γαμικῶν παραγγελμάτων (p. 139 A). Αἱ βουλόμεναι μᾶλλον ἀνοήτων κρατεῖν ἀνδρῶν ἢ φρονίμων ἀκούειν ἐοίκασιν ἐν ὁδῷ βουλομέναις μᾶλλον ὁδηγεῖν τυφλοὺς ἢ τοῖς γιγνώσκουσιν ἀκολουθεῖν καὶ βλέπουσιν. Ἐν ταὐτῷ (p. 140 C). Ἀνὴρ φιλοσώματος καλλωπίστριαν γυναῖκα ποιεῖ, φιλήδονος ἐρωτικὴν καὶ ἀκόλαστον, φιλάγαθος καὶ φιλό- Θεμιστοκλέους (Plut. Reg. et imp. apophth. p. 140 E). Θεμιστοκλῆς τῶν τὴν θυγατέρα μνωμένων αὐτοῦ τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας, ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός. Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ (fr. VIII v. II p. 310 Arn.). Μέγα γὰρ δυσώπημα σωφροσύνης τέκνωσις. Ἐν ταὐτῷ (ibid. fr. IX). Τὸ μὲν γὰρ τίκτειν ἀνάγκης ἐστὶν ἔργον, τὸ δὲ ἐκτρέφειν φιλοστοργίας. Τῶν ἑπτὰ σοφῶν περὶ τῆς κατὰ τὰς οἰκίας ἐπιμελείας (Plut. Septem sap. conviv. p. 155 C). Τοῦτον οὖν ἄριστον ὁ Σόλων εἶπεν αὐτῷ δοκεῖν οἶκον, ὅπου τὰ κτήματα μήτε κτωμένοις ἀδικία μήτε φυλάττουσιν ἀπιστία μήτε δαπανῶσι μετάνοια πρόσεστιν. ὁ δὲ Βίας, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι’ αὐτὸν οἷος ἔξω διὰ τὸν νόμον. ὁ δὲ Θαλῆς, ἐν ᾧ πλείστην ἄγειν τῷ δεσπότῃ σχολὴν ἔξεστιν. ὁ δὲ Κλεόβουλος, εἰ πλείονας ἔχοι τῶν φοβουεῖπεν, ὡς ἄριστος οἶκός ἐστιν ὁ τῶν περισσῶν μηδενὸς δεόμενος καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος. ὁ δὲ Χείλων ἔφη δεῖν μάλιστα βασιλευομένῃ πόλει προσεοικέναι τὸν οἶκον. εἶτα προσεῖπεν καὶ Λυκοῦργος πρὸς τὸν κελεύοντα δημοκρατίαν ἐν τῇ πολιτείᾳ καταστῆσαι ‘πρῶτον‘ ἔφη ‘ποίησον ἐν τῇ οἰκίᾳ σου δημοκρατίαν.‘ Ἐκ τοῦ Βρύσωνος Οἰκονομικοῦ. Οὕτως ἔχει ποτ’ ἄλλαλα τἀνθρώπινα πράγματα καθάπερ καὶ τᾶς ἁλύσιος τοὶ κρίκοι. τῆνοί τε γὰρ ἐξ ἀλλάλων ἄρτηνται ἀλλάλους τ’ ἀκολουθίοντι, καὶ ἑνὸς ἐξ αὐτῶν ἑλκυσθέντος ὁποίου δή ποκα τό τε ὅλον καὶ τὰ ἐξ ἀρχᾶς ἀκολουθεῖ· καὶ τῶν τοῦ βίου δὲ πραγμάτων ὁποῖα ἂν βούλῃ ἑλέσθαι, εὑρήσεις καὶ τὰ λοιπὰ ἐξ ἀνάγκας κατὰ τὸ ἑξῆς ἀλλάλοις ἑπόμενα. αὐτίκα γὰρ εἰ 〈τὰ〉 κατὰ γεωργίαν τις ἐπιτηδεύοι, ἆρ’ οὐ πρᾶτον εἶμεν δεῖ τεκτονικάν; εἰ τεκτονικάν, δεῖ δὴ χαλκευτικάν· 〈εἰ〉 χαλκευτικάν, δεῖ δὴ Δοῦλος δὴ πᾶς ὀνυμαίνεται τριχῶς. ὁ μὲν γάρ τις δοῦλος κατὰ νόμον γίγνεται· ὁ δὲ καττὸν τρόπον τᾶς ψυχᾶς ὁ κρατούμενος ὑπὸ τῶν ἰδίων παθημάτων τᾶς ψυχᾶς· ὁ δὲ τοιοῦτος οὐχ ἁπλῶς δοῦλος οὐδὲ τᾷ φύσει δοῦλος, ἀλλὰ τῶν παθῶν δοῦλος καὶ ἐν καταχρήσει δοῦλος, καὶ μᾶλλον μοχθηρὸς ἄνθρωπος ἢ δοῦλος κατὰ φύσιν. κατὰ φύσιν δὲ δοῦλος ὁ δυνάμενος αὐτάρκως τὰς διὰ τῶ σώματος ὑπηρεσίας παρέχεσθαι τοῖς δεσπόταις καὶ ἐν τῷ ὁδοὺς πορευθῆναι καὶ φορτία βαστάξαι καὶ κακοπαθείας καὶ διακονίας ὑπομένεν, μήτε δὲ ἀρετὰν μήτε κακίαν ἐπιδεχόμενος ψυχικάν. Καλλικρατίδα Πυθαγορείου Λάκωνος ἐκ τοῦ Περὶ οἴκω εὐδαιμονίας. Τὸ μὲν ὧν ὅλον ὑπολαπτέον εἶμεν σύσταμα κοινωνίας συγγενικᾶς. σύσταμα δὲ πᾶν ἔκ τινων ἐναντίων καὶ ἀνομοίων σύγκειται, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται· ὅ τε γὰρ ὀνυκαὶ ἐναντίων συνέστακεν, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, τὸν κυβερνάταν, καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται, τὰν εὔπλοιαν· οὕτως δὲ καὶ ὁ οἶκος, σύσταμα κοινωνίας συγγενικᾶς ὑπάρχων, ἔκ τινων ἀνομοίων συνέστακε καὶ ἐναντίων μερέων, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, τὸν οἰκοδεσπόταν, καὶ ποτὶ τὸ κοινὸν συμφέρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπαμφέρεται, τὰν ὁμοφροσύναν. ὡς δ’ ἁπλῶς εἰπέν, πᾶς ὁ οἶκος καθάπερ ψαλτήριον τριῶν τούτων χρῄζει τυχέν, ἐξαρτύσιος, συναρμογᾶς, ἁφᾶς τινος καὶ χρήσιος μωσικᾶς. ἐξάρτυσις μὲν ὧν ἐστιν ἁ σύνθεσις τῶν αὐτῶν μερέων ἁπάντων, ἐξ ὧν συμπλαροῦται τό τε ὅλον καὶ τὸ πᾶν σύσταμα τᾶς συγγενικᾶς κοινωνίας· τῶν δὲ μερέων αὐτῶν δύο πρᾶτα καὶ μέγιστα, ἄνθρωπος καὶ κτᾶσις, ... τὸ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον. ὥσπερ δὲ καὶ ψυχὰ μέν ἐστι τὸ κυβερνῶν καὶ χρεόμενον, σῶμα δὲ τὸ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον· καὶ ὁ μὲν βίος ὄργανον ἐπίκτατον ζωᾶς τᾶς ἀνθρωπίνας, τὸ δὲ σῶμα ὄργανον σύμφυτον καὶ συγγενὲς τᾶς ψυχᾶς. τῶν δὲ συμπληρούντων τὸν οἶκον ἀνθρώπων τοὶ μὲν συγγενέες, τοὶ δ’ οἰκῆοι. καὶ συγγενέες μὲν ἀπὸ τῶ αὐτῶ αἵματος γενόμενοι ἢ τὰν αὐτὰν ἀρχὰν ἔχοντες ἐκ τῶν κατασπειράντων πράτων τὸ γένος· οἰκῆοι δὲ ἐπίκτητοι συγγενέες, ἀπὸ τᾶς τῶ γάμω κοινωνίας λαμβάνοντες τὰν καταρχάν. οὗτοι δὲ τυγχάνοντι ἤτοι πατέρες ἢ ἀδελφοὶ ἢ μητροπάτορες ἢ πατροπάτορες ἢ ἔν γέ τι τούτων ἔχοντες τῶν ἐς τὸν γάμον συνελθόντων. εἰ δὲ καὶ τὸ τῶν φίλων ἀγαθὸν ἐπὶ τὸν οἶκον ἐπαμφέρεται (μέζων γὰρ οὕτως γίνεται καὶ μεγαλοπρεπέστερος οὐ μόνον οὐσίᾳ καὶ συγγενείᾳ πολυάριθμος γενόμενος ἀλλὰ καὶ φίλων πολυπλαθίᾳ), φανερὸν ὡς καὶ τοῦτο μέζονα ποοῦν τὸν οἶκον, τὸ ἑταιρικὸν εἶδος τᾶς φιλίας, συγκαταριθματέον ἐν τᾷ συμπλαρώσει τῶ οἴκω. τᾶς δὲ κτάσιος ἁ μέν ἐστιν ἀναγκαία ἁ δὲ ἐλευθέριος· ἀναγκαία μὲν ἁ ποτ’ αὐτὰς ἐξυπηρετοῦσα τὰς τῶ βίω χρῄας, ἄνθρωπον, ὥστε μὴ ἑτέρων δέεσθαι. ἁ δ’ ὑπερβάλλοισα κόσμον ἐλευθέριον καὶ διαγωγὰν καταρχὰ ὕβριος καὶ ὀλέθρω ῥιζοῦται τοῖς ἀνθρώποις. ἀνάγκα γὰρ τὼς πολλὰ ἔχοντας τετυφῶσθαι πρᾶτον, τετυφωμένως δὲ ἀλαζόνας γίνεσθαι, ἀλαζόνας δὲ γενομένως ὑπερηφάνως ἦμεν καὶ μήτε ὁμοίως μήτε ἴσως ὑπολαμβάνεν τὼς συγγενέας καὶ ὁμοφύλως καὶ φυλέτας, ὑπερηφάνως δὲ γενομένως ὑβριστὰς ἦμεν· ὕβριος δὲ πάσας ἔσχατον καὶ πέρας ὄλεθρος. ὅκα ὧν ἐν οἴκῳ καὶ πόλει περιουσιάζῃ, τὰ περισσὰ τὸν νομοθέταν δεῖ περικόπτεν καὶ περιτέμνεν ὡς ἀγαθὸν γεωργὸν τὰ φυλλομανίοντα τᾶς κτάσιος. τῶ δὲ συγγενικῶ καὶ οἰκῃακῶ μέρεος τῶ ἀνθρώπω τριττὸν τὸ εἶδος. τὸ μὲν γάρ ἐστιν ἄρχον, τὸ δ’ ἀρχόμενον, τὸ δ’ ἐπίκουρον τᾶ οἴκω καὶ τᾶς συγγενείας· καὶ ἄρχον μὲν ὁ ἀνήρ, ἀρχόμενον δὲ ἁ γυνά, ἐπίκουρον δὲ τὸ γεννατὸν ἐκ τούτων. Ἐν ταὐτῷ. Ἔτι τᾶς πρακτικᾶς καὶ κατὰ λογισμὸν ἀρχᾶς ἁ μέν ἐστι δεσποτικά, ἁ δὲ ἐπιστατικά, ἁ δὲ πολιτικά. καὶ δεσποτικὰ μὲν ἁ τῶ ἰδίω συμφέροντος ἄρχοισα, ἀλλ’ οὐ τῶν ἀρχομένων· ταύταν γὰρ ἄρχει τὰν ἀρχὰν ὁ μὲν δεσπότας τῶν δούλων, ὁ δὲ τύραννος τῶν ὑποτεταγμένων. ἐπιστατικὰ δ’ ἕνεκα τῶν ἀρχομένων, ἀλλ’ οὐχ αὑτᾶς· ταύταν δ’ ἄρχουσι τὰν ἀρχὰν τοὶ μὲν ἀλεῖπται τῶν ἀθλητᾶν, καὶ τοὶ ἰατροὶ τῶν νοσιόντων, καὶ τοὶ διδάσκοντες τῶν διδασκομένων. οὐ γὰρ αὐτοῖς τὸ συμφέρον, ἀλλὰ τοῖς ἀρχομένοις ποτιποιοῦντι· τοῖς μὲν καμνόντεσσιν τοὶ ἰατροί, τοῖς δὲ σωμασκεῦσιν τοὶ ἀλεῖπται, τοῖς δ’ ἀνεπιστάμοσιν τοὶ ἐπιστάμονες. πολιτικὰ δ’ ἐστὶν ἀρχά, ἅτις τέλος ἔχει τὸ κοινᾷ συμφέρον καὶ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων· κατὰ γὰρ ταύταν τὰν ἀρχὰν ἐν μὲν τοῖς ἀνθρωπίνοις ὅ τε οἶκος καὶ ἁ πόλις συνήρμοσται, ἐν δὲ τοῖς θῄοις ὁ κόσμος. μίμαμα δ’ οἶκος καὶ πόλις καττὰν ἀναλογίαν τᾶς τῶ κόσμω διοικήσιος. ἄρχει μὲν γὰρ τὸ θῆον τᾶς φύσιος, οὔτε τὸ ἐκείνων συμφέρον σκοπεύμενον οὔτε μὰν τὸ ἴδιον ἀπολελυμένως, ἀλλὰ τὸ κοινᾷ. καὶ διὰ τοῦτο ποταγορεύεται ὁ κόσμος ἀπὸ τᾶς τῶν πάντων διακοσμάσιος, ποθ’ ἓν τὸ ἄριστον συντεταγμένος. τὸ δ’ ἕν ἐστιν ἄριστον αὐτός, ὅπερ ἐστὶ καττὰν ἔννοιαν, ζῷον οὐράνιον, ἄφθαρτον, ἀρχά τε καὶ αἰτία τᾶς τῶν ὅλων διακοσμάσιος. ἐπεὶ ὧν καὶ ὁ ἀνὴρ ἄρχει τᾶς γυναικός, ἤτοι τὰν δεσποτικὰν ἄρχει ἀρχὰν ἢ τὰν ἐπιστατικὰν ἢ τό γε ἔσχατον τὰν πολιτικὰν ἄρχει· οὔτε δὲ τὰν δεσποτικὰν ἀρχάν, κάδεται γὰρ καὶ ἐπιμελῆται τᾶς αὐτῶ γυναικός· οὔτε τὰν ἐπιστατικὰν καθάπαξ, καὶ αὐτὸς γὰρ μέρος ἐστὶ τᾶς κοινωνίας· ἀπολείπεται ὧν τὰν πολιτικάν, καθ’ ἃν τίθεται καὶ ὁ ἄρχων καὶ ὁ ἀρχόμενος τὸ κοινᾷ συμφέρον. διόπερ καὶ ὁ γάμος ἐπὶ βίω κοινωνίᾳ συνίσταται. οἱ μὲν ὧν τὰν δεσποτικὰν ἄρχοντες ἀρχὰν τῶν ἀνδρῶν μισοῦνται ὑπὸ

τᾶν γυναικῶν, οἱ δὲ τὰν ἐπιστατικὰν καταφρονέονται· προσθῆκαι γὰρ ἂν φαίνοιντο τῶν γυναικῶν καὶ κόλακες· οἱ δὲ τὰν πολιτικὰν καὶ θαυμαίνονται καὶ φιλέονται. ἀμφότερα δὲ ταῦτα ἐσσεῖται, αἴκα ἁδονᾷ καὶ σεμνότατι κεκραμέναν ποτιφέρηταί τις τὰν ἀρχάν, τὰν μὲν ἁδονὰν ἐν τῷ ἀγαπῆν ποτιφερόμενος, τὰν δὲ σεμνότατα τῷ μηδὲν εὐτελὲς μηδὲ ταπεινὸν πράττειν. Ἐν ταὐτῷ. Γαμίσκοντα δὲ δεῖ γαμὲν ποτὶ τὰν αὐτῶ τύχαν, ἵνα μήτε ὑπὲρ τὰν δύναμιν μήτε μᾴονα τᾶς δυνάμιος τὸν γάμον ἐπάγηται, ἀλλὰ ποτὶ λόγον τᾶς ἰδίας δυνάμιος. οἱ μὲν γὰρ ὑπὲρ τὰν δύναμιν ἐπάγοντες στασιάζοντι διὰ τὰν ἀγεμονίαν· ἁ μὲν γὰρ τῷ πλούτῳ καὶ τῷ γένει καθυπερέχοισα τἀνδρὸς ἄρχειν προαιρῆται, ὁ δὲ ἀνάξιον ἀγῆται καὶ παρὰ φύσιν συγχωρέν· οἱ δὲ μᾴονα τᾶς δυνάμιος, τὸ ἀξίωμα καὶ τὸ μέγεθος τῶ οἴκω συναιροῦντι. δεῖ δὲ τὸν μωσικὸν μιμεῖσθαι, ὃς τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθὼν οὕτως πειρᾶται τὰν μέσαν καθιστάμεν, ὅπως καὶ ἐπὶ τὰ ὀξέα καὶ ἐπὶ τὰ βαρέα διαρκέσαι δύναται καὶ μήτε ῥήξῃ μήτε ἀπολίπῃ τὰν τάσιν. οὕτως ὧν δεῖ καὶ γάμον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅπως μὴ μόνον ἐν εὐτυχίᾳ συνεκτρέχεν ἀλλάλοις δυνατοὶ ὦντι. ποτὶ λόγον δὲ μάλιστα, αἴκα τις ἀγαθῶν προγόνων σκοπιασάμενος παιδίον ἀκμάζουσαν γαμίσκῃ. καὶ γὰρ εὔπλαστοι καὶ εὐάγωγοι τυγχάνοντι πρωτονύμφευτοι, καὶ ποτὶ τὸ μαθὲν εὐφυῶς ἔχοντι καὶ ποτὶ τὸ φοβηθῆμεν καὶ ἀγαπάξαι τὸν αὐταυτᾶς ἄνδρα. Περικτιόνης Πυθαγορείας ἐκ τοῦ Περὶ γυναικὸς ἁρμονίας. Τὴν ἁρμονίην γυναῖκα νώσασθαι δεῖ φρονήσιός τε καὶ σωφροσύνης πλείην· κάρτα γὰρ ψυχὴν πεπνῦσθαι δεῖ ἐς ἀρετήν, ὥστ' ἔσται καὶ δικαίη καὶ ἀνδρηίη καὶ φρονέουσα ὀρέομεν. κρατέουσα ὧν ἐπιθυμίης καὶ θυμοῦ, ὁσίη καὶ ἁρμονίη γίνεται· ὥστε οὐδὲ ἔρωτες αὐτὴν ἄνομοι διώξουσιν, ἀλλ' ἐς ἄνδρα τε καὶ τέκεα καὶ τὸν οἶκον ξύμπαντα φιλίην ἕξει. ὁκόσαι γὰρ ἐράστριαι τελέθουσιν ἀλλοτρίων λεχέων, αὗται δὲ πολέμιαι γίνονται πάντων τῶν ἐν τῇ οἰκίῃ ἐλευθέρων τε καὶ οἰκετέων· καὶ συντιθεῖ ψύθεα καὶ δόλους ἀνδρὶ καὶ ψεύδεα κατὰ πάντων μυθίζεται πρὸς τοῦτον, ἵνα μούνη δοκέῃ διαφέρειν εὐνοίῃ καὶ τῆς οἰκίης κρατέῃ ἀργίην φιλέουσα. ἐκ τούτων γὰρ φθορὴ γίνεται συμπάντων ὁκόσα αὐτῇ τε καὶ τῷ ἀνδρὶ ξυνά ἐστι. καὶ ταῦτα μὲν ἄχρι τῶνδε λελέχθω. σκῆνος δὲ ἄγειν χρὴ πρὸς μέτρα φύσιος τροφῆς τε πέρι καὶ ἱματίων καὶ λουτρῶν καὶ ἀλειψίων καὶ τριχῶν θέσιος καὶ τῶν ὁκόσα ἐς κόσμον ἐστὶ [χρυσοῦ καὶ λίθων]. ὁκόσαι γὰρ πολυτελέα πάντα φορέουσι γυναῖκες, ἐς ἁμαρτίην ἕτοιμαι κακίης συμπάσης ἔς τε λέχεα καὶ ἐς τὰ ἄλλα ἀδικοπρηγέες. λιμὸν ὧν καὶ δίψαν ἐξακέεσθαι δεῖ μοῦνον, κἢν ἐκ τῶν εὐτελέων ἔῃ, καὶ ῥῖγος, κἢν νάκος κἢν σισύρη. βρωτῆρας δὲ εἶναι τῶν τηλόθεν ἢ τῶν πολλοῦ πωλεομένων ἢ τῶν ἐνδόξων κακίη οὐχὶ μικρὴ πέφαται· ἡμφιάσθαι 〈δ'〉 εἵματα ἀπεικότα λίην καὶ ποικίλα ἀπὸ θαλασσίης βάψιος τοῦ κόχλου ἢ ἄλλης χρόης πολυτελέος μωρίη πολλή. σκῆνος γὰρ ἐθέλει μὴ ῥιγέειν μηδὲ γυμνὸν εἶναι χάριν εὐπρεπείης, ἄλλου δ' οὐδενὸς χρῄζει. δόξα δὲ ἀνθρώπων μετὰ ἀμαθίης ἐς τὰ κενεά τε καὶ περισσὰ ἴεται. ὥστ' οὔτε χρυσὸν ἀμφιθήσεται ἢ λίθον Ἰνδικὸν ἢ χώρης ἐόντα ἄλλης, οὐδὲ πλέξεται πολυτεχνίῃσι τρίχας, οὐδ' ἀλείψεται Ἀραβίης ὀδμῆς ἐμπνέοντα, οὐδὲ χρίσεται πρόσωπον λευκαίνουσα ἢ ἐρυθραίνουσα τοῦτο ἢ μελαίνουσα ὀφρύας τε καὶ ὀφθαλμοὺς καὶ τὴν πολιὴν τρίχα βαφαῖσι τεχνεωμένη, οὐδὲ λούσεται θαμινά. ἡ γὰρ ταῦτα ζητέουσα θηητῆρα ζητέει ἀκρασίης γυναικηίης. κάλλος γὰρ τὸ ἐκ φρονήσιος, οὐκὶ δὲ τὸ ἐκ τως γενέσθαι καὶ δόξαν καὶ φιλίην ἐνδόξων καὶ βασιληίων ἀνδρῶν· ἢν μὲν γὰρ ἔῃ, οὐ λυπέει· ἢν δὲ μὴ ἔῃ, ἐπιζητέειν οὐ ποιέει· τούτων γὰρ δίχα φρονίμη γυνὴ ζῆν οὐ κωλύεται. κἢν ἔῃ δὲ φαῦλα τά περ λελάχαται, τὰ μεγάλα καὶ θαυμαζόμενα μή κοτε διζέσθω ψυχή, ἀλλὰ καὶ ἀπ' ὧν αὐτῶν βαδιζέτω· βλάπτει γὰρ μᾶλλον ἐς ἀτυχίην ἕλκοντα ἢ ὠφελέει. τούτοισι γὰρ ἐπιβουλή τε καὶ φθόνος καὶ βασκανίη προσκέεται, ὥστε ἐν ἀταραξίῃ οὐκ ἂν γένοιτο ἡ τοιήδε. θεοὺς δὲ σέβειν δεῖ ἐς εὐελπιστίην εὐδαιμονίης, νόμοισί τε καὶ θεσμοῖσι πειθομένην πατρίοισι. μετὰ δὲ τούτους μυθέομαι [τοὺς θεοὺς] γονέας τιμᾶν καὶ σέβειν· οὗτοι γὰρ ἴσα θεοῖσι πάντα πέλουσι καὶ πρήσσουσι τοῖς

ἐγγόνοισι. πρὸς δὲ τὸν ἄνδρα τὸν ἑαυτῆς ζώειν ὧδε δεῖ νομίμως καὶ κρηγύως, μηδὲν ἐννενωμένην ἐστὶ τὰ ξύμπαντα. φέρειν δὲ χρὴ τῶ ἀνδρὸς πάντα, κἢν ἀτυχῇ, κἢν ἁμάρτῃ κατ᾽ ἄγνοιαν ἢ νοῦσον ἢ μέθην, ἢ ἄλλῃσι γυναιξὶ συγγένηται· ἀνδράσι μὲν γὰρ ἐπιχωρέεται ἁμαρτίη αὕτη· γυναιξὶ δὲ οὔκοτε, τιμωρίη δ᾽ ἐφέστηκεν. ὥσασθαι ὧν τὸν νόμον δεῖ καὶ μὴ ζηλοτυπέειν· φέρειν δὲ καὶ ὀργὴν καὶ φειδωλίην καὶ μεμψιμοιρίην καὶ ζηλοτυπίην καὶ κακηγορίην καὶ ἤν τι ἄλλο ἔχῃ ἐκ φύσιος, καὶ οὕτω θήσεται πάντα ὅκως φίλον ἐστὶν αὐτέῳ σωφρονέουσα. γυνὴ γὰρ ἄνδρα φιλέουσα καὶ τἀνδρὸς πρήσσουσα κρηγύως, ἁρμονίη ὑπάρχει, καὶ οἶκον τὸν ξύμπαντα φιλέει καὶ τοὺς θύρηθεν εὐνόους τῇ οἰκίῃ ποιέει· ἐπὴν δὲ μὴ φιλέῃ, οὔτε οἶκον οὔτε παῖδας τοὺς ἑωυτῆς οὔτε θεράποντας οὔτε οὐσίην ἡντιναῶν ἐθέλει σῴαν ἐσιδέειν, φθορὴν δὲ πᾶσαν ἀρέεται [καὶ εὔχεται] εἶναι, ὡς πολεμίη ἐοῦσα, καὶ τὸν ἄνδρα εὔχεται τεθνάναι ὡς ἐχθρόν, ὅπως ἄλλοισιν ὁμουρέῃ, καὶ ὁκόσοι ἀνδάνουσι τουτέῳ ἐχθαίρει. καὶ ξένοι εἰσί· καὶ ἀπεριεργίῃ τὸ σκῆνος διάξει τουτέων, λεσχαίνουσά τε καὶ ἀκούουσα καλά, καὶ ἀκολουθέουσά τε αὐτέῳ καθ᾽ ὁμοδοξίην τῆς ξυνῆς βιοτῆς, καὶ οἷς ἐκεῖνος αὔξει συγγενέσι τε καὶ φίλοισι ξυνομαρτέουσα, καὶ ταὐτὰ ἡγεομένη γλυκέα τε καὶ πικρὰ τὠνδρὶ, ἢν μὴ ἀναρμόνιος ἐς τὸ πᾶν ἔῃ. Μουσωνίου ἐκ τοῦ Περὶ σκευῶν (Mus. rel. p. 109, 9 H.). Καὶ μὴν συνῳδὰ καὶ συγγενῆ τῇ περὶ τὰς οἰκίας πολυτελείᾳ καὶ τὰ τῶν σκευῶν τῶν κατ᾽ οἰκίαν φαίνεται ὄντα, κλῖναι καὶ τράπεζαι καὶ στρώματα καὶ ἐκπώματα καὶ εἴ τι τοιοῦτον, πάντως τὴν χρείαν ὑπερβεβηκότα καὶ προσωτέρω τῶν ἀναγκαίων ἐληλυθότα· κλῖναι μὲν ἐλεφάντιναι καὶ ἀργυραῖ ἢ νὴ Δία χρυσαῖ, τράπεζαι δὲ παραπλησίας ὕλης, στρωμναὶ δὲ ἁλουργεῖς καὶ ἄλλων χρωμάτων δυστὰ δὲ λίθων ἢ λιθοειδῶν τινων ἀμιλλωμένων τῇ πολυτελείᾳ τοῖς ἀργυροῖς καὶ χρυσοῖς. καὶ σπουδάζεται ταῦτα πάντα, τοῦ μὲν σκίμποδος οὐδὲν κακίω παρεχομένου κατάκλισιν ἡμῖν τῆς ἀργυρᾶς ἢ τῆς ἐλεφαντίνης κλίνης, τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι ὥστε μὴ δεῖσθαι πορφυρίδος ἢ φοινικίδος· ἐσθίειν δ᾽ ὑπάρχοντος ἡμῖν ἀβλαβῶς ἀπὸ τραπέζης ξυλίνης ὡς μὴ ποθεῖν μηδαμῶς τὴν ἀργυρᾶν, καὶ πίνειν γε νὴ Δία ἐκ κεραμεῶν ποτηρίων παρόν, ἃ τό τε δῖψος σβεννύειν παραπλησίως πέφυκε τοῖς χρυσοῖς, καὶ τὸν ἐγχεόμενον αὐτοῖς οἶνον οὐ λυμαίνεται, ὀσμὴν δέ γε ἡδίω τῶν χρυσῶν παρέχεται καὶ τῶν ἀργυρῶν. καθόλου δ᾽ ἀρετὴ καὶ κακία σκευῶν κριθείη ἂν ὀρθῶς ἐκ τριῶν τούτων, τῆς τε κτήσεως καὶ τῆς χρήσεως καὶ τῆς τηρήσεως. ὅσα μὲν γὰρ ἢ κτήσασθαι δύσκολά ἐστιν ἢ χρήσασθαι μὴ ἐπιτήδεια ἢ φυλάξαι μὴ ῥᾴδια, ταῦτα χείρω· ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς καὶ χρώμενοι ἐπαινοῦμεν καὶ φυλάττομεν ῥᾳδίως, ταῦτα ἀμείνω. διόπερ τὰ κεραμεᾶ καὶ τὰ σιδηρᾶ καὶ ὅσα τοιαῦτα, πολλῷ κρείττω τῶν ἀργυρῶν τε καὶ χρυσῶν, ὅτι ἡ κτῆσις τούτων εὐμαρεστέρα, ὅσῳ καὶ εὐτελεστέρα, ἥ τε χρῆσις πλείων, ὅτι καὶ πυρὶ ῥᾳδίως ταῦτ᾽ ἐμβάλλομεν, ἐκεῖνα δὲ οὔ, ἥ τε φυλακὴ ἧττων· τὰ γὰρ εὐτελῆ τῶν πολυτελῶν ἐπιβουλεύεται ἧττον. μέρος δέ τι τῆς φυλακῆς οὖσα καὶ ἡ ἐκκάθαρσις περὶ τὰ τοῦ ὀλίγα μὲν ὑπουργοῦντος, πολλοῦ δ᾽ ἠγορασμένου· κατὰ τὰ αὐτὰ καὶ σκεύη τὰ εὐτελέστερα καὶ πολυχρηστότερα κρείττω τῶν ἐναντίων. τί ποτ᾽ οὖν διώκεται τὰ σπάνια καὶ πολυτελῆ πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν; ὅτι ἀγνοεῖται τὰ καλὰ καὶ τἀγαθά, καὶ ἀντὶ τῶν ὄντων τὰ δοκοῦντα σπουδάζεται παρὰ τοῖς ἀνοήτοις· ὥσπερ δὴ καὶ οἱ μαινόμενοι πολλάκις λευκὰ τὰ μέλανα νομίζουσιν· ἄνοια δὲ μανίας συγγενέστατον. ἐπεὶ τῶν γε νομοθετῶν τοὺς ἀρίστους, καὶ ἐν πρώτοις Λυκοῦργον εὕροιμεν ἂν πολυτέλειαν μὲν ἐξελαύνοντα τῆς Σπάρτης, ἀντεισάγοντα δ᾽ εὐτέλειαν καὶ τὸ ἐνδεὲς τῆς διαίτης τοῦ περιττοῦ προτιμῶντα πρὸς ἀνδρείαν, καὶ τὴν μὲν τρυφὴν ὡς λύμην ἐκτρεπόμενον, τὸ δ᾽ ἐθελόπονον ὡς σωτήριον ζηλοῦν ἀξιοῦντα. τεκμήρια δὲ τούτων αἱ τῶν ἐφήβων ἐκεῖ καρτερήσεις ἐθιζομένων φέρειν λιμόν τε καὶ δῖψος, καὶ μετὰ τούτων ῥῖγος, ἔτι δὲ πληγὰς καὶ πόνους ἄλλους … σεμνοῖς ἔθεσιν οἱ παλαιοὶ Λακεδαιμόνιοι τραφέντες ἄριστοι τῶν Ἑλλήνων ἦσάν τε καὶ ἐνομίζοντο, καὶ τὴν πενίαν τὴν ἑαυτῶν ζηλωτοτέραν τοῦ βασιλέως πλούτου κατέστησαν. ἐγὼ δ᾽ οὖν καὶ αὐτὸς σεῖν μόνον βλάπτει τὸ

σῶμα, τὸ δὲ τρυφᾶν ἄμφω διαφθείρει, ψυχήν τε καὶ σῶμα, σώματι μὲν ἀσθένειαν καὶ ἀδυναμίαν, ψυχῇ δὲ ἀκολασίαν καὶ ἀνανδρίαν ἐμποιοῦν. καὶ μὴν καὶ ἀδικίαν τίκτει τρυφή, ὅτι καὶ πλεονεξίαν. οὔτε γὰρ τρυφῶντά τινα δυνατὸν μὴ πολυτελῆ εἶναι, οὔτε πολυτελῆ ὄντα ὀλίγα βούλεσθαι ἀναλίσκειν, βουλόμενον δὲ πολλὰ μὴ καὶ πορίζειν πολλὰ ἐπιχειρεῖν, οὐδ' αὖ πορίζειν ἐπιχειροῦντα πολλὰ μὴ πλεονεκτεῖν καὶ ἀδικεῖν· οὐ γὰρ ἂν πορίσειέ τις ἐκ δικαίων πολλά. ἔτι καὶ ἄλλον τρόπον ἄδικος ἂν εἴη πάντως ὁ τρυφῶν. καὶ γὰρ ὑπὲρ πόλεως τῆς αὐτοῦ πονεῖν τοὺς προσήκοντας πόνους ὀκνήσειεν ἂν ἢ οὐκ ἂν ἔτι τρυφῴη, κἂν ὑπὲρ φίλων ἢ συγγενῶν κακοπαθῆσαι δέον, οὐκ ἂν ὑπομείνειεν· οὐ γὰρ ἐάσει αὐτὸν ἡ τρυφή. καὶ μὴν καὶ διὰ θεοὺς ἔστιν ὅτε πονητέον τῷ δικαίῳ εἶναι βουλομένῳ πρὸς θεούς, ὅτι θυσίας ἢ τελετὰς ἤ τινα ἄλλην ὑπηρεσίαν τελέσει τοῖς θεοῖς, ὁ δὲ τρυφῶν ἐνδεήσει κἀνταῦθα, διόπερ ἄδικος ἂν εἴη πάντως καὶ περὶ πόλιν καὶ περὶ φίλους καὶ περὶ θεούς, ἃ χρὴ πράττειν αὐτὸν οὐ πράττων. ὡς οὖν καὶ ἀδικίας αἰτίαν οὖσαν τὴν τρυφὴν φευκτέον τρόπῳ παντί. Ἱεροκλέους [ἐκ τοῦ Οἰκονομικοῦ] (p. 62, 21 de Arn.). Πρὸ πάντων γε περὶ τῶν ἔργων, ὑφ' ὧν οἶκος συνέχεται. ἀστυπολίαν ἀνακεῖσθαι, τῇ δὲ γυναικὶ τὰ περὶ τὴν ταλασίαν καὶ σιτοπονίαν καὶ ὅλως τὰ κατοικίδια τῶν ἔργων. οὐδὲ μὴν ἀγεύστους ἀξιωτέον εἶναι τοὺς ἑτέρους τῶν ἑτέρων. γένοιτο γὰρ ἄν ποτε καὶ γυναικὶ κατ' ἀγρὸν γενομένῃ καθῆκον τὸ τοῖς ἐργαζομένοις ἐπιστῆναι καὶ τὴν τοῦ οἰκοδεσπότου τάξιν ἐκπληρῶσαι, καὶ ἀνδρὶ περὶ τῶν κατὰ τὴν οἰκίαν ἐπιστροφὴν ποιήσασθαι καὶ τὰ μὲν διαπυθέσθαι, τὰ δὲ καὶ ἐπιδεῖν τῶν γινομένων. οὕτω γὰρ ἂν ἐπισυνδέοιτο μᾶλλον τὰ τῆς κοινωνίας, εἰ συμμετέχοιεν ἀλλήλοις τῶν ἀναγκαίων φροντίδων. δεῦρο μέντοι τοῦ λόγου γενόμενος οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ καὶ τῆς αὐτουργίας ποιήσασθαί τινα μνήμην, ἐπεὶ εἰκὸς τοῖς ὑπὲρ τῶν ἔργων εἰρημένοις καὶ τοῦτο προστεθῆναι. ὡς μὲν τοίνυν τἀνδρὶ καθήκει τῶν γεωργικῶν ἅπτεσθαι πόνων, τί δεῖ καὶ λέγειν; οὐ πολὺς γὰρ ὁ κατὰ τοῦτο δυσπειθής, ἀλλὰ καίπερ τοσαύτης τρυφῆς καὶ ἀπονίας τὸν νῦν κατεχούσης μηταί, παρακαλῶν τὸν ἄνδρα λόγος. καὶ πάσχουσί γε οὐκ ἀπεικὸς οἱ καθαρειότεροι, μὴ καθ' ἑαυτοὺς εἶναι τοπάζοντες ἅψασθαι ταλασίας. ἐπεὶ γὰρ ὡς ἐπὶ τὸ πλῆθος εὐτελεῖς ἀνθρωπίσκοι καὶ τὸ τῶν κατεαγότων καὶ γυννίδων φῦλον εἰς τὴν ἐρίων ἐργασίαν καταφέρεται ζήλῳ θηλύτητος, οὐ δοκεῖ κατὰ τὸν ἀληθινώτερον ἄνδρα τυγχάνειν τὸ εἰς ταῦτα συγκαθιέναι· ὥστ' ἔγωγε τάχ' ἂν οὐδ' ἂν αὐτὸς συμβουλεύσαιμι τοῖς μὴ τελέαν παρεσχημένοις πίστιν ὑπὲρ τῆς ἑαυτῶν ἀρρενότητος καὶ σωφροσύνης ἅπτεσθαι τοιοῦδέ τινος. εἰ μέντοι διὰ τοιοῦδε βίου πεποιήκοι τις [ἂν] ἑαυτὸν πάσης ὑπονοίας ἀτόπου καθαρεύοντα, τί κωλύσει καὶ κατὰ ταῦτα τῇ γυναικὶ κοινωνῆσαι τὸν ἄνδρα; τῶν μὲν γὰρ ἄλλων κατοικιδίων ἔργων μὴ καὶ τὸ πλέον ἀνδράσι προσήκειν ἡγητέον ἢπερ γυναιξίν; ἔστι γὰρ καματωδέστερα καὶ ῥώμης δεόμενα σωματικῆς, οἷον ἀλέσαι καὶ σταῖς μάξαι διασχίσαι τε μόνον ταῖς θεραπαίναις, ἀλλὰ καὶ τῶν ἄλλων ἔργων τῶν ἐπανδροτέρων. καὶ γὰρ σιτοπονίας ἅψασθαι κατὰ τὴν ἐλευθέραν εἶναί μοι δοκεῖ καὶ ὕδωρ ἀνιμῆσαι 〈καὶ〉 πῦρ ἀνακαῦσαι καὶ κλίνην καταστρῶσαι καὶ πᾶν τὸ τούτοις ἐοικός. πολὺ δ' ἂν ἀνδρὶ φαίνοιτο καλλίων τῷ γε ἑαυτῆς, καὶ μάλιστα νεᾶνις οὖσα καὶ μηδέπω τετρυμένη κυοφορίαις, εἰ καὶ τρύγης ἀμπέλων αὐτουργοῦσα συμμετάσχοι καὶ συλλογῆς ἐλαιῶν, εἰ δὲ παρείκοι, καὶ σπόρου καὶ ἀρόσεως καὶ παραδόσεως ἐργαλείων τοῖς σκάπτουσιν ἢ φυτεύουσιν. τοῦτον γὰρ τὸν τρόπον ἕνεκα τῶν ἔργων οἶκος προστατούμενος ὑπ' ἀνδρὸς καὶ γυναικὸς ἄριστ' ἄν μοι δοκεῖ κατά γε ταῦτα διεξάγεσθαι. Ξενοφῶντος Ἀπομνημονευμάτων γ′ (8,8—10). ἔχειν τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται; τούτου δὲ ὁμολογουμένου· Οὐκοῦν ἡδὺ μὲν θέρους ψυχεινὴν ἔχειν, ἡδὺ δὲ χειμῶνος ἀλεεινήν; ἐπειδὴ δὲ καὶ τοῦτο συμφαῖεν· Οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις, τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς παραστάδας ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος σκιὰν παρέχει. οὐκοῦν, εἴ γε καλῶς ἔχει ταῦτα οὕτω γίγνεσθαι, οἰκοδομεῖν δεῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ χειμερινὸς ἥλιος μὴ ἀποκλείηται, χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον, ἵνα μὴ οἱ ψυχροὶ παρεμπίπτωσιν ἄνεμοι· ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι καὶ τὰ ὄντα ἀσφαλέστατα τιθοῖτο, αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη· γραφαὶ δὲ καὶ ποικιλίαι πλείονας εὐφροσύνας ἀποστεροῦσιν ἢ παρέχουσι. ναοῖς γε μὴν καὶ βωμοῖς χώραν ἔφη εἶναι πρεπωδεστάτην, ἥτις ἀσφαλεστάτη οὖσα ἀστιβεστάτη εἴη· ἡδὺ μὲν γὰρ Ξενοφῶντος ἐκ τοῦ Οἰκονομικοῦ (6,4—5). Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἐδόκει ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία, ἡ δ' ἐπιστήμη αὕτη ἐφαίνετο ᾗ οἴκους αὔξειν δύνανται ἄνθρωποι, οἶκος δ' ἡμῖν ἐφαίνετο ὅπερ κτῆσις ἡ σύμπασα, κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι ὅ τι ἑκάστῳ εἴη ὠφέλιμον εἰς τὸν βίον, ὠφέλιμα δὲ πάντα εὑρίσκετο ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι. πάσας μὲν οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν ἡμῖν οἷόν τε ἐδόκει εἶναι, συναπεδοκιμάζομέν τε ταῖς πόλεσι τὰς βαναυσικὰς καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα λυμαίνεσθαι δο- Εὐριπίδου Δίκτυι (fr. 336 N. 2). Εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά. ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ, ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ. Εὐριπίδου Ἀλεξάνδρῳ (fr. 52 N. 2). ΧΟΡ. Περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ βρότειον εὐλογήσομεν. τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθ' ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν, τὸ φρόνιμον εὐγένεια καὶ τὸ συνετόν. ὁ 〈δὲ〉 θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος ... Ἀστυδάμαντος (fr. 8 p. 780 N. 2). Γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν. ἐν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα, κεἰ τοῦτον οἱ ζητοῦντες εἰσὶ μύριοι. Εὐριπίδου Ἠλέκτρα (383—390). Οὐ μὴ φρονήσεθ', οἳ κενῶν δοξασμάτων πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς κρινεῖτε καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς; οἱ γὰρ τοιοίδε τὰς πόλεις οἰκοῦσιν εὖ καὶ δώμαθ'· αἱ δὲ σάρκες αἱ κεναὶ βροτῶν ἀγάλματ' ἀγορᾶς εἰσιν. οὐδὲ γὰρ δόρυ Θεοδέκτου (fr. 15 p. 806 N. 2). Ἐγὼ μὲν οὔποτ' εὐγένειαν ἦνεσα τὴν προστάταισι χρωμένην ἀναξίοις. Ἐπιχάρμου. *** (Menandri fr. 533 K.) Ἀπολεῖ με τὸ γένος· μὴ λέγ', εἰ φιλεῖς ἐμέ, μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος· οἷς ἂν 〈τῇ〉 φύσει ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσόν, ἐκεῖσε καταφεύγουσιν, εἰς τὰ μνήματα καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους ὅσοι. οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἂν οὐδ' εἰπεῖν ὅτῳ οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' 〈ἄν〉 ποτε; εἰ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν, τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι; ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά, Εὐριπίδου Ἀλεξάνδρῳ (fr. 53 N. 2). Οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια, παρ' ἀγαθοῖσι δ' ἀνδρῶν. Εὐριπίδου Ἰνῷ (fr. 414 N. 2). Φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα· κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιοι. Εὐριπίδου Αἰγέως (fr. 9 N. 2). Ἦ που κρεῖσσον τῆς εὐγενίας τὸ καλῶς πράσσειν. Μενάνδρου Κνιδία (fr. 290 K.). Οὐδὲν γένους γένος γὰρ οἶμαι διαφέρειν. ἀλλ' εἰ δικαίως ἐξετάσεις, καὶ γνήσιος ὁ χρηστός ἐστιν, ὁ δὲ πονηρὸς καὶ νόθος. Εὐριπίδου Μελανίππης (fr. 495, 40—43 N. 2). κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω. Σοφοκλῆς Τηρεῖ (fr. 532 N. 2). Ἓν φῦλον ἀνθρώπων μί' ἔδειξε πατρὸς καὶ ματρὸς ἡμᾶς ἁμέρα τοὺς πάντας· οὐδεὶς ἔξοχος ἄλλος ἔβλαστεν ἄλλου. βόσκει δὲ τοὺς μὲν μοῖρα δυσαμερίας, τοὺς δ' ὄλβος ἡμῶν, τοὺς δὲ δουλείας –– –– ζυγὸν ἔσχ' ἀνάγκας. Βίωνος. Ἀντίγονος ὁ βασιλεὺς Βίωνα τὸν φιλόσοφον διαβληθέντα ὡς δυσγενῆ ἤρετο τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πτόλις ἠδὲ τοκῆες; κἀκεῖνος εἶπεν 'ἀλλ' ὀρθῶς 〈οἶμαί σ'〉 , ὦ βασιλεῦ, ὅταν τοξοτῶν χρείαν ἔχῃς, οὐκ ἐρωτῶντα τὸ γένος, ἀλλὰ τι- Σωστράτου. Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι εἶπε 'καὶ μὴν διὰ τοῦτο ὤφειλον μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται'. Ἰφικράτους. Ἰφικράτης ὀνειδιζόμενος εἰς δυσγένειαν 'ἐγὼ ἄρξω' εἶπε 'τοῦ γένους.' Ἀναχάρσιδος. Ἀνάχαρσις ὀνειδιζόμενος ὑπό τινος ὅτι Σκύθης ἐστὶν εἶπε 'τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ'. Ἐκ τῆς Φαλάριδος Ἀξιόχῳ ἐπιστολῆς (p. 444 Herch.). Σεμνύνεσθαι μὲν ὥσπερ ἄλλῳ τινὶ τῶν καλῶν ἐπ' εὐγενείᾳ οὐκ ἀπεικός ἐστιν. ἐγὼ δὲ

μίαν εὐγένειαν ἀρετὴν φαύλων ἀγαθὸς καὶ βασιλέων καὶ πάντων εὐγενέστερος, ὁ δὲ ἐξ ἀγαθῶν φαῦλος αὐτός τε αὐτοῦ καὶ τῶν ταπεινοτάτων δυσγενέστερος. ὥστε ψυχῆς ἔπαινον αὔχει, μὴ προγόνων τεθνηκυῖαν εἰς ἀδοξοτέρους εὐγένειαν. Δημοκρίτου (fr. 57 Diels. 2). Κτηνέων μὲν εὐγένεια ἡ τοῦ σκήνεος εὐθένεια, ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη. Διογένους. Πυνθανομένου τινὸς τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, ‘οἱ καταφρονοῦντες‘ εἶπε ‘πλούτου, δόξης, ἡδονῆς, ζωῆς, τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες πενίας, ἀδοξίας, πόνου, θανάτου‘. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τί εὐγένεια, ‘εὐκρασία‘ ἔφη ‘ψυχῆς καὶ σώματος‘. Πλουτάρχου ἐκ τοῦ Κατὰ εὐγενείας. Τί γὰρ ἄλλο νομίζομεν εἶναι τὴν εὐγένειαν, εἰ μὴ παλαιὸν πλοῦτον ἢ παλαιὰν δόξαν, οὐδέτερον ἐφ’ ἡμῖν ὄν, ἀλλὰ τὰ μὲν τύχης ἀδήλου τὰ δ’ ἀκρασίας χάριν ἀνθρωπίνης; ὥστ’ ἐκ δυεῖν ἀλλοτρίων κρέμαται τὸ πεφυσημένον ὄνομα ἡ εὐγένεια. καὶ ὁ πλοῦτος μὲν οὐχ ὁμοίους αὐτῷ τοὺς γεννηθέντας ποιεῖ, ἀλλ’ ὁ ἐξ ἀρετῆς γεννηθεὶς εἰκονίζεται, τῶν ἐπὶ τῆς ψυχῆς δικαίων εἰς τοὺς ἐκγόνους διαχεομένων· καὶ τοῦτ’ ἔστιν ἡ ὄντως εὐγένεια, ὁμοίωσις δικαιοσύνης. Ἐν ταὐτῷ. Ἆρ’ οὖν εὐγενέστερος ἦν ὁ Μίδου πλοῦτος τῆς Ἀριστείδου πενίας; καίτοι ὁ μὲν οὐδ’ ἐντάφια καταλιπών, τῷ δὲ Φρυγὶ πάντ’ ἂν ἐδύνατο εἶναι τάφος. ἀλλ’ οὐκ ἐν πλουσίῳ τὸ εὐγενές. πυρὸς ἔχει τινὰ τρόπον πᾶσα πονηρία. ἀμφότερα χωρὶς τροφῆς ἀφανίζεται σβεννύμενα. ἡ δὲ Σωκράτους ἀδοξία, μαίας καὶ ἑρμογλύφου πατρός, οὐκ ἦν εὐγενεστέρα τῆς Σαρδαναπάλλου δόξης; μὴ σύ γε νομίζεις ὅτι Ξέρξης εὐγενέστερος ἦν Κυνεγείρου; καίτοι ὁ μὲν ὑπὲρ τῆς ἰδίας πατρίδος ἀπεκόπη τὴν χεῖρα, ὁ δ’ ὑπὲρ τοῦ ζῆν ἔφυγεν, ἀντὶ τῆς μεγάλης βασιλείας μεγάλην περικείμενος δειλίαν. Σωκράτους. Οὔτε σῖτον ἄριστον 〈τὸν〉 ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν, οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα. Ἐκ τοῦ Ἀριστοτέλους Περὶ εὐγενείας (fr. 91 Rose). Ὅλως δὲ περὶ εὐγενείας ἐγὼ ἀπορῶ, τίνας χρὴ καλεῖν τοὺς εὐγενεῖς. Εἰκότως γ’, ἔφην, τοῦτο σὺ διαπορῶν· καὶ γὰρ παρὰ τῶν πολλῶν καὶ μᾶλλον παρὰ τῶν σοφῶν τὰ μὲν ἀμφισβητεῖται τὰ δ’ οὐ λέγεται σαφῶς, εὐθὺς τὰ περὶ τῆς δυνάμεως. λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ καὶ σπουδαίων ἤ, καθάπερ Λυκόφρων ὁ σοφιστὴς ἔγραψε, κενόν τι πάμπαν. ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτήν ‘εὐγενείας μὲν οὖν‘ φησίν ‘ἀφανὲς τὸ κάλλος, ἐν λόγῳ δὲ τὸ σεμνόν, ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς, κατὰ δ’ ἀλήθειαν οὐθὲν διαφέροντας τοὺς ἀγενεῖς τῶν εὐγενῶν‘. Ἐν ταὐτῷ (fr. 92 Rose). Ἀμφισβητεῖται δὲ καθάπερ καὶ περὶ τοῦ πηλίκον ἀγαθόν ἐστιν, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς. οἱ μὲν γὰρ τοὺς ἐξ ἀγαθῶν γονέων εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ καὶ Σωκράτης· διὰ γὰρ τὴν Ἀριστείδου ἀρετὴν καὶ τὴν θυγατέρα αὐτοῦ γενναίαν εἶναι. Σιμωνίδην δέ φασιν ἀποκρίνασθαι διερωτώμενον τίνες εὐγενεῖς, τοὺς ἐκ πάλαι πλουσίων φάναι· καίτοι κατὰ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἐπιτιμῶσιν Θεόγνις οὐδ’ ὁ ποιητὴς ὁ ποιήσας ὡς ὅτι τὴν μὲν εὐγένειαν αἰνοῦσιν βροτοί, μᾶλλον δὲ κηδεύουσι τοῖσι πλουσίοις. ἢ πρὸς Διὸς οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς ἢ οὗ ὁ πρόπαππος ἢ τῶν προγόνων τις πλούσιος ἦν, αὐτὸς δὲ πένης; Πῶς γὰρ οὔκ, εἶπε. Καὶ δέοι δ’ ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον ἢ τοῖς εὐγενέσιν· εὐγενεῖς γὰρ οἱ πάλαι, κρείττους δὲ οἱ νῦν. οὔκουν ὁμοίως κἄν τις ὑπολαμβάνῃ οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἐκ πάλαι πλουσίων ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι; κρείττων γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς πρόσφατος, καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς ἢ προπάππου· αἱρετώτερον δ’ αὐτὸν εἶναι σπουδαῖον, τοῦτον; ἐνίοτε Σκεπτέον δή, ἔφη. Τὸ εὖ σημαίνει τι δήπου τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τὸ ‘εὐπρόσωπον‘ καὶ τὸ ‘εὐόφθαλμον‘· ἀγαθὸν γάρ τι ἢ καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. Πάνυ γ’, εἶπεν. Οὐκοῦν εὐπρόσωπον μέν ἐστι τὸ ἔχον ἀρετὴν προσώπου, εὐόφθαλμον δὲ τὸ ὀφθαλμοῦ ἀρετήν; Οὕτως, εἶπεν. Ἀλλὰ μὴν ἔστι γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ φαῦλον ἀλλ’ οὐ σπουδαῖον. Πάνυ γ’, εἶπεν. Σπουδαῖον δέ γέ φαμεν ἕκαστον κατὰ τὴν αὐτοῦ ἀρετὴν εἶναι, ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. Οὕτως, εἶπε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δῆλον ἄρ', ἔφην, ὅτι ἔστιν ἡ εὐγένεια ἀρετὴ γένους. Πλάτωνος ἐκ τοῦ Ἀλκιβιάδου α′ (p. 120 D —122 A). Πότερον εἰκὸς ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένεσιν ἢ μή; — Δῆλον ὅτι ἐν γενναίοις. — Οὐκοῦν τοὺς εὖ φύντας, ἢν καὶ εὖ τραφῶσιν, οὕτω τελέους γίγνεσθαι πρὸς ἀρετήν; — Ἀνάγκη. — Σκεψώμεθα δή, τοῖς ἐκείνων τὰ ἡμέτερα ἀντιτιθέντες, πρῶτον μὲν εἰ δοκοῦσι φαυλοτέρων γενῶν εἶναι οἱ Λακεδαιμονίων καὶ Περσῶν βασιλεῖς. ἢ οὐκ ἴσμεν ὡς οἱ μὲν Ἡρακλέους, οἱ δ' Ἀχαιμένους ἔκγονοι, τὸ δὲ Ἡρακλέους γένος καὶ τὸ Ἀχαιμένους εἰς Περσέα τὸν Διὸς ἀναφέρεται; — Καὶ γὰρ τὸ ἡμέτερον, ὦ Σώκρατες, εἰς Εὐρυσάκην, τὸ δὲ Εὐρυσάκους εἰς Δία. — Καὶ γὰρ τὸ ἡμέτερον, ὦ γενναῖε Ἀλκιβιάδη, εἰς Δαίδαλον, ὁ δὲ Δαίδαλος εἰς Ἥφαιστον τὸν Διός. ἀλλὰ τὰ μὲν τούτων ἀπ' αὐτῶν ἀρξάμενα βασιλεῖς εἰσιν ἐκ βασιλέων μέχρι Διός, οἱ μὲν Ἄργους τε καὶ Λακεδαίμονος, οἱ δὲ τῆς Περσίδος ἀεί, πολλάκις δὲ καὶ τῆς Ἀσίας, ὥσπερ καὶ νῦν· ἡμεῖς δὲ αὐτοί τε ἰδιῶται καὶ οἱ πατέρες. εἰ δὲ καὶ τοῦ προγόνου σε δέοι τὴν πατρίδα Εὐρυσάκους ἐπιδεῖξαι ἢ τὴν Αἰακοῦ τοῦ ἔτι προτέρου Αἴγιναν Ἀρταξέρξῃ τῷ Ξέρξου, πόσον δὴ οἴει γέλωτα ὀφλεῖν; ἀλλ' ὅρα μὴ τῷ τοῦ γένους ὄγκῳ ἐλαττώμεθα τῶν ἀνδρῶν καὶ τῇ ἄλλῃ τροφῇ. ἢ οὐκ ᾔσθησαι τοῖς τε Λακεδαιμονίων βασιλεῦσιν ὡς μεγάλα τὰ ὑπάρχοντα, ὧν αἱ γυναῖκες δημοσία φυλάττονται ὑπὸ τῶν ἐφόρων, ὅπως εἰς δύναμιν μὴ λάθῃ ἐξ ἄλλου γενόμενος βασιλεὺς ἢ ἐξ Ἡρακλειδῶν; ὁ δὲ Περσῶν τοσοῦτον ὑπερβάλλει, ὥστ' οὐδεὶς ὑποψίαν ἔχει ὡς ἐξ ἄλλου ἂν βασιλεὺς γένοιτο ἢ ἐξ αὐτοῦ· διὸ οὐ φρουρεῖται ἡ βασιλέως γυνὴ ἀλλ' ἢ ὑπὸ φόβου. ἐπειδὰν δὲ γένηται ὁ παῖς ὁ πρεσβύτατος, οὗπερ ἡ ἀρχή, ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως, ὧν ἂν ἄρχῃ. μετὰ τοῦτο τρέφεται ὁ παῖς, οὐχ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας, ἀλλ' ὑπὸ εὐνούχων οἳ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι· οἷς τἄλλα προστέτακται ἐπιμέλεσθαι τοῦ γενομένου, καὶ ὅπως ὅτι κάλλιστος ἔσται μηχανᾶσθαι, ἀναπλάττοντας τὰ μέλη τοῦ παιδὸς καὶ κατορθοῦντας· καὶ ταῦτα δρῶντες ἐν μεγάλῃ τιμῇ εἰσιν. ἐπειδὰν δὲ ἑπταετεῖς γένωνται οἱ παῖδες, ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσιν, καὶ ἐπὶ τὰς θήρας ἄρχονται ἰέναι. δὶς δ' ἑπτὰ γενόμενον ἐτῶν τὸν παῖδα παραλαμβάνουσιν οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς ὀνομάζουσιν· εἰσὶ δὲ ἐξειλεγμένοι Περσῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ τέτταρες, ὅ τε σοφώτατος καὶ ὁ δικαιότατος καὶ ὁ σωφρονέστατος καὶ ὁ ἀνδρειότατος. ὧν ὁ μὲν μαγείαν τε διδάσκει τὴν Ζωροάστρου τοῦ Ὡρομάζου· ἔστι πλάττοντας τὰ μέλη τοῦ παιδὸς καὶ κατορθοῦντας· καὶ ὁ δὲ δικαιότατος ἀληθεύειν διὰ παντὸς τοῦ βίου, ὁ δὲ σωφρονέστατος μηδὲ ὑπὸ μιᾶς ἄρχεσθαι τῶν ἡδονῶν, ἵν' ἐλεύθερος εἶναι ἐθίζηται καὶ ὄντως βασιλεύς, ἄρχων πρῶτον τῶν ἐν αὐτῷ ἀλλὰ μὴ δουλεύων, ὁ δὲ ἀνδρειότατος ἄφοβον καὶ ἀδεᾶ παρασκευάζων, ὡς ὅταν δείσῃ δοῦλον ὄντα. Εὐριπίδου Ἀντιγόνη (fr. 167 N. 2). Ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι· τὰ πολλὰ ταύτῃ γίγνεται τέκνων πέρι. Φωκυλίδου (4 B.). Καὶ τόδε Φωκυλίδου· τί πλέον, γένος εὐγενὲς εἶναι, οἷς οὔτ' ἐν μύθοις ἔπεται χάρις οὔτ' ἐνὶ βουλῇ. Σοφοκλῆς Τυρώ (fr. 606 N. 2). ΧΟΡ. Πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται Μενάνδρου (fr. 533 K.). Ἀπολεῖ με τὸ γένος· μὴ λέγ', εἰ φιλεῖς ἐμέ, μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος. οἷς ἂν τῇ φύσει ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσόν, εἰς τοῦτο καταφεύγουσιν, εἰς τὰ μνήματα καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους ὅσοι. οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἂν οὐδ' ἐρεῖς ὅτῳ οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' ἄν ποτε; εἰ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν, τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι; Εὐριπίδου Μελεάγρῳ (fr. 527 N. 2). Μόνον δ' ἂν ἀντὶ χρημάτων οὐκ ἂν λάβοις γενναιότητα κἀρετήν· καλὸς δέ τις κἂν ἐκ πενήτων σωμάτων γένοιτο παῖς. Σοφοκλῆς Αἴαντι (1093—96). Οὐκ ἄν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι, ὃς μηδὲν ὢν γοναῖσιν εἶθ' ἁμαρτάνει, τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη. Ἐπιχάρμου. *** (incerti poetae comici) Οὐκ ἔστιν οὐδεὶς ἀποδεδειγμένος τόπος, ὃς ἢ πονηροὺς πάντας ἢ χρηστοὺς ποεῖ. (scaenici poetae ignoti) Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς. Εὐριπίδου Ἠλέκτρας (550 s.). Ἀλλ' εὐγενεῖς μέν, ἐν δὲ

κιβδήλῳ τόδε· πολλοὶ γὰρ ὄντες εὐγενεῖς εἰσὶν κακοί. Ἐν ταὐτῷ (369 s.). Ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς τὸ μηδὲν ὄντα, χρηστὰ δ' ἐκ κακῶν τέκνα. Ὁμήρου (Od. II 277). Οἱ πλέονες κακίους· παῦροι δέ τε πατρὸς ἀρείους. Ἀντιγόνου (Ps.—Plut. reg. et imp. apophth. λαμβάνειν ἀποφοράς, 'ἀλλ' ἐγώ' εἶπεν 'ὦ μειράκιον, ἀνδρα- Εὐριπίδου (fr. 1066 N. 2). Ἢ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα, ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει. Εὐριπίδου Τημενίδαις (fr. 739 N. 2). Φεῦ φεῦ· τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο ὅσην ἔχει φρόνησιν ἀξίωμά τε. κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγὼς τιμὴν ἔχει τιν', ἀναμετρούμενος δέ πως τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ. Εὐριπίδου Ἀρχελάῳ (fr. 231 N. 2). Ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων; Ἐν ταὐτῷ (fr. 242 N. 2). Φέρει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν, εὐγενὴς ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν. Ἐν ταὐτῷ (fr. 232 N. 2). Ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν ἔλαμψε, κρείσσων τ' ἐστὶ πλουσίου γάμου. πένης γὰρ οὐκ ἐκεῖν' ἀπώλεσεν τὸ τοῦ πατρὸς γενναῖον. Εὐριπίδου Ἑκάβης (379 ss.). Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις. Εὐριπίδου Ἡρακλειδῶν (297—304). κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω τέκνοις ὄνειδος οὔνεχ' ἡδονῆς λιπεῖν. τὸ δυστυχὲς γὰρ ἡ εὐγένει' ἀμύνεται τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ κακῶν εἰς τοὔσχατον πεσόντες εὕρομεν φίλους. Εὐριπίδου (fr. 1067 N. 2). Τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα. πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς γένοιτ' ἄν; οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ. Τοῦ αὐτοῦ Ἰνοῖ (fr. 404 N. 2). Τό τ' εὐγενὲς πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς. Ἐν ταὐτῷ (fr. 405 N. 2). Τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος, τιμῶσι πολλοὶ προσλαβεῖν τέκνων χάριν, Σοφοκλέους Ἀλήτῃ (fr. 100 N. 2). Ἀλλ' εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις, σήμαιν' ὅτου τ' εἶ χώπόθεν. τὸ γὰρ καλῶς πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος. Πλουτάρχου Ὑπὲρ εὐγενείας. Ἄπιστος ἡ τῶν σοφιστῶν συκοφαντία κατὰ τῆς εὐγενείας, εἰ μηδὲ τὰ ἐν μέσῳ καὶ πᾶσι γνώριμα σκοποῦσιν, ὅτι πρὸς τὰς ὀχείας τοὺς εὐγενεῖς ἵππους καὶ κύνας ὠνοῦνται καὶ κιχρῶνται καὶ ἀμπέλων εὐγενῆ σπέρματα καὶ ἐλαιῶν καὶ τῶν ἄλλων δένδρων, ἀνθρώπου δὲ οὐδὲν ὄφελος νομίζουσιν εὐγένειαν εἰς τὰς μελλούσας διαδοχάς· ἀλλὰ ταὐτὸ πείθονται βάρβαρον εἶναι καὶ ἑλληνικὸν σπέρμα, καὶ οὐκ οἴονται λεληθυίας τινὰς ἀρχὰς καὶ σπέρματα ἀρετῆς συγκαταβάλλεσθαι τοῖς γεννωμένοις, ὥσπερ τῷ Τηλεμάχῳ τοῦ Ὀδυσσέως, ἐφ' οὗ καὶ πάνυ τῷ ὀνόματι ὁ ποιητὴς εἴρηκεν ἐνέστακται μένος ἠύ, ὡς ἂν ἐν ταῖς σπερμάτων ὀλίγαις σταγόσι καὶ τῶν ἀρετῆς συρρεόντων ἀγαθῶν. Ἐκ τῶν Ἀριστοτέλους Περὶ εὐγενείας (fr. 94 Rose). Φανερὸν τοίνυν, ἔφην ἐγώ, περὶ ὧν πάλαι διηπολαι σπουδαίων εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον τῶν σύνεγγυς τἀγαθὰ κεκτημένων. αὐτὸς γὰρ ἐγγύτερος σπουδαῖος ὢν ἢ πάππου σπουδαίου τετυχηκώς, ὥστ' εἴη ἂν εὐγενὴς ὁ ἀγαθὸς ἀνήρ. καί τινες εἰρήκασιν οὕτως ἐκ τούτου διελέγχειν προσποιούμενοι τοῦ συλλογισμοῦ τὴν εὐγένειαν, ὥσπερ φησὶ καὶ Εὐριπίδης, οὐχὶ τῶν ἐκ πάλαι σπουδαίων εὐγένειαν φάμενος εἶναι, ἀλλ' ὅστις ἀνὴρ ἀγαθὸς ἁπλῶς. τὸ δ' οὐκ ἔστιν· ἀλλ' ὀρθῶς ζητοῦσιν οἱ τὴν ἀρχαίαν ἀρετὴν προτιθέντες. τὰ δ' αἴτια εἴπωμεν τούτων, ὅτι ἡ μὲν εὐγένειά ἐστιν ἀρετὴ γένους, ἡ δ' ἀρετὴ σπουδαίων· σπουδαῖον δ' ἐστὶ γένος, ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. συμβαίνει δὲ τὸ τοιοῦτον, ὅταν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει· ἡ γὰρ ἀρχὴ τοιαύτην ἔχει τὴν δύναμιν, πολλὰ παρασκευάζειν οἷά περ αὐτή. τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον, ποιῆσαι οἷον αὐτὴ ἕτερα πολλά. ὅταν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει καὶ οὕτω σπουδαῖος ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεάς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι ἄν τε ἀνθρώπων ᾖ τὸ γένος, ἄν τε ἵππων, ἵπποι, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζῴων. ὥστ' εὐλόγως οὐχ οἱ πλούσιοι οὐδ' οἱ ἀγαθοί, ἀλλ' οἱ ἐκ πάλαι πλουσίων ἢ ἐκ ἀρχηγοὶ τῶν προγόνων ὄντες. ὅταν μὲν οὖν αὐτὸς ἀγαθὸς 〈ᾖ〉, μὴ ἔχῃ δὲ τοιαύτην δύναμιν τῆς φύσεως ὡς τίκτειν πολλοὺς ὁμοίους, οὐκ ἔχει ἀρχὴν ... τοιαύτην δύναμιν, ἐν τούτοις ἀρχὴ τοῦ γένους, καὶ

εὐγενεῖς οἱ ἀπὸ τούτου τοῦ γένους ὄντες, οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ᾽ ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους. οὐ γὰρ δι᾽ αὐτὸν ὁ πατὴρ ἐγέννησεν ἀγαθόν, ἀλλ᾽ ὅτι ἐκ τοιούτου γένους ἦν. Ξενοφῶντος ἐκ τοῦ Περὶ Θεόγνιδος. Θεόγνιδός ἐστιν ἔπη τοῦ Μεγαρέως. οὗτος δὲ ὁ ποιητὴς περὶ οὐδενὸς ἄλλου λόγον πεποίηται ἢ περὶ ἀρετῆς καὶ κακίας ἀνθρώπων, καὶ ἔστιν ἡ ποίησις σύγγραμμα περὶ ἀνθρώπων, ὥσπερ εἴ τις ἱππικὸς ὢν συγγράψειεν περὶ ἱππικῆς. ἡ οὖν ἀρχή μοι δοκεῖ τῆς ποιήσεως ὀρθῶς ἔχειν. ἄρχεται γὰρ πρῶτον ἀπὸ τοῦ εὖ γενέσθαι. ᾤετο γὰρ οὔτ᾽ ἄνθρωπον οὔτε τῶν ἄλλων οὐδὲν ἂν ἀγαθὸν εἶναι, εἰ μὴ τὰ γεννήσοντα ἀγαθὰ εἴη. ἔδοξεν οὖν αὐτῷ παραδείγμασι τοῖς ἄλλοις ζῴοις χρήσασθαι, ὅσα μὴ εἰκῆ τρέφεται, ἀλλὰ μετὰ τέχνης ἕκαστα θεραπεύεται, κτήσασθαι, γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει ἐσθλὸς ἀνήρ, ἥν τις χρήματα πολλὰ διδῷ. οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις πλουσίου· ἀλλ᾽ ἀφνεὸν βούλεται ἀντ᾽ ἀγαθοῦ. χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε, καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμιξε γένος. Ταῦτα τὰ ἔπη λέγει τοὺς ἀνθρώπους οὐκ ἐπίστασθαι γεννᾶν ἐξ ἀλλήλων, κᾶτα γίγνεσθαι τὸ γένος τῶν ἀνθρώπων κάκιον ἀεὶ μιγνύμενον τὸ χεῖρον τῷ βελτίονι. οἱ δὲ πολλοὶ ἐκ τούτων τῶν ἐπῶν οἴονται τὸν ποιητὴν πολυχρημοσύνην τῶν ἀνθρώπων κατηγορεῖν καὶ ἀντὶ χρημάτων ἀγένειαν καὶ κακίαν ἀντικαταλλάττεσθαι εἰδότας. Μενάνδρου (fr. 664 K.). Τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς κἂν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας. Εὐριπίδου Ἑλένῃ (940 ss.). Δὸς τὴν χάριν μοι τήνδε καὶ μιμοῦ τρόπους πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς εἰς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους. Δημοσθένους (LXI p. 1403). Τοῖς εὐγενέσι καὶ καλοῖς μάλιστα κατεπείγει, κάλλος μὲν ἐπὶ τῆς ὄψεως, σωφροσύνην δὲ ἐπὶ τῆς ψυχῆς, ἀνδρείαν δὲ ἐπ᾽ ἀμφοτέρων τούτων, χάριν δὲ ἐπὶ τῶν λόγων διατελεῖν ἔχουσιν. Διογένους. Διογένης πυνθανομένου τινὸς τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, ‘οἱ καταφρονοῦντες‘ εἶπε ‘πλούτου, δόξης, ἡδονῆς, ζωῆς, τῶν δ᾽ ἐναντίων ὑπεράνω ὄντες πενίας, ἀδοξίας, πόνου, θανάτου.‘ Μενάνδρου Ἐπιτρέποντος (fr. 7 Koerte). Ἐλευθέρῳ τὸ καταγελᾶσθαι 〈μὲν〉 πολὺ αἴσχιστόν ἐστι· τὸ δ᾽ ὀδυνᾶσθ᾽ ἀνθρώπινον. Τοῦ αὐτοῦ (fr. 728 Kock). Οὐκ ἐλευθέρου φέρειν νενόμικα κοινωνοῦσαν ἡδονὴν ὕβρει. Μενάνδρου Ἥρωι (fr. 3 Koerte). Ἐχρῆν γὰρ εἶναι τὸ καλὸν εὐγενέστατον, Σοφοκλέους Ἀλήτῃ (fr. 101 N. 2). Ἀλλ᾽ ἀξίως ἔλεξας οὐδὲ μὲν πικρῶς· γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον. Εὐριπίδου Ἰνοῖ (fr. 413 N. 2). Ἐπίσταμαι δὲ πάνθ᾽ ὅς᾽ εὐγενῆ χρεών. σιγᾶν ὅπου δεῖ καὶ λέγειν ἵν᾽ ἀσφαλές, ὁρᾶν θ᾽ ἃ δεῖ με κοὐχ ὁρᾶν ἃ μὴ χρεών, γαστρὸς κρατεῖν δέ· καὶ γὰρ ἐν κακοῖσιν ὢν

4.30 Εὐριπίδου Ἀντιγόνῃ (fr. 166 N. 2). Τὸ μῶρον αὐτῷ τοῦ πατρὸς νόσημ᾽ ἔνι· φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς. Εὐριπίδου Ἀλκμέωνι (fr. 75 N. 2). Ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα, ἐσθλῶν ἀπ᾽ ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα, κακῶν δ᾽ ὅμοια τῇ φύσει τῇ τοῦ πατρός. Τοῦ αὐτοῦ (inc. fab. fr. 1068 N. 2). Οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται, ὥστ᾽ ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι. Εὐριπίδου (Herc. 1261 s.). Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους. Εὐριπίδου Δίκτυϊ (fr. 333 N. 2). Φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει· οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός. Ἐπιχάρμου. *** Πνίγομ᾽ ὅταν εὐγένειαν οὐδὲν ὢν καλῶς λέγῃ τις αὐτὸς δυσγενὴς ὢν τῷ τρόπῳ. τίς γὰρ κατόπτρῳ καὶ τυφλῷ κοινωνία; Εὐριπίδου Φοίνικι (fr. 810 N. 2). Μέγιστον ἆρ᾽ ἦν ἡ φύσις· τὸ γὰρ κακὸν οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ. Εὐριπίδου Πηλεῖ (fr. 617 N. 2). Οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτο 〈σ〉 σκότος, Ἰσιδώρου (fr. 1 p. 829 N. 2). Μορφὰς ἀτερπεῖς ὄψεσιν κεκτημένος παρεμφερεῖς ταύταισι τοὺς τρόπους ἔχεις· ἐκ τοῦ κακοῦ γὰρ ἡ φύσις τίκτει κακόν, ὡς ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίγνεται. Εὐριπίδου Βελλεροφόντου (fr. 298 N. 2). Οὐκ ἂν γένοιτο τραῦμ᾽, ἐάν τις ἐγξέσῃ θάμνοις ἐλείοις, οὐδ᾽ ἂν ἐκ μητρὸς κακῆς ἐσθλοὶ γένοιντο παῖδες εἰς ἀλκὴν δορός. Τοῦ αὐτοῦ Ἱππολύτῳ (424 ss.). Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ, ὅταν ξυνειδῇ μητρὸς

ἢ πατρὸς κακά. μόνον δέ φασι τοῦθ’ ἁμιλλᾶσθαι βίῳ, γνώμην δικαίαν κἀγαθήν, ὅταν παρῇ. Θεόγνιδος (183 ss.). Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθοῦ κτήσασθαι, γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει ἐσθλὸς ἀνήρ, ἢν τις χρήματα πολλὰ διδῷ. οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις πλουσίου, ἀλλ’ ἀφνεὸν βούλεται ἀντ’ ἀγαθοῦ. χρήματα γὰρ τιμῶσι· καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε, καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμιξε γένος. Σωκράτους. Σωκράτης ὀνειδιζόμενος ἐπὶ δυσγενείᾳ ὑπό τινος εὐγενοῦς 〈μέν〉, μοχθηροῦ δέ ‘ἐμοὶ μὲν τὸ γένος ὄνειδος‘ ἔφη Θεόγνιδος (523 s.). Οὐ σὲ μάτην, ὦ Πλοῦτε, θεῶν τιμῶσι μάλιστα· σὺ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις. Εὐριπίδου Φοινίσσαις (438 ss.). Πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ’ ὅμως ἐρῶ· τὰ χρήματ’ ἀνθρώποισι τιμιώτατα, δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει. Θεόγνιδος (699 ss.). Πᾶσιν δ’ ἀνθρώποις ἀρετὴ μία γίγνεται ἥδε, πλουτεῖν· τῶν δ’ ἄλλων οὐδὲν ἄρ’ ἦν ὄφελος, οὐδ’ εἰ σωφροσύνην μὲν ἔχοι Ῥαδαμάνθυος αὐτοῦ, πλείονα δ’ εἰδείη Σισύφου Αἰολίδεω. (Eiusdem 525 s.) Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν, ἡ πενίη δὲ σοφῷ σύμφορον ἀνδρὶ φέρειν. Εὐριπίδου Δανάῃ (fr. 324 N. 2). Ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς, εἰ δ’ ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ, οὐ θαῦμ’ ἔρωτας μυρίους αὐτὴν τρέφειν. Μενάνδρου Ἁλιεῖ (fr. 19 K.). Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποεῖν. Μενάνδρου Ὑποβολιμαίῳ (fr. 485 K.). Τοῦτο μόνον ἐπισκοτεῖ καὶ δυσγενείᾳ καὶ τρόπου πονηρίᾳ καὶ πᾶσιν οἷς ἔσχηκεν ἄνθρωπος κακοῖς, τὸ πολλὰ κεκτῆσθαι· τὰ δ’ ἄλλ’ ἐλέγχεται. Εὐριπίδου Ἠλέκτρα (426—431). Ἐν τοῖς τοιούτοις ἡνίκ’ ἂν γνώμης πέσω, σκοπῶ τὰ χρήμαθ’ ὡς ἔχει μέγα σθένος, φίλοις τε δοῦναι σῶμά τ’ εἰς νόσον πεσὸν δαπάναισι σῶσαι· τῆς δ’ ἐφημέρου βορᾶς εἰς μικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ Θεόγνιδος (717 s.). Ἀλλὰ χρὴ ταύτην γνώμην πάντας καταθέσθαι, ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν. Χαιρήμονος (fr. 36 p. 790 N. 2). Πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰὼν οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης τυχεῖν, ἀλλ’ ἔστι σεμνός· ἐν δὲ δόσει βροτῶν ἡδὺς συνοικεῖν καί τιν’ εἰληχὼς χάριν. Εὐριπίδου Φοίνικι (fr. 813 N. 2). Ὦ πλοῦθ’, ὅσῳ μὲν [δὴ] ῥᾷστον εἶ βάρος φέρειν. Εὐριπίδου Κρήσσαις (fr. 462 N. 2). Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν, ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι. Εὐριπίδου Πολυΐδου (fr. 642 N. 2). Φιλήμονος Πτέρυγες (fr. 65 K.). Τὸ τῆς Ἀμαλθαίας δοκεῖς εἶναι κέρας οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός; ἀργύριόν ἐστι· τοῦτο ἐὰν ἔχῃς, λέγε πρὸς τοῦτ’ εἰ βούλει, πάντα σοι γενήσεται, φίλοι, βοηθοί, μάρτυρες, συνοικίαι. Εὐριπίδου Παλαμήδῃ (fr. 580 N. 2). Ἀγάμεμνον, ἀνθρώποισι πᾶσαν αἱ τύχαι μορφὴν ἔχουσι, συντρέχει δ’ εἰς ἓν τάδε· ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ μοχθοῦσιν, ὃς δ’ ἂν πλεῖστ’ ἔχῃ, σοφώτατος. Ἀντιφάνους (fr. 232 K.). Ἆρ’ ἔστι λῆρος πάντα πρὸς τὸ χρυσίον. μόνου γὰρ αὐτοῦ διαμένειν εἴωθ’ ἀεὶ τὸ χρῶμα ταὐτό· τῶν φίλων δὲ τοὺς τρόπους οὐδέποθ’ ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι. πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων. ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα, τί τοῦτον ἀπορήσαντ’ ἂν οὐκ οἴει ποεῖν; Τιμοκλέους (fr. 35 K.). Τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς. ὅστις δὲ μὴ ἔχει τοῦτο μηδ’ ἐκτήσατο, οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ. Εὐριπίδου Ἀρχελάου (fr. 247 N. 2). Τί δ’ οὐκ ἂν εἴη χρηστὸς ὄλβιος γεγώς; Διφίλου (fr. 103 K.). Ἰσχυρότερον κρίνω τὸ χρυσίον πολύ· τὰ πάντα τούτῳ τέμνεται καὶ πράττεται. Εὐριπίδου Ἀρχελάῳ (fr. 249 N. 2). Μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν ταπεινὸς ἔσται· κεῖνο δ’ ἰσχύει μέγα, πλοῦτος λαβών 〈τε〉 τοῦτον εὐγενὴς ἀνήρ. Μενάνδρου Βοιωτίᾳ (fr. 90 K.). Πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ’ ἐστὶν κακῶν. Εὐριπίδου Ἀνδρομέδας (fr. 142 N. 2). Χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν· καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ, ἐλεύθερος δὲ χρειὸς ὢν οὐδὲν σθένει. (poetae incerti) Χρυσοῦ νόμιζε σαυτὸν οὕνεκ’ εὐτυχεῖν. Ἡσιόδου Ἔργων (686). Εὐριπίδου Αἰόλου (fr. 22 N. 2). Τὴν δ’ εὐγένειαν πρὸς θεῶν μή μοι λέγε· ἐν χρήμασιν τόδ’ ἐστί, μὴ γαυροῦ, πάτερ. κύκλῳ γὰρ ἕρπει τῷ μὲν ἔσθ’, ὃ δ’ οὐκ ἔχει· κοινοῖσι δ’ αὐτοῖς χρώμεθ’· ᾧ δ’ ἂν ἐν δόμοις χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής. Εὐριπίδου Ἐρεχθέως (fr. 362, 14—17 N.

2). Ἔχειν τε πειρῶ· τοῦτο γὰρ τό τ’ εὐγενὲς καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν. ἐν τῷ πένεσθαι δ’ ἐστὶν ἥ τ’ ἀδοξία, κἂν ᾖ σοφός τις, ἥ τ’ ἀτιμία βίου. Θεόγνιδος (1157—60). Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί· οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις. ὡς δ’ αὕτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει, ἀλλ’ ἔραται, θυμὸν δ’ οὐ δύναται κορέσαι. Σοφοκλέους Ἀλεάδαι (fr. 85 N. 2). Τὰ χρήματ’ ἀνθρώποισιν εὑρίσκει φίλους, αὖθις δὲ τιμάς, εἶτα τῆς ὑπερτάτης τυραννίδος ἄκουσιν ἀγχίστην ἔδραν. ἔπειτα δ’ οὐδεὶς ἐχθρὸς οὔτε φύεται πρὸς χρήμαθ’ οἵ τε φύντες ἀρνοῦνται στυγεῖν. δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα καὶ πρὸς τὰ βατά, χώπόθεν πένης ἀνὴρ μηδ’ εὐτυχῶν δύναιτ’ ἂν ὧν ἐρᾷ τυχεῖν. καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ’ ἰδεῖν. μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία Σοφοκλέους Κρέουσα (fr. 328 N. 2). Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ, ὧδ’ ἀντέχεσθαι. καὶ γὰρ οἳ μακρὸν βίον θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως ἀπρὶξ ἔχονται, κἄστι πρὸς τὰ χρήματα θνητοῖσι τἄλλα δεύτερ’· εἰσὶ δ’ οἵτινες αἰνοῦσιν ἄνοσον ἄνδρ’, ἐμοὶ δ’ οὐδεὶς δοκεῖ εἶναι πένης ὢν ἄνοσος, ἀλλ’ ἀεὶ νοσεῖν. Εὐριπίδου Ἑκάβη (fr. 326 N. 2). Ἆρ’ οἶσθ’, ὀθούνεχ’ οἱ μὲν εὐγενεῖς βροτῶν πένητες ὄντες οὐδὲν ἀλφάνους’ ἔτι, οἳ δ’ οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν, δόξαν φέρονται τοῦ νομίσματος χάριν, καὶ συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων; δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ Μενάνδρου (fr. 537 K.). Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας· ἐγὼ δ’ ὑπέλαβον χρησίμους εἶναι θεοὺς τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον 〈μόνον〉 . ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν, εὖξαι τί βούλει, πάντα σοι γενήσεται, ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα, φίλοι, δικασταί, μάρτυρες. μόνον δίδου· αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας. Δημοσθένους Ὀλυνθιακῶν α′ (I p. 15). Ἔστι δὴ λοιπόν, οἶμαι, πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, πολλά, ἂν ὀλίγων, ὀλίγα. δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. Σιμωνίδου. Σιμωνίδης ἐρωτηθεὶς πότερον αἱρετώτερον πλοῦτος ἢ σοφία, ‘οὐκ οἶδα‘ ἔφη ‘ὁρῶ μέντοι γε τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας‘. Βίωνος. Βίων ἔλεγεν, ὥσπερ τὰ φαῦλα τῶν βαλλαντίων, κἂν μηδενὸς ᾖ ἄξια, τοσούτου ἐστὶν ἄξια ὅσον ἐν ἑαυτοῖς τὸ νόμισμα ἔχουσιν, οὕτω καὶ τῶν πλουσίων τοὺς οὐδενὸς ἀξίους καρποῦσθαι τὰς ἀξίας ὧν κέκτηνται. Ἐκ τοῦ Περὶ συγκρίσεως Πλούτου καὶ Ἀρετῆς. Αὐτὸς μὲν οὖν ὁ Πλοῦτος ἐσεμνύνετο χρείας ἀνθρώπων διορθοῦν, ἐκτελεῖν ἐπιθυμίας, [ᾗ] βλάβαις ἀντέχειν, ἐπιμελεῖσθαι σώματος, ψυχῇ χαρίζεσθαι, πρέπειν μὲν εἰρήνῃ, πολέμοις δ’ ἐπαρκεῖν, θεραπεύειν δ’ ἐκ νόσων, παρέχειν δὲ ταῖς ὥραις βοηθήματα, ἀλέας μὲν ἐν τοῖς πάγοις, ἐκτροπὰς δ’ ἀπὸ θέρους, αὐξάνειν δ’ οἴκους, καὶ διαδοχὰς μεγάλων φυλάττειν γενῶν, γάμους ποιεῖν μείζονας, παιδοποιίᾳ βοηθεῖν. ‘Κοσμῶ δ‘‘ εἶπεν ‘ἱερά, καλλίονες δ’ ἐξ ἐμοῦ καὶ πόλεις· ἐμὰ δὲ ἔργα καὶ τείχη καὶ λιμένες καὶ στοαί· ποταμοὺς δ’ ἀβάτους γεφύραις σκέπω καὶ γῆν κεχωρισμένην ἥρμοσα· ἐμοῦ δ’ ἐμπορίαι δέονται· καὶ γεωργία δ’ αὐτὴ δαπάνας ἐκ τῶν ἐμῶν ἀπαιτεῖ ταμιείων. γῇ γὰρ οὐδὲ αὐτὴ δίδωσιν αὐτόματον, ἂν μὴ προλάβῃ· λαβεῖν δὲ ἐκ μόνων ἔχει τῶν ἐμῶν. δίδωμι δὲ ἀφορμὰς καὶ τοῖς ἄλλοις ἅπασι. κάλλει μὲν ἐκ κόσμου πλεῖστα συλλαμβάνω· διακονοῦμαι δ’ ὁπόσα δαπανῶσιν εἰς σωμασκίαν· παιδείᾳ δ’ ἁπάσῃ διδασκάλους ἐγὼ παρέχομαι. πόθεν δοῦλαι 〈ταῖσ〉 γυναιξὶν εἰς ταλασίας; πόθεν δ’ ὅπλα τοῖς ἀνδράσιν; ἐλέφας δὲ καὶ χρυσὸς ὁ τοῖς ἀγάλμασιν ἁρμόσας ἐμός ἐστι, καὶ πάντα τὰ ἀναθήματα. δι’ ἐμοῦ μεγάλαι πόλεις, βασιλεῖαι δ’ ἐξ ἐμοῦ δυνατώτεραι· ποιῶ δὲ ἑορτὰς ἐγώ, τράπεζα δ’ ἐμοὶ φιλόξενος· προχειρότεραι δ’ εὐεργεσίαι δι’ ἐμοῦ, μεγάλαι 〈δ’〉 ἀμοιβαί. καῖον ἀπέφηνας, ὃς σῶμα ἔδωκας ἐσθήτων δεόμενον, οὐ θριξὶν ὡς τὰ ἄλλα καὶ δοραῖς σκεπόμενον, τροφὴν δὲ οὐ πόαν οὐδὲ ταὐτόματα, ἀλλ’ ἀεὶ δεῖ τινὸς πρίασθαι τὸ ζῆν· οἴκου δὲ ἀνάγκην ἔδωκας, πόλεις δ’ ἥρμοσας, νόσοι δ’ ἐν ἀνθρώποις εἰσίν· ἐφ’ ἃ πάντα δεῖ χρημάτων. διὰ τί με μὴ καλεῖς εὐδαίμονα, δι’ οὗ τὰς ἐπὶ πάντα χρείας ἔχεις;‘ Ταῦθ’ ὁ Πλοῦτος εἰπὼν ἐδόκει νενικηκέναι καὶ περιέβλεπεν ὡς μακαριζόμενος. ἐβοήθει μὲν αὐτῷ κρατερῶς ἡ Τύχη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρίνεσθαι μετ' αὐτοῦ δοκοῦσα· 〈τὸ〉 γὰρ μέγιστον αὐτῆς ἀπώλλυτο, εἰ Πλοῦτος οὐκ ἀγαθόν ἐστιν. ἦγε δὲ καὶ θεὰς ἄλλας μεθ' αὑτοῦ συνηγόρους τε καὶ μάρτυρας, Ἡδονάς, Ἐλπίδας, Εὐχάς, Ἐπιθυμίας. Ἔρως αὐτῷ συνέπραττεν ὡς πολλαχοῦ χρώμενος· Ὑγίεια καὶ αὐτὴ χάριν εἶχεν, ὡς δι' αὐτοῦ νόσοις μαχομένη. δύο δ' ἦλθον ἐναντίαι μὲν ἀλλήλαις, Οἰκονομία καὶ Τρυφή, Πλούτου δὲ ἀμφότεραι· σὺν αὐτῷ δ' ἐδόκουν ἀπόλλυσθαι. Εὐριπίδου Ἀλκμήνῃ (fr. 95 N. 2). Ἀλλ' οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα· τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει. Εὐριπίδου Ἐρεχθεῖ (fr. 362, 14 N. 2). Ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ' εὐγενὲς καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἀεί· ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία μένει. Εὐριπίδου Θυέστῃ (fr. 395 N. 2). Πλούτου δ' ἀπορρυέντος ἀσθενεῖς γάμοι. τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοί, Εὐριπίδου Πελιάσιν (fr. 607 N. 2). Ὁρῶσι δ' οἱ διδόντες εἰς τὰ χρήματα. Εὐριπίδου Κρήσσαις (fr. 462 N. 2). Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι. (Eur. Heraclid. 745—47) Ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον, εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι χρεών. Εὐριπίδου Δανάης (fr. 326 N. 2). Ἆρ' οἶσθ' ὀθούνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν πένητες ὄντες οὐδὲν ἀλφάνους' ἔτι, οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν, δόξαν φέρονται τοῦ νομίσματος χάριν καὶ συμπλέκονται σπέρμα καὶ γάμους τέκνων; δοῦναί τε πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ. κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι. Εὐριπίδου Εὐρυσθέως (fr. 378 N. 2). Μενάνδρου (fr. 665 K.). Πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποεῖ. Θεόγνιδος (683—86). Πολλοὶ πλοῦτον ἔχουσιν ἀίδριες· οἱ δὲ τὰ καλὰ ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ. ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται· εἴργει τοὺς μὲν δὴ χρήματα, τοὺς δὲ νόος. Ὑψαίου. Ὥσπερ ἐπὶ χειρὸς τρεμούσης χρυσίον ἐάν τις θῇ τρέμει, οὕτω καὶ πλοῦτος, εἰ φοβουμένῃ καὶ συνεχομένῃ ἐπισωρεύοιτο ψυχῇ, συγκραδαίνεται καὶ συμπεριπίπτει. Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα [καὶ] παιδευτέον (Plut. mor. vol. VII p. 126 Bern.). Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην ἄν, μὴ παιδὶ πλοῦτον μηδὲ ἀνδρὶ ἀπαιδεύ〈τῳ δυνα〉- σ〈τε〉ίαν. Ἰσοκράτους πρὸς Δημόνικον (27 p. 7 e). Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ μὴ δυναμένων τοῖς ὑπάρχουσι. παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν κακῶς ἱππεύειν ἐπιστάμενος. Διογένους. Τοὺς δὲ πολλοὺς τῶν πλουσίων ὡμοίου τοῖς ἐπὶ τῶν δυσβάτων καὶ ἀποκρήμνων φυομένοις δένδροις καὶ ἀμπέλοις. τόν τε γὰρ τούτων καρπὸν ἀνθρώπους μὴ λαμβάνειν, κόρακας δὲ καὶ παραπλήσια τούτων ζῷα καταναλίσκειν· ἐκείνους τε τὸν πλοῦτον εἰς μὲν τὰ ἐπιεικῆ τῶν πραγμάτων οὐ κατατίθεσθαι, κόλαξι δὲ καὶ πόρναις καὶ ταῖς αἰσχροτάταις ἡδοναῖς καὶ κενωτάταις δόξαις χορηγεῖν. Δημοκρίτου (fr. 281 Diels 2). Ὥσπερ ἐν τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι τὸ μὴ προσαρμόσαν καὶ τὸ Τοῦ αὐτοῦ (fr. 218 Diels 2). Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος 〈ἐπιφανέστερον〉 [σῆμα οὕτως ἐν τοῖς] τὸ ὄνειδος κέκτηται. Πλάτωνος ἐκ τοῦ Ἐρυξίου (p. 396 E- 397 B). Ἐγὼ μέν, ὥσπερ ἠρξάμην, Ἐρυξίαν τοῦτον ἡδέως ἐροίμην ἂν εἰ δοκοῦσιν αὐτῷ εἶναι ἄνθρωποι ἄδικοι καὶ δίκαιοι. — Νὴ Δία, ἔφη ἐκεῖνος, καὶ σφόδρα μέντοι. — Τί δέ; τὸ ἀδικεῖν πότερον κακόν σοι δοκεῖ εἶναι ἢ ἀγαθόν; — Κακὸν ἔμοιγε. — Δοκεῖ δ' ἄν σοι ἄνθρωπος, εἰ μοιχεύοι τὰς τῶν πέλας γυναῖκας ἐπ' ἀργυρίῳ, ἀδικεῖν ἂν ἢ οὔ; καὶ ταῦτα μέντοι καὶ τῆς πόλεως καὶ τῶν νόμων κωλυόντων. — Ἀδικεῖν 〈ἂν〉 ἔμοιγε δοκεῖ. — Οὐκοῦν, ἔφη, εἰ πλούσιος ὢν τυγχάνοι καὶ ἀργύριον δυνατὸς ὢν ἀναλῶσαι ὁ ἄδικός τε ἄνθρωπος καὶ ὁ βουλόμενος, ἐξαμαρτάνοι ἄν· εἰ δέ γε μὴ ὑπάρχοι πλουσίῳ εἶναι τῷ ἀνθρώπῳ, οὐκ ἔχων ὁπόθεν ἀναλίσκοι, οὐδ' ἂν διαπράττεσθαι δύναιτο ἃ βούλεται, ὥστ' οὐκ ἂν οὐδ' ἐξαμαρτάνοι. δοκοῦσί τινές σοι ἀκρατεῖς εἶναι ἄνθρωποι; — Ἔμοιγε. — Οὐκοῦν εἰ βέλτιον εἴη πρὸς ὑγίειαν τούτῳ τῷ ἀνθρώπῳ 〈ἀπέχεσθαι〉 σίτων καὶ ποτῶν καὶ τῶν ἄλλων τῶν ἡδέων δοκούντων εἶναι, ὁ δὲ μὴ οἷός τ' εἴη δι' ἀκράτειαν, βέλτιον ἂν εἴη τούτῳ τῷ ἀνθρώπῳ μὴ ὑπάρχειν ὁπόθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἂν ἐκποριεῖται ταῦτα, μᾶλλον ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων; οὕτω γὰρ ἂν αὐτῷ οὐκ ἐξουσία εἴη διαμαρτάνειν, οὐδ' εἰ σφόδρα βούλοιτο. (Ibid. p. 403 A—C) Οὐκοῦν, ἔφην, κατὰ τὸν αὐτὸν λόγον οὐδὲ φάρμακον παντὶ ἀνθρώπῳ χρήσιμον εἶναι, ἀλλὰ τούτῳ ὅστις τυγχάνει εἰδὼς ὡς δεῖ χρῆσθαι αὐτῷ; — Φημί. — Οὐκοῦν καὶ τἆλλα πάντα ὁμοίως; — Ἔοικε. — Χρυσίον ἄρα καὶ ἀργύριον καὶ τἆλλα τὰ δοκοῦντα χρήματα εἶναι τούτῳ ἂν μόνῳ χρήσιμα εἴη, ὅστις τυγχάνει ἐπιστάμενος ὡς χρηστέον τούτοις; — Οὕτως. — Οὐκοῦν πρότερον ἐδόκει 〈τοῦ〉 καλοῦ κἀγαθοῦ ἀνθρώπου εἶναι εἰδέναι ὅπου γε καὶ ὅπως τούτων ἑκάστοις χρηστέον ἐστί; — Φημί. — Τοῖς ἄρα κατὸν ἀνεπιστήμονα ἱππικῆς, κεκτημένον δὲ ἵππους οἳ τυγχάνουσιν αὐτῷ ἀχρεῖοι ὄντες, εἴ τις τοῦτον ἱππικὸν ποιήσειεν, ἆρ' 〈ἂν〉 ἅμα καὶ πλουσιώτερον πεποιηκὼς εἴη, εἴπερ γε αὐτῷ ἃ ἐτύγχανε πρόσθεν ἀχρεῖα ὄντα, χρήσιμα πεποίηκεν· ἐπιστήμην γάρ τινα παραδιδοὺς τῷ ἀνθρώπῳ ἅμα καὶ πλούσιον αὐτὸν πεποίηκεν. Ἀλέξιδος, οἱ δὲ Μενάνδρου (Al. fr. 340 K.). Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου. Εὐριπίδου Φαέθοντι (fr. 776 N. 2). Δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον σκαιοῖσιν εἶναι· τί ποτε τοῦτο ταὔτιον; ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρετεῖ, τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης; Εὐριπίδου Ἱππολύτῳ (fr. 438 N. 2). Εὐριπίδου Ἰνοῖ (fr. 419 N. 2). Καὶ νῦν ἐφέλκετ' ὦ κακοὶ τιμὰς βροτοί, καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι, σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ· ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος. Εὐριπίδου Δίκτυϊ (fr. 341 N. 2). Μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ κακῷ γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς. Εὐριπίδου Μηδείᾳ (599 s.). Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος μηδ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζει φρένα. Εὐριπίδου (fr. 1069 N. 2). Καρκίνου (fr. 9 p. 800 N. 2). ... δειλόν ἐσθ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. Εὐριπίδου Αἰόλῳ (fr. 20 N.). Μὴ Πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν, ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο. Εὐριπίδου Πηλεῖ (fr. 618 N.). Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς, ὅν γ' ἐξαλείφει ῥᾷον ἢ γραφὴν θεός. Καρκίνου (fr. 10 p. 800 N. 2). Ὦ πολλὰ πλοῦτος δυστυχέστατος κυρῶν, ὅμως μέγιστον ζῆλον ἐν βροτοῖς ἔχεις. Εὐριπίδου Τηλέφῳ (fr. 714 N. 2). Σμίκρ' ἂν θέλοιμ' ἂν καὶ καθ' ἡμέραν ἔχων Ἀντιφάνους (Menandri fr. 624 K.). Οὐ πώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα ἄνθρωπον, ἀπολαύοντα μηδὲν ὧν ἔχει. (Antiph. fr. 259 K.) Ὁ δὲ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακός, τυφλοὺς βλέποντας παραλαβὼν πάντας ποεῖ. Μενάνδρου Αὐτὸν πενθοῦντι (fr. 83 K.). Τυφλὸν ὁ πλοῦτος, καὶ τυφλοὺς 〈τοὺσ〉 ἐμβλέποντας εἰς ἑαυτὸν δεικνύει. Μενάνδρου (fr. 587 K.). Ὑπερήφανόν που γίνεθ' ἡ λίαν τρυφή· ὅ τε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον εἰς ἕτερον ἦθος, οὐκ ἐν ᾧ τὸ πρόσθεν ἦν. Εὐριπίδου Ἀρχελάῳ (fr. 235 N. 2). Εὐριπίδου Ἀντιγόνης (fr. 163 N. 2). Ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων τύχοι. Εὐριπίδου Ἀλεξάνδρου (fr. 55 N. 2). Ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποεῖ. Εὐριπίδου Ἀλκμήνης (fr. 96 N. 2). Σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία. Εὐριπίδου Πλεισθένης (fr. 632 N. 2). Πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν. Εὐριπίδου Φοίνικι (fr. 813 N. 2). Ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν, πόνοι δὲ κἀν σοί, καὶ φθοραὶ πολλαὶ βίου ἔνεις'· ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς. Εὐριπίδου Φοινίσσαις (597). Εἰσορῶ· δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. Ναυμαχίου. Χρυσός τοι κόνις ἐστὶ καὶ ἄργυρος, οἱ δὲ καὶ αὐτοὶ λᾶες ἐπὶ ῥηγμῖνι πολυψηφῖδι θαλάσσης, πολλοὶ δ' ἐρρίφαται ποταμῶν παρὰ χείλεσιν αὔτως, εἵματα δ' εἰναλίης ἐρυθαίνεται αἵματι κόχλου, τοῖς ἔπι φυσιόωσιν ἀλίφρονες. Ἰσοκράτους πρὸς Δημόνικον (6 p. 3 b). Πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Ἀνακρέοντος. Ἀνακρέων δωρεὰν παρὰ Πολυκράτους λαβὼν πέντε φροντίδος. Πλάτωνος (de leg. p. 743 A p. 742 E). Ἀγαθὸν δὲ ὄντα διαφόρως καὶ πλούσιον εἶναι διαφερόντως ἀδύνατον. εὐδαίμονας μὲν ἅμα καὶ ἀγαθοὺς ἀνάγκη γίγνεσθαι· πλουσίους δ' αὖ σφόδρα καὶ ἀγαθοὺς ἀδύνατον, οὕς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσιν. (Eiusd. p. 743 C) Ὁ λόγος ἡμῖν ὀρθός, ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί· εἰ δὲ μὴ ἀγαθοί, οὐδ'

εὐδαίμονες. 〈ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας〉 ὀνομάζων λόγος, αὐτός τε ἄθλιος, γυναικῶν καὶ παίδων ὢν λόγος, 〈καὶ〉 ἀνθρώπους τοὺς πειθομένους γε ἀπεργάζεται τοιούτους. Πλάτωνος ἐκ τῆς Πρὸς Διονύσιον ἐπιστολῆς (p. 317 C). Ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τ' ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδόν, ὅσῳ περ ἂν μείζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας καὶ πρὸς ἡδονὴν μετ' αἰσχρᾶς βλάβης ὁμιλοῦντας τρεφούσας, οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις. Πλάτωνος Πολιτείας η′ (p. 550 E—551 A). Τοὐντεῦθεν τοίνυν, εἶπον, προϊόντες εἰς τὸ πρόσθεν τοῦ χρηματίζεσθαι, ὅσῳ ἂν τοῦτο τιμιώτερον ἡγῶνται, τοσούτῳ ἀρετὴν ἀτιμοτέραν. ἢ οὐχ οὕτω πλούτου ἀρετὴ διέστηκεν, ὥσπερ ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου, ἀεὶ τοὐναντίον ῥέποντος; Καὶ μάλα, ἔφη. Τιμωμένου δὴ πλούτου ἐν πόλει καὶ τῶν πλουσίων ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί. Δῆλον. Ἀσκεῖται δὴ τὸ ἀεὶ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. Οὕτω. Σωκράτους. Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσιν. Ἐκ τοῦ Περὶ συγκρίσεως Πλούτου καὶ μυρία καὶ δόξαν ἀγαθοῦ προθεὶς οὐχ ἑκόντας ἀπάγει τῶν ἀληθεστάτων. οὐκ ἐᾷ δὲ ἐπ' αὐτῷ φρονεῖν τὸν ἄνθρωπον, ἀλλ' εἰς τὰ ἔξω φέρει κἀκ τῶν τυχαίων καὶ αὐτομάτων ἀναρτᾷ. θρασύτατος δ' ἐστὶν ὁμοῦ καὶ δειλότατος, ἐπαιρόμενος μὲν ὡς ἐπὶ μεγίστοις, φοβούμενος δὲ ὡς ἐπὶ ἀσθενεῖ πράγματι, ὑπερήφανος 〈δ'〉 ἅμα ἐξ ἀλαζονείας 〈καὶ〉 ταπεινὸς ἐκ φροντίδος. χρωμένοις μὲν ἄσωτός ἐστι, μὴ χρωμένοις δὲ ἄθλιος. δυστυχεῖ μέν τις δι' αὐτὸν ταῖς εἰς τὸ πορίζειν ταλαιπωρίαις· φθείρεται δὲ ἄλλος εἰς ἡδονὰς ἀπὸ τῶν περιττῶν. κόρον δὲ οὐκ ἔχει τοῖς κτησαμένοις, ἀεὶ δ' ἀνία τις αὐτῷ πάρεστιν, ὁπός' ἂν γένηται. καὶ ὥσπερ ἡ τῶν ὑδεριώντων νόσος αὔξεται πρὸς τὸ μᾶλλον ποθεῖν ἀφ' ὧν πίμπλαται. κακὸς μέν ἐστι τῷ φιλοπόνῳ [πλοῦτος], ἀναλίσκει γὰρ αὐτοῦ τὴν φιλοπονίαν εἰς κέρματα ἀλλαχοῦ δυναμένην· κακὸς δὲ 〈τῷ〉 ῥᾳθύμῳ διδοὺς ἀφορμὰς ἁμαρτημάτων· ἀμφοτέροις δ' ὀλέθριος· τὸν μὲν γὰρ εἰδότα κάμνειν ἀσχολεῖ, τὸν δ' εἰς τρυφὴν νοσοῦντα καὶ προτρέπει[ν ποιεῖ]. ποιεῖ δὲ ἅμα μὲν κόλακας ἀνθρώπους εἰς ἐλπίδα χρημάτων, ἅμα δ' ὑπὸ πολλῶν κολακευομένους διὰ χρήματα. ὁμοῦ δ' ἀγαθὸν μὲν οὐκ ἔστιν ὁ πλοῦτος, φθόνον δὲ ἀγαθῶν μέγιστον ἔχει· ἐκείνων εὐτυχῶν· εἶτα τὸ σῶμα λυμαίνεται ταῖς τρυφαῖς· ἐθίζει μὲν εἰς πλησμονὰς ἀπὸ τῶν ἀφορμῶν καὶ πλείστας νόσους συλλέγει· τὴν δὲ αὐτουργίαν ἀνθρώπων ἀφαιρεῖται, τὸ πάντων ὑγιεινότατον· γυμνάσιον γάρ ἐστιν οὐχ ὡρισμένον, ὡς παλαίστρα καὶ κυνηγεσία. ἀλλ' οὖν 〈τὰ〉 τοῦ βίου διακονούμενός τις ἑαυτῷ πολὺ κρείττων ἐστὶ τοῦ ζῶντος δι' ἄλλων. θρύπτει δ' ὁ Πλοῦτος καὶ μαλάττει λαβὼν πολλὰ πολλάκις καὶ τὰς ὑγιεινὰς φύσεις, καὶ περιήγαγεν εἰς ἀσθένειαν ἐξ ἐθῶν πολυτελῶν. πάντα μὲν ἐφ' ὕπνῳ παρασκευαζόμενος, δυσκολωτέρους ἔχει διὰ τοῦτο τοὺς ὕπνους· ἑτοιμότερον δ' εἰσὶν οἱ κατὰ φύσιν. οὐ γὰρ ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκευασμέναι κλῖναι καὶ πορφυροῖ τάπητες οὐδὲ ὑπόβαθρα καὶ παστάδες ὕπνους ποιοῦσιν, ἀλλ' ἔργα καὶ νόμιμοι πόνοι καὶ τὸ τῆς φύσεως αὐτῆς ἀναγκαῖον. οὐκ ἐᾷ δ' ὁ πλοῦτος αὐτομάτων μετασχεῖν καλῶν, λυμαίνεται δὲ τοῖς ἰδίοις ἕθεσι καὶ φαρμακεύει τὰ πεφυκότα. ταῖς δ' ὥραις οὐκ ἐφίησι χρῆσθαι καὶ μελετᾶν πρὸς τὰ γινόμενα· ποιεῖ δὲ καὶ πρὸς θάλπος ἀσθενέστερον τὸν εὐτυχοῦντα καὶ πρὸς κρύος, καὶ δι' ὧν ἐπιτηδεύει μὴ παθεῖν ταῦτα, εὐπαθέστερος αὐτοῖς γίνεται· κατισχύει δὲ μᾶλλον αὐτῶν ὁ κεχρημένος· μένει γὰρ ἐν τῇ τοῦ βίου τάξει καὶ πρὸς ἀέρα ζῆν ἐπίσταται καὶ καὶ κακὸν ἆθλον ἀδελφοῖς πρόκειται, τέκνα δ' ἐχθρὰ ποιεῖ πατράσιν ἐπιθυμοῦντα τῆς περὶ τὸν πλοῦτον ἐξουσίας, αὐτοῖς δὲ τοῖς τέκνοις τοὺς γονεῖς βαρυτέρους. φίλοι δὲ ὕποπτοι διὰ πλοῦτον· ὁ μὲν ἀληθὴς ἀπιστεῖται διὰ τὸν κόλακα, νικᾷ δὲ ὁ κόλαξ τὸν ἀληθεύοντα μιμούμενος. λαφύρῳ δ' ὅμοιόν ἐστιν ἐλπιζομένῳ νοσῶν πλούσιος. καὶ τοῖς μὲν ἐλευθεριωτέροις, ὅτι μὴ κολακεύουσιν, ὀργίζεται, τοὺς δὲ κολακεύοντας ὑφορᾶται καὶ ἐφ' ἁρπαγὴν παρεῖναι δοκεῖ. τελευτήσαντι δὲ οὐ γίνεται πλουσίῳ πένθος, οὔτε παρὰ τῶν

διαδεξαμένων, ἐπεὶ χαίρουσιν εἰληφότες, οὔτε μὴν παρὰ τῶν μὴ λαβόντων, ἐπεὶ μισοῦσιν ὡς ἐκ τοσούτων ἄτιμοι. ἔτι πρὸς τούτοις, ὃ μάλιστα τῷ πλούτῳ προσεῖναι δοκεῖ, τὸ δοῦναι χάριν, οὐχ ἁπλοῦν ἐστιν, ἀλλ' ἔχει συμφορὰς πλείονας. ἔστι μὲν οὐδὲ εὐπρεπὴς ἡ χάρις ἡ δι' ἀργυρίου δοθέντος, ἐράνῳ δ' ἔοικεν· οἱ δ' ἄνευ χρημάτων ἀπ' εὐνοίας ἐπιδεικνύμενοι καὶ βοηθοῦντες ἐλευθέριον τὴν εὐεργεσίαν ἔχουσι καὶ τοῖς τυγχάνουσι [καὶ τοῖς] κεχαρισμένην. εἶτα ὁ μὲν ἄλλοι τυγχάνωσι. καὶ πλείονας οὕτως ὁ χαριζόμενός τισι τοὺς μεμφομένους ἔχει· πᾶσι γὰρ οὐκ ἀρκέσει, πάντες δ' ὡς ἐκ περιττῶν ἀπαιτοῦσι. ταῦτα μὲν τῷ πλούτῳ πρόσεστι καὶ ἐκ τῶν δοκούντων καλῶν, τἆλλα δ' ἀφόρητα, ἀλαζονεία, θρασύτης, ὑπεροψία, φροντίδες αἰσχραί, κακαὶ μὲν ὀρέξεις, κακαὶ δ' ἡδοναί, πόθος δ' ἀκόρεστος [αὐτῷ πρόσεστιν]. ἐξ αὐτοῦ δὲ αἱ πλεῖσται πονηρίαι, καὶ μυρία τῶν κακῶν οὐκ ἂν ἦν, εἰ μὴ πλοῦτος ἦν, δι' ὃν γίγνεται φόνος, [διὰ κέρδος] ἱερὰ συλᾶται, φιλία παραβαίνεται, πίστις ἀμελεῖται, φερούσης ἐπὶ κέρδος ἀπιστίας, προδίδονται πατρίδες, οὐδὲ ἓν ὀκνεῖται κακόν. Πλουτάρχου Κατὰ πλούτου (Plut. vol. VII p. 123 Bern.). Φύσει μὲν γὰρ δυσχαλίνωτον ὄρεξις, προσλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν ἀχαλίνωτον. Ἐν ταὐτῷ (ibid.). Ἀλλ' ἀπληστία καὶ ἄπιστός ἐστιν ἐν αὐτοῖς μανία, τοιούτῳ μὲν ἐνθουσιασμῷ χρῆσθαι περὶ τὴν κτῆσιν, ὡς εἰ κτήσαιντο μηκέτι καμουμένους· τοσαύτῃ δὲ ἀμελείᾳ περὶ τὰ ληφθέντα, ὡς μὴ γενόμενα. δυσερωτιῶσι δὲ τῶν ἀπόντων, ὑπερορῶντες ὧν ἔχουσιν· οὐδὲν γὰρ οὕτως ἀγαπῶσιν ὡς ἃ ἐλπίζουσιν. οὐκ οἶδα πότερον αὐτοῖς ἄμεινόν ἐστιν ἔχειν ἢ προσδοκᾶν· ἔχοντες γὰρ οὐ χρῶνται, προσδοκῶντες δὲ κάμνουσι. τί οὖν ἐπαινοῦμεν τοιοῦτον ἀγαθόν, οὗ πέρας ἐστὶν οὐδέν, ἀλλ' ᾧ τὸ ληφθὲν ἑτέρων ἀρχή; Βίωνος. Βίων ἔλεγε καταγελάστους εἶναι τοὺς σπουδάζοντας περὶ πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται. Διογένους. Ἔλεγε δὲ μήτε ἐν πόλει πλουσίᾳ μήτε ἐν οἰκίᾳ ἀρετὴν οἰκεῖν δύνασθαι. Μονίμου. Τὸν πλοῦτον εἶπε Τύχης ἔμετον εἶναι. Σωκράτους. Σωκράτης εἶπε 'πολλοῦ ἂν ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαίρειν αὐτῷ συνῆν· νῦν δὲ ἄμφω ταῦτα κεχώρισται. ἐάν τε γὰρ θέλωσι χρῆσθαι τῷ πλούτῳ, τῇ ἡδυπαθείᾳ διαφθείρονται· ἐάν τε τὸ πλουτεῖν φυλάττειν, τῇ Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Ἀνακρέων ὁ μελοποιὸς λαβὼν τάλαντον χρυσίου παρὰ Πολυκράτους τοῦ τυράννου, ἀπέδωκεν εἰπὼν 'μισῶ δωρεάν, ἥ τις ἀναγκάζει ἀγρυπνεῖν'. Ἱέρακος ἐκ τοῦ Περὶ δικαιοσύνης. Ἢ πῶς ἂν ἡ τοῦ πλούτου κτῆσις ἐπὶ δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετὰς τινὸς ἡγήσαιτο; τὰ γὰρ ὑπηρετοῦντα πρὸς τὰ χείρω ἐναντία πρὸς τὴν τῶν βελτίστων κτῆσιν. τὰ χρήματα δὲ παρακαλεῖ μὲν ἐπὶ ῥᾳθυμίαν, ζωπυρεῖ δὲ τὰς ἡδονάς, ἐπιβουλὰς δὲ διχῇ συντίθησι, κατὰ μὲν τῶν εὐπόρων διὰ τῶν φθονούντων, κατὰ δὲ τῶν πενήτων διὰ τῶν δυνατωτέρων. ἃ τοίνυν ἄλλους μὲν τοῖς κεκτημένοις ἐπιβουλεύειν ποιεῖ, τοὺς δὲ ἔχοντας ἰσχυροὺς πρὸς ἀδικίαν παρασκευάζει, πῶς ἂν εἰς δικαιο- Εὐριπίδου Μελανίππη (fr. 504 N. 2). Ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος ὁ μικρὸς εὔκρας ἐγένεθ', οἷς δ' ὄγκος κακόν. Εὐριπίδου Φρίξῳ (fr. 825 N. 2). Κρείσσων δὲ βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον. Εὐριπίδου Κρεσφόντῃ (fr. 459 N. 2). Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν, ἐφ' οἷσι μέλλει μή ποθ' ὕστερον στένειν. (Eiusd. Dictyis fr. 341 N. 2) Μή μοι ποτ' εἴη χρημάτων νικωμένῳ Τοῦ αὐτοῦ Ἐρεχθεῖ (fr. 362, 11 N. 2). Ἀδίκως δὲ μὴ 〈κτῶ〉 χρήματ', ἢν βούλῃ πολὺν χρόνον μελάθροις ἐμμένειν. τὰ γὰρ κακῶς οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν. Εὐριπίδου Φοινίσσαις. *** (Eur. El. 943 s.) Ὁ δ' ὄλβος ἀδίκως καὶ μετὰ σκαιῶν συνὼν ἐξέπτατ' οἴκων βραχὺν ὁμιλήσας χρόνον. Μενάνδρου Μηναγύρτῃ (Demiurgi fr. 114 K.). (Menandri Menag. fr. 323 K.) Οὕτω μαθεῖν δεῖ πάντα καὶ πλοῦτον φέρειν· ἀσχημοσύνης γὰρ γίνετ' ἐνίοις αἴτιος. Εὐριπίδου Ἰνοῖ (fr. 417 N. 2). Κέκτησο δ' ὀρθῶς ἂν ἔχῃς ἄνευ ψόγου, κἂν σμικρὰ σώζων τοὔνεχ' ὃν σέβειν πρέπει, μὴ δ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν. Σοφοκλέους (fr. 85 N. 2). Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους. (Eur. Phoen. 555—57) Οὔ τοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί· τὰ τῶν θεῶν δ' ἔχοντες

ἐπιμελούμεθα. ὅταν δὲ χρῄζως', αὖτ' ἀφαιροῦνται πάλιν. Εὐριπίδου Ἐρεχθέως (fr. 354 N. 2). Τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς τιμᾶν δίκαιον· οὔτε γὰρ πλοῦτος ποτὲ βέβαιος ἄδικος ... Μενάνδρου (fr. 666 K.). Κρεῖττον ὀλίγ' ἐστὶ χρήματ' ἀνυπόπτως ἔχειν, ἢ πολλὰ φανερῶς ἃ δὲ μετ' ὀνείδους λαβεῖν. Σωκράτους. Ὁ μὲν οἶνος συμμεταβάλλει τοῖς ἀγγείοις, ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις. Τοῦ αὐτοῦ. Οὔτε τὸν ἄρρωστον ἡ χρυσῆ ὠφελεῖ κλίνη οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία. Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι (50). Τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθαι μὴ πλοῦτον ἀλλὰ κίνδυνον ποιήσειν. μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δὲ ἀναλῶσαι ζημίαν· οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν, ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελεῖ τοὺς ποιοῦντας. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων (Aristo- nis Chii fr. 397 de Arn.). Ὡς τὸν αὐτὸν οἶνον πίνοντες οἱ μὲν παροινοῦσιν οἱ δὲ πραΰνονται, οὕτω καὶ πλοῦτον .... Ἐκ τῶν Ἀριστωνύμου τομαρίων. Οἶνος συμμεταβάλλει τοῖς ἀγγείοις, ὁ δὲ πλοῦτος Ἀριστοτέλους. Κρεῖττον πρὸς εὐδαιμονίαν ἐλάττω κεκτῆσθαι ἢ πολλὰ μετὰ φθόνου. καὶ γὰρ καλλίων καὶ ἡδίων ὁ βίος οὗτος. Λυκούργου. Οὐ τὸ πλουτεῖν καλόν, ἀλλὰ τὸ ἐκ καλῶν πλουτεῖν. Ἰσοκράτους πρὸς Δημόνικον (27 p. 7 e). Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. Ἰσοκράτους πρὸς Δημόνικον (28 p. 8 a). Πειρῶ τὸν πλοῦτον 〈χρήματα καὶ κτήματα κατασκευάζειν· ἔστι δὲ〉 χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς κεκτῆσθαι δυναμένοις. Τοῦ αὐτοῦ (28—29 p. 8 a). Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκεν, τοῦ τε ὑπερβαλλόντως ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. Πλάτωνος ἐκ τοῦ Ἐρυξίου (p. 397 E). Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον, πῶς οἴεται κακὸν εἶναι τὸ πλουτεῖν, καὶ ὅπως ἀγαθόν. ὁ δ' ὑπολαβών, ὥσπερ καὶ σὺ νῦν δή, ἔφη, τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων ἀγαθόν, καὶ τοῖς ἐπισταμένοις ὅπου δεῖ χρῆσθαι τοῖς χρήμασι, τούτοις μὲν ἀγαθόν, τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι κακόν. ἔχει δ', ἔφη, καὶ τἆλλα πράγματα οὕτω πάντα· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματ' αὐτοῖς ἀνάγκη εἶναι. καλῶς δ', ἔφη, δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι καὶ φρονεῦσι τοῖα ὁκοίοις ἐγκυρέωσιν ἔργμασιν. Πλάτωνος ἐκ τοῦ α′ τῆς Πολιτείας (p. 330 B—331 C). Οὗ τοι ἕνεκα ἠρόμην, ἦν δ' ἐγώ, ὅτι μοι ἔδοξας οὐ πολὺ οἷ ἂν μὴ αὐτοὶ κτήσωνται· οἱ δὲ κτησάμενοι διπλῇ ἢ οἱ ἄλλοι ἀσπάζονται αὐτό. ὥσπερ γὰρ οἱ ποιηταὶ τὰ αὑτῶν ποιήματα καὶ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσι, ταύτῃ τε δὴ καὶ οἱ χρηματισάμενοι τὰ χρήματα σπουδάζουσιν ὡς ἔργον ἑαυτῶν, καὶ κατὰ τὴν χρείαν ᾗπερ οἱ ἄλλοι. χαλεποὶ οὖν καὶ συγγενέσθαι εἰσίν, οὐδὲν ἐθέλοντες ἐπαινεῖν ἀλλ' ἢ τὸν πλοῦτον. Ἀληθῆ, ἔφη, λέγεις. Πάνυ μὲν οὖν, ἦν δ' ἐγώ. ἀλλά μοι ἔτι τοσόνδε εἰπέ· τί μέγιστον οἴει ἀγαθὸν ἀπολελαυκέναι τοῦ πολλὴν οὐσίαν κεκτῆσθαι; Ὅ, ἦ δ' ὅς, ἴσως οὐκ ἂν ἄλλους καὶ πολλοὺς πείσαιμι λέγων. εὖ γὰρ ἴσθι, ἔφη, ὦ Σώκρατες, ὅτι, ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν ἐν τῷ πρόσθεν οὐκ εἰσῄει. οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τῶν ἐν Ἅιδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν μὴ ἀληθεῖς ὦσιν· καὶ αὐτός, ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας ἢ καὶ ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ μᾶλλόν τι καθορᾶ αὐτά, ὑποψίας δ' οὖν καὶ δείματος μεστὸς γίγνεό μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα καὶ ἐκ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος δειμαίνει καὶ ζῇ μετὰ κακῆς ἐλπίδος· τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος, ὥσπερ καὶ Πίνδαρος λέγει. χαριέντως γάρ, ὦ Σώκρατες, τοῦτ' ἐκεῖνος εἶπεν, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγῃ, γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος ξυναορεῖ Ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ. εὖ οὖν λέγει, θαυμαστῶς ὡς σφόδρα. πρὸς δὴ τοῦτ' ἔγωγε τίθημι τὴν τῶν χρημάτων κτῆσιν πλείστου ἀξίαν εἶναι, οὐ τι που παντὶ ἀνδρὶ ἀλλὰ τῷ ἐπιεικεῖ. τὸ γὰρ μηδὲ ἄκοντά τινα ἐξαπατῆσαι ἢ ψεύσασθαι, μηδ' αὖ ὀφείλοντα ἢ θεῷ

θυσίας τινὰς ἢ ἀνθρώπῳ χρήματα, ἔπειτα ἐκεῖσε ἀπιέναι δεδιότα, μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. ἔχει δὲ καὶ ἄλλας χρείας πολλάς· ἀλλὰ ἕν γε ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς τοῦτο ἀνδρὶ νοῦν ἔχοντι, ὦ Σώκρατες, πλοῦτον χρησιμώτατον εἶναι. Παγκάλως, ἦν δ' ἐγώ, λέ- Μουσωνίου (fr. XXXIV H.). Τῶν μὲν Κροίσου καὶ Κινύρου θησαυρῶν πενίαν ἐσχάτην καταψηφιούμεθα· ἕνα δὲ καὶ μόνον πιστεύσομεν εἶναι πλούσιον [ἢ σοφὸν] τὸν δυνάμενον κτήσασθαι τὸ ἀνενδεὲς πανταχοῦ. Δημοκρίτου (fr. 282 Diels 2). Χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή. Δημοκρίτου (fr. 78 Diels 2). Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον. Πυθαγόρου. Οὔτε ἵππον χωρὶς χαλινοῦ οὔτε πλοῦτον δίχα φρο- Πλάτωνος. Ἐρωτηθεὶς πόσην δεῖ οὐσίαν ἔχειν, εἶπεν 'ὅσην ἔχων οὔτ' ἐπιβουλευθήσῃ οὔτε τῶν ἀναγκαίων ἀπορήσεισ'. Κλεάνθους (fr. 617 Arn.). Κλεάνθης ἐρωτώμενος πῶς ἄν τις εἴη πλούσιος, 'εἰ τῶν ἐπιθυμιῶν' εἶπεν 'εἴη πένησ'. Φαβωρίνου (fr. 82 Marres). Οὐδεὶς γοῦν οὕτω πλουτεῖ, ὅστις οὐκ ἐλάττω ἔχει ὧν βούλεται. τὸν δὲ εὐθυμεῖσθαι θέλοντα χρὴ ἐν μὲν τοῖς ἀγαθοῖς ἀφορᾶν εἰς τοὺς ἐλάττω ἀγαθὰ κεκτημένους, ἐν δὲ τοῖς κακοῖς εἰς τοὺς μᾶλλον δυστυχοῦντας. ἐὰν δέ γε ἢ ἐν τοῖς ἀγαθοῖς εἰς τὸ ὑπερέχον ἢ ἐν τοῖς κακοῖς εἰς τὸ ἐνδεέστερον ἀποβλέπῃς, ἀεὶ λυπήσῃ. ἔστι δὲ λύπη ἀνία 〈ἡ〉 ἐπὶ τοῖς οἰκείοις κακοῖς. Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (Plut. fr. XVIII 11 Bernard.). Πλούτῳ μέντοι χρηστέον ὡς ὕλῃ τινός, οὐκ ἐπὶ παν- Ἐν ταὐτῷ (Plut. fr. XVIII 12 Bernard.). Ἀρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐκτέον ἢ πλοῦτον 〈τὸν〉 ἀνοήτοις σφαλερόν· ὑπὸ γὰρ χρημάτων αὔξεται κακία· καὶ ὅσῳ τις ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων. Ἀριστίππου. Οὐχ ὥσπερ ὑπόδημα τὸ μεῖζον δύσχρηστον, οὕτω καὶ ἡ πλείων κτῆσις· τοῦ μὲν γὰρ ἐν τῇ χρήσει τὸ περιττὸν ἐμποδίζει, τῇ δὲ καὶ ὅλῃ χρῆσθαι κατὰ καιρὸν ἔξεστι καὶ μέρει. Σωκράτους. Ἱδρὼς μὲν ὁ ἐκ τῶν γυμνασίων εὐσχημονέστερος, πλοῦτος δὲ ὁ ἐκ τῶν ἰδίων πόνων. Τοῦ αὐτοῦ. Τὸν πλοῦτον ὥσπερ φίλον ἐκτενῆ καὶ ἀπροφάσιστον Ἀντιφάνους (fr. 293 K.). Ἅπανθ' ὁ λιμὸς γλυκέα πλὴν αὐτοῦ ποεῖ. (incerti poetae comici) Πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος. Μενάνδρου Κιθαριστῇ (fr. 282 K.). Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει, πενία. τί γὰρ τοῦτ' ἐστίν, ἧς γένοιτ' ἂν εἷς φίλος βοηθήσας ἰατρὸς ῥᾳδίως; Διφίλου (fr. 104 K.). Πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον· τὴν [γὰρ] ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ. Εὐριπίδου Φοινίσσαις (554). Ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσι. Μενάνδρου (fr. 810 K.). Αἰσχυνόμενος αἴσχιστα πενίαν 〈ἂν〉 φέροις. Μενάνδρου Λευκαδίᾳ (fr. 310 K.). Ἀεὶ νομίζονθ' οἱ πένητες τῶν θεῶν. Εὐριπίδου Πολυείδῳ (fr. 641 N. 2). Πλουτεῖς· τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι· ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις. πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές. Ἀλέξιδος (fr. 281 K.). Τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει· ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα. τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει. Ἀπολλώνιος Λύκῳ (epist. p. 127 a Herch.). Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν, ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος. Αἰλιανοῦ ἐκ τῆς Συμμίκτου ἱστορίας (II 43). Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων· Ἀριστείδης ὁ Νικομάχου καὶ Φωκίων ὁ Φώκου καὶ Ἐπαμινώνδας ὁ Πολύμνιδος καὶ Πελοπίδας ὁ Θηβαῖος καὶ Λάμαχος ὁ Ἀθηναῖος καὶ Σωκράτης ὁ Σωφρονίσκου καὶ Ἐφιάλτης δὲ ὁ Σοφωνίδου. Διογένους. Διογένης τὴν πενίαν αὐτοδίδακτον ἔφη εἶναι ἐπικούρημα πρὸς φιλοσοφίαν· ἃ γὰρ ἐκείνην πείθειν τοῖς λόγοις Διογένους. Διογένης, ὀνειδίσαντος αὐτῷ τινος πενίαν μοχθηροῦ, ἔφη 'διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμενον εἶδον, διὰ δὲ κακίαν πολλούσ'. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 39). Μέτρον κτήσεως τὸ σῶμα ὡς ὁ ποὺς ὑποδήματος. ἐὰν μὲν ἐπὶ τούτου στῇς, ἔχεις τὸ μέτρον καὶ τὴν ἐπιβάθραν· ἐὰν δὲ ὑπερβῇς, ἀφῆκας ὡς κατὰ κρημνοῦ σεαυτόν. οὕτω γίγνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν· ὑπερέβη γὰρ τὴν χρείαν τοῦ ποδός. τὸ αὐτὸ καὶ ἐπὶ τῆς κτήσεως, ἐὰν ὑπερβῇ σῶμα, ὅρος οὐδείς ἐστι. Φαβωρίνου (fr. 83 Marres). Πενίας διττὸν

εἶδος· ἢ γὰρ διὰ τὴν γνώμην ἄνθρωποι πένονται ἢ διὰ τὴν τύχην. ἀλλὰ τὴν μὲν τύχην ἔστι θεραπεῦσαι καὶ δόσει καὶ εὑρέσει καὶ ἐργασίᾳ καὶ αὐταρκείᾳ· τὴν δὲ γνώμην οὐκ ἔστιν· οὐ γὰρ ὁμοίων δέονται οὗτός τοι κἀκεῖνος· ἀλλ' ὁ μὲν περιέρχεται 'αἰτίζων ἀκόλουσ', Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον (fr. XXII 6 Bernard.). Ἀρχύτας ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν τοῦτον ἐπήνεγκε τὸν στίχον χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι; καὶ τοῦτον ὀρθοῦ· καὶ γὰρ μᾶλλον ἐπωδίνουσι μέριμναι. Πλουτάρχου Κατὰ Πλούτου (fr. XXI 3 Bernard.). Οὐδέποτε λιμὸς ἐγέννησε μοιχείαν, οὐδέποτε ἀπορία χρημάτων ἀσωτίαν. βραχεῖά τίς ἐστι σωφροσύνη τὸ πενητεύειν ὀλίγη τις εὐνομία τὸ ἀπορεῖσθαι. Ἀρκεσιλάου. Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ κουροτρόφον ἐθίζουσαν συνεῖναι λιτότητι καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον. Σωκράτους. Σωκράτης τὴν πενίαν ἔλεγεν μικρὰν εἶναι σωφροσύνην. Διογένους. Διογένης τὴν πενίαν ἔλεγεν αὐτοδίδακτον εἶναι ἀρετήν. Ὑψαίου. Ἐκ τῶν Τέλητος ἐπιτομή (Tel. rel. 2 p. 45 H.). Ἡ πενία κωλύει πρὸς τὸ φιλοσοφεῖν, ὁ δὲ πλοῦτος εἰς ταῦτα χρήσιμον. —Οὐκ εὖ. πόσους γὰρ οἴει δι' εὐπορίαν ἢ δι' ἔνδειαν κωλυθῆναι σχολάζειν; ἢ οὐχ ὁρᾷς ὅτι ὡς ἐπὶ τὸ πολὺ οἱ πτωχότατοι φιλοσοφοῦσιν, οἱ δὲ πλούσιοι διὰ ταῦτ' αὐτὰ ἐν τῇ πάσῃ ἀσχολίᾳ εἰσίν; οὐ κακῶς δὲ καὶ Θέογνις λέγει πολλῷ τοι πλείους λιμοῦ κόρος ὤλεσεν ἄνδρας. ἐπεὶ ποῦ ἂν δείξειας δι' ἔνδειαν κεκωλυμένους φιλοσοφεῖν ὥσπερ διὰ πλοῦτον; ἢ οὐχ ὁρᾷς ὅτι διὰ μὲν ἔνδειαν καρτερεῖν βιάζονται, διὰ δὲ πλοῦτον τὰ ἐναντία; ὅταν γάρ, οἶμαι, τῷ ἀνθρώπῳ προσγένηται εὐχερῶς πορίζεσθαι ὧν ἂν ἐπιθυμῇ, οὐκέτι οὗτος πρὸς τὸ πονεῖν ἢ ζητεῖν τι ἐστίν, ἀλλ' ἔχων συνεργὸν τὸν πλοῦτον τῇ αὐτοῦ κακίᾳ, οὐδεμιᾶς ἡδονῆς ἀπέχεται. ἢ πάλιν οὐχ ὁρᾷς διότι οἱ μὲν πλούσιοι πλείω πράττοντες κωλύονται τοῦ σχολάζειν, πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα λέγων ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι· πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν ὥστε δαπανᾶν εἰς ταῦτα, ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ. ἀναγινώσκοντος δὲ αὐτοῦ τὸν σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα, καὶ τὸν Κράτητα εἰπεῖν 'ἐγώ μοι δοκῶ, ὦ Φιλίσκε, γράφειν πρὸς σὲ προτρεπτικόν· πλείω γὰρ ὁρῶ σοὶ ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι 〈ἢ〉 ᾧ ἔγραψεν Ἀριστοτέλης'. ἢ πάλιν οἰκέται μὲν οἱ τυχόντες αὐτοὺς τρέφουσι καὶ μισθὸν τελοῦσι τοῖς κυρίοις, ἐλεύθερος δὲ ἀνὴρ αὐτὸν τρέφειν οὐ δυνήσεται; ἐπεὶ καὶ τῶν τοιούτων φροντίδων μοι δοκεῖ ὁ ἄβιος λελυμένος πολὺ εὐσχολώτερος εἶναι τῷ μηδὲν ὑπάρχειν. οἷον τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται, ἐγὼ δ' ἐμαυτὸν καὶ πόλιν καὶ σὲ στένω. ἀλλ' ὅμως ταῦθ' ὁρῶντες γινόμενα οὐδὲν ἧττον κακοδαιμονεῖν οἴονται, κἂν πένητες ὦσι. φασὶ δὲ καὶ ἐν ταῖς πόλεσιν ἐντιμοτέρους εἶναι μᾶλλον τοὺς πλουσίους τῶν πενήτων. οἱ τοιοῦτοι δέ μοι δοκοῦσιν οὐκ ἀκούειν διότι Ἀριστείδης πτωχότατος ὢν πάντων Ἀθηναίων ἐντιμότατος ἦν, καὶ ὅτε τοὺς φόρους ταῖς πόλεσιν ἤθελον τάξαι Ἀθηναῖοι, ἐκεῖνον κατέστησαν, οὐδένα οἰόμενοι δικαιότερ' ἂν τάξαι· καὶ ὅτι Καλλίας πλουσιώτατος ὢν Ἀθηναίων μᾶλλον προσεποιεῖτο Ἀριστείδου οἰκεῖος εἶναι ἢ Ἀριστείδης Καλλίου, καὶ πολὺ μᾶλλον ᾐσχύνετο Ἀριστείδης ἐπὶ τῷ πλούτῳ 〈τῷ〉 Καλλίου ἢ Καλλίας ἐπὶ τῇ πενίᾳ τῇ Ἀριστείδου. ἢ πάλιν Λυσάνδρου τοῦ Σπαρτιάτου τίς ἐντὰς θυγατέρας οὐκ ἐδύνατο ἐκδόσθαι προῖκα δούς. 〈καὶ〉 ἄλλους δὲ ὁπόσους θέλεις ἄν τις εἴποι, οἳ πένητες ὄντες ἐν μείζονι τιμῇ ἐγένοντο τῶν πλουσίων. οὐκ ἀπὸ τρόπου δέ μοι δοκεῖ οὐδ' ὁ Εὐριπίδης ἐγκωμιάζων λέγειν τὸν Ἐτεοκλέα διότι νεανίας μὲν ἐνδεὴς ἦν, πλείστας δὲ τιμὰς ἔσχ' ἐν Ἀργείων πόλει. Ξενοφῶντος ἐκ τοῦ Συμποσίου (c. 3, 9). Τί γὰρ σύ, ἔφη, ὦ Χαρμίδη; ἐπὶ τίνι μέγα φρονεῖς; Ἐγὼ αὖ, ἔφη, ἐπὶ πενίᾳ μέγα φρονῶ. Νὴ Δί', ἔφη ὁ Σωκράτης, ἐπ' εὐχαρίστῳ γε πράγματι. τοῦτο γὰρ δὴ ἥκιστα μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον, καὶ ἀφύλακτον Εὐριπίδου Βελλεροφόντῃ (fr. 285 N. 2). Ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ, πενίᾳ δ' ἐλάσσων ἐστίν, ἐν δ' ἀλγύνεται φρονῶν, ὑπ' αἰδοῦς δ' ἔργ' ἀπωθεῖται χερῶν. Μενάνδρου Γεωργῷ (fr. 93 K.). Εὐκαταφρόνητόν ἐστι, Γοργία,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πένης, κἂν πάνυ λέγῃ δίκαια· τούτου γὰρ λέγειν ἕνεκα μόνου νομίζεθ' οὗτος, τοῦ λαβεῖν. καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον Φιλήμονος (fr. 157 K.). Ὅστις πένης ὢν ζῆν παρ' ὃ ζῆν βούλεται· ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά. (Incerti poetae comici III fr. 249 K.) Ἔρημός ἐστ' ἄνθρωπος ἠπορημένος. Διφίλου (fr. 105 K.). Πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον. Σοφοκλέους (deest Trag. gr. fr. N. 2). Πενία δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος. (Incerti poetae comici cf. Com. v. II p. 574 K.) Μενάνδρου (fr. 6 K.). Πρὸς ἅπαντα 〈πρᾶγμα〉 δειλὸν ὁ πένης ἐστὶ γὰρ καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει. ὁ γὰρ μετρίως πράττων περισκελέστερον ἅπαντα τἀνιαρά, Λαμπρία, φέρει. Εὐριπίδου Ἠλέκτρας (376). Πενία διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν. Καλλιμάχου (v. II p. 437 Schn.). Αἰεὶ τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί. Κράντορος. Οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον ἐν τῷ βίῳ σύμπτωμα· καὶ γὰρ ἂν φύσει Θεόγνιδος (649—52. 177—8). Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον; αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ κακὰ πολλὰ διδάσκεις, ἐσθλὰ μετ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον. πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν οὔθ' ἕρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται. Ἀλκαίου ποιητοῦ (fr. 92 B. 4). Ἀργαλέον πενία, κάκον ἄσχετον, ἃ μέγαν δάμνησι λαὸν ἀμαχανίᾳ σὺν ἀδελφέᾳ. Θεόγνιδος (155—158. 179—80). Μήποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ χαλεφθείς, μηδ' ἀχρημοσύνην, Κύρνε, κακὴν πρόφερε. Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως, ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν. χρὴ δ' ἀεὶ κατὰ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης δίζεσθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης. Ἡσιόδου (Op. 717). Μηδέποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων. Θεόγνιδος (175 s.). Χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον ῥιπτεῖν, καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων. Εὐριπίδου Ἀρχελάου (fr. 230 N. 2). ΧΟΡ. Οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία, κακὸν ἔχθιστον, φεύγει δ' ὄλβος. Ἀριστοφῶντος Βαβίου (fr. 1 K.). Σαφὴς ὁ χειμών ἐστι τῆς πενίας [ὁ] λύχνος· ἅπαντα φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ. Εὐριπίδου Ἀρχελάου (fr. 248 N. 2). Οὐκ ἔστι πενίας ἱερὸν αἰσχίστης θεοῦ. μισῶ γὰρ ὄντως οἵ τινες φρονοῦσι μέν, Μενάνδρου Πλοκίῳ (fr. 405 K.). Ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται, ἀθυμότερον ἑαυτὸν ἐπιθυμεῖ ποεῖν. ὅταν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν δυνάμενον ἐμβλέψῃ, τότ' αὐτὸν ἔστ' ἰδεῖν ὡς ἄθλιον ζῇ καὶ ταλαίπωρον βίον. κακῶς ὁ δεσπότης βεβούλευται πάνυ· ἐν ἀγρῷ γὰρ οἰκῶν, οὐ σφόδρ' ἐξηλέγχετο τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης, εἶχεν δὲ παραπέτασμα τὴν ἐρημίαν. Τοῦ αὐτοῦ Παρακαταθήκης (fr. 385 K.). Αἰσχρὸν γενέσθαι πτωχὸν ἀσθενῆ θ' ἅμα. Τιμοκλέους Ποντικοῦ (fr. 28 K.). Πολλοὺς γὰρ ἐνίοθ' ἡ πενία βιάζεται ἀνάξι' αὐτῶν ἔργα παρὰ φύσιν ποεῖν. Ἀριστοφῶντος (fr. 15 K.). Τὸ τέλος πᾶσιν ἐστὶ τοῖς πτωχοῖσι νύξ·

4.33 Ἀντιφάνους (fr. 258 K.). Καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς· τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει. Μενάνδρου (fr. 588 K.). Κρεῖττον γάρ ἐστιν, ἂν σκοπῇ τις κατὰ λόγον, μὴ πόλλ' ἀηδῶς, ὀλίγα δ' ἡδέως ἔχειν, πενίαν ἄλυπον μᾶλλον ἢ πλοῦτον πικρόν. Εὐριπίδου Ἀλεξάνδρῳ (fr. 54 N. 2). Κακόν τι βούλευμ' ἦν ἄρ' εἰς εὐανδρίαν ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί. πενία δὲ δύστηνον μέν, ἀλλ' ὅμως τρέφει μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια. Εὐριπίδου Ἠλέκτρᾳ (1131). Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους. (Eiusd. 37 s.) Λαμπροὶ γὰρ εἰς γένος γε, χρημάτων γε μὴν πένητες, ἔνθεν ἡ εὐγένει' ἀπόλλυται. Κράντορος. Τὸ γὰρ διάφορον καὶ φρονίμους πάντας ποεῖ, τὸ σωφρονεῖν δ' ἔνεστιν ἐν τούτῳ μόνῳ. Θεόγνιδος (719—28). Ἶσόν τοι πλουτοῦσιν, ὅσοις πολὺς ἄργυρός ἐστι καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τάδε πάντα πάρεστι, γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν, παιδός τ' ἠδὲ γυναικός· ὅταν δέ κε τῶνδ' ἀφίκηται οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον. Ἀντιφάνους ἐκ Νεανίσκων (fr. 167 K.). Ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν, ὦ μῆτερ, ἡ πενία 〈δὲ〉 περιφανές τε καὶ ταπεινόν.

Θεόγνιδος (1061 s.). Οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι πλούτῳ, τοὶ δ’ ἀρετὴν οὐλομένῃ πενίῃ. Εὐριπίδου Βελλεροφόντῃ (fr. 285 N. 2). Ὁ δ’ οὐδὲν οὐδείς, διὰ τέλους δὲ δυστυχῶν τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος οὐκ οἶδεν, ἀεὶ δυστυχῶν κακῶς τ’ ἔχων. οὕτως ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν. ἐκεῖνο γὰρ μεμνήμεθ’· οἷος ἦν ποτε κἀγὼ μετ’ ἀνδρῶν ἡνίκ’ εὐτύχουν βίῳ. Κριτίου (fr. 29 Diels 2). Εὐριπίδου Τηλέφῳ (fr. 714 N. 2). Μίκρ’ ἂν θέλοιμι καὶ καθ’ ἡμέραν ἔχων ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν. Ἱππώνακτος (Anan. fr. 3 B.). Εἴ τις καθείρξει χρυσὸν ἐν δόμοις πολὺν καὶ σῦκα βαιὰ 〈καὶ〉 δύ’ ἢ τρεῖς ἀνθρώπους, γνοίη χ’ ὅσον τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω. Μενάνδρου (fr. 281 K. Men. p. 172 Koerte). Ὤιμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία, οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν οἴμοι λέγειν, ἡδὺν δὲ καὶ πρᾶόν τινα ὕπνον καθεύδειν· ἀλλὰ τῶν πτωχῶν τινά. νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους ὑμᾶς ὁρῶ πονοῦντας ἡμῖν ἐμφερῆ. Εὐριπίδου Δανάῃ (fr. 327 N. 2). Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ σοφοὺς ἡγεῖσθαι τοὺς λόγους, ὅταν δέ τις λεπτῶν ἀπ’ οἴκων εὖ λέγῃ πένης ἀνήρ, γελᾶν. ἐγὼ δὲ πολλάκις σοφωτέρους πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων καὶ θεοῖσι μικρὰ χειρὶ θύοντας τέλη τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους. Θεόγνιδος (619—22). Πόλλ’ ἐν ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ· ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν. πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν· πᾶσιν δ’ ἀνθρώποις αὐτὸς ἔνεστι νόος. Εὐριπίδου (fr. 285 N. 2). Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον κράτιστον εἶναι φημὶ μὴ φῦναι βροτῷ. τρισσῶν δὲ μοιρῶν ἐγκρίνω νικᾶν μίαν, πλούτου τε χὤτῳ σπέρμα γενναῖον προσῇ πενίας τ’· ἀριθμὸν γὰρ τοσόνδε προυθέμην. ὁ μὲν ζάπλουτος, εἰς γένος δ’ οὐκ εὐτυχής, ἀλγεῖ μὲν ἀλγεῖ, παγκάλως δ’ ἀλγύνεται ὅλβου διοίγων θάλαμον ἥδιστον χερί. ἔξω δὲ βαίνων τοῦδε τὸν πάρος χρόνον πλουτῶν ὑπ’ ἄτης ζεῦγλαν ἀσχάλλει πεσών. ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ’ ἔχων βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ, πενίᾳ δ’ ἐλάσσων ἐστίν, ἐν δ’ ἀλγύνεται φρενῶν, ὑπ’ αἰδοῦς δ’ ἔργ’ ἀπωθεῖται χερῶν. ὁ δ’ οὐδὲν οὐδείς, διὰ τέλους δὲ δυστυχῶν, (Trag. adesp. 546 N. 2) Ἐγὼ γάρ, εἰ νοῦν εἶχ’ ἔμ’ ὁ σπείρας πατήρ, ἠπιστάμην ἂν μουσικὴν παρεὶς πονεῖν, ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ. πρῶτον μέν, ἐξ ὧν πάντα γίγνεται βροτοῖς, εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ στέργειν θ’ ὑδρηροῖς ὥστε θὴρ ἀεὶ ποτοῖς, χειμῶνί τ’ ἀσκεῖν σῶμα θερμά θ’ ἡλίου τοξεύματ’ αἰνεῖν μὴ σκιατραφούμενος. νῦν δ’ οὐκ ἐθισθεὶς ταῦτ’ ἐπίσταμαι μὲν οὔ, Φιλήμονος (fr. 96 K.). Νὴ τὸν Δία τὸν μέγιστον ᾧμην, Σωσία, ἐγὼ πρότερον μὲν τοὺς πένητας ζῆν μόνον ὀδυνωμένους, τῶν πλουσίων δὲ τὸν βίον ἱλαρόν τιν’ εἶναι καὶ φέρειν εὐθυμίαν. νυνὶ δὲ διαφέροντα τοῖς καθ’ ἡμέραν δαπανήμασιν δὴ τὸν βίον ὁρῶ μόνον· λύπας δ’ ἔχοντας μείζονας τοὺς μείζονας. Φιλήτου (Philem. fr. 92 K.). Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει, φθόνον τ’ ἐπήρειάν τε καὶ μῖσος πολύ, πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας, πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου. καὶ μήτ’ ἔχειν πλοῦτόν με μήτε πράγματα. πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά. Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (Plutarchi fr. XVIII 13. 14 Bernard.). Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, ὡς ἥκιστα δὲ πλουτῶν κἀν ἀρχαῖς. τοσοῦτον ὑπεραίρει πενίας ἀγαθόν, ὥστ’ αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ ἀλλάξαιτ’ ἂν πενίαν· εἴ γε μὴ τῶν ποτὲ Ἀθηναίων ὁ πλουσιώτατος ἀμείνων ἦν Ἀριστείδου καὶ Σωκράτους [Θεμιστοκλῆς ὁ Νεοκλέους] ἐν πενίᾳ τῆς ἀρετῆς· ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ καὶ αὐτὸς ἐξίτηλός τε καὶ ἀνώνυμος. φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα συνοίχεται, τὸ δὲ καλὸν Ἀναξιμένους (fr. 25 Muell.). Οὐ γὰρ οὕτως οἱ πλουτοῦντες ὡς οἱ πένητες τοὺς ἀτυχοῦντας οἰκτίρειν εἰώθασι· δεδιότες γὰρ περὶ αὐτῶν τὰς τῶν ἄλλων συμφορὰς ἐλεοῦσιν. (Eiusdem) Ἡ γὰρ πενία καὶ πρὸς τὰς τέχνας δεινοτέρους καὶ πρὸς τὸν βίον τεχνικωτέρους τοὺς ἀνθρώπους καθίστησι. (Eiusdem) Χαλεπὴ γὰρ διδάσκαλος ἡ πενία τοῦ μικρὸν φρονεῖν. Δημοκρίτου (fr. 283 Diels 2). Πενίη πλοῦτος ὀνόματα ἐνδείης καὶ κόρου. οὔτε οὖν πλούσιος 〈ὁ〉 ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων. Δημοκρίτου (fr. 285 Diels 2). Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει. σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα

πλούτῳ ποιέει. Διογένους. Κράτητος Κυνικοῦ (Poet. philos. fr. p. 215 Diels). Κράτης οὐ τῷ πλούτῳ εἶπεν ἑαυτὸν ηὐδοξηκέναι μεγάλα, ἀλλὰ τῇ πενίᾳ. Ἐκ τῶν Ἀρριανοῦ Προτρεπτικῶν ὁμιλιῶν (Epict. fr. XI p. 411 Schenkl). Ἀλλὰ δὴ Σωκράτης Ἀρχελάου μεταπεμπομένου αὐτὸν ὡς ποιήσοντος πλούσιον ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ διότι ‘Ἀθήνησι τέσσαρές εἰσι χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι καὶ κρῆναι ὕδατος ῥέουσιν‘. εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοί, ἀλλ’ ἐγὼ τούτοις ἱκανὸς καὶ οὕτω κἀκεῖνα ἐμοί. ἢ οὐχ ὁρᾷς ὅτι οὐκ εὐφωνότερον οὐδὲ ἥδιον ὁ Πῶλος τὸν τύραννον Οἰδίποδα ὑπεκρίνετο ἢ τὸν ἐπὶ Κολωνῷ ἀλήτην καὶ πτωχόν; εἶτα χείρων Πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Ὅτι πλῷ ἔοικε τῷ παρὰ γῆν ὁ τῶν πενήτων βίος, ὁ δὲ τῶν πλουσίων τῷ διὰ πελάγους. τοῖς μὲν γὰρ ῥᾴδιόν ἐστι καὶ πεῖσμα βαλεῖν καὶ προσσχεῖν καὶ νεωλκῆσαι, τοῖς δ’ οὔ. Ὑψαίου. Μὴ φεῦγε πενίαν, ἀλλ’ ἀδικίαν. οὐδεὶς γὰρ ὅτι πένης μετήλλαξεν, ἀλλ’ ὅτι ἄδικος. οὐκ οὖν οὐδὲ πλούσιος ὢν βιοῖ ἐπαινετῶς, ἀλλ’ ὅτι δίκαιος. Ἐκ τῶν Τέλητος ἐπιτομή (rel. 2 p. 33 ss. H.). Δοκεῖ μοι ἡ τῶν χρημάτων κτῆσις σπάνεως καὶ ἐνδείας ἀπολύειν. —Καὶ πῶς; οὐχ ὁρᾷς ἐνίους κεκτημένους μὲν πολλὰ ὡς δοκοῦσιν, οὐ χρωμένους δὲ τούτοις δι’ ἀνελευθερίαν καὶ ῥυπαρίαν; ἀλλ’ ὥσπερ ὁ Πρίαμος οὐδ’ ἔτλη ἔζεσθαι ἐπὶ θρόνου πολλῶν κατὰ οἶκον ἐόντων, οὕτως ἔνιοι πολλῶν ὑπαρχόντων αὐτοῖς δι’ ἀνελευθερίαν οὐδενὸς γεύονται οὐδὲ ἅπτονται· ἀλλὰ πλείω οἱ μῦς κατεσθίουσι καὶ οἱ μύρμηκες ἢ αὐτοί. ὥσπερ ὁ Λαέρτης, [ἀγροῦ ἐπ’ ἐσχατιῆς γρηὶ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε παρτίθει] εἰς ἀγρὸν ἀπελθὼν μόνος μετὰ γῥᾳδίου κακουχεῖ αὐτὸν καὶ ξηραίνει, οἱ δὲ μνηστῆρες τὰ ἐκείνου. καὶ ὥσπερ ὁ Τάνταλος ἐν λίμνῃ ἕστηκεν, ὥς φησιν ὁ ποιητής, κατὰ κρατὸς δὲ καρποί, ἀλλ’ ὁπότ’ ἰθύσει’ ὁ γέρων πιεῖν ἢ τῶν καρπῶν ἅψασθαι, ἡ μὲν λίμνη ξηρὰ ἐγίνετο, τοὺς δ’ ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα, οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία καὶ τὸν οἶνον καὶ τὸν σῖτον καὶ τὴν ὀπώραν ῥίπτασκεν, οὐ ποτὶ νέφεα ἀλλ’ ἃ μὲν εἰς τὴν ἀγορὰν ἃ δὲ εἰς τὸ καπηλεῖον, καὶ κληθῇ, ἐκπαθῶς ἀπολαύει, αὐτὸς δὲ ἔχων οὐθενὶ ἂν παρέχοι, ἀλλ’ ἐπιθυμῶν στραγγεύεται· καὶ εἰ μέν τις αὐτὸν ἐξοικίζοι, τὸν τοιοῦτον πολέμιον ἂν ἡγοῖτο, ἑαυτὸν δὲ ἐξοικίζων οὐ δοκεῖ εἶναι πολέμιος. οὐκ ἀηδῶς δ’ ἔμοιγε δοκοῦσι καὶ οἱ ἀρχαῖοι πρὸς ταῦτα ἐρωτᾶν· ὃ μὴ ἀπολύει ἁπληστίας καὶ ἀνελευθερίας καὶ ἀλαζονείας ἄνθρωπον, οὐδὲ ἐνδείας οὐδὲ σπάνεως ἀπολύει· οὐθὲν δὲ τῶν τοιούτων ἁπληστίας καὶ ἀνελευθερίας καὶ ἀλαζονείας ἀπολύει· τὸν γὰρ τρόπον οὐ μετατίθησιν· ὥσπερ οὐδὲ τῶν σωφρονούντων ἡ πενία, ἐὰν ἐκ πλουσίων πένητες γένωνται. θᾶττον γὰρ ἂν ἔμοιγε δοκεῖ τις εἰπεῖν ὡς τὴν χρόαν, τὸ μέγεθος, [ἢ] τὴν ὄψιν μετατίθησιν ἡ τῶν χρημάτων κτῆσις ἢπερ τὸν τρόπον· ἕως δ’ ἂν ᾖ οὗτος ἄπληστος ἀνελεύθερος ἀλαζὼν δειλός. ἐν ἐνδείᾳ καὶ σπάνει Πῶς δὲ οἱ τραπεζῖται, φησὶν ὁ Βίων, χρημάτων, ἔχοντες αὐτά; οὐ γὰρ αὐτῶν ὄντα ἔχουσιν· οὐδὲ ἄρα οὗτοι αὐτῶν. εἰ δὲ καὶ τοῦτό τίς σοι δοίη ἐπὶ τοῦ παρόντος, ἀλλ’ ὅμοιόν ἐστι τὸ οὕτως ἔχειν 〈καὶ τὸ μὴ ἔχειν〉, ὅταν ἀδυνατῇς αὐτοῖς χρῆσθαι. ἢ τί διαφέρει μὴ ἔχειν ἢ οὕτως ἔχειν ὡς αἱ Φορκίδες τὸν ὀφθαλμὸν ἀποκείμεν〈ον ἔχειν λέγοντ〉αι, αὐτὰς δέον εἰς φραγμοὺς καὶ βόθρους καὶ βόρβορον ἐμπίπτειν, μηθὲν προορωμένας, ἀλλ’ ἐώσας ἀποκεῖσθαι, ἕως ὅτου καὶ αὐτὸν τὸν ὀφθαλμὸν ὁ Περσεὺς ὑφείλετο; ἢ τί διαφέρει μὴ ἔχειν τροφὴν ἢ τοιαύτην ἔχειν, ἧς οὐ μὴ γεύσηται, … ἰχθῦς καὶ περιστέρια ἢ Αἰγυπτίῳ κύνα ἢ Ἕλληνι κρανίον ἀνθρώπου; ὁμοίως γὰρ σπανιεῖ τροφῆς καὶ ἔχων ταύτην καὶ μὴ ἔχων. τί οὖν ὄφελος τὸ οὕτως ἔχειν; ἐπεὶ καὶ σὺ ἀργύριον ἔχεις, ἀλλ’ οὐ μὴ χρήσῃ διὰ ῥυπαρίαν καὶ δειλίαν. διὸ καὶ οἱ ἀρχαῖοι ἔλεγον οὐκ ἀηδῶς· ἔφασαν γὰρ τῶν ἀνθρώπων οὓς μὲν χρήματα ἔχειν οὓς δὲ κτήματα. οὓς μὲν γὰρ χρᾶσθαι τοῖς ὑπάρχουσιν, οὓς δὲ μόνον κεκτῆσθαι οὔτε ἑαυτοῖς προϊεμένους οὔτε ἄλλοις μεταδιδόντας. καὶ ὃν τρόπον, ὅταν βασιλεὺς ἢ δυνάστης τὰ ὑπάρχοντα παρασφραγίσηται, οὐκ ἔστιν ἅψασθαι, οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία τὰ ὑπάρχοντα παρεσφράγισται οὐκ ἐῶσα ἅψασθαι, ἀλλὰ σπανίζουσι καὶ ἐν ἐνδείᾳ εἰσίν, ἐπιθυμοῦντες μὲν πολλῶν χρᾶσθαι δὲ οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυνάμενοι. διὸ καὶ ὁ Κράτης πρὸς τὸν ἐπιζητοῦντα ‘τί οὖν μοι ἔσται φιλοσοφήσαντι;‘ ‘δυνήσῃ‘ φησί ‘τὸ φασκώλιον ῥᾳδίως λῦσαι καὶ τῇ χειρὶ ἐξελὼν εὐλύτως δοῦναι, καὶ οὐχ ὥσπερ νῦν στρέφων καὶ μέλλων καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας· ἀλλὰ καὶ πλῆρες ὂν αὐτὸ οὕτως ὄψει καὶ κενούμενον ἰδὼν οὐκ ὀδυνήσῃ, καὶ χρᾶσθαι προελόμενος ῥᾳδίως δυνήσῃ καὶ μὴ ἔχων οὐκ ἐπιποθήσεις, ἀλλὰ βιώσῃ ἀρκούμενος τοῖς ὑδρωπικὸν βουλόμενος παῦσαι τοῦ δίψους, τὸν μὲν ὕδρωπα μὴ θεραπεύοι, κρήνας δὲ καὶ ποταμοὺς αὐτῷ παρασκευάζοι. ἐκεῖνός τε γὰρ ἂν πρότερον πίνων διαρραγείη ἢ παύσαιτο τοῦ δίψους, οὗτός τε οὐκ ἄν ποθ’ ἱκανωθείη, ὅταν ᾖ ἄπληστος καὶ δοξοκόπος καὶ δεισιδαίμων. διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι, μὴ πρὸς τὸν Πτολεμαῖον πέμπε ὅπως χρήματα κτήσεται· εἰ δὲ μή, ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται, περανεῖς δὲ οὐδέν· ἀλλὰ [εἰς ἀκαδημίαν] πρὸς Κράτητα· ἐκεῖνος ἠδύνατο ἐξ ἀπλήστων καὶ πολυτελῶν ἐλευθερίους καὶ ἀφελεῖς κατασκευάζειν. καὶ Μητροκλῆς δὲ ἐκεῖνος ἔφη, ὡς ἔοικεν, ὅτε μὲν παρὰ Θεοφράστῳ καὶ Ξενοκράτει προστρέφειν οὐδενὸς πεμπομένου. τότε μὲν γὰρ ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν, καὶ τοῦτο ἀκάττυτον [ἥλους οὐκ ἔχον], εἶτα χλανίδα, παίδων ἀκολουθίαν, οἰκίαν μεγάλην, εἰς τὸ σύνδειπνον ὅπως ἄρτοι καθαροί, ὄψον μὴ τὸ τυχόν, οἶνος ἡδύς, ὑποδοχὰς τὰς ἐπιβαλλούσας, ἵνα πολυτελῶς· ἐλευθέριος γὰρ παρ’ αὐτοῖς ἡ τοιαύτη ἀναστροφὴ ἐκρίνετο· πρὸς Κράτητα δὲ μεταβάντι οὐδὲν ἦν τούτων· ἀλλ’ ἀφελέστερος τῷ τρόπῳ γενόμενος ἠρκεῖτο τρίβωνι καὶ μάζῃ καὶ λαχανίοις οὐκ ἐπιποθῶν τὴν προτέραν δίαιταν οὐδὲ τῇ παρούσῃ δυσχεραίνων. πρὸς ῥῖγος ἡμεῖς μὲν ζητοῦμεν παχύτερον ἱμάτιον, ἐκεῖνος δὲ διπλώσας τὸν τρίβωνα περιῄει τρόπον τινὰ δύο ἱμάτια ἔχων. εἰ ἀλείχέας ἂν ἐλᾴδιον καθίσας ἠρίστησε. καὶ ἐκάθευδε τὸ μὲν θέρος ἐν τοῖς ἱεροῖς, τὸν δὲ χειμῶνα ἐν τοῖς βαλανείοις· οὐ σπανίζων ὥσπερ πρὸ τοῦ οὐδὲ ἐνδεὴς ὤν, ἀλλ’ ἀρκούμενος τοῖς παροῦσι, διακόνους οὐκ ἐπιθυμῶν ἔχειν. θαυμαστὸν μὲν γάρ, φησὶν 〈ὁ Διογένησ〉, εἰ Μάνης μὲν Διογένους ἄνευ δυνήσεται ζῆν, Διογένης δὲ ἄνευ Μάνους οὐ δυνήσεται θαρρεῖν. ὅταν δὲ ποιήσας ἀλαζόνα πολυτελῆ δεισιδαίμονα δοξοκόπον ἄπληστον χρήματα πολλὰ διδῷς, οὐδὲν περανεῖς. οὐκ ἀηδῶς γὰρ ὁ Φιλήμων πλοῦτον μεταλήψεσθ’ ἕτερον, οὐχ ἕτερον τρόπον. τούτου δὲ μένοντος τοῦ αὐτοῦ ὁμοίως οὐκ ἀρκεῖται οὐδ’ ἱκανοῦται, ἀλλ’ ἐπιθυμίας καὶ ἐπιβολὰς τοσούτων καὶ τοιούτων ἔχει, ἐξ ὧν ἐν ἐνδείᾳ καὶ σπάνει ἔσται· ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. καὶ παῖς μὲν ὢν ἐπιθυμεῖ ἔφηβος γενέσθαι, ἔφηβος δὲ γενόμενος ζητεῖ πάλιν χλαμύδιον ἀποθέσθαι, ὅταν δὲ ἡ νεότης μοι φίλον ἀεί, τὸ δὲ γῆρας βαρύτερον Αἴτνης, καὶ μακαρίζει τὸν τοῦ παιδὸς βίον. οἰκέτης ἐστίν· ἐλεύθερος σπεύδει γενέσθαι· κἂν τούτου τύχω, φησί, πάντ’ ἔχω. γέγονεν ἐλεύθερος· δοῦλον εὐθὺς ἐπιθυμεῖ κτήσασθαι. γέγονε τοῦτ’ αὐτῷ· ἕτερον πρὸς σπεύδει κτήσασθαι· μία γάρ, φησί, χελιδὼν ἔαρ οὐ ποιεῖ. εἶτα δύο, εἶτα κἀγρόν, εἶτ’ Ἀθηναῖος … γενέσθαι, εἶτα ἄρξαι, εἶτα βασιλεῦσαι, εἶτα, ὥσπερ Ἀλέξανδρος, ἀθάνατος γενέσθαι· εἰ δὲ καὶ τούτου τύχοι, οἶμαι, ἵνα Ζεὺς γένηται ἐπιθυμήσει. πῶς οὖν ὁ τοιοῦτος οὐκ ἐνδεής; ἢ ποία χρημάτων ὕπαρξις 〈τῶν〉 τοιούτων ἐπιθυμιῶν ἀπολύει; οἱ βασιλεῖς αὐτοὶ πολλῆς ἐπάρχοντες καὶ προσόδους μεγάλας ἔχοντες οὐδὲν πολλὰ τὰ ἀναγκαῖα ἀναπεπλάκασι, καὶ οὔτε τῆς ἀρχῆς ἀποστῆναι προαιροῦνται οὔτε τὰ καθ’ ἑαυτοὺς λιτότερον διεξάγουσιν· εἶτα ἀναγκάζονται πολλὰ ὧν 〈οὐ〉 βούλονται. εἰ δὲ πάντων τις τῶν τοιούτων ὑπεράνω γένοιτο, ἐν πολλῇ ἂν εἴη ἀδείᾳ καὶ ἀσπανιστίᾳ. οὐκ ἀηδῶς γὰρ Κράτης οὐκ οἶσθα, φησί, πήρα δύναμιν ἡλίκην ἔχει, θέρμων τε χοῖνιξ καὶ τὸ μηδενὸς μέλειν. τῷ ὄντι μέγα καὶ ἀξιόλογον καὶ πήρας καὶ θέρμων καὶ λαχάνων καὶ ὕδατος 〈τὸ〉 μηδενὸς φροντίζειν, ἀλλ’ εἶναι ἀθώπευτον καὶ ἀκολάκευτον. Ξενοφῶντος ἐν τῷ η′ τῆς Κύρου παιδείας (VIII 3, 40—46). Ἦ γὰρ οὕτως, ὦ Σάκα, ὑπολαμβάνεις, ὡς ἐγὼ νῦν τοσούτῳ ἥδιον ζῶ, ὅσῳ πλείονα κέκτημαι; οὐκ οἶσθα, ἔφη, ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ’ ὁτιοῦν ἥδιον νῦν ἢ ὅτε πένης ἦν. ὅτι δὲ πολλὰ ταῦτ’ ἐστί, πολλοὶ δὲ πιεῖν, πολλοὶ δὲ ἱμάτια· οἱ δὲ ἰατρῶν δέονται· ἥκει δέ τις ἢ τῶν προβάτων

λελυκωμένα φέρων ἢ τῶν βοῶν κατακεκρημνισμένα ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν· ὥστ' ἔμοιγε δοκῶ, ἔφη ὁ Φεραύλας, νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω λυπεῖσθαι ἢ πρόσθεν διὰ τὸ ὀλίγα ἔχειν. καὶ ὁ Σάκας εἶπεν· Ἀλλὰ ναὶ μὰ τὸν Δί', ὅταν σῷα ᾖ, πολλὰ ὁρῶν πολλαπλάσια ἐμοῦ εὐφραίνει. καὶ ὁ Φεραύλας εἶπεν· Οὕτοι, ὦ Σάκα, οὕτως ἡδύ ἐστι τὸ ἔχειν χρήματα ὥσπερ ἀνιαρὸν τὸ ἀποβάλλειν. γνώσει δ' ὅτι ἐγὼ τἀληθῆ λέγω· τῶν μὲν γὰρ πλουτούντων οὐδεὶς ἀναγκάζεται ὑφ' ἡδονῆς ἀγρυπνεῖν, τῶν δ' ἀποβαλλόντων τι ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ λύπης. Μὰ Δί', ἔφη ὁ Σάκας, οὐδέ γε τῶν λαμβανόντων νυστάζοντα οὐδένα ὑφ' ἡδονῆς. Ἀληθῆ, ἔφη, λέλαμβάνειν ἡδὺ ἦν, πολὺ ἂν διέφερον εὐδαιμονίᾳ οἱ πλούσιοι τῶν πενήτων. καὶ ἀνάγκη δέ τοί ἐστιν, ὦ Σάκα, τὸν πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν καὶ εἰς θεοὺς καὶ εἰς φίλους καὶ εἰς ξένους· ὅστις οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι. Μὰ Δί', ἔφη ὁ Σάκας, ἀλλ' οὐκ ἐγὼ τούτων εἰμί, ἀλλὰ καὶ εὐδαιμονίαν τοῦτο νομίζω τὸ πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν. Τί οὖν, ἔφη, πρὸς τῶν θεῶν, ὁ Φεραύλας, οὐχὶ σύ γε αὐτίκα μάλα εὐδαίμων ἐγένου κἀμὲ εὐδαίμονα ἐποίησας; ἀλλὰ γάρ, ἔφη, πάντα ταῦτα κέκτησο καὶ χρῶ ὥσπερ βούλει αὐτοῖς· ἐμὲ δὲ μηδὲν ἄλλο ἢ ὥσπερ ξένον τρέφε καὶ ἔτι εὐτελέστερον ἢ ξένον· ἀρκέσει γάρ μοι ὅ τι ἂν καὶ σὺ ἔχῃς τούτων μετέχειν. Πλάτωνος ἐκ τοῦ Ἐρυξίου (p. 401 B—402 C.). Τί ποτ' ἐστὶν ὃ χρώμεθα χρήμασι, καὶ πρὸς τί εὕρηται ἡ τῶν χρημάτων κτῆσις; ὥσπερ τὰ φάρμακα πρὸς τὸ τὰς νόσους ἀπαλλάττειν; ἴσως γὰρ ἂν ἡμῖν οὕτω μᾶλλον φανερὸν γένοιτο. ἐπειδὴ ἀναγκαῖον μὲν φαίνεται, ὅσα περ τυγχάνει χρήματα ὄντα, ταῦτα καὶ χρήσιμα εἶναι, τῶν δὲ χρησίμων γένος τι ὃ καλοῦμεν χρήματα, λοιπὸν πρὸς τὴν ἐργασίαν χρώμεθα, ὥσπερ γε πάντα μὲν τὰ ψυχὴν ἔχοντα ζῷα, τῶν δὲ ζῴων γένος τι καλοῦμεν ἄνθρωπον. εἰ δή τις ἡμᾶς ἔροιτο τίνος ἂν ἐκποδὼν ἡμῖν γενομένου οὐδὲν δεοίμεθα ἰατρικῆς οὐδὲ τῶν ταύτης ἐργαλείων, ἔχοιμ〈εν〉 ἂν εἰπεῖν ὅτι εἰ αἱ νόσοι ἀπαλλαγείησαν ἐκ τῶν σωμάτων καὶ μὴ γίγνοιντο παντάπασιν, ἢ γιγνόμεναι παραχρῆμα ἀπαλλάττοιντο. ἔστιν ἄρα, ὡς ἔοικεν, ἡ ἰατρικὴ τῶν ἐπιστημῶν 〈ἡ〉 πρὸς τοῦτο χρησίμη, πρὸς τὸ νόσους ἀπαλλάττειν. εἰ δέ τις ἡμᾶς πάλιν ἔροιτο τίνος ἂν ἡμῖν ἀπαλλαγέντος οὐδὲν δεοίμεθα χρημάτων, ἆρ' ἂν ἔχοιμεν εἰπεῖν; εἰ δὲ μή, πάλιν ὠδὶ σκοπώμεθα· φέρε, εἰ οἷός τε εἴη ζῆν ἄνθρωπος ἄνευ σιτίων καὶ ποτῶν, καὶ μὴ πεινῷ μηδὲ διψῷ, ἔσθ' ὅτι ἂν ἢ αὐτῶν τούτων δέοιτο ἢ ἀργυρίου ἢ ἑτέρου τινὸς ἵνα ταῦτα ἐκπορίζηται; — Οὐκ ἔμοιγε δοκεῖ. — Οὐκοῦν καὶ τἆλλα κατὰ τὸν αὐτὸν τρόπον· εἰ μὴ δεοίμεθα πρὸς τὴν τοῦ σώματος θεραπείαν ὧν νῦν ἐνδεεῖς ἐσμέν, καὶ ἀλέας καὶ ψύχους ἐνίοτε καὶ τῶν ἄλλων ὅσων τὸ σῶμα ἐνδεὲς γιγνόμενον προσδεῖται, ἄχρηστ' ἂν ἡμῖν εἴη τὰ καλούμενα χρήματα, εἰ μηδείς γε παντάπασι μηδενὸς δέοιτο τούτων ὧν ἕνεκεν νυνὶ βουλόμεθα χρήματα ἡμῖν εἶναι, ἵνα ἐξικοίμεθα πρὸς τὰς ἐπιθυμίας καὶ τὰς ἐνδείας τοῦ σώματος, ὧν ἂν ἑκάοὐδὲν ἂν δεοίμεθα χρημάτων, ἴσως δ' ἂν οὐδ' εἴη παντάπασι χρήματα. 〈 — Φαίνεται. — 〉 Φαίνεται ἄρα ἡμῖν, ὡς ἔοικε, τὰ πρὸς ταύτην τὴν πραγματείαν χρήσιμα τῶν πραγμάτων ταῦτα εἶναι χρήματα. — Συνέφη μὲν ταῦτα εἶναι χρήματα. οὐ μὴν ἀλλ' ἐτάραττέ τε αὐτὸν σφόδρα τὸ λογίδιον. — Τί δαὶ τὰ τοιάδε; πότερ' ἂν φήσαιμεν οἷόν τ' εἶναι ταὐτὸν πρᾶγμα πρὸς τὴν τοιαύτην ἐργασίαν τοτὲ μὲν χρήσιμον εἶναι, τοτὲ δὲ ἀχρεῖον; — Οὐκ ἔγωγ' ἂν φαίην, ἀλλ' εἴ τι δεοίμεθα τούτου πρὸς τὴν αὐτὴν ἐργασίαν, καὶ χρήσιμόν μοι δοκεῖ εἶναι· εἰ δὲ μή, οὔ. — Οὐκοῦν εἰ ἄνευ πυρὸς οἷοί τε ἦμεν ἀνδριάντα χαλκοῦν ἐργάσασθαι, οὐδὲν ἂν δεοίμεθα πυρὸς πρός γε τὴν τούτου ἐργασίαν· εἰ δὲ μὴ δεοίμεθα, οὐδ' ἂν χρήσιμον ἡμῖν εἴη. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν ἄλλων. οὐκοῦν ὅσων ἄνευ οἷόν τε γίγνεσθαί τι, οὐδὲν ἂν τούτων ἡμῖν χρήσιμον φαίνοιτο πρός γε τοῦτο. — Οὐ γάρ. — Οὐκοῦν εἴ ποτε φαινοίμεθα οἷοί τε ὄντες ἄνευ ἀργυρίου καὶ χρυσίου καὶ τῶν ἄλλων τῶν τοιούτων, οἷς μὴ αὐτοῖς χρώμεθα πρὸς τὸ σῶμα, ὥσπερ σίτοις καὶ ποτοῖς καὶ ἱματίοις καὶ στρώμασι καὶ οἰκίαις, παύειν τὰς τοῦ σώματος ἐνδείας, ὥστε μηκέτι δεῖσθαι, οὐκ ἂν ἡμῖν οὐδὲ χρήσιμα γένοιτο πρός γε τοῦτο

τἀργύριόν τε καὶ τὸ χρυσίον καὶ τἆλλα τὰ τοισιμα οἷοί τ’ ἐσμὲν ἐκπορίζεσθαι. Ἐν αὐτῷ (p. 405 C —406 A). Μάλιστα δ’ ἂν ἴσως καὶ τοῦτο ὧδε θεωρηθείη, εἴ τις αὐτὸν πρὸς αὐτὸν τὸν ἄνθρωπον παραβάλλων σκοποῖτο ὁποτέρα τῶν ἕξεων βελτίων, πότερον ὅταν τύχῃ νοσῶν ἢ ὅταν ὑγιαίνων. — Ἀλλὰ τοῦτό γ’ ἔφη, οὐ πολλῆς τινος τῆς σκέψεως δεῖται. — Ἴσως γάρ, ἦν δ’ ἐγώ, παντὶ ἀνθρώπῳ εὔπορον γνῶναι ὅτι ἡ τοῦ ὑγιαίνοντος ἕξις κρείττων ἐστὶ τῆς τοῦ κάμνοντος. τί δέ; πότερον τυγχάνομεν πλειόνων τε καὶ μᾶλλον παντοδαπῶν δεόμενοι, ὅταν κάμνωμεν ἢ ὅταν ὑγιαίνωμεν; — Ὅταν κάμνωμεν. — Ὅταν ἄρα αὐτοὶ ἑαυτῶν τυγχάνωμεν φαυλότατα διακείμενοι, τότε σφόδρα τε καὶ πλείστων, τὰ πρὸς τὰς ἡδονὰς τὰς διὰ τοῦ σώματος, ἐν ἐπιθυμίαις τε καὶ δεήσεσιν ἐσμέν; — Οὕτως. — Οὐκοῦν κατὰ τὸν αὐτὸν λόγον ὥσπερ αὐτὸς ἑαυτοῦ τότε φαίνεται βέλτιστα ἔχων, ὅταν ἐλαχίστων τῶν τοιούτων δέηται, οὕτω πάλιν καὶ δυοῖν ὄντοιν, εἰ ὁ μὲν τυγχάνοι σφόδρα τε καὶ πολλῶν ἐν ἐπιθυμίᾳ τε καὶ δεήσει ὤν, ὁ δὲ ὀλίγων τε καὶ ἥσυχος, οἷον τὰ τοιάδε· ὅσοι τῶν ἀνθρώπων τυγχάνουσι κυβευταὶ ὄντες, οἱ δὲ οἰνόφλυγες, ἕτεροι δὲ γαστρίμαργοι· ἅπαντα γὰρ αὖτα πεπονθότων. — Πάνυ μὲν οὖν ἔγωγε καὶ σφόδρα μοχθηροὺς τοὺς τοιούτους ὑπολαμβάνω εἶναι· καὶ ὅσῳ ἂν

4.34 Σοφοκλέους (inc. fab. fr. 859 N. 2). Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος, ὡς οὐδὲν ἐσμέν, πλὴν σκιαῖς ἐοικότες βάρος περισσὸν γῆς ἀναστρωφώμενοι. Σοφοκλῆς Αἴαντι (125 s.). Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν εἴδωλ’, ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν. Φιλήμονος (fr. 158 K.). Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπου, γύναι· Εὐριπίδου Μελεάγρῳ (fr. 532 N. 2). Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ γῆ καὶ σκιά. τὸ μηδὲν εἰς οὐδὲν βλέπει. Φιλήμονος (fr. 133 K.). Οὐκ ἂν δύναιο μὴ γενέσθαι, δέσποτα, ἄνθρωπος ὢν ἄνθρωπος· ἄλλως οὖν βοᾷς· τὸν ζῶντ’ ἀνάγκη πόλλ’ ἔχειν ἐστὶν κακά. Διφίλου (fr. 106 K.). Ἄνθρωπός εἰμι, τοῦτο δ’ αὐτὸ τῷ βίῳ πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει. Μενάνδρου (fr. 534 K.). Ἅπαντα τὰ ζῷ’ ἐστὶ μακαριώτερα καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ. τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί. οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως. τούτῳ κακὸν δι’ αὐτὸν οὐδὲν γίνεται· ἃ δ’ ἡ φύσις δέδωκεν 〈αὐτῷ〉, ταῦτ’ ἔχει. ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ’ αὑτῶν ἕτερα προσπορίζομεν. λυπούμεθ’, ἂν πτάρῃ τις· ἂν εἴπῃ κακῶς, Σωτάδου. Αὐτὸς γὰρ ἐὼν παντογενὴς ὁ πάντα γεννῶν, οὐ κρίνει δικαίως τὰ κατ’ ἄνθρωπον ἕκαστον. καὶ γὰρ κατὰ γαῖαν τά〈γε〉 κακὰ πέφυκεν ἀεί· καὶ τοῖς μεγάλοις ἀεὶ κακοῖς γέγηθ’ ὁ κόσμος ὅτι πάντες, ὅσοι περισσὸν ἠθέλησαν εὑρεῖν ἢ μηχανικὸν ποίημ’ ἢ σοφὸν μάθημα, οὗτοι κακὸν εἰς τὸν θάνατον τέλος ἐποίησαν, ὑπὸ τοῦ γεννήτορος κόσμου κακῶς παθόντες. Σωκράτην ὁ κόσμος πεποίηκεν σοφὸν εἶναι, καὶ κακῶς ἀνεῖλεν τὸν Σωκράτην ὁ κόσμος, ἐν τῇ φυλακῇ κώνειον ὅτι πιὼν τέθνηκε. πουλύποδα φαγὼν ὁ Διογένης ὠμὸν τέθνηκεν. Αἰσχύλῳ γράφοντί 〈τι〉 ἐπιπέπτωκε χελώνη. Σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς πνιγεὶς τέθνηκε. κύνες οἱ κατὰ Θρᾴκην Εὐριπίδην ἔτρωγον. τὸν θεῖον Ὅμηρον λιμὸς κατεδαπάνησεν. Τοῦ αὐτοῦ. εὐσεβής τίς ἐστιν, πενίαν δέδωκεν αὐτῷ. μέγας ἐστὶ τεχνίτης [τις], ἀτυχῆ πεποίηκ’ αὐτόν. κἂν ἐπὶ τὸ μέγιστον δίκαιος κριτὴς ὑπάρχῃ, δεῖ τὸν φύσει νικώμενον ἄδικον αὐτὸν εἰπεῖν. πλούσιός τίς ἐστιν, τὸ μέγα πτῶμα φοβεῖται. ἰσχυρὸς ὑπάρχει, νόσου πεῖραν εὐλαβεῖται. ἡμέρας μιᾶς ἀλυπία μέγ’ ἐστὶ κέρδος. τί γὰρ ἐσμὲν ὅλως, ἢ ποταπῆς γεγόναμεν ὕλης; στόχασαι κατὰ σεαυτὸν τὸ βιωτικόν, νοήσας ἐκ τίνος ἐγένου καὶ τίς εἶ καὶ τίς πάλι γίνῃ. Μενάνδρου (cf. fr. 417 b K.). Τυφλόν γε καὶ δύστηνον ἀνθρώπου βίος. Εὔφρονος Διδύμων (fr. 5 K.). Ὦ Ζεῦ, τί ποθ’ ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχὺν πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς; Μιμνέρμου (fr. 2 B. 4). τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν οὔτ’ ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι, ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου, ἡ δ’ ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης καρπός, ὅσον τ’ ἐπὶ γῆν κίδναται ἠέλιος. αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης, αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος. πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος τρυχοῦται, πενίης δ’ ἔργ’ ὀδυνηρὰ πέλει· ἄλλος δ’ αὖ παίδων

ἐπιδεύεται, ὧν τε μάλιστα ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀίδην· ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἔστιν ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ. Φιλήμονος (fr. 93 K.). Ὦ τρισμακάρια πάντα καὶ τρισόλβια τὰ θηρί', οἷς οὐκ ἔστι περὶ τούτων λόγος· οὔτ' εἰς ἔλεγχον οὐδὲν αὐτῶν ἔρχεται, οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακὸν προγόνοισιν, ἐγγόνοισιν. οὐκ ἔστ' ἀποτυχεῖν κακοῦ, πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν. Σιμωνίδου Θρήνων (fr. 36 B. 4). Οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο, θεῶν δ' ἐξ ἀνάκτων ἐγένοντο υἷες ἡμίθεοι, ἄπονον οὐδ' ἄφθιτον οὐδ' ἀκίνδυνον βίον ἐς γῆρας ἐξίκοντο τελέσαντες. Σιμωνίδου (Semon. 1 Bergk 4). Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος πάντων ὅς' ἔστι, καὶ τίθης' ὅπῃ θέλει. νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφήμεροι αιδη βοτὰ ζώομεν, οὐδὲν εἰδότες ὅκως ἕκαστον ἐκτελευτήσει θεός. ἐλπὶς δὲ πάντας κἀπιπειθείη τρέφει, ἄπρηκτον ὀρμαίνοντας· οἱ μὲν ἡμέρην μένουσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς. νέωτα δ' οὐδεὶς ὅστις οὐ δοκέει βροτῶν πλούτῳ τε κἀγαθοῖσιν ἴξεσθαι φίλος. φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβόν, πρὶν τέρμ' ἵκηται· τοὺς δὲ δύστηνοι νόσοι φθείρουσι θνητῶν· τοὺς δ' Ἄρει δεδμημένους πέμπει μελαίνης Ἀίδης ὑπὸ χθονός· οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλὸς θνῄσκουσιν, εὖτ' ἂν εὖ δυνήσωνται ζόειν· οἱ δ' ἀγχόνην ἄψαντο δυστήνῳ μόρῳ καὐτάγρετοι λείπουσιν ἡλίου φάος. οὕτω κακῶν ἄπ' οὐδέν, ἀλλὰ μυρίαι βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι καὶ πήματ' ἐστίν· εἰ δ' ἐμοὶ πιθοίατο, οὐκ ἂν κακῶν ἐρῷμεν οὐδ' ἐπ' ἄλγεσι κακοῖς' ἔχοντες θυμὸν αἰκιζοίμεθα. Φιλήμονος (fr. 88 K.). Πολύ γ' ἐστὶ πάντων ζῷον ἀθλιώτατον ἄνθρωπος, εἴ τις ἐξετάζοι κατὰ τρόπον. τὸν γὰρ βίον περίεργον εἰς τὰ πάντ' ἔχων ἀπορεῖ τὰ πλεῖστα διὰ τέλους πονεῖ τ' ἀεί. καὶ τοῖς μὲν ἄλλοις πᾶσιν ἡ γῆ θηρίοις ἐκοῦσα παρέχει τὴν καθ' ἡμέραν τροφήν, αὐτὴ πορίζους' οὐ λαβοῦσα .... πάνυ μόλις ὥσπερ τὸ κατὰ χρέος κεφάλαιον ἐκτίνει τὸ σπέρμα, τοὺς τόκους δ' 〈ἀν〉 ευρίσκους' ἀεὶ πρόφασίν τιν' αὐχμὸν ἢ πάχνην ἀποστερεῖ. καὶ τυχὸν μὲν διὰ τὸ παρέχειν πράγματα μόνους ἑαυτῇ καὶ ποιεῖν τἄνω κάτω ταύτην παρ' ἡμῶν λαμβάνει τιμωρίαν. Βάθωνος ἐξ Αἰτωλοῦ (fr. 1 Com. III p. 326 K.). Ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ Μενάνδρου (fr. 539 K.). Ὁ πάντα βουληθεὶς 〈ἂν〉 ἄνθρωπος πονεῖν πῶς ἂν γένοιτ' ο〈ὐ〉 πλούσιος τρόπον 〈τινά,〉 [οὗτος] πάλιν φιλόσοφος τινὶ μαθήσει χρώμενος, τὸ σῶμ' ὑγιαίνων τινὰ δίαιταν προσφέρων; πλὴν ἕν τι τῶν πάντων ἀδύνατον ἦν ἄρα εὑρεῖν, δι' οὗ τρόπου τις οὐ λυπήσεται. οὐ γὰρ τὸ μὴ πράττειν κατὰ νοῦν ἔχει μόνον λύπην, παρέχει δὲ φροντίδας καὶ τἀγαθά. Φιλήμονος Ἐφήβῳ (fr. 28 K.). Οὐ τοῖς πλέουσι τὴν θάλατταν γίνεται μόνοισι χειμών, ὡς ἔοικεν, ἀλλὰ καὶ τοῖς περιπατοῦσί που, Λάχης, ἐν τῇ στοᾷ καὶ τοῖς μένουσιν ἔνδον ἐν ταῖς οἰκίαις. χοί μὲν πλέοντες ἐνίοθ' ἡμέραν μίαν ἢ νύκτα χειμασθέντες, εἶτ' ἐκ τοῦ κακοῦ σωτηρίας ἐπέτυχον· ἤτοι πνεῦμα γὰρ αὐτοὺς τὸ σῷζον ἦκεν ἢ 'φάνη λιμήν. ἐμοὶ δὲ τοῦτ' οὐκ ἔστιν· οὐκ ἐς ἡμέραν χειμάζομαι μίαν γάρ, εἰς τὸ ζῆν δ' ὅλον· Εὐριπίδου Θυέστου (fr. 392 N. 2). Εἰ δ' ἄτερ πόνων δοκεῖς ἔσεσθαι, μῶρος εἶ, θνητὸς γεγώς. Εὐριπίδου Ἀλκμήνης (fr. 101 N. 2). Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ τίκτει βροτοῖσιν. Σοφοκλέους Μυσῶν (fr. 376 N. 2). Ἄμοχθος γὰρ οὐδείς· ὁ δ' ἥκιστ' ἔχων μακάρτατος. Σόλωνος (fr. 14 B. 4). Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός, ἀλλὰ πόνηροι πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ. Βακχυλίδου Προσοδίων (fr. 13 Blass). Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους. Τοῦ αὐτοῦ Ἐπινίκων (V 54 Bl.). Οὐ γάρ τις ἐπιχθονίων πάντα γ' εὐδαίμων ἔφυ. Ἐν ταὐτῷ (V. 160. fr. 37 Bl.). Θνατοῖσι μὴ φῦναι φέριστον, μηδ' ἀελίου προσιδεῖν φέγγος, ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον. Ἡρώδα Μιμιάμβων (fr. 63 Crus. 4). Ὡς οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν ἄνευ κακῶν ζώουσαν· ὃς δ' ἔχει μεῖον τούτου τι, μεῖζον τοῦ ἑτέρου δόκει πρήσσειν. Σιμωνίδου (85 Bergk 4). Ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ· οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν. παῦροι μὴν θνητῶν οὔασι δεξάμενοι στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ, ἀνδρῶν ἥτε νέων στήθεσιν ἐμφύεται. θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης, οὐδ' ὑγιὴς ὅταν ᾖ,

φροντίδ’ ἔχει καμάτου. νήπιοι, οἷς ταύτῃ κεῖται νόος· οὐδὲ ἴσασιν ὡς χρόνος ἔσθ’ ἥβης καὶ βιότοι’ ὀλίγος θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος. Διονυσίου 〈τοῦ〉 τυράννου Ἀλκμήνης (fr. 2 p. 793 N. 2). Εἰ δ’ ἀξιοῖς σοι μηδὲν ἀλγεινόν ποτε μηδὲν ἔσεσθαι, μακαρίως ἔχεις φρενῶν· θεῶν γὰρ ἕξειν βίοτον, οὐ θνητῶν δοκεῖς. Εὐριπίδου Ἀνδρομέδας (fr. 143 N. 2). Χρήμασιν γὰρ εὐτυχῶ· ταῖς συμφοραῖσι δ’, ὡς ὁρᾷς, οὐκ εὐτυχῶ. Εὐριπίδου Αἰόλου (fr. 34 N. 2). Γλυκεῖα γάρ μοι φροντὶς οὐδαμῇ βίου. Ἡσιόδου Ἔργων (101—3). Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα· νοῦσοι δ’ ἀνθρώποισιν ἐφ’ ἡμέρῃ, αἱ δ’ ἐπὶ νυκτὶ αὐτόμαται φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι. Εὐριπίδου Ἀντιόπης (fr. 211 N. 2). Φεῦ φεῦ, βρότειαι πημάτων ὅσαι τύχαι ὅσαι τε μορφαί· τέρμα δ’ οὐκ εἴποι τις ἄν. Σοφοκλέους Οἰδίποδι [τυράννου] (1189 ss.). Τίς γὰρ τίς ἀνὴρ πλέον τᾶς εὐδαιμονίας φέρει 〈ἢ〉 τοσοῦτον ὅσον δοκεῖν καὶ δόξαντ’ ἀποκλῖναι; Εὐριπίδου Ἀντιόπης (fr. 204 N. 2). Πόλλ’ ἔστιν ἀνθρώποισιν, ὦ ξένοι, κακά. Μενάνδρου (fr. 589 K.). Ἄνευ κακῶν γὰρ οἰκίαν οἰκουμένην Εὐριπίδου Ἀντιόπης (fr. 208 N. 2). Ἔχει λόγον καὶ τοῦτο· τῶν πολλῶν βροτῶν δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ’ εὐτυχεῖς, Εὐριπίδου Βελλεροφόντου (fr. 285 N. 2). Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον κράτιστον εἶναι φημὶ μὴ φῦναι βροτῷ. Σοφοκλέους Τηρεῖ (fr. 533 N. 2). ΧΟΡ. Τὰν δ’ ἀνθρώπου ζοὰν ποικιλομήτιδες ἄται πημάτων πάσαις μεταλλάσσουσιν ὥραις. Ἐν ταὐτῷ (fr. 536 N. 2). Εὐριπίδου Εὐρυσθέως (fr. 376 N. 2). Οὐκ οἶδ’ ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας ὀρθῶς ἀθρήσαντ’· εἰδέναι τὸ δραστέον. Μενάνδρου (fr. 811 K.). Ἄνθρωπος· ἱκανὴ πρόφασις εἰς τὸ δυστυχεῖν. Εὐριπίδου Ἰφιγενείας. *** (〈Εὐριπίδου Ἴωνοσ〉 381—3). Πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτοῖς, μορφαῖς δὲ διαφέρουσιν, ἓν δ’ ἂν εὐτυχὲς μόλις πότ’ ἐξεύροι τις ἀνθρώπου βίον. Αἰσχύλου (fr. 399 N. 2). Ὁμήρου (Il. XXIV 525 s.). Ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι, ζώειν ἀχνυμένοις. Τοῦ αὐτοῦ (Il. XXI 463—66). Τί γὰρ δὴ δεῖ θνητῶν ἕνεκα πτολεμίζειν δειλῶν; οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες, ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι, οὐδέ τις ἀλκή. Τοῦ αὐτοῦ (Il. XVII 446 s.). Οὐ μὲν γάρ τί ποτ’ ἐστὶν ὀιζυρώτερον ἀνδρὸς πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει. Εὐριπίδου Ὀρέστης (1 ss.). Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ’ εἰπεῖν ἔπος οὐδὲ πάθος οὐδὲ συμφορὰ θεήλατος, ἧς οὐκ ἂν ἄραιτ’ ἄχθος ἀνθρώπου φύσις. Σοφοκλέους (fr. 860 N. 2). Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν. Εὐριπίδου Ἱππολύτῳ (fr. 444 N. 2). Ὦ δαῖμον, ὡς οὐκ ἔστ’ ἀποστροφὴ βροτοῖς τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν. Εὐριπίδου Πρωτεσίλαος (fr. 651 N. 2). Οὐ θαῦμ’ ἔλεξας θνητὸν ὄντα δυστυχεῖν. Σοφοκλῆς Αἴαντι (fr. 12 N. 2). Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον. Μενάνδρου Συναριστώσαις (fr. 452 K.). Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων. Μενάνδρου Κιθαριστῇ (fr. 281, 8 K.). Ἆρ’ ἐστὶ συγγενές τι λύπη καὶ βίος. Θεόγνιδος (617 s.). Οὔ τι μάλ’ ἀνθρώποις καταθύμια πάντα τελεῖται· πολλὸν γὰρ θνητῶν κρέσσονες ἀθάνατοι. Ἀντιφῶντος (fr. 51 Diels 2). Εὐκατηγόρητος πᾶς ὁ βίος θαυμαστῶς, ὦ μακάριε, καὶ οὐδὲν ἔχων περιττὸν οὐδὲ μέγα καὶ σεμνόν, ἀλλὰ πάντα μικρὰ καὶ ἀσθενῆ καὶ ὀλιγοχρόνια καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις. Ποσιδίππου (A. P. IX 359). Ποίην τις βιότοιο τάμῃ τρίβον; εἰν ἀγορῇ μὲν νείκεα καὶ χαλεπαὶ πρήξιες, ἐν δὲ δόμοις φροντίδες· ἐν δ’ ἀγροῖς καμάτων ἅλις, ἐν δὲ θαλάσσῃ τάρβος· ἐπὶ ξείνης δ’, ἢν μὲν ἔχῃς τι, δέος, ἢν δ’ ἀπορῇς, ἀνιαρόν. ἔχεις γάμον· οὐκ ἀμέριμνος ἔσσεαι. οὐ γαμέεις· ζήσῃ ἐρημότερος. τέκνα πόνοι, πήρωσις ἅπαις βίος. αἱ νεότητες ἄφρονες, αἱ πολιαὶ δ’ ἔμπαλιν ἀδρανέες. ἦν ἄρα τῶν πάντων τόδε λώιον, ἠὲ γενέσθαι μηδέποτ’ ἠὲ θανεῖν αὐτίκα τικτόμενον. Δημοκρίτου (fr. 108 Diels 2). Διζημένοισι τἀγαθὰ μόλις παραγίνεται, τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι. Σιμωνίδου. Σιμωνίδης ἐρωτηθεὶς πόσον χρόνον βιῴη ‘χρόνον‘ εἶπεν ‘ὀλίγον, ἔτη δὲ πολλά‘. Ἀριστοτέλους. Τί γάρ ἐστιν ἄνθρωπος; ἀσθενείας ὑπόδειγμα, καιροῦ λάφυρον, τύχης παίγνιον, μεταπτώσεως εἰκών, φθόνου καὶ συμφορᾶς πλάστιγξ, τὸ δὲ λοιπὸν φλέγμα καὶ χολή.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡροδότου (VII 46). Αἱ γάρ τοι συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράττουσι καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον· οὕτως ὁ μὲν θάνατος μοχθηρᾶς ἐούσης τῆς ζωῆς καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν, ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα δυσξύνετος ἐν αὐτῷ εὑρίσκεται ἐών. Δημοκρίτου (fr. 297 Diels 2). θέοντες φόβου. Ἀντιφῶντος (fr. 50 Diels 2). Τὸ ζῆν ἔοικε. φρουρᾷ ἐφημέρῳ τό τε μῆκος τοῦ βίου ἡμέρᾳ μιᾷ, ὡς ἔπος εἰπεῖν, ᾗ ἀναβλέψαντες πρὸς τὸ φῶς παρεγγυῶμεν τοῖς ἐπιγιγνομένοις ἑτέροις. Ἡροδότου (VII 49). Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ οἱ ἄνθρωποι τῶν συμφορῶν. Δημοκρίτου (fr. 285 Diels 2). Γιγνώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον, πολλῇσί τε κηρσὶ συμπεφυρμέἐπιμέληται καὶ ἀμέτρητα ἐπὶ τοῖς ἀναγκαίοισι ταλαιπωρέῃ. Ἑρμολόχου (P. L. 4 III p. 637 B.). Ἀτέκμαρτος ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστὸν πλανᾶται συντυχίαις· ἐλπὶς δὲ φρένας παραθαρσύνει· τὸ δὲ μέλλον ἀκριβῶς οἶδεν οὐδεὶς [ὁ] θνατὸς ὅπῃ φέρεται· θεὸς δὲ πάντας ἐν κινδύνοις θνατοὺς κυβερνᾷ. ἀντιπνέει δὲ πολλάκις εὐτυχίαις δεινή τις αὔρα. Ἐκ τῶν Κλειτομάχου. Οὐδὲν τῶν ἀνθρωπίνων βέβαιόν ἐστιν, ἀλλὰ πάντα φέρεται φορᾷ τινι παραλόγῳ. Ζήνωνος (fr. 323 Arn.). Σωκράτους. Σωκράτης ἔλεγε νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶν ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν· μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα οὐκ ἴσης σπουδῆς τυγχάνειν. Νεοπτολέμου. Νεοπτόλεμον τὸν τῆς τραγῳδίας ὑποκριτὴν ἤρετό τις, τί θαυμάζοι τῶν ὑπ' Αἰσχύλου λεχθέντων ἢ Σοφοκλέους ἢ Εὐριπίδου· ὁ δὲ 'οὐδὲν μὲν τούτων' εἶπεν· ὃ δ' αὐτὸς ἐθεάσατο ἐπὶ μείζονος σκηνῆς, Φίλιππον ἐν τοῖς τῆς θυγατρὸς Κλεοπάτρας γάμοις πομπεύσαντα καὶ τρισκαιδέκατον θεὸν ἐπικληθέντα, τῇ ἐξῆς ἐπισφαγέντα ἐν τῷ θεάτρῳ καὶ ἐρριμμένον. Ἱπποδάμου Πυθαγορείου ἐκ τοῦ Περὶ πολιτείας. Πάντα μὲν ὧν τὰ θνατὰ δι' ἀνάγκαν φύσιος ἐν μεταβολαῖς καλινδεῖται, τὰ μὲν ἀπὸ τῶν χερῃόνων ἐπὶ τὰ νων ἐπὶ τὰ χερῄονα. γενόμενα γὰρ ἀέξεται τὰ πράγματα καὶ ἀεξηθέντα ἀκμάζει καὶ ἀκμάσαντα γηράσκει καὶ τέλος ὕστατα φθείρεται· τὰ μὲν ὑπὸ φύσιος γινόμενα δι' αὐτᾶς τᾶς φύσιος ἐς τὸ ἄδηλον αὖτις τερματιζόμενα, καὶ πάλιν ἐκ τῶ ἀδήλω ἐς τὸ ὁρατὸν ἐπισυνερχόμενα ἀμοιβᾷ γενέσιος καὶ ἀνταποδόσει φθορᾶς κύκλον αὐταύτας ἀναποδιζοίσας, τὰ δὲ καὶ ὑπὸ ἀφροσύνας ἀνθρωπίνας ὕβρει καὶ κόρῳ ζεσάσας. οἶκοί τε καὶ πόλεις ὑπὸ μεγάλων εὐτυχημάτων ἀερθεῖσαι καὶ βίον βαθυπλούτων ἅμα τοῖς μακαριζομένοις ἀγαθοῖς ἐς τὸν ὄλεθρον ἔβασαν. ἴτω δει .... καὶ συμβαίνει πᾶσαν ἀγεμονίαν τρισὶ χρόνοις ὁρίζεσθαι· ἑνὶ μὲν καὶ πράτῳ τῷ περιέχοντι τὰν κτῆσιν. δευτέρῳ δὲ τῷ τὰν ἀπόλαυσιν, τελευταίῳ δὲ τῷ τὰν ἀπόλεσιν. τοὶ μὲν γὰρ πρᾶτοι ἀτυχέες ἐόντες ἐκτήσαντο. τοὶ δὲ δεύτεροι εὐτυχέες γενόμενοι 〈ἐχρήσαντο, τοὶ δὲ τρίτοι ἄφρονες γενόμενοι〉 διέφθειραν. τὰ μὲν ὦν ὑπὸ θεῶν διοικημένα ἄφθαρτα δ' ἐόντα ὑπὸ ἀφθάρτων τὸν ἀεὶ χρόνον πέφυκε σῴζεσθαι, τὰ δ' ὑπ' ἀνθρώπων θνατὰ ἐόντα ὑπὸ θνατῶν ἐπιδέχεται ποικίλαν ἀεὶ μεταβολάν. κόρω μὲν γὰρ καὶ ὕβριος πέρας ὄλεθρος, ἀπορίας δὲ καὶ στενοχωρίας πέρας ἀνδραγαθία. βίου ἀνθρωπίνου τὸ καὶ ἀφ' ἑτέρων αὐτὸν περαίνεσθαι .... Ἐκ τῶν Τέλητος Περὶ τοῦ μὴ εἶναι τέλος ἡδονήν (Tel. rel. 2 p. 49 H.). Εἰ δὲ δεῖ τὸν εὐδαίμονα βίον ἐκ τῶν πλεοναζουσῶν ἡδονῶν συγκρῖναι, οὐδείς, φησὶν ὁ Κράτης, εὐδαίμων γεγονὼς ἂν εἴη. ἀλλ' εἰ θέλει τις ἐκλογίσασθαι ἐν ὅλῳ τῷ βίῳ πάσας τὰς ἡλικίας, εὑρήσει πολλῷ πλείους τὰς ἀλγηδόνας. πρῶτον μὲν γὰρ τοῦ παντὸς χρόνου ὁ ἥμισυς ἀδιάφορος, ἐν ᾧ καθεύδω. εἶθ' ὁ πρῶτος ὁ κατὰ τὴν παιδοτροφίαν ἐπίπονος. πεινᾷ τὸ παιδίον, ἡ δὲ τροφὸς κατακοιμίζει· διψᾷ, ἡ δὲ λούει· κοιμηθῆναι θέλει, ἡ δὲ κρόταλον ἔχουσα ψοφεῖ. εἰ δ' ἐκπέφευγε τὴν τιτθήν, παρέλαβε πάλιν ὁ παιδαγωγός, παιδοτρίβης, γραμματοδιδάσκαλος, ἁρμονικός, ζωγράφος. προάγει ἡλικία· προσγίνεται ἀριθμητικός, γεωμέτρης, πωλοδάμνης, [ὑπὸ τούτων πάντων μαστιγοῦται]· ὄρθρου ἐγείρεται· σχολάσαι οὐκ ἔστιν. ἔφηβος γέγονεν· ἔμπαλιν τὸν κοσμητὴν φοβεῖται. τὸν παιδοτρίβην, τὸν ὁπλομάχον, τὸν γυμνασίαρχον. ὑπὸ πάντων τούτων μαστιγοῦται, παρατηρεῖται, τραχηλίζεται. ἐξ ἐφήβων ἐστὶ καὶ ἤδη εἴκοσι ἐτῶν· ἔτι φοβεῖται καὶ παρατηρεῖ

καὶ γυμνασίαρχον καὶ στρατηγόν. παρακοιτεῖν εἴ που δεῖ, οὗτοι παρακοιτοῦσι· φυλάττειν καὶ ἀγρυπνεῖν, οὗτοι φυλάττουσιν· εἰς τὰ πλοῖα ἐμβαίνειν, οὗτοι ἐμβαίνουσιν. ἀνὴρ γέγονε καὶ ἀκμάζει· στρατεύεται καὶ πρεσβεύει ὑπὲρ τῆς πόλεως, πολιτεύεται, στρατηγεῖ, χορηγεῖ, ἀγωνοθετεῖ· μακαρίζει ἐκεῖνον τὸν βίον, ὃν παῖς ὢν ἐβίωσε. παρήκμασε καὶ ἔρχεται εἰς γῆρας· πάλιν παιδοτροφίαν ὑπομένει καὶ ἐπιποθεῖ τὴν νεότητα. καὶ ἡ νεότης μοι φίλον, τὸ δὲ γῆρας βαρύτερον Αἴτνης. οὐχ ὁρῶ οὖν, πῶς εὐδαίμονά τις βίον ἔσται βεβιωκώς, εἴπερ δεῖ τῷ πλεονασμῷ τῶν ἡδονῶν ἐκμετρῆσαι. Ἡροδότου ἱστορίας ζ′ (VII 44. 45 s.). Ἐπεὶ δ’ ἐγένοντο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν. καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα ὁ Ξέρξης ἑωυτὸν ἐμακάρισε, μετὰ δὲ τοῦτο ἐδάκρυσε. μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα· οὗτος οὖν ἀνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα εἴρετο τάδε· ‘ὦ βασιλεῦ, ὡς πολὺ ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν δακρύεις‘. ὁ δὲ εἶπεν ‘ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται‘. ὁ δὲ ἀμείβετο λέγων ‘ἕτερα τούτου παρὰ τὴν ζωὴν πεπόνθαμεν οἰκτρότερα· ἐν γὰρ οὕτω βραχεῖ βίῳ οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκεν οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐχὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζῆν· αἵ τε γὰρ συμφοραὶ συμπίπτουσαι καὶ αἱ νοῦσοι συνταράττουσι, καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτως ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζωῆς καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν, ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών‘. (Eiusd. VII 152) Ἐπίσταμαι δὲ τοσοῦτο, ὅτι εἰ πάντες ἄνθρωποι τὰ οἰκήια κακὰ ἐς μέσον συνενέγκαιεν ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισιν, ἐγκύψαντες ἂν ἐς τὰ τῶν ἄλλων κακὰ ἀσπασίως ἕκαστοι αὐτῶν ἀποφεροίατο ὀπίσω τὰ εἰσηνέγκαντο. Ἐν ταὐτῷ (VII 203). Πλάτωνος ἐκ τοῦ Ἀξιόχου (p. 366 D—368 D). Ποῖον, ἔφη, μέρος τῆς ἡλικίας ἄμοιρον τῶν ἀνιαρῶν; οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλαίει, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλγηδόνος, ἀλλὰ δι’ ἔνδειαν ἢ περιψυγμὸν ἢ θάλπος ἢ πληγὴν ὀδυνᾶται, λαλῆσαι μὲν οὔπω δυνάμενον ἃ πάσχει, κλαυθμυριζόμενον δὲ καὶ ταύτην τῆς δυσαρεστήσεως μίαν ἔχον φωνήν. ὁπόταν δὲ εἰς τὴν ἑπταετίαν ἀφίκηται πολλοὺς πόνους διαντλῆσαν, ἐπέστησαν παιδαγωγοὶ καὶ γραμματισταὶ καὶ παιδοτρίβαι τυραννοῦντες· αὐξανομένῳ δὲ κριτικοί, γεωμέτραι, τακτικοί, πλῆθος δεσποτῶν· ἐπειδὰν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, κοσμητὴς καὶ φόβος χειρῶν, ἔπειτα Λύκειον καὶ Ἀκαδήμεια καὶ γυμνασιαρχία καὶ ῥάβδοι καὶ κακῶν ἀμετρία. καὶ πᾶς ὁ τοῦ μειρακίου χρόνος ὑπὸ σωφρονιστὰς καὶ τὴν ἐπὶ τοὺς νέους αἵρεσιν τῆς ἐξ Ἀρείου πάγου βουλῆς· ἐπειδὰν δὲ ἀπολυθῇ τούτων, φροντίδες ἄντικρυς ὑπέδυσαν καὶ διαλογισμοὶ τίνα στρατεῖαι γὰρ καὶ τραύματα καὶ συνεχεῖς ἀγῶνες. εἶτα λαθὸν ὑπῆλθε τὸ γῆρας, εἰς ὃ πᾶν συρρεῖ τὸ τῆς φύσεως ἐπίκηρον καὶ δυσαλθές. κἂν μή τις θᾶττον ὡς χρέος ἀποδιδῷ τὸ ζῆν, ὀβολοστάτις ἡ φύσις ἐπιστᾶσα ἐνεχυράζει τοῦτο μὲν ὄψιν, τοῦτο δὲ ἀκοήν, πολλάκις δ’ ἄμφω· κἂν ἐπιμένῃ τις, παρέλυσεν, ἐλωβήσατο, παρήρθρωσεν. ἄλλοι πολυγήρως ἀπακμάζουσι καὶ τῷ νῷ, καὶ δὶς παῖδες οἱ γέροντες κατὰ τὴν παροιμίαν. διὰ τοῦτο καὶ οἱ θεοὶ τῶν ἀνθρωπείων ἐπιστήμονες, οὓς ἂν [διὰ] πλείστου ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. Ἀγαμήδης γοῦν καὶ Τροφώνιος οἱ δειμάμενοι τὸ Πυθοῖ τοῦ θεοῦ τέμενος, εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κατακοιμηθέντες οὐκ ἐξανέστησαν· οἵ τε τῆς Ἀργείας ἱερείας, ὁμοίως εὐξαμένης αὐτοῖς τῆς μητρὸς γενέσθαι τι τῆς εὐσεβείας παρὰ τῆς Ἥρας γέρας, ἐπειδὴ τοῦ ζεύγους ὑστερήσαντος ὑποδύντες αὐτοὶ διήνεγκαν εἰς τὸν νεὼν τὴν μητέρα, μετὰ ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν, ζώειν ἀχνυμένοις, καὶ οὐ μὲν γάρ τί ποτ’ ἐστὶν ὀιζυρώτερον ἀνδρὸς

πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει. τὸν δ' Ἀμφιάραον τί φησιν; ὃν πέρι κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀπόλλων παντοίην φιλότητ', οὐδ' ἵκετο γήραος οὐδόν. ὁ δὲ κελεύων τὸν φύντα θρηνεῖν εἰς ὅς' ἔρχεται κακά, ...; ποίαν δέ τις ἑλόμενος ἐπιτήδευσιν ἢ τέχνην οὐ ὀλοφυρμῶν τε καὶ φροντίδων; ἀλλὰ τὸν πλωτικὸν καταλεξώμεθα, περαιούμενον διὰ τοσῶνδε κινδύνων, καθὼς ἀπεφήνατο Βίας, μήτ' ἐν τοῖς τεθνηκόσιν ὄντα μήτ' ἐν τοῖς βιοῦσιν; ὁ γὰρ ἐπίγειος ἄνθρωπος, ὡς ἀμφίβιος ἑαυτὸν εἰς πέλαγος ἔρριψεν, ἐπὶ τῇ τύχῃ γεγονώς. ἀλλ' ἡ γεωργία γλυκύ; δῆλον· ἀλλ' οὐχ ὅλον, ὥς φασιν, ἕλκος, αἰεὶ λύπης πρόφασιν εὑρισκόμενον; κλαῖον νυνὶ μὲν αὐχμόν, νυνὶ δ' ἐπομβρίαν, νυνὶ δ' ἐπίκλυσιν, νυνὶ δ' ἐρυσίβην, νυνὶ δὲ θάλπος ἄκαιρον ἢ κρυμόν; ἀλλ' ἡ πολυτίμητος πολιτεία (πολλὰ γὰρ ὑπερβαίνω) διὰ πόσων ἐλαύνεται δεινῶν, τὴν μὲν χαρὰν ἔχουσα φλεγμονῆς δίκην παλλομένην καὶ σφυγματώδη, τὴν δὲ ἀπότευξιν ἀλγίστην καὶ θανάτων μυρίων χείρω; τίς γὰρ ἂν εὐδαιμονήσειε πρὸς ὄχλον ζῶν, εἰ ποππυσθείη καὶ κροτηθείη δήμου κον; ἐπεί τοι, Ἀξίοχε πολιτικέ, ποῦ τέθνηκε Μιλτιάδης; ποῦ δὲ Θεμιστοκλῆς; ποῦ δὲ Ἐφιάλτης; ποῦ δὲ πρώην

4.35 Φιλήμονος (fr. 106 K.). Πολλῶν φύσει τοῖς πᾶσιν αἰτία κακῶν λύπη· διὰ λύπην καὶ μανία γὰρ γίνεται πολλοῖσι καὶ νοσήματ' οὐκ ἰάσιμα. αὐτούς τ' ἀνῃρήκασι διὰ λύπην τινές, ἐπὰν τὸ λυποῦν πλέον ἢ τὸ σῷζον ᾖ. Κλεαινέτου (fr. 2 p. 807 N. 2). Λύπη γὰρ ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον Φιλήμονος (fr. 7 K.). Οἴμοι· τὸ λυπεῖσθαι γὰρ ἐπὶ τὸ ῥῆμ' ἄγει τοῦτ' εὐθύς, ὡς ἔοικε, τὸν λυπούμενον· λυπουμένῳ δ' ὅταν τις ἀκολουθῶν λέγῃ χαῖρ', ἐξ ἀνάγκης οὗτος οἰμώζειν λέγει. Εὐριπίδου (fr. 1070 N. 2). Ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτούς, δεῖν δ' ἀγχονῶν τε καὶ πετρῶν ῥίπτειν ἄπο, οὐκ ἐν σοφοῖσιν ἐστίν, εὐχέσθω δ' ὅμως ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί. Φιλήμονος (fr. 159 K.). Οὕτως, ὅταν ἐμπέσῃ τις εἰς τὸν νοῦν φόβος, κἀκ τοῦ καθεύδειν οὗτος οὐκ ἐξέρχεται. (Philem. fr. 202 K.) Νόσον πολὺ κρεῖττόν ἐστιν ἢ λύπην φέρειν. Μενάνδρου (fr. 667 K.). Οὐκ ἔστι λύπης, ἄν περ ὀρθῶς τις σκοπῇ, ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει. Εὐριπίδου Οἰνομάῳ (fr. 572 N. 2). ἧσσον δάκνουσιν· ἀλλὰ ταῦτα γὰρ λέγειν ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει. Ἀλέξιδος (fr. 296 K.). Λύπη μανίας κοινωνίαν ἔχει τινά. Εὐριπίδου (fr. 1071 N. 2). Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους. Ἀπολλοδώρου Παραλογιζόμενοι (fr. 11 K.). Οὐ δεῖ λέγειν .. μακάριον τὸν χρήματα ἔχοντα πλεῖστα, τὸν δὲ μὴ λυπούμενον. Μενάνδρου (fr. 668 K.). Πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν Σοφοκλέους Τυροῦς (fr. 602 N. 2). Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι. Φιλήμονος (fr. 160 K.). Ἀγαθὴ γὰρ ἡ λύπη καθ' αὑτῆς ἀναπλάσαι ἀτεχνῶς διπλάσια τῆς ἀληθείας κακά. Πινδάρου Ὀλυμπιονικῶν (VII 30). Αἱ δὲ φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν. Ἄμφιδος Φιλαδέλφων (fr. 34 K.). Ἄπολλον, ὡς δυσάρεστόν ἐστ' ἀνιώμενος ἄνθρωπος ἐφ' ἅπασίν τε δυσχερῶς ἔχει. Παροιμία. Ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὸν νοῦν ἔχει. Ἀπολλοδώρου Γαλάταις (fr. 3 p. 289 K.). Τοῖς γὰρ μεριμνῶσίν τε καὶ λυπουμένοις Ἀντιφάνους (fr. 295 K.). Λύπη μανίας ὁμότοιχος εἶναί μοι δοκεῖ. Ἀλέξιδος (fr. 292 K.). Τῶν μετρίων αἱ μείζονες λῦπαι ποιοῦσι τοῦ φρονεῖν μετάστασιν. Ποσιδίππου ἐκ Μύρμηκος (fr. 19 K.). Οὕτω τι πολύπουν ἐστὶν ἡ λύπη κακόν. Εὐριπίδου Ἀνδρομέδα (fr. 135 N. 2). Ἧ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν· ὡς τοῦ γε πάσχειν τοὐπιὸν μεῖζον κακόν. Ποσιδίππου ἐξ Ὁμοίων (fr. 20 K.). Ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ' ἡμέρα ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει. Εὐριπίδου Ἀντιόπης (fr. 205 N. 2). Φρονῶ δ' ἃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν· τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ Εὐριπίδου Ἀνδρομάχης 421 s. Ὤικτιρ' ἀκούσας'· οἰκτρὰ γὰρ τὰ δυστυχῆ βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ. (Posidippi fr. 30 K.) Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν ἄνθρωπος ὤν, οὐδὲ μεχρὶ 〈τοῦ〉 τέλους ... ἔμεινεν εὐτυχῶν. Ἀντιφάνους ἐξ Ἰατροῦ (fr. 107 K.). Ἅπαν τὸ λυποῦν ἐστιν ἀνθρώπῳ νόσος ὀνόματα [δ'] ἔχουσα πολλά. Ἀντιφάνους ἐξ Εὐπλοίας (fr. 98 K.). Σοφοκλέους Αἴαντι (260 ss.). Τὸ γὰρ εἰσλεύσσειν οἰκεῖα πάθη, μηδενὸς ἄλλου παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει.

Σοφοκλέους Ἐριφύλη (fr. 197 N. 2). Πῶς οὖν μάχωμαι θνητὸς ὢν θείᾳ τύχῃ; ὅπου τὸ δεινόν, ἐλπὶς οὐδὲν ὠφελεῖ. Εὐριπίδου Ὀρέστης (398 s.). Λύπη μάλιστά γ' ἡ διαφθείρουσά με. δεινὴ γὰρ ἡ θεός, ἀλλ' ὅμως ἰάσιμος. Εὐριπίδου Ἀλκμήνη (fr. 97 N. 2). Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως 〈δ'〉 ἴσως ἔπραξας· αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ μισῶ· λόγος γὰρ τοὔργον οὐ νικᾷ ποτε. Ἐκ τῶν Ἀριστωνύμου. πάντες ἐπίστανται, καὶ ὅμως ὑπὸ τῆς ἐπ' αὐτοῖς λύπης πολλοὶ ἑαυτοὺς διαχρῶνται. Εὐφράτου. Εὐφράτης ὁ Σύρος τὴν γυναῖκα ἀποβαλὼν ἔλεγεν 'ὦ φιλοσοφία, τυραννικά σου τὰ ἐπιτάγματα, λέγεις, "φίλει", κἂν ἀποβάλῃ τις λέγεις "μὴ λυποῦ".' Σωκράτους. Σωκράτης ἐρωτηθείς, πῶς ἄν τις ἄλυπος διάγοι 'τοῦτο ἀδύνατον' εἶπεν 'οὐ γὰρ ἔστι πόλιν ἢ οἰκίαν οἰκοῦντα καὶ

4.36 Εὐριπίδου Ὀρέστῃ (211 s.). Ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου, ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί τε. Ἐν ταὐτῷ (Ibid. 229 s.). Ἰδού· φίλον τοι τῷ νοσοῦντι δέμνια, ἀνιαρὸν 〈ὂν〉 τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως. Ἐν ταὐτῷ (231 s.). Αὖθις δ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας. Ἐν ταὐτῷ (233. 235 s.). Ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις; —Μάλιστα· δόξαν γὰρ τόδ' ὑγιείας ἔχει. κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ. Εὐριπίδου (fr. 292 N. 2). Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν ἰδόντ' ἀκεῖσθαι, μὴ 'πιτὰξ τὰ φάρμακα διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ. Φιλήμονος Μύστιδος (fr. 46 K.). Πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακὸν τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις δεῖν τὸν κακῶς ἔχοντα πῶς ἔχει λέγειν. Θελλέροφος (Eur. Belleroph. fr. 292 N. 2). Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν ἰδόντ' ἰᾶσθαι, μὴ ἐπιτὰξ τὰ φάρμακα διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ. νόσοι δὲ θνητῶν, αἱ μέν εἰς' αὐθαίρετοι, αἱ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ ἰώμεθ' αὐτάς. ἀλλά σοι λέξαι θέλω, εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί. Ἐκ τῶν Ἡλιοδώρου Ἰταλικῶν θαυμάτων. Ἰταλίης οὐ πολλὸν ὑπερστείχοντι κολώνην Γαυρείην χώρη τις ὁδιτάων ἐπὶ λαιὰ κέκλιται ἀργήεσσα χιὼν ὥς· ἐκ δέ οἱ ὕδωρ ἀίσσει μάλα πικρὸν ἀναπνεῦσαι πιέειν τε. κεῖνο πολυστάφυλοι περιναιέται ἀνέρες ὕδωρ ὅσσων ἄλκαρ ἔχουσιν· ὁ μὲν λοετροῖο χατίζων αὖτως, ὄφρα κε μοῦνον ἐν ὕδατι γυῖα καθήρῃ, ὀφθαλμοὺς βλεφάροισι λίην ἀραρῶσι καλύψας δεύεται, ὡς μή οἵ τι παραδράμῃ ἔρκεος εἴσω ὑγρὸν ἐπὶ γλήνης· τὸ γὰρ ἄλγεος 〈ἄν τι τιθ〉 είη. ὃς δέ κε λημηρῇ νεφέλῃ εἰλυμένος ὅσσε ἀσχάλλῃ ὀδύναις, κεροειδέα δ' ἀμφὶ χιτῶνα οἶδος πιαλέοισι περιβρίθῃ πελάνοισι, κείνῳ καίριόν ἐστι καὶ ἀσφαλὲς ὄμμα διῆναι ἀμπετὲς ἀκλήιστον· ἄφαρ δ' ἀπὸ πᾶσα τελέσθη θυμοδακὴς ὀδύνη, ῥέα δ' ἄλθεται ὕδατι νοῦσος. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τί νόσος ἔφη 'ταραγμὸς σώματος'. Διογένους. Διογένης πρός τινα τῶν συνήθων τὸ σῶμα βεβλαμμένον καὶ ποτνιώμενον, 'εὖ' ἔφη 'φίλος, ὅτι πονεῖς, ἵνα Δημοσθένους Ὀλυνθιακῶν β′ (II p. 24). Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν, ἕως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν, ἐπὰν δὲ ἀρρώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα. κἂν στρέμμα, κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ. Ἀγάθωνος Σαμίου ἐν δευτέρῳ Περὶ ποταμῶν (Plut. de fluv. 18, 1. 2 vol. VII p. 312 Bern.). Ἴναχος ποταμός ἐστι τῆς Ἀργείας χώρας. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη κύουρα καλουμένη, πηγάνῳ παρόμοιος, ἣν αἱ γυναῖκες, ὅταν ἀκινδύνως ἐκτρῶσαι θέλωσιν, ἐν οἴνῳ βεβρεγμένην τοῖς ὀμφαλοῖς ἐπιτιθέασιν. Χρυσέρμου Κορινθίου ἐν τῷ ιγ′ Περὶ ποταμῶν (Ibid. 20, 1. 2. 3 l. c. p. 317 s.). Εὐφράτης ποταμός ἐστιν τῆς Παρθίας. γεννᾶται δ' ἐν αὐτῷ λίθος ἀετίτης καλούμενος, ὃν αἱ μαῖαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασι, καὶ παραχρῆμα τίκτουσν ἄτερ ἀλγηδόνος. εὑρίσκεται δ' ἐν αὐτῷ καὶ βοτάνη ἄξαλλα, μεθερμηνευομένη θερμόν· ταύτην οἱ τεταρταῖζοντες, ὅταν ἐπὶ τοῦ στήθους τιθῶσιν, ἀπαλλάσσον- Νικίου ἐν τοῖς Περὶ λίθων (Ibid. 20, 4 l. c. p. 318). Ὄρος ἐστὶ Δριμύλον καλούμενον τῆς Παρθίας, ἐν ᾧ γεννᾶται λίθος σαρδόνυχι παρόμοιος· ποιεῖ δ' ἄριστα πρὸς ἀμβλυωπίας εἰς ὕδωρ θερμὸν βαλλόμενος. Ἐκ τῆς Ἀριστοτέλους Συναγωγῆς ἀκουσμάτων θαυμασίων (18 p. 831 b 22). Ἐν Τραπεζοῦντι τῇ ἐν τῷ Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου μέλι βαρύοσμον· καὶ φασὶ τοὺς μὲν ὑγιαίνοντας ἐξιστάναι, τοὺς δ' ἐπιλήπτους καὶ

τελέως ἀπαλλάσσειν. Καλλισθένους Συβαρίτου ἐν ιγ′ Γαλατικῶν (Plut. de fluv. 6, 1. 2. 3 vol. VII p. 292 Bern.). Ἄραρ ποταμός ἐστι τῆς Κελτικῆς, τὴν προσηγορίαν εἰληφὼς παρὰ τὸ ἡρμόσθαι τῷ Ῥοδανῷ· καταφέρεται γὰρ εἰς τοῦτον κατὰ τὴν χώραν τῶν Ἀλλοβρόγων. γεννᾶται τῇ κεφαλῇ αὐτοῦ λίθος χόνδρῳ παρόμοιος ἁλός, ὃς κάλλιστα ποιεῖ πρὸς τεταρταίας νόσους τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος προσδεσμευόμενος τῆς σελήνης μειουμένης. Ἀρχελάου ἐν α′ Περὶ ποταμῶν (Ibid. 8, 1. 2 l. c. p. 296 s.). Λυκόρμας ποταμός ἐστι τῆς Αἰτωλίας, μετωνομάσθη δ' Εὔηνος. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη σάρισα προσαγορευομένη, λόγχῃ παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα. Θρασύλλου ἐν τοῖς Αἰγυπτιακοῖς (Ibid. 16, 1. 2 l. c. p. 308 s.). Νεῖλος ποταμός ἐστι τῆς Αἰγύπτου, ἐκαλεῖτο δὲ τὸ μοιος, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι· ποιεῖ δ' ἄριστα πρὸς τοὺς δαιμονιζομένους· ἅμα γὰρ 〈τῷ〉 αὐτὸν προστεθῆναι ταῖς ῥισὶν ἐξέρχεται τὸ δαιμόνιον. Τιμαγόρου ἐν α′ Περὶ ποταμῶν (Ibid. 21, 1. 3 l. c. p. 319 s.). Κάικος ποταμός ἐστι τῆς Μυσίας. φύεται δ' ἐν αὐτῷ βοτάνη ἡλιφάρμακος καλουμένη, ἣν οἱ ἰατροὶ τοῖς αἱμορραγοῦσιν ἐπιτιθέασι καὶ τῶν φλεβῶν μεσολαβοῦσι τὴν ἔκρυσιν. Κτησίου Κνιδίου ἐν β′ Περὶ ὀρῶν (Ibid. 21, 4. 5 l. c. p. 320 s.). Ὄρος ἐστὶ τῆς Μυσίας Τεύθρας καλούμενον. γεννᾶται δ' ἐν αὐτῷ λίθος ἀντιπαθὴς προσονομαζόμενος, ὃς κάλλιστα ποιεῖ πρὸς ἀλφοὺς καὶ λέπρας δι' οἴνου τριβόμενος καὶ τοῖς πάσχουσιν ἐπιτιθέμενος. Σωστράτου ἐν α′ Μυθικῆς 〈συν〉αγωγῆς θερμαίνοντες ἐν ἐλαίῳ καὶ ἀλειφόμενοι οὐδέποτε νοσοῦσι μέχρι τῆς ἀνάγκης τοῦ θανάτου. Κλειτοφῶντος Ῥοδίου ἐν α′ Ἰνδικῶν (Ibid. 25, 1. 3 l. c. p. 327). Ἰνδὸς ποταμός ἐστι τῆς Ἰνδίας. φύεται δ' ἐν αὐτῷ βοτάνη καρπύλη καλουμένη, βουγλώσσῳ παρεμφερής· ποιεῖ δ' ἄριστα πρὸς ἰκτέρους διὰ ὕδατος χλιαροῦ διδομένη. Πορφυρίου ἐκ τοῦ Περὶ Στυγός. Ἥ τε ἰτέα αὕτη τὸν καρπὸν ἀποβάλλει πρὶν ἐκθρέψαι· διὸ ὠλεσίκαρπον αὐτὴν ὁ ποιητὴς ὀνομάζει. καὶ μέντοι ἱστόρηται ὡς μετὰ οἴνου δοθεὶς ὁ ταύτης καρπὸς ἀγόνους ποιεῖ τοὺς πιόντας καὶ κατασβέννυσι τὸ σπέρμα καὶ μαραίνει τὴν γόνιμον ὁρμήν. Ἐκ τῆς Τροφίλου … 〈Ἐκ τῆς Ἀριστοτέλους〉 Συναγωγῆς ἀκουσμάτων θαυμασίων (p. 831 b 1). Τὸ τῆς ἴκτιδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζῴων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν. φασὶ δὲ καὶ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις, καὶ δίδοσθαι ἐπιξυόμενον. Ἐν ταὐτῷ (p. 835 a 27). Φασὶ τὸν γαλεώτην, ὅταν ἐκδύῃ τὸ δέρμα καθάπερ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιλήπτοις. Ἐν ταὐτῷ (p. 835 b 30). Φασὶ τὴν φώκην ἐξεμεῖν τὴν πιτύαν, ὅταν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες καὶ τοῖς ἐπιληπτικοῖς χρήσιμον. Ἐν ταὐτῷ (p. 844 b 23). Ἐν Ἄργει φασὶ γίνεσθαι ἀκρίδος τι γένος, ἣν καλεῖσθαι σκορπιομάχον· ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ. ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου τὸ ἐπιφαγεῖν αὐτήν. Ἀλκμαίωνος (fr. 4 Diels 2). Λέγει δὲ τὰς νόσους συμπίπτειν ὡς μὲν ὑφ' οὗ δι' ὑπερβολὴν θερμότητος ἢ ξηρότητος, ὡς δὲ ἐξ οὗ διὰ πλῆθος τροφῆς ἢ ἔνδειαν, ὡς δὲ ἐν οἷς 〈δι'〉 αἷμα ἢ μυελὸν ἢ ἐγκέφαλον· γίνεσθαι δέ ποτε καὶ ὑπὸ τῶν ἔξωθεν αἰτιῶν, ὑδάτων ποιῶν ἢ χώρας ἢ κόπων ἢ ἀνάγκης ἢ τῶν τούτοις παραπλησίων. Διοκλέους (fr. 30 Wellmann). Διοκλῆς τὰς πλείστας τῶν νόσων δι' ἀνωμαλίαν γίνεσθαι ἔφη. Ἐρασιστράτου (Diels Doxogr. p. 443 b 5). Ἐρασίστρατος ‘πλῆθος καὶ διαφθορὰ τἀνωτάτω αἴτια‘. Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 185 D—E). Ἐὰν μέν σοι ἐθέλῃ ἀπνευστὶ ἔχοντι πολὺν χρόνον δ' ἄρα πάνυ ἰσχυρά ἐστιν, λαβών τι τοιοῦτον οἵῳ κνήσαις ἂν τὴν ῥῖνα, πτάρε· καὶ ἐὰν τοῦτο ποιήσῃς ἅπαξ ἢ

4.37 Πυθαγόρου (Aur. carm. 32—35 N.). Οὐδ' ὑγιείας τῆς κατὰ σῶμ' ἀμέλειαν ἔχειν χρή· ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ', ὃ μή ς' ἀνιήσει. εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον. Ἀλκμαίωνος (fr. 4 Diels 2). [Ἀλκμαίων] τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων, τῆς δὲ νόσου μοναρχίαν· τὸ γὰρ ἐπικρατοῦν ἐν τῷ σώματι ποιεῖ τὴν νόσον. Ἀλκμαίωνος (fr. 4 Diels 2). Ἀλκμαίων τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων, τῆς δὲ νόσου μοναρχίαν· τὸ γὰρ ἐπικρατοῦν ἐν τῷ σώματι ποιεῖ τὴν νόσον. Πλουτάρχου (De tuenda sanitate praec. p. 126 D). Ἡ ὑγεία ταῖς ἡδοναῖς ὥσπερ ἡ γαλήνη ταῖς ἀλκυόσιν ἀσφαλῆ καὶ καλὴν γένεσιν καὶ λοχείαν ἐνδίδωσι. κομψῶς γὰρ ἔοικεν καὶ Πρόδικος εἰπεῖν ὅτι τῶν ἡδυσμάτων

ἄριστόν ἐστι τὸ πῦρ· ἀληθέστερον γὰρ ἄν τις εἴποι τὴν ὑγείαν ἥδυσμα θειότατον εἶναι καὶ προσηνέστατον. ἐφθὰ μὲν γὰρ καὶ ὀπτὰ καὶ πεπτὰ βρώματα νοσοῦσιν ἢ κραιπαλῶσιν ἢ ναυτιῶσιν οὐδεμίαν ἡδονὴν οὐδὲ χάριν ἀποδίδωσι, κα〈θα〉ρὰ δὲ καὶ ἀκραιφνὴς ὄρεξις ὑγιαίνοντι σώματι πᾶν ἡδὺ ποιεῖ. Ἐκ τῶν Ἀριστοξένου Πυθαγορείου (Diels Vorsokr. I 2 p. 290). Περὶ δὲ γενέσεως παίδων τάδε ἔλεγε· καθόλου μὲν φυλάττεσθαι τὸ καλούμενον προφερές· οὔτε γὰρ τῶν φυτῶν οὔτε τῶν ζῴων εὔκαρπα τὰ προφερῆ γίνεσθαι· ἀλλὰ τὸ τοῦ ἀφροδισιάζειν πρᾶγμα. δέον οὖν ἐστι παῖδας οὕτως ἄγεσθαι διὰ τῶν ἀσκημάτων ἀσχόλους, ὥστε μὴ μόνον μὴ ζητεῖν, ἀλλ' εἰ δυνατὸν μηδὲ εἰδέναι τὴν τοιαύτην συνουσίαν ἐντὸς τῶν εἴκοσι ἐτῶν. ὅταν δὲ καὶ εἰς τοῦτο ἀφίκηται, σπανίοις εἶναι χρηστέον τοῖς ἀφροδισίοις· τοῦτο γὰρ πρός τε τὴν τῶν γεννώντων καὶ γεννησομένων εὐεξίαν πολύ τι συμβάλλεσθαι. ἔλεγε δὲ μήτε τροφῆς μήτε μέθης πλήρη ταῖς γυναιξὶν εἰς τὸ γεννᾶν ὁμιλεῖν· οὐ γὰρ οἴεται ἐκ φαύλης καὶ ἀσυμφώνου καὶ ταραχώδους κράσεως εὔρυθμα καὶ καλά, ἀλλ' οὐδὲ ἀγαθὰ τὴν ἀρχὴν γίγνεσθαι. Πλάτωνος (de leg. VII p. 792 E). Φαίην ἂν δὴ καὶ τὰς φερούσας ἐν γαστρὶ πασῶν τῶν γυναικῶν μάλιστα θεραπεύειν ἐκεῖνον τὸν ἐνιαυτόν, προσχρήσεται ἡ κύουσα μήτ' αὖ λύπαις· τὸ δὲ λεῖον καὶ εὐμενὲς πραόν τε τιμῶσα διαζήσει τὸν τότε χρόνον. Πλουτάρχου (De tuenda sanit. praec. p. 125 F- 126 A). Τὰ εὐτελῆ κρατεῖ τὴν ὄρεξιν ἐπὶ τῶν φυσικῶν μέτρων, ὀψοποιῶν δὲ τέχναι καὶ δημιουργῶν καὶ ‘〈τὰ〉 πανοῦργα ταῦτα ὀψάρια καὶ ὑποτρίμματα‘ ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθησιν εἰς τοὔμπροσθεν καὶ παραλλάττει τὸ συμφέρον. Τοῦ αὐτοῦ (Ibid. p. 127 A). Δεῖ θαρροῦντας μάχεσθαι πρὸς τὰς ὀρέξεις ἐκφερομένας καὶ ἐπιπηδώσας ταῖς ἀπολαύσεσιν, ὡς ἐλαφρὸν καὶ παιδικὸν ἐχούσας τὸ μεμψίμοιρον, εἶτα παυομένας ἀρθείσης τῆς τραπέζης καὶ μηδὲν ἐγκαλούσας μηδὲ ἀδικουμένας, ἀλλὰ τοὐναντίον καθαρὰς καὶ ἱλαρὰς καὶ οὐ βαρείας οὐδὲ ναυτιώδεις περιμενούσας τὴν αὔριον. Τοῦ αὐτοῦ (Ibid. p. 127 B). Λέγεται δὲ καὶ Ἀλέξανδρον εἰπεῖν τοὺς τῆς Ἄδας δεῖπνον τὴν ὀλιγαριστίαν. Τοῦ αὐτοῦ (Ibid. p. 128 D—E). Διὸ μὴ δεῖ σκοπεῖν τὸν ἰχθὺν εἰ πρόσφατος, μηδὲ τὸν ἄρτον εἰ καθαρός, μηδὲ τὸ βαλανεῖον εἰ θερμόν, μηδὲ τὴν ἑταίραν εἰ εὔμορφος, ἀλλ' ἑαυτὸν εἰ μὴ ναυτιώδης μηδὲ θολερὸς μηδὲ τεταραγμένος. εἰ δὲ μή, καθάπερ εἰς οἰκίαν πενθοῦσαν ἐμβαλόντες ἐπίκωμοι μεθύοντες οὐ φιλοφροσύνην παρέσχον οὐδὲ ἡδονὴν ἀλλὰ κλαυθμοὺς καὶ ὀδυρμοὺς ἐποίησαν, οὕτως ἀφροδίσια καὶ ὄψα καὶ βαλανεῖα καὶ οἶνος ἐν σώματι κακῶς καὶ παρὰ φύσιν ἔχοντι μιγνύμενα τοῖς μὴ καθεστῶσι καὶ διεφθορόσι φλέγμα καὶ χολὴν κινεῖ καὶ ταράττει καὶ προσεξίστησιν. Τοῦ αὐτοῦ (Ibid. p. 128 E—F). Ἡ μὲν ἀκριβὴς σφόδρα καὶ δι' ὄνυχος λεγομένη δίαιτα τό τε σῶμα κομιδῇ ψοφοδεὲς παρέχεται καὶ σφαλερόν, αὐτῆς τε τῆς ψυχῆς τὸ γαῦρον κολούει πάντα πράγματα καὶ πᾶσαν οὐχ ἧττον ἐν ἡδοναῖς καὶ πόνοις διατριβὴν ὑφορωμένης καὶ πρὸς 〈μη〉θὲν ἰταμῶς καὶ θαρραλέως βαδιζούσης. δεῖ δὲ ὥσπερ ἱστίον τὸ σῶμα μήτε συστέλλειν εὐδίας οὔσης καὶ πιέζειν σφόδρα, μήτε ἀνειμένως χρῆσθαι καὶ καταφρονεῖν ἐν ὑποψίᾳ γενόμενον, ἀλλ' ἐνδιδόναι καὶ ποιεῖν ἐλαφρόν. Τοῦ αὐτοῦ (Ibid. p. 129 A—C). Ὅθεν οὐ περὶ τροφὴν μόνον οὐδὲ γυμνάσια δεῖ φυλάττειν τὸ σῶμα μὴ παρὰ τὸ εἰωθὸς ἅπτεται [καὶ] τούτων ὀκνηρῶς καὶ ἀπροθύμως ἢ πάλιν διψῶδές ἐστι καὶ πεινα λέον ὡς οὐ πέφυκεν, ἀλλὰ καὶ τῶν ὕπνων τὸ μὴ συνεχὲς μηδὲ λεῖον ἀλλὰ ἀνωμαλίας ἔχον καὶ διασπασμοὺς δεῖ εὐλαβεῖσθαι, καὶ τῶν ἐνυπνίων τὴν ἀτοπίαν. ἂν γὰρ ὦσι μὴ νόμιμοι μηδὲ συνήθεις αἱ φαντασίαι, πλῆθος ἢ πάχος ὑγρῶν ἢ πνεύματος ταραχὴν ἐντὸς κατηγοροῦσιν. ἤδη δὲ καὶ τὰ τῆς ψυχῆς κινήματα τὸ σῶμα μηνύει πρὸς νόσον ἐπισφαλῶς ἔχειν. ἄλογοι γὰρ ἴσχουσιν ἀθυμίαι καὶ φόβοι πολλάκις ἀπ' οὐδενὸς φοβεροῦ, τὰς ἐλπίδας ἄφνω κατασβεννύουσι· γίνονται δὲ καὶ ταῖς ὀργαῖς ἐπίχολοι καὶ ὀξεῖς καὶ μικρόλυποι, καὶ δακρυρροοῦσιν καὶ ἀδημονοῦσιν, ὅταν ἀτμοὶ πονηροὶ καὶ ἀναθυμιάσεις πυκναὶ συνιστάμεναι ‘ταῖς τῆς ψυχῆσ‘, ὥς φησι Πλάτων, ἀνακραθῶσι ‘περιόδοισ‘. Τοῦ αὐτοῦ (Ibid. p. 129 F—130 A). Ὅθεν ἄριστα λέλεκται τὸ ‘τροφῆς ἀκορίην καὶ πόνων ἀοκνίην καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σπέρματος οὐσίης τήρησιν ὑγιεινότατα εἶναι‘. καὶ γὰρ ἡ περὶ τὰς συνουσίας ἀκρασία τῷ μάλιστα τὴν δύναμιν ἐκλύειν ὑφ’ ἧς ἡ τροφὴ διαπονεῖται, πλέον περιττώματα ποιεῖ καὶ πλῆθος. Πυθαγόρου. Σαρκὸς φωνή· μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν. Γαληνοῦ χαρακτηριάζοντα εἰς Ἱπποκράτην (II p. 72 Chart.). Τὰ τῆς τέχνης στοιχεῖα σαφῶς ἀρέσκειν αὐτῷ λέγει τὰ ὅσα ἐναργῆ. συνέστηκεν οὖν, φησίν, ὅ τε ἄνθρωπος καὶ τὰ σύμπαντα ζῷα ἐκ στερεῶν ὑγρῶν καὶ πνευμάτων. οὐκ ἀμοιρεῖ δὲ οὐδ’ ἡ τῶν φυτῶν φύσις τῆς τούτων τριγενείας, ἀλλὰ ζῇ τε καὶ αὔξεται καὶ γεννᾷ καὶ φύεται τῇ τούτων συστάσει κατὰ φύσιν, νοσεῖ δὲ καὶ φθίνει καὶ θνῄσκει καὶ αὐαίνεται τῇ τούτων πλημμελείᾳ καὶ διαστάσει. τὴν μὲν οὖν τῶν στερεῶν σύστασιν ὀστοῖς ἀνατίθησι καὶ νεύροις καὶ χόνδροις, ἥδη δὲ καὶ ὑμένι καὶ ἀρτηρίαις καὶ φλεψί· καὶ γὰρ ταῦτα τοῦ στερεοῦ γένους ἔν τισιν εἶναι λέγει. τῆς δὲ τούτων συμπηγίας καὶ διαπλάσεως, ἑπόμενος τῷ εὐλόγῳ, τὴν κεφαλὴν εἶναι ἀρχὴν συνδοκεῖ. ἀνατέθεικε δὲ τῇ τῶν στερεῶν φύσει τό τε περὶ ἀγμῶν καὶ τὰ περὶ ἄρθρων καὶ τὰ τούτοις ὅμοια· τῷ δὲ πνεύματι τὸ περὶ φυσέων ἰδίως ἐπιγραφόμενον σύγγραμμα· τοῖς δ’ ὑγροῖς τὸ περὶ χυμῶν καὶ τὸ περὶ ἀνθρώπου φύσεως, ἥδη δὲ καὶ σποράδην ἐν ἄλλοις· ἔστι δὲ ταῦτα αἷμα καὶ φλέγμα, χολὴ διττή, ξανθὴ καὶ μέλαινα. εἶναι δὲ τὸ μὲν αἷμα τὴν φύσιν ὑγρὸν ξηρὰν καὶ ὠχρὰν καὶ πικράν, τὴν δὲ ἑτέραν ψυχρὰν καὶ ξηρὰν καὶ μέλαιναν καὶ φυκώδη. ἀρέσκει δὲ αὐτῷ καὶ τὰς ἡλικίας διαιρεῖν εἰς δ′ καὶ τὰς ὥρας τοῦ ἔτους ὁμοίως. πλεονάζειν δὲ τῶν εἰρημένων χυμῶν ἕκαστον ἐν τῇ ἡλικίᾳ καὶ τῇ ὥρᾳ τῇ οἰκείᾳ ἑκάστου. καὶ ἐν μὲν τῇ τῶν παίδων ἡλικίᾳ πλεονάζειν τὸ αἷμα, καὶ τῇ ὥρᾳ τοῦ ἔαρος· ἐν δὲ τῇ τῶν ἀκμαζόντων τὴν ξανθὴν χολήν, καὶ ὥρᾳ θέρους· ἐν δὲ τῇ τῶν παρηβώντων τὴν μέλαιναν, καὶ φθινοπώρῳ· ἐν δὲ τῇ τῶν γερόντων τὸ φλέγμα, καὶ χειμῶνος· ἐοικέναι γὰρ τὰς τῶν χυμῶν φύσεις ταῖς τῶν ὡρῶν. τὸ γοῦν ἔαρ θερμόν τε καὶ ὑγρόν, ὡς τὸ αἷμα· καὶ τὸ θέρος θερμόν τε καὶ ξηρόν· τὸ δὲ μετόπωρον ψυχρόν τε καὶ ξηρόν· ὁ δὲ χειμὼν ψυχρὸς καὶ ὑγρός, ἀναλόγως τοῖς χυμοῖς· κατὰ ταὐτὰ δὲ καὶ τὴν ἡμέραν διαιρεῖ, καὶ τῷ ἀριθμῷ καὶ τῇ φύσει, ὡς ἐν μικρᾷ τῇ ἀναλογίᾳ. καθόλου γε τὰς τῶν ἀνδρῶν φύσεις πρὸς τὰς τῶν γυναικῶν διαφέρειν. εἶναι γὰρ τοὺς μὲν ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον, τὰς δὲ ἐπὶ τὸ ψυχρότερον καὶ ὑγρότερον. ἐν ἑκάστου δὲ τούτων γένει καὶ πρὸς ἀλλήλους ἔχειν μικροτέραν διαφοράν, παρά τε τὰς τῶν χωρίων θέσεις καὶ τὰς τῶν ἀέρων ἰδιότητας καὶ τὰς τῶν διαιτημάτων ἀγωγάς. παρέχειν δὲ καὶ τῶν χυμῶν ἕκαστον ἐν τῇ φύσει τοῦ ἀνθρώπου χρείαν ἐξαίρετον. καὶ τὸ μὲν αἷμα τρέφειν καὶ θερμαίνειν καὶ ὑγραίνειν καὶ εὐχροίας εἶναι ποιητικόν· τὴν δὲ ξανθὴν χολὴν συνέχειν τὸ σῶμα καὶ τοὺς πόρους μὴ ἐᾶν ἐκλύεσθαι, καὶ μυωπίζειν τὴν αἴσθησιν, καὶ συντελεῖν τῇ πέψει, καὶ τὰς ὁδοὺς τῶν δρομον τῆς κινήσεως. δοκεῖ δὲ αὐτῷ καὶ τὸ σπέρμα πρὸς ζωογονίαν τό τε τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικὸς ἐπίσης συντελεῖν καὶ ἀπὸ πάντων τῶν μελῶν φέρεσθαι τοῦ σώματος. καὶ τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς τῆς μήτρας, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς γεννᾶσθαι. ἰσχύειν δὲ καὶ τὰ δεξιὰ ὡς πρὸς τὰ ἀριστερά, καὶ τὰ ὑπερκείμενα ὡς πρὸς τὰ ὑποκείμενα. δοκεῖ δ’ αὐτῷ καὶ τὰς αἰτίας τῶν νοσημάτων ἃς μὲν ἐκ πληγῶν βιαίων, ἃς δὲ ἐκ τοῦ περιέχοντος εἶναι· τὰς δὲ πλείστας ἐκ τῶν ὑγρῶν τῶν εἰρημένων κατὰ πλῆθος καὶ ἔλλειψιν καὶ μεταβολὴν τὴν κατὰ ποιότητα ἢ τὴν ἐκ τόπου εἰς τόπον. ἀρέσκει δὲ αὐτῷ καὶ τὰ βοηθήματα εἰσφέρειν ἐκ τῶν ἐναντίων ἱσταμένων ταῖς αἰτίαις. τῶν δὲ νοσημάτων ἃ μὲν εἶναι φύσει ὀξέα, ἃ δὲ χρόνια, ἃ δὲ ἐνδοιαστά. γίνεσθαι δὲ ὡς πολὺ ἀπὸ χολῆς καὶ αἵματος καὶ ἡλικίας ἀκμαζούσης καὶ θέρους καὶ ἔαρος τὰ ὀξέα· τὰ δὲ χρόνια ἀπὸ φλέγματος καὶ μελαίνης χολῆς καὶ ἐν πρεσβύταις καὶ χειμῶνι· τὰ δ’ ἐνδοιαστά, ὁπόσα μεμιγμένας ἔχει τὰς αἰτίας. ἤδη δὲ καὶ τίνα αὐτῶν σωτήρια καὶ τίνα θανατικά, προγινώσκει· βούλεται δὲ καὶ τὴν πρόγνωσιν καὶ τὴν πρόρρησιν ἀναγκαίαν τε εἶναι πρὸς τὴν τέχνην καὶ διαφέρειν ἀλλήλων. ὅπου μὲν γὰρ προγνῶναι χρὴ μόνον τὸν ἰατρόν, ὅπου δὲ καὶ προειπεῖν ἀσφαλές. διαιρεῖ δὲ τὴν πρόγνωσιν εἵς τε τὰ προγεγονότα καὶ τὰ ἐνεστῶτα τῶν συμπτωμάτων, ὁπόσα ἔχει πόσην ἀδηλότητα, καὶ εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ μέλλοντα. ἀρέσκει δ' αὐτῷ καὶ τὰς κρισίμους ἡμέρας ἐπεγνωκέναι. γίνεσθαι γὰρ ἤδη δὲ καὶ τοὺς πρωτοπαθοῦντας τόπους εἰδέναι παραινεῖ, ἐκ τῆς τούτων ἐπιγνώσεως οὐ μικρὰν συμβαλλομένης μοῖραν εἰς σημείωσίν τε καὶ θεραπείαν. Ἀντύλλου Περὶ τῆς καθ' ἡμέραν διαφορᾶς τῶν ἀέρων. Ἡμέραν λαμβάνομεν σὺν τῇ νυκτί· ἀναλογίαν δ' αὐτὴν ἔφαμεν ἔχειν τινὰ πρὸς τὸν ἐνιαυτόν, καθάπερ Ἱπποκράτης ἐν τῇ δευτέρᾳ τῶν Ἐπιδημιῶν ἐπεσημήνατο. ἔστι δὲ ὁ μὲν ὄρθρος ὑγρὸς καὶ θερμός, ἔαρι ἐοικώς. διὰ τοῦτο οἵ τε ὕπνοι εὐκρινεῖς καὶ τὰ σώματα ἀνεῖται, καὶ τὰ τῶν ὑγιαινόντων καὶ τὰ τῶν νοσούντων· ὥστε καὶ τοῖς πυρέσσουσιν εὐφορώτατον εἶναι τόνδε τὸν καιρόν. ἀναθυμιάσεις δὲ ἀνίασι περὶ τὸν ὄρθρον καὶ αὖραι ποταμῶν ἀποπνέουσιν ὑγραί, καὶ δρόσος ἐπιπίπτει, ἄνθη ἀναβαίνει, καὶ πάντα τὰ ἐκ τῆς γῆς φυόμενα ἄνεισιν, ἔαρι τῆς καταστάσεως τῆς ὀρθρινῆς ἐοικυίας. τὰ δὲ μέσα τῆς ἡμέρας θέρει παρείκασται, τὰ δὲ κατὰ τὴν δείλην φθινοπώρῳ, διὰ τοῦτο βαρῶν καὶ δυσαρεστημάτων οἰστικά, νοσερᾶς οὔσης τῆς δείλης ἀνάλογον φθινοπώρῳ. τῆς δὲ νυκτὸς τὰ μὲν πρῶτα καὶ τὰ περὶ τὴν ἑσπέραν ὅμοια τῇ δείλῃ· ἐντεῦθεν οὔτε ὑπνοῦν ἐπιτρέπομεν τοῖς κάμνουσι περὶ τήνδε τὴν ὥραν οὔτε ποτὸν προσφέρομεν οὔτε ἄλλο προσάγομεν βοήθημα, εἰ μή τι ἕτερον προκαλοῖτο, ὑφορώμενοι τὸν καιρὸν τοῦτον ὥσπερ καὶ τὸν δειλινόν. τὰ δὲ μέσα τῆς νυκτὸς χειμῶνι ἐξείκασται· πλεῖστον γὰρ τότε ὁ ἥλιος καθάπερ καὶ ἐν τῷ χειμῶνι ἀφέστηκεν ἡμῶν. αἵ τε οὖν ὀδύναι τοῖς νοσοῦσιν ἰσχυρότεραι τῆς νυκτὸς εἰκότως, διὰ τὴν ψῦξιν πυκνουμένης τῆς ἐπιφανείας καὶ ἀπολαμβανομένης τῆς κατὰ τὸ ἄδηλον διαπνοῆς. καὶ τὰ ῥεύματα δὲ καὶ τὰ τῶν ὀφθαλμιώντων καὶ τὰ τῶν δυσεντερικῶν καὶ κοιλιακῶν καὶ τὰ αἱματικὰ ἀπὸ τῆς αὐτῆς προφάσεως ἐπιγίνεται, παντὸς τοῦ εἰωθότος ἀπιέναι κατὰ τὸ ἀφανὲς εἰς ἕνα τόπον συνδιδομένου τὸν ῥευματιζόμενον. τὰ δὲ τελευταῖα τῆς νυκτὸς διὰ τὴν πρὸς τὸν ὄρθρον γειτνίασιν τῆς αὐτῆς ἐκείνῳ κράσεως μετα- Ἀντύλλου Περὶ τῶν ἐν τῷ ἀέρι διαφορῶν. Εἰσὶ κατὰ θερμότητα καὶ ψῦξιν διαφοραὶ τῶν ἀέρων. ὁ μὲν οὖν θερμὸς παρέοικε τῇ θερινῇ ὥρᾳ, ὁ δὲ ψυχρὸς τῇ χειμερινῇ. πρὸς δὲ κἀκεῖνο ἑκάτερος ἔχει· ὁ μὲν ψυχρὸς εὐσαρκίας τε καὶ εὐτροφίας καὶ πιμελῆς γεννητικός, μεγάλα δὲ καὶ τὰ σώματα ἀπεργάζεται· τοιούτους δὲ ἔστιν ἰδεῖν [καὶ] τοὺς τὰ ἀρκτικώτερα κλίματα κατοικοῦντας· πρὸς δὲ τὰ νοσήματα τὰ μὲν ὀξέα οὐ πάνυ τι ἐπιτήδειος, πρὸς δέ τινα τῶν χρονίων, οἷον φθίσεις καὶ καχεξίας καὶ παρέσεις ἐπιληψίας τε καὶ ἀποπληξίας, καὶ πρὸς τὰ ἀρθριτικὰ ἄθετος. ὁ δὲ θερμὸς ἀὴρ σωμάτων δαπανητικός, ἰσχναίνων καὶ καταρινῶν τὰ συγκρίματα, εὐτονίαν 〈δὲ〉 μᾶλλον καὶ εὐκινησίαν ἥπερ ὁ ψυχρὸς παρασκευάζει τοῖς ὑγιαίνουσιν, ἐν δὲ ταῖς νόσοις ῥᾳδίως ἐξελέγχει τὴν δύναμιν. καὶ νεύροις μὲν καὶ θώρακι ἀγαθός, τοῖς δὲ ἄλλοις μέρεσιν οὐ πάνυ χρήσιμος. ἔστι δὲ καὶ κατὰ παχύτητα καὶ λεπτότητα διαφορὰ τῶν ἀέρων. ὁ μὲν οὖν παχὺς ἀχρεῖος ὢν ὅσον ἐφ' ἑαυτῷ, πλὴν πρὸς τὸ τηρῆσαι δύναμιν σκορπιζομένην ἐπιτήδειος· ὁ δὲ λεπτὸς ὑγιεινὸς σφόδρα ἐστίν. καὶ παρὰ φῶς καὶ σκότος διαφορὰ τῶν ἀέρων. οἷος δὲ ἑκάτερος, κατανοῆσαι ῥᾴδιον ἀπὸ τῶν ἔμπροσθεν ἡμῖν περὶ νυκτὸς καὶ ἡμέρας εἰρημένων. δόξει μὲν οὖν τισιν ἀλλότρια εἶναι τοῦ περὶ βοηθημάτων τόπου τὰ εἰρημένα, ἐπεὶ οὐκ ἐφ' ἡμῖν ἐστι ποιῆσαί τι αὐτῶν· οὐ μὴν ἠλλοτρίωταί γε ἡ παράληψίς τε καὶ χρῆσις καὶ ἀπαγόρευσις ἐφ' ἡμῖν οὖσαι. τὰ μὲν οὖν πλεῖστα συνίστησιν αὐτῶν ἐν καιρῷ ἕκαστον γινότῶν ἐν βοηθήματος χώρᾳ τάττειν. Τοῦ αὐτοῦ Περὶ τῆς ἐν ἑκάστῃ τῶν ἐτησίων ὡρῶν διαφορᾶς. Ἐν ἑκάστῃ τῶν ὡρῶν τρεῖς διαφοραί, τῶν μὲν πρώτων ὄντων ἑκάστης, τῶν δὲ ὑστάτων, τῶν δὲ μέσων. τὰ μὲν μέσα τὴν εἰλικρινεστάτην τῆς ὥρας ἔχει κρᾶσιν, τὰ δὲ πρῶτα καὶ ὕστατα τῇ γειτνιώσῃ τῶν ὡρῶν ἀφομοιοῦται. αὐτίκα τοῦ ἔαρος τὰ μὲν πρῶτα μᾶλλον ὑγρὰ καὶ ἧσσον θερμά, τὰ δὲ μέσα θερμὰ καὶ ὑγρὰ ἐπίσης, τὰ δὲ τελευταῖα ἧσσον ὑγρὰ καὶ μᾶλλον θερμά. τοῦ δὲ θέρους τὰ μὲν πρῶτα θερμότερα· ἡ δὲ ἀπόληξις ξηρὰ μέν, οὐ πάνυ δὲ ψυχρά· τὰ δὲ μέσα ξηρὰ καὶ θερμὰ ἐπίσης· τὰ δὲ ὕστατα ξηρότερα μᾶλλον, ἔλασσον δὲ θερμά. φθινοπώρου δὲ ἡ μὲν ἀρχὴ ξηροτέρα καὶ οὐ πάνυ

ψυχρά, ἡ δὲ μεσότης ἐπίσης ξηρὰ καὶ ψυχρά, τὰ δὲ ὕστατα ψυχρότερα μέν, ἔλασσον δὲ ξηρά. ἀνάλογον δὲ καὶ χειμῶνος τὰ μὲν πρῶτα ψυχρὰ μᾶλλον, τὰ δὲ ὕστατα ὑγρὰ μᾶλλον, τὰ δὲ μέσα ἐπίσης ὑγρὰ καὶ ψυχρά. Τοῦ αὐτοῦ Περὶ τόπων καὶ τῶν ἐν αὐτοῖς ἀέρων. Οἱ ὑψηλοὶ τῶν τόπων ὑγιεινότατοι, τοῦ ἀέρος ἐν αὐτοῖς οὐ μένοντος ἀλλὰ καὶ περιχεομένου καὶ ὑπὸ τῶν ἀνέμων συνεχὲς ἀπωθουμένου· εὔπνοοί τε δὴ καὶ διαθέσεσι πάσαις ἐπιτήδειοι ταῖς περὶ θώρακα καὶ κεφαλῇ πεπονθυίᾳ καὶ τοῖς αἰσθητηρίοις πᾶσιν. οἱ δὲ ταπεινοὶ τοῖς μὲν προειρημένοις ἀνάρμοστοι, διαφορουμένοις δὲ καὶ συγκοπτομένοις ἐπιτήδειοι· καὶ γέρουσι δὲ ἁρμόζουσι μᾶλλον τῶν ὑψηλῶν. οἱ δὲ παραθαλάττιοι τόποι τοῖς τε ὑδρωπικοῖς 〈καὶ τοῖσ〉 ὑπὸ ῥεύματος οὐτινοσοῦν ἐνοχλουμένοις ἁρμόδιοι, καὶ ὅπου δεῖ ἀμύξαι ἢ θάλψαι ἢ ἀναστομῶσαι, ἀγαθοὶ δὲ καὶ νευρικοῖς ἢ ἀρθριτικοῖς πᾶσιν, ἐπιτήδειοι δὲ καὶ εἰς ὄρεξιν κεκακωμένοις. οἱ δὲ μεσόγειοι ψυχρότεροι τῶν παραθαλαττίων καὶ πρὸς μὲν τὰ ὀξέα νοσήματα, ἐάν γε μὴ ἐλώδεις ὦσι μηδὲ κοῖλοι, κρείττους τῶν παραθαλαττίων, πρὸς δὲ τὰ χρόνια χείπαραποτάμιοι ψυχροὶ καὶ ἀνώμαλοι, ἀτροφίαις μόναις ἐπιτήδειοι ταῖς διὰ ξηρότητα συνισταμέναις. χείρους δὲ τούτων οἱ τελματώδεις· οὐ γὰρ μόνον φαῦλον τὸν ἀέρα κατασκευάζουσιν, ἀλλὰ καὶ τοὺς καρποὺς κακίους, στόμαχόν τε λυμαίνονται καὶ τὰ σπλάγχνα σκληροῦσιν καὶ κακοεξίας καὶ κακοχυμίας καὶ ὕδρωπας ἀποτελοῦσι. κακοὶ [γὰρ] δὲ καὶ οἱ πρὸς μετάλλοις τισὶν ὑφεστῶτες· ξηροὶ γὰρ καὶ πνιγώδεις. οἱ δὲ βαθύγειοι εὐχυμότεροι ὄντες ταῖς ξηροτέραις ἁρμόζουσι διαθέσεσιν. οἱ δὲ ἀργιλώδεις διαλυτικοὶ τοῦ στομάχου, ἔκλυτον ἔχοντες τὴν ἀναθυμίασιν· οἱ δὲ πυρρόγειοι ξηραντικώτεροι τούτων· οἱ δὲ μελάγγειοι πάντων ἄριστοι. Ξενοφῶντος ἐν α′ Ἀπομνημονευμάτων (c. 2, 4). Ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει τούς ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε· ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν. Σωκράτους (Plut. de curios. p. 521 F). Σωκράτης παρῄνει φυλάττεσθαι τῶν βρωμάτων ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πωμάτων ὅσα πίνειν μὴ διψῶντας. Γοργίου. Γοργίας ἐρωτηθεὶς ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν ‘οὐδὲν οὐδέποτε‘ ἔφη ‘πρὸς ἡδονὴν οὔτε φαγὼν οὔτε δράσας‘. Ἱπποκράτους (Epid. VI 6, 2 t. V. p. 324 Littre). Σιτία ποτὰ ὕπνοι ἀφροδίσια, πάντα μέτρια. Πλάτωνος ἐκ τοῦ Χαρμίδου (p. 156 D—157 A). Τοιοῦτον τοίνυν ἐστίν, ὦ Χαρμίδη, τὸ ταύτης τῆς ἀπαθανατίζειν. ἔλεγε δὲ ὁ Θρᾷξ οὗτος ὅτι ταῦτα μὲν δὴ οἱ Ἕλληνες ἰατροί, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, καλῶς λέγοιεν· ἀλλὰ Ζάμολξις, ἔφη, λέγει ὁ ἡμέτερος βασιλεύς, θεὸς ὤν, ὅτι ὥσπερ ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐδεὶς ἐπιχειρεῖ ἰᾶσθαι οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ σῶμα ἄνευ ψυχῆς, ἀλλὰ τοῦτο καὶ αἴτιον εἴη τοῦ διαφεύγειν τοὺς παρὰ τοῖς Ἕλλησιν ἰατροὺς τὰ πολλὰ νοσήματα, ὅτι τοῦ ἄλλου ἀμελοῖεν οὗ δέοι τὴν ἐπιμέλειαν ποιεῖσθαι, οὗ μὴ καλῶς ἔχοντος ἀδύνατον εἴη τὸ μέρος 〈εὖ〉 ἔχειν. πάντα γὰρ ἔφη ἐκ τῆς ψυχῆς ὡρμῆσθαι καὶ τἀγαθὰ καὶ τὰ κακὰ τῷ σώματι, παντὶ τῷ ἀνθρώπῳ, κἀκεῖθεν ἐπιρρεῖν ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα. δεῖν οὖν ἐκεῖνο καὶ πρῶτον καὶ μάλιστα θεραπεύειν, εἰ μέλλει καὶ τὰ τῆς κεφαλῆς καὶ τὰ τοῦ ἄλλου σώματος καλῶς ἕξειν. θεραπεύεσθαι δὲ τὴν ψυχὴν ἔφη, ὦ μακάριε, ἐπῳδαῖς τισι, τὰς δ’ ἐπῳδὰς ταύτας τοὺς λόγους εἶναι τοὺς καλούς· ἐκ δὲ τῶν τοιούτων λόγων ταῖς ψυχαῖς σωφροσύνην ἐγγίγνεσθαι, ἧς ἐγγενομένης καὶ παρούσης ῥᾴδιον ἤδη εἶναι τὴν ὑγείαν καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι πορίζειν. Τοῦ αὐτοῦ Νόμων ζ′ (p. 789 D). Ὅτι τὰ σώματα πάντα ὑπὸ τῶν σεισμῶν τε καὶ κινήσεων κινούμενα ἄκοπα ὀνίναται πάντων, ὅσα τε ὑπὸ ἑαυτῶν, ἢ καὶ ἐν αἰώραις ἢ καὶ κατὰ θάλατταν, ἢ καὶ ἐφ’ ἵππων ὀχουμένων καὶ ὑπ’ ἄλλων ὀπωσοῦν δὴ φερομένων τῶν σωμάτων, κινεῖται, καὶ διὰ ταῦτα τὰς τῶν σίτων τροφὰς καὶ ποτῶν κατακρατοῦντα, ὑγίειαν καὶ κάλλος καὶ τὴν ἄλλην ῥώμην ἡμῖν δυνατά ἐστι παραδιδόναι. Ξενοφῶντος ἐν ς′ τῆς Κύρου παιδείας (c. 2, 29). Ἡ γὰρ κατὰ μικρὸν μετάλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς. διδάσκει δὲ καὶ ὁ θεὸς ἀπάγων ἡμᾶς κατὰ μικρὸν ἔκ τε τοῦ χειμῶνος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ

θάλπη καὶ ἐκ τοῦ θάλπους εἰς τὸν ἰσχυρὸν χειμῶνα· ὃν χρὴ μιμουμένους εἰς ὃ δεῖ ἐλθεῖν προειθισμένους ἡμᾶς ἀφικνεῖσθαι. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 88 C—89 B). Κατὰ δὲ ταὐτὰ ταῦτα καὶ τὰ μέρη θεραπευτέον, τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. τοῦ γὰρ σώματος ὑπὸ τῶν εἰσιόντων καιομένου ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου καὶ τὰ τούτοις ἀκόλουθα πάσχοντος ὑπ' ἀμφοτέρων τῶν κινήσεων, ὅταν μέν τις ἡσυχίαν ἄγον τὸ σῶμα παραδιδῷ καὶ τὸ σῶμα μάλιστα μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ, κινῇ δὲ καὶ σεισμοὺς ἀεί τινας ἐμποιῶν αὐτῷ διὰ παντὸς τὰς ἐντὸς καὶ ἐκτὸς ἀμύνηται κατὰ φύσιν κινήσεις, καὶ μετρίως σείων τά τε περὶ τὸ σῶμα πλανώμενα παθήματα καὶ μέρη κατὰ ξυγγενείας εἰς τάξιν κατακοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρόσθεν λόγον, ὃν περὶ τοῦ παντὸς ἐλέγομεν, οὐκ ἐχθρὸν παρὰ ἐχθρὸν τιθέμενον ἐάσει πολέμους ἐντίκτειν τῷ σώματι καὶ νόσους, ἀλλὰ φίλον παρὰ φίλον τεθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. τῶν δ' αὖ κινήσεων ἡ ἐν ἑαυτῷ ὑφ' ἑαυτοῦ ἀρίστη· μάλιστα γὰρ τῇ διανοητικῇ καὶ τῇ τοῦ παντὸς κινήσει ξυγγενής· ἡ δὲ ὑπ' ἄλλου χείρων [οὐχ ὁμοία]. χειρίστη δὲ ἡ κειμένου τοῦ σώματος καὶ ἄγοντος ἡσυχίαν δι' ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. διὸ δὴ τῶν καθάρσεων καὶ συστάσεως τοῦ σώματος ἡ μὲν διὰ τῶν γυμνασίων ἀρίστη, δευτέρα δὲ ἡ διὰ τῶν αἰωρήσεων κατά τε τοὺς πλοῦς καὶ ὅπηπερ ἂν ὀχήσεις ἄκοποι γίνωνται· τρίτον δὲ εἶδος κινήσεως σφόδρα ποτὲ ἀναγκαζομένῳ χρήσιμον, ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν ἔχοντι προσδεκτέον, τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν. Ἀντύλλου. Εἴδη τῶν βοηθημάτων κατὰ γένη τέσσαρα· τὰ μὲν λαμβανόμενα· τὰ δὲ κενούμενα, ὅσα ἐξάγοντά τι τοῦ σώματος βοηθεῖ· ἔσται δὲ καὶ περὶ τῶν κενουμένων τοῖς εὐσχολοῦσι πολλή τις ἀκριβολογία, τί δή ποτε δὲ οὐχὶ κενοῦντα, ἀλλὰ κενούμενα ὠνόμασται· τὰ δέ ἐστιν ἔξωθεν προσπίπτοντα τῶν βοηθημάτων. Τοῦ αὐτοῦ. Τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων τὰ μέν ἐστι λεπτομερῆ τὰ δὲ παχυμερῆ. λεπτομερῆ μὲν ἀήρ τε καὶ ὅσα ἀέρος εἴδη, παχυμερῆ δὲ τὰ συνεστῶτα. τῶν δὲ παχυμερῶν τὰ μὲν γεώδη τὰ δὲ ὑδατώδη· γεώδη μὲν καταπλάσματα καὶ μαλάγματα, ὑδατώδη δὲ λουτρὰ καὶ καταντλήσεις καὶ ἐμβροχαί. Τοῦ αὐτοῦ. Ἀέρων διαφοραὶ πλείους· αἱ μὲν γὰρ παρὰ τὰς ὥρας τὰς ἐτησίους, αἱ δὲ παρὰ τὰς μηνιαίους παραλλαγάς, αἱ δὲ παρὰ τὰς μεταβολὰς τὰς ἡμερησίους τε καὶ νυκτερινάς, αἱ δὲ παρὰ παχύτητα καὶ λεπτότητα, αἱ δὲ παρὰ κίνησιν ἢ στάσιν, αἱ δὲ παρὰ κίνησιν καὶ ἐπιμιξίαν γεωδῶν ἀναθυμιάσεων. εἰσὶ δὲ καὶ ἄλλαι μικρότεραι διαφοραί, δυνάμεναι τὴν ἀναφορὰν ἐπὶ τὰς ἐκκειμένας λαμβάνειν. Ἀντύλλου Περὶ τῆς κατὰ μῆνα τῶν ἀέρων διαφορᾶς. ἐργάζεται δὲ καὶ αὕτη τέσσαρας ὥρας μηνιαίους ἀναλογούσας ταῖς ἐτησίοις, ἑβδομαδικῷ δὲ ἀριθμῷ περικυκλευομένας. ἡ μὲν οὖν πρώτη τοῦ μηνὸς ἑβδομὰς ἀρχὴν μὲν ἀπὸ νεομηνίας ἔχει, πρόεισι δὲ μέχρι διχοτόμου· ἔστι δὲ ἐοικυῖα ἔαρι· ὑγρὰ γὰρ καὶ θερμή. ἐντεῦθεν καὶ τὸ περιέχον ἐν τῷ καιρῷ τούτῳ ὑγρότατον· καὶ 〈οἱ〉 ὄμβροι τηνικαῦτα ὡς ἐπίπαν καταρρήγνυνται, καὶ οὗτοί γε ὑγροὶ καὶ γονιμώτατοι παραπλησίως τοῖς ἐαρινοῖς. ἡ δὲ δευτέρα ἑβδομὰς ἄρχεται μὲν ἀπὸ διχοτόμου, πρόεισι δὲ ἄχρι πανσελήνου, θέρει δὲ παραπλήσιος διὰ τοῦτο, ὅτι καρποὺς πέσσει μάλιστα. ἥ γε μὴν μετὰ πανσέληνον ἑβδομὰς ἕως διχοτόμου φθινούσης τῆς σελήνης ξηρὰ καὶ φθινοπώρῳ παραπλήσιος. ἡ δὲ τελευταία χειμῶνι ἔοικεν. ὅσα οὖν αἱ τοῦ ἐνιαυτοῦ ὧραι ἐπιφέρουσι, τοσαῦτα καὶ παρὰ τῶν μηνιαίων ἡγητέον ἁπαντᾶν. ἐκεῖνο μέντοι προσδιαληπτέον, ὅτι ὁ μὲν ἥλιος κατὰ τὴν αὐτοῦ δύναμιν θερμαίνει τὰ σώματα, ἡ δὲ σελήνη μᾶλλον ὑγραίνει. παρὰ ταύτην οὖν τὴν αἰτίαν τούς τε ἐγκεφάλους διερωτέρους ἀποτελεῖ καὶ τὰ κρέα σήπει, καὶ τὰ σώματα τῶν αἰθριοκοιτούντων ὑγρότερα καὶ ἀμβλύτερα ἀπεργάζεται, καὶ καρηβαρίας καὶ ἐπιληψίας ἀνακινεῖ κατὰ τὴν ὁμοίαν αἰτίαν.

4.38 Ὁμήρου (Il. XI 514 s). Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων ἰούς τ' ἐκτάμνειν ἐπί τ' ἤπια φάρμακα πάσσειν. Εὐριπίδου (fr. 1072 N. 2). Μέλλων τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον ἰάσατ' ἤδη μᾶλλον ἢ τεμὼν χρόα. [κατὰ ἰατρῶν] Μιμνέρμου Ναννοῦς. (Incerti poetae scaenici) Οἷα δὴ

φιλοῦσιν [οἱ] ἰατροὶ λέγειν, τὰ φαῦλα μείζω καὶ τὰ δείν' ὑπὲρ φόβον, πυργοῦντες αὐτούς. Φιλήμονος (fr. 75 K.). Ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι ἐστίν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον. τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγὼ ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα πάντας λαλοῦντας· εἶτ' ἐὰν πταίσωσί τι, αὐτοὺς ποοῦντας πάνθ' ὅς' οὐκ εἴων τότε. ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἔστ' ἴσως. Φιλήμονος (fr. 134 K.). Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς, ἂν εὖ σκοπῇς, Φιλήμονος νεωτέρου (fr. 2 vol. II p. 540 K.). Τίς οὗτός ἐστ'; —ἰατρός. —ὡς κακῶς ἔχει ἅπας ἰατρός, ἂν κακῶς μηδεὶς ἔχῃ. (Incerti poetae comici) Μόνῳ δ' ἰατρῷ τοῦτο καὶ συνηγόρῳ ἔξεστιν, ἀποκτείνειν μέν, ἀποθνῄσκειν δὲ μή. Δημοσθένους Ὀλυνθιακῶν 〈γ′〉 (p. 37). Καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικεν. καὶ γὰρ ἐκεῖνα οὔτε ἰσχὺν ἐντίθησιν οὔτ' ἀποθνῄσκειν ἐᾷ. Πλουτάρχου ἐκ τῶν Ὑγιεινῶν παραγγελμάτων (p. 122 E). Τῶν δ' ἐλευθερίων τεχνῶν ἰατρικὴ τὸ μὲν γλαφυρὸν καὶ περιττὸν καὶ ἐπιτερπὲς οὐδεμιᾶς ἐνδεέστερον ἔχει, θεωρητικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι τὴν σωτηρίαν καὶ τὴν ὑγείαν. Τροφίλου. Τρόφιλος ἰατρὸς ἐρωτηθεὶς ὑπό τινος, τίς ἂν γένοιτο τέλειος ἰατρός 'ὁ τὰ δυνατά' ἔφη 'καὶ τὰ μὴ δυνατὰ δυνά-

4.39 Ὁμήρου Ὀδυσσείας (XXIII 212). Ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι. Ὁμήρου Ὀδυσσείας (IV 208. 210 s.). Ὄλβον ἐπικλῶσαι γαμέοντί τε γινομένῳ τε· αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν, υἱέας δ' αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους. Βακχυλίδου Ἐπινίκων (V 50 ss. Blass 3). Ὄλβιος ᾧ τινι θεὸς μοῖράν τε καλῶν ἔπορεν σύν τ' ἐπιζήλῳ τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν· οὐ Καρκίνου Τυρεύς (fr. 4 p. 799 N. 2). Ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς· ἔχων γὰρ ἄμφω ταῦτα μακάριός θ' ἅμα κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται. Καλλιμάχου Ὕμνων (Iov. 95). Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν 〈οὔτ' ἀρετὴ ἀφένοιο〉. Σοφοκλέους Ἀντιγόνης (582). Εὐδαίμονες οἷσι κακῶν ἄγευστος αἰών. Πινδάρου Θρήνων (fr. 134 Schr.). Εὐδαιμόνων δραπέτας οὐκ ἔστιν ὄλβος. Μενάνδρου Δημιουργοῦ (fr. 114 K.). Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει· χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς. Θεόγνιδος (255 s.). Κάλλιστον τὸ δικαιότατον, ῥᾷστον δ' [ἔσθ'] ὑγιαίνειν, Σκληρίου (Scol. 8 P. L. 4 III p. 645 B.). Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ, δεύτερον δὲ φυὰν καλὸν γενέσθαι, τρίτον δὲ πλουτεῖν ἀδόλως, εἶτα τέταρτον ἡβᾶν μετὰ τῶν φίλων. Σοφοκλέους Ἴωνος (fr. 297 N. 2). Ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους. Κρατῖνος ἐν Πλούτοις (fr. 160 K.). Αὐτόματα τοῖσι θεὸς ἀνίει τἀγαθά. Θεόγνιδος (653 s.). Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν, Σωτάδου. Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται· ὁ μέσος δὲ βίος κεκραμένος δίκαιός ἐστιν. αὐτάρκεια γὰρ πρὸς πᾶσιν ἡδονὴ δικαία. Θεόγνιδος (1153—1156). Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνῶν ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν. οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν. Σοφοκλέους Κρεούσης (fr. 329 N. 2). Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι, λῷστον δὲ 〈τὸ〉 ζῆν ἄνοσον, ἥδιστον δ' ὅτῳ πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν. Ξενοφῶντος (Inst. Cyri VIII 3, 45). Δημοκρίτου (fr. 286 Diels 2). Εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος. Σωκράτους. Σωκράτης ἐρωτηθεὶς τί εὐδαιμονία 'ἡδονὴ ἀμεταμέλητος' ἔφη. Τοῦ αὐτοῦ. Σωκράτης ἐρωτηθεὶς τίνες εὐδαίμονες, εἶπεν 'οἷς καὶ φρένες ἀγαθαὶ καὶ λόγος πρόσεστιν'. Διογένους. Εὐδαιμονία γὰρ μία ἐστὶ τὸ εὐφραίνεσθαι ἀληθινῶς καὶ μηδέποτε λυπεῖσθαι, ἐν ὁποίῳ δ' ἂν τόπῳ ἢ καιρῷ ᾖ τις. Τοῦ αὐτοῦ. Εὐδαιμονίαν δὲ ταύτην εἶναι φαμὲν ἀληθινὴν τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι διατρίβειν. Χρυσίππου (fr. mor. 510 Arn.). νεσθαι αὐτῷ τὴν εὐδαιμονίαν, ὅταν αἱ μέσαι πράξεις αὗται προσλάβωσι τὸ βέβαιον καὶ ἐκτικὸν καὶ ἰδίαν πῆξιν τινὰ λάβωσιν. Ἰαμβλίχου Σωπάτρῳ Περὶ ἀρετῆς. Εὐδαίμων ἐστὶν ὁ θεῷ κατὰ τὸ δυνατὸν ὅμοιος, τέλεος, ἁπλοῦς, καθαρός, ἐξῃρημένος ἀπὸ τῆς ἀνθρωπίνης ζωῆς. Πλάτωνος ἐκ τοῦ Μενεξένου (p. 247 E—248 A). Ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς

εὐδαιμονίαν φέροντα ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν. Δημοκρίτου (fr. 3 Diels 2). Τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πράσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσς' ἂν πράσσῃ ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν· ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μεγαλογκίης. Ἱπποδάμου Θουρίου ἐκ τοῦ Περὶ εὐδαιμονίας. Τῶν ζῴων τὰ μέν ἐστι δεκτικὰ τᾶς εὐδαιμονίας, τὰ δὲ ἄδεκτα. καὶ δεκτικὰ μὲν ὅσα λόγον ἔχει· ἁ μὲν γὰρ εὐδαιμονία οὐκ ἄτερθεν ἀρετᾶς, ἁ δὲ ἀρετὰ ἐγγίνεται τῷ λόγον ἔχοντι πρᾶτον· ἄδεκτα δὲ ..... ὄψιος ἔργον ἢ 〈τὰν〉 τᾶς ὄψιος ἀρετάν, οὔτε τὸ λόγω ἄμοιρον [ἢ] τὸ τῶ λόγον ἔχοντος ἔργον ἢ τὰν τῶ λόγον ἔχοντος ἀρετάν. ἁ δ' εὐδαιμονία καὶ ἀρετὰ τῶ λόγον ἔχοντος τὰ μὲν ὡς ἔργον τὰ δ' ὡς τέχνα τίς ἐστι. τῶν δὴ λόγον ἐχόντων ζῴων τὰ μέν ἐστιν αὐτοτελέα, ὅσα δι' αὐτὰ τέλεά ἐστι τῶν δὴ οὐκ αὐτοτελέων τὰ μέν ἐστι τέλεα τὰ δ' οὐ τέλεα. καὶ τέλεα μὲν ὅσα καὶ παρὰ τὰν αὐτῶν αἰτίαν καὶ παρὰ τὰς ἔξωθεν αἰτίας γίνονται. καὶ παρὰ μὲν τὰν αὐτῶν, τῷ καὶ φύσιν ἀγαθὰν καὶ προαίρεσιν ποτενέγκασθαι· παρὰ δὲ τὰς ἔξωθεν, τῷ εὐνομίαν καὶ ἐπιστάτας ἀγαθὼς λαβεῖν. 〈τοιοῦτος δέ κα εἴη ὁ καλοκἀγαθὸς ἄνθρωποσ〉 . οὐ τέλεα δὲ τὸ ἤτοι μηδ' ἑτέρω τούτων κοινωνάσαντα, ἢ τινὸς αὐτῶν, ἢ τὰ καθόλω φαῦλα ὑπάρχοντα καττόν γα τρόπον τᾶς ψυχᾶς· τοιοῦτος δέ κα εἴη θάτερος ἄνθρωπος. τῶν δὲ τελέων ἀνθρώπων δοιαὶ διαφοραί· τοὶ μὲν γάρ ἐντιν αὐτῶν καττὰν φύσιν τέλεοι, τοὶ δὲ καττὸν βίον· καὶ καττὸν φύσιν μὲν τοὶ μόνον ἀγαθοί· οὗτοι δέ κ' εἶεν τοὶ ἔχοντες τὰν ἀρετάν· ἁ γὰρ ἀρετὰ τᾶς ἑκάστω φύσιος καὶ ἀκρότας καὶ τελειότας ἐστίν· ἁ μὲν τῶ ὀφθαλμῶ τᾶς τῶ ὀφθαλμῶ φύσιος ἀκρότας καὶ τελειότας· ἁ δὲ τῶ ἀνθρώπω τᾶς τῶ ἀνθρώπω φύσιος καὶ ἀκρότας καὶ τελειότας· καττὸν βίον δὲ τέλειοι τοὶ μὴ μόνον ἀγαθοὶ ἐόντες ἀλλὰ καὶ εὐδαίπεραίνει δὲ τὰς πράξιας ἀρετὰ καὶ τύχα, τὰ μὲν ἀρετὰ καττὰν χρῆσιν, τὰ δ' εὐτυχία καττὰν κατόρθωσιν. ὁ μὲν ὦν θεὸς οὔτε μαθὼν παρά τινος τὰν ἀρετὰν ἀγαθὸς ἐγένετο οὔτε ἐπισυναρξαμένας αὐτῷ τᾶς τύχας εὐδαίμων· φύσει γὰρ ἦν ἀγαθὸς καὶ φύσει εὐδαίμων καὶ ἀεὶ ἦν καὶ ἐσσεῖται καὶ οὐδέποκα ὑπολείψει τοιοῦτος ἐών, ἄφθαρτος ἐὼν καὶ φύσει ἀγαθός· ὁ δὲ ἄνθρωπος 〈οὔτε τᾷ φύσει ἀγαθὸσ〉 οὔτε τᾷ φύσει εὐδαίμων, ἀλλὰ μαθήσιος καὶ προνοίας ποτιδέεται, ποτὶ μὲν τὸ γενέσθαι ἀγαθὸς τᾶς ἀρετᾶς, ποτὶ δὲ τὸ γενέσθαι εὐδαίμων τᾶς εὐτυχίας. καὶ διὰ τοῦτο ἐκ δύο τούτων ἁ ἀνθρωπίνα εὐδαιμονία συγκεφαλαιοῦται, ἐπαίνω τε καὶ μακαρισμῶ· ἐπαίνω μὲν τῶ ἐξ ἀρετᾶς, μακαρισμῶ δὲ τῶ ἐξ εὐτυχίας. τὰν μὲν ὦν ἀρετὰν ἔχει διὰ τὰν θείαν μοῖραν, τὰν δ' εὐτυχίαν διὰ τὰν θνατάν. ἐξήρ 〈τ〉 ηται δὲ τὰ μὲν θνατὰ ἀπὸ τῶν θῄων, καὶ τὰ ἐπὶ γᾶς 〈ἀπὸ〉 τῶν οὐρανίων, τὰ δὲ χείρονα ἀπὸ τῶν βελτιόνων. καὶ διὰ τοῦτο ὁ μὲν ἑπόμενος τοῖς θεοῖς ἀγαθὸς εὐδαιμονεῖ, ὁ δ' ἑπόμενος τοῖς θνατοῖς κακοδαιμονεῖ. τῷ μὲν γὰρ τὰν φρόνασιν ἔχοντι ἀγαθὸν εὐτυχία καὶ χρήσιμον· καὶ ἀγαθὸν μὲν διὰ τὰν γνῶσιν τᾶς χρήσιος, ὠφέλιμον δὲ διὰ τὸ συνεργὲν ταῖς πράξεσι. καλὸν ὦν, ὅκα εὐτυχία παρῇ τῷ νόῳ, ὥσπερ ὠρίῳ ἀνέμῳ θέοντα, ποττὰν ἀρετὰν ἀποβλέποντα ποιέεσθαι τὰς πράξιας, ὥσπερ καὶ τὸν κυβερνάταν ποτὶ τὰς τῶν ἄστρων κινήσιας· οὕτω γὰρ οὐ μόνον ἀκολουθήσει τῷ θεῷ, ἀλλὰ καὶ συντάξει τὸ ἀνθρώπινον ἀγαθὸν ποτὶ τὸ θῆον. καὶ μὰν καὶ τοῦτό γα φανερόν, ὅτι ἐκ διαθέσιος καὶ πράξιος βίος διαφέρων γίνεται· ἀνάγκα δὲ τὰν μὲν διάθεσιν ἢ σπουδαίαν ἢ φαύλαν ἦμεν, τὰν δὲ πρᾶξιν ἢ εὐδαίμονα ἢ κακοδαίμονα· καὶ σπουδαίαν μὲν τὰν ἀρετᾶς μετειληφυῖαν, φαύλαν δὲ τὰν κακίας· τὰς δὲ πράξιας εὐδαίμονας μὲν ἐν τᾷ εὐτυχίᾳ· συμπεραίνονται γὰρ ποτὶ τὸν λόγον· κακοδαίμονας δ' ἐν τᾷ ἀτυχίᾳ· ἀποτευκτικὸν γὰρ τῶ συμπεράσματος. διόπερ οὐ μόνον μαθεῖν δεῖ τὰν ἀρετάν, ἀλλὰ καὶ κτήσασθαι καὶ χρήσασθαι αὐτᾷ, ἤτοι ἐσφαλακίαν ἢ ἐς συναύξασιν ἢ καὶ μέγιστον ἐς ἐπανόρθωσιν οἴκων τε καὶ πολίων. οὐ γὰρ μόνον τὰν κτᾶσιν ἔχεν δεῖ τῶν καλῶν, ἀλλὰ καὶ τὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄνασιν. ταῦτα δὲ πάντα ἐσσεῖται, αἴκα πόλιος εὐνομουμένας τύχῃ ὁ ἄν- Ἀμαλθείας κέρας· ἐν εὐνομίᾳ γὰρ τὰ πάντα ἐστί, καὶ ἄνευ ταύτας οὔτε γεννᾶται τὸ μέγιστον τᾶς ἀνθρωπίνας φύσιος ἀγαθὸν οὔτε γενναθὲν καὶ ἀεξαθὲν δύναιτό κα διαμένεν. καὶ γὰρ τὰν ἀρετὰν καὶ τὰν φορὰν ποττὰν ἀρετὰν αὐτὰ ἀμπέχει, τῷ καὶ φύσιας ἀγαθὰς γεννᾶσθαι κατταύταν· καὶ ἤθεα δὲ καὶ ἐπιταδεύματα καὶ νόμως εἶμεν τὼς ἀρίστως, ἔτι δὲ λόγως ὀρθογνώμονας, καὶ εὐσέβειαν δὲ καὶ ὁσιότητα ποτὶ τὰ τιμιώτατα. ὥστε τῷ μέλλοντι εὐδαιμονήσειν καὶ ὀρθόπλοον ἔξειν τὸν αὐτῷ βίον, εὐνομίας ὑπαρχούσας καὶ διαπερᾶσαι δεῖ καὶ διελθεῖν αὐτὸν ἀνομίαν καταλιπόντα. ἅμα δὲ καὶ ἀνάγκαν ἐπεμφέρει ὁ λόγος τοῖσιν ἔμπροσθεν εἰρημένοις. ὁ γὰρ ἄνθρωπος κοινωνίας μέρος ἐστί· καὶ σὺν τούτοις ὁλόκλαρος γίνεται καττὸν αὐτὸν λόγον, σὺν τῷ μὴ μόνον κοινωνὲν ἀλλὰ καὶ καλῶς κοινωνέν. ἁ μὲν γὰρ ἐν πλείοσιν, ἀλλ’ οὐκ ἐν ἑνὶ πέφυκε γίγνεσθαι· ἁ δὲ ἐν ἑνὶ μέν, οὐ μὰν ἔτι ἐν πλείοσιν· ἁ δὲ καὶ ἐν πλείοσι καὶ ἐν ἑνί, καὶ διὰ τοῦτο ἐν ἑνὶ ὅτι καὶ ἐν πλείοσιν. ἁρμονία μὲν γὰρ καὶ συμφωνία καὶ ἀριθμὸς ἐν πλείοσιν ἐγγίγνεσθαι πέφυκεν· οὐδὲν γὰρ αὔταρκες, ὃ τούτων τῶν μορίων ποιεῖ τὸ ὅλον· ὀξυακοΐα δὲ καὶ ὀξυδορκία καὶ ποδῶν ὠκύτας ἐν ἑνὶ μόνον, εὐδαιμονία δὲ καὶ ἀρετὰ ψυχᾶς καὶ ἐν ἑνὶ καὶ ἐν πλείοσι καὶ μασις καὶ τὸ καθ’ ἓν ἕκαστον διακεκόσμακεν καὶ ἁ καθ’ ἕκαστον δὲ διακόσμασις τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλήρωκε. τοῦτο βοᾷ ἀκολουθεῖ διὰ τὸ τᾷ φύσει πρᾶτον εἶμεν τὸ ὅλον τῶ μέρεος, ἀλλ’ οὐ τὸ μέρος τῶ ὅλω. αἴτε γὰρ μὴ ἦν ὁ κόσμος, οὐδ’ ἂν ὁ ἅλιος ἦν, οὐδ’ ἁ σελάνα, οὐδ’ οἱ πλάνατες ἀστέρες, οὐδ’ οἱ ἀπλανέες· ἐόντος δέ γα τῶ κόσμω, καὶ τούτων ἕκαστόν ἐστιν. ἴδοι δὲ κα τοῦτό [ἄν] τις καὶ ἐπ’ αὐτᾶς τᾶς τῶν ζώων φύσιος. αἴτε γὰρ μὴ ἦν ζῷον, οὐδ’ ὀφθαλμός, οὐδ’ ἂν στόμα, οὐδ’ ἂν ἀκοά· ἐόντος δέ γα ζώω, καὶ τούτων ἕκαστόν ἐστιν. ὡς δὲ ἔχει τὸ ὅλον ποτὶ τὸ μέρος, οὕτω καὶ ἁ τῶ ὅλω ἀρετὰ ποτὶ τὰν τῶ μέρεος. μὴ ὑπαρχούσας γὰρ ἁρμονίας καὶ ἐπόψιος θείας περὶ τὸν κόσμον, οὗ κα ἐδύνατο συνεῖμεν ἔτι καλῶς ἔχοντα τὰ ἐγκεκοσμαμένα· μὴ ὑπαρχούσας δ’ εὐνομίας περὶ τὰς πόλιας, οὗ κα δύναιτό τις ἀγαθὸς ἢ εὐδαίμων πολίτας ἦμεν· μὴ ὑπαρχούσας δ’ ὑγιείας περὶ τὸ ζῷον, οὗ κα δύναιτο ποὺς ἢ χεὶρ σθεναρά τε καὶ ὑγιειποτὶ τὸ ὅλον καὶ τὸ πᾶν. ὀφθαλμοί τε γὰρ ὁρῶντι ὑπὲρ τῶ παντὸς σώματος, καὶ τἄλλα δὲ μόριά τε καὶ μέρεα ὑπὲρ τῶ ὅλω καὶ τῶ παντὸς συντέτακται. Εὐρυφάμου Πυθαγορείου Περὶ βίου. Βίος ἀνθρώπω τέλῃος θεῶ μὲν λείπεται τῷ μὴ αὐτοτελὴς ἦμεν, ἀλόγων δὲ ζώων καθυπερέχει τῷ ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρος ἦμεν. οὔτε γὰρ ὁ θεὸς τᾶς ἔξωθεν αἰτίας ποτιδεής ἐστιν, φύσει γὰρ ἀγαθὸς ἐὼν καὶ φύσει εὐδαίμων ἐξ αὐταυτῶ τέλῃός ἐστι· οὔτε τῶν ἀλόγων ζώων οὐδὲν … λόγω γὰρ ἄμοιρα ἐόντα καὶ τᾶς ἐς τὰς πράξιας ἐπιστάμας ἄμοιρά ἐστιν. ἀνθρώπω δὲ φύσις τὰ μὲν 〈τᾶσ〉 ἐκ τᾶς ἰδίας προαιρέσιος τὰ δὲ καὶ τᾶς ἐκ τῶ θῄω γινομένας ἐπικουρήσιος ποτιδεής ἐστι. τὸ μὲν γὰρ λόγω τυπωτικὸς ἦμεν καὶ καλῶν καὶ αἰσχρῶν νοητικός, καὶ τὸ ὀρθὸς ἀπὸ γᾶς ἀνακεκλίσθαι καὶ ἐς τὸν οὐραδὲ βούλησιν ἔχεν καὶ προαίρεσιν καὶ ἀρχὰν ἐν αὐταυτῷ τοιαύταν, καθ’ ἃν κύριος οὗτός ἐστι καὶ ἀρετὰν ἐπιταδεῦσαι καὶ κακίαν ζαλῶσαι καὶ θεοῖς ὀπαδῆσαι καὶ ἀπὸ θεῶν ἀποτραπῆμεν, ταῦτα δὲ καὶ καθ’ αὐτὸν κινέεσθαι δυνατός ἐστι. διὸ καὶ ψόγων καὶ ἐπαίνων καὶ τιμᾶς καὶ ἀτιμίας τὰ μὲν ἐκ τᾶς τῶν θεῶν τὰ δὲ καὶ ἐκ τᾶς τῶν ἀνθρώπων τυγχάνοντί τοι, ἤτοι ἀρετὰν ἢ κακίαν ζαλώσαντες. ἔχει γὰρ οὕτως ὁ σύμπας λόγος· τὸ θῆον ἄνθρωπον πολυφρονέστατον ζῷον ἐς τὸν κόσμον ἐσῴκισεν, ἀντίμιμον μὲν τᾶς ἰδίας φύσιος, ὀφθαλμὸν δὲ τᾶς τῶν ἐόντων διακοσμάσιος· διὸ καὶ ὀνύματα μὲν ἔθηκε τοῖς πράγμασι, χαρακτῆρι αὐτῶν ἑπόμενος, ἀνεύρετο δὲ καὶ γράμματα, θησαυροὺς τᾷ μνάμᾳ παρασκευασάμενος, ἐμιμάσατο δὲ καὶ τὰν τῶ παντὸς διακόσμασιν, δίκαις τε καὶ νόμοις κοινωνίαν πολίων συναρμοξάμενος. οὐθὲν γὰρ οὕτω κοσμοπρεπὲς καὶ θεῶν ἄξιον ἔργον ἀνθρώποις πέπρακται, ὡς πόλιος εὐνομουμένας συναρμογὰ καὶ νόμων καὶ πολιτείας διακόσμασις. εἷς γὰρ ἕκαστος ἄνθρωπος αὐτὸς καθ’ αὐτὸν οὐδεὶς ἐὼν οὔτε ποττὸ ζῆν … ὁμοφροσύνᾳ ξυνᾷ καὶ ξυναρμογᾷ πολιτείας καὶ αὐτὸς καθ’ αὐτὸν ἱκανὸς γέγονε καὶ ποττὸ

ὅλον καὶ τὸ τέλῃον σύσταμα τᾶς κοινωνίας εὐσυνάρμοστος. ἀνθρώπω γὰρ ὁ βίος λύρας ἐξακριβωμένας καὶ κατὰ πᾶν ἐπιτελέος ἐάσσας εἰκών ἐστι· λύρα τε γὰρ πᾶσα χρῄζει τριῶν τούτων τυχέν, ἐξαρτύσιος, συναρμογᾶς, ἐπαφᾶς τινος μωσικᾶς. ἐξάρτυσις μὲν ὦν ἐστιν ἁ τῶν οἰκῄων μερέων τῶ σώματος παρασκευὰ πάντων, λέγω δὲ τᾶν χορδᾶν καὶ τῶν ὀργάνων τῶν ποτ' εὐφωνίαν καὶ πλαγὰν ἐπισυνεργούντων· συναρμογὰ δὲ ἁ ποτ' ἀλλάλως σύγκρασις τῶν φθόγγων· ἐπαφὰ δὲ μωσικὰ ἁ κατὰ συναρμογὰν κίνησις ἤδη τούτων· οὕτως ὦν καὶ βίος ἀνθρώπω χρῄζει τριῶν τούτων τυχέν. ἐξάρτυσις μὲν ἁ τῶν τῶ βίω μερέων ἐστὶ συμπλάρωσις· βίω δὲ μέρεα τά τε σώματος ἀγαθὰ καὶ τὰ τῶν χρημάτων καὶ τὰ τᾶς δόξας καὶ τὰ τῶν φίλων· συναρμογὰ δὲ ἁ ποτ' ἀρετὰν καὶ νόμως τούτων σύνταξις· ἐπαφὰ δὲ μωσικὰ ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύγκρασις, ὀρθοπλοουμένας τᾶς ἀρετᾶς καὶ μηθὲν ἔξωθεν ἀντιπῖπτον ἐχούσας αὐτᾷ. οὐ γὰρ ἐν τῷ ἀπερύκεσθαι τᾶς προθέσιος τῶν ἑκουσίων σκοτὰν ἀρετάν, ἀλλ' ἐν τῷ συμπλαροῦσθαι ταῖς οἰκῄαις δυνάμεσι ποτὶ τὰς πράξιας. οὐ γὰρ αὐτοτελής ἐστιν ὁ ἄνθρωπος, ἀλλ' ἀτελής· τέλῃος δὲ γινόμενος ἃ μὲν παρ' αὐτὸν ἃ δὲ καὶ παρὰ τὰν ἔξωθεν αἰτίαν· καὶ τέλῃος ἤτοι καττὰν φύσιν ἢ καττὸν βίον· καὶ κατὰ μὲν τὰν φύσιν, αἴκα ἀγαθὸς γένηται· ἁ γὰρ ἑκάστω ἀρετὰ ἀκρότας καὶ τελῄότας ἐστὶ τᾶς ἑκάστω φύσιος· οἷον ἁ μὲν τῶν ὀφθαλμῶν 〈τᾶς τῶν ὀφθαλμῶν〉 φύσιος ἀκρότας καὶ τελῄότας, ἁ δὲ τῶν οὐάτων τᾶς τῶν οὐάτων· οὕτω δὲ καὶ τῶ ἀνθρώπω ἁ ἀρετὰ ἀκρότας ἐστὶ καὶ τελῄότας τᾶς 〈τῶ〉 ἀνθρώπω φύσιος· τέλῃος δὲ καττὸν βίον, αἴκα εὐδαίμων γένηται· ἁ γὰρ εὐδαιμονία τελῄότας καὶ συμπλάρωσίς ἐστι τῶν ἀνθρωπίνων ἀγαθῶν. διὸ πάλιν ἀρετὰ καὶ εὐτυχία μέρεα γίγνονται τῶ ἅπαντος βίω, τᾶς μὲν ἀρετᾶς τῶν δὲ συναμφοτέρων αὐτῶν ὡς ζῴω. τὸ μὲν γὰρ χρέεσθαι καλῶς αὐτὸν ἔστι τοῖς κατὰ φύσιν ἀγαθοῖς, τὸ δὲ τὰν χρᾶσιν ἐμπαρέχεν· καὶ χρέεσθαι μὲν ἀρετά, χρᾶσιν δ' ἐμπαρέχεν εὐτυχία· καὶ ἁ μὲν τὰν προαίρεσιν καὶ τὸν λόγον ὀρθὸν παρέχεσθαι, ἁ δὲ τὰς ἐνεργείας καὶ τὰς πράξιας. τὸ μὲν γὰρ βουληθῆμεν τὰ καλὰ καὶ ὑποστᾶμεν τὰ δεινὰ τᾶς ἀρετᾶς οἰκῇόν ἐστι, τὸ δ' ὀρθοπλοῆσαι τὰς προαιρέσιας καὶ ἐπὶ τέλος ἐλθὲν τὰς πράξιας τᾶς εὐτυχίας. ἐνίκασε γὰρ ὁ στραταγὸς καὶ σὺν τἀρετᾷ καὶ σὺν τᾷ εὐτυχίᾳ, καὶ εὐπλόησεν ὁ κυβερνάτας καὶ σὺν τᾷ τέχνᾳ καὶ σὺν τοῖς οὐρίοις πνεύμασιν, καὶ εἶδεν ὁ ὀφθαλμὸς καλῶς καὶ σὺν τᾷ ὀξυδερκίᾳ καὶ σὺν τῷ φάει. καὶ ἄριστος ὁ βίος ὁ τῶν ἀνθρώπων ἐγένετο καὶ διὰ τὰν ἀρετὰν αὐτὰν καὶ διὰ τὰν εὐτυχίαν. Ἐκ τῆς Διδύμου Ἐπιτομῆς (cf. Didymi Ch. fr. p. 405 Schm.). Τὴν δ' εὐδαιμονίαν ἐκ τῶν καλῶν γίνεσθαι καὶ προηγουμένων πράξεων. διὸ καὶ δι' ὅλων εἶναι καλήν, καθάπερ καὶ τὴν ἐν τοῖς ἄλλοις ἐνέργειαν δι' ὅλων ἔντεχνον. οὐ γὰρ ἐκβιβάζειν τὴν παράληψιν τῶν ὑλικῶν ἀρχῶν τῆς εἰλικρινείας τοῦ καλοῦ τὴν εὐδαιμονίαν, ὡς οὐδὲ τὴν τῆς ἰατρικῆς ἔντεχνον δι' ὅλων ἐνέργειαν τὴν τῶν ὀργάνων χρῆσιν· πᾶσαν μὲν γὰρ πρᾶξιν ἐνέργειαν εἶναί τινα ψυχῆς. ἐπεὶ δ' ὁ πράττων συγχρῆταί τισι πρὸς τὴν τελειότητα τῆς προθέσεως, μέρη ταῦτα χρὴ νομίζειν τῆς ἐνεργείας· καίτοι γε ἐπιζητούσης ἑκατέρας τῶν εἰρημένων ἑκάτερον, οὐ μὴν ὡς μέρος, ὡς δὲ ποιητικὸν τῆς τέχνης. τὰ γὰρ ὧν ἄνευ πράττειν ὁτιοῦν ἀδύνατον μέρη τῆς ἐνεργείας λέγειν, οὐκ ὀρθόν. τὸ μὲν γὰρ μέρος ἐπινοεῖσθαι κατὰ τὸ συμπληρωτικὸν τοῦ ὅλου· τὰ δ' ὧν οὐκ ἄνευ κατὰ τὸ ποιητικόν, τῷ φέρειν καὶ συνεργεῖν εἰς τὸ τέλος. Πλάτωνος ἐκ τοῦ Εὐθυδήμου (p. 280 E). Ἆρ' οὖν, ὦ Κλεινία, ἤδη τοῦτο ἱκανὸν πρὸς 〈τὸ〉 εὐδαιμονίαν ποιῆσαί τινα, τό τε κεκτῆσθαι τὰ ἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς; Ἔμοιγε δοκεῖ. Πότερον, ἦν δ' ἐγώ, ἐὰν ὀρθῶς χρῆταί τις ἢ καὶ ἐὰν μή; Ἐὰν ὀρθῶς. Καλῶς γε, ἦν δ' ἐγώ, λέγεις. πλέον γάρ που οἶμαι θάτερόν ἐστιν, ἄν τις χρῆται μὴ ὀρθῶς ὁτῳοῦν πράγματι ἢ ἐὰν ἐᾷ· τὸ μὲν γὰρ κακόν, τὸ δ' οὔτε κακὸν οὔτ' ἀγαθόν. Πλάτωνος Νόμων η′ (p. 829 A). Τοῖς δὲ εὐδαιμόνως ζῶσιν ὑπάρχειν ἀνάγκη πρῶτον τὸ μήτε ἀδικεῖν ἄλλους μήτε ὑφ' ἑτέρων αὐτοὺς ἀδικεῖσθαι. τούτοιν δὲ τὸ μὲν οὐ πάνυ χαλεπόν, τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν παγχάλεπον, καὶ οὐκ ἔστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμήρου (Il. XXII 60 ss.). Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ δύῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ᾽ ἐπιδόντα, υἷάς τ᾽ ὀλλυμένους ἑλκηθείσας τε θύγατρας, καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα βαλλόμενα προτὶ ἄστυ ἐν αἰνῇ δηιοτῆτι. Μενάνδρου Ὑδρίας (fr. 467 K.). Γέροντα δυστυχοῦντα τῶν θ᾽ αὑτοῦ κακῶν ἐπαγόμενον λήθην ἀνέμνησας πάλιν ἐπὶ τἀτυχεῖν τ᾽ ἤγειρας. Σοφοκλέους Ναυπλίου (fr. 401 N. 2). Τῷ γὰρ κακῶς πράσσοντι μυρία μία νύξ ἐστιν, εὖ παθόντα ἡ ᾽τέρα θανεῖν. Εὐριπίδου (Herc. 1291 ss.). Κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ αἱ μεταβολαὶ λυπηρόν· ᾧ δ᾽ αἰεὶ κακῶς ἔστ᾽, οὐδὲν ἀλγεῖ συγγενῶς δύστηνος ὤν. Μενάνδρου Παρακαταθήκης (fr. 380 K.). Εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει. τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί. Ἄμφιδος ἐξ Ἀμπελουργοῦ (fr. 4 K.). Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, ἥκιστα τούτοις πλησιάζων ἥδεται. Μενάνδρου Ἐγχειριδίου (fr. 149 K.). Οὐχ ὅθεν ἂν ᾠμην ἠτύχηκα· πάντα δὲ τὰ μηδὲ προσδοκώμεν᾽ ἔκστασιν φέρει. Εὐριπίδου Ἀντιγόνης (fr. 169 N. 2). Ὁμήρου Ἰλιάδος τ′ (290). Ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί. Εὐριπίδου Αἰόλου (fr. 35 N. 2). Ἀεὶ τὸ μὲν ζῇ, τὸ δὲ μεθίσταται κακόν, τὸ δ᾽ ἐκπέφηνεν αὖτις ἐξ ἀρχῆς νέον. Φιλήτα Δήμητρος (fr. 3 Bergk). Νῦν δ᾽ αἰεὶ πέσσω· τὸ δ᾽ ἀέξεται ἄλλο νεωρὲς πῆμα, κακοῦ δ᾽ οὔπω γίνεται ἡσυχίη. Τοῦ αὐτοῦ (fr. 5 p. 37 Bach). Ἦ μὲν δὴ πελάγεσσι πεφύρησαι χαλεποῖσι, θυμέ, γαληναίῃ δ᾽ ἐπιμίσγεαι οὐδ᾽ ὅσον ὅσσον, ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνῖαι τετρήχασιν. Μενάνδρου Ἥρωι (fr. 211 K. fr. 4 Koerte). Ὡς οἰκτρόν, ἢ τὰ τοιαῦτα δυστυχῶ μόνη, ἃ μηδὲ πιθανὰς τὰς ὑπερβολὰς ἔχει. Μενάνδρου (Eur. Androm. 330 s.). Ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὐτυχεῖν, τὰ δ᾽ ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι. Φιλήτου (fr. 9 Bergk). Τῷ οὔ μοι πολέων γαίης ὕπερ οὐδὲ θαλάσσης ἐκ Διὸς ὡραίων ἐρχομένων ἐτέων. οὐδ᾽ ἀπὸ μοῖρα κακῶν μελέῳ φέρει, ἀλλὰ μένουσιν ἔμπεδ᾽ ἀεί, καὶ τοῖς ἄλλα προσαυξάνεται. Διφίλου (fr. 107 K.). Ὥσπερ κυαθίζους᾽ ἐνίοθ᾽ ἡμῖν ἡ τύχη ἓν ἀγαθὸν ὑποχέασα τρί᾽ ἐπαντλεῖ κακά. Γαΐου Κατὰ Ἀρτεμισίου παιδοφθορίας. Τὸ μὲν ἀδικεῖσθαι καὶ πᾶν ὁτιοῦν δεινόν ἐστι· τὸ δὲ καὶ τῶν τοιούτων τι παθεῖν, ἃ μηδὲ εἰπεῖν ὁ πεπονθὼς δύναται σαφῶς, δυστυχίας ὑπερβολὴν οὐκ ἔχει. Ἐν ταὐτῷ. Ὅρα δὴ τὸ τῆς κατηγορίας δύσκολον· ἐν ᾗ καὶ τὸ εἰπεῖν ἀδύνατον, αἰσχρὸν γάρ, καὶ τὸ σιωπῆσαι χαλεπώτερον· πῶς γὰρ ἂν δύναιτό τις ἄνευ λόγου δηλῶσαι τὰ πεπραγμένα; Ἀντιφῶντος (fr. 54 Diels 2). Ὅτῳ γὰρ ὁ θεὸς μὴ παντελῶς βούλεται ἀγαθὰ διδόναι ἀνδρί, χρημάτων πλοῦτον παρασχών, τοῦ καλῶς φρονεῖν 〈δὲ〉 πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος ἀμφοτέρων ἀπεστέρησεν. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Οὔτε τὸν ἀρρωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία. Δημοκρίτου (fr. 287 Diels 2). Ἀπορίη ξυνὴ τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης. (Eiusd. fr. 288 Diels 2) Νόσος οἴκου καὶ βίου γίνεται ὅκως περ καὶ σκήνεος. Γαΐου ὑπὲρ Παύλου παιδὸς ἰδίου ἐν μανίᾳ ἀνῃρημένου. Ἔοικε δὲ ὁ βάσκανος δαίμων φιλοτιμότατος εἶναι πρὸς τὰς παραδόξους συμφοράς. ἔστηκέ σοι παιδοφόνος πατήρ, τὴν μὲν χεῖρα μιαρώτατος τὴν δὲ ψυχὴν καθαρώτατος, μανίᾳ διακονησάμενος τὴν συμφοράν. (Heraclit. fr. 119 Diels 2) Ἡράκλειτος ἔφη ὡς ἦθος ἀνθρώπῳ δαίμων. Ξενοκράτους. Ξενοκράτης ἔλεγεν· ὡς τὸ κακοπρόσωπον αἴσχει προσώπου, καὶ μοχθηρίᾳ τινὶ μορφῆς τὸ δύσμορφον, οὕτω δαίμονος κακίᾳ τοὺς πονηροὺς κακοδαίμονας ὀνομάζομεν. Πλάτωνος ἐκ τοῦ Γοργίου (p. 470 C—471 A). Ἀλλὰ μήν, ὦ Σώκρατες, οὐδέν γέ 〈σ〉ε δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν. τὰ γὰρ χθὲς καὶ πρώην γεγονότα ἀδικοῦντες ἄνθρωποι εὐδαίμονές εἰσι. — Τὰ ποῖα ταῦτα; — Ἀρχέλαον δήπου τοῦτον τὸν Περδίκκου ὁρᾷς ἄρχοντα Μακεδονίας; — Εἰ δὲ μή, ἀλλ᾽ ἀκούω γε. — Εὐδαίμων οὖν σοι δοκεῖ εἶναι ἢ ἄθλιος; — Οὐκ οἶδα, ὦ Πῶλε, οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί. — Τί δαί; συγγενόμενος ἂν γνοίης, ἄλλως δὲ αὐτόθεν οὐ γιγνώσκεις, ὅτι εὐδαιμονεῖ; — Μὰ Δί᾽, οὐ δῆτα. — Δῆλον δή, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γιγνώσκειν φήσεις εὐδαίμονα ὄντα. — Καὶ ἀληθῆ γε ἐρῶ· οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης. τὸν μὲν γὰρ καλὸν κἀγαθὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνδρα καὶ γυναῖκα εὐδαίμονας εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. — Ἄθλιος ἄρα οὗτός ἐστιν ὁ Ἀρχέλαος κατὰ τὸν σὸν λόγον; — Εἴπερ γε, ὦ φίλε, ἄδικος. Ἐν ταὐτῷ (p. 472 E). Κατά γε τὴν ἐμὴν δόξαν, ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν, ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ

4.41 Εὐριπίδου Ἰνοῦς (fr. 420 N. 2). Ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω. ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε, Διονυσίου τυράννου ἐκ Λήδας (fr. 3 p. 794 N. 2). Θνητῶν δὲ μηδεὶς μηδέν' ὄλβιόν ποτε κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ· ἐν ἀσφαλεῖ γὰρ τὸν θανόντ' ἐπαινέσαι. Σοφοκλέους Τυνδάρεως (fr. 588 N. 2). Οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας ἀνδρός, πρὶν αὐτῷ παντελῶς ἤδη βίος διεκπερανθῇ καὶ τελευτήσῃ βίον. ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις, Ἀλέξιδος ἐκ Βρεττίας (fr. 34 K.). Τοιοῦτο τὸ ζῆν ἐστιν ὥσπερ οἱ κύβοι· οὐ ταὐτ' ἀεὶ πίπτουσιν, οὐδὲ τῷ βίῳ ταὐτὸν διαμένει σχῆμα, μεταβολὰς δ' ἔχει. Διφίλου ἐκ Ζωγράφου (fr. 45 K.). Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθος, ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα. Εὐριπίδου Ἰφιγενείας ἐν Αὐλίδι (28). Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως· Ἀγάμεμνον Ἀτρεῦ. δεῖ δέ σε χαίρειν κἂν μὴ σὺ θέλῃς, τὰ θεῶν οὕτω νενόμισται οὐκ ἐπὶ πᾶσιν ἔφυς ἀγαθοῖς. καὶ λυπεῖσθαι, θνητὸς γὰρ ἔφυς. Σιμωνίδου (Semonidis fr. 4 B. 4). Πάμπαν δ' ἄμωμος οὔτις οὐδ' ἀκήριος. Εὐριπίδου (fr. 1073 N. 2). Οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα ἕξειν τὸν αὐτὸν δαίμον' εἰς ἀεὶ δοκεῖν. ὁ γὰρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν, κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί. θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ' ὑπέρφρονες καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι ἔλεγχον ἔλαβον τῆς τύχης ἐν τῷ παθεῖν. Σιμωνίδου Θρήνων (fr. 32 B. 4). Ἄνθρωπος ἐὼν μήποτε φήσῃς ὅ τι γίνεται, μηδ' ἄνδρα ἰδὼν 〈ὄλβιον〉 ὅσσον χρόνον ἔσσεται· ὠκεῖα γὰρ οὐδὲ τανυπτερύγου μυίας οὕτως ἀ μετάστασις. Μενάνδρου (fr. 325 K.). Εὕροις δ' ἂν οὐθὲν τῶν ἁπάντων, [ὦ] Δημέα, ἀγαθόν, ἐν ᾧ τι μὴ πρόσεστι καὶ κακόν. Εὐριπίδου ἐξ Ἀντιόπης (fr. 196 N. 2). Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος· οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ, εὐδαιμονεῖ τε καὐθις οὐκ εὐδαιμονεῖ. τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι; Εὐριπίδου Βελλεροφόντου (fr. 304 N. 2). Ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς; θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ βένθος ἅλιον ἰθύνουσι· τύχας δὲ θνητῶν τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος μεθίστησιν, τὸ δὲ μεῖον αὔξων. Εὐριπίδου ἐκ Χρυσίππου (fr. 843 N. 2). Ὦ δέσποτ', οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς. Εὐριπίδου Ἀνδρομάχης (100—103). Χρὴ δ' οὔ ποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν, πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς Εὐριπίδου ἐξ Αὐγῆς (fr. 273 N. 2). Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον, ἢ καὶ παραυτίκ' ἢ χρόνῳ δαίμων βίον ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ. Εὐριπίδου Σκύριοι (fr. 684 N. 2). Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι. οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς, καὶ πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον οὕτω δικαίως ζῶσιν αἰσχύνης ἄτερ. Εὐριπίδου Ἀνδρομέδας (fr. 153 N. 2). ΧΟΡ. Ὁ μὲν ὄλβιος ἦν, τὸ δ' ἀπέκρυψεν θεὸς ἐκ κείνων τῶν ποτε λαμπρῶν· νεύει βίοτος, νεύει δὲ τύχα κατὰ πνεῦμ' ἀνέμων. Εὐριπίδου Ἱκετίσιν (267—70). Μὴ δῆτ'· ἔχει τοι καταφυγὴν καὶ θηρία, δοῦλος δὲ βωμὸν θεῶν, 〈πόλις δὲ πρὸς πόλιν〉 ἔπτηξε χειμασθεῖσα. τῶν γὰρ ἐν βροτοῖς οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν. Εὐριπίδου Ἰνοῖ (fr. 415 N. 2). Ἄνασσα, πολλοῖς ἐστιν ἀνθρώπων κακά, τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν. κύκλῳ γὰρ ἕρπει καρπίμοις τε γῆς φυτοῖς θνητῶν τε γενεᾷ. τῶν μὲν αὔξεται βίος, τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν. Εὐριπίδου Ἑκάβης (282—85). τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο. Σοφοκλέους ἐν Τυροῖ (fr. 601 N. 2). Μήπω μέγαν εἴπῃς πρὶν τελευτήσαντ' ἴδῃς. Μοσχίωνος (fr. 9 p. 816 N. 2). Σὺν αἶσι δόξῃ πρόσθε καὶ γένει μέγας Ἄργους δυνάστης, λιτὸς ἐκ τυραννικῶν

θρόνων, προσίκτην θάλλον ἠγκαλισμένος ἔστειχεν εἰς γῆν ὄμμα συμπαθὲς φέρων καὶ πᾶσι δεικνὺς ὡς τὰ λαμπρὰ τῆς τύχης τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει. ὃν πᾶς μὲν ἀστῶν ἠλέησεν εἰσιδών, ὤρεξε κανθούς τ' ἐξέτηξε δακρύοις τύχαις συναλγῶν· τἀξίωμα γὰρ νοσοῦν τὸ πρόσθε πολλοῖς οἶκτον ἐμποιεῖ βροτῶν. Μενάνδρου Πλοκίων Θαΐδος (fr. 407 K.). Ὡς, Παρμένων, οὐκ ἔστιν ἀγαθὸν τῷ βίῳ φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς, ἀλλ' ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν, ἐκ τοῦ κακοῦ τ' ἤνεγκεν ἀγαθὸν ἡ φύσις. Ἀρχιλόχου (fr. 56 B.). Τοῖς θεοῖς τιθεῖν ἅπαντα· πολλάκις μὲν ἐκ κακῶν ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί, πολλάκις δ' ἀνατρέπουσι καὶ μάλ' εὖ βεβηκότας ὑπτίους κλίνους'· ἔπειτα πολλὰ γίγνεται κακά ... Θεοδέκτου (fr. 16 p. 806 N. 2). Πολυσπερὴς μέν, ὦ γέρον, καθ' Ἑλλάδα φήμη πλανᾶται καὶ διέγνωσται πάλαι, τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας. Εὐριπίδου Κρήσσαις. *** (Eur. Heraclid. 865 s.). Τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦτε, πρὶν θανόντ' ἴδῃ τις, ὡς ἐφήμεροι τύχαι. Ἀλέξιδος (fr. 288 K.). Κἂν εὐτυχῇ τις, ὡς ἔοικε, προσδοκᾶν ἀεί τι δεῖ, καὶ μή τι πιστεύειν τύχῃ. Μενάνδρου Γεωργῷ (fr. 94 K.). Ὁ δ' ἠδικηκώς, ὅστις ἔσθ' οὗτός ποτε, τὴν ὑμετέραν πενίαν κακοδαίμων ἔσθ', ὅτι τοῦτ' ἠδίκηκεν, οὗ τυχὸν μεταλήψεται. εἰ καὶ σφόδρ' εὐπορεῖ γάρ, ἀβεβαίως τρυφᾷ· τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ. Κλειτομάχου. Τοῖς εὐπλοοῦσιν ἀντιπνεύσας' ἡ τύχη ἅπαντα συγχεῖ, κᾆτα ναυαγεῖν ποιεῖ, τὰ τῇ φρονήσει καὶ τοῖς λογισμοῖς ὀρθῶς ἐκπεπονῆσθαι δοκοῦντα πρὸς τὸ καλῶς ζῆν. Βάθωνος ἐξ Αἰτωλοῦ (fr. 1 Com. III p. 326 K.). Ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ τέρας ἐστίν, εἴ τις εὐτύχηκε διὰ βίου. Εὐριπίδου Ἀρχελάου (fr. 262 N. 2). Πάλαι σκοποῦμαι τὰς τύχας τῶν βροτῶν ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ Εὐριπίδου Ἀνδρομέδας (fr. 150 N. 2). Οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν, ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει. Εὐριπίδου Ἀλεξάνδρου (fr. 45 N. 2). Ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ. Εὐριπίδου Ἑκάβης (805). Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον. Ἡσιόδου Ἔργων (825). Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ. Εὐριπίδου Ἑκάβης (956). Φεῦ· οὐκ ἔστιν οὐδὲν πιστόν, οὔτ' εὐδοξία Σοφοκλέους Αἴαντι (131—33). Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς. Σοφοκλέους (Trach. 1 ss.). Λόγος μὲν ἔστ' ἀρχαῖος ἀνθρώπων φανείς, ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν θάνῃ τις, οὔτ' εἰ χρηστὸς οὔτ' εἴ τῳ κακός. Τοῦ αὐτοῦ Τραχινίαις (296 s.). Ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε. Σοφοκλέους Φαίδρα (fr. 620 N. 2). Τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμῆσαι βροτῶν οὐκ ἔστιν ὄντως ὄντιν' εὑρήσεις ἕνα. Εὐριπίδου (fr. 1074 N. 2). Βέβαια δ' οὐδεὶς εὐτυχεῖ θνητὸς γεγώς. Σοφοκλέους Ἀλήτης (fr. 102 N. 2). Τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν ἢ σμικρὸν ἢ τὸν μηδαμοῦ τιμώμενον; οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει. Εὐριπίδου Ἱππολύτῳ (fr. 437 N. 2). Ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν. Εὐριπίδου Οἰδίποδος (554 N. 2). Πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης. Ἐν ταὐτῷ (fr. 549 N. 2). Ἀλλ' ἦμαρ 〈ἔν〉 τοι μεταβολὰς πολλὰς ἔχει. Εὐριπίδου Μελέαγρος (fr. 536 N. 2). Φεῦ· τὰ τῶν εὐδαιμονούντων ὡς ταχὺ στρέφει θεός. Διφίλου (fr. 109 K.). Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ. βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον. Νικοστράτου (fr. 28 K.). 'Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ'. νὴ τὴν Ἀθηνᾶν συντόμως γε, φίλτατε Εὐριπίδη, τὸν βίον ἔθηκας εἰς στίχον. Ἀπολλοδώρου (fr. 16 Com. III p. 293 K.). Οὐκ οἶδ' ὅτῳ πέποιθας· ἀργυρίῳ, πάτερ; ὃ καιρὸς ὁ τυχὼν τοῖς μὲν οὐ κεκτημένοις ἔδωκε, τῶν κεκτημένων δ' ἀφείλετο; Φιλήμονος (fr. 121 K.). Πολλάκις ἔχων τις οὐδὲ τἀναγκαῖα νῦν αὔριον ἐπλούτης', ὥστε χἀτέρους τρέφειν. ἅπαντα τἀκ τῆς οἰκίας ἀπώλεσεν. Τραγικὸν ἐπεισόδιον (Tr. adesp. 547 N. 2). Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ, οὐδ' ἀσφαλὲς πᾶν· ὕψος ἐν θνητῷ γένει, ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος, ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ. ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα, τῷ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης μέρει φέρεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μήτ’ ἐν ὑψηλῷ πάλιν. κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου, εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν. ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα. πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται, σφάλλει δ’ ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη. Ἰσοκράτους πρὸς Δημόνικον (§ 41 p. 11 a). Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ’ εὐτυχῶν ἔσῃ περιχαρὴς οὔτε δυστυχῶν περίλυπος. Ἡροδότου (I 207). Ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πρηγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ αἰεὶ τοὺς αὐτοὺς εὐτυχεῖν. Τοῦ αὐτοῦ (I 32). Πᾶν ἐστιν ἄνθρωπος συμφορή. Πυθέου. Εἰ δέ τις ὑπείληφε βεβαίως ἔχειν τὸν πλοῦτον καὶ οὐδέποτε προλείψειν αὐτόν, οὗτος ἔοικε τύχης καὶ παραδόξων πραγμάτων καταπεφρονηκέναι καὶ οὐκ εἰδέναι ὅτι πεπλανημένον τὸ εὖ πράττειν καὶ οὐκ ἀεὶ παρὰ τοῖς αὐτοῖς. Βίωνος. Βίων ἔφη ‘τὰ χρήματα τοῖς πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν‘. Ἐκ τῶν Πορφυρίου Περὶ Στυγός. Ἥ τε γὰρ αἴγειρος, ὡς φασὶν ἄλλοι τε καὶ Πλούταρχος, φιλοπενθὴς καὶ ἀτελὴς πρὸς καρποτογονίαν. διὸ καὶ Σοφοκλῆς ἔν τισι φησίν· οὐ χρή ποτ’ ἀνθρώπων μέγαν ὄλβον ἀποβλέψαι· τανυφλοίου γὰρ ἰσαμέριος ὅστις αἰγείρου βιοτὰν ἀποβάλλει. Σωκράτους. Ταὐτόν ἐστιν ἐπ’ εὐτυχίᾳ μέγα φρονεῖν καὶ ἐπὶ ὀλισ- Δημοκρίτου. Οὐκ ἔστιν οὕτως ἀσφαλὴς πλούτου πυλεών, ὃν οὐκ ἀνοίγει τύχης καιρός. Ἀπελλῆς. Ἀπελλῆς ὁ ζῳγράφος ἐρωτηθείς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, ‘οὐχ ἕστηκε γάρ‘ εἶπεν. Αἰσώπου. Αἴσωπος ἐρωτηθεὶς ὑπό τινος τῶν ἐν ἐξουσίᾳ, εἰ οἶδε τί πράττουσιν οἱ θεοί, ‘τὰ μὲν οἰκοδομοῦσιν‘ ἔφη ‘τὰ Φαβωρίνου (fr. 109 Marr.). Ἄνθρωπος ἐὼν μηδέποτε φῇς ὅ τι γίνεται αὔριον, μηδ’ ἄνδρα ἰδὼν ὄλβιον, ὅσσον χρόνον ἔσσεται· ἀλλὰ μηδὲ οἶκον· ὥσπερ ἀμέλει ὁ ποιητὴς διεξέρχεται τὴν τῶν Σκοπαδῶν ἀθρόαν ἀπώλειαν. ἤδη δὲ καὶ πόλεις παρ’ ὃ προσεδόκησαν ἀνάστατοι γεγόνασιν αἰφνίδιον, αἱ μὲν ὑπὸ πυρός, αἱ δ’ ὑπὸ σεισμοῦ, αἱ δὲ τῆς θαλάττης ἐπελθούσης. ποῦ μοι Ἑλίκη; κατεπόθη. ποῦ Βοῦρα; καὶ αὐτὴ κατεπόθη. δύο πόλεις Ἑλληνίδες ἀπώλοντο ὥσπερ πλέουσαι. Ἡροδότου ἱστορίας α′ (32). Κροῖσος δὲ σπερχθεὶς εἶπεν· Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδέν, ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμᾶς ἐποίησας; Ὁ δὲ Σόλων εἶπεν· Ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηίων πραγμάτων πέρι. ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν θημι. τουτέων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων ..., ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὅμοιον εἰσάγει πρῆγμα. οὕτω, ὦ Κροῖσε, πᾶν ἐστιν ἄνθρωπος συμφορή. ἐμοὶ δὲ καὶ σὺ πλουτέειν μὲν μέγα φαίνεαι καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων· ἐκεῖνο δέ, τὸ εἴρεό με, οὔκω σε λέγω, πρὶν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. οὐ γάρ τι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ’ ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστιν, εἰ μή οἱ τύχη ἐπίσποιτο ἔχοντα πάντα καλὰ τελευτῆσαι εὖ τὸν βίον. πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων ἄνολβοί εἰσι, πολλοὶ δὲ μετρίως ἔχοντες βίου εὐτυχέες. ὁ μὲν δὴ μέγα πλούσιος ἄνολβος δὲ δυοῖσι προέχει τοῦ εὐτυχέος μούνοισιν, οὗτος δὲ τοῦ πλουσίου καὶ ἀνόλβου πολλοῖσιν· ὁ μὲν ἐπιθυμίην ἐκτελέσαι καὶ ἄτην μεγάλην προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος, ὁ δὲ τοῖσδε προέχει ἐκείνου, ἄτην μὲν καὶ ἐπιθυμίην οὐχ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει, ἄπηρός ἐστιν, ἄνουσος, ἀπαθής, εὔπαις, εὐειδής. εἰ δὲ πρὸς τούτοισιν ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι· πρὶν δ’ ἂν τελευτήσῃ, ἐπισχεῖν, μηδὲ καλέειν κω ὄλβιον ἀλλ’ εὐτυχέα. τὰ πάντα μέν νυν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστιν, ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα, ἀλλ’ ἄλλο μὲν ἔχει, ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, αὕτη ἀρίστη. ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστιν. ὃς δ’ ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ’ ἐμοὶ τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐστι φέρεσθαι. σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῇ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε.

4.42

Εὐριπίδου Βελλεροφόντης (fr. 293 N. 2). Τιμῇ ς’ ἐπαίρει τῶν πέλας μεῖζον φρονεῖν. Θνήσκοιμ’ ἄν· οὐ γὰρ ἄξιον λεύσσειν φάος κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους. Εὐριπίδου Δικτύος (fr. 334 N. 2). Πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ, λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών. τὸ δ’ ἦν ἄρ’ οὐκ ἀκουστὸν οὐδ’ ἀνασχετόν, σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων. Μενάνδρου Θεοφορουμένης (fr. 223 K.). ἄνθρωπος, ἵππος· δὶς βιῶναι γάρ σε δεῖ· εἱμαρμένον τοῦτ’ ἐστίν, ὅ τι βούλει δ’ ἑλοῦ·‘ ἅπαντα μᾶλλον, εὐθὺς εἰπεῖν ἂν δοκῶ, πόει με πλὴν ἄνθρωπον· ἀδίκως εὐτυχεῖ κακῶς τε πράττει τοῦτο τὸ ζῷον μόνον. ὁ κράτιστος ἵππος ἐπιμελεστέραν ἔχει ἑτέρου θεραπείαν· ἀγαθὸς ἂν γένῃ κύων, ἐντιμότερος εἶ τοῦ κακοῦ κυνὸς πολύ. ἀλεκτρυὼν γενναῖος ἐν ἑτέρᾳ τροφῇ ἐστίν, ὁ δ’ ἀγεννὴς καὶ δέδιε τὸν κρείττονα. ἄνθρωπος ἂν ᾖ χρηστός, εὐγενής, σφόδρα γενναῖος, οὐδὲν ὄφελος ἐν τῷ νῦν γένει. πράττει δ’ ὁ κόλαξ ἄριστα πάντων, δεύτερα ὁ συκοφάντης, ὁ κακοήθης τρίτα λέγει. ὄνον γενέσθαι κρεῖττον ἢ τοὺς χείρονας ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον. Εὐριπίδου Οἰνεῖ (fr. 564 N. 2). Ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς, ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην δώσειν ἔδρασαν πάντ’ ἐφέντες ἡδονῇ. Θεόγνιδος (665 s.). Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα ἔσπετο, καὶ τιμῆς 〈καὶ〉 κακὸς ὢν ἔλαχεν. Τοῦ αὐτοῦ (865 ss.). Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον ἐσθλόν, ὃς .. αὐτῷ βέλτερος οὐδὲν ἐὼν οὐδὲ φίλοις· ἀρετῆς δὲ μέγα κλέος οὔ ποτ’ ὀλεῖται. αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ. Σοφοκλέους Ἀλήτης (fr. 103 N. 2). Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν 〈τ’〉 ἄπο βλαστόντας εἶτα τούσδε μὲν πράσσειν καλῶς, τοὺς δ’ ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἄμα γεγῶτας εἶτα δυστυχεῖς πεφυκέναι. οὐ χρῆν τάδ’ οὕτω δαίμονας θνητῶν πέρι δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν· κοὐδεὶς ἂν οὕτως εὐτύχει κακὸς γεγώς. Εὐριπίδου Ἱκετίδων (423 ss.). Ἦ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν, ὅταν πονηρὸς ἀξίωμ’ ἀνὴρ ἔχῃ γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν. Τοῦ αὐτοῦ Ἑλένῃ (1213). Ἐσθλῶν κακίους ἐνίοτ’ εὐτυχέστεροι. Εὐριπίδου Ἱκετίδων (463 s.). Φεῦ φεῦ· κακοῖσιν ὡς ὅταν δαίμων διδῷ καλῶς, ὑβρίζους’ ὡς ἀεὶ πράξοντες εὖ. Εὐριπίδου Τημενίσιν (fr. 738 N. 2). Πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχους’ ὅπως δείξουσιν αὐτοὺς τῶν κακῶν ἐξουσίᾳ. Δημοσθένους Ὀλυνθιακῶν α′ (p. 16). Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ Δημοσθένους Φιλιππικῶν (Ps.—Dem. XI p. 155). Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν· εἰ δέ τι πταίσει, τότ’ ἀκριβῶς διακαλυφθήσεται ταῦτα πάντα. Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Ἔοικεν ὁ βίος θεάτρῳ· διὸ πολλάκις χείριστοι τὸν

4.43 Μενάνδρου (fr. 670 K.). Οὐθέν με λυπεῖ μᾶλλον ἢ χρηστὸς τρόπος εἰς χαλεπὸν ὅταν ᾖ συγκεκλεισμένος βίον. Τοῦ αὐτοῦ (fr. 671 K.). Οἰκτρότατόν ἐστι πεῖραν ἐπὶ γήρως ὀδῷ ἀδίκου τύχης δίκαιος εἰληφὼς τρόπος. Ἀλέξιδος (fr. 287 K.). Οὐκ ἔσθ’ ὅπως ἔχουσιν αἱ τύχαι φρένας· οὐδεὶς γὰρ 〈ἂν〉 τοιοῦτος ἠτύχει ποτέ. Ἀντιφάνους (fr. 257 K.). Οἴμοι τάλας, ὡς ἄδικον, ὅταν ἡ μὲν τύχη λίπῃ τινὸς τὴν τάξιν, ὁ δὲ τρόπος μένῃ. Μενάνδρου (fr. 590 K.). Ὦ μεταβολαῖς χαίρουσα παντοίαις τύχη, σόν ἐστ’ ὄνειδος τοῦθ’, ὅταν οὗτος 〈ὢν〉 ἀνὴρ Εὐριπίδου Ἡρακλειδῶν (233 ss.). Τὴν δ’ εὐγένειαν τῆς τύχης νικωμένην νῦν δὴ μάλιστ’ ἐσεῖδον· οἵδε γὰρ πατρὸς ἐσθλοῦ γεγῶτες δυστυχοῦς’ ἀναξίως. Μενάνδρου Ὀλυνθιακῶν (fr. 356 K.). Ὡς ἄδικον, ὅταν ἡ μὲν φύσις ἀποδῷ τι σεμνόν, τοῦτο δ’ ἡ τύχη κακοῖ. Μενάνδρου (fr. 604 K.). Πολλοὺς δι’ ἀνάγκην γὰρ πονηροὺς οἶδ’ ἐγὼ ὅταν ἀτυχήσωσιν γεγονότας, οὐ φύσει ὄντας τοιούτους. Εὐσεβίου (fr. 59 Mull.). Πολλοὶ τῶν ἀνθρώπων, ἐπειδὰν δοκέωσι παρ’ ἀξίην πρήσσειν, δυσανασχετέοντες, ἔπειτα δεινολογεόμενοι πρὸς ἑωυτοὺς καὶ τοὺς πλησιάζοντας, τοιάδε διαλέγονται· ὁ μὲν γαμέει καὶ ἐξ οἴκων τῶν εὐδαιμόνων, ἐγὼ δὲ ἄγαμος· καὶ ὁ μὲν οἰκίην ἔχει μεγάλην καὶ οἰκοδομέει μεγαλοπρεπέως καὶ ἀγροὺς κέκτηται πολλούς, ἐγὼ δὲ ἀνίστιος καὶ ἀκτήμων· καὶ τῷ μὲν πάρα πολλὰ χρήματα, ἐμὲ δὲ ἀχρηματίη πᾶσα ἔχει· καὶ ὅδε μὲν καὶ ὅδε ἄρχουσι καὶ τετιμέαται, τὸ δὲ ἐμὸν ἐν ἰδιώτεω λόγῳ καὶ ἀτίμου. ῥήσουσιν ἑωυτοὺς ἄμεινον

πρήσσοντας· καὶ ὅτι οὐδεὶς ὑπὸ τῆς τοῦ πέλας εὐτυχίης τῆς ὀφειλομένης ἑωυτῷ εὐπρηγίης ἀποστερέεται. Ἡροδότου Ἱστορίας θ′ (16). Ξεῖνε, ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ· οὐδὲ γὰρ πιστὰ λέγουσι θέλει πείθεσθαι οὐδείς. ταῦτα δὲ Περσέων συχνοὶ ἐπιστάμενοι ἑπόμεθα ἀναγκαίῃ ἐνδεδεμένοι. ἐχθίστη δὲ ὀδύνη ἐστὶ τῶν

4.44 Φιλήμονος (fr. 73 K.). Εἰ τὰ δάκρυ' ἡμῶν τῶν κακῶν ἦν φάρμακον, ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο, ἠλλαττόμεσθ' ἂν δάκρυα δόντες χρυσίον. νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀποβλέπει, ἐάν τε κλαίῃς ἄν τε μή, πορεύεται. τί δὴ ποεῖς πλέον; οὐδέν· ἡ λύπη δ' ἔχει ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν τὸ δάκρυον. Τοῦ αὐτοῦ (fr. 135 K.). Ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὑπερβολὴν ἐπὶ τοῖς παροῦσιν, ἐν δὲ τῇ λύπῃ φρονῶ. τοῦτο 〈τό〉 με τηροῦν ἐστι κἄνθρωπον ποοῦν. Χαιρήμονος (fr. 37 N. 2). Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός. Εὐριπίδου Ἀντιγόνη (cf. Eur. fr. 174 N. 2). Μενάνδρου (fr. 812 K.). Πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν. Μενάνδρου (fr. 672 K.). Ἄνδρα τὸν ἀληθῶς εὐγενῆ καὶ τἀγαθὰ καὶ τὰ κακὰ δεῖ πταίοντα γενναίως φέρειν. Φιλήμονος ἐκ Κορινθίας (fr. 39 K.). Εἰ τὰ παρὰ τοῖς ἄλλοισιν εἰδείης κακά, ἄσμενος ἔχοις ἄν, Νικοφῶν, ἃ νῦν ἔχεις. Φιλήμονος Πτωχῆς ἢ Ῥοδίας (fr. 69 K.). Εἰ πάντες ἀποθανούμεθ' οἷς μὴ γίνεται ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα. Διφίλου Ἀδελφοῖς (fr. 4 K.). Ὦ μακάρι', ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο, ἵν' αὐτὰ τἀναγκαῖα δυστυχῇς μόνον, πλείω δὲ διὰ τὴν ἀμαθίαν μὴ προσλάβῃς. Φιλιππίδου Φιλαδέλφων (fr. 18 K.). Ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, δέσποτα, Εὐριπίδου μνήσθητι, καὶ ῥᾴων ἔσῃ· 'οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ'. εἶναι δ' ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα. Μενάνδρου Πλοκίῳ (fr. 410 K.). Ἀεὶ τὸ λυποῦν ἀποδίωκε τοῦ βίου· μικρόν τι τὸ βίου καὶ στενὸν ζῶμεν χρόνον. Εὐριπίδου Ὑψιπύλη (fr. 757 N. 2). εἰς γῆν φέροντες γῆν. ἀναγκαίως δ' ἔχει βίον θερίζειν ὥστε κάρπιμον στάχυν, καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν; Εὐριπίδου Ἡρακλεῖ (1349—50). Τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται θνητὸς πεφυκὼς ὃν τρόπον χρεὼν φέρειν, οὐδ' ἀνδρὸς ἂν δύναιθ' ὑποστῆναι βέλος. Εὐριπίδου Ἀντιγόνης (fr. 175 N. 2). Ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόφως φέρει τὸν δαίμον', οὗτος ἧσσόν ἐστ' ἀνόλβιος. Εὐριπίδου Τρῳάδων (101 s.). ΧΟΡ. Μεταβαλλομένου δαίμονος ἀνέχου. πλεῖ κατὰ πορθμόν, πλεῖ κατὰ δαίμονα. Βακχυλίδου Προσοδίων (fr. 11 Bl. 3). Εἷς ὅρος, μία βροτοῖσίν ἐστιν εὐτυχίας ὁδός, θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον. ὃς δὲ μυρία μὲν ἀμφιπολεῖ φρενί, τὸ δὲ πᾶν ἅμάρ τε καὶ νύκτα μελλόντων χάριν ἐὸν ἰάπτεται κέαρ, ἄκαρπον ἔχει πόνον. Πυθαγόρου (Aur. carm. 17—18 N.). Ὅσσα δὲ δαιμονίαισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν, ὧν ἂν μοῖραν ἔλῃς, ταύτην φέρε μηδ' ἀγανάκτει. Εὐριπίδου (fr. 1077 N. 2). Πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν· τὰς γὰρ παρούσας οὐχὶ σῴζοντες τύχας ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ. Ἀντιφάνους Ἡνιόχῳ (fr. 104 K.). Ἀνδρὸς διαφέρει τοῦτ' ἀνήρ· ὁ μὲν κακῶς πράττων τὸ λυποῦν ἤγαγ' εἰς παράστασιν, ὁ δ' ἐμφρόνως δεξάμενος ἤνεγκεν καλῶς. Σοφοκλῆς Θυέστῃ (fr. 237 N. 2). Ἔχει μὲν ἀλγείν', οἶδα· πειρᾶσθαι δὲ χρὴ ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν. ἐκ τῶν τοιούτων χρή τιν' ἴασιν λαβεῖν. Μενάνδρου Κανηφόρῳ (fr. 253 K.). Ἀλογίστου τρόπου ἀτύχημα φεύγειν ἐστὶν οὐκ αὐθαίρετον. Ἀντιφάνους (fr. 281 K.). Τὰ τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ. (Antiphanis fr. 278 K.) Τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναί μοι δοκεῖ, ἀνδρὸς δ' ἐνεγκεῖν ἀτυχίαν ὀρθοῦ τρόπου. Μενάνδρου (fr. 556 K.). Ἔνεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως. τοῦτ' ἔστιν ἀνδρὸς νοῦν ἔχοντος, οὐκ ἐὰν ἀνασπάσας τις τὰς ὀφρῦς οἴμοι λαλῇ, ἀλλ' ὃς τά 〈γ'〉 αὐτοῦ πράγματ' ἐγκρατῶς φέρει. Φιλήμονος (fr. 90 K.). Μείζω τὰ κακὰ ποιοῦσι πολλοί, δέσποτα, αὐτοὶ δι' αὑτοὺς ἢ πέφυκε τῇ φύσει. οἷον τέθνηκεν υἱὸς ἢ μήτηρ τινὶ ἢ νὴ Δί' ἄλλων τῶν ἀναγκαίων γέ τις, πρὸς τοῖς κακοῖς 〈ὁ τοι〉 οὗτος ἕτερα συλλέγει. ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει. Φιλήμονος (fr. 136 K.). Οὕτως ἄνανδρος γέγονας; οὐκ εὐψυχία τοῦτ' ἔσθ' ὃ ποιεῖς νῦν γάρ, ἀλλ' ἀνανδρία, τὸ μὴ δύνασθαι καρτερεῖν λυπούμενον. Φιλήμονος (fr. 161 K.). Πόλλ' ἔστιν ἐν πολλαῖσιν οἰκίαις

κακά, ἃ καλῶς ὅταν ἐνέγκῃς, ἀγαθὰ γενήσεται. Ἀπολλοδώρου (fr. 17 vol. III p. 294 K.). Χαλεπὸν τύχη ’στὶ πρᾶγμα, χαλεπόν· ἀλλὰ δεῖ αὐτὴν φέρειν κατὰ τρόπον ὥσπερ φορτίον. Φιλήμονος (fr. 162 K.). Μενάνδρου Ἀνδρογύνου (fr. 51 K.). Τὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν. Φιλήμονος (fr. 107 K.). Ἂν γνῷς τί ἐστ’ ἄνθρωπος, εὐδαίμων ἔσῃ. τέθνηκέ τις· μὴ δεινὸν ἔστω τοῦτό σοι. κεκύηκέ τις, [μὴ δεινὸν] οὐ κεκύηκέ τις· ἠτύχηκέ τις· βήττει τις· οἰμώζει τις· ἡ φύσις φέρει [δ’] ἅπαντα ταῦτα· φεῦγε τὰς λύπας. Εὐριπίδου (fr. 1075 N. 2). Θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει· 〈ἢ〉 θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν; Σωτάδου. Πλειστάκις ἀδικούμενός τις ἐν ἀδικοῦντι καιρῷ ἀνέχεταί τις ὃ μὴ θέλει διὸ φέρει γενέσθαι. Μενάνδρου ἐκ Βοιωτίας (fr. 89 K.). Πολλὰ δύσκολα εὕροις ἂν ἐν τοῖς πᾶσιν· ἀλλ’ εἰ πλείονα τὰ συμφέροντ’ ἔνεστι, τοῦτο δεῖ σκοπεῖν. Εὐριπίδου Ἱππολύτῳ στεφανηφόρῳ (203 — 207). Θάρσει, τέκνον, καὶ μὴ χαλεπῶς μετάβαλλε δέμας. ῥᾷον δὲ νόσον μετά θ’ ἡσυχίας καὶ γενναίου λήματος οἴσεις· μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη. Μενάνδρου Μισογύνου (fr. 325 K.). Ἂν ἐκλέγῃ ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς τῶν προσδοκωμένων, ὀδυνήσῃ διὰ τέλους. Εὐριπίδου (fr. 1078 N. 2). Ἀνδρῶν τάδ’ ἐστὶν ἐνδίκων τε καὶ σοφῶν, κἀν τοῖσι δεινοῖς μὴ τεθυμῶσθαι θεοῖς. Μενάνδρου Μισογύνου (fr. 325 K.). Τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσοντά σε ὁρᾷς ἐν αὐτῷ, τὰ δ’ ἀγάθ’ οὐκέτι βλέπεις. εὕροις δ’ ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε, ἀγαθόν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν. Μενάνδρου Εὐνούχῳ (fr. 187 K.). [Καὶ] μὴ θεομάχει μηδὲ προσάγου τῷ πράγματι χειμῶνας ἑτέρους, τοὺς δ’ ἀναγκαίους φέρε. Εὐριπίδου Βελλεροφόντου (fr. 287 N. 2). Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών· μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ’ οὐντυγχάνων τὰ πράγματ’ ὀρθῶς ἦν τιθῇ, πράσσει καλῶς. Μενάνδρου Ἡνιόχῳ (fr. 205 K.). Ὧν δὲ μὴ αἴτιος τρόπος, τὰ ἀπὸ τῆς τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ. Ἀλέξιδος ἐκ Συρακουσίου (fr. 217 K.). Τοῖς γὰρ κακοῖς τοὺς μὴ μαχομένους ῥᾷστα χρωμένους ὁρῶ. Φιλήμονος (fr. 117 K.). Ἄνθρωπος εἶ δήπουθεν· οὐκ ἔστ’ οὐδὲ εἷς ᾧ μὴ κακόν τι γέγονεν ἢ γενήσεται. ὁ ποῶν δ’ ἐλάχιστον τὸ γεγενημένον .., ἀμφότερον οὗτος εὐτυχεῖ τε καὶ φρονεῖ. Σοφοκλέους (fr. 861 N. 2). Στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην. Ἀλέξιδος ἐκ Φιλοτραγῳδοῦ (fr. 252 K.). Σοφοῦ γὰρ ἀνδρὸς τὰς τύχας ὀρθῶς φέρειν. Μενάνδρου Κωνειαζομέναις (fr. 306 K.). Ὥστε μηθείς, πρὸς θεῶν, πράττων κακῶς λίαν ἀθυμήσῃ ποτέ· ἴσως γὰρ ἀγαθοῦ τοῦτο πρόφασις γίνεται. Βακχυλίδου Προσοδίων (fr. 12 Bl. 3). Τί γὰρ ἐλαφρὸν ἔτ’ ἔστ’ ἄπρακτ’ ὀδυρόμενον δονεῖν Εὐριπίδου Ἀλεξάνδρου (fr. 46 N. 2). ΧΟΡ. Πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος μετρίως ἀλγεῖν σοφία μελετᾷ. Εὐριπίδου Ἀλκμήνης (fr. 98 N. 2). Ἀλλ’ εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ. Εὐριπίδου Αἰόλου (fr. 37 N. 2). Μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας ὅστις φέρει κάλλιστ’, ἀνὴρ οὗτος σοφός. Σοφοκλέους Φαίδρᾳ (fr. 619 N. 2). Αἴσχη μέν, ὦ γυναῖκες, οὐδ’ ἂν εἷς φύγοι βροτῶν ποθ’, ᾧ καὶ Ζεὺς ἐφορμήσῃ κακά. νόσους δ’ ἀνάγκη τὰς θεηλάτους φέρειν. Τοῦ αὐτοῦ Οἰδίποδι (86 ss.). Τίν’ ἡμὶν ἥκεις τοῦ θεοῦ φήμην φέρων; — Ἐσθλήν. λέγω γὰρ καὶ τὰ δύσφορ’, εἰ τύχοι κατ’ ὀρθὸν ἐξελθόντα, πάντ’ ἂν εὐτυχεῖν. Εὐριπίδου Ἑλένης (253 s.). Ἔχεις μὲν ἀλγείν’, οἶδα· σύμφορον δέ σοι ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν. Εὐριπίδου (fr. 1076 N. 2). Πάντων ἄριστον μὴ βιάζεσθαι θεούς, στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ’ ἔρως πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν. Σοφοκλέους Αἴαντι (362 s.). Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει. Εὐριπίδου Μελανίππης (fr. 505 N. 2). Τὰ τυγχάνοντα δ’ ὅστις εὖ φέρει βροτῶν, σοφὸν νομίζω, σωφρονεῖν τ’ ἐμοὶ δοκεῖ. Σοφοκλέους Ἀκρισίῳ (fr. 62 N. 2). Μενάνδρου (Epitr. fr. 179 K. 8 Koerte). Οὐθὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ. Σοφοκλέους Τηρεῖ (fr. 526 N. 2). Ἀλγεινά, Πρόκνη, δῆλον· ἀλλ’ ὅμως χρεὼν τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν. Σωτίωνος ἐκ τοῦ Περὶ ὀργῆς. Μῦθός τις περιφέρεται γυναικός, ὅτι ἡ λύπη παρ’ οἷς ἂν τρέφηται, καὶ αὔξεται παρ’ ἐκείνοις ἡδέως καὶ μένει. ὁ δὲ Κλεάνθης ἔλεγε τὴν λύπην ψυχῆς παράλυσιν. ὁ δὲ

φρόνιμος ἐρεῖ ‘τολμήεις μοι θυμός, ἐπεὶ μάλα πολ- Ῥούφου ἐκ τῶν Ἐπικτήτου Περὶ φιλίας (Musoni rel. p. 127 fr. XLII H.). Ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις καὶ ἦν καὶ ἔστι καὶ ἔσται καὶ οὐχ οἷόν τε ἄλλως γίγνεσθαι τὰ γιγνόμενα ἢ ὡς νῦν ἔχει· καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ τῆς μεταβολῆς οὐ μόνον οἱ ἄνθρωποι μετειλήφασι καὶ τἆλλα ζῷα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα, καὶ νὴ Δί’ αὐτὰ τὰ τέτταρα στοιχεῖα ἄνω καὶ κάτω τρέπεται καὶ μεταβάλλει καὶ γῆ τε ὕδωρ γίνεται καὶ ὕδωρ ἀήρ, οὗτος δὲ πάλιν εἰς αἰθέρα μεταβάλλει· καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω. ἐὰν πρὸς ταῦτά τις ἐπιχειρῇ τρέπειν τὸν νοῦν καὶ πείθειν ἑαυτὸν ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα, πάνυ μετρίως καὶ μουσικῶς διαβιώσεται τὸν βίον. Θουκυδίδου δημηγορία Περικλέους (II 64, 6). Ὡς οἵ τινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν. Αἰλιανοῦ Ἱστοριῶν (III 2). Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ σπουδάζοντι πρὸς τοὺς ἑταίρους προσελθὼν ἔφη τεθνηκέναι οἱ τοὺς δύο παῖδας, οὕσπερ οὖν καὶ εἶχεν μόνους ὁ Ἀναξαγόρας. ὁ δὲ μηδὲν διαταραχθεὶς εἶπεν ‘ᾔδειν θνητοὺς γεγεννηκώς‘. Αἰλιανοῦ Ἱστοριῶν (III 3). Ξενοφῶντι θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι. κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων. ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ προτέρῳ λόγῳ καὶ ἐκεῖνον τὸν λέγοντα ὅτι νικῶν τέθνηκεν, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον. Δημοκρίτου (fr. 289 Diels 2). Ἀλογιστίη μὴ ξυγχωρέειν ταῖσι κατὰ τὸν βίον ἀνάγκαις. Ἀρριανοῦ Ἐπικτητείου (fr. II p. 405 Schenkl.). Ὁ τοῖς παροῦσι καὶ δεδομένοις ὑπὸ τῆς τύχης δυσζεσθαι. Τοῦ αὐτοῦ (ibid. fr. III). Πάντα ὑπακούει τῷ κόσμῳ καὶ ὑπηρετεῖ καὶ γῆ καὶ θάλασσα καὶ ἥλιος καὶ τὰ λοιπὰ ἄστρα καὶ τὰ γῆς φυτὰ καὶ ζῷα. ὑπακούει δὲ αὐτῷ καὶ τὸ ἡμέτερον σῶμα καὶ νοσοῦν καὶ ὑγιαῖνον, ὅταν ἐκεῖνος θέλῃ, καὶ νεάζον καὶ γηρῶν καὶ τὰς ἄλλας διερχόμενον μεταβολάς. οὐκοῦν εὔλογον καί, ὃ ἐφ’ ἡμῖν ἐστι, τουτέστι τὴν κρίσιν, μὴ ἀντιτείνειν μόνην πρὸς αὐτόν· καὶ γὰρ ἰσχυρός ἐστι καὶ κρείσσων καὶ ἄμεινον ὑπὲρ ἡμῶν βεβούλευται μετὰ τῶν ὅλων καὶ ἡμᾶς συνδιοικῶν. πρὸς δὲ τούτοις καὶ ἡ ἀντίπραξις μετὰ τοῦ ἀλόγου καὶ πλέον οὐδὲν ποιοῦσα πλὴν τὸ διακενῆς σπᾶσθαι καὶ περιπίπτειν ὀδύναις καὶ λύπαις ποιεῖ. Δημοκρίτου (fr. 290 Diels 2). Λύπην ἀδέσποτον ψυχῆς ναρκώσης λογισμῷ ἔκκρουε. Τοῦ αὐτοῦ (fr. 42 Diels 2). Μέγα τὸ ἐν συμφορῇσι φρονεῖν ἃ δεῖ. Τοῦ αὐτοῦ (fr. 46 Diels 2). Τοῦ αὐτοῦ (fr. 291 I. c.). Πενίην ἐπιεικέως φέρειν σωφρονέοντος. Διογένους. Περιπεσὼν δ’ αὖ τισι συμπτώμασιν ἔλεγεν ‘εὖ γε, ὦ Τύχη, ὅτι μου ἀρρένως προέστηκας‘. ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τερετίζων ἀνεχώρει. Χείλωνος. Χείλων, λυπουμένου τινὸς ἐπὶ τοῖς αὐτοῦ κακοῖς, εἶπεν ‘εἰ τὰ πάντων κατανοήσεις, ἧττον ἐπὶ τοῖς σεαυτοῦ δυσφορήσεις‘. Πιττακοῦ. Συνετῶν μὲν ἀνδρῶν εἶπεν ἔργον ἵνα μὴ γένηται Σωκράτους. Σωκράτης διαλεγόμενος, καὶ τινὸς προσαγγείλαντος ὅτι ὁ υἱὸς αὐτοῦ τέθνηκε, συμπεραιώσας τὴν διάλεξιν ‘ἀπίωμεν‘ ἔφη ‘Σωφρονίσκῳ τὰ νενομισμένα πληρώσοντες‘. Θεοβούλου. Τὰς τῆς τύχης μεταβολὰς γενναίως πειρῶ φέρειν· καὶ μήτε εὐτυχῶν ὑπερήφανος ἔσο μήτε ἀπορῶν ταπεινός, ἀλλὰ γίνου ταπεινὸς ἐφ’ ἑκατέρας τῆς τύχης. Φαβωρίνου (fr. 110 Marres). Ἀνὴρ δὲ ἐν μεγαλοψυχίᾳ ἀληθινῇ καὶ φιλοσοφίᾳ τεθραμμένος πρὸ τῶν ξυμφορῶν τὴν εὐθυμίαν ἐν τῇ γνώμῃ ἀπόθετον ἔχει. τὸ δὲ ἐπὶ τοῖς δεινοῖς τῆς ἐξ ἑτέρου παρηγορίας χρῄζειν τὸν καιρὸν τῆς εὐθυμίας ὑπερβαίνει. Διονυσίου Ἁλικαρνασέως ἐκ λόγων. (Aeliani V. h. IX 7) Ἡ Ξανθίππη ἔφη, μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν, ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον καὶ προϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος θεάσασθαι. ἥρμοστο γὰρ δηλονότι πρὸς πάντα ἐπιεικῶς· τοιγάρτοι οὐδὲν πώποτε ἐλύπησεν αὐτόν. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 16). Ὅταν κλαίοντα ἴδῃς ἐν πένθει ἢ ἀποδημοῦντος τέκνου ἢ ἀπολωλεκότος τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ ὡς ἐν κακοῖς ὄντος τοῦ ἀνθρώπου, ἀλλ’ εὐθὺς πρόχειρον ἔστω, ὅτι τοῦτον θλίβει οὐ τὰ συμβεβηκότα (ἄλλον γὰρ οὐ θλίβει) ἀλλὰ τὰ δόγματα. μέχρι μέντοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτοῖς, κἂν οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύχῃ, ἐπιστενάξαι· λίαν δὲ προσέχων μὴ καὶ ἔσωθεν στενάξῃς. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 11). Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ‘ἀπώλεσα αὐτό‘, δίδωται, ἐπιμελοῦμαι ὡς τοῦ πανδοκίου. Ἀρριανοῦ Ἐπικτητείου ἐκ τοῦ Περὶ προνοίας (Dissert. I, 6, 26. 32. 37—40). Ἀλλὰ γίνεταί τινα ἀηδῆ καὶ χαλεπὰ ἐν τῷ βίῳ. καὶ τί οἴει ὅτι ὁ Ἡρακλῆς ἂν ἀπέβη τοιοῦτος, εἰ μὴ λέων οὗτος ἐγένετο καὶ ὕδρα καὶ ἔλαφος καὶ σῦς καὶ ἄδικοί τινες ἄνθρωποι καὶ θηριώδεις, οὓς ἐκεῖνος ἐξήλαυνε καὶ ἐκάθαιρε; Καὶ σὺ τούτων αἰσθανόμενος βλέψον εἰς τὰς δυνάμεις καὶ ἀφορμάς, δι’ ὧν κοσμήσεις σαυτόν. Οὔ· συμβαινόντων ὀδυρόμενοι· εἶτα τοῖς θεοῖς ἐγκαλεῖτε. τί γάρ ἐστιν ἄλλο ἀκόλουθον τῇ τοιαύτῃ ἀγεννείᾳ ἢ ἀσέβεια; καίτοι ὅ γε θεὸς οὐ μόνον ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ’ ἃς οἴσομεν πᾶν τὸ ἀποβαῖνον μὴ ταπεινούμενοι μηδὲ συγκλώμενοι, ἀλλ’ ὃ ἦν ἀγαθοῦ βασιλέως καὶ ταῖς ἀληθείαις πατρός, ἀκώλυτον τοῦτο ἔδωκε, καὶ ὅλον αὐτὸ ἐφ’ ἡμῖν ἐποίησεν. Ἱππάρχου Πυθαγορείου ἐκ τοῦ Περὶ εὐθυμίας (Diels Vorsokr. I 2 p. 449). Ὡς πρὸς τὸν ξύμπαντα αἰῶνα ἐξετάζοντι βραχύτατον ἔχοντες οἱ ἄνθρωποι τὸν τᾶς ζωᾶς χρόνον, κάλλιστον ἐν τῷ βίῳ οἱονεί τινα παρεπιδαμίαν ποιησοῦνται ἐπ’ εὐθυμίᾳ καταβιώσαντες. ταύταν δὲ ἔξοντι μάλιστα πάντων ἀκριβῶς ἐπιστάμενοι καὶ ἐπεγνωκότες ἑαυτούς, ὅτι ἐντὶ θνατοὶ καὶ σάρκινοι, εὐαδίκητον καὶ 〈εὔ〉 φθαρτον κεκτημένοι σῶμα, καὶ πάντων 〈τῶν〉 χαλεπωτάτων αὐτοῖς ἐπικρεμαμένων μέχρις ἐσχάτας ἀναπνοᾶς. καὶ πρᾶτόν γ’ ἐπένθωμεν ἐπὶ τὰ συμβαίνοντα· περὶ τὸ σῶμα πλευρίτιδες περιπλευμονίαι φρενίτιδες ποδάγραι στραγγουρίαι δυσεντερίαι ληθαργίαι ἐπιληψίαι σηπεδόνες, ἄλλα μυρία· περὶ δὲ τὰν ψυχὰν πολλῷ μείζονα καὶ χαλεπώτερα· πάντα γὰρ τὰ κατὰ τὸν βίον ἄθεσμα, κακά, παράνομα καὶ ἀσεἀπέσχοντο, ἀλλὰ καὶ ἐπὶ πατροκτονίᾳ παρεγένοντο, καὶ πολλοὶ τὰ ἴδια τέκνα κατέσφαξαν. τί λέγω τὰ ἀπὸ τῶν ἐκτὸς ἐπηρτημένα κακά, τὰς ἐπομβρίας καὶ αὐχμώς, ὑπερβολὰς καυμάτων, ὑπερβολὰς ψύξιος, ὥστε πολλάκις ἐκ τᾶς κατὰ τὸν ἀέρα ἀνωμαλίας λοιμόν τε καὶ λιμὸν γίνεσθαι καὶ ποικιλίαν παντοδαπῶν συμπτωμάτων καὶ ὅλας πόλεις ἐρημοῦσθαι; πολλῶν οὖν τοιούτων ἐπικρεμαμένων μήτε ταῖς κατὰ τὸ σῶμα εὐαμερίαις ποτέχοντες σεμνυνόμενοι ἐπαιρώμεθα, αἵ τινες ὀλίγω πυρετῶ ἐπιγενομένω ἀνθέων τρόπῳ συντόμως μαραίνοντι, μήτε ταῖς ἐκτὸς νομιζομέναις εὐτυχίαις, 〈αἳ〉 καὶ αὐταὶ πολλάκις τάχιον ἀπόλλυσθαι ἢ γίνεσθαι πεφύκαντι· πάντα γὰρ ταῦτα, ἄστατά τε καὶ ἀβέβαια Εὐρίπου τρόπον, ἐν πολλαῖς καὶ ποικίλαις μεταβολαῖς γινόμενα παρειλήφαμεν, καὶ οὐδὲν αὐτῶν μένον οὐδὲ ἀκίνητον οὐδὲ βέβαιον οὐδὲ ἀναφαίρετον. διὸ ταῦτα μὲν ἐνθυμηθέντες, 〈κέρδος δὲ〉 νομίζοντες εἰ προαναπλάσαντες καὶ οὐχ οἷα ἔστι λογισάμενοι, ἀλλ’ οἷα ἐπ’ ἄκρον ἐπιτυγχανόμενα δύναται γενέσθαι, ἄφνω στερόμενοι, πολλοῖς καὶ μεγάλοισι καὶ ἀθέσμοις καὶ ἀνοήτοις κακοῖς καταφορτίζοντι τὰν ψυχάν· καὶ οὕτω συμβαίνει αὐτοῖς πικρότατον ἔχειν τὸν βίον καὶ χαλεπώτατον. ταῦτα δὲ γίνεται ἐπί τε ἀποβολαῖς χρημάτων ἢ φίλων θανόντων ἢ τέκνων ἤ τινων ἄλλων τῶν νομιζομένων τιμιωτάτων ἦμεν. εἶτα κλαίοντες καὶ ὀδυρόμενοι λέγοντι αὐτοὺς μόνους ἀτυχεστάτους καὶ κακοδαίμονας, οὐ μεμναμένοι ὅτι κατταὐτὰ καὶ ἄλλοις πολλοῖς ἐγένετο καὶ νῦν γίνεται, οὐδὲ δυνάμενοι κατανοῆσαι τόν τε τῶν παρεόντων βίον καὶ τὸν τῶν προεξεστακότων ἐν ὅσαις συμφοραῖς καὶ κακῶν τρικυμίαις καὶ νῦν ἐντὶ πολλοὶ καὶ πρὸ τοῦ ἐγένοντο. ἐπιλογισάμενοι οὖν ὅτι πολλοὶ ἀποβαλόντες χρήματα ὕστερον διὰ τὰν τῶν χρημάτων γενομέναν ἀπώλειαν αὐτοὶ περιεσώθησαν, ἢ λῃσταῖς διὰ τοῦτο μέλλοντες περιπίπτειν ἢ τυράννῳ· πολλοὶ δὲ φιλήσαντές τινας καὶ καθ’ ὑπερβολὰν εὐνοήσαντες ἐν τῷ μετέπειτα χρόνῳ μεγάλως ἐμίσησαν· ἃ δὴ πάντα ἀναλογισάμενοι ἐκ τᾶς παραδεδομένας ἁμῖν ἱστορίας, καὶ μαθόντες ὅτι καὶ ὑπὸ τέκνων καὶ φίλων μάλιστα φιληθέντων πολλοὶ ἀπώλοντο, καὶ ἀντιπαραβάλλοντες τὸν αὐτῶν βίον πρὸς τὸν τῶν πρασσομένων φαυλότερον, καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες καὶ μὴ 〈ἁμῖν〉 μόνοις συμβαίνοντα, εὐθυμότερον διάξομεν. οὐδὲ γὰρ θέμις ἄνθρωπον μὲν ὄντα τὰ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλοτρίων συμπτώματα εὔφορα νομίζεν, ἀλλ' οὐ καὶ τὰ ἴδια κάδεα, ἰδόντα ὅτι πολλαὶ κᾶρες κατὰ πάντα τὸν βίον πεφύκαντι. οἱ δὲ κλαίοντες καὶ κατοδυρόμενοι, πρὸς τῷ μηδ' ἡντινοῦν ὠφέλειαν τῷ ἀπολομένῳ ἢ τῷ ἀποιχομένῳ περαίνεσθαι, ἐς μέζονα παθήματα τὰν ψυχὰν ἐλαύνοντι, μεστὰν πολλῶν φαύλων φυσιωμάτων οὖσαν. προσήκει οὖν ἐκνίπτοντας καὶ ἀνακαθαίροντας ἀπορρύπτεσθαι ρεοῦσι καὶ μὴ πολλῶν ὀρεγόμενοι. οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ παρασκευαζόμενοι, ὡς οὐκ ἔστι ζῆν μετὰ τὸν τᾶς ζωᾶς χρόνον ... ἄξεστι γενέσθαι, χρησώμεθα παρουσίᾳ τῶν ἀγαθῶν, ἐκ δὲ τᾶς φιλοσοφίας καὶ λαβρότερον ἀπληστευσώμεθα· ἀπληστευόμενοι γὰρ τῶν ἐκ φιλοσοφίας καλῶν καὶ σεμνῶν, καὶ τᾶς ἐκ τῶν φαύλων ἀπολυθησόμεθα ἀπληστίας. Ἐκ τῶν Τέλητος Περὶ περιστάσεων (Tel. rel. 2 p. 52 H.). Ἡ τύχη ὥσπερ ποιήτριά τις οὖσα παντοδαπὰ ποιεῖ πρόσωπα, ναυαγοῦ, πτωχοῦ, φυγάδος, ἐνδόξου, ἀδόξου. δεῖ οὖν τὸν ἀγαθὸν ἄνδρα πᾶν ὅ τι ἂν αὕτη περιθῇ καλῶς ἀγωνίζεσθαι. ναυαγὸς γέγονας, εὖ τὸν ναυαγόν· πένης ἐξ εὐπόρου, εὖ τὸν πένητα· κονίᾳ, ὥσπερ ὁ Λαέρτης γρηὶ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε παρτίθει· καὶ ἐκοιμᾶτο χαμαὶ ἐπὶ στιβάδος· φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήατο εὐναί. ἀρκεῖ γὰρ ταῦτα καὶ εἰς τὸ προσηνῶς καὶ εἰς τὸ ὑγιεινῶς, ἐὰν μή τις τρυφᾶν βούληται· οὐ γὰρ ἐν γαστρὸς βορᾷ τὸ χρηστὸν εἶναι οὐδέ γε. ἐν χλανίδος κατασκευῇ οὐδὲ ἐν στρωμνῆς μαλακότητι. οὐκ ἀηδῶς γὰρ Εὐριπίδης τρυφῇ δέ τοι πολλῶν ἐδεστῶν μηχανὰς θηρεύομεν· καὶ οὐ μόνον ἐδεστῶν, ἀλλὰ καὶ ὀσφραντῶν καὶ ἀκουστῶν. οὐ δεῖ δὲ τρυφᾶν οὐδὲν τῶν πραγμάτων μὴ φερόντων, ἀλλ' ὥσπερ οἱ ναυτικοὶ πρὸς τοὺς ἀνέμους καὶ πρὸς τὴν περίστασιν ὁρῶντες· ἐκποιεῖ, χρῆσαι· οὐκ ἐκποιεῖ, παῦσαι. καὶ ὥσπερ ἐπὶ στρατείας ὁ μὲν ἵππον ἔχων ἱππεὺς ἀγωεὶς τὰ ὅπλα ἀναχωρεῖς ψιλὸς ὤν· οὕτως ἂν δεῦρο ἐπικέηται ἐνίοτε πόλεμος, ἀπορία ἀρρωστία, ἀναχώρει εἰς μονοσιτίαν, εἰς αὐτοδιακονίαν, εἰς τρίβωνα, ἔσχατον εἰς ᾅδου. Ἐκ τῶν Τέλητος Περὶ ἀπαθείας (Tel. rel. 2 p. 55 H.). Μήποθ' ὃν τρόπον ἀπύρηνος ῥοὰ λέγεται καὶ ἀτράχηλοι καὶ ἄπλευροι ἄνθρωποι, οὕτω καὶ ἄλυποι καὶ ἄφοβοι ἄνθρωποι λέγονται; — βούλει οὖν τοῖς αὐτοῖς παραδείγμασι χρησάμενοι λέγωμεν, ὃν τρόπον ἀπύρηνος ῥοὰ λέγεται καὶ ἄπλευροι καὶ ἀτράχηλοι ἄνθρωποι, οὕτω καὶ ἀναμάρτητοι καὶ ἄφθονοι λέγονται; καὶ ὃν τρόπον ἐκεῖ ἄπλευρος οὐ κατὰ στέρησιν πλευρῶν, ἀλλὰ τοιούτων πλευρῶν λέγεται, οὕτω καὶ ὁ ἄφρων καὶ ὁ ἄνους οὐ κατὰ στέρησιν φρενῶν καὶ νοῦ. ἀλλὰ τοιούτων φρενῶν καὶ τοιούτου νοῦ; καὶ ὥσπερ τὸν ἄπλευρον ἔχειν μὲν φαμὲν πλευράς, μοχθηρὰς δέ, οὕτω καὶ τὸν ἄνουν ἔχειν μὲν νοῦν, μοχθηρὸν δέ, καὶ τὸν ἄφρονα ἔχειν μὲν φρένας, μοχθηρὰς δέ; ἢ παντάπασι τὸ πεπεῖσθαι ταῦτα γελοῖον; ἀλλ' ὥσπερ ἀναμάρτητος ὁ ἐκτὸς ἁμαρτίας, καὶ ἄφθονος καὶ ἀβάσκανος 〈ὁ ἐκτὸς φθόνου καὶ βασκανίας〉, καὶ ἀπερίεργος καὶ ἀμεμψίμοιρος 〈ὁ〉 ἐκτὸς ἑκατέρου τούτων, οὕτω καὶ ἄλυῶν. ὅστις δὲ ἐν ὀδύνῃ καὶ λύπῃ [ὢν] καὶ φόβῳ ἐστί, πως ἂν ἐκεῖνος εὐαρεστοίη τῷ βίῳ, ἢ μὴ εὐαρεστῶν πῶς ἂν εἴη εὐδαίμων; ἢ εἰ λύπη ἄψεται, πῶς οὐ καὶ φόβος καὶ ἀγωνία καὶ ὀργὴ καὶ ἔλεος; ὧν γὰρ ὑπαρξάντων ἄνθρωποι λυποῦνται, τούτων ἐν προσδοκίᾳ γενόμενοι φοβοῦνται καὶ ἀγωνιῶσι καὶ τοὺς ἀναξίως δοκοῦντας περιπίπτειν τούτοις ἐλεοῦσι καὶ τοῖς κατὰ προαίρεσιν περιβάλλουσιν ὀργίζονται καὶ θυμοῦνται καὶ ὑφορῶνται· καὶ οὓς μισοῦσι, τούτους ὁρῶντες εὖ πράττοντας ζηλοτυποῦσι καὶ φθονοῦσι, καὶ ἀκούσαντες ἔχοντάς τι κακὸν ἐπιχαίρουσιν. εἰ οὖν ἐν λύπῃ ἔσται, πῶς ἐκτός τινος ἔσται πάθους; ἢ μηθενὸς ἐκτὸς ὢν πῶς ἀπαθὴς ἔσται; ὅπερ δεῖ τὸν μακάριον εἶναι, ὥστε οὖν μήτε ἐπὶ φίλου μήτε ἐπὶ τέκνου τελευτῇ λυπηθῆναι, εἴπερ μηδὲ ἐπὶ τῇ αὐτοῦ. ἢ οὐκ ἄνανδροί σοι δοκοῦσιν εἶναι οἱ τὸν ἑαυτῶν θάνατον ἀγεννῶς καὶ μὴ εὐθαρσῶς προσδεχόμενοι; ἢ οὐ δεῖ τὸν εὔψυχον καὶ ἀνδρεῖον εὐψύχως τὴν ἑαυτοῦ τελευτὴν φέρειν, ὥσπερ Σωκράτης, μὴ δυσφοροῦντα μηδὲ δυσκολαίνοντα; ἢ δυσχερέστερόν τι κρίνειν τὴν ἄλλου τελευτὴν τῆς ἑαυτοῦ; ἢ οὐχ ὁμοίως αὐτὸν ἀγαπᾷ καὶ στέργει; ἢ τὸν φίλον μᾶλλον καὶ τὰ τέκνα ἢ ἑαυτόν; καὶ ταύτην μὲν ταυτασὶ τὰς Λακωνικὰς γυναῖκας πᾶς τις ἐπαινεῖ ὡς

εὐψύχους. ἀκούσασά 〈τισ〉 τὸν ἑαυτῆς υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ [κακὰ φάμα τεῦ κακκέχυται· τὺ ὦν ἢ ταύταν ἀπότριψαι, ἢ μηδ' ἀμῖν φάνευ.] οὐχ ὡς ἂν Ἀττικὴ γυνὴ ἀκούσασα σεσωσμένον ἔγραψεν ἄν 'εὖ τέκνον, ὅτι σαυτόν μοι ἔσωσας', ἀλλ' ἐκ τῶν ἐναντίων 'κακὰ φάμα τεῦ κακκέχυται· τὺ ὦν ἢ ταύταν ἀπότριψαι ἢ μηδαμεῖ φαίνευ', τοῦτο δέ ἐστιν 'ἄπαγξαι'. καὶ ἄλλη πάλιν ἀπαγγείλαντος αὐτῇ τοῦ κήρυκος ὅτι ὁ υἱὸς ἐν τῇ παρατάξει τετελεύτηκε 'ποῖός τισ' φησί 'γενόμενοσ'; 'ἀνὴρ ἀγαθός, ὦ μῆτερ.' 'εὖγε, ὦ τέκνον' φησί· 'τούτου γὰρ ἕνεκά σε' φησίν 'ἐγέννησα, ἵνα χρήσιμος καὶ βοαθὸς ἦσθα τᾷ Σπάρτᾳ.' οὐκ ἔκλαιε καὶ ἐδεινοπάθει, ἀλλὰ καὶ τῆς μάχης καὶ παραγενομένων πρὸς αὐτὴν 'ποῦ' φησίν 'ἥκατε φεύγοντες; ἢ δεῦρο καταδυσόμενοι ὅθεν ἐξέδυτε;' ἀνασυραμένη καὶ δείξασα αὐτοῖς. ὅρα εἰ καὶ τῶν παρ' ἡμῖν τις γυναικῶν τοῦτ' ἂν ποιήσειεν, ἀλλ' οὐκ ἀσμένη ὄψεται σεσωσμένους; ἐκεῖναι δ' οὔ· ἀλλὰ ἀποθανόντας εὐψύχως ἤδιον 〈.... διὸ〉 καὶ ἐπιγράφουσι Λακεδαιμόνιοι ... οὔ[τε] τὸ ζῆν θέμενοι καλὸν οὔτε τὸ θνήσκειν, ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι. πῶς δὲ οὐκ ἀλόγιστον καὶ ἄλλως μάταιον τὸ τελευτήσαντος τοῦ φίλου καθῆσθαι κλαίοντα καὶ λυπούμενον καὶ ἑαυτὸν προσκαταφθείροντα; δέον, ἵνα καί τι μᾶλλον φιλόσοφος δόξῃ παρὰ τοῖς ἀποπλήκτοις, πρὸ τοῦ τελευτῆσαι τὸν φίλον ὀδυνᾶσθαι 〈καὶ〉 κλαίειν, ἐνθυμούμενον ὅτι αὐτῷ ὁ φίλος θνητὸς ἐγένετο καὶ ἄνθρωπος. οὐ γὰρ ὀρθῶς φησὶ βουλευομένου ὁ Στίλπων τὸ διὰ τοὺς ἀπογενομένους τῶν ζώντων ὀλιγωρεῖν· γεωργὸς οὐ ποιεῖ τοῦτο, ρόν τις ὀφθαλμὸν ἀποβάλῃ, δεήσει καὶ τὸν ἕτερον προσεκκόψαι, κἂν ὁ εἷς ποὺς κυλλός, καὶ τὸν ἕτερον ἀνάπηρον ποιεῖν, κἂν ἕνα ὀδόντα, καὶ τοὺς ἄλλους προσεκλέξαι· ἀλλ' ἐπὶ μὲν τούτων εἴ τις οὕτως οἴοιτο, μαργίτης· τοῦ δὲ υἱοῦ τελευτήσαντος ἢ τῆς γυναικός, 〈εἰκὸσ〉 αὐτοῦ τε ὀλιγωρεῖν ζῶντος καὶ τὰ ὑπάρχοντα προσκαταφθείρειν; καὶ εἰ μὲν τῶν γνωρίμων τινὸς υἱὸς ἢ γυνὴ ἀπέθανε, παρεκάλεις ἄν, οἰόμενος δεῖν ἀνδρωδῶς καὶ θαρσαλέως καὶ μὴ βαρέως φέρειν· αὐτὸς δὲ τοῖς αὐτοῖς περιπεσὼν συμπτώμασιν, οὕτως οἴει δεῖν δυσφορεῖν. ἀλλ' οὐ πράως καὶ εἴπερ ἕτερον, παρακαλεῖν μέτριον ἐν στενοχωρίᾳ καὶ ἀπορίᾳ μὴ δυσκολαίνειν μηδὲ ἀβίωτον τὸν βίον νομίζειν, ἀλλὰ τῷ δοκοῦντι κακῷ τὸ δοκοῦν ἀγαθὸν ἀντιτιθέναι καὶ ἐξισοῦν 'ἀπογέγονεν ὁ φίλος, καὶ γὰρ γέγονε.' σὺ δέ, ὅτι μὲν ἀπογέγονεν, ἀκληρεῖν οἴει, ὅτι δὲ ἐγένετο, οὐκ εὐκληρεῖν· καὶ εἰ μὲν μηκέτι παρέξεται χρείας ἀπογενόμενος, ἄθλιον, ὅτι δὲ παρείχετο γενόμενος, οὐ μακάριον. — Ναί· ἔσται, δυσχεραίνεις. — Χρειῶν γὰρ ἐστέρημαι. — Καὶ γὰρ ὑπουργιῶν, ἃς αὐτὸς ἐλειτούργεις ζῶντι τῷ τέκνῳ καὶ τῷ φίλῳ καὶ κακοπαθῶν καὶ δαπανῶν. ἄδηλον γὰρ φησὶν ὁ Σωκράτης οὐ μόνον τῷ καλὴν εἰ ἐπὶ ταύτῃ πλείω, ἀλλὰ καὶ τῷ τέκνα καὶ φίλους εἰ περὶ τούτους πλείω. ἔπειτα δὴ καὶ ἀποδημοῦντος αὐτοῦ χρειῶν στερηθήσῃ καὶ στρατευομένου ὑπὲρ τῆς πατρίδος καὶ πρεσβεύοντος καὶ ἱερεύοντος καὶ ἀρρωστήσαντος καὶ πρεσβυτέρου γενομένου. ἀλλ' εἰ ἐπὶ πᾶσι τούτοις δυσκολαίνοις, τί τοῖς γραδίοις ἀπολείψεις; ἄλογον δὲ καὶ ἅμα μὲν ἐπιβάλλουσαν ἡγεῖσθαι τὴν στρατείαν καὶ τὴν ἀποδημίαν τῷ φίλῳ καὶ αὐτὸν συνεκπίπτειν καὶ εἰ μὴ ἀποδημοίη ἐγκαλεῖν ὡς ἁμαρτάνοντι, ἅμα δὲ δυσφορεῖν εἰ ἀποδημήσει ἢ στρατεύσεται. καλῶς τὸ τοῦ κυβερνήτου ἐκείνου 'ἀλλ' οὖν γε, ὦ Πόσειδον, ὀρθήν'. οὕτω καὶ ἀνὴρ ἀγαθὸς εἴποι πρὸς τὴν τύχην 'ἀλλ' οὖν γε ἄνδρα, καὶ οὐ βλᾶκα.' Πλάτωνος Πολιτείας γ′ (p. 387 D—E). Καὶ τοὺς ὀδυρμοὺς ἄρα ἐξαιρήσομεν καὶ τοὺς οἴκτους 〈τοὺσ〉 τῶν ἐλλογίμων ἀνδρῶν; Ἀνάγκη, ἔφη, εἴπερ καὶ τὰ πρότερα. Σκόπει, ἦν δ' ἐγώ, εἰ ὀρθῶς ἐξαιρήσομεν ἢ οὔ. φαμὲν δὲ δὴ ὅτι ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ, οὗπερ καὶ ἑταῖρός ἐστι, τὸ τεθνάναι οὐ δεινὸν ἡγήσεται. — Φαμὲν γάρ. — Οὐκ ἄρα ὑπέρ γε ἐκείνου ὡς δεινόν τι πεπονθότος ὀδύροιτ' ἄν. — Οὐ δῆτα. — Ἀλλὰ μὴν καὶ τόδε λέγομεν, ὡς ὁ τοιοῦτος μάλιστα αὐτὸς αὑτῷ αὐτάρκης πρὸς τὸ εὖ ζῆν, καὶ διαφερόντως τῶν ἄλλων ἥκιστα ἑτέρου προσδεῖται. Ἀληθῆ, ἔφη. Ἥκιστα ἄρ' αὐτῷ δεινὸν στερηθῆναι υἱέος ἢ ἀδελφοῦ ἢ χρημάτων ἢ ἄλλου του τῶν τοιούτων. — Ἥκιστα μέντοι. — Ἥκιστα ἄρα καὶ ὀδύρεσθαι, φέρειν δὲ ὡς πραότατα, ὅταν τις αὐτὸν τοιαύτη ξυμφορὰ

καταλάβῃ. — Πολύ γε. — Ὀρθῶς ἄρ' ἂν ἐξαιροῖμεν τοὺς θρήνους τῶν ὀνομαστῶν ἀνδρῶν, γυναιξὶ δὲ ἀποδιδοῖμεν, καὶ οὐδὲ ταύταις σπουδαίαις, καὶ

4.45 Πινδάρου Ὕμνων (fr. 42 Schr.). Ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται μόχθος ἄμμιν· τοῦτό γέ τοι ἐρέω· καλῶν μὲν ὧν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ατληκηκοτας προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν. Σοφοκλέους Τυροῦς β′ (fr. 592 N. 2). Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα· σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων. Μενάνδρου Ὑποβολιμαίῳ (fr. 489 K.). Ἄπολλον, ἀλλὰ σκαιὸν οὐ μετρίως λέγεις, μετὰ μαρτύρων ἀτυχεῖν, παρὸν λεληθέναι. Μενάνδρου (fr. 605 K.). Τὸ δ' εὖ φέρειν ἔστιν τοιοῦτον, ἂν δύνῃ μόνος φέρειν καὶ μὴ 'πίδηλον τὴν τύχην πολλοῖς ποῇς. Διφίλου (fr. 108 K.). Ὡς δεινὸν ἡνίκ' ἄν τις ὢν ἐν φροντίσιν εἰκῆ θεατὴν τὸν τυχόντα λαμβάνῃ. Εὐριπίδου Οἰδίποδι (fr. 553 N. 2). Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν. Εὐριπίδου Κρησσῶν (fr. 460 N. 2). Λύπη μὲν ἅτῃ περιπεσεῖν αἰσχρᾷ τινι· εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς κρύπτοντα καὶ μὴ πᾶσι κηρύσσειν τάδε· γέλως γὰρ ἐχθροῖς γίγνεται τὰ τοιάδε. Εὐριπίδου Σκυρίοις (fr. 683 N. 2). Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας. Σωκράτους. εἰς τὸν ἀγῶνα τοῦ ζῆν συγκαταβεβήκαμεν. Πλάτωνος Πολιτείας ι′ (p. 604 B—E). Λέγει που ὁ νόμος ὅτι κάλλιστον μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς, ὅ τε δεῖ ἐν αὐτοῖς ὅ τι τάχιστα παραγίγνεσθαι ἡμῖν, τούτῳ ἐμποδὼν γιγνόμενον τὸ λυπεῖσθαι. Τίνι, ἦ δ' ὅς, λέγεις; Τῷ βουλεύεσθαι, ἦν δ' ἐγώ, περὶ τὸ γεγονὸς καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὐτοῦ πράγματα, ὅπῃ ὁ λόγος ἐρεῖ βέλτιστ' ἂν ἔχειν, ἀλλὰ μὴ προσπταίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν, ἀλλ' ἀεὶ ἐθίζειν τὴν ψυχὴν ὅ τι τάχιστα γίγνεσθαι πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν, ἰατρικῇ θρηνῳδίαν ἀφανίζοντα. Ὀρθότατα γ' ἂν οὖν τις, ἔφη, πρὸς τὰς τύχας καὶ ἁπλήστως ἔχον αὐτῶν ἆρ' οὐκ ἀλόγιστόν τε φήσομεν εἶναι καὶ ἀργὸν καὶ δειλίας φίλον; Φήσομεν μὲν οὖν. Οὐκοῦν τὸ μὲν πολλὴν μίμησιν καὶ ποικίλην ἔχει, τὸ ἀγανακτικόν, τὸ δὲ φρόνιμόν τε καὶ ἡσύχιον ἦθος, παραπλήσιον ὂν ἀεὶ ἑαυτῷ, οὔτε ῥᾴδιον μιμήσασθαι οὔτε μιμουμένους εὐπετὲς καταμαθεῖν.

4.46 Λίνου ποιητοῦ. Ἔλπεσθαι χρὴ πάντ', ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον· ῥᾴδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν. Ἀπολλοδώρου ἐκ Παίδων (fr. 9 vol. III p. 290 K.). Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ, ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί. Εὐριπίδου Ἰνώ (fr. 408 N. 2). Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον. Μενάνδρου (fr. 813 K.). Εὐριπίδου Ἰνώ (fr. 409 N. 2). Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα κακῶς τε πράσσους' ἐλπίδος κεδνῆς ἔχου. Ἡσιόδου (Op. 96 ss.). Μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε ἐξέπτη· πρόσθεν γὰρ [μιν] ἐπέλλαβε πῶμα πίθοιο. Εὐριπίδου (Herc. 101—106). Κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ ξυμφοραί· καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει· μεθίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα. οὗτος δ' ἀνὴρ ἄριστος, ὅστις ἐλπίσι πέποιθεν ἀεί· τὸ δ' ἀπορεῖν ἀνδρὸς κακοῦ. Μενάνδρου Ναύκληρος (fr. 351 K.). Ὦ Ζεῦ πολυτίμηθ', οἷόν ἐστ' ἐλπὶς κακόν. Μενάνδρου Κιθαριστοῦ (fr. 287 K.). Οὕτω τι πρᾶγμ' ἐστ' ἐπίπονον τὸ προσδοκᾶν. Ἀρχιλόχου (fr. 74 B. 4). Χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον, οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων ἐκ μεσημβρίας ἔθηκε νύκτ' ἀποκρύψας φάος ἡλίου λάμποντος· λυγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος. ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίγνεται ἀνδράσιν· μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω, μηδ' ὅταν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν ἐνάλιον, καί σφιν θαλάσσης ἠχέεντα κύματα φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἡδὺ ἦν ὄρος. Θεόγνιδος (637 s.). Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖα· οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι. Θεόγνιδος (1135).

Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστιν. Εὐριπίδου (Suppl. 479 s.). Ἐλπὶς βροτοῖς κάκιστον, ἢ πολλὰς πόλεις συνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς. Σοφοκλέους (fr. 862 N. 2). Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν. Θεοκρίτου (IV 41 ss.). Θαρσῆν χρή, φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον. ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες. χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει. Εὐριπίδου Ὑψιπύλης (fr. 761 N. 2). Ἄελπτον οὐδέν, πάντα δ' ἐλπίζειν χρεών. Ἐκ τῶν Βίωνος Βουκολικῶν (XII p. 143 Wil.). Αὐτὰρ ἐγὼν βασεῦμαι ἐμὰν ὁδὸν ἐς τὸ κάταντες τῆνο ποτὶ ψάμαθόν τε καὶ ἠϊόνα ψιθυρίσδων. λισσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολείψω. Δημοκρίτου (fr. 58 Diels 2). Ἐλπίδες αἱ τῶν ὀρθὰ φρονεόντων ἐφικταί, αἱ δὲ τῶν ἀξυνέτων ἀδύνατοι. Δημοκρίτου (fr. 292 Diels 2). Ἄλογοι τῶν ἀξυνέτων αἱ ἐλπίδες. Διογένους. Διογένης ἐρωτηθεὶς τί τῶν κατὰ τὸν βίον ἀκρότατον, εἶπεν 'ἐλπίς.' Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων. Σωκράτους. Αἱ πονηραὶ ἐλπίδες ὥσπερ οἱ κακοὶ ὁδηγοὶ ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν. Ἐπικτήτου. Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον. Τοῦ αὐτοῦ. Καὶ τοῖς σκέλεσι καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν. Θαλῆς. Θαλῆς ἐρωτηθεὶς τί κοινότατον, ἀπεκρίνατο 'ἐλπίς· καὶ γὰρ οἷς ἄλλο μηδέν, αὕτη πάρεστιν.' Ξενοφῶντος ἐν ζ′ τῆς Κύρου ἀναβάσεως (VII 6, 11). Σωκράτους. Οὔτε γυνὴ χωρὶς ἀνδρὸς οὔτε ἐλπὶς ἀγαθὴ χωρὶς

4.47 Εὐριπίδου Αὐγης (fr. 271 N. 2). Πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας. οὐχ ἡ τύχη γε· τῆς τύχης δ' οὐχ εἷς τρόπος. Εὐριπίδου Ἀνδρομέδας (fr. 131 N. 2). Μή μοι προτείνων ἐλπίδ' ἐξάγου δάκρυ. γένοιτό τἂν πόλλ', ὧν δόκησις οὐκ ἔνι. Πατροκλέους (fr. 1 p. 830 N. 2). Καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους, καὶ πάντα συννοοῦμεν ἐκπράξειν χερί, πρόσω βλέποντες; τὴν δὲ πλησίον τύχην οὐκ ἴσμεν οὐδ' ὁρῶμεν ἀθλίου μόρου. Εὐριπίδου Οἰδίπους (fr. 550 N. 2). Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς φανεῖσα, μᾶλλον ἢ τὸ προσδοκώμενον. Εὐριπίδου Πρωτεσίλαος (fr. 650 N. 2). Πόλλ' ἐλπίδες ψεύδουσι καὶ λόγοι βροτούς. Εὐριπίδου (Alc. extr. al.). Μενάνδρου (fr. 355, 4 K.). Οὐκ ἔστιν εἰπεῖν ζῶντα 'τοῦτ' οὐ πείσομαι'. Μενάνδρου Ἐγχειριδίου (fr. 149 K.). Πάντα δὲ τὰ μη 〈δὲ〉 προσδοκώμεν' ἔκστασιν φέρει. Εὐριπίδου Ἀλκμήνης (fr. 100 N. 2). Θάρσει· τάχ' ἂν γένοιτο. πολλά τοι θεὸς κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ. Εὐριπίδου Ἀλεξάνδρῳ (fr. 62 N. 2). Ἑκάβη, τὸ θεῖον ὡς ἄελπτον ἔρχεται θνητοῖσιν, ἕλκει δ' οὔ ποτ' ἐκ ταὐτοῦ τύχας. Εὐριπίδου Βελλεροφόντου (fr. 301 N. 2). Ὁρᾷς δ' ἀέλπτων μυρίων ἀναστροφάς· πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον, πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην. Πινδάρου. Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια. Διονυσίου. Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς, εἴ τις αὐτὸν ἠνία ἐν Κορίνθῳ διατρίβοντα, ἐπέλεγεν 'ὡς μακάριοι οἱ ἐκ παίδων δυστυχεῖς'. Ὁμήρου Ὀδυσσείας (schol. XXII 9). Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. Θεόγνιδος (639 s.). Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὑρεῖν ἔργ' ἀνδρῶν· βουλαῖς δ' οὐκ ἔπεσεν τὸ τέλος. Θεόγνιδος (585—590). Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου. ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν· τῷ δὲ καλὸν ποιοῦντι θεὸς καλὰ πάντα τίθησι, Μενάνδρου (fr. 673 K.). Ταῖς ἀτυχίαισι μὴ ἐπίχαιρε τῶν πέλας· πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον. Εὐριπίδου Ἀνδρομέδας (fr. 130 N. 2). Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων οὐ πώποθ' ὕβρις', αὐτὸς ὀρρωδῶν παθεῖν. Μενάνδρου (fr. 674 K.). Οὐκ ἐμὸν ἀνοίγειν λανθάνουσαν ἀτυχίαν ἔστ', ἀλλὰ μᾶλλον κατακαλύπτειν φημὶ δεῖν. Εὐριπίδου Ἰνοῦς (fr. 406 N. 2). Μὴ σκυθρωπὸς ἴσθ' ἄγαν πρὸς τοὺς κακῶς πράσσοντας, ἄνθρωπος γεγώς. Ἀλέξιδος Μιλησίων (fr. 150 K.). Εἰ μὴ γὰρ ὢν ἄνθρωπος ἀνθρώπου τύχαις ὑπηρετήσω, ποῦ φανήσομαι φρονῶν; Ἡσιόδου Ἔργων (717 s.). Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων. Σοφοκλέους Αἴαντι (265 ss.). Πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις, φίλους ἀνιῶν

αὐτὸς ἡδονὰς ἔχειν ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών; Εὐριπίδου Ἀνδρομάχης (462 s.). Εἰ δ' ἐγὼ πράσσω κακῶς, μηδὲν τόδ' αὔχει· καὶ σύ τοι πράξειας ἄν. Ἰσοκράτους πρὸς Δημόνικον (§ 29 p. 8 b). Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον. Δημοκρίτου (fr. 293 Diels 2). Οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς. Χείλωνος. Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη. Αἰσχύλου Ἀγαμέμνονος (790—94). Τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται· καὶ νυκτὶ δὲ χαίρουσιν ὁμοιοπρεπεῖς, ἀγέλαστα πρόσωπα βιαζόμενοι. Φιλήμονος Ἀνακαλύπτοντες (fr. 7 K.). Λυπουμένῳ δ' ὅταν τις ἀκολουθῶν λέγῃ χαῖρ', ἐξ ἀνάγκης οὗτος οἰμώζειν λέγει. Δημοσθένους ἐν τῷ Ὑπὲρ στεφάνου (XVIII p. 311). Ἐγὼ δὲ ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, παντελῶς ἀνόητον ἡγοῦμαι. ἦν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος οὐκ οἶδεν εἰ τοιαύτη διαμένει μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; Ἡροδότου Ἱστορίας γ′ (40). Ἄμασις Πολυκράτεϊ ὧδε λέγει· ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα, ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσιν, ἐπισταμένῳ τὸ θεῖον ὡς ἔστι φθονερόν· καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. Εὐριπίδου Οἰνέως (fr. 563 N. 2). Σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν. Εὐριπίδου Ἀνδρομέδας (fr. 119 N. 2). ΧΟΡ. Συνάλγησον, ὡς ὁ κάμνων δακρύων μεταδοὺς ἔχει κουφότητα μόχθων. Ἀπολλοδώρου ἐκ Λακαίνης (fr. 8 III p. 290 K.). Φυσικόν 〈γε〉 τοῦθ'· ἕκαστος ἐν ταῖς ἀτυχίαις Σοφοκλέους Αἴαντι (328—30). Ἀλλ' ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην, ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι. φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις. Εὐριπίδου Ἰνοῖ (fr. 407 N. 2). Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ στάζειν. Μενάνδρου (fr. 543 K.). Δέρκιππε καὶ Μνήσιππε, τοῖς εἰρημένοις ἡμῶν ὑπό τινος ἢ πεπονθόσιν κακῶς ἔστιν καταφυγὴ πᾶσιν, οἱ χρηστοὶ φίλοι. καὶ γὰρ ἀποδύρασθ' ἔστι μὴ γελώμενον, καὶ συναγανακτοῦνθ' ὁπόταν οἰκείως ὁρᾷ ἕκαστος αὐτῷ τὸν παρόντα, παύεται τοῦτον μάλιστα τὸν χρόνον τοῦ δυσφορεῖν. Εὐριπίδου Ἴωνι (730—32). Σὺν τοῖς φίλοισιν ἡδὺ μὲν πράσσειν καλῶς· εἰ δ' ἄρα συμβαίνοι τι δυσχερέστερον, εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ. Τοῦ αὐτοῦ (fr. 1079 N. 2). Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις. ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ μέθῃ ταράσσει καὶ γαληνίζει φρένα, παραυτίχ' ἡσθεὶς ὕστερον στένει διπλᾶ. Καλλιμάχου (fr. 67 vol. II p. 217 Schn.). Κουφοτέρως τότε φῶτα διαθλίβουσιν ἀνῖαι, ἐκ δὲ τριηκόντων μοῖραν ἀφεῖλε μίαν, ἢ φίλον ἢ ὅτ' ἐς ἄνδρα συνέμπορον ἢ ὅτε κωφαῖς ἄλγεα μαψαύραις ἔσχατον ἐξερέῃ. Φιλήμονος (fr. 108 K.). Τί ποτ' ἐστὶν ἆρα διότι βούλεταί μ' ἰδεῖν; ἢ καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα, οὕτως ἐπάν τις τυγχάνῃ λυπούμενος, ἧττον ὀδυνᾶται, φίλον ἐὰν παρόντ' ἴδῃ; Μενάνδρου (fr. 814 K.). Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις. Σοφοκλέους Θυέστῃ (fr. 238 N. 2). Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή, λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν. Μενάνδρου (fr. 675 K.). Μέγιστόν ἐστιν ἆρα τοῖς ἐπταικόσιν τὸ παρόντας ἐγγὺς τοὺς συναλγοῦντας βλέπειν. Μενάνδρου (fr. 591 K.). Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς χρεία 'στ' ἰατροῦ, τῷ δὲ τὴν ψυχὴν φίλου· λύπην γὰρ εὔνους οἶδε θεραπεύειν φίλος. Σωτίωνος ἐκ τοῦ Περὶ ὀργῆς. Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον, λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλου, ἄγαν δὲ μωραίνοντι νουθετήματα. Σωκράτους. Τοῖς μὲν νοσοῦσιν ἰατρούς, τοῖς δ' ἀτυχοῦσι φίλους

4.49 Φιλίππου Ὀλυνθίᾳ. Οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ εἰπεῖν τιν' ἐσθίοντα 'μὴ κακῶς ἔχε', πύκτῃ τ' ἐπιτιμᾶν οὐδὲν ἔργον μαχομένῳ, αὐτὸν μάχεσθαι δ' οὐκ ἔτ' ἐστὶ ῥᾴδιον. Φιλήμονος ἐκ Σικελοῦ (fr. 75 K.). Τοὺς ἰατροὺς οἶδ' ἐγὼ ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα πάντας

λαλοῦντας· εἶτ’ ἐπὰν πταίσωσί τι, αὐτοὺς ποοῦντας πάνθ’ ὅς’ οὐκ εἴων τότε. ἕτερον τό τ’ ἀλγεῖν καὶ θεωρεῖν ἔστ’ ἴσως. Φιλήμονος ἐξ Ἐφεδριζόντων (fr. 27 K.). Χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον. Εὐριπίδου Ἀλκμήνης (fr. 102 N. 2). Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας πάντες διαθρεῖν ἢ τύχας τὰς οἴκοθεν. (Com. III p. 434 fr. 130 K.) Μηδέποτε πεῖραν τοῖς θεοῖς εὔχου λαβεῖν, Φαίδιμε, τοιούτου μηδενός, μηδ’ εἰδέναι ὡς ἔστιν ἑτέρῳ ῥᾴδιον παραινέσαι. (Eur. Alc. 1078) Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν. Σοφοκλέους Οἰδίποδι (fr. 666 N. 2). Τοὺς δ’ ἂν μεγίστους καὶ σοφωτάτους φρενὶ τοιούσδ’ ἴδοις ἄν, οἷός ἐστι νῦν ὅδε, καλῶς κακῶς πράσσοντι συμπαραινέσαι. ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν πλάστιγγ’ ἐρείσῃ τοῦ βίου παλίντροπον, τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα. Εὐριπίδου Ἀλεξάνδρῳ (fr. 44 N. 2). Οἶδ’· ἀλλὰ κάμπτειν τῷ χρόνῳ λύπας χρεών. —Χρῆν· τοῦτο δ’ εἰπεῖν ῥᾷον ἢ φέρειν κακά. Εὐριπίδου Αἰόλου (fr. 33 N. 2). Οἴμοι, τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς; τίς ἂν κλύων τῶνδ’ οὐκ ἂν ἐκβάλοι δάκρυ; Μοσχίωνος (fr. 8 p. 815 N. 2). Ἦν ἆρα τρανὸς αἶνος ἀνθρώπων ὅδε· ὡς τὸν πέλας μὲν νουθετεῖν βραχὺς πόνος, αὐτὸν δ’ ἐνεγκεῖν ὕβριν ἠδικημένον πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος. Εὐριπίδου Φοινίσσαις (528—30). Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά, Ἐτεόκλεες, πρόσεστιν· ἀλλ’ ἡμπειρία ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον. Εὐριπίδου Βελλεροφόντῃ (fr. 291 N. 2). Ὦ παῖ, νέων τοι δρᾶν μὲν ἔντονοι χέρες, γνῶμαι δ’ ἀμείνους εἰσὶ τῶν γεραιτέρων· ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον. Εὐριπίδου Ἐρεχθεῖ (fr. 362, 21 ss. N. 2). Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει, ἀκόλαστα 〈δ’〉 ἤθη λαμπρὰ συγγελᾶν μόνον μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς. Μενάνδρου (fr. 676 K.). Εἰ τἄλλ’ ἀφαιρεῖν ὁ πολὺς εἴωθεν χρόνος ἡμῶν, τό γε φρονεῖν ἀσφαλέστερον ποεῖ. Ἀλέξιδος ἐκ Δημητρίου (fr. 45 K.). Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν τρόπον τιν’ ἐστί. τὸν γὰρ οἶνον τὸν νέον πολλή γ’ ἀνάγκη καὶ τὸν ἄνδρ’ ἀποζέσαι πρώτιστον ἀφυβρίσαι τ’, ἀπανθήσαντα δὲ σκληρὸν γενέσθαι, καὶ καταστῆναι πάλιν ἡδύν θ’ ἅπασι τοὐπίλοιπον διατελεῖν. Σοφοκλέους Τυροῖς (fr. 603 N. 2). Αἰσχύλου (fr. 400 N. 2). Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον. Κράτητος ἐξ Ἀντιφάνους (fr. 238 K.). Ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα, οὗ μὴ τυχόντι θάνατός ἐσθ’ ἡ ζημία, οὗ πάντες ἐπιθυμοῦμεν, ἂν δ’ ἔλθῃ ποτέ, ἀνιώμεθ’· οὕτως ἐσμὲν ἀχάριστοι φύσει. (Soph. fr. 63 N. 2) Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. Ἀντιφάνους ἐκ Φιλοκτήτου (fr. 219 K.). Σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει τὸ γῆρας, ὡς δὴ πόλλ’ ἰδόν τε καὶ παθόν. Καλλιμάχου Αἰτίων α′ (II p. 121 s. Schn.). Γηράσκει δ’ ὁ γέρων κεῖνος ἐλαφρότερον, κοῦροι τὸν φιλέουσι· νέοι δέ μιν οἷα τοκῆα Εὐριπίδου Μελανίππης (fr. 508 N. 2). Παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων, βουλαὶ δ’ ἔχουσι τῶν γεραιτέρων κράτος. Τιμοστράτου (fr. 6 Com. III p. 356 K.). Τηρεῖν μὲν ἑτέροις οἱ γέροντες δυνάμεθα. —Ἡμεῖς δ’ ἀπολαύειν ὧν ἔχουσιν οἱ νέοι. Ἠρίννης (fr. 2 B. 4). Παυρολόγοι πολιαί, ταὶ γήραος ἄνθεα θνατοῖς. Ἱπποθόωντος (fr. 5 p. 828 N. 2). Γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν. Σοφοκλέους Θυέστῃ (fr. 239 N. 2). Καίπερ γέρων ὤν· ἀλλὰ τῷ γήρᾳ φιλεῖ χὠ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ. Εὐριπίδου Πηλεῖ (fr. 619 N. 2). Ἐκ τῶν Φαβωρίνου Περὶ γήρως (fr. 67 Marres). Οὐδὲ γὰρ τοῦτο ἐάσω ἄρρητον, ὅτι καὶ Πλάτωνι καὶ Πυθαγόρᾳ δοκεῖ τὸ γῆρας οὐκ ἐπ’ ἐξόδῳ τοῦ βίου εἶναι, ἀλλ’ ἐπ’ ἀρχῇ μακαρίας ζωῆς. Πλουτάρχου (fr. 2 vol. VII p. 150 Bern.). Νέοις δὲ ζηλωτέον τοὺς γέροντας, κατὰ Σιμωνίδην ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχειν· καθάπερ φησὶν ὁ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι. Δημοκρίτου (fr. 294 Diels 2). Ἰσχὺς καὶ εὐμορφία νεότητος ἀγαθά, γήραος δὲ σωφροσύνης ἄνθος. Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 81 D). Τέλος δ’ ἐπειδὰν τῶν περὶ τὸν μυελὸν τριγώνων οἱ συναρμοσθέντες μηκέτι ἀντέχωσι δεσμοὶ τῷ πόνῳ διιστάμενοι, μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς, ἡ δὲ λυθεῖσα κατὰ φύσιν μεθ’ ἡδονῆς ἐξέπτατο· πᾶν γὰρ τὸ μὲν παρὰ φύσιν ἀλγεινόν, τὸ δ’ ᾗ πέφυκε γιγνόμενον ἡδύ. καὶ θάνατος δὴ κατὰ ταῦτα ὁ μὲν κατὰ νόσους καὶ ὑπὸ τραυμάλον μεθ’ ἡδονῆς γιγνόμενος ἢ λύπης. Δημοκρίτου (fr 295 Diels 2).

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁ γέρων νέος ἐγένετο, ὁ δὲ νέος ἄδηλον εἰ ἐς γῆρας ἀφίξεται· τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος ἔτι καὶ ἀδήλου κρέσσον. Ἐκ τῶν Φαβωρίνου Περὶ γήρως (fr. 68 Marres). Ἡδονῆς γὰρ ὁ μὲν ἑκὼν εἰργόμενος σοφός, ὁ δὲ μὴ δεόμενος μακάριος. τὸ δὲ γῆρας πρὸς ἀμφότερα ἐπιτήδειον, καὶ γὰρ φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται καὶ τῶν ἡδέων ἀμελεστέρους. Τοῦ αὐτοῦ (fr. 69 Marres). Ἄξιον δέ ἐστιν εἰς τὸν περὶ τῆς ἡδονῆς λόγον προελθόντα μηδὲ ἐκείνην ἀμνημόνευτον ἐᾶσαι, τὴν παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν εὐδοκιμοῦσαν, ἣν ἡδονὴν ὀνομάζουσι καὶ χαρὰν καὶ τέρψιν· περιγίνεται δ' ἐκ τῶν καλῶν μαθημάτων καὶ τῶν ἐνδόξων κατορθωμάτων. ἀμφοτέρων δὲ τούτων ὑπάρχει τῷ γέροντι πρὸς ἑαυτὸν ἀναμιμνήσκεσθαι καὶ καθάπερ κτήμασι τέρπεσθαι, λογιζόμενον ὅτι ἡ τύχη ἡ πάντων κυρία [τούτων] ταῦτα ἄκυρός ἐστιν ἀφελέσθαι. Τοῦ αὐτοῦ (fr. 70 Marres). Ὁ Βοιωτὸς ἐντυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη ἐπάρας τὸ σκέλος ἀπεματάισε καὶ παρῆλθεν ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν. ὥστε καὶ πολυχρηματίας ἅμα παύει τὸ γῆρας καὶ πολυπραγμοσύνης. Αἰσχίνου ἐν τῷ κατὰ Τιμάρχου (50). Σκέψασθε δὴ καλῶς, Ἀθηναῖοι, οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. Ἰούνκου ἐκ τοῦ Περὶ γήρως. Μέτειμι δὲ ἐπὶ τὴν ἐμαυτοῦ γνώμην, ἡγούμενος τοὺς μὲν πρεσβύτας διά τε τὸν χρόνον αὐτὸν καὶ διὰ τὴν τῶν κατὰ τὸν βίον ἔργων ἱστορίαν καθαρεύειν ἁμαρτημάτων, τοὺς δ' αὖ νέους ἐμποδίζεσθαι πρὸς τἀγαθὰ διά τε ῥώμην σώματος, ᾗ πιστεύοντες αἴρονταί πως ἐπὶ πολέμους καὶ πλεονεξίαν, διά τε ἀμελετησίαν τῶν ξυμφερόντων. καὶ δὴ παρίσταταί μοι μάρτυς τῶν λεγομένων Ἀθηναῖος Σόλων, νομοθετήσας μήτε ἄρχειν τὸν σφόδρα νέον μήτε ξυμβουλεύειν, εἰ καὶ ἄριστα δοκοίη γνώμης ἔχειν. τὸ μέντοι τῶν ἐπιθυμιῶν ἐστερῆσθαι τοὺς γέροντας μηδὲν ὑπ' αὐσιν. οἱ μὲν γὰρ 'οὐ σῖτον ἔδους' οὐ πίνους' αἴθοπα οἶνον', οἱ δὲ τοῦ περιττοῦ καὶ ἐνοχλοῦντος ἀπεχόμενοι κατ' οὐδὲν τῆς χρήσεως αὐτοῦ δέονται, τῆς μὲν ἐνδείας ἐκπεφευγότες τὸ λυπηρόν, τοῦ δὲ αὐτάρκους αὐτοῖς προσάγοντος τὴν ἡδονήν. καὶ γὰρ τὸ πεπαῦσθαι τῆς κατὰ τὰ ἀφροδίσια ὁρμῆς τε καὶ ὀρέξεως μέγα ὄφελος, ὦ Ζεῦ, φαίην ἂν καὶ μανίας καὶ λύττης ἀπόρρευσιν, ὁπότε τῆς μὲν ψυχῆς τὸ ἀλόγιστον δὴ καὶ ἐπιθυμητικὸν εὔδοι διαφυγὸν πονηροὺς δεσπότας, τὸ δὲ λογιστικὸν ἀπολαύοι διὰ τῆς ὄψεως τῆς κατὰ τὸ κάλλος ἡδονῆς. καὶ γὰρ θαυμάσεται τὸν τούτου κύριον ὁ γέρων καὶ προσιόντα καθάπερ υἱὸν ἀσπάσεται καὶ παιδεύσει κατὰ τὸν Σωκράτους νόμον [ὥσπερ Ἀλκιβιάδην ἐκεῖνος], τῶν δὲ περιττῶν καὶ ἀκολάστων οὐδὲ μεμνήσεται. καὶ ὅλως, ὦ φίλε, σκόπησον ἐπὶ πάντων πραγμάτων αὐτὸ δὴ τοῦτο, ὡς ἄρα τὸ μὲν ἐθέλειν μετὰ σπουδῆς οὐτινοσοῦν τυγχάνειν διαμαρτίας ἑπομένης λύπην ἐπάγει, τὸ δὲ ἀπόνως καὶ ἀνενδεῶς διακεῖσθαι μίμησίν τινα ἐμποιεῖ τῆς θείας σωφροσύνης. τουτὶ δὲ ἔτι σοι σαφέστερον ἐξηγήσομαι, πρὸς τὰ ἐγκλήμενος. εἰ γὰρ ἧττον ἐσθίων ἢ πίνων ὁ πρεσβύτης ἀφροδισίων τε ἀπεχόμενος, ὥσπερ τε ἱεροφάντης, ἀλύπως διάκειται καὶ ἀνενδεῶς, τὸ πρὸς σωτηρίαν χρήσιμον προσαγόμενος, ἀπολείπων σοὶ τῷ νέῳ δι' ἀμαθίαν καὶ ἄγνοιαν τὰ νομιζόμενα εἶναι περισπούδαστα, μακάριζε τὸν τῶν μὲν ἀνθρωπείων κακῶν ἀπηλλαγμένον, ἄγοντα δὲ σχολὴν ἐπὶ τοῖς κατὰ ἀλήθειαν καλοῖς καὶ ἀγαθοῖς. ὁπότε δὲ πτωχὸν δὴ λέγεις καὶ ἀνάπηρον καὶ παρειμένον τὸν γέροντα, μέμνησο ὡς ταῦτα δὴ τὰ παθήματα οὐ μόνον γήρως ἔργα, μυριάκις δὲ ἔκ τινος τύχης ἐπιπαραγίνεται καὶ τοῖς νέοις. ταῦτα δὲ τὸν μὲν ἐν ἀκμῇ τῆς ἡλικίας διάγοντα δεινῶς οἶμαι φέρειν, τὸν δὲ πρεσβύτην ἐν δυσμαῖς ὄντα τοῦ βίου καὶ δυστυχοῦντα ἧττόν τις ἡγήσεται βλάπτεσθαι εὖ φρονῶν. ἀλλὰ μὴν ταυτὶ τὰ δοκοῦντά σοι δεινά πως εἶναι καὶ ἄφυκτα κουφίζουσι μὲν καὶ φίλων καὶ οἰκείων ἐπικουρίαι, μάλιστα δὲ ὁ κατὰ φιλοσοφίαν λόγος, ὃν δεῖ πιστεύειν τοῖς μετιοῦσιν αὐτὸν χειραγωγόν τε εἶναι καὶ φύλακα καὶ πλοῦτον καὶ φῶς. κάλλει κριθησόμενον τὸ γῆρας πρὸς τὴν νεότητα παρήγετο, οὐδ' ὥσπερ ὑπό τινων ἐμπόρων ἢ ἐραστῶν μορφαί τινες ἐδοκιμάζοντο τῶνδε· ὅμως ἵνα μὴ δοκοίην τὰ πρόδηλα ταῦτα ὑπολείπειν,

ὑπομνήσω σε, ὅτι τὸ μὲν νέον ὥρα τις καὶ ἀκμὴ κατακοσμεῖν ἔοικεν, τό τε τοῦ σώματος ἄνθος λήγει ἅμα τῷ χρόνῳ· τὸ δὲ ἀληθὲς κάλλος, ὅπερ ἐκ θείας κοινωνίας ἔσχε τὴν ἀπορροὴν καὶ ἦλθεν ἐπί τινας, τοῦτο δὲ οὐδὲ πόνος ἢ λιμὸς ἢ ἀμέλειά τις, ἀλλὰ μὴν οὐδ' ὁ πολὺς χρόνος δύναται ἀμαυρῶσαι, συγγενόμενον δ' ὁτῳοῦν καὶ συντραφὲν οὐκ ὤφθη ποτὲ θᾶττον ἀπαλλαγὲν τῆς ἐκείνου ψυχῆς. ὥσπερ δὲ ἔν τινι ἀγαθῇ γῇ φυτὸν ἀεὶ θαρροῦν ἀνίησι τοὺς καρποὺς καὶ φυλάττει πολυχρονίους, οὕτω δὲ καὶ παιδὸς ἁψάμενον αὔξεται καὶ μειρακίῳ σύνεστι καὶ μᾶλλον ἐκτρεφόμενον δὴ καὶ κοσμούμενον ὑπὸ τῆς ὥρας νεανίσκῳ τε συμπαρομαρτεῖ καὶ γηράσαντος οὐκ ἀπολείπεται. αὐτίκα ἔστιν ἰδεῖν τοὺς πλείστους γέροντας οὐ μόνον σεμνότητι κατὰ τὸ σχῆμα καὶ βαδίσμένει αὐτοῖς, ὥστε καὶ κατὰ ἀγορὰν καί που ἐν θεάτροις ὀφθέντες, οἷα δὴ ἐν ἀγέλῃ βοῶν καὶ ἵππων οἱ δοκοῦντες ἄρχειν τῆς ἀγέλης, τὸ εὐπρεπὲς παρέχουσι δῆλον τοῖς ἁπάντων ὀφθαλμοῖς· μάλιστα δὲ ἐν τοῖς ἱεροῖς θύοντες ἐστεφανωμένοι περιβλεπτότεροι τῶν ἱερέων γίνονται, ὅ τε νόμος αὐτοὺς ἐκείνους χειροτονεῖ τῇ Ἀθηνᾷ, ὥς φησι Ξενοφῶν ὁ φιλόσοφος, θαλλοφόρους. Μέτειμι δὲ ἐκ τοῦ παρόντος λόγου, καίτοι πλέον ἴσως τοῦ προσήκοντος 〈καὶ οὕτως〉 ἐνδιατρίψας αὐτῷ, ἐπὶ τὸν εἰρημένον ὑπὸ σοῦ τελευταῖόν τε καὶ ὥσπερ ἀνανταγώνιστον· ἐδόκει γάρ πως οὗτος ἐνίους τῶν παρόντων ταράττειν τε ἅμα καὶ λυπεῖν, ἐπειδὴ καὶ προστησάμενος τοῦ παντὸς ἀγῶνος καὶ τῆς χλεύης τὸν περὶ τοῦ θανάτου φόβον ἤλπισας ἐκπλήξειν οὐδὲν ἧττον κἀμὲ τὸν ἀντιλέγοντά σοι. ἀλλὰ μὴν τὸ κοινὸν τοῦ θανάτου τέλος, καὶ ὅτι οὐδεὶς ἐπ' αὐτῷ νόμος ἢ χρόνος ὑπὸ τῶν θεῶν γέγραπται, ἴσον οἶμαι ποιεῖ τὸ πρᾶγμα τοῖς τε νέοις καὶ τοῖς γέρουσιν· ἀλλ' ὁ μὲν γέρων προλαβὼν τἀγαθὰ καὶ πλείονι χρόνῳ διατρίψας ἐν αὐδὲ ἐπὶ τοῖς θαρρεῖ δὲ ὡς ἐπ' αὐτὰ ἀφιγμένος· ὁ δ' ἐν ἀκμῇ τῆς ἡλικίας τελευτήσας, ἀνάγκη γὰρ τελευτᾶν καὶ νέοις, ἄπειρός τε τῶν ἡδέων καὶ ἀπλήρωτος ἐν τοῖς ὁμοίοις ἔσται. δοκεῖ δέ μοι ἑκάτερος αὐτῶν ἐοικέναι τοῖς ἀγωνιζομένοις δρόμον ἢ τοῖς πλέουσι· καὶ ὁ μὲν διελθὼν τὸ μέγα πέλαγος, ὅπερ εἶναι λέγω τὸν βίον, κατάρας ἐπί τινα λιμένα τοῦ κυβερνήτου κελεύσαντος ἀπέβη τῆς νεώς, ἥ που διαγωνισάμενος ἐν τῷ σταδίῳ καὶ τοῦ στεφάνου τυχὼν ἀποτάττεται τοῖς ἀγῶσιν· ὁ δ' ἕτερος ἐν μέσῳ τῷ πόρῳ τῆς θαλάττης διεφθάρη, μὴ διελθὼν τὸν προκείμενον αὐτῷ πλοῦν ὑπὲρ οὗ πολλάκις εὔξατο, ἥ που τρέχων ἐν τῷ σταδίῳ καταπεσὼν ἀστεφάνωτος ἐξεκομίσθη. Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος. Παραπλησίως δὲ καὶ γῆρας ἔχει ποτὶ νεότατα, καὶ κώς … καὶ μηδέποκα ἀφύλακτον αὐτὸ ἀφίεμεν διανοίας. ἀλλὰ καὶ τί πράσσει καὶ τί πέπραχεν ἐπισκοπεῖ, ἵνα τὰ μὲν μέλλοντα τοῖς παρεόντεσσι σταθμευόμενος, τὰ δ' ἐνεστακότα τοῖς παρῳχημένοις αὐτὸς αὐταυτὸν διορθοῦν δύνηται, ποτὶ μὲν τὸν παροιχόμενον 〈χρόνον〉 τὰν μνάμαν ἐφαρμόζων, ποτὶ δὲ τὸν παρεόντα τὰν αἴσθασιν, ποτὶ δὲ τὸν μέλλοντα τὰν πρόνοιαν. ἔστι γὰρ ἀεὶ μνάμα μὲν ἁμὶν τῶ παρεληλυθότος χρόνω, πρόνοια δὲ τῶ μέλλοντος, αἴσθασις δὲ τῶ παρεόντος. διὸ δὴ δεῖ τὸν ὀρθῶς καὶ καλῶς βιοτεύεν μέλλοντα μὴ μόνον αἰσθατικὸν καὶ μναμονικὸν ἀλλὰ καὶ προνοατικὸν ἦμεν. Ἐκ τοῦ Θεμιστίου Περὶ ψυχῆς. Καίτοι περί γε τῶν γερόντων ὁ Σοφοκλῆς εἴρηκε χαριέντως σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή. καταγωγῇ γὰρ ἔοικεν ὁ γεροντικὸς θάνατος, ἐκβολὴ δὲ καὶ ναυάγιόν ἐστιν ὁ τῶν νέων· ἐκπίπτει γὰρ ἡ ψυχὴ βίᾳ συντριβομένου τοῦ σώματος. Παρμενίδου (Diels Doxogr. Gr. p. 443 b). Γῆρας γίγνεσθαι παρὰ τὴν τοῦ θερμοῦ ὑπόλειψιν. Πλάτωνος ἐκ τοῦ α′ τῆς Πολιτείας (p. τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. μὴ οὖν ἄλλως ποίει, ἀλλὰ τοῖσδέ τε τοῖς νεανίσκοις ξύνισθι καὶ δεῦρο παρ' ἡμᾶς φοίτα ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους. Καὶ μήν, ἦν δ' ἐγώ, ὦ Κέφαλε, χαίρω γε διαλεγόμενος τοῖς σφόδρα πρεσβύταις· δοκεῖ γάρ μοι χρῆναι παρ' αὐτῶν πυνθάνεσθαι, ὥσπερ τινὰ ὁδὸν προεληλυθότων ἣν καὶ ἡμᾶς ἴσως δεήσει πορεύεσθαι, ὁποία τίς ἐστι, τραχεῖα καὶ χαλεπὴ ἢ ῥᾳδία καὶ εὔπορος. καὶ δὴ καὶ σοῦ ἡδέως ἂν πυθοίμην ὅ τι σοι φαίνεται τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας ὃ δὴ 'ἐπὶ γήραος οὐδῷ' φασὶν εἶναι οἱ ποιηταί, πότερον χαλεπὸν τοῦ βίου, ἢ

πῶς σὺ αὐτὸ ἐξαγγέλλεις. Ἐγώ σοι, ἔφη, νὴ τὸν Δία ἐρῶ, ὦ Σώκρατες, οἷόν γέ μοι φαίνεται. πολλάκις γὰρ συνερχόμεθά τινες εἰς ταὐτὸ παραπλησίαν ἡλικίαν ἔχοντες, διασῴζοντες τὴν παλαιὰν παροιμίαν. οἱ οὖν πλεῖστοι ἡμῶν ὀλοφύρονται ξυνιόντες, τὰς ἐν τῇ νεότητι ἡδονὰς ποθοῦντες καὶ ἀναμιμνῃσκόμενοι περί τε τἀφροδίσια καὶ περὶ πότους τε καὶ εὐωχίας καὶ ἄλλα ἄττα ἃ τῶν τοιούτων ἔχεται, καὶ ἀγανακτοῦσιν ὡς μεγάλων τινῶν ἀπεστερημένοι καὶ τότε μὲν εὖ ζῶντες, νῦν δὲ οὐδὲ ζῶντες. ἔνιοι δὲ καὶ τὰς τῶν οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται, καὶ ταῦθα ἦλθον ἡλικίας. νῦν δὲ ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσι καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος, Πῶς, ἔφη, ὦ Σοφόκλεις, ἔχεις πρὸς τὰ ἀφροδίσια; ἔτι οἷός τε εἶ γυναιξὶ συγγίνεσθαι; καὶ ὅς, Εὐφήμει, ἔφη, ὦ ἄνθρωπε· ἀσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών. εὖ οὖν μοι καὶ τότε ἐκεῖνος ἔδοξεν εἰπεῖν, καὶ νῦν οὐχ ἧττον. παντάπασι γὰρ τῶν γε τοιούτων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίνεται καὶ ἐλευθερία· ἐπειδὰν αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι καὶ χαλάσωσι, παντάπασι τὸ τοῦ Σοφοκλέους γίνεται, δεσποτῶν πάνυ πολλῶν ἔστι καὶ μαινομένων ἀπηλλάχθαι. ἀλλὰ καὶ τούτων πέρι καὶ τῶν γε πρὸς τοὺς οἰκείους μία τις αἰτία ἐστίν, οὐ τὸ γῆρας, ὦ Σώκρατες, ἀλλ᾽ ὁ τρόπος τῶν ἀνθρώπων. ἐὰν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον· εἰ δὲ μή, καὶ γῆρας, ὦ Σώκρατες, καὶ νεότης χαλεπὴ τῷ τοιούτῳ συμβαίνει. καὶ ἐγὼ ἀγασθεὶς αὐτοῦ εἰπόντος ταῦτα, βουλόμενος αὐτὸν σθαι ῥᾳδίως σε τὸ γῆρας φέρειν οὐ διὰ τὸν τρόπον ἀλλὰ διὰ τὸ πολλὴν οὐσίαν κεκτῆσθαι· τοῖς γὰρ πλουσίοις πολλά φασιν παραμύθια εἶναι. Ἀληθῆ, ἔφη, λέγεις· οὐ γὰρ ἀποδέχονται. καὶ λέγουσι μέν τι, οὐ μέντοι ὅσον οἴονται· ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὃς τῷ Σεριφίῳ λοιδορουμένῳ καὶ λέγοντι ὅτι οὐ δι᾽ αὑτὸν ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοίη, ἀπεκρίνατο ὅτι οὔτ᾽ ἂν αὐτὸς Σερίφιος ὢν ὀνομαστὸς ἐγένετο οὔτ᾽ ἐκεῖνος Ἀθηναῖος. καὶ τοῖς δὴ μὴ πλουσίοις, χαλεπῶς δὲ τὸ γῆρας φέρουσιν, εὖ ἔχει ὁ αὐτὸς λόγος, ὅτι οὔτ᾽ ἂν ὁ ἐπιεικὴς πάνυ ῥᾳδίως γῆρας μετὰ πενίας ἐνέγκοι οὔθ᾽ ὁ μὴ ἐπιεικὴς πλου- Μιμνέρμου (fr. 3 B. 4). Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη, οὐδὲ πατὴρ παισὶν τίμιος οὔτε φίλος. Εὐριπίδου Γλαύκῳ (fr. 637 N. 2). Φεῦ φεῦ, τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους. (Trag. adesp. 549 N. 2) Γέροντι δ᾽ οὐχ οἷόν τε μηκύνειν χρόνον. (Trag. adesp. 550 N. 2) Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει. Εὐριπίδου Ἀνδρομάχης. *** (Eur. Bacch. 1251) Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ. Εὐριπίδου Αἰόλῳ (fr. 25 N. 2). Φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει· γέροντες οὐδὲν ἐσμὲν ἄλλο πλὴν ὄχλος καὶ σχῆμ᾽, ὀνείρων δ᾽ ἕρπομεν μιμήματα. νοῦς δ᾽ οὐκέτ᾽ ἔστιν, οἰόμεσθα δ᾽ εὖ φρονεῖν. Εὐριπίδου Οἰνομάῳ (fr. 575 N. 2). Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς· μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους. Εὐριπίδου (fr. 1080 N. 2). Ὦ γῆρας, οἵαν ἐλπίδ᾽ ἡδονῆς ἔχεις, καὶ πᾶς τις εἰς σὲ βούλετ᾽ ἀνθρώπων μολεῖν· λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει, ὡς οὐδέν ἐστι χεῖρον ἐν θνητῷ γένει. Μενάνδρου (fr. 555 K.). Ὀχληρὸν ὁ χρόνος ὁ πολύς· ὦ γῆρας βαρύ, ὡς οὐδὲν ἀγαθόν, δυσχερῆ δὲ πόλλ᾽ ἔχεις τοῖς ζῶσι καὶ λυπηρά· πάντες εἰς σὲ δὲ ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν. Μενάνδρου Χαλκεῖα (fr. 509 K.). Οὐκ ἂν γένοιτ᾽ ἐρῶντος ἀθλιώτερον οὐθὲν γέροντος πλὴν ἕτερος γέρων ἐρῶν. ὃς γὰρ ἀπολαύειν βούλεθ᾽ ὧν ἀπολείπεται διὰ τὸν χρόνον, πῶς οὗτος οὐκ ἔστ᾽ ἄθλιος; Θεόγνιδος (1129—32). Οὔτε γε μὴν πενίης θυμοφθόρου 〈οὐ〉 μελεδαίνω, οὐδ᾽ ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς. ἀλλ᾽ ἤβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ᾽ ἐπιλείπει, κλαίω δ᾽ ἀργαλέον γῆρας ἐπερχόμενον. Τοῦ αὐτοῦ (527 s.). Ὤ μοι ἐγὼν ἤβης καὶ γήραος οὐλομένοιο, τοῦ μὲν ἐπερχομένου, τῆς δ᾽ ἀπονισσομένης. Φερεκράτους (fr. 248 K.). Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ καὶ πανταχῆ λυπηρόν, οὐ καθ᾽ ἓν μόνον. ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ᾽ οὐδ᾽ ἰσχύομεν, σὺ τηνικαῦθ᾽ ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν. (Pherecr. fr. 146 K.) Εἰκῆ μ᾽ ἐπῆρας ὄντα τηλικουτονὶ ἐδόκουν μέν, ἐφρόνουν δ᾽ οὐδέν, ἀλλὰ πάντα μοι κατὰ χειρὸς ἦν τὰ πράγματ᾽

ἐνθυμουμένῳ· νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν. Ἀντιφάνους (fr. 240 a K.). Σφόδρα [τι] ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερής· ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίνεται. Ἀντιφάνους (fr. 240 b K.). Πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά. Ἀντιφάνους (fr. 255 K.). Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν· πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα. Ἀντιφάνους (fr. 256 K.). Ὦ γῆρας, ὡς ἅπασι τοῖς ζητοῦσί σε ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος. Φιλήμονος (fr. 125 K.). Σύρα, Σύρα. — Τί ἐστι; — Πῶς ἡμῖν ἔχεις; — Μηδέποτ' ἐρώτα τοῦτ' ἐπὰν γέροντ' ἴδῃς, ἢ γραῦν τιν'· ἴσθι δ' εὐθὺς ὅτι κακῶς ἔχει. Ἡρώδου Μιμιάμβων (I 15 s. Crus. 4). Ἐγὼ δὲ δραίνω μυῖ' ὅσον, τὸ γὰρ γῆρας ἡμέας καθέλκει, καὶ ἡ σκιὴ παρέστηκε. Μενάνδρου (fr. 874 K.). Πικρόν ἐστι θρέμμ' ἐν οἰκίᾳ γέρων. Ἀλέξιδος Τιτθῆς (fr. 228 K.). Ἤδη γὰρ ὁ βίος οὑμὸς ἐσπέραν ἄγει. Ἡρώδου Μιμιάμβων (fr. 60 Cr. 4). Ἤδη γὰρ αὐγὴ τῆς ζοῆς ἀπήμβλυνται. Ἡρώδου ἐκ Μολπείνου (fr. 60 Cr. 4). Ἐπὴν τὸν ἑξηκοστὸν ἥλιον κάμψῃς, ὦ Γρύλλε, Γρύλλε, θνῆσκε καὶ τέφρη γίνευ, ὡς τυφλὸς ὁ ὑπὲρ κεῖνο τοῦ βίου καμπτήρ. Εὐριπίδου Μελανίππης (fr. 509 N. 2). Τί δ' ἄλλο; φωνὴ καὶ σκιὰ γέρων ἀνήρ. Ἀντιφάνους ἐξ Ἐπικλήρου (fr. 94 K.). Ὦ γῆρας, ὡς ἅπασιν ἀνθρώποισιν εἶ ποθεινόν, ὡς εὔδαιμον· εἶθ' ὅταν παρῇς, οὐδείς, κακῶς 〈δὲ〉 πᾶς τις, ὃς σοφός, λέγει. Ἡρώδα Μιμιάμβων (I 67 Crus. 4). Γύναι, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει τὸν νοῦν. Χαιρήμονος (fr. 38 N. 2). Γέρων γὰρ ὀργῇ πᾶς ὑπηρετεῖν κακός. Ἀντιφάνους (fr. 239 K.). Οὐδεὶς τὰ πατρῷά πω γέρων κατεδήδοκεν, ἀλλ' οὐδὲ κατεμώρανεν, οὐδ' ἐλύσατο πορνίδιον, οὐδὲ θυροκοπῶν ὤφλεν δίκην. οὕτω τὸ γῆρας σωφρονοῦν οὐκ εὐτυχεῖ. Μενεκράτους Σαμίου. Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ, μέμφεται· ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον. Σοφοκλέους Σκυρίων (fr. 512 N. 2). (Sophoclis fr. 863 N. 2). Πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά, νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί. Σώφρονος (fr. 54 Kaib.). Τὸ γὰρ ἀπεχθόμενον γῆρας ἁμὲ μαραῖνον ταριχεύει. Κράτητος (fr. 17 poet. phil. p. 223 Diels). Ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφὸς, ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα. Διφίλου ἐκ Φρέατος (fr. 83 K.). Μιμνέρμου Ναννοῦς (fr. 4 B. 4). Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον 〈ὁ〉 Ζεὺς γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου. Μιμνέρμου Ναννοῦς (fr. 5 B. 4). Ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ ἥβη τιμήεσσα, τὸ δ' ἀργαλέον καὶ ἄμορφον γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα, βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν. Ἀπολλοδώρου Λακαίνης (fr. 7 Com. III p. 290 K.). Μὴ καταφρόνει, Φιλεῖν', ἐθῶν γεροντικῶν, οἷς ἔνοχος, εἰς τὸ γῆρας ἂν ἔλθῃς, ἔσῃ. ἀλλὰ μέγα τοῦθ' οἱ πατέρες ἠλαττώμεθα· Εὐριπίδου Αἰόλῳ (fr. 23 N. 2). Ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ, ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται. Σοφοκλέους (fr. 63 N. 2). 〈Τοῦ〉 ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. Εὐριπίδου Ἀνδρομάχης (727 s.). Ἀνειμένον τι χρῆμα πρεσβυτῶν γένος καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο. Εὐριπίδου Φοίνικι (fr. 805 N. 2). Ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν. Ἰσοκράτους ἐκ τοῦ Παναθηναϊκοῦ (p. 234 c). Ἀλλ' οὕτω τὸ γῆράς ἐστι δυσάρεστον καὶ μεμψίμοιρον καὶ μικρολόγον, ὥστε πολλάκις ἤδη τήν τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἧς οὐδεὶς ἄλλος καταπεφρόνηκε. Δημοκρίτου (fr. 296 Diels 2). Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ. Μητροδώρου (fr. 52 K.). Οὐ μακαριεῖς τὸν γέροντα, καθ' ὅσον γηράσκων τελευτᾷ, ἀλλ' εἰ τοῖς ἀγαθοῖς συμπεπλήρωται· ἕνεκα γὰρ χρόνου πάντες ἐσμὲν ἄωροι. Ἐρατοσθένους Κυρηναϊκοῦ. Ἐρατοσθένης τῆς ἡλικίας ἔφη τὸ μὲν ἀκμάζον ἔαρ εἶναι, τὸ δὲ μετὰ τὴν ἀκμὴν θέρος καὶ μετόπωρον, χειμῶνα δὲ τὸ γῆρας. Φαβωρίνου ἐκ τῶν κ〈ατὰ〉 γ〈ήρωσ〉 (fr. Δημοκρίτου. *** (Herodot. III 134) Αὐξανομένῳ τῷ σώματι συναύξονται καὶ αἱ φρένες, γηράσκοντι δὲ συγγηράσκουσι καὶ εἰς τὰ πράγματα πάντα Κάτωνος. Κάτων γέροντι πονηρευομένῳ ἔφη 'ἄνθρωπε, τί τῷ γήρᾳ κακὰ πολλὰ ἔχοντι τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης;' Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητής, ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑώρα μόλις πορευόμενον καὶ ἠρώτα 'τί

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιεῖσ‘, ἔφη “κατὰ σχολὴν ἀποθνήσκω.” Μητροκλέους. Μητροκλῆς τὸ γῆρας τοῦ βίου ἔλεγε χειμῶνα. Ἰούνκου ἐκ τοῦ Περὶ γήρως. Ἐπειδὴ γὰρ ὁρῶ σε τὰς μὲν ἐπὶ τῆς νεότητος καὶ ἀκμῆς ἡδονὰς καὶ ἀπολαύσεις αἳ πᾶσιν ἔργοις ἔπονται, συνελόντι δὲ εἰπεῖν, τὴν ἀνθρώπειον εὐδαιμονίαν ἀπολιπόντα καὶ παραμειψάμενον καθάπερ ἐπὶ νεὼς κομιζόμενον οὐριοδρομούσης, ἱστάμενον ἐπὶ τῷ γήρᾳ, καὶ αὐτὸν καὶ περὶ αὐτοῦ δὴ τοῦ γήρως· ἐμοὶ γὰρ δύσκολος ὁ ἐν αὐτῷ βίος καταφαίνεται διὰ τὴν τῶν αἰσθήσεων στέρησιν κατ’ ὀλίγον ἀποσβεννυμένων. διόπερ ἡδὺ μὲν οὐδὲν ἔτι παρακολουθεῖν φασι τοῖς γεγηρακόσιν, ἐπίπονα δὲ ἅπαντα εἶναι καὶ χαλεπά, αὐτῷ τε τῷ πάσχοντι τὴν μεταβολὴν περαιτέρω τούτων ἐνοχλεῖν τὸν περὶ τοῦ θανάτου φόβον ἀεὶ ἑπόμενον αὐτῷ καθάπερ ἐπιβουλεύοντα συνοδοιπόρον ἢ σύνοικον, καὶ τοῦτον δὲ ἔκ τινος ὡμολογημένης καὶ φυσικῆς ἀνάγκης. τῶν γὰρ πρώτων ὅρων τοῦ βίου κατὰ τὴν προϊοῦσαν ἡλικίαν ὑφ’ ἑκάστου ῥᾳδίως ἀπολειπομένων, ὁπότε παῖς μὲν ὁ παῖς οὐκέτι ἔσται, τὸ δὲ μειράκιον ἀνὴρ γίνεται, μετὰ δὲ τὸν ἄνδρα γῆρας πρόσεισιν· ἀνάγκη που μετ’ αὐτὸ μηδενὸς ἑτέρου καταλειπομένου διάλυσίν τε καὶ χωρισμὸν ἐπιγίγνεσθαι τῇ ψυχῇ καὶ τῷ σώματι, ὃ δὴ καλεῖται θάνατος. πολλὰ δὲ καὶ ἄλλα ἐν τῷ ζῆν πρεσβύτῃ ἀνδρὶ χαλεπὰ παρομαρτεῖ καὶ ἐπίπονα. τότε μὲν γὰρ συνεχεῖς νόσοι καὶ δίαιτα πάντως νοσώδης, εἰ καὶ μηδὲν παρείη ἰατροῦ δεόμενον, ἐκεῖνον δὴ τὸν λεγόμὲν ξὺν ἡδονῇ μετέχων, τοῦ δὲ λυποῦντος ἀκριβῶς αἰσθανόμενος· εἴτε δὲ θαρρήσει προελθεῖν εἰς τὴν ἀγοράν, γέλωτα τοῖς ὁρῶσι παρασκευάζει, βλέπων τε οὐκ ἀκριβὲς καὶ βοώντων οὐκ ἀκροώμενος, καὶ πειρώμενος ἑαυτὸν διακομίζειν καταπίπτων σφαλλόμενος, θλίβειν λεγόμενος καὶ ἀφανίζειν τὸν κοινὸν τῆς πόλεως ἀέρα· οὔτε γὰρ εἰς τὸν ἀριθμὸν τῶν φυλετῶν ἐν ἐκκλησίᾳ παρὼν τάττεται, οὔτε μὴν ἀρχῆς οἷός τέ ἐστι προΐστασθαι, διά τε τὰ προειρημένα ἐμπόδια κυφός τε ὢν καὶ ῥικνὸς καὶ ἄμορφος καὶ ἀδύνατος τῇ τε ψυχῇ κατὰ τὴν παροιμίαν παῖς πάλιν γεγονώς. ἐν δὲ πολέμῳ τί χρὴ καὶ λέγειν ὡς ἀστράτευτός τε καὶ γυμνὸς ἀπολείπεται, οὐ πεζός, οὐχ ἱππεὺς τεταγμένος, οὐδ’ αὖ νεὼς ἐρέτης τις ἢ ἐπιβάτης, ὅτι δὴ καὶ τὸ καθέζεσθαι αὐτῷ μᾶλλον δὲ καὶ τὸ κεῖσθαι πόνον ἔχει, συμπεπλεγμένου αὐτῷ τοῦ θανάτου καὶ ἤδη αὐτὸν ἄγοντος εἴσω τῶν ἑαυτοῦ θυρῶν. εἰ δὲ καὶ πενία πως ἀνδρὶ γεγηρακότι ξυμπέσοι, αὐτὸς ἂν ἐκεῖνος εὔξαιτο ἀπαλλαγῆναι τέλεον τοῦ βίου διὰ τὸ ἄπορον ἐπὶ πᾶσιν, οὐχ ἡγεμόνος ὁδοῦ τυγχάνων, οὐ τροφέως, οὐκ ἐσθῆτα τὴν αὐτάρκη περικείμενος, οὐ στέγης εὐπορῶν, οὐ τροφῆς, ἔστι δὲ ὅπῃ καὶ ὕδατος οὐκ ἔχων τὸν ἀρυσόμενον· οἱ δὲ ὁρῶνό θεὸς ἀεὶ αὐξόμενα, μέγεθός τε καὶ ἀλκὴν καὶ κάλλος καὶ χάριν ἐπανθοῦσαν, νοῦν τε ἤδη βέβαιον καὶ φρόνησιν καὶ λόγον τῶν κατὰ τὴν ψυχὴν ἀγαθῶν ἄγγελον· πολλὰ δὲ ἐκ τῶν ἐπιστημῶν τε καὶ τεχνῶν ἐκαρπώσατο· εἰ δὲ ἔλθοι τι αὐτῷ δυστύχημα νόσου κομιζούσης ἢ πενίας ἢ ἀδοξίας, οἷός τέ ἐστι διαφέρειν ἕκαστα καὶ ὥσπερ ἀγαθὸς ἀθλητὴς νικᾷ τὸ προσπῖπτον. ἀλλ’ οὐ γὰρ νεότητα βουλόμενος μακαρίσαι τούσδε τοὺς λόγους ἐποιησάμην· δῆλα γάρ ἐστιν, οἶμαι, καὶ τυφλῷ τὰ συνόντα αὐτῇ καλά τε καὶ ἀγαθά· καὶ μάλα οὐκ ἀπὸ σκοποῦ τινος δοκῶ μοι εἰρηκέναι, ἅ τινα τῷ γεγηρακότι ἐνοχλεῖν ἔφην παρόντα τε καὶ ἀφιστάμενα αὐτοῦ, καὶ ὁπόσα κοσμεῖν ἔοικε καὶ ὠφελεῖν 〈τὸν〉 νέον. Πλάτωνος Πολιτείας ε′ (p. 460 D—461 A). Τὸ δ’ ἐφεξῆς διέλθωμεν ὃ προὐθέμεθα. ἔφαμεν γὰρ δὴ ἐξ ἀκμαζόντων δεῖν τὰ ἔκγονα γίγνεσθαι. Ἀληθῆ. Ἆρ’ οὖν σοι ξυνδοκεῖ μέτριος χρόνος ἀκμῆς τὰ εἴκοσι ἔτη γυναικί, ἀνδρὶ δὲ τὰ τριάκοντα; Τὰ ποῖα αὐτῶν; ἔφη. Γυναικὶ μέν, ἦν δ’ ἐγώ, ἀρξαμένη ἀπὸ εἰκοσιέτιδος μέχρι τετταρακονταέτιδος τίκτειν τῇ πόλει· ἀνδρὶ δέ, ἐπειδὰν τὴν ὀξυτάτην δρόμου ἀκμὴν παρῇ, τὸ ἀπὸ τούτου γεννᾶν τῇ πόλει μέχρι πεντεκαιπεντηκονταέτους. Ἀμφοτέρων γοῦν, ἔφη, αὖτη ἀκμὴ σώματός τε καὶ φρονήσεως. (Trag. Gr. fr. adesp. 552 N. 2). Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον. Ἀναξανδρίδου (fr. 53 K.). Οὔ τοι τὸ γῆράς ἐστιν, ὡς οἴει, πάτερ, τῶν φορτίων μέγιστον· ἀλλ’ ὃς ἂν φέρῃ ἀγνωμόνως αὖθ’, οὗτός ἐστιν αἴτιος. σὺ δ’ εὐκόλως οἷόν τε κουφίζειν πόει, μεταλαμβάνων ἐπιδέξι’ αὐτοῦ

τὸν τρόπον, λύπην ἀφαιρῶν ἡδονήν τε προστιθείς. λύπην δὲ ποιῶν εἴ τις δυσκόλως ἔχει. Σοφοκλέους Ἐριφύλη (fr. 194 N. 2). Γήρᾳ προσόντος σῷζε τὴν εὐφημίαν. Σοφοκλέους (fr. 864 N. 2). Οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος. προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα. Ἀναξιμένους (fr. 26 Muell.). τοῖς παρέχει τὸ λέγειν τί χρήσιμον τοῖς ἄλλοις καὶ παρ' ἑτέρων αὐτοὺς ἀκούειν· ὥστε τὰς μὲν ἀπὸ τῶν βρωτῶν καὶ ποτῶν καὶ ἀφροδισίων ἡδονὰς γινομένας ἰδεῖν ἔστιν οὐχ οὕτως εἰς τὸ παραχρῆμα εὐφραινούσας ὡς ὕστερον λυπούσας· ἡ δὲ περὶ τοὺς λόγους ἡδονὴ καὶ μάθησις ἔν τε τῷ παραυτίκα εὐφραίνει καὶ πρὸς τὸν ἄλλον βίον τοὺς μανθάνοντας ἡδέως παρασκευάζει. Ξενοφῶντος. Ξενοφῶν περὶ Ἀγησιλάου φησί 'ποίας γὰρ νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας;' Σωκράτους. Ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας ἀλυπίας δεῖται. Μουσωνίου ἐκ τοῦ Τί ἄριστον γήρως ἐφόδιον (p. 88 ss. H.). Αὖθις δέ, ἐπεὶ πρεσβύτης τις ἐπύθετο, τί ἂν εἴη γήρως ἐφόδιον ἄριστον, ταὐτόν, εἶπεν, ὅπερ καὶ νεότητος, τὸ ζῆν ὁδῷ καὶ κατὰ φύσιν. τοῦτο δὲ μάλιστ' ἂν οὕτω μάθοις ὁποῖόν τί ἐστιν, εἰ ἐννοήσαις τὴν τοῦ ἀνθρώπου φύσιν, ὡς οὐ πρὸς ἡδονὴν γέγονεν. οὐδὲ γὰρ ἵππος οὐδὲ κύων οὐδὲ βοῦς, ἅπερ ἀτιμότερα πολὺ ἀνθρώπου ἐστίν, οὐ πρὸς ἡδονὴν γέγονεν· οὐδὲ γὰρ νομισθείη ἂν τυγχάνειν τοῦ ἑαυτοῦ τέλους ἵππος, ἐσθίων μὲν καὶ πίνων καὶ ὀχεύων ἀνέδην, πράττων δὲ μηδὲν ὧν ἵππῳ προσήκει· οὐδέ γε κύων, ἡδόμενος μὲν ὥσπερ ὁ ἵππος ἁπάσας ἡδονάς, πράττων δὲ μηδὲν ἀφ' ὧν ἀγαθοὶ νομίζονται εἶναι κύνες· οὐδὲ μὴν ἄλλο ζῷον ὁτιοῦν ἔργου μὲν τοῦ προσήκοντος αὐτῷ στερόμενον, ἡδονῶν δ' ἐμπιπλάμενον· οὐδὲν οὖν οὕτως ζῆν ἂν λέγοιτο κατὰ φύσιν, ἀλλ' ὅ τι ἂν μάλιστα τὴν ἀρετὴν ἐμφανίζῃ, δι' ὧν πράττει, κατὰ τὴν ἑαυτοῦ φύσιν. ἄγει γὰρ ἡ ἑκάστου φύσις ἕκαστον πρὸς τὴν ἀρετὴν τὴν ἐκείνου· ὥστε καὶ τὸν ἄνθρωπον εἰκὸς οὐχ ὅταν ἐν ἡδονῇ βιοῖ, τότε κατὰ φύσιν βιοῦν, ἀλλ' ὅταν ἐν ἀρετῇ. τότε γὰρ καὶ ἐπαινεῖσθαι δικαίως ὑπάρχοι ἂν αὐτῷ καὶ μέγα φρονεῖν ἐφ' αὑτῷ καὶ εὔελπιν καὶ θαρραλέον εἶναι, οἷς εὐφροσύνην τε καὶ χαρὰν βεβαίαν ἔπεσθαι ἀναγκαῖον. καθόλου δὲ ἄνθρωπος μίμημα μὲν θεοῦ μόνον τῶν ἐπιγείων ἐστίν, ἐκείνῳ δὲ παραπλησίας ἔχει τὰς ἀρετάς· ἐπεὶ μήδ' ἐν θεοῖς μηδὲν ὑπονοῆσαι κρεῖττον ἔχομεν φρονήσεως καὶ δικαιοσύνης, ἔτι δὲ ἀνδρείας καὶ σωφροσύνης. ὥσπερ οὖν ὁ θεὸς διὰ τὴν παρουσίαν τούτων τῶν κρειττων δὲ ἐπιθυμίας, κρείττων δὲ φθόνου καὶ ζηλοτυπίας, μεγαλόφρων δὲ καὶ εὐεργετικὸς καὶ φιλάνθρωπος· τοιοῦτον γὰρ ἐπινοοῦμεν τὸν θεόν· οὕτω καὶ τὸ ἐκείνου μίμημα τὸν ἄνθρωπον ἡγητέον, ὅταν ἔχῃ κατὰ φύσιν, ὁμοίως ἔχειν, καὶ οὕτως ἔχοντα εἶναι ζηλωτόν. ὧν δὲ ζηλωτὸς εὐθὺς ἂν εἴη καὶ εὐδαίμων· οὐ γὰρ ἄλλους γέ τινας ἢ τοὺς εὐδαίμονας ζηλοῦμεν. καὶ μὴν οὐκ ἀδύνατον γενέσθαι τοιοῦτον ἄνθρωπον· οὐ γὰρ ἑτέρωθέν ποθεν ταύτας ἐπινοῆσαι τὰς ἀρετὰς ἔχομεν ἢ ἀπ' αὐτῆς τῆς ἀνθρωπείας φύσεως, ἐντυχόντες ἀνθρώποις τοιοῖσδέ τισιν, οἵους ὄντας αὐτοὺς θείους καὶ θεοειδεῖς ὠνόμαζον. εἰ μὲν οὖν τις τύχοι πρότερον ἔτι νέος ὢν παιδείας ὀρθῆς ἐπιμέλειαν πεποιημένος, καὶ τὰ μὲν ὅσα μαθημάτων ἔχεται καλῶν μεμαθηκὼς οὐκ ἐνδεῶς, τὰ δὲ ἀσκητὰ ἠσκηκὼς ἱκανῶς, οὗτος ἂν ἐν γήρᾳ ταῖς ἐνούσαις ἑαυτῷ χρώμενος ἀφορμαῖς ζῴη κατὰ φύσιν, καὶ ἀλύπως μὲν φέροι τὴν στέρησιν τῶν ἡδονῶν τῶν ἐπὶ νεότητος, ἀλύπως δ' ἔχοι τῇ παρούσῃ τοῦ σώματος ἀδυναμίᾳ, δυσκολαίνοι δ' οὐκ ἂν οὔτε καταφρονούμενος ὑπὸ τῶν πλησίον οὔτ' ἀμελούμενος ὑπὸ τῶν οἰκείων καὶ φίλων, ἅτε πρὸς ταῦτα πάντα ἀλεξιφάρμακον ἔχων καλὸν ἐπὶ τῇ διανοίᾳ τῇ ἑαυτοῦ, τὴν παιδείαν τὴν ὑπάρχουσαν. εἰ δέ τις εἴη παιδείας μὲν ἐνδεέστερον μετεσχηκώς, προθυμίαν δὲ παρέχοιτο πρὸς τὰ κρείττω καὶ πείθεσθαι δύναιτο τοῖς εὖ λεγομένοις, οὗτος ἂν εὖ ποιοίη ζητῶν λόγων ἀκούειν ὑποθετικῶν παρὰ τῶν πεποιημένων ἔργον εἰδέναι τίνα μὲν βλαβερά, τίνα δὲ ὠφέλιμα ἀνθρώποις, καὶ τίνα δὴ θῶς ἀκερδέστατον) διαθεῖτ' ἂν τὸ γῆρας καλῶς τά τε ἄλλα καὶ τὸν τοῦ θανάτου φόβον ἐξαιρεθείη ἄν, ὃς μάλιστα θορυβεῖ τε καὶ πιέζει τοὺς γέροντας, ὥσπερ ἐπιλελησμένους, ὅτι παντὶ θνητῷ θάνατος ὀφείλεται. καὶ τό γε ἀθλιώτατον ποιοῦν τὸν βίον τοῖς γέρουσιν αὐτὸ τοῦτό ἐστιν, ὁ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θανάτου φόβος· ὥσπερ ἀμέλει καὶ ὁ ῥήτωρ Ἰσοκράτης ἀνωμολογήσατο. φασὶ γὰρ ἐκεῖνον, ἐρωτήσαντός τινος ὅπως διάγει, εἰπεῖν, ὅτι οὕτως ὥσπερ εἰκὸς τὸν ἐνενήκοντα μὲν γεγονότα ἔτη, κακῶν δὲ ἔσχατον νομίζοντα εἶναι τὸν θάνατον. καί τοι πῶς ἐκείνῳ τι παιδείας μετῆν ἢ γνώσεως τῶν ἀλη 〈θῶς ἀγα〉 θῶν ἢ κακῶν, ὃς ὑπελάμβανεν εἶναι κακὸν τὸ ἐξ ἀνάγκης ἐπόμενον βίῳ τῷ ἀρίστῳ; εἴ γε ἄριστος βίος ὁ τοῦ ἀγαθοῦ ἀνδρός, πέρας δὲ καὶ τούτου θάνατος. ὃ δ' οὖν εἶπον, εἰ τοῦτο περιποιήσαιτό τις ἐν γήρᾳ, τὸ προσδέχεσθαι τὸν θάνατον ἀφόβως καὶ θαρραλέως, οὐ μικρὸν ἂν πρὸς τὸ ζῆν ἀλύπως καὶ κατὰ φύσιν εἴη πεπορισμένος· κτήσαιτο δ' ἄν τοῦτο συνὼν τοῖς οὐκ ὀνόματι μόνον ἀλλ' ἀληθῶς φιλοσόφοις, ἄν γε καὶ πείθεσθαι θέλῃ αὐτοῖς. ἐγὼ μὲν οὖν φημὶ γήρως ἐφόδιον εἶναι κράτιστον, ὃ δὴ καὶ ἀρχόμενος τοῦ λόγου εἶπον, τὸ ζῆν κατὰ φύσιν ἃ χρὴ πράττοντα καὶ διανοούμενον. οὕτω γὰρ ἂν καὶ εὐθυμότατος εἴη ὁ γέρων ἀλύπως βιοῦν, κακῶς οἴεται· πλοῦτος γὰρ ἡδονὰς μὲν οἷός τε παρέχειν ἀνθρώποις ἐστὶ τὰς ἀπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων καὶ ἄλλων ὁμοίων, οὔτε δὲ εὐθυμίαν οὔτε ἀλυπίαν οὐδαμῶς τῷ κεκτημένῳ παράσχοι ἄν. μάρτυρες δὲ πολλοὶ τῶν πλουσίων λυπούμενοι καὶ ἀθυμοῦντες καὶ ἀθλίους νομίζοντες εἶναι αὐτούς. διόπερ οὐδὲ ἐπικούρημα γήρως καλὸν ὁ πλοῦτος εἴη ἄν. Ἰούνκου ἐκ τοῦ Περὶ γήρως. Σὺ δὲ ἄκουε λόγον οὐκ ἐμὸν οὐδὲ νεώτερον ἐχθές που καὶ πρῴην εὑρεθέντα καὶ μόλις εὐδοκιμήσαντα, παλαιῶν δὲ ἀνδρῶν σοφῶν τεθαυμασμένον. διδάσκει γὰρ ἡμᾶς, ὅτι πάντα δὴ σχεδὸν τὰ ἐν ἀνθρώποις πράγματα τέλος οὐκ ἂν εὑρεθείη βέβαιον ἔχοντα πρὸς τὸ ἀγαθὸν ἢ τὸ χεῖρον, ἐπειδήπερ χρῆσις μεταβάλλειν αὐτὰ ἔοικεν, ὡς εἶναι ποτὲ μὲν καλὰ καὶ ἀγαθὰ προστάτου καὶ καθηγεμόνος ἀγαθοῦ τυχόντα, ποτὲ δ' αὖ ταὐτὰ τὴν ἐναντίαν ἔχειν δύναμιν, ὑπ' ἀνδρὸς κακοῦ παρειλημμένα. καὶ τὰ τὴν προκειμένην ὑπόθεσιν τραπῆναι διά τινος συντόμου καὶ εὐθείας ὁδοῦ. καὶ γὰρ νεότης, ὦ οὗτος, καὶ γῆρας ἄμφω μὲν καλὰ ἐστὸν καὶ περισπούδαστα καὶ εὐκτά· ἄμφω δὲ χαλεπὰ καὶ αἰσχρὰ καὶ δύσκολα δειχθείη ἂν ὑπὸ τῶν οὐ δεόντως αὐτοῖς χρωμένων. αὐτίκα νέον ἀμαθῆ τε καὶ θρασύν, ἕτοιμον πρὸς τὸ ἀδικεῖν εὔρωστόν τε καὶ πλούσιον πλάττωμεν τῷ λόγῳ· συνέστω δὲ τούτῳ κατὰ τὴν αὐτὴν εἰκόνα πρεσβύτης πονηρὸς τὸν τρόπον καὶ ἀναίσχυντος καὶ εἰς οὐδὲν ὑπομένων ἐλαττοῦσθαι τοῦ νέου ἐπὶ τοῖς ἁμαρτήμασι. τί οὖν; ἢ νεότητα διὰ ταῦτα μέμψαιτ' ἄν 〈τις〉 ἢ γῆρας αἰτιάσαιτο, οὐχὶ δὲ τὸν νέον αὐτὸ δὴ τοῦτο καὶ τὸν γέροντα, εἰ ἀδικοῖεν, ὑπευθύνους εἶναι δόξει; καὶ δὴ καθάπερ ἐπὶ σκηνῆς ἤ τινος ἀγορᾶς, ἐν ᾗ δεικνύουσιν οἱ θαυματοποιοὶ τὰ θαύματα, ἡκέτω τις ἡμῖν ἑτέρα εἰκών, τῶν προειρημένων μορφὴν ἔχουσα· διὰ τὴν προσοῦσαν ἡλικίαν ἑκατέροις, τοὺς δὲ τρόπους καὶ τὰ ἤθη καὶ τὰ ἔργα κατὰ τὸ ἐναντίον τῶν προειρημένων· ἀγαθὸς μὲν ὁ νέος ἔστω καὶ περὶ τὸ ποιεῖν τἀγαθὰ προθυμότατος, ἐνάρετος δὲ ὁ πρεσβύτης καὶ δυνατὸς ἐπιματα. ἐπὶ τοῖνδε οὖν ἀμφοῖν περιβλέπτοιν ὄντοιν τῷ γήρᾳ καὶ τῇ νεότητι τὰς αἰτίας τῆς ἀρετῆς τοῖν ἀνδροῖν ἀναθήσομεν, οὐχὶ δὲ ἑκατέρῳ τὰ προσόντα δι' ἑαυτὸν εἶναι πιστεύσομεν; καί με ὑπόμεινον λέγοντα, ἅπερ ποτὲ ἤκουσα ἀνδρὸς φιλοσόφου διδάσκοντος ἡμᾶς αὐτὰ ταῦτα· ἔλεγε δὲ περί τε ψυχῆς ἀνθρώπου καὶ σώματος, ὅτι ἄρα τὰ μὲν θεῖα καὶ μεγάλα καὶ οἷς ἐφέστηκε δαίμων τις ἢ θεὸς ἢ τύχη, ταῦτα δὴ καὶ ἀκόντων ἡμῶν κρατεῖ, τὰ δὲ ὥσπερ κοινὰ ἤδη καὶ συνήθη τισὶν ἁμαρτήματα οἱ χρόνοι προσάγουσιν ἑκοῦσιν ἑκούσια. φράσω δ' ἔτι σαφέστερον ἅπερ εἶπεν· ἔχει δὲ ὧδε. τῆς ψυχῆς τὸ μὲν εἰλικρινὲς καὶ καθαρόν, ὃ δὴ θεῖον ἔστι καὶ εἶναι δοκεῖ, τοῦτο μὲν ἔφη γεννωμένοις ἡμῖν συνεκπέμπεσθαι, μηδενὸς αὐτῷ κοινωνοῦντος τῶν ταραττόντων τε καὶ ἀφανιζόντων τὴν ἐν αὐτῷ φρόνησιν· ἔπειτα δὲ τρεφομένου καὶ αὐξομένου τοῦ σώματος παρακολουθεῖν τινας ἡδονὰς καὶ ἀδικίας τῷ θείῳ πολεμούσας, αἷς σύμμαχός τε καὶ συνέριθος ἡ νεότης γίνεται, ὑφ' ἧς βαδίζουσαι καὶ κατακρύπτεσθαι δοκοῦσαι μονονουχὶ μάστιξι καὶ κέντροις, ὥσπερ ἐπὶ σκηνῆς αἱ τῶν τραγῳδῶν Εὐμενίδες, τὸν νέον ἐλαύνουσιν, αἱ μὲν ἐπί τινας ἔρωτας οὐ νενομισμένους οὐδὲ θεοῖς φίλους, ἄλλαι δὲ ἐξοργίζουσί τε καὶ ἀνεγείρουσιν αὐτὸν ἐπὶ μανίαν 〈τῶν Περσῶν〉

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔρωτα συνήγορον παραλαμβάνουσιν, εἰ δὲ ἀλλοτρίου μέν τινος, οὐκ ἐξὸν δὲ ὅμως, τὰ τῶν Βοιωτῶν ἢ τὰ τῶν Ἰώνων νόμιμα σεμνύουσιν, ὑπὸ κάλλους καὶ ἡδονῆς περιαστράπτεσθαι λέγουσαι τὸν ἄνδρα, καὶ ὅτι νέῳ δέ τε πάντ' ἐπέοικεν. αἱ δὲ θάρσος ἐμποιοῦσαι καὶ ἀλογιστίαν ἀνδρείαν ταῦτα ἐκάλουν· μέτριαι δέ πως ἐνομίσθησαν αἱ φιλοίνους τε καὶ ὀψοφάγους καὶ αὖ φιλαργύρους ποιοῦσαι. καὶ δὴ σκοπήσατε, ὦ παρόντες, ὅτι αἵδε αἱ μυρίαι σειρῆνες αἱ τὸν πλεῖστον ἀπάγουσαι λεὼν ὥσπερ αἰχμάλωτον, οὐ θαρροῦσι προσελθεῖν γέροντι· ἀλλὰ δὴ σὺν τῷ σώματι λήγοντι καὶ μαραινομένῳ τά τε αἴτια τῶν ἁμαρτημάτων ὑπέξεισιν, ἥ τε ψυχὴ αὐτοῦ μελετᾷ ἤδη, ὥσπερ καθ' ἑαυτὴν γιγνομένη, τὰ μὲν ἀνθρώπεια κακὰ φεύγειν συνεῖναι δὲ σωφροσύνῃ. τεκμήρια δὲ τῶν εἰρημένων καὶ πίστεις ἐποιεῖτο τά τε ἔργα παραλαμβάνων καὶ παλαιὰ ἐξηγούμενος, δι' ὧν ἔπειθε τὸ μὲν νέον ἅπαν σκιρτᾶν τε καὶ πεφυκέναι ἀκρατὲς ἑαυτοῦ καὶ ταράττεσθαι, τὸ δὲ πρεσβύτερον καὶ κατηρτυμένον δίκαιόν τε εἶναι καὶ εἰλικρινὲς 〈καὶ〉 οὐ παρέχον τοῖς λυποῦσιν ἀφορμὰς ὅμοιον εἶναι θεῷ. ἐμνημόνευε δὲ τραπεὶς ἐπὶ τὴν Ἑλληνικὴν ἱστορίαν τοῦ Πυλίου Νέστορος, ὃν διὰ γνώμην καὶ γῆρας τῶν ξυμπάντων ἡρώων προετίμησεν Ἀγαμέμνων ὁ τοῦ πολέμου στρατηγός, οὐ δι' ἡμέρας μόνον, ἀλλὰ καὶ νύκτωρ παραγενόμενος ἐπὶ τὴν ἐκείνου ναῦν, ὁπότε συμβούλου δέοιτο, θέλων αὐτῷ συνεῖναι κατὰ τοὺς κινδύνους Ἀχιλλέως μηνιῶντος. οὐ γὰρ τὸν νέον καὶ ἄτρωτον Αἴαντα οὐδὲ μὴν Διομήδην τὸν περιφανέστατον διὰ τὸ ἐπικαιόμενον αὐτοῦ τοῖς ὅπλοις θεῖον πῦρ, ἀλλ' οὐδὲ Μενέλεων τὸν ἀδελφὸν ὡς ἐκεῖνον δὴ τὸν ὑπερβαλόμενον γενεὰς ἀνθρώπων τὰς ἐπὶ ζωῇ νεμομισμένας πάντα ἐδόκει αὐτῷ τὰ κατὰ τοὺς πολέμους βοηθήματα εἰδέναι. καὶ τοῦτο δὲ ἔλεγε· τὸν Θεμιστοκλέα τὸν Ἀθηναῖον νέον μὲν ὄντα ὁ πατὴρ ἀπεκήρυξεν [οὐκ ἐθέλων υἱὸν ἔχειν] διὰ τὰς ἐν τῇ νεότητι ἁμαρτάδας· πληστρατηγὸν εἵλοντο ἐν τῷ Περσικῷ πολέμῳ, καὶ συμβουλεύοντί τε καὶ διακρίνοντι ἐπὶ τὸ σαφέστατον τὰ τοῦ Ἀπόλλωνος μαντεῖα εἵποντο ἀπολιπόντες τὴν πόλιν ἐρήμην, καὶ προθύμως ἐνέβαινον εἰς τὰς ναῦς ἡγουμένου Θεμιστοκλέους, καὶ διὰ τοῦτο ἐσώζοντο. τί γὰρ δεῖ με λέγειν τὴν 〈τοῦ〉 Ἀλκιβιάδου νεότητα καὶ τὸ γῆρας τοῦ Νικίου; ὧν ὁ μὲν ἐπὶ Σικελίαν ἦγεν αὐτούς, καὶ ἐδυστύχουν, ὁ δὲ συνεβούλευε σωφρονεῖν. εἰ γὰρ ἐθελήσαιμι τούτων γε πέρι καὶ τῶν ὁμοίων γίγνεσθαι, ἐπιλείψει με ὁ σύμπας χρόνος. καὶ τὰ μὲν ἀκοῇ μοι παραδοθέντα ὡς διὰ βραχέων εἶπον, οὕτως ἔχει.

4.51 Αἰσχύλου Νιόβης (fr. 161 N. 2). Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ, οὔτ' ἄν τι θύων οὔτ' ἐπισπένδων ἄνοις, οὐ βωμός ἐστιν οὐδὲ παιωνίζεται· μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ. Ὁμήρου Ἰλιάδος ι′ (406—409). Λιστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα, κτητοί τε τρίποδες καὶ ἵππων ξανθὰ κάρηνα· ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λιστὴ οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων. Φιλίτα Ἑρμοῦ (fr. 2 p. 34 Bach). Ἀτραπὸν εἰς Ἅιδεω ἤνυσα, τὴν οὔπω τις ἐναντίον ἦλθεν ὁδίτης. Ἠρίννης (fr. 3 B. 4). Τουτόθεν εἰς Ἀίδαν κενεὰ διανήχεται ἀχώ, σιγὰ δ' ἐν νεκύεσσι, τὸ δὲ σκότος ὄσσε καταγρεῖ. Σιμωνίδου (fr. 38 B. 4). Πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα χάρυβδιν, αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος. Εὐριπίδου Αἰγέως (fr. 10 N. 2). Κατθανεῖν δ' ὀφείλεται καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων. Σιμωνίδου (fr. 65 B. 4). Ὅ δ' αὖ θάνατος κίχε καὶ τὸν φυγομάχαν. Μενάνδρου Κυβερνήτου (fr. 301 K.). Σοφοκλέους (O. R. 961). Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή. Σοφοκλέους (fr. 865 N. 2). Ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν, μῶρος πέφυκε· τῇ τύχῃ μέλει τάδε. ὅταν δ' ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ, οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγοι μολών. Σωτάδου. Πῶς ἀναλύεται τὸ σῶμα; πνεύματος φυγόντος. Ἀνακρέοντος (fr. 43 B. 4). Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι, κάρη δὲ λευκόν, χαρίεσσα δ' οὐκ ἔθ' ἥβη πάρα, γηραλέοι δ' ὀδόντες. γλυκεροῦ δ' οὐκ ἔτι πολλὸς βιότου χρόνος λέλειπται. διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς· Ἅιδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ' ἐς αὐτὸν κάτοδος· καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ ἀναβῆναι. Εὐριπίδου Ἄλκηστις (782 ss.). Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται, κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

Διφίλου (fr. 116 K.). Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι. Ἀριστοφάνους Πολυΐδου (fr. 452 K.). Τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς· πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν. Ποσιδίππου ἐκ Μύρμηκος (fr. 18 K.). Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν, τῆς εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 67 D). Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Πορφυρίου Τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν (c. VIII p. 2 Mommert). 〈Ὃ〉 ἔδησεν ἡ φύσις, τοῦτο φύσις λύει, καὶ ὃ ἔδησεν ψυχῇ, ψυχὴ δ' ἑαυτὴν ἐν σώματι. φύσις μὲν ἄρα λύει σῶμα ἐκ ψυχῆς, ψυχὴ δ' ἑαυτὴν λύει ἀπὸ σώματος. Ἀριστοτέλους. Ἀριστοτέλης ἔφη 'ἄφυκτον γὰρ τὸ τῆς πεπρωμένης ἐστὶ κακόν'. Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 5). Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. θάνατος οὐ φοβερόν· ἐπεὶ καὶ Σωκράτει ἂν ἦν· ἀλλὰ τὸ δόξαι τὸν θάνατον εἶναι φοβερόν. ὅταν οὖν ἐμποδιζώμεθα. μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ' ἑαυτούς, τοῦτο δέ ἐστι τὰ φαῦλα δόγματα. (Eiusd. c. 7) Καθάπερ ἐν πλῷ 〈τοῦ〉 πλοίου καθορμισθέντος εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον καὶ κοχλίδιον ον καὶ συνεχὲς ἐπιστρέφεσθαι, μή τι ὁ κυβερνήτης καλῇ, κἂν καλῇ, πάντα ς' ἀφεῖναι, ἵνα μὴ δεδεμένος βληθῇς ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ὁδοῦ πάρεργον ἀντὶ βολβοῦ καὶ κοχλίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον ἀφεὶς ἐκεῖνα μηδὲ ἐπιστρεφόμενος. ἂν δὲ ᾖς γέρων, μηδὲ ἀποχώρει τοῦ πλοίου μακράν, μή ποτε καλοῦντος ἐλλίπῃς. Αἰλιανοῦ Ἱστοριῶν (II 35). Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου καὶ γεγηρακὼς εὖ μάλα ὑπό τινος ἀσθενείας καταληφθείς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος καὶ ἤρετο, τί πράττοι, ὁ Γοργίας ἀπεκρίνατο· ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ. Σωκράτους. Χρὴ ψυχὴν λιπεῖν μηδ' ἀνιάζειν δακρύοις καὶ θρή- Αἰσχίνου (p. 68 Krauss). Οὐχ ὁ θάνατος δεινόν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά. Μουσωνίου (fr. XXXV H.). Τοῦ ἀποθανεῖν ὁμοίως ἐπικεκλωσμένου πᾶσιν, οὐ τὸ βραδέως ἀλλὰ τὸ ἐμφανῶς ἀποθανεῖν μακάριον. Ἀριμνήστου. Ἀρίμνηστος ἐρωτηθεὶς τί μέγιστον ἀγαθὸν ἀνθρώπῳ, εἶπε 'τὸ καλῶς ἀποθανεῖν'. Φαβωρίνου (fr. 112 Marr.). Ὅτι παραπλήσια τοῖς μετοικιζομένοις πάσχομεν. καὶ γὰρ ἐκείνων οἱ μὲν εὐγνώμονες ταχέως ἐξίασιν, οἱ δὲ μὴ βουλόμενοι πρὸς βίαν. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Γοργίας ὁ ῥήτωρ ἤδη γηραιὸς ὑπάρχων ἐρωτηθεὶς εἰ ἡδέως ἀποθνήσκοι, 'ἥδιστα' εἶπεν 'ὥσπερ δὲ ἐκ σαπροῦ Ἐπικούρου (Epicur. sent. sel. 2 p. 71 V s.). Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ, τὸ δὲ ἀναίσθητον οὐδὲν πρὸς ἡμᾶς. Ἑρμάρχου. Εὐκαταφρόνητος ὁ θάνατος· ἄπρακτον γὰρ τὸ ποιοῦν τοῦ πάσχοντος ἀνῃρημένου. Πορφυρίου ἐκ τῶν Πρὸς τὰ νοητὰ ἀφορμῶν (IX p. 2 Mommert). Ὁ θάνατος διπλοῦς· ὁ μὲν οὖν συνεγνωσμένος, λυομένου τοῦ σώματος ἀπὸ τῆς ψυχῆς, ὁ δὲ τῶν φιλοσόφων, λυομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος· καὶ οὐ πάντως ὁ ἕτερος τῷ ἑτέρῳ ἕπεται. Μητροδώρου (fr. 51 K.). Πρὸς μὲν τὰ ἄλλα δυνατὸν ἀσφάλειαν πορίσασθαι, χάριν δὲ θανάτου πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰ- Εὐριπίδου ἐξ Ἀλκήστιδος (669—72). Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν, γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου· ἦν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται θνῄσκειν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ. Ὁμήρου Ὀδυσσείας (XI 489—91). Βουλοίμην κε πάρουρος ἐὼν θητευέμεν ἄλλῳ ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη, ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν. Σοφοκλέους Ἀκρισίου (fr. 64 N. 2). Τὸ ζῆν γάρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας· θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς. Λυκόφρονος ἐκ Πελοπιδῶν (fr. 5 p. 818 N. 2). Ἀλλ' ἡνίκ' ἂν μὲν ᾖ πρόσω τὸ κατθανεῖν, Ἅιδης ποθεῖται τοῖς δεδυστυχηκόσιν· ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου, τὸ ζῆν ποθοῦμεν· οὐ γὰρ ἔστ' αὐτοῦ κόρος. Ἀπολλοδώρου ἐκ Διαμαρτάνοντος (fr. 4 III p. 298 K.). Ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν, νυνὶ δ', ὅταν γέροντος ἐκφορὰν ἴδω, κλαίω· πρὸς ἐμὲ γάρ ἐστι τοῦτ', ἐκεῖνο δ' οὔ. Εὐριπίδου Ὀρέστου (1523). Πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς

ὁρῶν. Ἐν ταὐτῷ (1034). Πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς. Ἐν ταὐτῷ (1509). Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν. Εὐριπίδου Ἰφιγενείας (Aul. 1250). Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν, τὸ νέρθε δ' οὐδέν· μαίνεται δ' ὃς εὔχεται Σοφοκλέους Ἰοβάτου (fr. 275 N. 2). Τὸν Ἅιδαν γὰρ οὐδὲ γῆρας οἶδε φιλεῖν. Τοῦ αὐτοῦ Ἀκρισίῳ (fr. 63 N. 2). Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. Εὐριπίδου Ἱππολύτῳ (fr. 443 N. 2). Ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος, ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ. Εὐριπίδου Μελεάγρῳ (fr. 533 N. 2). Τερπνὸν τὸ φῶς μοι· τὸ δ' ὑπὸ γῆς [δι'] Ἅιδου σκότος οὐδ' εἰς ὄνειρον οὐδ' εἰς ἀνθρώπους μολεῖν· ἐγὼ μὲν οὖν γεγῶσα τηλικήδ' ὅμως ἀπέπτυς' αὐτὸ κοὔποτ' εὔχομαι θανεῖν. Τοῦ αὐτοῦ (Alc. 301). Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον. Ἀλέξιδος ἐκ Τραυματίου (fr. 235 K.). Τὸν γὰρ ὕστατον τρέχων δίαυλον τοῦ βίου ζῆν βούλομαι. Ἐκ τῶν Φαβωρίνου Περὶ γήρως (fr. 71 Marr.). Θεόδωρος μὲν γὰρ ὁ Κυρηναῖος οὐδεμίαν ἱκανὴν πρόφασιν ἔφασκεν εἶναι τῷ σοφῷ πρὸς τὴν τοῦ βίου κατάλυσιν· καὶ τό τε ἀκόλουθον οὕτως ἠρώτα· τὸ γὰρ καταφρονοῦντα τῶν ἀνθρωπείων συμπτωμάτων ἀπωστὸν ὑπ' αὐτῶν ἐκ τοῦ βίου γίγνεσθαι πῶς οὐχ ὑπεναντίον τῷ μόνον μὲν τὸ καλὸν ἀγαθόν, μόνον δὲ αἰσχρὸν τὸ κακὸν εἰρηκότι; Σπευσίππου. Σπευσίππῳ παραλυθέντι τὰ σκέλη Διογένης ἐξαγαγεῖν αὐτὸν [τοῦ βίου] παρῄνει· ὁ δέ 'οὐ τοῖς σκέλεσιν' ἔφη 'ζῶμεν, ἀλλὰ τῷ νῷ.' Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων (Arist. Chii fr. 399 de Arn.). Πολλοὶ σοφοὶ γηραιοὶ φιλοζωοῦσι. καὶ γὰρ οἱ ὀψὲ γήμαντες φιλοζωοῦσιν, ἵν' ἐκθρέψωσι τὰ τέκνα, καὶ οὗτοι ὀψὲ ἀρετῆς ἐπήβολοι γενόμενοι ἐφίενται αὐτὴν ἐκ- Καρνεάδου. Καρνεάδης Ἀντιπάτρου αὐτὸν ἐξαγαγόντος γέρων ὢν δύο κύλικας ἐκέρασε, τὴν μὲν κωνείου, τὴν δὲ οἰνομέλιτος. καὶ τὴν τοῦ κωνείου τοῖς λοιποῖς Στωϊκοῖς εἰπὼν προπίνειν τὴν τοῦ οἰνομέλιτος ἐξέπιε, διαπαίζων τὴν σπου- Εὐριπίδου Τρῳάδων (635 ss.). Ἄκουσον, ὥς σοι τέρψιν ἐμβαλῶ φρενί· τὸ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω. Ἀριστάρχου (fr. 3 p. 728 N. 2). Ὦ θάνατε, σωφρόνισμα τῶν ἀγνωμόνων. Ἐκ τοῦ Ἀλκιδάμαντος Μουσείου (p. 155 Εὐριπίδου Ἀντιγόνη (fr. 176 N. 2). Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος ἔχει· μαθεῖν δὲ πασίν ἐστιν εὐμαρές. Νεοπτόλεμος ἐν τῷ Περὶ ἀστεϊσμῶν. Ὦ θάνατ', εἴθ' εἶης αὐτάγρετος, ὅφρ' ἂν ἑλοίμην πρώτιστος· καί κ' ἐχθρὸς ἐὼν πολὺ φίλτατος εἶης. Εὐριπίδου Ἡρακλειδῶν (592—96). Εἴ τι δὴ κάτω χθονός· εἴη γε μέντοι μηδέν. εἰ γὰρ ἔξομεν κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν, οὐκ οἶδα πῇ τις τρέψεται· τὸ γὰρ θανεῖν κακῶν μέγιστον φάρμακον νομίζεται. Σοφοκλέους Φιλοκτήτου (fr. 636 N. 2). Μενάνδρου Δὶς ἐξαπατῶντος (fr. 125 K.). Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνῄσκει νέος. Λεωνίδα (p. 41 Geffcken). Εὔθυμος ὢν ἔρεσσε τὴν ἐπ' Ἅιδος ἀταρπὸν ἔρπων· οὐ γάρ ἐστι δύσβατος οὐδὲ σκαληνὸς οὐδ' ἐνίπλεος πλάνης, ἰθεῖα δ' ᾗ μάλιστα καὶ κατακλινὴς ἅπασα κἠκ μεμυκότων ὁδεύεται. Εὐριπίδου Φιλοκτήτου (fr. 791 N. 2). ΧΟΡ. Ἅλις, ὦ βιοτά· πέραινε, πρίν τινα συντυχίαν ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι. Θεόγνιδος (425 ss.). Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον, μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου, φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι καὶ κεῖσθαι πολλὴν γῆν ἀπαμησάμενον. Σωτάδου. Πάντων ὁ λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν. Αἰσχύλου (fr. 255 N. 2). Ὦ θάνατε παιάν, μή μ' ἀτιμάσῃς μολεῖν. μόνος 〈γὰρ〉 εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ. Ὑψαίου. Νέος δ' ἀπόλλυθ' ὄντιν' ἂν φιλῇ θεός. Σοφοκλέους Τραχινίαις (1172 s.). Τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ· Ἀστυδάμαντος Ναυπλίου (fr. 5 p. 779 N. 2). Χαῖρ', εἰ τὸ χαίρειν ἔστι που κάτω χθονός. δοκῶ δ'· ὅπου γὰρ μὴ ἔστι λυπεῖσθαι βίῳ, ἔστιν τὸ χαίρειν τῶν κακῶν λελησμένῳ. Ἴωνος Ἀγαμέμνονος (fr. 2 p. 732 N. 2). Κακῶν ἀπέστω θάνατος, ὡς ἴδῃ κακά. Εὐριπίδου (fr. 908 N. 2). Τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς. Εὐριπίδου Φρίξῳ (fr. 833 N. 2). Τίς δ' οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν, οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά. Ἀναξαγόρου (p. 300 Diels 2). Ἀναξαγόρας δύο ἔλεγε διδασκαλίας εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον καὶ τὸν

ὕπνον. Δημοκρίτου (fr. 297 Diels 2). Ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης, τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωροῦσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου. Ἰουλίου ἐκ τῶν εἰς τὸν Διόνυσον καὶ τὴν πατρίδα λεχθέντων. Φέρτερον εὐκλέα μοῖραν ἐπ' ἀκλείῃ βιότοιο εὑρέμεναι, ἀγαθὸν δὲ θανεῖν τοιῷδ' ἐπὶ ἔργῳ. Εὐριπίδου (fr. 449 N. 2). Ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους τὸν ζῶντα θρηνεῖν εἰς ὅς' ἔρχεται κακά, τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων. Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον (fr. VII vol. VII p. 126 Bern.). Τροφώνιος καὶ Ἀγαμήδης ποιήσαντες ἐν Δελφοῖς ναὸν ᾔτουν παρὰ τοῦ Ἀπόλλωνος τὸν μισθόν· ὁ δὲ αὐτοῖς ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ, καὶ τῇ ἑβδόμῃ ἀπέθανον. Ἔτι δὲ Κλέοβις καὶ Βίτων, Κυδίππης τῆς μητρὸς αὐτῶν εὐξαμένης τῇ Ἥρᾳ δοῦναι τοῖς παισὶν ὅπερ ἂν εἴη κάλλιστον, ὅτι ἑαυτοὺς ὑποζεύξαντες τὴν μητέρα εἰς τὸ ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα κατέστρεψαν. εἰς οὓς καὶ τοιόνδε τις ἐπίγραμμα πεποίηκεν· Οἵδε Βίτων Κλέοβίς τ' ἐπὶ σώμασιν οἰκείοισιν ζεῦγλαν ζευξάμενοι μητέρα ἦν ἀγέτην Ἥρας εἰς ἱερόν· λαοὶ δέ μιν ἐζήλωσαν εὐτεκνίας παίδων. ἡ δὲ χαρεῖσα θεᾷ εὔξατο παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης, οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην. αὐτοῦ δ' εὐνηθέντε λίπον βίον ἐν νεότητι, ρίας. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (fr. 119 M.). Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσιν. Θεμιστίου ἐκ τοῦ Περὶ ψυχῆς. Ὅπου τὸν ἀπὸ τῆς στοᾶς φιλόσοφον Ἀντίπατρον ἀποθνήσκοντα λέγουσιν ἐν εὐτυχήματος μέρει διακεῖσθαι καὶ τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας εὔπλοιαν. Δημοσθένους ἐν τῷ Ὑπὲρ τοῦ στεφάνου (330). Τίς γὰρ οὐκ οἶδε τῶν ἁπάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς τεθνεῶτας δὲ οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ. Ἑρμοῦ ἐκ τῶν Πρὸς Ἀσκληπιόν (p. 46 a Patric. Ps.—Apulei p. 65, 18 Thom.). Περὶ δὲ τοῦ θανάτου νῦν λεκτέον· τοὺς γὰρ πολλοὺς ὁ θάνατος φοβεῖ ὡς κακὸν μέγιστον, ἀγνοίᾳ τοῦ πράγματος. θάνατος γὰρ γίγνεται διάλυσις καμόντος σώματος καὶ τοῦ ἀριθμοῦ πληρωθέντος τῶν ἁρμῶν τοῦ σώματος. ἀριθμὸς γάρ ἐστιν ἡ ἁρμογὴ τοῦ σώματος. ἀποθνήσκει δὲ τὸ σῶμα, ὅταν μηκέτι δύνηται φέρειν τὸν ἄνθρωπον. καὶ τοῦτό ἐστι θάνατος, διάλυσις σώματος καὶ ἀφανισμὸς αἰσθήσεως σωματικῆς. Θεμιστίου ἐκ τοῦ Περὶ ψυχῆς. Ταῦτα τοῦ Τίμωνος εἰπόντος, ὑπολαβὼν ὁ Πατροκλέας 'ὁ μὲν λόγοσ' εἶπεν 'οὐχ ἧττον ἰσχυρὸς ἢ παλαιός, ἔχει δὲ ὅμως ἀπορίας. εἰ γὰρ ἡ δόξα τῆς ἀφθαρσίας παμπάλαιός ἐστι, πῶς αὖ πάλιν τὸ τοῦ θανάτου δέος πάντων πρεσβύτατον εἶναι τῶν φόβων; εἰ μὴ νὴ Δία καὶ πάντας ἡμῖν τοῦτο τοὺς ἄλλους ἐγγεγέννηκεν· οὐ γὰρ νεαρὸν οὐδὲ πρόσφατόν ἐστι τὸ κλαίεσθαι τὸν τεθνηκότα, καὶ ταῦτα δὴ τὰ θρηνώδη καὶ δύσφημα τῶν ὀνομάτων ἐπιλέγεσθαι, τὸν ἄθλιον καὶ τὸν οἰκτρόν'. 'Ἀλλ' οὕτω βολῆς ὑπόνοιαν δίδωσιν, οὐκ ἄδηλόν ἐστι· ὅποι δὲ αὖτη γίγνεται τοῖς μεταλλάττουσιν ἡ μεταβολή, καὶ πότερον εἰς χεῖρον ἢ βέλτιον, ἐκ τῶν ἄλλων ὀνομάτων σκοπῶμεν. αὐτὸ τοίνυν τὸ τοῦ θανάτου πρῶτον οὐχ ὑπὸ γῆν ἔοικεν οὐδὲ κάτω δεικνύναι χωροῦν τὸ μετηλλαχὸς ἀλλ' ἄνω φερόμενον καὶ θέον· διὸ δὴ καὶ λόγον ἔχει καθάπερ ἐκ καμπῆς τινος ἀνείσης οἷον ἐξάττειν καὶ ἀναθεῖν τὴν ψυχὴν ἀποπνέοντος τοῦ σώματος ἀναπνέουσαν αὐτὴν καὶ ἀναψύχουσαν. ὅρα δὲ τὸ ἀντικείμενον θανάτῳ, τὴν γένεσιν, ὡς τοὐναντίον δηλοῖ ῥοπήν τινα κάτω καὶ νεῦσιν ἐπὶ γῆν, ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν ἀναθέοντος· ᾗ καὶ γενέθλιον τὴν ἡμέραν καλοῦσιν, ὡς ἄθλων καὶ πόνων μεγάλων ἀρχὴν γενομένην. μᾶλλον δ' ἴσως ἀφ' ἑτέρας τὸ αὐτὸ συζυγίας κατοψόμεθα καὶ σαφέστερον· ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα καὶ τὴν τελευτὴν ἀπόλυσιν καλοῦσιν, ἂν δὲ ἔρημαι σώματος· τοῦτο γὰρ δέμας ὀνομάζουσιν, ὡς δεδεμένης ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν· οὐδὲν γὰρ ἐν ᾧ πέφυκεν εἶναι κατέχεται βίᾳ, καὶ τὸ δεφωνον τοῦ βίου ὄνομα γέγονε τὸ ἀναπαύεσθαι τὸν θνήσκοντα, μεγάλης καὶ παρὰ φύσιν ἀνάγκης ἀπαλλαττόμενον. Ἐν ταὐτῷ. Οὕτω κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ μετακόσμησιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀλωλέναι τὴν ψυχὴν λέγομεν ἐκεῖ γενομένην· ἐνταῦθα δὲ ἀγνοεῖ, πλὴν ὅταν ἐν τῷ τελευτᾶν ἤδη γένηται· τό 〈τε〉 δὲ πάσχει πάθος, οἷον οἱ τελεταῖς μεγάλαις κατοργιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι καὶ τὸ ἔργον τῷ ἔργῳ τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε. πλάναι τὰ πρῶτα καὶ περιδρομαὶ κοπώδεις καὶ διὰ σκότους τινὲς ὕποπτοι πορεῖαι καὶ ἀτέλεστοι, εἶτα πρὸ τοῦ τέλους αὐτοῦ τὰ δεινὰ πάντα, φρίκη καὶ τρόμος καὶ ἱδρὼς καὶ θάμβος· ἐκ δὲ τούτου φῶς τι θαυμάσιον ἀπήντησεν καὶ τόποι καθαροὶ καὶ λειμῶνες ἐδέξαντο, φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν καὶ φασμάτων ἁγίων ἔχοντες· ἐν αἷς ὁ παντελὴς ἤδη καὶ μεμυημένος ἐλεύθερος γεγονὼς καὶ ἄφετος περιιὼν ἐστεφανωμένος ὀργιάζει καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσι, τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ἀκάθαρτον ἐφορῶν ὄχλον ἐν βορβόρῳ πολλῷ καὶ ὁμίχλῃ πατούμενον ὑφ' ἑαυτοῦ καὶ συνελαυνόμενον, φόβῳ δὲ θανάτου τοῖς κακοῖς ἀπιστίᾳ τῶν ἐκεῖ ἀγαθῶν ἐμμένοντα. ἐπεὶ τό γε παρὰ φύσιν πολλῷ τῷ οἰκείῳ κεραννυμένην· ἔπειτα τῶν ἄλλων ἐπιθυμιῶν κρατεῖ, κἂν ὦσι σφοδρόταται. καὶ γὰρ πρὸς ἡδονὴν οἱ φιλοσώματοι δυσανασχετοῦσιν, ἐπιόντος αὐτοῖς τοῦ καθεύδειν, καὶ περιβολὰς ἐρωμένων προΐενται καταδαρθάνοντες. καὶ τί δεῖ ταῦτα λέγειν, ὅπου καὶ τὴν ἀπὸ τοῦ μανθάνειν καὶ διαλέγεσθαι καὶ φιλοσοφεῖν ἡδονὴν καταλαμβάνων ὁ ὕπνος ἀποκλείει τῆς ψυχῆς, ὥσπερ ἀπὸ ῥεύματος λείου καὶ βαθέος ὑποφερομένης; ἡδονὴ δὲ δὴ πᾶσα μὲν ἴσως οὐσίαν ἔχει καὶ φύσιν ἀλγηδόνος ἀπαλλαγήν, αὕτη δὲ καὶ παντάπασιν. οὐδενὸς γὰρ ἔξωθεν οἷον ἐπιτερποῦς καὶ κινητικοῦ προσιόντος ἡδόμεθα καταδαρθάνοντες, ἀλλ' ἐπίπονόν τινα καὶ κοπώδη καὶ σκληρὰν ἔοικεν ἐξαιρῶν 〈ὁ〉 ὕπνος διάθεσιν ἥδιστον εἶναι. αὕτη δ' ἐστὶν οὐχ ἑτέρα τῆς πρὸς τὸ σῶμα τὴν ψυχὴν συνδεούσης. χωρίζεται γὰρ ἡ ψυχὴ ἐν τῷ καθεύδειν ἀνατρέχουσα καὶ συλλεγομένη πρὸς ἑαυτὴν ἐκ τοῦ διατετάσθαι πρὸς τὸ σῶμα καὶ διεσπάρθαι ταῖς αἰσθήσεσι. καίτοι λέγουσί τινες ὡς καταμίγνυσι μᾶλλον ὁ ὕπνος πρὸς τὸ σῶμα τὴν ψυχήν, οὐκ ὀρθῶς λέγοντες· ἀντιμαρτυρεῖ γὰρ τῇ ἀναισθησίᾳ καὶ ψυχρότητι καὶ βάρει καὶ ὠχρότητι τὸ σῶμα κατηγοροῦν τῆς ψυχῆς ἔκλειψιν μὲν ὅταν τελευτήσῃ, μετάστασιν δὲ ὅταν καθεύδῃ. καὶ τοῦτό ἐστι τὸ τὴν ἡδονὴν ποιοῦν, ἀπόλυσις καὶ ἀνάπαυλα τῆς ψυχῆς, ὥσπερ ἄχθος κατατιθεμένης καὶ πάλιν ἀναλαμβανούσης καὶ ὑποδυομένης. φεύγειν γὰρ ἔοικε κομιδῇ τὸ σῶμα θνήσκουσα δραπετεύειν δὲ καταδαρθάνουσα. διὸ θνήσκουσι μὲν ἔνιοι μετὰ πόνων καθεύδουσι δὲ μετὰ ἡδονῆς ἅπαντες· ὅπου μὲν γὰρ ἀπορρήγνυται παντάπασιν ὁ δεσμός, ὅπου δ' ἐνδίδωσι καὶ χαλᾶται καὶ γίγνεται μαλακώτερος, οἷον ἀμμάτων ἀφιεμένων 〈τῶν〉 αἰσθήσεων παραλυομένων καὶ προϊεμένων τὴν περὶ τὸ σῶμα τῆς ψυχῆς ἔντασιν. 'Εἶτα πῶς' εἶπεν ὁ Πατροκλέας 'οὐ δυσφοροῦμεν οὐδὲ ἀλγοῦμεν ἐγρηγορότες;' 'Πῶς δέ' ἔφη ὁ Τίμων 'κειρομένων μὲν αἰσθάνεται κουφότητος ἡ κεφαλὴ καὶ ῥᾳστώνης, κομώντων δὲ βαρύτητος αἴσθησιν οὐ πάνυ παρεῖχεν; καὶ λυθέντες μὲν ἐκ δεσμῶν ἥδονται, δεδεμένοι δὲ οὐκ ἀλγοῦσι; καὶ φῶς ἐπεισενεχθὲν ἐξαίφνης συμποσίῳ θόρυβον καὶ κρότον ὑφ' ἡδονῆς ἐποίησε, πρότερον δὲ τὸ ἀλαμπὲς ἐδόκει μὴ ἐνοχλεῖν μηδὲ λυπεῖν τὴν ὄψιν; ἓν γὰρ αἴτιον, ὦ φίλε, τούτων ἁπάντων, ὅτι τῷ παρὰ φύσιν τὸ κατὰ μικρὸν σύνηθες καὶ σύντροφον ἐποίει τὴν αἴσθησιν, ὥστε μὴ πάνυ δυσχεραίνειν πάσχουσαν, ἀπαλλαγείσης δὲ καὶ μεταβαλούσης εἰς τὴν φύσιν, φαίνεται παρευθὺς τῷ οἰκείῳ πάθη καὶ μέρη καὶ ὄργανα κοινωνίᾳ τὸ παρὰ φύσιν καὶ ἀλλότριον οὐ πάνυ δοκεῖ πιέζειν ὑπὸ μακρᾶς συνηθείας· αἰσθάνεται δὲ ῥᾳστώνης καὶ κουφότητος μεθ' ἡδονῆς ἀφιεμένη τῶν διὰ τοῦ σώματος ἐνεργειῶν· ἐκείναις γὰρ ἐνοχλεῖται καὶ περὶ ἐκείνας ἐκπονεῖται καὶ ἀπ' ἐκείνων σχολῆς δεῖται καὶ ἀναπαύσεως· ἃ δὲ αὐτὴ καθ' αὐτὴν ἐνεργεῖ κατὰ φύσιν, τὸ σκοπεῖν ἀεί τι καὶ λογίζεσθαι καὶ μνημονεύειν καὶ θεωρεῖν, πρὸς ταῦτα ἄτρυτός ἐστι καὶ ἀκόρεστος. καὶ γὰρ ὁ κόρος κόπος ἐν ἡδοναῖς ἔοικεν εἶναι τῷ μετὰ σώματός τι τὴν ψυχὴν πάσχειν. ἐπεὶ πρός γε τὰς αὐτῆς ἡδονὰς οὐκ ἀπαγορεύει, συμπεπλεγμένη δέ, ὥσπερ εἴρηται, τῷ σώματι ταὐτὰ τῷ Ὀδυσσεῖ πέπονθεν· ὡς γὰρ ἐκεῖνος τῷ ἐρινεῷ προσφὺς εἴχετο καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιέπτυσσεν οὐ ποθῶν οὐδὲ ἀγαπῶν ἐκεῖνον, ἀλλὰ δεδιὼς ὑποκειμένην τὴν Χάρυβδιν· οὕτως ἔοικεν ἡ ψυχὴ ἔχεσθαι καὶ περιπεπλέχθαι δι' εὔνοιαν οὐδεμίαν αὐτοῦ καὶ χάριν, ἀλλ' ὀρρωδοῦσα τοῦ θανάτου τὴν ἀδηλότητα. 'κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι' κατὰ τὸν σοφὸν Ἡσίοδον, οὐ σαρκίνοις τισὶ δεσμοῖς πρὸς τὸ σῶμα τὴν ψυχὴν κατατείναντες, ἀλλ' ἕνα δεσμὸν αὐτῇ καὶ μίαν φυλακὴν μηχανησάμενοι καὶ περιβαλόντες, τὴν ἀδηλότητα καὶ ἀπιστίαν τῶν μετὰ τὴν τελευτήν· ἐπεὶ τήν γε πεισθεῖσαν, ὅσα ἀνθρώπους περιμένει τελευτήσαντας καθ' Ἡράκλειτον, οὐ- Πλάτωνος ἐκ τῆς Σωκράτους Ἀπολογίας (p. 40 C—41 A. 41 C). Δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδὲ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου 〈τοῦ〉 ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴτε μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος ἐπειδάν τις καθεύδων μηδὲ ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος· ἐγὼ γὰρ οἶμαι, εἴ τιν' ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας 〈τὰς〉 τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον 〈εἰπεῖν〉 πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας· εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλεῖον ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. εἴ τ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τοὺς ὡς ἀληθῶς δικαστὰς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν 〈ἡμι〉θέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἀποδημία ἂν εἴη Ὀρφεῖ συγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ; τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν. Πλάτωνος ἐκ τοῦ Φαίδωνος (p. 84 D—85 B). Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦβεῖσθε μὴ δυσκολώτερον διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ· καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἳ ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι οὗπέρ εἰσι θεράποντες. οἱ δὲ ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται, καί φασιν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾄδειν, καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει ὅταν πεινῇ ἢ ῥιγοῖ ἤ τινα ἄλλην λύπην λυπῆται, οὐδὲ αὐτὴ 〈ἥ τ'〉 ἀηδὼν καὶ χελιδὼν καὶ 〈ὁ〉 ἔποψ, ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν. ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν οὔτε οἱ κύκνοι, ἀλλ' ἅτε οἶμαι τοῦ Ἀπόλλωνος ὄντες, μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ ᾄδουσι καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθε χρόνῳ. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου αὐτοῦ, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. Ἐν ταὐτῷ (p. 117 E). Καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε. Ἡροδότου ἱστορίας ε′ (4). Τραυσοὶ δὲ τὰ μὲν ἄλλα πάντα κατὰ ταὐτὰ τοῖσιν ἄλλοισι Θρῃξὶν ἐπιτελέουσι, κατὰ δὲ τὸν γινόμενον σφίσι καὶ ἀπογινόμενον ποιεῦσι τοιάδε· τὸν μὲν γινόμενον περιιζόμενοι οἱ προσήκοντες ὀλοφύρονται, ὅσα μιν δεῖ ἐπείτ' ἐγένετο ἀναπλῆσαι κακά, ἀνηγεόμενοι τὰ ἀνθρωπήια πάντα πάθεα· τὸν δ' ἀπογινόμενον παίζοντές τε καὶ ἡδόμενοι γῇ κρύπτουσιν, ἐπιλέγοντες ὅσων κακῶν ἐξαπαλλαχθείς ἐστιν ἐν πάσῃ εὐδαιμονίῃ. Πλάτωνος ἐκ τοῦ Ἀξιόχου (p. 365 B). Ὅτι, τὸ κοινὸν δὴ τοῦτο καὶ πρὸς πάντων θρυλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος, καὶ δεῖ τοῦτό γε εἰδότας μονονουχὶ παιανίζοντας εἰς τὸ χρεὼν ἀπιέναι. Ἐν ταὐτῷ (p. 369

B). Ὅτι ὁ θάνατος οὔτε πρὸς τοὺς ζῶντάς ἐστιν οὔτε πρὸς τοὺς μετηλλαχότας. — Πῶς φῄς, ὦ Σώκρατες; — Ὅτι πρὸς μὲν τοὺς ζῶντας οὐκ ἔστιν, οἱ δὲ ἀποθανόντες οὐκ εἰσίν.

4.53 Σοφοκλέους Ταντάλου (fr. 518 N. 2). ΧΟΡ. Βιοτῆς μὲν γὰρ χρόνος ἔστι βραχύς, κρυφθεὶς δ' ὑπὸ γῆς κεῖται τεθνεὼς τὸν ἅπαντα χρόνον. Σιμωνίδου (fr. 3 Bergk. 4). Πολλὸς γὰρ ἡμῖν ἐστι τεθνάναι χρόνος, ζῶμεν δ' ἀριθμῷ παῦρα κακῶς ἔτεα. Ἀντιφάνους ἐκ Διπλασίων (fr. 86 K.). Οὐθεὶς πώποτε, ὦ δέσποτ', ἀπέθαν' ἀποθανεῖν πρόθυμος ὧν· ἄκοντας ὁ Χάρων, ἐπὶ τὸ πορθμεῖόν τ' ἄγει σιτιζομένους καὶ πάντ' ἔχοντας ἀφθόνως. ὁ δὲ λιμός ἐστιν ἀθανασίας φάρμακον. Μενάνδρου Φιλαδέλφοις (fr. 506. 507 K.). Ὡς ἡδὺ τὸ ζῆν, εἰ μεθ' ὧν κρίνει τις ἂν *** τοῦτ' ἐστὶ τὸ ζῆν, οὐχ ἑαυτῷ ζῆν μόνον. (Eiusdem fr. 930 K.) Ἡδύ γ' ἀποθνῄσκειν ὅτῳ ζῆν μὴ παρέσθ' ὡς βούλεται. Μενάνδρου Ὑποβολιμαίου (fr. 481 K.). Τοῦτον εὐτυχέστατον λέγω, ὅστις θεωρήσας ἀλύπως, Παρμένων, τὸν ἥλιον τὸν κοινὸν ἄστρ' ὕδωρ νέφη πῦρ· ταῦτα, κἂν ἑκατὸν ἔτη βιῷς, ἀεὶ ὄψει παρόντα, κἂν ἐνιαυτοὺς σφόδρ' ὀλίγους, σεμνότερα τούτων ἕτερα 〈δ'〉 οὐκ ὄψει ποτέ. (contin. Men. fr. 481 K.) Πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον, ὅν φημι τοῦτον, τὴν ἐπιδημίαν ἄνω· ὄχλος ἀγορὰ κλέπται κυβεῖαι διατριβαί. ἂν πρῶτος ἀπίῃς καταλύσεις, βελτίονα ἐφόδι' ἔχων ἀπῆλθες ἐχθρὸς οὐδενί· ὁ προσδιατρίβων δ' ἐκοπίασεν ἀπολέσας, κακῶς τε γηρῶν ἐνδεής που γίνεται, ῥεμβόμενος ἐχθροὺς εὗρ', ἐπεβουλεύθη ποθέν, οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν εἰς χρόνον. Φιλήμονος (fr. 203 K.). Θανεῖν κράτιστόν ἐστιν ἢ ζῆν ἀθλίως. Μενάνδρου (fr. 592 K.). Ὅταν ᾖ γέρων τις ἐνδεής τε τὸν βίον *** οὐδ' αὖ τὸ θνῄσκειν δεινόν, ἀλλ' ἐν τῷ καλῶς ἑκάτερον αὐτῶν τὴν διάγνωσιν φέρει. Εὐριπίδου Φοίνικος (fr. 816 N. 2). Καίτοι ποτ' εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν τυφλὸν προηγητῆρος ἐξηρτημένον, ἀδημονοῦντα συμφοραῖς ἐλοιδόρουν, ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων. καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως πέπτωχ' ὁ τλήμων. ὦ φιλόζωοι βροτοί, οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν ποθεῖτ' ἔχοντες μυρίων ἄχθος κακῶν. οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου. τὸ ζῆν γὰρ ἴσμεν, τοῦ θανεῖν δ' ἀπειρίᾳ πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου. Σοφοκλέους Πηλέως (fr. 448 N. 2). Τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς. Ἐπίκληρος (Men. fr. 165 K.). Ὥσπερ τῶν χορῶν οὐ πάντες ᾄδους', ἀλλ' ἄφωνοι δύο τινὲς ἢ τρεῖς παρεστήκασι πάντων ἔσχατοι εἰς τὸν ἀριθμόν, καὶ τοῦθ' ὁμοίως πως ἔχει· χώραν κατέχουσι, ζῶσι δ' οἷς ἐστιν βίος. Ἀπολλοδώρου Ἀδελφῶν (fr. 1 vol. III p. 288 K.). Ἀπραγμόνως ζῆν ἡδύ· μακάριος βίος καὶ σεμνός, ἂν ᾖς μεθ' ἑτέρων ἀπραγμόνων. ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ εἶναι πίθηκον· ὢ ταλαιπώρου βίου. Ἀπολλοδώρου ἐκ Κιθαρῳδοῦ (fr. 6 l. c. K.). Οὐ πανταχοῦ Φρύξ εἰμι· τοῦ ζῆν ἢν ὁρῶ κρεῖττον τὸ μὴ ζῆν, χρήσομαι τῷ κρείττονι. Αἰσχύλου Ἰξίονος (fr. 90 N. 2). Βίου πονηροῦ θάνατος εὐκλεέστερος. Εὐριπίδου Ἐρεχθέως (fr. 361 N. 2). Ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας ζῆν φημὶ μᾶλλον, τοῦ βλέπειν τοὺς μὴ καλῶς. Αἰσχύλου (fr. 401 N. 2). Ζωῆς πονηρᾶς θάνατος εὐπορώτερος. τὸ μὴ γενέσθαι δ' ἐστὶν [μᾶλλον] ἢ πεφυκέναι κρεῖσσον κακῶς πράσσοντα. Ἀριστοφάνους Ταγηνιστῶν (fr. 488 K.). Καὶ μὴν πόθεν Πλούτων γ' ἂν ὠνομάζετο, εἰ μὴ τὰ βέλτιστ' ἔλαχεν; ἓν δέ σοι φράσω, ὅσῳ τὰ κάτω κρείττω 'στὶν ὧν ὁ Ζεὺς ἔχει. ὅταν γὰρ ἱστῇς, τοῦ ταλάντου τὸ ῥέπον κάτω βαδίζει, τὸ δὲ κενὸν πρὸς τὸν Δία. εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει. διὰ ταῦτα γάρ τοι καὶ καλοῦνται μακάριοι. πᾶς γὰρ λέγει τις, ὁ μακαρίτης οἴχεται, κατέδαρθεν· εὐδαίμων, ὅτ' οὐκ ἀνιάσεται. καὶ θύομέν 〈γ'〉 αὐτοῖσι τοῖς ἐναγίσμασιν ὥσπερ θεοῖσι, καὶ χοάς γε χεόμενοι αἰτούμεθ' αὐτοὺς δεῦρ' ἀνεῖναι τἀγαθά. Μενάνδρου Ἐπίκληρος (fr. 169 K.). Τί δ' ἂν ἔχοι νεκρὸς ἀγαθόν, ὅπου γ' οἱ ζῶντες ἔχομεν οὐδὲ ἕν; Εὐριπίδου Ἑκάβης (377 s.). Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος. Σοφοκλέους (fr. 866 N. 2). Ὅστις γὰρ ἐν κακοῖσιν ἰμείρει βίου, Σοφοκλέους Αἴαντι (473 ss.). Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου, κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται. τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν; οὐκ ἂν πριαίμην οὐδενὸς

λόγου βροτὸν ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται. ἀλλ᾽ ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή. πάντ᾽ ἀκήκοας λόγον. Εὐριπίδου Πειρίθου (fr. 596 N. 2). Οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ᾽ ἢ ζῆν κακῶς; Αἰσχύλος ἐν Ὅπλων κρίσει (fr. 177 N. 2). Τί γὰρ καλὸν ζῆν βίον ὃς λύπας φέρει; Εὐριπίδου (fr. 532 N. 2). Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ γῆ καὶ σκιά· τὸ μηδὲν εἰς οὐδὲν ῥέπει. Εὐριπίδου Τρῳάδων (632 s.). Οὐ ταὐτόν, ὦ παῖ, τῷ βλέπειν τὸ κατθανεῖν· τὸ μὲν γὰρ οὐδέν, τῷ δ᾽ ἔνεισιν ἐλπίδες. Διογένους. Διογένης εἰπόντος τινὸς ‘χαλεπόν ἐστι τὸ ζῆν‘ ‘οὐ 〈τὸ ζῆν‘〉 εἶπεν ‘ἀλλὰ τὸ κακῶς ζῆν.‘ Ἐπικτήτου (Epict. diss. fragm. dub. XXXII Schenkl). Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον. Πύρρωνος. Πύρρων ἔλεγε μηδὲν διαφέρειν ζῆν ἢ τεθνάναι. καί τις ἔφη πρὸς αὐτόν ‘τί οὖν σὺ οὐκ ἀποθνήσκεις;‘ ὁ δὲ ‘ὅτι‘ εἶπεν ‘οὐδὲν διαφέρει.‘ Ἐπικτήτου (diss. fr. XXIII Schenkl). Θαυμαστὴ ἡ φύσις καί, ὥς φησιν ὁ Ξενοφῶν, φιλόζωος. τὸ γοῦν σῶμα, τὸ πάντων ἀηδέστατον καὶ ῥυπαρώτατον, στέργομεν καὶ θεραπεύομεν· εἰ γὰρ ἔδει πέντε μόνον ἡμέραις θεραπεῦσαι τὸ τοῦ γείτονος σῶμα, οὐκ ἂν ὑπεμείναμεν. ὅρα γὰρ οἷόν ἐστιν ἔωθεν ἀναστάντα τρίἡμέραν. νάττω τουτονὶ τὸν θύλακον· εἶτα κενῶ· τί τούτου βαρύτερον; ἀλλὰ θεῷ δεῖ με ὑπηρετεῖν. διὰ τοῦτο μένω καὶ ἀνέχομαι λούων τὸ δύστηνον τοῦτο σωμάτιον, χορτάζων, σκέπων· ὅτε δὲ νεώτερος ἦν, καὶ ἄλλο τι προσέταττέ μοι, καὶ ὅμως ἠνειχόμην αὐτοῦ. διὰ τί οὖν οὐκ ἀνέχεσθε, ὅταν ἡ δοῦσα ἡμῖν φύσις τὸ σῶμα ἀφαιρῆται; Φιλῶ, φησίν, αὐτό. Οὐκ οὖν ὃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸ τὸ φιλεῖν ἡ φύσις σοι δέδωκεν; ἡ δ᾽ αὐτὴ λέγει, ‘ἄφες αὐτὸ ἤδη καὶ μηκέτι πρᾶγμα ἔχε.‘ Τοῦ αὐτοῦ (fr. 6XXIV Schenkl). Ἐὰν νέος τελευτᾷ τὸν βίον, ἐγκαλεῖ τοῖς θεοῖς ..... ὅτι, δέον αὐτὸν ἤδη ἀναπεπαῦσθαι, πρᾶγμα ἔχει· καὶ οὐδὲν ἧττον ὅταν προσίῃ ὁ θάνατος ζῆν βούλεται, καὶ πέμπει παρὰ τὸν ἰατρὸν καὶ δεῖται αὐτοῦ μηδὲν ἀπολιπεῖν προθυμίας καὶ ἐπιμελείας. θαυμαστοί, ἔφη, ἄνθρωποι μήτε ζῆν θέλοντες μήτε ἀποθνήσκειν. Πλάτωνος. Τοῦ πλείονος βίου φαυλοτέρου δὲ τὸν ἐλάσσονα ἀμείνονα ὄντα παντὶ πάντως προαιρετέον. Τοῦ αὐτοῦ. Οὐκ ἄμεινον ζῆν τῷ μοχθηρῷ ἀνθρώπῳ· κακῶς ἄρ᾽ ἀναγκάζεις ζῆν. Πλάτωνος (Apolog. extr.). Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι ἐμοὶ μὲν ἀποθανουμένῳ, ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ. Ἀπολλώνιος Κορνηλιανῷ (XCV Herch.). Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι, δυστυχοῦντι δὲ μακρός. Ἰούνκου ἐκ τοῦ Περὶ γήρως. Ὃς δ᾽ εἰδοίη ἀληθὴς εἶναι καὶ αὖ ἐπίσης ὠφελήσειν τε καὶ διδάξειν τὰ ὄντα νεανίσκους τε καὶ γέροντας καὶ τὴν καθ᾽ ἡντινοῦν αἰτίαν ἀνάγκη λυθῆναι· τὸ γὰρ ἀίδιον καὶ ἄφθαρτον μόνῳ τῷ θείῳ προσήκει, τὸ δὲ ὑπὸ τεχνίτου συστὰν ἔκ τινος ὕλης προσδέχεται φθοράν, ὁπότε καὶ φυτοῖς ἅπασι καὶ λίθοις καὶ σιδήρῳ μεταβολὴν ἴσμεν ξυμβαίνουσαν ὁμοίαν θανάτῳ· δένδροις μὲν καὶ τοῖς ἐξ αὐτῶν ξύλοις σηπεδόνα, λίθοις δὲ διάλυσιν, σιδήρῳ δὲ ἰόν. φασὶ δὲ καὶ τὸν κόσμον αὐτόν, διότι ἐγένετο, κατὰ γνώμην μέντοι τοῦ ποιήσαντος θεοῦ λελύσθαι ποτὲ ἐκ μέρους καὶ αὖθις λυθήσεσθαι εἴς τε πῦρ καὶ ὕδωρ. ἀνθρώπῳ δὲ καὶ τοῖς ἄλλοις ζῴοις ἡμέροις τε καὶ ἀγρίοις ἐξιέναι τοῦ βίου πᾶσα ἀνάγκη. καὶ σοὶ μὲν ἴσως, μᾶλλον δὲ ἄλλῳ τινὶ τῶν ἀμυήτων φιλοσοφίας, δόξει τὸ πρᾶγμα χαλεπὸν εἶναι διὰ τὰ προειρημένα· εὖ δὲ ἴσθι, ἐξεταζόμενον αἱρετώτερον φανεῖται τῆς περισπουδάστου ζωῆς. ἐνταῦθα μὲν γὰρ ἐνοχλεῖ τοῖς ἀνθρώποις οὐ βραχὺς πόνος, οὐδὲ λύπη καὶ ταλαιπωρία ξύντομος· ἀλλ᾽ οὐδὲ τῶν προσηκόντων εἰς σώματος ἐπιμέλειαν εὔροια πάρεστιν οὐδὲ ὑγεία συνεχής· οὐδὲ μὴν αἱ θαυμαζόμεναι παρά τισιν ἡδοναὶ καθ᾽ ἑαυτὰς εἰλικρινεῖς τε καὶ ῥᾴδιαι γίνονται, τοῦ μὲν ἀνιῶντος προκαταρχομένου καὶ ὥσπερ ἀπογεννῶντος αὐτάς, τοῦ δὲ οἰκείου βραχεῖαν καὶ ὀλιγοχρόνιον ἔχοντος τὴν τέρψιν· πόλεμοι δὲ καὶ μάχαι καὶ πράξεις ἐπίπονοι μακρὸν ἂν εἴη λέγειν ὁποῖά ἐστιν, εἴ τις ἐθέλοι μαρτύρια ποιήσασθαι τὰ ἔργα ἐπὶ τοῖς λόγοις· οὐδὲ γὰρ ἐπὶ θανάτοις οἰκείων καὶ φίλων ὁποῖα δρῶσι πατέρες ἢ μητέρες, καιρὸς ἐπιτήδειος ὁ παρὼν ἐξηγήσασθαι· ἀλλ᾽ οὐδὲ τὰς ἐπὶ ἔχει τῆς ἀληθοῦς ζωῆς, τοῦ ζῆν ὑπό τινων ἀποτεθνηκέναι

λεγομένου. ὅσα μέντοι ἀγαθὰ παρέχει δεξάμενος ἡμᾶς, ἀδεῶς τε καὶ πιστῶς ἀκούετε. 〈τὰ〉 μὲν γὰρ ἐνοχλοῦντα ταῖς ψυχαῖς σώματα, μυρίων ὄντα κακῶν αἴτια, ἐπιστὰς διέλυσεν, ἀποδιδοὺς αὐτὰ τοῖς στοιχείοις καὶ προστιθεὶς ἅπερ ἐξ αὐτῶν ὥσπερ ἐδανείσατο. τὰς δὲ ψυχὰς ἄγει ἐπὶ τὸν ἀειδῆ τόπον, ἔνθα δικασταί τε καὶ ἀψευδεῖς θεοὶ τῶν τε δικαίων καὶ τῶν ἀδίκων κάθηνται κρίνοντες κατὰ μίαν ταττομένας εἰς τὸν προεληλυθότα δῆμον· αἵ τε ἀπαλλαττόμεναι τῶν δικαιωτηρίων τυχοῦσαι νίκης ἐπὶ πεδία ἡλύσια καὶ τὰς ἐκεῖσε εὐπαθείας ἐκπέμπονται· καὶ εἰσὶ φίλαι τε καὶ κοινωνοὶ δαιμόνων τε καὶ ἡρώων, οὓς τέως ἀκοῇ παραλαμβάνουσαι ἐθαύμαζον, στρατηγῶν τε καὶ βασιλέων οὐκ ἀπολείπονται, τὰς δὲ χαλεπὰς καὶ ἀδίκους μεταβολὴ καταλαμβάνει, καὶ οὐκέτι ἀφικνοῦνται ἐς τὸ φῶς. Πλάτωνος ἐκ τοῦ Γοργίου (p. 492 E—493 C). Ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις δεινὸς ὁ βίος. οὐ γάρ τοι θαυμάζοιμ’ ἂν εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖσδε λέγει, λέγων τίς δ’ οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν; αἱ ἐπιθυμίαι εἰσί, τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω, καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελικός τις ἢ Ἰταλικός, παράγων τῷ ὀνόματι, διὰ τὸ πιθανόν τε καὶ πιστικὸν ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους ἀμυήτους, τῶν δὲ ἀνοήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσί, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στρεγανόν, ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπεικάσας. τοὐναντίον δὴ οὗτος σοί, ὦ Καλλίκλεις, ἐνδείκνυται ὡς τῶν ἐν Ἅιδου— τὸ ἀειδὲς δὴ λέγων— οὗτοι ἀθλιώτατοι εἶεν, οἱ ἀμύητοι, καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ. τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι· τὴν δὲ ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν δι’ ἀπιστίαν τε καὶ λήθην. Ξενοφῶντος ἐκ τῆς πρὸς Σώτειραν ἐπιστολῆς (ed. Sauppe vol. V p. 291). Ἐμοὶ δὲ δοκεῖ, ὦ Σώτειρα, οὔτε ὁ θάνατος αἰσχρὸν οὔτε τι καλὸν εἶναι. ὅρος δὲ ζωῆς οὐχ εἷς πάντων, ἀνισάριθμον ἐτῶν φέρων τὸ μὴ ὅμοιον τῆς γενέσεως τῇ ἰσχύι ἢ ἀρρωστίᾳ. τὴν δὲ πρόφασιν ποτὲ μὲν αἰσχρὰν οὖσαν ἐφέλκεσθαι θάνατον, ὅπου δὲ καλὴν καὶ πρεπώδη. Πλάτωνος ἐκ τοῦ Ἀξιόχου (p. 365 E—366 B). Ὅτι τῆς συγκρίσεως ἅπαξ διαλυθείσης καὶ τῆς ψυχῆς εἰς τὸν οἰκεῖον ἱδρυθείσης τόπον, τὸ ὑπολειφθὲν σῶμα, γεῶδες ὂν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. ἡμεῖς γάρ ἐσμεν ψυχή, ζῷον ἀθάνατον ἐν θνητῷ καθειργμένον φρουρίῳ· τὸ δὲ σκῆνος τουτὶ πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις, ᾧ τὰ μὲν ἥδοντα ἀμυχιαῖα καὶ πτηνὰ καὶ πλείοσιν ὀδύναις ἀνακεκραμένα, τὰ δὲ ἀλγεινὰ ἀκραιφνῆ καὶ πολυχρόνια καὶ τῶν ἡδόντων ἄμοιρα· νόσους δὲ καὶ φλεγμονὰς τῶν αἰσθητηρίων, ἔτι δὲ τὰς ἐντὸς κακότητας, οἷς ἀναγκαστῶς, ἅτε παρεσπαρμένη τοῖς πόροις, ἡ ψυχὴ συναλγοῦσα τὸν οὐράνιον ποθεῖ καὶ σύμφυλον αἰθέρα, καὶ διψᾷ, τῆς ἐκεῖ διαίτης καὶ χορείας ὀριγνωμένη. ὥστε ἡ τοῦ ζῆν ἀπαλλαγὴ κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή. Σωκράτους. Ἐν τῷ βίῳ καθάπερ ἐν θεάτρῳ ἄχρι τούτου δεῖ παραμένειν, ἄχρι οὗ τὴν τῶν ἔργων θέαν ἐπιτερπῆ εἶναι συμβαίνει. Ἡροδότου (VII 46). Ὦ βασιλεῦ, ὡς πολὺ ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν δακρύεις. Ὁ δὲ εἶπεν· Ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται. Ὁ δὲ ἀμείβετο λέγων· Ἕτερα τούτου παρὰ τὴν ζωὴν πεπόνθαμεν οἰκτρότερα· ἐν γὰρ οὕτω βραχεῖ βίῳ οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκεν, οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐχὶ ἅπαξ τεθνάναι μᾶλλον βούλεσθαι ἢ ζῆν· αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσαι καὶ βραχὺν ἐόντα μακρὸν δοκεῖν εἶναι ποιεῦσι τὸν βίον. οὕτω ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζωῆς καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν· ὁ δὲ θεὸς

4.54 Βακχυλίδου Ὕμνων (fr. 2 Blass 3). Αἰαῖ τέκος ἀμέτερον, μεῖζον ἢ πενθεῖν ἐφάνη κακόν, ἀφθέγκτοισιν ἶσον. Αἰσχύλου Ἡρακλειδῶν (fr. 75 N. 2). Οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι. Σόλωνος (fr. 21 Bergk 4). Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι καλλείποιμι

θανὼν ἄλγεα καὶ στοναχάς. Εὐριπίδου Τρῳάδων (608 s.). Ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσι θρήνων τ' ὀδυρμοὶ μοῦσά θ' ἡ λύπας ἔχει. Ὁμήρου Ἰλιάδος ψ′ (9). Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων. Ὁμήρου Ὀδυσσείας δ′ (197 s.) Τοῦτό νυ καὶ γέρας οἷον ὀιζυροῖσι βροτοῖσι, κείρασθαί τε κόμην βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν. Εὐριπίδου Ἀρχελάου (fr. 263 N. 2). Ἔστι 〈τι〉 καὶ παρὰ δάκρυσι κείμενον ἡδὺ βροτοῖς, ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ. Εὐριπίδου Οἰνόμαος (fr. 573 N. 2). Ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί· ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους. Σοφοκλέους Τεύκρου (fr. 519 N. 2). Ὡς ἄρ', ὦ τέκνον, κενὴν ἐτερπόμην σου τέρψιν εὐλογουμένου ὡς ζῶντος· ἡ δ' ἄρ' ἐν σκότῳ λήθουσά με ἔσαιν' ἐρινὺς ἡδοναῖς ἐψευσμένον. Φιλήμονος (fr. 73 K.) Τί δὴ ποεῖς πλέον; οὐδέν· ἡ λύπη δ' ἔχει ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν τὸ δάκρυον. Εὐριπίδου Φρίξου (fr. 834 N. 2). Καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει· ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους. Σοφοκλέους (fr. 867 N. 2). Θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει. — ἥξεις, ἐπείγου μηδέν, εἰς τὸ μόρσιμον. Δημοσθένους ἐξ Ἐπιστολῶν (ep. III p. 1485). Ἀλλ' ἔχει τινὰ τοῖς ἀδικουμένοις ῥᾳστώνην τὸ λέγειν ἃ πάσχουσιν, ὥσπερ τοῖς ἀλγοῦσι τὸ στένειν. Σόλωνος. Σόλων ἀποβαλὼν υἱὸν ἔκλαυσεν· εἰπόντος δέ τινος πρὸς αὐτὸν ὡς οὐδὲν προΐργου ποιεῖ κλαίων 'δι' αὐτὸ γάρ τοι τοῦτο' ἔφη 'κλάω'. Ὀβρίμου ὑπὲρ Πρωτογόνου. Ἔστι δὲ ἀνθρώποις καὶ θρήνων χάρις, καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις. Πλάτωνος Νόμων ιβ′ (p. 959 E). τῶν ὁδῶν κωλύειν, καὶ ἐν ταῖς ὁδοῖσι πορευόμενον φθέγ-

4.55 Εὐριπίδου Πολυΐδου (fr. 640 N. 2). Ἀνθρώπων δὲ μαίνονται φρένες, δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς. Μενάνδρου Περινθίας (fr. 394 K.). Οὐ πώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν· εἰς τὸν ἴσον [δ'] ὄγκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖ. Μοσχίωνος. *** (Eur. Suppl. 531—536). τὸ σῶμα δ' εἰς γῆν· οὔ τι γὰρ κεκτήμεθα ἡμέτερον αὐτὸ πλὴν ἐνοικῆσαι βίον, κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν. Εὐριπίδου Ἀνδρομέδας (fr. 154 N. 2). Τὸ ζῆν ἀφέντες τὸ κατὰ γῆς τιμῶσί σου. — Κενόν γ'· ὅταν γὰρ ζῇ τις, εὐτυχεῖ, Κρέων. Λάωνος ἐκ Διαθηκῶν (fr. 1 Com. III p. 382 K.). Τῶν γὰρ μετ' ἐμαυτὸν εἰκόνος καὶ μνημάτων ἀεὶ καταφρονῶν ζῶν ἔχειν τι βούλομαι. Ὁμήρου Ὀδυσσείας (I 291). Σῆμά τέ οἱ χεῦσαι καὶ ἐπὶ κτέρεα κτερεΐξαι. Ὁμήρου Ἰλιάδος (XVI 674 s.). Ὄφρά ἑ ταρχύσωσι κασίγνητοί τε ἕταί τε τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων. Ὁμήρου (Il. XIX 228 s.). Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι, Θουκυδίδου (II 43, 3). Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος. Ἐκ τῆς Αἰλιανοῦ Συμμίκτου ἱστορίας (fr. 4 ed. p. 427 H.). Ὁ Σωκράτης, ἐπεὶ τὸ κώνειον ἔμελλε πίεσθαι, τῶν ἀμφὶ τὸν Κρίτωνα ἐρομένων αὐτόν, τίνα τρόπον ταφῆναι θέλει 'ὅπως ἂν ὑμῖν' ἀπεκρίνατο 'ᾖ ῥᾷστον.' Διογένους. Ἔλεγεν ὁ Διογένης, ὅτι ἂν μὲν κύνες αὐτὸν σπαράξωσιν, Ὑρκανία ἔσται ἡ ταφή, ἂν δὲ γῦπες, ἁπτέον· ἂν δὲ μηδεὶς προσέλθῃ, ὁ χρόνος καλλίω τὴν ταφὴν διὰ τῶν πολυτελεστάτων, ἡλίου καὶ ὄμβρου. Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (fr. 117 Muell.). Κίοι τοὺς ἀποθανόντας κατακαύσαντες καὶ ὀστολογήσαντες ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον καὶ κόσκινον λαβόντες ἀναπλέουσιν εἰς πέλαγος καὶ πρὸς τὸν ἄνεμον ἐξοδιάζουσιν, ἄχρι ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται. Τοῦ αὐτοῦ (fr. 120 M.). Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου ἢ μέρος ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος. Τοῦ αὐτοῦ (fr. 121 M.). Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ᾖ. Τοῦ αὐτοῦ (fr. 124 M.). Κολχοὶ τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ κρημνῶσιν ἀπὸ δένδρων. Τοῦ αὐτοῦ (fr. 128 M.). Φρύγες οὐ κατορύττουσι τοὺς ἱερεῖς τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεας τιθέασιν ὀρθούς. Τοῦ αὐτοῦ (fr. 141 M.). Πάνηβοι Δίβυες, ὅταν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα κατορύττουσι, τὴν δὲ κεφαλὴν ἀποκόψαντες καὶ χρυσώσαντες

ἀνατιθέασιν ἐν ἱερῷ. Τοῦ αὐτοῦ (fr. 143 M.). Ἰνδοὶ συγκατακαίουσιν, ὅταν τελευτήσωσι, τῶν γυναικῶν τὴν προσφιλεστάτην. αὐτῶν δὲ ἐκείνων ἀγὼν μέγισ- Τὸ αὐτὸ καὶ Ἡρόδοτος ἐν πέμπτῃ ἱστοριῶν παρὰ Σκυθῶν τῶν ὕπερθεν Κρηστοναίων γίγνεσθαι λέγει. Ἡροδότου Ἱστορίας τρίτης (16). Πέρσαι καὶ Αἰγύπτιοι οὐχ ὅσιον ἡγοῦνται τοὺς νεκροὺς καίειν· Πέρσαι γὰρ θεὸν νομίζουσιν εἶναι τὸ πῦρ, διὸ οὐ δίκαιον εἶναι λέγουσι θεῷ νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον. πάντα δὲ αὐτὸ κατεσθίειν τὰ ἄνπερ λάβῃ, πλησθὲν δὲ αὐτὸ τῆς βορῆς συναποθνῄσκειν τῷ κατεσθιομένῳ· οὐκ οὖν θηρίῳ οὐδαμῶς σφι νόμος ἐστὶ τὸν νέκυν διδόναι· καὶ διὰ ταῦτα ταριχεύουσιν, μὴ κείμενος ὑπὸ εὐλέων καταβρωθῇ. Πλάτωνος Νόμων δ′ (p. 719 D—E). Οὔσης γὰρ ταφῆς τῆς μὲν ὑπερβεβλημένης, τῆς δὲ ἐλλειπούσης, τῆς δὲ μετρίας, τὴν μίαν ἑλόμενος σύ, τὴν μέσην, ταύτην προστάττεις καὶ ἐπῄνεσας ἁπλῶς· ἐγὼ δέ, εἰ μὲν γυνή μοι διαφέρουσα εἴη πλούτῳ καὶ θάπτειν αὐτὴν διακελεύοιτο ἐν τῷ ποιήματι, τὸν ὑπερβάλλοντα ἂν τάφον ἐπαινοίην, φειδωλὸς δ’ αὖ τις καὶ πένης ἀνὴρ τὸν καταδεᾶ, μέτρον δὲ οὐσίας κεκτημένος καὶ μέτριος αὐτὸς ὢν τὸν αὐτὸν ἄν ἐπαινέσοι. Ξενοφῶντος ἐν τῷ η′ περὶ τῆς Κύρου παιδείας (c. 7,25). Τὸ δ’ ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε μήτε ἐν ἀργύρῳ μήτε ἐν ἄλλῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. τί γὰρ τούτου μακαριώτερον ἢ τὸ γῇ μιχθῆναι, ἢ πάντα μὲν τὰ καλά, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι

4.56 Ὁμήρου Ἰλιάδος ω′ (549—51). Ἴσχεο, μηδ’ ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν· οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱέος αἴνως οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα. Ὁμήρου (Il. XXIV 47—49. 602—604). Μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι, ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν· ἀλλ’ ἦ τοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε· τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν. καὶ γάρ τ’ ἠύκομος Νιόβη ἐμνήσατο σίτου, τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο, ἓξ μὲν θυγατέρες, ἓξ δ’ υἱέες ἡβώοντες. Τοῦ αὐτοῦ Ἰλιάδος τ′ (225). Γαστέρι δ’ οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς. Σιμωνίδου (fr. 2 B. 4). Τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα, εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρας μιᾶς. Μενάνδρου (fr. 815 K.). Ἐπὶ τοῦτ’ ἐγένοντο πάντες, ἔνθα λήξομεν. Μενάνδρου (fr. 816 K.). (Men. fr. 817 K.) Τὰ κοινὰ κοινῶς χρὴ φέρειν συμπτώματα. Εὐριπίδου Ἰνοῦς (fr. 418 N. 2). Γίγνωσκε τἀνθρώπεια μηδ’ ὑπερμέτρως ἄλγει· κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη. Εὐριπίδου Πρωτεσίλαος (fr. 649 N. 2). Πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει. Θεόγνιδος (1029—1036). Τόλμα, θυμέ, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς· δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη· μηδὲ σύ γ’ ἀπρήκτοισιν ἐπ’ ἔργμασιν ἄλγος ἀέξων αὔχει, μὴ δ’ αἴσχεα, μηδὲ φίλους ἀνία μηδ’ ἐχθροὺς εὔφραινε. θεῶν δ’ εἱμαρμένα δῶρα οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι. Φιλίτα Παιγνίων (fr. 6 Bergk). Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια, καί τι προσηνὲς εἰπεῖν, μεμνῆσθαί τ’ οὐκ ἔτ’ ἐόντος ὁμῶς. Φιλέα Ἐπιγραμμάτων (Philitae fr. 8 Bergk). Εὐφορίωνος (fr. 20 Scheidw.). Τῷ καὶ μέτρια μέν τις ἐπὶ φθιμένῳ ἀκάχοιτο, μέτρια καὶ κλαύσειεν· ἐπεὶ καὶ πάμπαν ἄδακρυν Μοῖραι ἐπημήναντο. Ὁμήρου Ὀδυσσείας δ′ (103). Αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο. (Hom. Il. XXIV 525 s.) Ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι ζώειν ἀχνυμένους, αὐτοὶ δ 〈έ τ’〉 ἀκηδέες εἰσίν. Στησιχόρου (fr. 51 Bergk. 4). Ἀτελέστατα γὰρ καὶ ἀμήχανα τοὺς θανόντας κλαίειν. Εὐριπίδου Μελανίππης (fr. 507 N 2). Τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι Σοφοκλέους ἐκ Σκυρίων (fr. 513 N. 2). Ἀλλ’ εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι, ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν· νῦν δ’, ὦ γεραιέ, ταῦτ’ ἀνηνύτως ἔχει, τὸν ἐν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν. κἀμοὶ γὰρ ἂν πατήρ γε δακρύων χάριν ἀνῆκτ’ ἂν εἰς φῶς. Φιλήμονος Σαρδίου (fr. 73 K.). Εἰ τὰ δάκρυ’ ἡμῖν τῶν κακῶν ἦν φάρμακον, ἀεί θ’ ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο, ἠλλαττόμεσθ’ ἂν δάκρυα δόντες χρυσίον. Τιμοκλέους (fr. 6 Com. II p. 453 K.). Ὦ τάν, ἄκουσον,

ἤν τί σοι δοκῶ λέγειν· ἄνθρωπός ἐστι ζῷον ἐπίπονον φύσει, καὶ πολλὰ λυπήρ' ὁ βίος ἐν ἑαυτῷ φέρει. παραψυχὰς οὖν φροντίδων ἀνεύρατο ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει, μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα. τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει, ὡς ὠφελοῦσι πάντας. ὧν μὲν γὰρ πένης πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον τέθνηκέ τῳ παῖς· ἡ Νιόβη κεκούφικε. χωλός τις ἐστι· τὸν Φιλοκτήτην ὁρᾷ. γέρων τις ἀτυχεῖ· κατέμαθεν τὸν Οἰνέα. ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει. Εὐριπίδου Ἀλεξάνδρου (fr. 43 N. 2). Παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν. Φιλιππίδου (fr. 32 K.). Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος. Μενάνδρου (fr. 677 K.). Πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν χρόνος ἐστίν· οὗτος καὶ σὲ νῦν ἰάσεται. Ὁμήρου (Il. XXIV 128). Τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων σὴν ἔδεαι κραδίην; Πυθαγόρου (XVI Nauck). Διφίλου (fr. 117 K.). Λύπης δὲ πάσης γίνετ' ἰατρὸς χρόνος. Φιλίτα Δήμητρος (fr. 1 Bergk). Ἀλλ' ὅτ' ἐπὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει. Φιλίτα Δήμητρος (fr. 2 Bergk). Καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο κήδεα δειλαίων εἶλεν ἀπὸ πραπίδων. Ἀντιφάνους ἐξ Ἀφροδισίου (fr. 53 K.). Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους. οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν, ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον, προεληλύθασιν· εἶτα χ' ἡμεῖς ὕστερον εἰς ταὐτὸ καταγωγεῖον αὐτοῖς ἥξομεν, κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον. Εὐριπίδου Ἀνδρομάχης (1270—72). Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ· πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν ψῆφος κέκρανται κατθανεῖν τ' ὀφείλεται. Εὐριπίδου Τημενίδαις (fr. 733 N. 2). Τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει. κοινὸν δ' ἔχοντες αὐτὸ κοινὰ πάσχομεν πάντες· τὸ γὰρ χρεὼν μεῖζον ἢ τὸ μὴ χρεών. Ἀρχιλόχου (fr. 9 B. 4 fr. 12 Croenert). Κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις ἀστῶν μεμφόμενος θαλίῃς τέρψεται οὐδὲ πόλις. τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης ἔκλυσεν, οἰδαλέους δ' ἀμφ' ὀδύνῃς ἔχομεν πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν, ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν φάρμακον· ἄλλοτε δ' ἄλλος ἔχει τάδε· νῦν μὲν ἐς ἡμέας ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχιστα τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι. Πολυαίνου. Ἐπὶ τοῖς ἀποθνήσκουσι μὴ λυποῦ, ἀναγκαῖον γάρ, ἀλλ' ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσιν. Ἀμάσιος. Δίωνος ἐκ τοῦ Χαριδήμου (or. XXX 8 p. 296, 31 Arn.). Τὰ μὲν καθ' ἡμᾶς οὕτω γέγονεν ὡς ἔδοξε τῷ θεῷ. χρῆν δὲ μὴ γιγνομένων χαλεπὸν ἡγεῖσθαι μηδὲ δυσχερῶς φέρειν ὥσπερ ἐν δεινοῖς οὖσι. παραινοῦσι δὲ ἄλλοι τε σοφοὶ καὶ οὐχ ἥκιστα Ὅμηρος, λέγων μηδαμῇ ἀπόβλητα εἶναι ἀνθρώποις τὰ θεῶν δῶρα, καλῶς ὀνομάζων τὰ δῶρα τὰ ἔργα τῶν θεῶν, ὡς ἅπαντα ἀγαθὰ ὄντα καὶ ἐπ' ἀγαθῷ γιγνόμενα. Θεοκρίτου. Θεόκριτος ἐν περιδείπνῳ τοῦ πενθοῦντος λαιμάργως ἐσθίοντος 'θάρρει βέλτιστε' εἶπεν 'οὐ σοὶ μόνῳ ταῦτα γέγονεν.' Ἀπολλώνιος Νουμηνίῳ (XCIII Herch.). Οὐ θρηνητέον οἵων φίλων ἐστερήθημεν, ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιοτὴν ἐβιοτεύσαμεν. Ὑπερίδου (Epitaph. p. 93 Bl. 3). Χαλεπὸν μὲν ἴσως ἐστὶ τοὺς ἐν τοῖς τοιούτοις ὄντας πάθεσι παραμυθεῖσθαι. τὰ γὰρ πένθη οὔτε λόγῳ οὔτε νόμῳ κοιμίζεται, ἀλλ' ἡ φύσις ἑκάστου καὶ φιλία πρὸς τὸν τελευτήσαντα 〈τὸν〉 ὁρισμὸν ἔχει τοῦ λυπεῖσθαι. ὅμως δὲ χρὴ θαρρεῖν καὶ τῆς λύπης παραιρεῖν εἰς τὸ ἐνδεχόμενον, καὶ μεμνῆσθαι μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆς ἀρετῆς ἧς καταλελοίπασιν. εἰ γὰρ θρήνων ἄξια πεπόνθασιν, ἀλλ' ἐπαίνων μεγάλων πεποιήκασιν. εἰ δὲ γήρως θνητοῦ μὴ μετέσχον, ἀλλ' εὐδοξίαν ἀγήρατον εἰλήφασιν εὐδαίμονές τε γεγόνασι κατὰ πάντα. ὅσοι μὲν γὰρ αὐτῶν ἄπαιδες τετελευτήκασιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι παῖδες αὐτῶν ἀθάνατοι ἔσονται. ὅσοι δὲ παῖδας καταλελοίπασιν, ἡ τῆς πατρίδος εὔνοια ἐπίτροπος αὐτοῖς τῶν παίδων καταστήσεται. πρὸς δὲ τούτοις, εἰ μέν ἐστι τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων καὶ λύπης καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον· εἰ δ' ἔστιν αἴσθησις ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾄδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβάνομεν, εἰκὸς τοὺς ταῖς τιμαῖς τῶν θεῶν καταλυομέναις βοηθήσαντας πλείστης κηδεμονίας ὑπὸ τοῦ δαιμονίου τυγχάνειν. Ἀπολλώνιος Θεαιτήτῳ (CXIV Herch.). Τὸ λυπούμενον ἀλλοτρίοις κακοῖς παραμυθοῦ. Διονυσίου Ἁλικαρνασέως. Τοῖς δὲ ἀνθισταμένοις καὶ μὴ καραπίπτουσιν κουφότερα γίνεται τὰ κακά. Σωκράτους. Πεττείᾳ τινὶ ἔοικεν ὁ βίος, καὶ δεῖ ὥσπερ ψῆφόν τινα τίθεσθαι τὸ συμβαῖνον. οὐ γὰρ ἔστιν ἄνωθεν βαλεῖν οὐδὲ Εὐσεβίου (fr. 60 Mull.). Ἀνιηροῦ τευ προσπεσόντος ἔπειτα χαλεπαίνειν τοῖς θεοῖς μέζον κακὸν ἔστι ζητέειν. Τοῦ αὐτοῦ (fr. 61 Mull.). Ἀνιηροῦ τευ προσπεσόντος, εἴ τι τοῦ παρεστεῶτος ἔστιν εὑρεῖν μέζον, ἐπιλέγεο, καὶ εὑρών, ὅτι μὴ ἐκεῖνο ἀλλὰ τὸ μεῖον ἔχεις, ἀσπάζεο. Ξενοφῶντος ἐκ τῆς πρὸς Σώτειραν ἐπιστολῆς (vol. V p. 291 Sauppe). Ἀλλ᾽ οὐδὲ ἐπὶ θανάτῳ προσήκει τοσοῦτον πένθος εὑρέσθαι ἐπισταμένην ὅτι ὁδοῦ ἀνθρωπίνης χρὴ νομίζειν ἀρχὴν μὲν γένεσιν τέλος δὲ θάνατον. ἀπέθανε δέ, ὅπερ ἂν καὶ ὁ μὴ θέλων ἔπαθε· τὸ δὲ καλῶς ἑκόντος τε ἔργον καὶ ἃ χρὴ παιδευθέντος. μακάριος οὖν δὴ Γρύλλος καὶ ὅστις οὐ τὸ μήκιστον ἑλόμενος τοῦ βίου, τὸ δὲ μετὰ ἀρετῆς, καὶ εἰ βραχύν οἱ ἔδωκεν αἰῶνα ὁ θεός. Πλάτωνος ἐκ τοῦ ι′ τῆς Πολιτείας (p. 603 E- 604 D). γομέν που καὶ τότε ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων. Πάνυ γε. Νῦν δὲ τόδε ἐπισκεψώμεθα, πότερον οὐδὲν ἀχθέσεται ἢ τοῦτο μὲν ἀδύνατον, μετριάσει δέ πως πρὸς λύπην. Οὕτω μᾶλλον, ἔφη, τό γε ἀληθές. Τὸ δὲ νῦν μοι περὶ αὐτοῦ εἰπέ, πότερον αὐτὸν μᾶλλον οἴει τῇ λύπῃ μάχεσθαί τε καὶ ἀντιτείνειν, ὅταν ὁρᾶται ὑπὸ τῶν ὁμοίων, ἢ ὅταν ἐν ἐρημίᾳ μόνος αὐτὸς καθ᾽ αὑτὸν γίγνηται; Πολύ που, ἔφη, διοίσει, ὅταν ὁρᾶται. Μονωθεὶς δέ γε, οἶμαι, πολλὰ μὲν τολμήσει φθέγξασθαι, ἃ εἴ τις αὐτοῦ ἀκούοι αἰσχύνοιτ᾽ ἄν, πολλὰ δὲ ποιήσει, ἃ οὐκ ἂν δέξαιτό τινα ἰδεῖν δρῶντα. Οὕτως ἔχει, ἔφη. Οὐκοῦν τὸ μὲν ἀντιτείνειν διακελευόμενον λόγος καὶ νόμος ἐστί, τὸ δ᾽ ἕλκον ἐπὶ τὰς λύπας αὐτὸ τὸ πάθος; Ἀληθῆ. Ἐναντίας δὲ δὴ ἀγωγῆς γιγνομένης ἐν τῷ ἀνθρώπῳ περὶ τὸ αὐτὸ ἅμα, δύο ἔφαμεν δὴ ἀναγκαῖον εἶναι. Πῶς δ᾽ οὔ; Οὐκοῦν τὸ μὲν ἕτερον τῷ νόμῳ ἕτοιμον πείθεσθαι, ᾗ ὁ νόμος ἐξηγεῖται; Πῶς; Λέγει που ὁ νόμος ὅτι κάλλιστον ὅ τι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς, ὅ τε δεῖ ἐν αὐτοῖς ὅ τι τάχιστα παραγίγνεσθαι ἡμῖν, τούτῳ ἐμποδὼν γιγνόμενον τὸ λυπεῖσθαι. Τίνι, ἦ δ᾽ ὅς, λέγεις; Τῷ βουλεύεσθαι, ἦν δ᾽ ἐγώ, περὶ τὸ γεγονὸς καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὐτοῦ πράγματα, ὅπῃ ὁ νοῦς αἱρεῖ βέλτιστ᾽ ἂν ἔχειν, ἀλλὰ μὴ προσπαίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν, ἀλλ᾽ ἀεὶ ἐθίζειν τὴν ψυχὴν ὅ τι τάχιστα γίγνεσθαι πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν, ἰατρικῇ θρηνῳδίαν ἀφανίζοντα. Ὀρθότατά γ᾽ ἂν οὖν πρὸς τὰς τύχας οὕτω προσφέροιτο. Οὐκοῦν, φαμέν, τὸ μὲν βέλτιστον τούτῳ τῷ λογισμῷ ἐθέλει ἕπεσθαι. Δῆλον δή. Τὸ δὲ πρὸς τὰς ἀναμνήσεις τε τοῦ πάθους καὶ πρὸς τοὺς ὀδυρμοὺς ἄγον καὶ ἀπλήστως ἔχον αὐτῶν ἆρ᾽ οὐκ ἀλόγιστόν τε φήσομεν εἶναι καὶ ἀργὸν καὶ δειλίας φίλον;

4.57 Ὁμήρου Ἰλιάδος ω′ (54). Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων. Ὁμήρου Ὀδυσσείας χ′ (412). Οὐχ ὁσίη φθιμένοισιν ἐπ᾽ ἀνδράσιν εὐχετάασθαι. Μοσχίωνος ἐκ Φεραίων (fr. 3 N. 2). Κενὸν θανόντος ἀνδρὸς αἰκίζειν σκιάν· ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές. Ἀρχιλόχου (fr. 64 B. 4). Εὐριπίδου Ἀντιγόνης (fr. 176 N. 2). Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος ἔχει· τί γὰρ τοῦδ᾽ ἐστὶ μεῖζον ἐν βροτοῖς; τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ ὀδύναισι δώσει; τίς δ᾽ ἀτιμάζων νέκυς, εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων; Αἰσχύλου Ἕκτορος (fr. 266 N. 2). Καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν εἶτ᾽ οὖν κακουργεῖν, ἀμφιδεξίως ἔχει τῷ μήτε χαίρειν μήτε λυπεῖσθαι φθιτούς. ἡμῶν γε μέντοι Νέμεσις ἔσθ᾽ ὑπερτέρα, καὶ τοῦ θανόντος ἡ Δίκη πράσσει κότον. Διονυσίου Σωτείρας (fr. 6 K.). Πρὸς τὸν τελευτήσανθ᾽ ἕκαστος, κἂν σφόδρα ζῶν ἐχθρὸς ᾖ τις, γίγνεται φίλος τότε. Τιμοκλέους Συνεργικά (fr. 31 K.). Τοῖς μὲν τεθνεῶσιν ἔλεος ἐπιεικὴς

θεός, τοῖς ζῶσι δ’ ἕτερον ἀνοσιώτατον Φθόνος. Εὐριπίδου Φοινισσῶν (1320 s.). Τοῖς γὰρ τεθνεῶσι χρὴ τὸν οὐ τεθνηκότα τιμὰς διδόντα χθόνιον εὐσεβεῖν θεόν. Σοφοκλέους Λαρισσαίων (fr. 350 N. 2). Μηδὲ τῷ τεθνηκότι τὸν ζῶντ’ ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον. Μιμνέρμου *** ... ἐκ Νεοπτολέμου (p. 829 N. 2). Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ ζῶντι φθονῆσαι, κατθανόντα δ’ αἰνέσαι. Σοφοκλέους Αἴαντι (1091 s.). Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς εἶτ’ αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ. Μοσχίωνος (fr. 7 p. 815 N. 2). 〈Τί〉 κέρδος οὐκέτ’ ὄντας αἰκίζειν νεκρούς; τί τὴν ἄναυδον γαῖαν ὑβρίζειν πλέον; ἐπὰν γὰρ ἡ κρίνουσα καὶ τὰς ἡδονὰς καὶ τἀνιαρὰ φροῦδος αἴσθησις φθαρῇ, τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου. Χείλωνος. Τὸν τετελευτηκότα μὴ κακολόγει ἀλλὰ μακάριζε. Πλάτωνος Πολιτείας ε′ (p. 469 D—E). Ἀνελεύθερον δὲ οὐ δοκεῖ καὶ φιλοχρήματον νεκρὸν συλᾶν, καὶ γυναικείας τε καὶ σμικρᾶς διανοίας τὸ πολέμιον νομίζειν τὸ σῶμα τοῦ τεθνεῶτος ἀποπταμένου τοῦ ἐχθροῦ, λελοιπότος δὲ ᾧ ἐπολέμει; ἢ οἴει τι διάφορον δρᾶν τοὺς τοῦτο ποιοῦντας τῶν κυνῶν, αἳ τοῖς λίθοις 〈οἷσ〉 ἂν βληθῶσι χαλεπαίνουσι, τοῦ βάλλοντος 〈οὐχ ἁπτόμεναι〉; Οὐδὲ σμικρόν, ἔφη. Ἐατέον ἄρα τὰς νεκροσυλίας καὶ τὰς τῶν ἀναιρέσεων διακωλύσεις; Ἐατέον μέντοι, ἔφη, νὴ Δία. Πλάτωνος Νόμων ια′ (p. 926 E—927 B). Εἴς τινα γὰρ οὖν μοι καιρὸν φαινόμεθα τοὺς ἔμπροσθεν λόγους διεξελθεῖν, ὡς ἄρα αἱ τῶν τελευτησάντων πραγμάτων ἐπιμελοῦνται· ταῦτα δὲ ἀληθεῖς μέν, μακροὶ δέ εἰσι περιέχοντες λόγοι, πιστεύειν δὲ ταῖς ἄλλαις φήμαις χρεὼν περὶ τὰ τοιαῦτα, οὕτω πολλαῖς καὶ σφόδρα παλαιαῖς οὔσαις, πιστεύειν δ’ αὖ τοῖς νομοθετοῦσι ταῦθ’ οὕτως ἔχειν, ἄν περ μὴ παντάπασιν ἄφρονες φαίνωνται. ..... καὶ τιμῶσί τε αὐτοὺς εὐμενεῖς εἶναι καὶ ἀτιμάζουσι

4.58 Εὐριπίδου (fr. 1081 N. 2). Τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος. Πινδάρου (fr. 160 Schr.). Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται. Σοφοκλέους Αἴαντος (1266 s.). Φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς χάρις διαρρεῖ καὶ προδοῦς’ ἁλίσκεται. Ἀρχιλόχου (fr. 63 B. 4). Οὔτις αἰδοῖος μετ’ ἀστῶν οὐδὲ περίφημος θανὼν γίγνεται· χάριν δὲ μᾶλλον τοῦ ζοοῦ διώκομεν 〈οἱ〉 ζοοί, κάκιστα δ’ αἰεὶ τῷ θανόντι γίγνεται. Στησιχόρου (fr. 52 B. 4). Θανόντος ἀνδρὸς πᾶς’ ἀπόλλυταί ποτ’ ἀνθρώπων Εὐριπίδου Τημενίδαις (fr. 736 N. 2). Ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος καὶ μνημονεύων οὐδὲν ὧν ἐχρῆν φίλου. σπάνιον [δ’] ἄρ’ ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι, κἂν ὁμόθεν ὦσι· τὸ γὰρ ἔχειν πλέον κρατεῖ. Εὐριπίδου (fr. 736 N. 2). Τῆς εὐσεβείας ἡ δ’ ἐν ὀφθαλμοῖς χάρις ἀπόλωλ’, ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ. Σοφοκλέους (fr. 868 N. 2).

Eulogikon public reading copy · View original HTML at eulogikon.org